Σοφοκλεῖ Βορέας ἅμιππος, ὁ καὶ Ἀδόνεδος. Συναγελάζονται, συναθροίζονται, συνανίασται. Συναγηοχότες, συναθροίσαντες, συνάξας. Σύναγμα, ἤτοι ἐπίγραμμά ἐστιν, ἢ ἐναρμόνημα, ἢ συνάθροισις, ἢ ἀγορός. καὶ ἀμμωνίων ἐν τῷ ἔπει τῶν ἐπιγεγραμμένων, παρὰ τῷ Ἱπποκράτει. Συναγορεύω, ὑπὲρ τῆς λέγω. Συναγρίδα, θαλάσσιος ἰχθύς. Συναγρόμενοι, συναγρόμενοι. Συναδικῶ σοι τὸν λίθον. ἰστέον δὲ πάντα τὰ μεταβατικὰ ῥήματα καὶ ἀμετάβατα, τῇ σὺν προθέσει συναπτόμενα, καὶ ἕτερον παραλαμβάνουσι πρόσωπον κατὰ δοτικὴν ἐπιφερόμενα. μεταβατικὰ μέν, οἷον συναδικῶ σοι τὸν λίθον, συναιρῶ, συναιτῶ. ἀμετάβατα δέ, οἷον συνάδω σοι, συμπαίζω σοι, συναπαίρω. Συνᾴδει, συμφωνεῖ. Σὺν ἀθανάτω, καὶ χεῖρα κινεῖ. παροιμία ἐπὶ τοῦ μὴ χρῆναι ἐπὶ ταῖς τῶν θεῶν ἐλπίσι καθημένους ἀργεῖν. Συναίδιος, συνυπάρχων. Σύναιμος, ὁ ἀδελφός. ὁ τοῦ αὐτοῦ αἵματος. Σύναιμος, ὁμόλογος. Συναινοῦντες, συλλαμβάνοντες. Συναινῶ, τὸ συμφωνῶ, καὶ ἐπαινῶ, ἢ ἐκεῖθεν τὸ ἀναινομαι. συναινῶ φαμὲν καὶ κατανεύω. ὁμοίως ἀντὶ τοῦ κατανεύω, καὶ ἀπολέγομαι, καὶ τίθεμαι τὰς λίθους. Θουκυδίδης, ἀριστεύσαντος δὲ τοῖς μὲν ἄλλοις ἐκεῖνος. Συναίρεσίς ἐστι, δύο φωνηέντων φυλαττομένων συνεκφορά, οἷον Δημοσθένει, Δημοσθένει, Ἀτρεΐ Ἀτρεῖ. Συναίρεσις συλλαβῆς, ἱερὸν ἱρόν, δᾶος δῆος. Συναίρεσις συλλαβῆς, ὁ μᾶλλον ἱερᾶς, ἱερεύς, ἱρεύς. Συναιρῶ, καὶ συναιροῦμαι, τὸ δύο ἐπὶ εἰς ἓν συνάγω. Συναίρω, συναιρῶ. ὁ μέλλων συναιρήσω, συνῄρηκα, συνῄρημαι, συναιρήσων. ποῖα ῥήματα συνῄρηται ἐν τῷ παθητικῷ ἀορίστῳ, μὴ φυλάττοντα τὴν παραλήγουσαν τοῦ παθητικοῦ παρακειμένου, τὰ εἰς ρ̄ ἔχοντα τὸ μέλλοντα. οἷον συναιρῶ, λιπαρῶ, φορῶ. καὶ τὰ ἔχοντα τὸ ρ̄ μετὰ ἐπιπλοκῆς συμφώνου παραληγόμενα τὸ ᾱ. οἷον τρίβω, γράφω, ἐγράφην ἐγράφην, καὶ τρίβω ὁμοίως. Συναίρομαί σοι τὴν δυστυχίαν, ἀντὶ τοῦ μετὰ σοῦ δυστυχῶ. Συναίρομαί σοι τὴν εὔνοιαν, ἀντὶ τοῦ μετὰ σοῦ κινδυνεύω. Συναιρούμενος, συλλαμβανόμενος. Συναίρω ἐνεργητικῶς μὲν οὐ γράφεται, παθητικῶς δὲ σημαίνει ἐνεργητικόν. οἷον συναιρόμενος. καὶ λαμβάνεται ἀντὶ τοῦ βοηθῶ, καὶ ἀναλαμβάνω. καὶ ὅτι μὲν λέγεται ἀντὶ τοῦ βοηθῶ, δοτικῇ. ὅτι δὲ ἀντὶ τοῦ ἀναλαμβάνω, αἰτιατικῇ. ὡς καὶ Δημοσθένης, ἐπείπερ συναρέσθαι τὰ πράγματα. Σύμμαχος, ὁ σύμμαχος. Συναισθάνομαι, συνεπαισθάνομαι. Συνάλματα, συμπηδήματα. Συνάλλαγμα, σύναψις, ἢ συμβόλαιον. Συναλλάκτης, φιλιαστής. Συναλλάσσομαι, συνάγομαι. Συναλλάττω, λέγεται ἐπὶ συμφωνίας γάμου, ἀφ᾽ οὗ συνάλλαγμα. Συναλοιφὴ ἐστί, δύο συλλαβῶν κατὰ τὰ φωνήεντα ἕνωσις, γίνεται δὲ κατὰ τρόπους ἑπτά, ἁπλοῦς μὲν τρεῖς. κατὰ ἔκθλιψιν, οἷον ἐπὶ ἐμά, τὰ ἐμά. ὅταν ἐκθλιβομένου βραχέος φωνήεντος συναπολείπεται καὶ ὁ χρόνος αὐτοῦ κατὰ κρᾶσιν, οἷον τὰ ἐμὰ τἀμά. καὶ ὅταν φωνήεντος φερομένου βραχέος, ὁ χρόνος αὐτοῦ τῷ γειτνιῶντι βραχεῖ φωνήεντι προστιθῶν, ἐκεῖνο αὐτό, κατὰ συναίρεσιν, οἷον ὁ παῖς τὸ παῖς. καὶ ὅταν τὸ πλῆρες μὲν τῆς γραφῆς φυλάττεται καὶ ἡ δύναμις, ἐκ δὲ μόνον ἡ τῶν συλλαβῶν ποσότης. μικτὴ δὲ καὶ κατὰ συνθέτους τέσσαρας, κατὰ ἔκθλιψιν, καὶ κρᾶσιν, οἷον, καὶ ἐγώ κἀγώ. τίθεται γὰρ τὸ ῑ. [illegible] τὸ ᾱ καὶ τὸ ὁ χρόνος εἰς τὸ ᾱ μακρόν, κατὰ ἔκθλιψιν, καὶ συναίρεσιν. οἷον, ἐγὼ οἶδα, ἐγᾦδα. τίθεται τὸ ῡ, συναιρεῖται δὲ τὸ ῡ, προσγράφεται δὲ τὸ ῑ, κατὰ κρᾶσιν καὶ συναίρεσιν, οἷον ὁ αἰπόλος ὡ᾽πόλος. αἴρεται γὰρ τὸ ῑ καὶ ᾱ εἰς ῡ. συναιρεῖται δὲ τὸ ῡ καὶ ῑ. κατὰ ἔκθλιψιν δὲ καὶ κρᾶσιν καὶ συναίρεσιν, οἷον οἱ αἰπόλοι, ὡ᾽πόλοι. τίθεται μὲν γὰρ τὸ ῑ τῆς διφθόγγου, αἴρεται δὲ τὸ ῑ καὶ εἰς ῡ, συναιρεῖται δὲ τὸ ῡ καὶ ῑ. Συναμφότερος, συναμφότερος.

Συναμφότερος

τὸ γένος ἐστὶν, οὔτε εἶδος, οὔτε διαφορὰ, οὔτε εἶδος ἀποφαντικῶς. συμβιβαστικὸς ἐστὶ, ὁ ὁριζόμενος ἐν ὑποκειμένῳ, ὃ οὔτε γένος ἐστὶν, οὔτε εἶδος, οὔτε διαφορὰ, οὔτε ἴδιόν ἐστι. πρόσκειται δὲ τὸ ἐν ὑποκειμένῳ ὁριζόμενον, ἵνα ἐκ τὰ ὄντα, καὶ τὰ ἄτομα χωρίσωμεν. συμβεβηκὸς ἐστὶ, τὸ δυνάμενον δίχα τοῦ βλάβας ἀπογίνεσθαι. Συμβίβα, εἶδος ὀργάνου. Σύμβιον, σύμφωνα λέγων. Συμβῆναι, συνομολογῆσαι. Συμβῆσαι, ἑνῶσαι. Συμβιβάζει, εἰς φιλίαν ἄγει, ἢ συνάπτει. Συμβιβασθέντες, διδαχθέντες, διαλεχθέντες. Συμβίβασις, πίστις, διδαχὴ, πεῖσις. Συμβιβάσω, διδάξω. Συμβιβῶ σε, συνάξω σε, διδάξω σε, συμπείσομαί σε. Σύμβλος, σύμβλους καλοῦσι τὰ ἀγγεῖα, ἐν οἷς ἐργάζονται αἱ μέλισσαι. συμβλεῖς οὖν πέτρας, ἐν ᾗ μελιτουργοῦσιν ἐν τοῖς δρυμοῖς, οἱονεὶ σύμβλων τάξιν ἔχουσας. Συμβλημένος, συντυχών. Σύμβλησθε βασιλεῦ, ἤγουν συναντήσατε. Σύμβλον κυρίως ἐστὶν, ὁ θωμὸς ἔνθα αἱ μέλισσαι ἀποτίθενται τὸ μέλι.

Σύμβολα, σημεῖα, τεκμήρια, μαντεύματα, οἰωνίσματα. Συμβολαί, μάχαι. Συμβολαίους δίκας, τὰς κατὰ συμβόλαιον.

Συμβολατεύειν, συναλλατεύειν. Συμβολικὰ προβλήματά εἰσιν, ὅσα διὰ τῶν αἰσθητῶν σημαίνουσιν ἐπὶ τὰ νοητά. τὰ δὲ πάντα γ᾽ εἰσὶν, ἠθικὰ, φυσικὰ, θεολογικά. τὰ οὖν ἠθικὰ, ἐν τῷ καθαίρειν. τὰ δὲ φυσικὰ, ἐν τοῖς πράγμασι. τὰ δὲ θεολογικὰ, ὑπὲρ κόσμον. κεῖται δὲ ταῦτα ἐν τῷ ἐγκωμιαστικῷ θεωρεῖται, τὰ μὲν ἠθικὰ, περὶ τὸ ἦθος. τὰ δὲ φυσικὰ, δόγματά εἰσι. τὰ δὲ θεολογικὰ, περὶ τῆς πίστεως. Συμβολικὰ δικαιοσύνης εἰσὶ, τὰ ἐν τῷ νόμῳ τῆς ἀληθείας σύμβολα. Σύμβολον, πίστις ἁπλῶς παράκειται. σύμβολον, σημεῖον, τεκμήριον, εἰκὼν, καὶ ὁμοίωμα. διαφέρει δὲ, ὅτι σύμβολον καὶ σημεῖον ἐπὶ τῶν θέσει λέγεται, ὡς ἐπὶ τῆς ἡμετέρας ἐστὶ διακρίσεως, οἷον ἐν πολέμῳ σάλπιγγος ἦχος, ἢ πυρὸς αὐγή. τὰ δὲ λοιπὰ ῥητέα ἐπὶ τῆς φύσεως. διαφέρει δὲ καὶ ταῦτα, ὅτι εἰκὼν μὲν καὶ ὁμοίωμα, τὴν τοῦ πράγματος φύσιν εἰκονίζουσιν, εὐμόρφως ἀπαραλλάκτως. τὸ δὲ τεκμήριον, ἀναγκαίως ἕπεται τῷ πράγματι μόνῳ, μᾶλλον τὸ συμβεβηκὸς ἔχον ἐν ἑαυτῷ. οἷον πυρὸς, καπνὸς καὶ τοῦ τετοκυίας γυναικὸς, τὸ γάλα. Σύμβολον, ἐξ οὗ ἐστιν ὁμᾶς συμβαλεῖν ἢ γνῶναι, ὡς ἐπὶ τοῦ πολέμου ἡ σημαία. ἔλεγον γὰρ τοῦτο, συμβαλοῦμεν, τουτέστι νοοῦμεν, ὅτι πόλεμος προσδοκᾶται. ἐπὶ δὲ τῶν θέσει, τὸ δὲ τεκμήριον τῶν φύσει. οἷον ὁ καπνὸς τεκμήριον ἐστὶ πυρὸς, καὶ τὸ γάλα τοῦ τετοκέναι τὴν γυναῖκα. φυσικῶς γὰρ περίεπεται τῇ γυναικὶ τετοκυίᾳ, τὸ γάλα ἔχειν. καὶ τῷ πυρὶ ἀποκλωμένῳ, τὸ καπνίζειν. Σύμβοτον, σύννομον. ἴσον. Συμβόσκεται, συννέμεται. Συμβοηθεῖ, συμμαχεῖ, διακονεῖ. Συμβολαστικὰ πάντα, οἷον τὰ φθεγξόμενα, τὸ δεῦρο ἔχουσιν ἔξωθεν, ἐκ τοῦ ἐπιφερόμενον. οἷον δεῦρο ἴθι ποιήσωμεν τόδε. δεῦρο ἴθι φθεγξόμεθα τόδε. Συμβουλή, γνώμη, δόσις. ἡ συμβουλή ἐστιν, εἰσήγησις τοῦ συμφέροντος.

Συμβουλευτική ἐστι, παραίνεσις ἑτέρῳ ὑπὲρ πράξεως, τινὰ δεῖ τρόπον πράττειν. Συμβουλεύς, ἀλκιβιάδης ἢ σύμβουλος, ὁ τὰ δέοντα εἰσηγούμενος. Συμβουλεύω, ὑποτίθεμαι. καὶ συμβουλεύω σοι δοτικῇ, τὸ πρόσωπον δοτικῇ, τὸ πρᾶγμα αἰτιατικῇ. συμβουλεύω ἐνεργητικῶς, ἀντὶ τοῦ, εἰς συμβουλὴν τῷδε καθίσταμαι. συμβουλεύομαι δὲ παθητικῶς, ἀντὶ τοῦ συμβουλὴν λαμβάνω. Λιβάνιος ἐν μελέτῃ τοῦ φιλαργύρου, συμβουλευόμενοι τοῖς ἐπιτηδείοις, ἥν τινα τέχνην αὐτῷ δοτέον. σύμβουλος, συμβουλεύω, καὶ συμβουλεύομαι, καὶ συμβουλία.

Συμβῶμεν, ἀντὶ τοῦ συμβιβασθῶμεν. Ἀριστοφάνης, ἀνάμενος, ἵνα συμβῶμεν. καὶ ὁ Θεολόγος, συνέβησαν ἀλλήλοις, καὶ συνέβησαν, ἀντὶ τοῦ συνεβιβάσθησαν. Σύμη, νῆσος φασὶ Καρίας, καὶ πόλις ὁμώνυμος. ἀπὸ Σύμης τῆς ἐκλήθη. ἐν ᾗ ἐρεῖ-

ται καὶ διὰ μέσου τις τεμάχη ... λέγεται δὲ καὶ περδίκας μαχίμους φέρειν. τὸ ἐθνικὸν αὐτῆς, Συμαῖος.

Συμμάρψας, συλλαβών, δήσας. Συμμαχὶς, τόπος, καὶ ναῦς. Συμμαχεῖν, καὶ ἐπιμαχεῖν διαφέρει. συμμαχεῖν μὲν γὰρ λέγουσι, τὸ σὺν ἑαυτοῖς φησὶ Δίδυμος, εἴτ᾽ αὐτοῖς ἐπιστρατεύοιεν πολέμιοι, εἴτ᾽ ἐπ᾽ ἄλλους αὐτοὶ στρατεύοιεν. ἐπιμαχεῖν δὲ, ὅταν τοὺς ἐπιόντας ἀμύνωνται μόνον. καὶ συμμαχῶ, καὶ ἐπιμαχῶ. καὶ συμμαχία, καὶ ἐπιμαχία. Σύμμαχος, βοηθός. Συμμεμαρτυρημένα, συνεσφραγισμένα. Συμμετρία, ἰσότης, πᾶσι τοῖς μέρεσι, οὐκ ἔχον σῶμα. Σύμμετρον, τὸ μεμετρημένον, μήτε ὑπερβολὴν ἔχον, μήτε ἔλλειψιν. καὶ τὸ ἀναλογίαν ἔχον πρός τι. ὅθεν καὶ ἀσύμμετρος, ἡ τοῦ τετραγώνου διάμετρος τῇ πλευρᾷ, ἤγουν οὐδεμίαν ἀναλογίαν ἀριθμοῦ πρὸς τὴν πλευρὰν ἔχουσα. καὶ σύμμετρον, τὸ ἴσον μέτρον τινὶ ἔχον. οἷον περὶ ὃν πῆχυν οἱ πήχεις ἄνθρωποι παιδία σύμμετρα τῷ σώματι, ἤγουν πηχυαῖα. Σύμμετρον, τὸ μήτε ὑπερβάλλον, μήτε ἐλλεῖπον, ἀλλ᾽ ἀνάλογον πρός τι, καὶ ἰσόμετρον ὄν. Συμμιγῆναι λέγεται, τὸ συνέρχεσθαι, καὶ συνάπτειν, ἢ συμβάλλειν, κατὰ πόλεμον, δολεῖς συντάσσεται. συμμιγῆναι λέγεται, καὶ τὸ κατὰ φιλοφροσύνην τὰς δεξιὰς προτείνειν. Συμμίσγων, ὁμιλῶν, συνουσιάζων. Συμμορία, καὶ συμμορίτης, ὁ μετὰ ἄλλου μετέχων ἐκείνης. Συμμορία, ἡ πληθύς. ἢ ἡ συνέλασις, ἢ ἡ φατρία, ἢ τὸ σύνταγμα. ὁ δὲ Δημοσθένης, ἑξήκοντα ἄνδρας ἔχειν λέγει τὴν συμμορίαν. τὸ πλῆθος δὲ, πεντακόσια.

Συμμυολόγους, ἀντὶ τοῦ συνιστῶντας. Συμμύειν, συνιδεῖν.

Συμπαίστωρ, ὁμοῦ παίζων. Συμπαραινέσας ἔχω, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ παρῄνεσα ἀττικῶς. Συμπαραμενοῦσαν, συναγωνιουμένην. Συμπάσχομεν τῷ δυστυχοῦντι, οὐ μὴν ὅτι ἡμεῖς δυστυχοῦμεν, ἀλλὰ ἀλγοῦμεν. συμπάσχομεν τοῖς πυρέττουσι, οὐ μὴν ὅτι πυρέττομεν. Συμπαταγούντων, συγκροτούντων, συνηρεισάντων τὰς χεῖρας πλατείας ἀσμένως.

Συμπατήρ, ὁ ἀμφοτέροις ὢν τοῖς πατήρ. Συμπαραχθέντος, συνταραχθέντος. Συμπεφορημένους, συλληφθέντας πεφρίκ. Συμπεριγενόμενον, συμπεριλαμβανόμενον. Συμπεσεῖν, τὸ συμβῆναι. ἢ συγκροτῆσαι μάχην, καὶ ὁμοῦ πεσεῖν.

Συμπεσεῖν, τὸ συγκροῦσθαι εἰς μάχην. συμπεσεῖν τὸ ὁμοῦ γενέσθαι ἐπὶ ἑνὸς ἐρχομένων εἰς πόλεμον ἀλλήλοις, καὶ συῤῥηγνυμένων. ὡς δὲ συνέπεσον ἐξ ἐναντίας, μέχρι δείλης ἐμάχοντο.

Συμπεσεῖν, ἐπὶ μεγάλων σωμάτων, παρ᾽ Ὁμήρῳ λέγεται, ὑψόθεν καταφερομένων εἰς ἄλληλα, οἷον νεφελῶν, ἢ λίθων ὀρέων, ἢ ποταμῶν. οἱ δὲ μεθ᾽ Ὅμηρον, τὴν λέξιν καὶ ἐπὶ τῶν τυχόντων ἀποδεδώκασι τιθέασι. λέγεται δὲ συμπεσεῖν, καὶ τὸ ἅμα πεσεῖν. Συμπεφυλασμένος, συμπεπλεγμένος. Συμπεσεῖν λέγεται, τὸ συμμίγνυσθαι ἐπὶ πολέμου κυρίως. ὡς δὲ συμπεσόντα ἄμφω τὰ στρατεύματα ἐμάχοντο, ἀντὶ τοῦ συμβαλόντα καὶ συμμίξαντα. ἐν παρ᾽ Εὐριπίδῃ. συμπεσόντες μάχην κρατερὰν συνῆψαν. συμπίπτειν λέγεται, καὶ τὸ συμβαίνειν καὶ ἁρμόττειν καὶ συμφωνεῖν. ὡς καὶ Λυσίας, ἔτι δὲ συμπίπτει τῇ πάσῃ φιλανθρωπίᾳ τῆς πόλεως, ὁ τῶν ἔργων ἐξετασμός. Συμπεπτωκότι, συμπεπτωκότα. Συμπλάσσομεν, ψευδόμεθα. Συμπλευσάντων, ὁμοπλευσάντων. Συμπληγάδες, αἱ παρ᾽ Ὁμήρῳ πλαγκταί. Συμπνευσμός, ὁμόνοια. Σύμπνοος, συμπνέοντες. Συμπολίζει, συνοικίζει. Συμπονεῖν, κατατείνειν.

Συμπορπῶν τὸν μὲν ῥαφαῖς συνειλημμένον κατὰ τοὺς ὤμους χιτῶνα. Συμπόσιον, τὸ συμπεσεῖν, ὃ πότος. Συμπράξω, βοηθήσω, συνεργήσω, συλλαβοῦ. Σύμπτωμά ἐστι, πάθος τὸ ἐπὶ προσθήκῃ ὑφεστηκὸς νοσήματι. σύμπτωμα ἐστι, ἐξάλλαξις τοῦ κατὰ φύσιν, ἢ συνεστῶτα. Συμφανὲς, φανερόν.

Συμφέρει μοι ἀπραγμοσύνη, καὶ συμφέρει μοι μαθεῖν τὸ-

Συλλαμβάνων, τὸ συμφορῶν. ἔνθεν καὶ σύλληψις ἡ κυοφορία, παρὰ τῇ θείᾳ γραφῇ. Συλλαμβάνω, ὁ Δαυὶδ ἐπὶ Θεοῦ, ἤγουν βοηθῶ, ὃ καὶ συναντιλαμβάνω λέγεται. Θουκυδίδης ἐν τῇ ὀγδόῃ. καὶ λόγῳ καὶ ἔργῳ συναντιλαμβάνων αὐτοῖς. καὶ συλλαμβάνω λέγεται, ὅταν ἐπ' ἀκροῦ κρατήσω. Συλλαμβάνομαί σοι τοῦ δέους, ἐπὶ βοηθείας. οἷον σύμ σοι λαμβάνομαι, ὅτι ἅπτομαι. Συλλέγειν, τὸ συνάγειν καὶ συναθροίζειν, ὅθεν συλλογὴ καὶ σύλλογος. ὧν ἡ μὲν συλλογὴ, ἐπὶ ἀψύχων λέγεται. ὁ δὲ σύλλογος, ἐπὶ ἐμψύχων. συλλέγει σιτικοῦ καὶ δαψιλοῦ, ὁ βάσκανος συλλέγει φθόνον ἑαυτῷ. συλλεχθεὶς, πάλλιον ἢ συλλεγείς. Λακεδαίμονες ἐν τοῖς παλαιστινικοῖς, πρός γε τὴν συλλεχθεῖσαν, τὸ ναυτικὸν ἀπέπεμψαν. συλλέγομαι εἰς τὰ μνημεῖα πάντα. Συλλελογισμένα, ἐκ συλλογισμῶν. Συλλήβδην, ὁμοῦ συλλαβὼν, ἀθρόως. ἀπὸ τοῦ λήβω λήψω λέλημμαι λέλημβδην, καὶ συλλήβδην. Συλλήπτορα, συνεργοῦντα. Συλλήπτωρ, βοηθὸς, ἀντιλαμβανόμενος. παρὰ τὸ λήβω, τὸ λαμβάνω. Συλλοχίσαι, ἀθροίσματα. ἡ μεταφορὰ δὲ, ἀπὸ τῶν εἰς τοὺς λόχους συλλεγομένων, παρὰ τοῖς ἱστορικοῖς. Σύλλις, θύλακον. Σύλληψις ἐστὶ, διαφόρων λέξεων ὑπὸ πληθυντικοῦ ἐλλείποντος. ἐν τῇ συλλήψει ζητεῖται πέντε, λέξις συλλαμβάνουσα, λέξις συλλαμβανομένη, ἡ ἰδιότης τοῦ ῥήματος, ἡ ἐπιθέτου πληθυντικοῦ σύνθεσις, ἰδιότης ἑκάστου κατὰ τὰς λέξεις τὰς συλλαμβανομένας. κατὰ τέσσαρας τρόπους γίνεται ἡ σύλληψις, ἐν γένει, ἐν ἀριθμῷ, καὶ προσώπῳ, καὶ ἐν πτώσει. ἐν γένει, τὸ ἀρσενικὸν γένος συλλαμβάνει τὸ θηλυκὸν καὶ τὸ οὐδέτερον, οἷον ὁ ἵππος, καὶ ἡ αἲξ, καὶ τὸ ὄρνεον μάχονται. τὸ θηλυκὸν, συλλαμβάνει τὸ οὐδέτερον, οἷον ἡ ὄρνις, καὶ τὸ ὑποζύγιον ἰσχυραί, ἢ ἰσχυρά. ἀλλ' ἐνίοτε μὲν συλλαμβάνεται τὸ ἀρσενικὸν καὶ τὸ θηλυκὸν ὑπὸ τοῦ οὐδετέρου, τῇ αἰτίᾳ τῆς τοῦ μείζονος σημασίας, οἷον ὁ ἀνὴρ καὶ ἡ γυνὴ ζῶά εἰσι λογικά. ἐν ἀριθμῷ, ὁ πληθυντικὸς ἀριθμὸς συλλαμβάνει τὸν ἑνικὸν, οἷον οἱ προδόται καὶ ὁ τριβοῦνος πολεμοῦσιν. ἐν προσώπῳ, τὸ πρῶτον πρόσωπον συλλαμβάνει τὸ δεύτερον καὶ τὸ τρίτον, οἷον ἐγὼ καὶ σὺ καὶ Βαρῖνος, ἀναγινώσκομεν. τὸ δεύτερον συλλαμβάνει τὸ τρίτον, οἷον σὺ καὶ Βαρῖνος ὑποκρίνεσθε. ἐν πτώσει ἡ ὀνομαστικὴ συλλαμβάνει ἑτέραν πτῶσιν μετὰ προθέσεως, οἷον ὁ ἵππος μετὰ τοῦ ὄνου τρέχουσιν. ἔστι δὲ διπλῆ ἡ σύλληψις, ὁμοία καὶ ἀνομοία. ὁμοία μέν ἐστιν, ἣ ὡς γίνεται ἐν ὁμοίαις πτώσεσιν. οἷον ἐγὼ καὶ ὁ Βαρῖνος λέγομεν. ἀνομοία, ἣ ὡς γίνεται ἐν ἀνομοίαις λέξεσιν, οἷον ὁ ἄγγελος μετ' ἐμοῦ φεύγομεν. Συλλογισάμενος, συναγαγὼν τὸν λογισμὸν, καὶ ἐκφράσας. Συλλογισμός ἐστι, λόγος ἐν ᾧ τεθέντων λόγων τινῶν, ἕτερόν τι ἐξ ἀνάγκης περαίνεται. Συλλογισμὸς διαλεκτικός ἐστιν, ὁ ἐξ ἐνδόξων συλλογισμός. Σύλλογος, σύνοδος ἀνθρώπων, ἄθροισμα. Σύλλογος, ἡ ἐκ τῆς αὐτῆς πόλεως συναγωγὴ τῶν ἀνθρώπων, ἐπὶ τῷ βουλεύεσθαι. Σῦλον, σκύλευμα. Συλῶ, τὸ κλέπτω. Φιλόστρατος, καὶ συλᾶν μὲν διέλαθεν, οὐ μὴν ἠγνόηθη σκυλεύσας, ἤγουν κλέψας. Συλᾷ, συλᾶς, ἀφαιρέσεις σκυλεύσεων τῶν πεφονευμένων. ἱεροσυλῶ δὲ, εἰς, τρίτος. συλᾶν τεύχεα, φανερῶς που ὁ ποιητὴς φησι, τὸ ἐκδύειν δῆλον τὸν νεκρόν.

Συλῶ, τὸ κλέπτω, ἀφ' οὗ ἱερόσυλος. συλῶ, τὸ σκυλεύω. Ὅμηρος. ἀνὴρ ὃς πρῶτος ἐσύλα τεύχεα χαλκῶν. συλῶ τὸ ἀφαιρῶ, καὶ αἰχμαλωτίζω. Συλῶ, τὸ σκυλεύω, ὡς παρ' Ὁμήρῳ κεῖται. ἀνὴρ ὃς πρῶτος ἐσύλα τεύχεα χαλκῶν. ἀφ' οὗ ἄσυλον ἱερὸν, ἔνθα ὁ καταφυγὼν ἀσυλίαν ἔχει. Σύμβαθι, τὸ ἀντὶ συμβάσεως ἐλθεῖν. Συμβαίνει τι, ἀντὶ τοῦ κατὰ συμβεβηκὸς γίνεται. καὶ συμβαίνει τίς τινι, ἀντὶ τοῦ συμβιβάζεται καὶ συμφωνεῖ, καὶ συνέβαινεν ἐστὶν ἐπὶ τῶν ἰσουμένων, καὶ ἁρμοζομένων. συμβαίνει μοι τόδε, ἀντὶ τοῦ ἐπέρχεταί μοι, δοτικῇ συντάσσεται. καὶ συμβαίνει ἀντὶ τοῦ ἁρμόζει καὶ πρέπει, οἷον ἡ τῆς χώρας ἡμῶν φύσις τῇ φύσει τῶν ἀνθρώπων συμβαίνουσα φαίνεται. καὶ συμβαίνει τίς τινι, ἤγουν συμφωνεῖ. Συμβακχεύσαν αὐτοῦ, ἤγουν μαινόμεναι μετ' αὐτοῦ. Συμβάλλειν, μάχεσθαι ποτε καὶ σὺν, καὶ ἡ ἐπ' αὐτοῦ συμβολή. ἔστι δ' ὅτι καὶ τὸ ἁπλῶς ὁμοῦ ἰέναι δηλοῖ. οὕτω γὰρ ἔλεγε συμβάλλειν λέγεται. ὅθεν καὶ συμβολὴ ποταμῶν, ἣν καὶ ῥέεθρον ὁ ποιητὴς λέγει. καὶ παθητικῶς δὲ συμβάλλεσθαι, τὸ συγκροτεῖν καὶ βοηθεῖν ὁμοῦ ἰόντα. ὅθεν καὶ συμβολαὶ, αἱ ἐπὶ ἐράνου καὶ δείπνου. ἐξ αὐτοῦ σύμβολον παρ' Ἀθηναίοις, τὸ δικαστικὸν καὶ δίχα ἱερατικοῦ, ὡς φησι, καὶ τάξιν ἄν φασι λέγειν, ἐκ συμβάλλειν τὸ συνιστᾶν. ὅθεν καὶ οἱ κατὰ μαντείαν ὄρνιθες, σύμβολοι. καὶ ἀνὴρ ἀσύμβολος παρὰ τῷ ἀφροδισιεῖ Ἀλεξάνδρῳ, οἷον ὁ ἀσύμβολος, ἢ ἀπαίδευτος, ἢ ἄλλως ἀσυντελὴς, ἐκ τοῦ συμβάλλεσθαι τὰ εἰς ὠφέλειαν. ὅθεν καὶ τὰ πολιτικὰ συμβόλαια, ἐκ τούτου καὶ σύνθετα γνώσματα συμβολῆς, καθὰ καὶ ἡ συμβολὴ πρὸς ἀποκάρσεως ἱεροῦ. ἐπεὶ καὶ ἐν τῇ βουλῇ πολλῶν ὄντων, καὶ συμβαλλόντων ἐκ ἑνὸς ἑκάστου δοκιμασθέντων λογικῶν, κυροῦται τὸ ἀρεστὸν τρόπον βούλευμα. ἐπεὶ δὲ συμβάλλειν καὶ τὸ συγκρίνειν, ἀκολούθως ἐξ αὐτοῦ ἀσύμβλητος, ὁ ἀσύγκριτος, ὁ καὶ ἀπαράβλητος. ὁ καὶ ᾧ οὐκ ἔστιν ἀπαντῆσαι. καὶ ποιεῖν δέ ποτε τὸ συμβάλλειν, ἐξ οὗ καὶ σύμβολα, οὐ μόνον τὰ γνωρίσματα ἁπλῶς, ἀλλὰ καὶ ἰδίως τὰ μαντικά. Συμβάλλειν, τὸ συνιέναι, καὶ συζητεῖσθαι. συμβάλλειν, τὸ συναντᾶν κυρίως ἐν τῷ πολέμῳ, δοτικῇ συντάσσεται. συμβάλλειν τὸ συνέρχεσθαι, συμπλέκεσθαι, καὶ συγγίνεσθαι, καὶ συμπίπτειν, ἐπὶ πολέμου καὶ μάχης καὶ ποταμῶν, καὶ τὸ μιγνύναι καὶ συναντᾶν. Συμβάλλειν ἐπὶ μίξεως ποταμῶν, οὐχ ἧττον δὲ καὶ ἐπὶ στρατευμάτων. λέγεται δὲ ἐκ τοῦ νεώτερα ῥήματος τροχαϊκῶς συμβουλὴ, καὶ ἡ ἐκ κοινοῦ καθ' Ἡσίοδον εἰσιέναι δαπάνη. ὅθεν καὶ ἀσύμβολον δεῖπνον, ὡς ἐκ ἑτέρων δεδαπανημένον φαγεῖν. Συμβάλλειν μάχεσθαι, λέγει Ὅμηρος, τὸ συνάψαι εἰς πόλεμον. ἐξ οὗ καὶ πολεμικὴ συμβολή. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ ἐλάττων. Συμβάλλειν αἰτίαν, παρὰ τῷ ἀφροδισιεῖ ἐν ἐκκλησιαζούσαις, ἀντὶ τοῦ μεταδιδόναι καὶ σχεῖν.

Συμβάλλομαι, τὸ συναίρομαι, καὶ ἐπικουρῶ καθολικῶς πρὸς ὠφέλιμόν, ἐνεργείας σημαῖνον δοτικῇ συντάσσεται, οἷον συμβάλλεται ἡμῖν πρὸς τόδε. καὶ ἀντὶ τοῦ ἁρμόζει καὶ προσήκει. συμβάλλομαι, ἀντὶ τοῦ συντελῶ, καὶ ἀντὶ τοῦ νοῶ. συμβαλεῖν, ἀντὶ τοῦ κατανοῆσαι, καὶ ἀντὶ τοῦ κατανοηθῆναι. Συμβάλλεσθαι, καὶ συμβαλεῖν, οὐ μόνον τὸ νοῆσαι, καὶ τὸ κατὰ μάχην συμμίξαι, ἀλλὰ καὶ τὸ ἀντιβολῆσαι, τὸ συναντῆσαι.

Σύμβαμα, κατηγόρημα, συμβεβηκός. Σύμβαμα, ἀπὸ τοῦ βίβημι, τὸ πορεύομαι. ἔστι σύμβαμα κατὰ γραμματικοὺς, ὅπερ ἐστὶν ἐξ ὀνόματος καὶ ῥήματος αὐτοτελῆ διάνοιαν ἀπαρτίζον, οἷον ὁ ἰωάννης περιπατεῖ. παρασύμβαμα δέ ἐστι, ὅπερ ἐστὶν ἐξ ὀνόματος καὶ ῥήματος, οὐκ αὐτοτελῆ διάνοιαν ἀπαρτίζον, οἷον ὁ ἰωάννης μέλει. φθάσας γὰρ τις ἰωάννης περιπατεῖ, οὐδενὸς ἑτέρου χρήζομεν ἐν λόγῳ. εἰπὼν δὲ ἰωάννης μέλει, περιττὸν αὐτῷ περιλαβεῖν εἰπεῖν. Συμβάσιν, συμφωνεῖν. Συμβαρβαρίζεις, κρατυνεῖς, ὑποφθαρείς, βαρβαρίζεις. Συμβεβηκυῖα, εἰρήνη. Συμβιβάζεται, ἀπαντᾷ, συναντᾶται, γνώσεται, ὁμιλεῖ, συμβιβάζει. Συμβιβάζεται ἡ ζωγραφία ἐκ χρωμάτων, ἤγουν ἥρμοσται καὶ συμπέπλεκται, παρὰ τῷ Φιλοστράτῳ. Συμβεβυσμένοι, κεκρυμμένοι. Ἀριστοφάνης. πρὸς τοῖς τείχεσι ξυμβεβυσμένοι. Συμβεβηκός ἐστιν, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. συμβεβηκός ἐστι, σημαντικὴ φωνὴ, ἀπὸ τοῦ λέγεσθαι κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορουμένη. Συμβεβηκός ἐστιν, ὃ ἐνδέχεται ὑπάρχειν, ἢ μὴ ὑπάρχειν. συμβεβηκός ἐστιν, ὃ ἐστί

τι γίνε-

[illegible] Σύβαρις, [illegible] χαλκόν. [illegible] βαρβαρίζοντες. Συβώτης, [illegible] Συβωτία, [illegible] Σύβων, [illegible] Σύθι, [illegible] Συί, [illegible] Σῦκα, τὸ συκοφαντεῖν [illegible]

[illegible]

[illegible]

Συλλαβὰς ὅλους, τοὺς συλῶντας καὶ ἐκλύοντας.

[illegible]

[illegible]

μαλιστὴ μίθυσα. Συγκαλλωτὶς φαλῶν, ἀντὶ τοῦ φαλοπλάσας. Ἀπασφήσεις. Συγκαμμύω, ὡς ἐπὶ λαρχεῶν. Θουκυδίδης ἐν τρίτῃ, καὶ ἐν συγκαμμύει καρποῦ ὄψιν. καὶ Λυσίας ἐν τῷ πρὸς Σωκράτην, συγκαμμύσας δὲ δόξη, ὃ ἀπολοῖς τὴν ὄψιν. Συγκαλύπτω, ἀντὶ τοῦ ἐάχειν, ἀπὸ τῶν συναγομένων κατὰ μέρος τὰς ἀπολείας. ἐπ' ἐκείνων γὰρ λέγεται κυρίως τὸ συγκαμύζειν, καὶ ὁ συγκαμμύει. Συγκαμψαι, ἤγουν ἄρτοι φουρνοί, διὰ τὸ πάντα τὰ ἄλευρα ὁμοῦ συγκαμίζεσθαι, καὶ μὴ διακρίνεσθαι, παρὰ τὸ ἰ πολιφάτο. Συγκαμματίον, σπασιάτης παρὰ [illegible]. Συγκεῦω, ἡ ἐκ τῆς μέσης λέξεως ἄρτισ. οἷον, κατάπτασι, κάπτασι. Συγκεῖσθαι, ἐπὶ τῶν γάμων σιλωμαδαι, οὕτως οἱ μεταγενέστεροι. Σύγκρασις, ποτὲ μὲν τὴν ἕνωσιν δηλοῖ, ποτὲ δὲ τὴν σύγχυσιν. Συγκροτίσαι. συγκροτίσαι λέγουσιν οἱ κρῦτες, ὅταν ἐκείνοις αὐτοῖς γίνοιτο πόλεμος. ἐπασίαζον γὰρ ἀεί. δοῦς δὲ πρῶτον ὑπὸ φωνεῖμ Λουκανῶς, κατὰ τὴν μητριλατικὴν πόλεμον, εἶτα δὲ τὴν εἰρήνην ὁ κληθεὶς κρητικὸς διὰ τοῦτο. Συγκεράσας, ὁμοιωθέντων. Συγκερίνω, συνίζει. Συγκρινόμενα, πρὸς ἐναντία λανθανόμενα. Σύγκρισις, μῖξις, σύνθεσις, ἀνάμιξις, ἀντιπαράθεσις. Περὶ συγκριτικῶν, καὶ ὑπερθετικῶν. Συγκριτικὸν, τὸ πρὸς ἓν τι ἔχει τὴν σύγκρισιν, καὶ πρὸς πολλούς. οἷον τιμιώτερος τοῦδε. καὶ τιμιώτερος τῶνδε. συγκρίνειν δὲ τὸ παρατιθέναι καὶ παραβάλλειν ἓν πρόσωπον ἐπὶ πρόσωπον, ἢ ἄλλο ὅλον, ἀλλ' ἓν πρᾶγμα ἐπὶ ἄλλο, ἢ ἀνθολοῦντα ἑκάτερον ἑκατέρου, ἢ βέλτιον ἢ χεῖρον, ἢ τι τοιοῦτον. ὑπερθέσθαι δὲ δεῖ, τὸ ἓν πολλῶν ὑπερέχειν τιθέναι, εἴτε κατὰ φύσιν, εἴτε κατὰ ἰσότητα, ὅτι οὐ δεύτερον, γίνεται δὲ, ὅτι τὰ συγκριτικὰ καὶ τὰ ὑπερθετικὰ τῶν ὀνομάτων, ἐκ μόνων τῶν ἐπιθέτων, ἃ καὶ πρησεῖ λέγονται. ταῦτα γὰρ μετὰ ποιότητας τινὰς, ὃ ποσότητα μόνον δηλοῦντα, τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται. ταῦτα δέ ἐστιν ὁ σοφὸς, τὸ δίκαιος, τὸ αἰσχρὸς, ὁ μέγας, ἀλλ' οὐκ ὅτι ποσὸν ὡς τὸ διπηχυ, τρίπηχυ, τὰ τοιαῦτα. [illegible] τινές ἐστι, καὶ μεγάλων μείζων λέγομεν [illegible]. [illegible] μὲν τοῦ [illegible] συγκριτικόν, [illegible] τοῦ ὑπερθετικὸν, ἀπὸ τοῦ φίλος, ὁ φιλαίτερος ὁ φιλαίτατος, [illegible] φιλαίτερος ὁ φίλτατος, κατὰ συγκοπὴν. καὶ τὰ μὲν ὡς ἐπὶ [illegible] τῶν σύγκρισιν, διὰ τοῦ ὦ μεγάλου, ὁ διὰ δὲ τοῦ μικροῦ. οἷον ἅγιος ἁγιώτατος, ὅσιος ὁσιώτερος ὁσιώτατος, ἱερὸς ἱερώτερος ἱερώτατος, φιλόσοφος φιλοσοφώτερος φιλοσοφώτατος, λόγιος λογιώτερος λογιώτατος, γραμματικὸς γραμματικώτερος, γραμματικώτατος, ἀνδρεῖος ἀνδρειότερος ἀνδρειότατος, φρόνιμος φρονιμώτερος φρονιμώτατος, τίμιος τιμιώτερος τιμιώτατος, ὠφέλιμος ὠφελιμώτερος ὠφελιμώτατος, ῥητορικὸς ῥητορικώτερος ῥητορικώτατος, καὶ ἄλλα πολλά. τὰ διὰ τοῦ μικροῦ ο ἔχοντα τὴν πρὸ τοῦ ο συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω μεγάλου γράφεται, εἰ δὲ μακρὰν, κἂν τε φύσει, κἂν τε θέσει, διὰ τοῦ ο μικροῦ. φύσει μὲν, οἷον ἰθυμότερος ἰθυμότατος, χρηστότερος χρηστότατος, ἀλυπότερος ἀλυπότατος, πρακτότερος πραότατος, ἀψυχότερος ἀψυχότατος, λιπαρώτερος λιπαρώτατος, πραιότερος πραιότατος, καὶ ἄλλα πολλά. τὰ δὲ εἰς ως, ὡς τοῦ κλινόμενα πρησεῖ, διὰ τοῦ [illegible] τῆς συγκρίσεως, ὁ διὰ τοῦ ε στος τὰ ὑπερθετικά. οἷον ἀληθὴς ἀληθέστερος ἀληθέστατος, ἀλυσιτελὴς ἀλυσιτελέστερος, σαφὴς σαφέστερος σαφέστατος. ἐπεὶ δ' ὅτι καὶ ἀπὸ τῶν εἰς ος εὑρισκον διὰ τοῦ ες ὡς τερος, ἀλλὰ καὶ διὰ τοῦ ισ τερος, ὡς ἄφθονος ἀφθονέστερος καὶ ἀφθονίστερος. καὶ ὑγιονός, ὑγιονέστερος καὶ ὑγιονώτερος. ἀπὸ τῶν εἰς υς, ὡς ἐπὶ τὸ πολὺ, οἱ ἐπὶ τὸ ὕψος. ὡς βαρὺς βαρύτερος, ἀλλὰ καὶ ἀπὸ τοῦ γηλοῦ τοῦ βαθέος βαθύτερος. ταῦτα μὲν οὖν σαφῶς ἐπιστήσῃ. τούτων γε μὴν τῶν εἰς ων ὀνομάτων, τινὰ μὲν ἁπλῶν ποιεῖται σύγκρισιν, ἐνὶα δὲ διπλὴν, ἔστι δὲ καὶ τριπλῆν. καὶ ἁπλῶν μὲν, ὡς τὸ ὥριος ὡριώτερος ὡριώτατος. διπλῆν δὲ, ὡς ὁ πᾶς, καὶ ὁ καλὸς, καὶ τὸ λοιπὸς. ταῦτα μὲν γὰρ οἱ μὲν πολὺ τερος πολύτατος, ἀπλούστερος ἀπλούστατος, ἁπλούστερος ἁπλούστατος, ἀλλὰ καὶ ἀλγίων ἄλγιστος, ἀλγιών ἀλγιστος, ὁ ῥᾴων ῥᾷστος. ὄψεις δὲ ὁμοίως καὶ αἰσχρὸς, καὶ ἐχθρὸς, αἰσχρότερος καὶ αἰσχρότατος, μόνον, καὶ ἐχθρότερος ὁ ἐχθρότατος, ἀλλὰ καὶ αἰσχίων αἴσχιστος, ἐχθίων ἔχθιστος. τριπλῆν δὲ, ὡς βραχὺς, βραδὺς, παχὺς, παχὺς καὶ ἐγγὺς ἐπίρρημα. βραχύτερος γὰρ καὶ βραχύτατος, καὶ βραδύτερος βραδύτατος, καὶ παχύτερος παχύτατος, καὶ παχύτερος παχύτατος, καὶ ἐγγύτερος ἐγγύτατος, βραχίων βράχιστος, βραδίων βράδιστος. καὶ βάρδιστος ποιεῖται λέγουσιν ὡς τὸ κράτιστος, κάρτιστος ἐστί. καὶ ταχίων τάχιστος, ὁ πάχιων πάχιστος, καὶ ἐγγίων ἔγγιστα, καὶ ἔτι βράσσων, ὅπερ δηλοῖ, τὸ τε βραχίων, καὶ βραδίων. καὶ θάσσων ταυτὸν ἐστὶ τῷ ταχίων. καὶ πάσσων, τῷ παχίων, καὶ ἄσσον, τῷ ἐγγιον. πρὸς οἷς, καὶ ὁ ῥάδιος, ὅπερ οἱ ποιηταὶ ῥηίδιον λέγουσι, ῥάων ῥᾷστος ποιεῖται. μὲν δύναιτο, ὁ ἐπιφάνειαν ἐκ τὰ σώματα, ἃ ἀφ' ἑαυτῶν μὲν οὐ ποιεῖ, φαίνεται δὲ παρ' ἑτέρων ὀνομάτων ἀρρήτων. τὸ μὲν γὰρ καλὸς τὸ κάλλιστος ἔχει, καὶ βελτίων βέλτιστος. ἀφ' οὗ βελτίων οἱ ποιηταὶ βέλτερον λέγουσι, καὶ ἀρείων ἄριστος, καὶ φέρτερος φέριστος, καὶ λωίων λῷστος. ὃ ἔτι συγκριτικὰ μέσα ὑπερθετικῶν ὄντα, κρέσσων, καὶ κρείσσων πολλαχῶς, καὶ ἀμείνων. καὶ ὁ μὲν καλὸς ταῦτα. ὁ δὲ κακὸς μὲν καὶ εἶχεν τὸ κακίων κάκιστος, ἔχει δὲ καὶ τὸ ἥσσων ὁ χείρων χείριστος, ὧν τὸ χείρων, οἱ ποιηταὶ χερείων καὶ χερειότερος λέγουσι. ὁ ἡ μέγας, τὸ μείζων καὶ μέγιστος. ὁ μικρὸς, τὸ ἐλάττων, ἐλάχιστος, καὶ ἔτι ὁ ὀλίγος, λίγα ὑπερθετικὸν τὸ ὀλίγιστος, ἢ, ὁ ὀλίγων πλεῖστος. καὶ τὸ ὀλίγος, τὰ αὐτὰ τῷ μικρῷ. οὐ μόνον δὲ ἀπὸ ὀνομάτων γίνεται συγκριτικὰ, ἀλλὰ ἄλλα καὶ προθέσεων, ὥσπερ ἐκ τοῦ πρὸ, πρότερος τι καὶ πρῶτος, ὅτι πρὸ τος γίνεται. καὶ ἐκ τοῦ ὑπὲρ ὑπέρτερος ὑπέρτατος. καὶ ἔτι ἀπὸ ἐπιρρημάτων, ἐκ προθέσεων καὶ αὐτῶν παραγομένων. ἀπὸ τοῦ ἄνω ἀνώτερος ἀνώτατος. ἀπὸ τοῦ κάτω δὲ κατώτερος ὁ κατώτατος. καὶ τοῦ πάρος παροίτερον καὶ παροίτατον. καὶ ἔτι ἐκ τῆς ἄνω ἀνώτερον ἀνωτάτω. καὶ ἔτι ἀπὸ τοῦ μάλα, τότε μᾶλλον καὶ μάλιστα, καὶ ταῦτα μὲν οὖν ταῦτα. ποιεῖται δὲ τῇ ἑαυτῶν ἀξίᾳ καὶ πρὸς ταῦτα καταχρώμενοι, καὶ ἐπὶ συγκριτικῶν συγκριτικὰ ἐπλάσαν, καὶ ἐφ' ὑπερθετικῶν ὑπερθετικά. καὶ τό τε ἀρείων ἀρειότερον περισσότερον, καὶ τὸ λωίων λωίτερον, καὶ ὁ μείζων μειζότερον, καὶ τὸ ὑπέρτερον ὑπερτερώτερον, καὶ χειρότερον, καὶ πλειότερον, καὶ τὸ ῥάων ῥαιότερον. ἔτι δὲ πρὸς τούτοις, καὶ ἀπὸ τοῦ πρῶτος, ὑπερθετικοῦ ὄντος, ἐπλάσαν ὑπερθετικὸν, τὸ πρώτιστος δηλοῦντα. ἔστι δ' ὅτε καὶ πᾶσι τοῖς συγκριτικοῖς καὶ ὑπερθετικοῖς, τὴν ἐπίτασιν εἰς τε τὸ μᾶλλον καὶ μάλιστα προσιόμενοι ἐφαμεν. σοφώτερον γὰρ ἐάν ποτε λέγομεν, τὸν μᾶλλον ἐκείνου σοφὸν. καὶ σοφώτατον, τὸν μάλιστα πάντων σοφόν. ὅπερ δὴ καὶ ταυτὸν ἐστιν εἰπεῖν σοφώτερος ἐκείνου. ὃ σοφὸς μᾶλλον οὐδείς. καὶ ἔτι σοφώτατος ὁ δεῖ πάντων, καὶ σοφὸς μάλιστα πάντων. ὁ δὲ ποιητὴς ὁ πρὸς τῷ συγκριτικῷ μᾶλλον τίθεισιν, ὡς Αἰσχύλος. ἐπεὶ δὲ ἄρειον μᾶλλον καὶ κακίων τοῦτο, ἦ ὅπου. καὶ ἐπὶ τῶν ὑπερθετικῶν Ὅμηρος ὑπερθετικὰ ἐπιρρήματα τίθεισιν, ὡς ὁ διεσπόλον ἐχθρόν. καὶ πολλοὶ ὅμως ἐπεὶ τὸ συγκριτικὸν τοῦ ὑπερθετικοῦ, ἀντὶ συγκριτικοῦ τιθέασιν, ὡς Εὐριπίδης. ἡ μὲν γὰρ εἰς γυναῖκας σωφρονεστέρας, ἀντὶ τοῦ σώφρονα. ὃ ὅταν λέγω σωφρονέστατος γὰρ ὁ [illegible] οὐ γὰρ πάντων σωφρονέστατον λέγω, ἀνὰ πάντα σωφρονέστερον λέγω. ἀεὶ δὲ τὴν σύγκρισιν καὶ ὑπέρθεσιν ἐπὶ ἐκείνων

σκαμὸν τοῦ ῥ. τυπεῖν γὰρ, καὶ αὐτὸ ἀπὸ τοῦ τύπτω. Στύππιον, εἶδος λινοῦ. Στυππειοπώλης, ὁ τὰ στύππεια πωλῶν, τουτέστι κατωτέρω λίνα. Δηλοῖ δὲ ὁ Ἀριστοφάνης τὸν Εὐκράτην, ὃς κάννα... ἐκαλεῖτο, διὰ τὸ στυππειοπώλης εἶναι. Στύραξ, τὸ σπέρμον καὶ εἶλιχος. ἐξ οὗ καὶ ἀπιτύμαγον, καὶ ἴχμα, καὶ κύλυμα. Στυπτίκιον, τετρασυλλάβως οὐ χρὴ λέγειν, ἀλλὰ τύπτιον.

Στυπτηρία, χαλκῖτις, ἣν ἁπλῶς οὕτως ὀνομάζομεν χαλκῖτιν παρὰ τῷ Ἱπποκράτει. Στύραξ, κεῖται κατὰ τὸν Γεωργόφον, πλεῖστον κηρύκου καὶ αὐτὰ, καὶ τὸ ῥεῖθρον μαρμάριον, ἐν ᾧ δ' ῥεῖθρον λατόμιον. τὸ ἐθνικὸν, τυριεύς. τὸ δὲ γε τυράκιον, ἄλλο τι παρὰ τὸ σύρακιον, ὄρος κεράτης ἦν. ὁ μὲν τοι σύραξ, φυτόν ἐστιν, ἐξ οὗ ἀκοντίσματά φασι συράκινα, ἐοικότα τοῖς κρανείοις. κατεγράφη δὲ τὰ ὄρη ὑπὸ φαίδρου Ἀθηναίων στρατηγοῦ. καὶ πόλεις μὲν αὐται τῶν περὶ ἐλευθέρια, κώμας δὲ αἱ ὑπ' αὐτὴν ἄβαντες. Στυρακίζειν, κεντρίζειν. Στυρακίῳ ἀντιβαλόντα χρησάμενος εἰς τὸν μοχλὸν, ἀντὶ τοῦ βαλάνου. Στύραξ, τὸ κάτω τοῦ δόρατος σιδήριον, ὃ καταπηγνύντες εἰς τὴν γῆν ἱστᾶσι. Στύραξ τί σημαίνει, βλέπε σαυρωτήρ. χρῆσις τοῦ του καὶ παρὰ Θουκυδίδῃ εἰπόντι, ἀνεῖξαι λοιπὸν τῆς πύλης τῷ σαυρωτῆρι ἀκοντίου στύρακι. Στυφελιγμὸς, στυφελίζειν. Στυφελὸν, ἡ τραχύφωνος ἀκτή. στυφελὴν χθόνα λέγουσι τὴν τραχεῖαν, καὶ σκληράν. οὕτω καὶ τὸ ὄρος λέγουσιν, ὥς φησι Ζηνόδοτος ἐν γλώσσαις. σημαίνει δὲ τὴν χέρσον. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ χαλεποῦ. ὡς τὸ, ἀπὸ στυφελοῦ ἀφροδίτης. Στυφελίζω, ποιητικὴ λέξις, ἐκ τῶν καλεσμένων ἄτιμα μετεῖλκται. δηλοῖ δὲ τὸ ὑβρίζω, ἢ ἰσχυρῶς, ὅ ἐστι σοφῶς ἐλαύνειν. Στυφελισμοὺς, ὀργάς, λοιδορίας, ὕβρεις, μέμψεις. Ἀριστοφάνης. Στυφελοὶ πάγοι, ἀντὶ τοῦ σκληροί. Στυφελίζειν δηλοῖ, τὸ ἀτιμῶς καὶ ἀσυμμέτρως συντρίβειν. Στυφελίζω, σείω, ἀσκῶ, διώκω, κινῶ. Στυφλὰ κέονται κλίτη. λέγονται δὲ τὰ τραχέα κλίματα, Λυκόφρων. Στυφοκόμπος, ὁ μάχιμος ὄρτυξ, παρὰ τὸ στυφῶς κόπτειν. ὄνομα ὀρνίου ἔπλασεν Ἀριστοφάνης, παρὰ τὸ κολάπτειν τὰς κεφαλὰς, ὃ συμβαίνει τοῖς ὄρτυξι. Στύφος, κέρδος. Στυφρὸν, στέριμνον, βαρύ. Στυχιοῦσι, διατινοῦσι. Στύψαι, τυρώσαι. Στύψις, κένωσις. Στωικοί φιλόσοφοι, οἱ ἐκ τῆς στοᾶς. ἐκεῖ γὰρ ἦν αὐτῶν τὸ διδασκαλεῖον. Στώμιξ, δοκὶς ξυλίνη. Στωμοδέκην, τυμβύλον.

Στωμυλίαν λέγει Ἀριστοφάνης, σκώμματα, κολακείαν, πανουργίαν. Στωμυλιοσυλλεκτάδης, ὁ πολυλογίας συνάγων.

Στωμύλλεσθαι, σοφῶς λαλῆσαι. Στωμύλματα, περίλαλήματα. Στωμύλος, ὁ ἐπιτήδειος τὴν γλῶτταν, καὶ πεπαιδευμένος, καὶ ὁ λάλος. καὶ ἔστι λέξις τῶν μέσων, καὶ ἐπὶ ἐπαίνου καὶ ψόγου. καὶ κωμύλος, ὁ μετὰ χάριτος πιθανολογῶν. καὶ κωμύλον φθέγμα, τὸ ἡμέτερον. κωμῦλος, καὶ ὁ πολυλόγος, καὶ φλύαρος, καὶ κομψὸς, καὶ πιθανολόγος. ἢ ὁ μετὰ γέλωτος ἐμπαίζων τινὰ, καὶ διασύρων. Στωπυτμένον, διαστρέφοντα σωπτικῶς.

ΤΟ Σ ΜΕΤΑ ΤΟΥ Υ.

Σύαγροι, ἐπεί ποτε ἀνὴρ Δελφὸς, σὺν ἄγρει ὑπὸ συὸς εἶναι τις ἀπεσφηθείντας εἰς σφαγήν. Σύαγρος οἱ ῥητόρων, τῶν ἀγρίων οἱ ἀρχαῖοι λέγουσι. Σύαγχος, ῥίζα ἐν ᾗ οἱ σῦς θηρεύονται. Συάδες, αἱ ὗες, ἐσχηματισμένως.

Συανία, λαιδορία, καὶ ἡ διὰ χειρὸς μάχη. Σίαρον, τὸν κλωόν. Σύαρτον, δούλωσιν. Σύας, κύων τις καλούμενος.

Συβαρίζειν, παρὰ τὴν Συβαριτῶν τρυφήν. φασὶ γὰρ τοὺς Συβαρίτας πολυτελεῖς γενέσθαι τραπέζαις. ἔστιν οὖν ἀντὶ τοῦ τρυφᾶν. ἢ παρὰ τὰ συβαρικὰ ἐπιφθέγματα, ἅ ἐστι παρ' Ἐπιχάρμῳ.

Σύβας, λάγνος. Σύβαξ, συΐδιον. Συβάλλας, ὁ κατωφερὴς πρὸς τὰ ἀφροδίσια. Σύβαρις, ὄνομα πόλεως, ἐν Ἰταλίᾳ, περὶ ἧς πολλὰ ἱστορεῖται. παρ' ἣν ἐσπουδάζετο ὁ ἐκεῖ τρυφῶν ἐν βίῳ ὁ χαριέστατος ἐπὶ τῶν τρυφώντων, καὶ ταῖς ἡδοναῖς διαρρυέντων, οἱ Συβαρῖται τρέφονται τῇ ἡδονῇ. Σύβαρις πόλις ἐν Ἰταλίᾳ κατεῖχε τὴν φοινίκην, ἀντὶ τοῦ οἱ πένητες φοινικοτροφοῦσι, κατὰ τοὺς κωμικοὺς τὴν Σύβαριν ἴασιν. Συβαρισμὸς, περίκομμα. Σύβαρις Συβαρίδος, πόλις Ἰταλική, ἐν ᾗ τρυφηλοὶ ἐγένοντο ἄνθρωποι. Συβαριτικὰ, τρυφηλά. καὶ ἡ τράπεζα ἡ Συβαριτική. τρυφηταὶ δὲ, οἱ Συβαρῖται. Συβήνη, ὁ ἀσυνέτεις αὐλοθήκη, ἢ φαρέτρα. Σύβοτος, ὁ συοφορβός, χειροφόρος, ὁ χειροβοσκός. καὶ ὄνομα κύριον. Συβόσια, τὰ τῶν συῶν νόμια. Σύβρα, ἐκ βορῶν. σημαίνει δὲ τὰς ἑκατέρας τι κλάσεις.

Συβριακὸν, τὸ πολυτελές. Συβριάζειν, ἀπὸ τοῦ Συβαρίζειν ἐν τρυφῇ. Συβαρίτης ἐπὶ τρυφῇ διαβέβληται. Συβριασμὸς, ἡ εὐωχία θόρυβος τῆς ἐπὶ Χελιδόνος φυλῆς. Συβροί, ἴχνοι, λαγῳοί, τάφροι. Συβώτας, Σωσίστρατος ὁ φιλόσοφος, ζῶον ἦν. Συβῶτας, ὁ τίκτει καὶ συβωτεῖν, οἱ συφορβοί. καὶ συφορβεῖν. Συγγενὴς, τῶν πάλαι ἐστὶ κασιγνήτων λέγεται. Συγγενής ἐστι, ὁ ἐκ τοῦ κατὰ γένος ὁμοφρόνως ἐπέχειν. συγγενής ἐστι, ὁ οὐδαμοῦ διαφέρον τῆς ἑτέρας, ἢ κατὰ βελτίωσιν, ἢ κατὰ μείωσιν. καὶ ὁμοίως ἔχον. Συγγενῆ, ἡ χέσις, ἡ σύναψις τῶν συγγενῶν, ὥσπερ ἱκετεία, ἢ δουλεία. καὶ τὸ πλῆθος τῶν εἰκότων. Συγγενέσθαι, ἀντὶ τοῦ συμμαχέσασθαι, παρὰ Ξενοφῶντι. Συγγενέσθαι, συμβαλέσθαι. Συγγίγνομαι, συνομιλῶ. Συγγινώσκομεν τῆς ἀπολογίας. Συγγνωμονέστεροι, πραότεροι. Συγγνωμονεῖν, ἤγουν συγγνώμην νεῖμαί μοι, καὶ δίδου ἐμοὶ συγγνώμην. Συγγνωμονεῖν μὴ εἴπῃς, συγγνώσκειν δέ, καὶ συγγνώμονες ὁ ῥιπτόμενος. ὁ συγγνώσκων, καὶ συγγνώμης ἀξιοῦσι. καὶ κατὰ συγγνώμην ἐστὶ καλὸν λέγειν, ἢ συγγνώμης ἄξιον ἐστί. Συγγνωμονοῦσιν οὐ χρὴ λέγειν, ἀλλὰ συγγνώσκω. Συγγνώμην, ἔλεος.

Σύγγονος, ἀδελφός. Συγγραμματεῦς, βιβλίων. Συγγραφεὺς δὲ τίς ἐστι, κοινὸν τῶν αὐτοῦ τοῦ γράφειν συγγράφεται. ὁ τὰ καθ' ἑαυτὸν γινόμενα γράφων παραδίδωσι. Συγγραφεῖς ἀνδρες ἐποιοῦντο, ἵνα συγγράψωσι ἡ μελετῶντες τὸ τῆς ἀκροάσεως ἀρχῆς, καὶ τὰ ἀράκοντα. ἐκαλοῦντο δὲ οὗτοι καταλογεῖς. Δίδυμος παρὰ Λυκούργου, ὅπου φησὶ καὶ αἱρεθέντες εἰς φυλακὴν ἐμφορῆς σύμμαχοι τὸν δῆμον, ὥς Ἰσοκράτης φησί. τὸν δὲ τῆς καταστάσεως τὸν λόγον καλεῖ Θουκυδίδης ἐν τῇ ὀγδόῃ.

Συγγραφεὺς, ὁ τὰ ἐφ' ἑαυτοῦ γινόμενα ἱστορῶν. Συγκατάθεσις ἀρεσκείας, μὴ συγκαταβαίνειν. Συγκαλύπτει, συναπάτα. Συγκαλέσας, συναριθμήσας. Συγκαρβατίτας, συγγέτας. Συγκατάθεσις, συμφώνησις. Συγκαταβαίνει εἰς τὰς θλίψεις, συγκαταβαίνειν εἰς διδασκαλίας μαθητὰς, ἀλλὰ συγκαθῆσαι, καὶ συγκατιέναι εἰς τὸ παίζειν, ἢ εἰς ἄλλο τι. Συγκεχυμένη, συγχέει. Σύγκειται, ἀντὶ τοῦ συντεθειμένον ἐστί, καὶ ἡρμοσμένον εἶναι. ἀφ' οὗ συγκείμενα, τὰ συντεθειμένα, καὶ ἡρμοσμένα, καὶ ἐκ τοῦ τὰ συμπεφωνημένα, οἷον παρὰ τὰ συγκείμενα ἐποίουν, ἤγουν τὰ συμπεφωνημένα. καὶ τὰ συντεθέντα δὲ καὶ συντεθειμένα, ἐπὶ τῶν δύο ὄντων σημαινομένων λαμβάνεται κατὰ ταύτην τὴν ἀκολουθίαν. Συγκεκομμένοι, κεκοπιακότες. Συγκεκροτημένα, συνηθροισμένα. Συγκέκραμαι, παρὰ τῷ Ἀριστοφάνει, μεταφορικῶς ὡς ἂν εἴποι καὶ ἴδιος τῆς συγκράσεως γενομένης. Συγκέχυται, συντετάρακται. Συγκηδεσταί, οἱ τὰς νύμφας καὶ τὸν γαμβροῦ γονεῖς. Σύγκλητος, τῶν ἐκκλησιῶν αἱ μὲν ἦσαν κατὰ μῆνα γενόμεναι. εἰ δέ τι ἐφαίνετο κατεπεῖγον, ὥστε γενέσθαι ἐκκλησίαν, αὕτη ἐκαλεῖτο σύγκλητος ἐκκλησία. ἐνομοθέτησε κατὰ Αἰσχίνην. Σύγκλυδες, γένεσι. Συγκολλῶν, συμπλέκων, ἢ τινῶν μεμιγμένων.

Συγκομιδαῖα, συναλοιφήν. Συγκομίζειν, τὸ ἐπὶ ἑτέρῳ συγκομιδὴν

ὀροφὴν λέγεται μὲν ἐν τῇ συνηθείᾳ τὸ πλέγμα, τὸ ἀπὸ τῶν πυρῶν εἰς οἰκίας καὶ καλύβας πεποιημένον. οἱ δὲ ῥήτορες στεγάρας καλοῦσι τὰ μικρὰ δωμάτια, τὰ ὑπεράνω τῶν θυρῶν τιθέμενα, ἢ τὰ εἰς ὀροφὰς πεποιημένα. ἄλλοι δὲ πλέγμα λέγουσι τὴν στεγάσιν, τὸν ἀπὸ ῥάβδων εἰς ὀροφὴν πεποιημένον.

Στρωματίζειν, τὸ ἐπιστρωννύειν. Στρωματίστα, ἱερεὺς ... αὐτοῖς παρεῖχον τὰ στρώματα. Στυγνόμενον, ... μένον. Στυγνός, λυπρός. Στεγνὸν, τὸ πλέγμα, τὸ ἀπὸ τῶν πυρῶν, εἰς οἰκίας καὶ καλύβας πεποιημένον. Στυφελίζεσθαι, ἀντὶ τοῦ στύφεσθαι, ... ἀπὸ τοῦ στύφω στυφῶ, στυφάζομαι, ὅμοιον ... Στυφελίζειν, τύπτειν, κλονεῖν. Στύφος, τοῦτο. Στυγνὸν, τὸ σύμμα, παραγωγῶς. Στυγεῖν, ... μισεῖν, καὶ ἐπὶ τοῦ φρίσσειν. ἔνθεν καὶ τὸ στυγητός, καὶ ὁ στυγερός. ὡς τὸ, στυγέει δὲ καὶ ἄλλος, ἐκεῖ ἀντὶ τοῦ λυπεῖσθαι. ἀφ' οὗ πλεονασμῷ καὶ παραγωγῇ τὸ στυγνάζειν, καὶ ὁ στυγνός. ἀντί ... τὸν ... τὸν ... ἀκούσας. Στυγερὸν, σημαίνει μὲν καὶ τὸ μισητὸν, καὶ τὸ ἐπιφοβερόν. παρὰ δὲ Ἀπολλωνίῳ δὲ, ἴσως καὶ τὸ ... Στυγέων, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ λυπουμένου. ὁ Ὅμηρος, τάχα στυγέωσι καὶ ἄλλοι, τὸν ... ἄλλοι. Στυγητός, μισητός. Στυγνὰ ποιεῖς, ... αὐτὰ μὴ ... εἰσὶ δὲ οἱ ... καὶ ... τοῦτο στυγοῦσι τὰ κάτω, ... τὰ ὑπὸ γῆν. ὁ καὶ στὺξ ἐν ἄλλοις ... Στυγνὰ ... λέγεται, τὸ λυποῦμαι. Στυγνόν, ... Στυγνός, ... Στύξ, ... Στόματος ... Στρ... Στύμφαλος ... Στυμφαλίδες ... ὄρνιθας, ... ἐν Ἀρκαδίᾳ ... χαλκοῦν ... Στυμφάλιος ... Στυμφαλὶς λίμνη ... Ἡρακλῆς ... Ἀπολλώνιος ... Στυμφαλίδας ... Ἡρακλέους ... Στύμφαλος, ἡ χελιδών. Στύμφαλος, ... σύμβολος ... Στρ... Στράβων ... Στυμφαλίσι ... Ἡρακλέους ... ὄρνισι ...

Στυγέσθαι ... ... Στυγνὸν ... κατὰ τοὺς ... ...

... στυγερὸν, ἀντὶ τοῦ φρικτὸς, στυγερὸς. ... στυγεῖν, ... στυγητόν.

Στὺξ, πηγὴ ἐν Ἅιδου κατὰ τὸν μῦθον ... ... τῆς λίμνης ... Ἀρκαδίας ... αὐτῆς ... Στύγα ... ὅρκον ... λέγει ... ὕδωρ ... στυγνὸς ... στυγνός ... Σοφοκλεῖ ... στυγνάζειν ... στυγερός ...

Στύφω, ἀντὶ τοῦ φρίσσω, καὶ μισῶ ... στυγεῖν ... στυγοῦσι ... Στυγοῦσι, φοβοῦνται, μισοῦσι ... Ὅμηρος ... στύγεσκε ... στυγία ... στυφὸς ... στυπτηρία ... στυφοὶ ... στυγνὴ ... στυγερὸς ... ἄπλυτος ... πηλός ...

Στυγναὶ ἰσχνῶς, αἱ φρυγναί, καὶ ὡς εἰπεῖν ... Στυμφαλίδες ... Στύμφαλος ... Στυμφαλὶς λίμνη ... ἀλεκτρυόνες ... Στυφὰ ... Ἀρκαδίας ... ... [illegible]

Στυφαὶ ... στυφὰ ... ... στυφός ... στυφὰ ... ... στύφειν ... ... Στυγνὰ ... αἱ ... ... Στυφελίζει ... ... φωνή ... ... τὸ ... στυφόν ... ... Ἀρκαδίας ... ... Στυφὰ ... ... στυφοὶ ... ... στυφὴ ... ... τῷ τίκτειν οἱ φοινικες. Στυγνὴ γαῖα, ἡ κατὰ ἄλλων. ἡ γὰρ ... ... τοῦ Δημητρίου ... καὶ ἄλλως δέ, ὁ ... στυφὴ γαῖα, στυφὰ ... ὡς καὶ ... στυφαί.

Στυφαλὸς, βραστὰ, ψοφεῖ, ... Στυφελὸς, ... ὀφθαλμοὺς τὸ ... ... τὸ ... ὁ ψόφος τῆς βροντῆς. Στυφελίζειν, τὸ ... κατὰ ... ...

[illegible]

Στραγγὸς, σκολιὸς, ἄστοιχος, ὁ σιμός. Στραγγουρία, ἡ δυσουρία. Στραγγεύω, διαβάλλω, οὐκ εὐθὺς πράττω. Στράγξ, ἡ ἐπιχυθεῖσα ῥανίς. παρὰ τὸ στάζω, στάξω, στάξ, καὶ πλεονασμῷ τοῦ ρ στράγξ. Στραβαίνω, εἴρω. Στράξ, σταγών. Στραγγαλιστὴς καὶ ἀγχόνης, ἀστικὸς χαλεπός. ὥσπερ σοχρὸς ἢ ἄσοχος, καὶ σαφὴς καὶ ἀσαφὴς, καὶ πᾶς ἢ ἅπας. Στράταρχος, στρατηγός. Στρατιὰ, ἡ στράτευσις. στρατιὰ δὲ, τὸ στράτευμα. στρατόπεδον δὲ κυρίως, ὁ τόπος ἐν ᾧ ἵσταται τὸ στράτευμα. καταχρηστικῶς δὲ, καὶ αὐτὸ τὸ στράτευμα. Στρατεύω, στρατιώτης ὢν ἀποταξάμενος. στρατεύειν, τὸ στρατιώτην εἶναι ἁπλῶς. ἐκστρατεύειν δὲ, ἐπὶ τὸ ἐς πόλεμον ἐλθεῖν. Στρατεύω, τὸ στρατὸν κινῶ. στρατεύομαι δὲ παθητικῶς, ἀντὶ τοῦ ἐν τοῖς στρατιώταις τάττομαι, ὁ μέλλων στρατεύσω. Στρατὴ, χώρα. Στρατήγημα, τὸ κατασοφισμός. Στρατολαίτης, ἡγεμὼν, ἄρχων στρατοῦ. Στρατία, πόλις Ἀρκαδίας. Στράτιον, πολεμικὸν, ὁ φοβερὸν, καὶ ἐπίθετον Διός. Στρατιὸν, παρὰ τοῖς Λακεδαιμονίοις, τὸ εἰς φυλακὰς τῶν στρατευομένων δοθέν. ἐλέγετο γὰρ καὶ κέλευσιν ἐν τοῖς στρατεύμασι. Στρατιώτης, ὁ ἐν τῷ στρατῷ ἀπεμπεῖραμένος. Στρατιωτὶς, ἐστάλμενος ναῦς. Στρατολογῶ, στρατεύω. Στρατόπεδον κυρίως, ὅπου διάγει ὁ στρατὸς, ἀπὸ τοῦ στρατ. καὶ τὸ πέδον ἡ γῆ. λέγεται δὲ στρατόπεδον, καὶ αὐτὸ τὸ στράτευμα. Στρατὸς, τὸ συντεταγμένον πλῆθος τῶν πολεμούντων. παρὰ τὸ στρέφω, ἤγουν ἐργάζω, στρεπτὸς. καὶ στρατὸς, ὁ ὑποστρεπτὸς, ὁ συντεταγμένος ἢ συνειλεγμένος ὄχλος. ἀλλὰ μὴν οἱ ἀρχαῖοι στρατὸν λέγουσι τὸ ῥῆμα, ἢ στρατὸν λέγουσι τὸ συντεταγμένον πλῆθος. ἢ παρὰ τὸ στερρῶς ἑστάναι, στρατός. ἢ παρὰ τὸ στερρὸς εἶναι, ἢ τριφαλλικῶς. ἰστέον δὲ, ὅτι τὸ περὶ τὸ στράτευμα τάξεων καὶ ἡγεμονικῶν, ὁ μὲν πέντε ἀνδρῶν ἀριθμὸς, καλεῖται πεμπὰς. ὁ δὲ ἄρχων, πεμπάδαρχος. ὁ δὲ τῶν δέκα δεκὰς, ἢ δεκάδαρχος. ὁ δὲ τῶν πέντε καὶ εἴκοσι λόχος, καὶ λοχαγός. ὁ τῶν πεντήκοντα, πεντηκοντὺς. καὶ πεντηκόνταρχος, ὁ τῶν ἑκατὸν ταξίς, καὶ ταξίαρχος. ὁ τῶν πεντακοσίων καὶ διακοσίων, σύνταγμα καὶ συνταγματάρχης. ὁ τῶν πεντακοσίων πεντακοσιοστὺς, ἢ πεντακοσίαρχος. ὁ τῶν χιλίων χιλιοστὺς, καὶ χιλίαρχος. ὁ τῶν διχιλίων, μεραρχία, καὶ τέλος, καὶ μεράρχης, καὶ τελάρχης. ὁ τῶν τετρακισχιλίων, φάλαγξ καὶ φαλαγγάρχης. ὁ τῶν μυρίων μυριοστὺς, ἢ μυρίαρχος. αἱ δύο διφαλαγγαρχίαι, τετραφαλαγγαρχία, ἀνδρῶν μυρίων ἑξακισχιλίων, ἢ ὁ ἄρχων τετραφαλαγγάρχης. τὸ μέντοι πεζικὸν ἅπαν στράτευμα, ὁμωνύμως τοῖς μερικοῖς τάγμασι λέγεται φάλαγξ, καὶ ὁ ἡγούμενος στρατηγός. τὸ δὲ ἱππικὸν, ἵππαρχος. τὸ δὲ συναμφότερον, πεζοί τε καὶ ἱππεῖς, στρατιά. τὸ δὲ στρατιᾶς, τὸ μέτωπον λεγόμενον, ὃ καὶ στόμα ζυγὸν καλοῦσι πρωτοστάται. ἢ ὁ ἡγούμενος πρωτοστάτης, οἱ δὲ κατόπιν ἐπιστάται. λέγεται καὶ ἐνώτιμον, οἱ αὐτοὶ καὶ παραστάται. ὁ δὲ ἀρχὸς ἡμιλοχίτης. οἱ δὲ ὄπισθεν αὐτοῦ, ὡς ἐπὶ τὸ βάθος τεταγμένοι, ἐπιστάται. τὸ δὲ ἐπὶ πάσης πρὸς τὸ βάθος ἔχατον ζυγὸν, οὐρὰ καὶ οὐραγία καὶ οὐραγός. ὁ αὐτὸς δὲ ἐπιστεφάλαγξ, ἢ συνέθεια πεντακοσιοφάλαγγα αὐτὸν καλεῖ. ὁ δέ γε τῆς πάσης στρατιᾶς ἡγεμὼν, βασιλεύς. Στρατόφιν, ἀντὶ τοῦ στρατοῦ. Ὅμηρος Ἰλιάδος κ΄. αἰεὶ μὲν οὐ τοῖος, ἀπὸ στρατόφιν προθέλυμνον, ἀντὶ τοῦ ἀπὸ στρατοῦ, κατὰ προσχηματισμὸν τῆς φι συλλαβῆς. Στρατόων, ἐστρατοπέδευον. Στραφῆναι, ἀποστραφῆναι, ἢ στραφθῆναι.

Στρέβλαι κυρίως, τὰ ξύλα τῶν νεῶν, ἐν οἷς διαστρεβλοῦνται γεγομφωμένα. ἀττικοὶ δὲ τὰ βασανιστήρια. Στρέβλος, παρὰ τὸ στρέφω, στρέψω, στρέβλω, ὡς τέλλω. καὶ στρεβλὸν, τὸ στραβὸν, οὕτω Εὔπολις. Στρεβλοὶ, οἱ καὶ στραβοὶ ὀνομαζόμενοι παρὰ τῷ Ἱπποκράτει. Στρεβλὸν, καμπύλον, σκολιόν. Στρεβλούμενοι, διδομούμενοι. Στρεβλοῦται, αἰκίζεται, βασανίζεται. Στρεβλοῦ κύκλος, ὁ ἰσοσκελής.

Στρέμμα, εἶδος τραύματος. Στρέμματα, περὶ κυρτὰ. Στρεπτὸν φῦλον βροτῶν, λέγει Ὅμηρος, ἀντὶ τοῦ ὑγρὰ καὶ εὐλύγιστον. ὅθεν καὶ στρέμμα λέγεται, οἷον κλάσμα, διὰ τὸ εὐκαμπτόν. ὃ καὶ ἄλλως στρεπτὸν, ἡ ἐπὶ τὰ ἐναντία ἐπιχειρούμενον, καὶ ἐφ' ὁμοῦ μεταγομένη, ὅθεν στρέφεσθαι ἑρμηνεύουσι ἐπὶ τὰ ἐναντία. πολλάκις δ' ἐν μύθοις, ἤγουν λόγοις. καὶ οὐ μόνον πολλάκις, ἀλλὰ καὶ πανταχοῦ, καὶ ἔτι στρέφεσθαι. ἐπεὶ δὲ πολλὰς νομὰς οἶδεν, ἢ διὰ τοῦτο ὁ ποιητὴς καὶ τὴν ἑαυτοῦ εἰς τὸ λέγειν δύναμιν, ἢ τὸ πολύτροπον, καὶ ἀμφίβολον. Στρεπτοὶ καὶ θεοὶ αὐτοί, ἀπόφθεγμα, λέγουσιν οἱ παλαιοί. ἔστι δὲ κατ' αὐτοὺς ἀπόφθεγμα, βραχυλογίας προφορὰ δι' ὀλίγων λέξεων. οἷον, γνῶθι σεαυτόν. καὶ ἐγγύα, πάρα δ' ἄτα, καὶ τὰ ἑξῆς. τὸ δὲ ἐπιχείρημα τοῦτο, ἐκ τοῦ μείζονος εἴληπται. Στρεπτὸς χιτὼν παρ' Ὁμήρῳ, εἰ μὲν ἐπὶ ἱματίου νοοῦσι, λέγουσι στρεπτὸν τὸ πλεκτόν. εἰ δὲ ἐπὶ θώρακος κρικωτοῦ ἢ ἁλυσιδωτοῦ. ἡ δὲ λέξις κεῖται καὶ ἐν τῇ φ΄ ῥαψῳδίᾳ. ἔτι δὲ καὶ σώματος κόσμος τὸ στρεπτὸν, ἀλλ' οὐ στρεπτὸς οἱ παλαιοί. Στρεύγει, ὀκνεῖ, καταγωνίζεται, προσδιατρίβει, βραδύνει. Στρεύγεσθαι, τὸ τήκεσθαι, λιμῷ, παρ' Ὁμήρῳ. καὶ οἷον κατὰ στράγγα ἀπορρεῖν, ὥσπερ καὶ τὸ ἀπολιβάζειν, ὅ ἐστιν ἐκ τοῦ λείβεσθαι, ἤτοι κατὰ λιβάδιον, ὑγροῦ ῥεῖν εἰσφοράν. Στρεύγεσθαι, στραγγίζεσθαι, τουτέστι κατ' ὀλίγον κακοῦσθαι, ἢ ἐκλείπειν, ἢ ταλαιπωρεῖν. οἶμαι ἀπὸ τοῦ στραγγεύεσθαι, συγκοπῇ τοῦ α, καὶ ἀποβολῇ τοῦ ἑνὸς γ καὶ ἐκθλίψει, στρεύγεσθαι. ὃ καὶ ἀπολιβάζειν φασὶν οἱ μεθ' Ὅμηρον, οἱονεὶ κατὰ λιβάδα ἀπορρεῖν. Στρευγομένοις, φθειρομένοις, καὶ καταπονουμένοις στρεβλουμένοις, ἢ καὶ προσδιατρίβουσιν. ἔτι καὶ στράγξ, ἡ κατὰ βραχὺ πρόεσις τοῦ ὕδατος. οὕτω Δίδυμος, ὅθεν καὶ ἡ στραγγουρία, ἀπὸ τοῦ κατὰ στράγγα οὐρεῖν. Στρέφανον, ὀξίνη καὶ πέλεκυς. Στρεφοδινοῦσι, συστρέφουσι. Στρέφει, στρέφειν παρέχει, παρὰ τῷ Ἱπποκράτει. Στρέφειν λέγεται, τὸ ὑποστρέφειν καὶ ἀναστρέφειν. στρέφειν ἐπὶ νοῦν, τὸ ἀναλογίζεσθαι καὶ ἐνθυμεῖσθαι. στρέφειν ἢ τὸ καταστρέφειν τὸν βίον, ὥσπερ δὴ τὸ κυκλεῖν, ἐπὶ πρώτης συζυγίας λαμβάνεται, ἀντὶ τοῦ στρέφειν ἐπὶ νοῦν, καὶ ἀναλογίζεσθαι. κυκλεῖν δὲ, ἐπὶ πρώτης συζυγίας, τὸ περικυκλοῦν ἢ περισχίζεσθαι. Στρέφεται, τὸ εἶδος ἐνοικεῖ ἐν τῷ περὶ ὄψεων καὶ τόπων καὶ φύσεων, παρὰ τῷ Ἱπποκράτει. Στρεφθεῖσα φιλεῖ λέγων Ὅμηρος, οὐ μὴν στραφεῖσα. ὡς Εὐριπίδης ἐστρεφθῆναι εἶπεν, ἀντὶ τοῦ στραφῆναι. προσλαμβάνουσι γὰρ οἱ Ἀθηναῖοι ἔστιν ὅτε τὸ φ χαρακτηρικὸν τοῦ ἀοριστου λαβόντος, ὡς δηλοῖ τὸ βρεχθῆναι τὴν γῆν παρὰ Δίωνι, ἀντὶ τοῦ βραχῆναι. καὶ τὸ ἐτερφθεῖσι, παρ' Ἡροδότῳ, ἀντὶ τοῦ τερφεῖσι. καὶ ἄλλα, ἐτρεφθεὶς, καὶ ἐκλαπεὶς. Στρῆνος, τρύφημα, δέρμα, βύρσα. Δωρικῶς. Στρηφοῦραι, τῶν ἰχθύων γένος τι. οἱ καλοῦνται κεφίδαι. Στρίψαι, σημαίνει καὶ τὸ κακουργῆσαι. στρέψειν προσκαλεῖν ἐκ τοῦ στρέφω, ὁ μέλλων στρέψω, ὁ παρακείμενος ἔστροφα, ὁ παθητικὸς ἔστραμμαι. Στρέψαντες, καλλωπίσαντες ἀγγεῖον, δέρματι γυναικῶν. Στρέψα, πόλις ἐπὶ τῆς Θράκης. Στρέψαι, καὶ ἀντὶ τοῦ κλέψαι. πολλοὺς δὲ θυλάκους κατεστρέψαντο ἀντιδόντες. Στριγλαῖοι, ἔθνος περὶ Μακεδονίαν. Στρεψοδικεῖν, ἐκ τοῦ στρέφειν καὶ δίκην συγκείμενον, ταυτόσημον λέξεων ἑτέραν καὶ ἄλλων. ὡς ἀραχνῶν ἐν τῇ πρώτῃ ῥαψῳδίᾳ κεῖται, ὅπου καὶ περὶ ποιητοῦ ἐφίλει, ὡς ἐκ τοῦ ποιεῖν καὶ πορεύεσθαι παντολογικῶς ἔλεξε συντίθεσθαι. ὅθεν καὶ ποιητικὰ, παρὰ τῷ συνηθεστέρῳ, τὰ καλούμενα φασὶ ψαλτήρια. καὶ ὅρα τίν' ἐπὶ τῷ ἄρτῳ χῶσιν πολιὸν τοῦ ψαλτηρίου. ἐν δὲ τῷ πίστεως καὶ φρόνησιν ἐπιτιθέασι κεντήριον. οὐ παρεῖμεν ἱστορεῖ Φουρνῖνος ἄρτον, καθὼς τοὺ κλεπτευόντας καλεῖσθαι. Στρεψοδικεῖ

Δικαιο

τέρας. στοιχεῖόν ἐστιν, οἷον ἁπλῆ κτίσις τοῦ ὄντος μοῖρα, ὡς ὁ ἀπόστολος Παῦλος, οὐκέτι γινώσκομεν Χριστὸν κατὰ σάρκα. τουτέστιν, ἐν οὐσίᾳ φυσικῇ. ἡ ἁπλῆ καὶ ἄτομος οὐσία, καθότι ἀπαθές ἐστιν, ἐξάπτεται τὸ ἑαυτῆς βούλημα, εἰς ἀγγέλους, εἰς ψυχὰς, εἰς ἕτερα νοητὰ καὶ ἀθάνατα, εἰς αἰσθητὰ, εἰς γῆν, εἰς ὕδωρ, εἰς πῦρ, εἰς ἀέρα, εἰς ψυχρὸν, εἰς ξηρὸν, εἰς ὅπερ ἂν βούληται στοιχεῖον. ἔστι καὶ ἡ πρώτη καὶ ἀμερὴς τοῦ ἀνθρώπου φωνὴ, ἢ φωνῆς ἐλάχιστος φθόγγος ἐλάχιστος. διὰ τί εἶπεν ἀμερὴς, διότι οὐ μερίζεται, ὡς ἡ συλλαβή. παρέπονται δὲ τῷ στοιχείῳ τέσσαρα, ὄνομα, σχῆμα, χαρακτὴρ, δύναμις. στοιχεῖον δὲ εἴρηται, παρὰ τὸ στοῖχος, ὃ ἐν τάξει θεωρούμενον. Στοιχείωσις, ἡ πρώτη μάθησις, καὶ ἡ διατύπωσις, καὶ ἡ διάταξις, καὶ ἡ ἐκλογή. ἡ στοιχείωσίς ἐστιν, ἡ ἐκ διαφόρων συντεθεῖσα μονοειδὴς θεωρία. Στολάρχης, ὁ τοῦ στόλου ἄρχων, ὁ ναύαρχος. Στολὴ, ἀπὸ τοῦ στέλλω, ἀποβολῇ τοῦ ἑνὸς λ. κυρίως ἀποστέλλειν ἐστὶ, τὸ ... πῶς ἐκπέμπειν. ὅθεν καὶ στόλος, ὁ πολλῶν πλοίων ἀπόπλους. καταχρηστικῶς δὲ, καὶ τὸ δι' ἑτέρου τινὸς ἐκπέμπειν ἐν πεζῷ, στρατός. παρὰ τὸ στέλλω οὖν τὸ πλέω, γίνεται στόλος. Στολμὸν, χιτὼν, κεκοσμημένον ἱμάτιον.

Στόλουρον, τὸ περικεκομμένον τὰς κόμας, καὶ γεγονὸς ψιλὸν, εἴτε δένδρον, εἴτε ἄνθρωπος. δηλοῖ δὲ καὶ κλάδος, καὶ στόλον. Στολοκρατὶς, ἡ τοῦ ἰοῦς μέτωπον, ἤγουν τὰ κέρατα.

Στολισμὸς, ἱματισμὸς, κόσμος. Στόλοι, τὰ ἄκρα τῶν ἐμβόλων καὶ ὀξέα, χάρακες ἀπόκοποι. Στόλος, ἡ διὰ θαλάσσης πορεία, καὶ τὸ τῶν νεῶν πλῆθος. καὶ ἡ διὰ γῆς πορεία, καὶ αὐτὴ ἡ στρατιά. Στωμυλώδης, μικρολόγος. Στόμα καθ' Ὅμηρον, ὁ τόπος τῶν προμάχων. οὕτω γὰρ τάξεως εἶχον οἱ ἀσπισταὶ, μετώπου σχηματισθέντος φάλαγγος, οὐραγὸς δηλονότι ὤν. οὕτω καὶ τὰ κατὰ Ξενοφῶντα, τὰ ὀπίσω τῆς φάλαγγος, καὶ τὰ ἄλλα παρὰ Εὐσταθίῳ. Στόμα, παρὰ τὸ τέμνω, τὸ κόπτω, ὃ τέμνον τὰ σιτία. Στόμα θανάτου, τάφος λέγεται. Ὅμηρος. χάνοι γὰρ ἂν γῆ ἅπασιν, ὅταν πάντες λαμῶσι. Στόμα ὑσμίνης, καὶ στόμα πολέμου. Ὅμηρος, περὶ πολέμου στόμα δύμεναι αἱματόεντος. ἔχει δὲ ὁ ἀσκοπίστης τοῦ πολέμου στόμα δύμεναι, εἴ τις ἐποιήσατο, ὡς ὁ Ἀχιλλεὺς πρὸς τὸν μόνος εἰς τὸ ἐκείνου στόμα εἰσῆλθεν. αὐτὸς δὲ πολέμου στόμα δῦναι ἐπιθυμεῖ, ὃ πολλοὺς κατεμασήσατο ἀσπιστάς. διόπερ γὰρ δηλοῖ τὸ αἱματόεντος, καινὸν οὐ δηλοῖ στόμα λέγει πολέμου, τὸ τῶν μαχομένων ἔμπροσθεν. ὡς γὰρ οὐρὰ στρατοῦ, τὸ ὄπισθεν, ἐξ οὗ καὶ τὸ οὐραγεῖν καὶ οὐραγὸς, οὕτω καὶ τὸ στόμα, ἐν ᾧ οἱ πρόμαχοι ἵστανται. Στομάργε, ἐν τῷ δὲ λοιδορίᾳ τῶν ἐπιδημίων ὁ Διοσκουρίδης οὕτω γράφει, καὶ λαλεῖσθαί φησι τοῦ λαλοῦντος μανικῶς. οἱ δὲ ἄλλοι στομάργους γράφουσι, καὶ ἄπορα κενὸν ἀκούουσι, παρὰ τῷ Ἱπποκράτει. Στόμαχος, δι' οὗ καταπίνομεν τὴν ὑγρὰν καὶ ξηρὰν τροφὴν, ὅτι στόμα ἐστὶ τῶν χεομένων. ἢ ὅτι τὰ ἀπὸ τοῦ στόματος εἰς τοῦτον χεῖται. ἢ σιτόμαχος, ὁ τοῖς σιτίοις μαχόμενος. θλίβουσι γὰρ αὐτόν. ἢ ὁ θλίβων ἔμπαλιν ταῦτα. Στομάχου θέμεθλα, τὴν αὐτὴν θέσιν λέγει Ὅμηρος, στόμαχον καὶ τὸν φάρυγγα, οὐ τὸ τῆς κοιλίας στόμα κατὰ τὸ ὕστερον, ἀλλὰ τὸν λεγόμενον βρόγχον, περὶ τὰ τοῦ λαιμοῦ ἔσχατα. Στομβάζω, τὸ διὰ τοῦ στόματος βάζω, ἤγουν τὸ πλατὺ, καὶ ὄγκον ἔχοντα στόματι λέγω. Στόμβον, βαρύηχον, βαρύφωνον, παρὰ τῷ Ἱπποκράτει. Στόμια, τὰ χαλινὰ ποιητικῶς. στόμιον δὲ, ἐπὶ φρέατος, καὶ ἐπὶ ἄλλων ἰσῶν. Στωμολόκον, στωμύλον. Στωμὰς, λοιδορίας. ἐγὼ στώμας φημὶ τὰς διὰ στόματος ὕβρεις καὶ στωμυλίας. Στωμύλος, πολύλαλος, φλύαρος, λάλος, αἰσχρός. Στομφάζοντας, ἐπὶ ἔργοις γαλῶντας. καὶ κομφάσαι, τὸ ἀλαζονεύσασθαι. σύνθετος δὲ ἡ λέξις, ἀπὸ τοῦ στόματος καὶ τοῦ ἔμφασις. Στομφάζω, τὸ λαμπρηγορῶ, ἀμεταβάτως. Στόμφακα, λέγει τὸν Αἰσχύλον ὁ Ἀριστοφάνης, ἤγουν σκληρόν. παρὰ τὸ στόμα, καὶ τὸ ἔμφασις, οἷον τραχύν. ἐρρωμένον

νεῖον δὲ, μεγάλου λίθος καλοῦνται. Στομωμάτων, χαρακτηρμάτων. ἐνίοις δὲ στιβασμάτων, διδαχῶν. στόμος γὰρ, καὶ ἡ διδαχή. Στομώσεις, ἐξώσεις, ἢ εὔστομον ποιήσεις. ἡ μεταφορὰ ἐκ τῶν μαγείρων. Στομώσας ἀνὴρ, παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ εὔστομον ποιήσας αὐτόν. στομῶ, στομώσω. Στονυχὰς, αἰχμηρούς.

Στονυχίζεσθαι, ἀπομαθηματίζεσθαι. καὶ δηλοῖ τὰ πρὸς βάθος ἐστῶτα, καθὼς καὶ τὸ στόμιον ἐπὶ θαλάσσης, παρὰ Σοφοκλεῖ λεγόμενον. οὐ μόνον γὰρ ἐπὶ θηρίων ἡ λέξις τίθεται, ἀλλὰ καὶ ἐπὶ ἁπλῶς ἰσοβόρων. Στόνοι, τὰ ἴσα τοῦ ἀφανισμοῦ, καὶ στρογγύλα. Στόνος, στεναγμὸς, λύπη, ἀπὸ τοῦ στένω. καὶ στονόεντα, τὰ τῶν πολλῶν στεναγμῶν αἴτια. Στόνυξ ἐστὶ κυρίως, τὸ ἄκρον τοῦ δόρατος. καταχρηστικῶς δὲ, πᾶν τὸ εἰς ὀξὺ λῆγον. Στόνυξι, κέρασι. Στόνυχας, τὰ εἰς ὀξὺ λήγοντα, καὶ τὰ ἄκρα τῶν ὀνύχων. Στοβάζειν, κακολογεῖν. Στοργὴ, φιλία ἔμμονος. παρὰ τὸ στέργειν, τὸ ἐμμένειν. Στορέννυμι, στορῶ, στορέσω, στορνύω, στόρνυμι. Στόρεσε, ὑπεστρώσατο, κατεκοιμίσατο, κατεπραΰνε.

Στορεσεῦντι παρὰ Θεοκρίτῳ, οἷον χ' ἁλκυόνες στορεσεῦντι, ἀντὶ τοῦ στορέσουσιν, ἤγουν κατακοιμίσουσιν. Στορθὸς, γαλήνης, καὶ τὸ ἀντὶ τοῦ σιδήρου τρύπανον ἐμβαλλόμενον ξύλον, φησὶν ὁ Δίφιλος. Στορῶ, στορέσω, στορέσαι, σημαίνει δὲ τὸ στρῶσαι καὶ καταστρῶσαι, ἀφ' οὗ καὶ τὰ στρώματα. καὶ στορῶ στορέσω, καὶ καταστορῶ καταστορέσω, τὸ γαληνιῶ. καὶ στορέσω μετοχὴ, στορῶ στορέσω συγκοπῇ, ἀγνοίᾳ τῆς συζυγίας τοῦ γὰρ στρώσω γίνεσθαι. ὁ γαθεὶρ δὲ ἤγουν στορέσμα, ἔτι στρῶμα. Στορέσαι, κυρία λέξις ἐπὶ κλίνης, λέγεται καὶ ἐπὶ γαλήνης θαλάσσης, καὶ ἀνθρωπίνης ἰσορροπίας παρὰ Σοφοκλεῖ. ἔστι δὲ θέμα τοῦ ῥήματος, τὸ στορῶ. καὶ συγκοπὴν καὶ γενόμενον, μετέπεσεν εἰς τρίτην συζυγίαν, στορῶ καταστορῶ. Στορθὴ, ἡ ἐκπλοκὴ, καὶ τὸ ὀξὺ τοῦ δόρατος. Στόρεα, ζωνα. Στορνῦσι, καθ' ὁμοιότητα πλάττεται τοῦ ὀρνυμι, ἢ τοῦ ὁμοίου. ὡς δὲ ὄρω, ὄρσω, ὀρνύω, ὄρνυμι, οὕτω στορῶ, στόρσω, στορνύω, στόρνυμι. ἐξ οὗ στορνὺς, οὗ τὸ θηλυκὸν ἡ στορνῦσα. δῆλον δὲ, ὅτι ταὐτόν ἐστι στορέσαι, καὶ στορνύσθαι, παρὰ δὲ τοῖς ὕστερον καὶ στρῶσαι. συγκοπὴν ἐκ τοῦ στορῶ, μεταπεσὸν ἐκ πρώτης συζυγίας τῶν περισπωμένων εἰς τρίτην, ὅθεν καὶ τὸ στρῶμα, καὶ τὸ ἐπὶ τοῖς καταστρώμασι. Στορθίου, τῆς ἀγκάλης. Στοχάζειν, εἰς σκοπὸν κατακλίνειν τὰ βοσκήματα. Στοχάζομαι, τεκμαίρομαι. παράγεται δὲ ἐκ τοῦ στίχω, τὸ κατὰ τάξιν σκοπῶ, καὶ βλέπω, καὶ βαδίζω. στοχάζεσθαι γὰρ λέγεται, τὸ πρὸς εὐθεῖαν ὁδὸν τὸν λογισμὸν ἀπευθύνειν. ὅθεν παράγεται καὶ ὁ στοχασμός. Στοιμμα, αἰσχρά. Στοῖχος, ὁ τοῖς τελευταίοις ἐπὶ τῶν φορτίων στίχων. Στοχασμὸς, παρὰ τὸ στίχω στοχάζω. στοχασμὸς γὰρ λέγεται. καὶ στοχάζειν, τὸ πρὸς εὐθεῖαν ὁδὸν τὸν λογισμὸν ἀπευθύνειν. Στραβαλὸς, ὁ στρογγυλίας καὶ τετράγωνος ἄνθρωπος, ὀχυρός.

Στράβαλοι, κοχλίαι. Στραβικὸς, κυρτός. Στραβίλη, τῶν κόχλων, ὁ στρόμβιλος. Στραβὸς. ἰστέον δὲ, ὅτι τὰ κατὰ τὸ στραβὸν οἱ παλαιοὶ καὶ οὕτω φράζουσιν. οἱ μὲν ὅτι βλέπουσι μὲν ὁ διεστραμμένος τὰς ὄψεις, καὶ οἷον ὑπὸ λοιμοῦ τινος ταχύς. Παυσανίας δὲ, φράζουσι καὶ ὅτι ἡ συνηθεία οὕτως ἐλέγετο. ἄλλοι δὲ, ὅτι ἰλλὸς πλάγιος, διεστραμμένος, στραβὸς. καὶ ἰλλώπτειν ἢ ἐπιλλώπτειν, τὸ ἰλλοῖς ὡς φησιν Αἴλιος Διονύσιος, καὶ ἐπιμύειν, καὶ κατακεκλεισμένοις ὄμμασιν ἐμβλέπειν. Παυσανίας δὲ, ἐπίλλειν τὸ ὀφθαλμοῖς καταμηνύειν, καὶ ἰλλώπτειν. καὶ ἐπιλλοῦν, τὸ μυκτηρίζειν. ἢ κατιλλώπτειν, τὸ καταμυκτηρίζειν, ἢ διὰ τοῦτο μὲν τὰς τῶν φύλλων. Στραβολοῦλος, διεστραμμένος.

Στραγγαλίας, διαπλοκὰς, διεστραμμένας, δολιότητας.

Στραγγαλίδες, τὰ δύσλυτα ἅμματα. ὡς ἐκ γὰρ τοῦ στραγγαλᾶν ἐσφίγγετο. Στραγγεύομαι, πιέζομαι, θλίβομαι. Ἀριστοφάνης, ὁ ταῦτα ἔχων στραγγεύομαι. τὸ ἔχων, περισσὸν ἀττικῶς.

Στραγγὸς,

[illegible] ἀπὸ τοῦ σείω, τὸ περιττόν. [illegible]

Στίγματα, αἱ πληγαί, [illegible]. Στιγματίας, ὁ [illegible] ὡς [illegible] καὶ μαστιγούμενος, οἷα ἀχάριστος. Στιγμή, διανοίας ἀπηρτισμένης σημεῖον. γίνεται δὲ παρὰ τὸ στίζω [illegible]. Στιγμαὶ δέ εἰσι τρεῖς, τελεία, μέση, καὶ ὑποστιγμή. [illegible] τελεία [illegible] σημεῖον διανοίας ἀπηρτισμένης. μέση δὲ, σημεῖον πνεύματος [illegible] παραλαμβανόμενον. [illegible] ὑποστιγμὴ δέ ἐστι, σημεῖον διανοίας μηδέπω ἀπηρτισμένης [illegible]. διαφέρει δὲ στιγμὴ ὑποστιγμῆς, χρόνῳ. ἐν μὲν γὰρ τῇ στιγμῇ, πολὺ τὸ διάστημα. ἐν δὲ τῇ ὑποστιγμῇ, παντελῶς ὀλίγον. στιγμαὶ δὲ κατὰ Νικάνορα, [illegible] τελεία, ὑποτελεία, [illegible] ὑποδιαστολή. διαφέρει δὲ στιγμὴ τῆς ὑποδιαστολῆς [illegible]

[illegible]

Στίχος, ἡ τάξις. [illegible] Στιχάω [illegible]

[illegible]

ὑλεῖν. τερῶ, κεντῶ. τὸ δὲ στερίσκω, παρὰ τὸ στερίσκειν. ὅμως πολὺ ἐν Σοφοκλεῖ εὑρίσκεσθαι. εἶτ' ἄρα οὕτως στερίσκεται. καὶ ὥσπερ αἴρομαι αἰτιατικῇ, ἔστιν ἡ αἰτιατικῇ συντάσσεται, ὁμοίως στεροῦμαι. ἀλλὰ εἰ μὲν βαρύτονον, οὐ συντίθεται μετὰ προθέσεως. τὸ περισπώμενον δὲ συντίθεται μετὰ προθέσεως, ὡς στερῶ, καὶ ἀποστερῶ σε τὰ χρήματα, ἢ τῶν χρημάτων. Στεῦται, διαβεβαιοῦται, ὑπισχνεῖται. παρὰ τὸ στέω στέομαι, στεῦται, στεῦται κατὰ συγκοπήν. γίνεται ἐκ τοῦ τέω στέω, κατὰ τὸ χέω χεύω. ἀφ' οὗ παθητικὸν στεῦται, καὶ ἐν συγκοπῇ στεῦται. εἶτα δὲ ἔτερος, ὁ ὑφίσταμαι, ὑπομένω ἀσφαλῶς, εἶτα δῆλον. Στεῦν παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἵστατο καὶ ἐχόμενος, φασὶ τοῦ διαστατικοῦ τῆς λέξεως, παρὰ τὴν στάσιν τοῦ σώματος, παρ' ὃ δηλοῦται τὸ εἴσομαι. ὅθεν ὡς εἰκὸς τίνα, καὶ πλεονασμῷ στεῦν, καὶ συγκοπῇ στεῦν. ἄλλως. Στεῦν ἔστι καὶ ταῦτα ἐπὶ ὑποσχέσεως, ὡς ἐν τῷ στεῦται γάρ δὲ ἐκεῖνος ἐρίσσεμεναι. ἀντὶ γὰρ τοῦ ὑπισχνεῖται δηλοῖ, καὶ ὑφίσταται, καὶ ἐνίσταται, καὶ ἀπειλεῖ· λέγω, παρ' Ὁμήρῳ γίνεται δὲ παρὰ τὸ στέω, οἷον στέωμεν καὶ ἀλεξώμεθα. καὶ πλεονασμῷ τοῦ στεῦν, ἐξ οὗ στεῦν, τὸ ἐν συγκοπῇ τοῦτο. Στεφάνη, περικεφαλαία εἶδος, καὶ κόσμον γυναικεῖον δηλοῖ. τίθεται δὲ καὶ ἐπὶ ἐξοχῆς ὄρους, ὡς ἐν τῷ, ἣν κατὰ στεφάνας ποταμοὺς χείμαρρος ὕσαι. καὶ παρ' ἄλλοις δὲ πύργον, παρὰ τὸ ζωννύναι λέγεται, οἷον στέφανον κυκλοῦσα πύργων. διὸ πρὸς διακαλύψει στεφάνας ἐχάλκευσε ποιητὰς φασί.

Στεφάνη, ὁ τῶν τοῦ ὄρους ἐξοχῶν φασὶν Ὅμηρος ἐν τῷ ι τῆς Ἰλιάδος, ἡ ἐκ τοῦ πλείστου τῶν ὑπερβάτων, ὅθεν καὶ ἡ κοινὴ φράσις στεφάνην ἐν εἴδει καλεῖ, σημαίνει δὲ εἶδος κρανίου, ὡς παρὰ Ἀριστοφάνει εὕρηται. Στεφανίτης, ἀπὸ τοῦ στέφανος, ὅπερ ἀπὸ τοῦ στέφω στεφανίτην δὲ λέγουσιν ἀττικοὶ τὸν ἀγῶνα, ἐφ' ᾧ τίθεται ὁ κλῆρος. Χειροβοσκός. Στεφάνωμα, εἶδος καλάμου. Στέφανον καλάμου, ὡς καὶ Ἀριστοφάνης ἐν ταῖς ὁλκάσιν, ὡς ἁπλούστερον ὄντα, καὶ ἀπειρότερον. ἢ ὅτι ἐκ τοῦ φύονται οἱ Διόσκουροι. Διὸς γὰρ καὶ ἀπείρητος ὁ δεύτερος στέφανος. ὃν δὲ τῶν Διοσκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ.

Παγκρατιάζειν καὶ παγκράτιον, τὸ αὐτὸ, καὶ τὴν ὑλοτομίαν, καὶ τὸ ἐκκόπτειν, ὁ ἐστι πᾶσα. Παγκρατιασταὶς, ἀθληταῖς, πύκταις, ταῖς χερσὶ καὶ ποσὶ παγκρατιάζουσι. Παγκράτιον, ἀγὼν, πάλη, ἄθλησις. Πάγκαρπος, ἐλαίας εἶδος ἐστὶ κατοικουμένης καὶ ταπεινὸν, ἐν τῇ ἀκροπόλει. Παγκλάδια, ἑορτὴ παρὰ Ῥοδίοις, ὅταν ὁ ἄμπελος τμηθῇ. Πάγοι, πετρώδεις ἐξοχαί, ἢ εἰς ὕψος ἀνέχουσαι ὀξεῖαι πέτραι. Πάγον, σιτοθήκη, ἐν ὄρει τετειχισμένον. Πάγον λέγουσι, διὰ τὸ ἐξ ὕδατος πεπῆχθαι. πάγος, ὕδωρ τὸ πεπηγμένον ἀπὸ ψύχους, καὶ τὸ σκληρὸν καὶ πετρῶδες ὄρος. Πάγος, ὄχθος, βωμὸς, ψῦχος.

Παγοδαμ, μάρμαρος, ὁ μικρὸς. Παγουροὶ, οἱ καρκίνοι, παρὰ τὸ οὐρεῖν καὶ φυλάττεσθαι ἐν τοῖς πάγοις. πάγοι δὲ εἰσιν, οἱ κρημνώδεις τόποι. παρὰ τὸ πεπῆχθαι εἰς ὕψος, καταστροφὰς δὲ εἰς τὸ διατρίβειν ἐν ταῖς πάγαις, ὡς τὸ Λυκοῦργος πάντα φυλάξω, ἀντὶ τοῦ διατρίψω. Πάχορος, ζυγός. Παγυρίτας, ὄνομα χώρας ἐν τόποις. Πάχυ, παχυλῶς, παχὺν, ἀσφαλὲς, βέβαιον. Παχυρισμὸς, πολυσύγκριτος. Παγῶν, πηγῶν. Παδυχίαι, χίμαι. Πάδος, ὄνομα ποταμοῦ, τοῦ παρ' Ἕλλησιν Ἠριδανοῦ ὀνομαζομένου. Πάζιον ὁ τοπάζιον, λίθος πολύτιμος. Παθαίνεσθαι, ἀπὸ τοῦ ἀγανακτεῖν. καὶ παθαίνεσθαι, ἀντὶ τοῦ πάθος μεταλαμβάνειν, ἢ διατραπῆναι. Πάθας, πάθη, συμφοράς. Πάθη, δύο σημαίνει. πόνον καὶ ἡδονήν. ὧν ἡ μὲν ἡδονὴ, λεία κίνησις. ὁ δὲ πόνος, τραχεῖα κίνησις. καὶ ἡ μὲν ἡδονὴ, οἰκεία πάσῃ φύσει, ὁ δὲ πόνος, ἀλλότριος. Πάθη, ἡ κάκωσις, ἀκόλουθον σφίσι. πάθος δὲ ἐλυπεῖτο τὸ πάθος. Παθολογία πάσης ψυχῆς, ὁ ὡς εἶδος ἐν στομίῳ τῷ πράγματι. ἢ διὰ βάθους χωροῦσα, ἢ ἐπιπολαία. Παθιώτας, συγγενοῦς, τελευταίου. Πάθος, λέξεως ἐμφασμὸς, ὡς ἡ μεταφορὰ, ὡς τιθηνὸς ἡ γῆ, κατάχρησις. ἐντεῦθεν καὶ ἡ ὀνομασία. Πάθος μεταποίησις τοῦ λέξεως, οὗ ἦν ὥσπερ ἐπ' ἀρχαῖς, εἴτε καὶ ἄλλως. ἢ τὸ μεταποιηθὲν διαφέρειν εἰς ταῦτα, ὁ ὁ ἦν πρότερον. ἡ πάθος ἐστὶ δύναμις, καθ' ἣν παθητικοὶ γινόμεθα. πάθος ἐστὶ ψυχῆς κίνησις ἄλογος, δι' ὑπόληψιν κακοῦ ἢ ἀγαθοῦ. πάθος κίνησις ἐξ ἐνεργείας ἑτέρου εἰς ἕτερον. τὸν μὲν ἀρχὴν ἔχον ἐν τῷ ποιοῦντι, τὸ δὲ τέλος ἐν τῷ πάσχοντι. Πάθω, ὑποστρέφοντος, ἢν ἢ πάθω, ἀντὶ τοῦ ἐὰν συμβῇ μοι τελευτῆσαι ἀποθανεῖν. Παίαμον, παίγνιον. Παῖ, ἀποστροφὴ, τὸ ἐπὶ ὦ παῖ. παῖδα γὰρ πᾶν τὸ γένος καλεῖν δίκαιον, ὡς ἂν πληγὰς λάβῃ. Παιὰν, εἶδος ᾠδῆς. ὁ δ' ὑπὸ κλαίοντας θρῆνος οὐχὶ παιᾶνος, τουτέστιν ὕμνος, φροντίδας δὲ, λύπας.

Παιᾶνας, κώμους, εὐφημίας. παιᾶνα δύο ᾖσαν. ἐπινίκιος ὅτε ἦρχον, ὡς ἐν πρὸ τῆς μάχης ἐγίνετο. ὁ ἐπινίκιος, ὅτε ἐνίκων. δύο παιᾶνας ᾖδον οἱ παλαιοί. πρὸ μὲν τοῦ πολέμου τῷ Ἄρει. μετὰ δὲ τὸν πόλεμον, τῷ Ἀπόλλωνι. ὁ δὲ, ὡς ἐπὶ πλεῖον λέγει Θουκυδίδης, ἀντὶ τοῦ ὡς πρὸς τὸ ἄρξαι τὸν πόλεμον.

Παιανίζω, τὸ παιᾶνα ᾄδω ἢ παιωνίζω. παιὰν δὲ καὶ παιὼν, λέγεται ὁ Ἀπόλλων, ἐν τῷ παιανισμῷ, ἐκ θεῶν ἀρξάμενοι, ἐν τῷ φίλον παιᾶνα. Παιὰν δὲ ἐπὶ ὕμνω τῶν θεῶν ἀεὶ λέγεται καὶ μάλιστα τοῦ Ἀπόλλωνος, ἐπὶ ἀπαλλαγῇ τοῦ λοιμοῦ. τὸ δὲ παιὰν καὶ παιωνίζω, ἀνάλογον καὶ τὸ παιωνίζω, ἐπὶ νίκης πλέον κυρίως. καθ' ἐξοχὴν ἐπὶ δὲ, ἐν εἰδεῖ ἁπλῶς εὐφροσύνης. Παιανισμὸς, ᾠδὴ ἐπὶ ἀπαλλαγῇ κακῶν. Παιανισμοῖς τινὲς, ὕμνοις πανηγύρεσιν ἐπιτήδειον. Παιγνία, ἑορτή. ὡς τινὲς ἱκέτας εἰσῆγον παιγνίαν. Παιδαγωγηθεῖσαν πόλιν, ἀντὶ τοῦ ἀχθεῖσαν. καὶ παιδαγωγῶ, οἰκοδομῶ. Παιδαγωγία, διδασκαλία, διδασκαλία. Παιδαγωγὸς, παιδευτὴς, ἐν τῷ ἔπειτα.

Παιδάκια, μειράκια. Παιδεῖαι, ἡμέραι τινές. Παῖδα δέ μοι, τὴν θυγατέρα δέ μοι. Παιδεύτριον, παιδευτήριον. Παιδάρια, τὰ μείζονα, καὶ τὰ ἀρτίως γεγονότα. Παιδαριάματα, παιδάρια. Παιδάρια, οἱ μόνον ἐπὶ τῶν ἀρρένων κέχρηται τῷ ὀνόματι οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τῶν παρθένων. Παιδαρίσκια, ἀσθενῆ. Παίδεια ἐστὶ, παίδευσις

ἔφη, ἵνα θᾶττον ὀχῆται ὄχλον. καὶ αὖθ' ἐφ' ὄχου ἐχέτην. Ὀχεύς, ὁ τῆς περικεφαλαίας ἱμάς. Ὀχεὺ ὀξυτόνως, ἡ τροφή. ἀφ' ἧς καὶ τὸ εὐωχεῖν κατὰ κρᾶσιν παρ' Ἡσιόδῳ. καὶ ἡ εὐωχία δὲ κατὰ ἔκτασιν. ὅμοιον δὲ πρὸς τὰ ῥηθέντα, καὶ τὸ πλεῖον πλεῖος τὸ συγκριτικόν. καὶ τὸ πλεῖον ὀξυτόνως κατὰ συγκοπὴν ὁ ἐνιαυτὸς ὁ πολυετὴς πλείω ἐμπεπληρωμένος. ἔστι δὲ τύπος πάλιν βαρυτόνως. ἀπὸ τοῦ ὀξυτόνως, ὁ ἀπὸ τοῦ γάλακτος. καὶ νόμος μὲν ὁ τὴν δίαιταν διδούς. νομὸς δὲ ἐν ὀξείᾳ τάσει, ὁ τῆς νομῆς τόπος, ἢ ὁ κατὰ τὰς γωνίας ἐν ἐνορίαις. καὶ κατὰ τόνον ὀξύν, ὁ χοῖρος. καῖρος δὲ προπερισπωμένως τὸ μίτωμα. καὶ ἄπλετος μὲν προπαροξυτόνως κύριον, ἀπρακτὸς δὲ ὀξυτόνως ὁ φορητός. Ὀχῆες, τοὺς ζυγοὺς φασὶ τινὲς κρίκους εἶναι, οἷς δεδεμένου συνέχεται ὁ ζυγός. Ὀχῆες, οἱ μοχλοί, ἀπὸ τοῦ συνέχειν τὰς θύρας. Ὀχὴ, ὀμίχλη, καὶ φωνή. Ὄχημα, ἅμαξα, ἅρμα, δίφρος. Ὄχησις, ἱππασία, φόρησις. Ὀχέομαι, βακχεύομαι. Ὄχθας οὐ μόνον ποταμοὶ ἔχουσιν, ἀλλὰ καὶ τάφρους. αἱ δὲ εἰσὶ κοίλαι καὶ ἀνωφερεῖς κοίλας τάφρους. διὸ καὶ κάτωθεν εἶπεν Ὅμηρος ἐν τῷ κ' τῆς Ἰλιάδος, ἵνα ἐμφήνῃ τὰς ἐκ τῆς σκάψεως ὄχθας. Ὄχθη ἐπὶ ποταμοῦ λέγεται, ἀκτὴ δὲ ἐπὶ θαλάσσης. ἀπὸ τούτου γίνεται ὀχθῶ ὀχθήσω ποιητικῶς τὸ βαρύνομαι. καὶ ὀχθίζω τὸ αὐτὸ παρὰ τοῖς κοινοῖς, ἀφ' οὗ προσοχθίζω, καὶ προσοχθίσματα. Ὄχθη, ὁ ἀνακεκλιμένος τόπος, ὁ κρημνώδης ἐν ποταμῷ. ὁ τοιοῦτος ἐν θαλάσσῃ λέγεται ἀκτή. ἀκτὴ δὲ ἀπὸ τοῦ ἄγνυμι, τὸ κλῶ. ὅθεν λέγεται καὶ Δημήτερος ἱερὸν ἀκτήν. οἷον τὸ ἐξαίρετον τοῦ σίτου καὶ πρόχειρον. ὁ ἐπίπεδος τόπος ἐπὶ μὲν τοῦ ποταμοῦ λέγεται ποταμόν. ἐπὶ δὲ θαλάσσης, αἰγιαλός. ἡ ἠιὼν καὶ θίν, ποιητικῶς. Ὀχθήσας, τὸ δυσανασχετήσας, ἢ πονέσας. ὅθεν καὶ Ἡσίοδος εὐοχθεῖν λέγει τὸ ἐπὶ καλοῖς κοπιᾶν. ἢ καὶ ἄλλως ὀχθῆσαι. τὸ εἰς ὕψος ἐπᾶραι τὸν θυμόν. ὄχθος γὰρ τοπικὴ ἐπανάτασις. τὸ γοῦν μέγ' ὀχθήσας, ἀντὶ τοῦ λυπηθείς. καὶ τὸ ὤχθησαν θεοί, ἀντὶ τοῦ ἐδυσφόρησαν, ἤχθεσθησαν, ἢ ὕψωσαν τὸν θυμόν, ἢ τὸν φόβον. ἐκ δὲ τοῦ ὁμοειδοῦς ὀχθεῖν καὶ τὸ παρὰ τοῖς ὕστερον προσοχθίζειν παρῆκται. καὶ τὸ ἐξ αὐτοῦ προσόχθισμα. Ὄχθησις, θόρυβος, τάραχος. Ὄχθοι, αἱ τραχεῖαι καὶ δύσβατοι τόποι, καὶ αἱ ἐξοχαὶ τῶν πετρῶν.

Ὀχθοιβοί, περιάπτειν τινὰ εἰώθασι περὶ τοὺς χιτῶνας, ἃ καλοῦσιν ὀχθοίβους, εἰσὶ δὲ τὰ λεγόμενα λώματα. Ὄχθος, κρόνου ἢ ὀλυμπικοῦ. πρώην κρόνου λόφος ἐκαλεῖτο. Ὄχθος, κρημνός, πέτρα, τὸ ὑψηλὸν τοῦ ποταμοῦ, ἢ τῆς γῆς, ἢ ἀπόκρημνον τόμα τῆς θαλάσσης. κυρίως δέ, ποταμῶν ἄκρα. Ὀχλαγωγοῦσι, θορυβοῦσι, ἢ συναγαγεῖν ὄχλον, ἢ ταράξαι. Ὀχλεῖ, τίνει, λυπεῖ, κινεῖ μετὰ ὄχλου. Ὀχλεῦντι, ἀπὸ ἐνεστῶτος γίνεται τοῦ ὀχλέω, ἐξ οὗ παράγωγον τὸ ὀχλίζω. ὡς ἐκ τοῦ ὁπλέω τὸ ὁπλίζω. καὶ τοῦ ἀφρέω τὸ ἀφρίζω, ὠνοματοπεποίηται τὸ ὀχλεῖν, καὶ μιμεῖται ἡ λέξις κάλλιον ἐμφαντικώτερον τοῦ κυλινδεῖν, ἃ τοῦ μὲν συνεχέστερον πέφρασται τῷ ποιητῇ ἐπὶ ψηφίδων. Θεόκριτος δὲ θρασέως ἔφη τὸ πᾶσα λίθος κινεῖ. δῆλον δ' ὅτι ἐκ τοῦ ὀχλεῖν καὶ τοῦ ὄχλου πλεονασμῷ τοῦ μ γίνεται ὁ μοχλός, καὶ ἐκ τοῦ ὄχθος ὁ μόχθος. Ὀχλεῦντι, ἀπὸ ἐνεστῶτος γίνεται τοῦ ὀχλέω. Ὀχλεὺς, μοχλός, σύριγξ, δεσμός, ἅρμα, ὀχετός. Ὄχλευσις, χολή. ὀχλεμῶν, μοχλῶν. Ὀχλίσσειαν, κινήσειαν. Ὀχλαζομένων, συναγομένων. Ὀχλίζω, τὸ κινῶ. Ὄχλογος, κατάλογος, λαός. Ὀχλοσίαν, ἐκκλησίαν, ἐκκλησιάσιν. Ὄχλος, πλῆθος, σύνοδος, σύλλογος, δῆμος, ἄθροισμα, συναγερμός, σύστασις. τάχα καὶ συναγωγή, καὶ συλλογή, καὶ θίασος, καὶ χορός. ὡς εἰ λέγοι τις ἀνδρῶν ὄχλος, καὶ γυναικῶν πλῆθος, καὶ παίδων σύνοδος, καὶ ξένων σύλλογος, ἢ πολιτικῶν δῆμος, ἢ δούλων ἄθροισμα, ἢ ἐμπόρων ἀγερμός, καὶ καπήλων σύστασις, καὶ ναυτῶν συναγωγή, καὶ κυβερνητῶν συνδρομή, καὶ παιδευόντων θίασος, καὶ παιδευομένων χορός. Ὄχλος. ὁ ὄχλος παρὰ τοῖς ἀττικοῖς, παρὰ δὲ τῇ θείᾳ γραφῇ καὶ τοῖς ἄλλοις Ἕλλησι, τὸ πλῆθος τοῦ λαοῦ. Ὀχλῶ, καὶ ἐνοχλῶ, τοῦτο μὲν αἰτιατικῇ, ἐνίοτε δὲ δοτικῇ συντάσσεται. ἐπηρεάζω, σοβῶ. Ὀχλώδης, ὁ ταραχώδης. Ὄχμα, πόρπημα. Ὀχμάζουσι, κατέχουσι, βασανίζουσι. κυρίως δὲ ἐστὶν ὀχμάσαι, τὸ ἵππον ὑπὸ χαλινὸν ἀγαγεῖν, ἢ ὑπὸ ὄχημα. σημαίνει καὶ τὸ ἐν μάχῃ κρατῆσαι, ἀπὸ τῆς αἰχμῆς. Ὀχμοί, ταχινῶν φυτεῖαι. Ὄχναι, κυρίως αἱ ἀχράδες. ὄγχναι δὲ λέγονται γινόμεναι τῇ ἀγρίους ἀπίους. γίνεται δὲ παρὰ τὸ ἄγχειν. ἄγχουσι γάρ πως οἱ ἐσθίοντες κορεσθέντες διὰ τὸ ἄγαν τίφον. Ὄχον, ἄλλος κύσον, ἢ κροσσωμα. Ὀχοί, οἱ συνέχοντες τὰς ναῦς, καὶ διαπεραιοῦντες. Ὄχος, τὸ ὀχεῖον. ὄχημα δέ, κοινόν. ὄχημα ἐφ' ᾧ ὀχεῖταί τις. Ὄχος τὸ ποιητικῶς τὸ ἅρμα, τὸ ἐκ τῆς ἁμάξης κατασκευασμένον, καὶ ὑπὸ τῶν ἵππων κινούμενον, καὶ ὀχούμενον. καὶ ὀχοῦμαι τὸ ἐπὶ ἅρματος διόλου φέρομαι. καὶ ἅρμα πρότερον, τὸ νῦν ἱερόν. Ὀχοῦμαι, κυρίως τοῦ ἐπιβάτου εἰμί. καὶ τὸ ἐφ' ἵππου καθῆσθαι. ὅθεν καὶ ὄχημα τὸ ἅρμα. καὶ ὀχῶ καὶ ὀχεύω, τὸ ἀφροδισιάζω. καὶ ὀχεία τὸ πρᾶγμα, καὶ οὐχὶ ὄχημα. παρὰ τοῖς ἀττικοῖς δὲ λέγεται καὶ ὀχεῖσθαι ποιῶ, καὶ ἐπιβάτην καθίστημι ἕτερον, ὡς ὁ κατοφερής. αὐτὸς βαδίζω καὶ ποιῶ. τοῦτο δὲ ὀχῶ, ἀντὶ τοῦ ὀχεῖσθαι ποιῶ.

Ὀχός, ὀχούμενος, φερόμενος. Ὀχύνω, βαίνω. Ὀχυρός, ἰσχυρός, ἀσφαλής. Ὀχύρωμα, τείχισμα. Ὀχύρωσεν, ἠσφαλίσατο, ἐφυλάξατο. Ὀχῶν, ὀχυρῶς ἔχων, ἢ ὀχῶν, ἢ ἁρμάτων. Ὄψ, ὄψις, ὀφθαλμός, ἢ φωνή. Ὄψα, λέγονται τὰ διὰ σίτου ἐδέσματα, παρὰ τὸ ὀψέ. καὶ τοῦτο διχῶς. ἢ γὰρ διὰ ὀψὲ ὥρας εἰς δεῖπνον προσεφέροντο αὐτὰ πασάμενοι ἤδη τῶν ἔργων, ἢ διὰ ὀψὲ χρόνου ἐξευρέθησαν, κατὰ τὰς ἀναγκαίας ἐξ ἀκροδρύων καὶ σπορίμων τροφάς. Ὀψαλίδαι, οἱ ἀρχηγέται τῶν αἰπόλων. Ὄψανον, ὄψις, φωνή. Ὀψάριον, τὸ ἰχθύδιον. Ὀψαρτύτης, μάγειρος. Ὀψαλίδαι, οἱ ἀρχηγέται τῶν αἰπόλων. Ὄψανον, ὄψις, φωνή. Ὀψάριον, τὸ ἰχθύδιον. Ὀψαρτύτης, μάγειρος. Ὀψαρτυτικόν, μαγειρικόν. Ὄψεαι, θεωρήσεις. Ὄψεως, θέας. Ὀψέ, οὐ μόνον ἀντὶ τοῦ μόλις, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐν ὑστέρῳ, μετὰ προσθήκης ὀνόματος χρονικοῦ. οἷον ὀψὲ τῆς ἡμέρας. χωρὶς δὲ τῆς προσθήκης, ἀντὶ τοῦ ἑσπέρας καθαρῶς. παρὰ Θουκυδίδῃ. ὥσπερ καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ. Ὀψὲ δύων, ἐν δυσὶ μέρεσι λόγου δεῖ γράφειν κατὰ τοὺς παλαιούς. οἱ συνθέντες ἐφ' ἓν σφάλλονται. διὰ τοῦ ι γὰρ ἂν ἐγράφετο. ὡς τὸ ὀψιμαθής, ὀψιτέλεκτος, ὀψιτέλεστος. Ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο, ἀντὶ τοῦ ὀπτικῶς ἔχοντες. φασὶ γὰρ οἱ παλαιοί, ὡς τὰ τοιαῦτα ῥήματα ἔφεσιν δηλοῦσι, καὶ τὸ ἐπιθυμητικῶς ἔχειν, ὅθεν καὶ βρωσείω, τὸ βρωτικῶς φασιν ἔχω. καὶ κακκείοντες, οἱ κοιμητικῶς ἔχοντες. σημειωτέον δέ, ὡς οἱ τοιοῦτοι ἐν τούτοις οὐ προχωροῦσιν εἰς μέλλοντας. Ὄψεις, ὀπωπαί, ὀφθαλμοί, ὁράσεις. Ὀψέ ποτε, μόλις ποτέ. Ὀψιθῆ, ἐκεῖ φασιν εἶναι Ἡρωδιανός. ἀπὸ τοῦ ὄψομαι. Ὀψία, ἡ βραδεῖα. Ὀψίγονος, ὁ βραδέως γεννηθείς. Ὀψίας, ἑσπέρας. Ὀψίγονοι, οἱ ὀψὲ καὶ εἰς τὸ μέλλον γεννησόμενοι. τούτους δὲ καὶ ἐπιγόνους φαμέν. Ὀψιμαθής, ὁ ὀψὲ ἀρξάμενος μανθάνειν. Ὄψιμον, χρόνιον, ὕστερον. Ὄψιμον, ὀψιτέλεστον, ἐκ παραλλήλου. τοῖς αὐτοῖς εἴσω ὀνόμασι δηλωτικά, διὰ σαφήνειαν. Ὀψινός, ὁμοίως τῷ ὀρθρινός, καὶ τοῦτο ἁμάρτημα. χρὴ οὖν ἄνευ τοῦ ν ὄψιος. Ὀψιπαίδωνας, τοὺς ὀψὲ ζῶσιν ἄρξαντας παῖδας βράδιον. Ὄψις δέ, ἕξις διακριτικὴ χρωμάτων, ἡ διάκρισις αἰσθητῶν. καὶ ἡ πρόσοψις, ἤτοι τὸ πρόσωπον. ἡ ὁρατικὴ δύναμις, καὶ τὸ ὁρατόν.

Ὀψιτελέστων, κατὰ πολὺν χρόνον τελεσθησομένων. Ὀψοδεία, ἡ ἔνδεια τοῦ ὄψου. Ὄψομαι, καὶ ὄψει μόνα ἐν χρήσει. τὰ ἄλλα θέτουσιν ἄχρηστα. Ὄψον ἁπλῶς φασιν οἱ παλαιοί,

πᾶν

ἀντὶ τοῦ ὤφελλε, τὸ εὐκτικὸν ἀντὶ τοῦ προστακτικοῦ, κἀκεῖ ᾗ δῆμον ὀφέλλεις, ἀντὶ τοῦ ὀφέλλοις. Ὀφέλλω, σημαίνει τὸ αὐξάνω, καὶ διαβάλλω. ἐξ οὗ πλεονασμῷ τοῦ ε γίνεται ὀφείλω. ὅθεν καὶ τὸ ὀφείλημα τὸ αὐξανόμενον ἐν τῷ τόκῳ δάνειον. Ὄφελμα, αὔξημα, σάλευμα, κάλλυντρον. Ὀφέλματι, σαρώματι. Ὄφελον, ταυτὸ ὂν τῷ ὤφελον. ἀναστροφὴν δὲ ἐπιπλέον ἔχει, καὶ ἀπόλαυσιν δηλοῖ. Ὄφελον, εἰ μὲν λαμβάνεται ἀντὶ τοῦ εἴθε, εὐκτικῷ συντάσσεται, ὡς ἐν τῷ ὄφελον ἐκτετελεσμένον αἱ ἐθέλει μέν. καὶ μηλ' ἀπολλυμένας χέοι. οἷον ὄφελον ἐγένετο, ἀντὶ τοῦ εἴθε ἐγένετο. ὁ χαρακτὴρ διὰ τοῦ ο μικροῦ. εἰ δὲ ἀντὶ τοῦ ἐχρῆν ἐῶ, διὰ τοῦ ω μεγάλου, καὶ κανονίζεται ἀπὸ τοῦ ὀφείλω εἰς παρατατικόν. οἷον ὀφείλω. ὁ παρατατικὸς, ὤφελον, ες, ε. καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου. οἷον ὤφελον γενέσθαι τόδε. καὶ τὸ ὡς χαρακτῆρι ἀντὶ τοῦ εἴθε. ὡς ἐν τῷ, ὡς ὤφελλόν γε, μὴ δὴ ἐν ὀφθαλμοῖς, κατὰ δὲ τοῦ ως, ὁ τοῦ εὖ, ἢ ἔτι τοῦ πάτε, ἀντὶ τοῦ ἐχρῆν ἐσαι. οἷον ἐκεῖ παραγινόμενον ἐνταῦθα, ὡς μὴ ὤφελον. καὶ τόδε, ὡς οὐκ ὤφελον. σημείωσαι δὲ ὅτι ταῦτα συντασσόμενα ἔχει τὸ ἀπαρέμφατον ἅπαξ ῥηθὲν τὸ ποιῆσαι, ὃ παραγινόμενον, ὃ διεσπάσθαι. οἷον ἐκεῖ τόδε ποιῆσαι, ὡς μή ποτ' ὤφελον ποιῆσαι φιλοσοφῆσαι. Ὄφελος, ὠφέλεια, ὠφέλημα, κέρδος, κέρδαλεον, ἐπικερδὲς, ἐπωφέλημα, ἕρμαιον, εὕρημα, εὐτυχία. τὰ δὲ ἐναντία. ἐπιρρ. ὠφελίμως, ἐπωφελῶς, κερδαλέως, ἐπικερδῶς. ὠφελεῖσθαι, κερδαίνειν, ἐπαυξάνειν, εὐημερεῖν. ἕτερα δὲ καὶ ὠφέλιμον, χρειώδης, χρεῖον, πρόχειρον, χρήσιμον, ἀναγκαῖον, ἐπιτήδειον, ἐπωφελὲς, λυσιτελὲς, συμφέρον, σύμφορον, συμφέρεται, ὀνήσιμον. τὸ δὲ ὀνησιφόρον, μακάριον. ἐπὶ δὲ φυτῶν, ἡ χρεία. καὶ τὸ σπουδαῖον, ἡ χρεία. ἡ ὠφέλεια, τὸ κέρδος. φαῦλον ἐναντία. τὰ δὲ ἐναντία, ἀχρεῖον, ἄχρηστον, βλαβερὸν, ἀσύμφορον, ἀλυσιτελὲς, ἀνωφελὲς, ἀνόνητον, ἀνεπιτήδειον. Ὀφελοῦνος, ἀγαθοποιὸς, σύμφορος, παραχωρητικὸς. Ὀφέλτης καὶ ζέραξ. ὄρνεον. ὁ μὲν ὀφέλτης, ἀπὸ ὀφέλτου τοῦ καὶ ἀρχιμόρου κληθέντος. ὃς υἱὸς ἦν Λυκούργου ἱερέως τοῦ Νεμέου Διός. ζέραξ δὲ ἀπὸ ζέρακος τοῦ ἱερέως. ὁ δὲ αὐτὸς, ζέραξ κατὰ Φίλωνα καὶ ἑτέρους, κεφαλεὺς λέγεται. νῦν δὲ ὁ κεφαλεὺς, ἐλεολόγων ξυλοφάγος καλεῖται, τρυχάτα καὶ πέλεον, δρυοκολάπτης, δρυοβαίνας. ὅτι δὲ εἰσὶ διαφέροντα ὁ ἄφειος καὶ ὁ ἄβατος, καὶ ὁ πρόμαχος. ἄφειος λέγεται μὲν, ὅτε καλὸν ὁ ἄνθρωπος ἐν μέσῳ. πρόμαχος δὲ, ὅτε καλὸν ἡ οἰκία. ἄβατος, ὅτε καλὸν ὁ βοῦς, ὥσπερ φασὶν οἱ κῶοι. Ὀφελτρεύω, ὀφελτρεύουσι, κοσμοῦσι πέδον. λοιπὸν, σημαίνει τὸ καλλύνειν. Ὄφελτρον, καλλυντρον. Ὀφθαλμίαν, ἰδίως τῶν κόρων φασίν.

Ὀφθαλμιάζει, φθονίζει, ἐπιβάλλει ὀφθαλμόν. Ὀφθαλμοῦ, ἀνταποδότης ὁ τοὺς ὀφθαλμοὺς τοσοῦ. δυσωπεῖται. Ὀφθαλμοῦ ἀλάωσε. ἐξετύφλωσε τὸν ὀφθαλμόν, κείμενον ἁπλῶς οὐ γὰρ διὰ στερήσεως. ἄλλως γὰρ καὶ χωρὶς τοῦ ὀφθαλμοῦ νοεῖται τὸ ἀλαώσειν ἐπὶ τυφλότητος. Ὀφθεῖ, εὑρεθῆ, φανῆ.

Ὀφθαλμός βασιλέως, ὁ ἐπίσκοπος κατάσκοπος. Ὀφιγοί, οἱ σὺν ὄχλῳ. Ὀφιδάζειν, χαλάζειν, διατρίβειν, εἴκειν.

Ὀφιομάχης, εἶδος ἀκρίδος μὴ ἔχον πτερά. Ὀφιόλεκτος, ὁ ὑπὸ ὄφεως δηχθείς. ὄφις ἀπὸ τοῦ ἰὸς, ἴσις, ἐν ὑπερθέσει καὶ πλεονασμῷ τοῦ φ, ὄφις. Ὀφιοῦχος, γυνὴ ἱέρεια. Ὀφιοῦσα, ὄρος νησὸς ἐν Αἰθιοπίᾳ. Ὀφιονεὺς. Ἠριδανὸς διὰ τὸ πλῆθος τῶν ὄφεων. Ὄφις παρὰ τὸ ὄπτω ὃ βλέπω. ὀξυωπὲς γὰρ τὸ ζῷον κοιμώμενον ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς. Ὄφις, νιὸς ἰχθύς. καὶ ὁ χρυσοῦν πεδίον βραχύτερον, καὶ ὁ δράκων, ὁ φυλάσσων τὰ χρυσᾶ μῆλα, ὃν ἀπέκτεινεν Ἡρακλῆς. Ὄφλα, ὄνομα χωρίου ὅπου ἦν τεῖχος ἱερουσαλήμ. Ὀφλάνειν, ὀφλισκάνειν, ὀφείλειν. Ὄφλημα, τὸ ἐκ καταδίκης τῷ δημοσίῳ ὀφειλόμενον. Ὄφλησις ὀφείλημα τὸ ἐκ δανείου, καὶ ὁ ἁπλῶς χρέος. χρέος δὲ τὸ ἰδιωτικὸν δάνειον. Ὀφλισκάνουσι, καὶ ὄφλουσι χρεωστοῦσιν. Ὀφλωσκάνοντες, χρεωστοῦντες, ὑπομένοντες. Ὀφρὺς, ὄνυξ, ἄροτρον. Ὄφρα, εἰ μὲν ὑποτακτικὸν ἐπιφέρηται, σημαίνει ὅπως, ἀντὶ τοῦ ἵνα. εἰ δὲ ὁριστικὸν ἐπιφέρηται, ἕως ἐπίῤῥημα, ὡς ὄφρα μὲν ἠὼς ἦν, ἀντὶ τοῦ ἕως. Ὄφρα εἰδῇ τε, ὅπως εἰδῇ τε, ἵνα εἰδῆτε. Ὄφρ' ἄν, ἕως ἄν. Ὄφρ' εὖ εἴδω, ὅπως καλῶς ἴδω. Ὄφρυα, τὰ ὑψηλὰ, καὶ ὑπερκείμενα χωρία. λόφοι, αἱμασιαί. Ὀφρυανασπῶν, μεγαλοφρονοῦντες, παρὰ τῷ Ἀριστοφάνει. ἀπὸ τῆς ὀφρύος ἡ φρόνημα καὶ σεμνὸν, ἀντὶ τοῦ ὑπερήφανον. Ὀφρυάζειν λέγεται, τὸ ταῖς ὀφρύσι κινεῖν. Ὀφρυωμένα, λόφοι σκοπιαί, οἱ δὲ μέσον, καὶ ὑψηλόν. Ὀφρυγὴ, χῶμα, λόφος, αἱμασιαί. Ὀφρὺς, παρὰ τὸ ὄπτω γίνεται καὶ τὸ ῥύω τὸ φυλάσσω τροπῇ συνήθει, ὡς ἐν πολλοῖς τοῦ π εἰς φ. φυλάσσουσι γὰρ αἱ ὀφρύες τὴν ὄψιν, καὶ τοῦ μὴ κακουργεῖσθαι ὑπὸ ἱδρώτων.

Ὀφρύωσσον, ἐρυθριῶντα. οἱ γὰρ ἐρυθριῶντες κινοῦσι τὰς ὀφρῦς. Ὀφρὺν, λέγω ὅτι ἔστι ὁ ἔσχατος τῶν ὀρῶν ἐξοχῶν. ὡς ἐν τῷ ἐπ' ὀφρύσι καλλικολώνης. ὥσπερ φησὶ Κράτης ὁ κώμικος, ὁ ὀρέων κάρηνα. καὶ ὀφρῦς, τὰ κρημνώδη καὶ τραχέα τῶν ὀρῶν καὶ ἔξοχα καὶ ὑπερηφανεῖ. Ὀφρύνειον, πόλις ἐστὶ Τρωάδος. ὡς δηλοῖ Ἀνθεστίων ἐν τρίτῃ Ἀτθίδος. Ὀφρυόεν, μετέωρον. Ὀφρυόεσσα τροία, ἡ ἐπὶ ὀφρυώδους τόπου κειμένη. ἢ διὰ τοῦτο καὶ ὑπερηφανία. ὀφρύες γὰρ αἱ ὀρειναὶ ἐξοχαί. Ὀφρυόεντα, λοφώδη, ὑψηλόν. καὶ ὀφρυόεντες, ὑπερήφανοι. Ὄχα, ἐξόχως. ἀπὸ τοῦ ἐξέχω ἔξοχος, τὸ ἔξοχον, τὰ ἔξοχα, ἐπίῤῥημα ἔξοχα, καὶ ἀποβολῇ τῆς ἐξ προθέσεως ὄχα. ἀποβάλλεται γὰρ πολλάκις ἡ πρόθεσις, ὥς ἐστι τοῦ κατανεῖς, ἀνεῖς. Ὄχανον, τὸ κράτημα τῆς ἀσπίδος. καὶ ὄχανον, ὁ δεσμὸς καὶ ὁ λῶρος. ἐξ οὗ ἀποκρέμαται ἡ ἀσπίς, γίνεται δὲ παρὰ τὸ ἔχω, ὃ σημαίνει τὸ κρατῶ, ἔχανον, καὶ ὄχανον. Ὄχ' ἄριστος, ταυτὸν τῷ μέγ' ἄριστος. καὶ ἐξόχως ἄριστος. ὑπερθέσεις ἐπὶ ὑπερθέσει, κατὰ σολοικισμὸν ποιητικόν.

Ὀχεῖ, ἐλαύνει. ὁ λόγος ἐπὶ Ἀχιλλέως, οὐ βαρυτονεῖς ποιεῖ. ὃ τὸ ἀβρὸν μυελός. Ὀχεῖν εἴρειν, τὸ ὀχεῖν, φέρειν, βαστάζειν. ὅθεν καὶ τὸ ὀλιγάκις ὑποχείας ὀχεῖσθαι. ἰστέον δὲ, ὅτι ἐχέφρονας τὸν περιφραστικὸν ἐχυρούς εἶναι, καὶ εἴρηται ἐκ μεταφορᾶς τῶν ἀφθονοφορικῶν. καὶ λέγεται ὀχεῖν. καὶ ὀλκεῖν. Ὀχέσθαι, ἀντὶ τοῦ ὠχεῖν. ἤτοι ἔφερον, ἐβάσταζον. Ὀχέεσθαι, ἄλλοθι μὲν ἐνεργητικῶς νοεῖται. οὕτω γὰρ φαμὲν ὡς θέλω τινὰ ἵππους ὀχεῖσθαι. ἄλλοθι δὲ ὀχέεσθαι λέγει τοὺς Ἀχιλλέως ἵππους ὑποδέξασθαι, ἀντὶ τοῦ ὑπὸ ἡνιόχου γίνεσθαι. Ὀχεία, κοντία. ἢ ἄγκυρα. παρὰ τὸ ὀχεῖν ἐν τῷ πόντῳ τὰς ναῦς. Ὀχεία, ἡ μίξις, καὶ ἡ συνουσία. Ὀχεῖον, ἅρμα, δίφρος, ἅμαξα, ὄχημα. ἢ καὶ τέως εἰς ὀχεῖαν ἐπιτήδειος. Ὀχεῖσθαι, ἄλλως μὲν κοινότερον ἐπὶ γυναικὸς δηλοῖ, λαμβανόμενον ἐπὶ τοῦ ἐποχεῖν καὶ ἐπιβαίνειν. λαμβάνεται καὶ παθητικῶς παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐποχεῖσθαι. Ὀχεῖται, μετέωρος φαίνεται. Ὀχεῦνται, ἐν αὐτοῖς ἔχονται. Ὄχεον, ὑπέμενον, ἔφερον.

Ὄχεσφιν, κατὰ προσχηματισμὸν Ὅμηρος Ἰλιάδος ε. ἔνθα δ' ἐπεί γε ἄνωκτο παρ' ἵπποισι καὶ ὄχεσφι, δὶς ὀχήμασιν, ἢ τοῖς ἅρμασιν. Ὀχετεύειν ἐστὶ κυρίως, τὸ ὕδωρ δι' αὐλακος ἄγειν. ἀφ' οὗ μετοχετεύειν, τὸ μετάγειν ὕδωρ ἐφ' ἑτέραν αὔλακα. Ὀχετεύω, ἐπιχέω, σαλεύω, μεταφέρω. Ὄχετλα, τὰ ὀχλήματα, οἱ δὲ τὰ συντεθραυσμένα. Ὀχετὸς, σωλὴν, ἀγωγὸς, ῥύαξ, ὕδωρ, ὑδραγωγεῖον. Ὀχετηγοί, τὰ κηλώνια, ὃ ἐκλήθησαν αἱ λεγόμεναι τῶν μηχανημάτων. εἰσὶ δὲ αὗται ξύλινοι, ὑδραγωγοί. οἱ δὲ φασι τοὺς ὑπονόμους, καὶ τοὺς ὑπὸ τὴν γῆν ὀχετούς. Ὀχεῦνται, ἐρίμαι κινοῦνται.

Ὀχεὺς, ὁ μοχλός, ἢ τῶν λεγομένων σειρά, ἤγουν σειρά. ὁμοίως τῷ ζεὰ ζειά, καὶ λαιρὰ λαιρά. καὶ γίνεται παρὰ τὸ ἔχω, ὁ τὰς θύρας συνέχων. διὸ ὁ ποιητὴς τρόπῳ ἐτυμολογίας

ἔφη.

ὑπνοῦσ' ἰσχυρῶς καὶ ἀνάγκην. τὴν γὰρ πάντων ἀρίστων μετὰ τὴν κατὰ γοργόνας ἄλλων ἀπίκτειν καὶ ἀφελεῖν. Παπταίνω, σημαίνει τὸ περιβλέπω, καὶ περισκοπῶ τῇ δὲ κακίᾳ. Πίνδαρος, μαίνεται πάπταινε πόρσιον, ἤγουν περισκόπει πορρωτέρω. παπταίνειν τὸ πάντη διασκοπεῖν, ἔνθεν ὧδε ἐκεῖ τὴν ὄψιν.

Παπυλιμίδος, σκληρὸς, ὄνομα κύριον. Πάπυρος, θηλυκῶς ἡ πάπυρος. λαμπάδα καρποχίτωνα, γρίφη τυφήρη, λύχνον χαρο, καὶ λεπτῇ σφιγγομένην πανίδι. Πάρα. ἰσέον, ὅτι οὐ μόνον ἀντὶ τοῦ πάρεστι, καὶ πάρεστι λαμβάνεσθαι, ἀλλὰ καινότερον, καὶ ἀντὶ τοῦ πάρειμι πρώτου ἐνικοῦ προσώπου, ὡς ἐν παλαιῷ πῶς. πολῶν παίγμασιν φέρεσθαι. ὅπου καὶ χρῆσις κεῖται, τίς ἐστιν ὁ κωλύων τ' ἀνέρχεσθαι; ἐγὼ πάρα. Παρὰ πρόθεσις, ὅτι πλησιότητα δηλοῖ, ἐπὶ μὲν ἐμψύχου δοτικῇ συντάσσεσθαι. οἷον παρὰ βασιλεῖ καθέζεται. ἐπὶ δὲ ἀψύχου, αἰτιατικῇ. τουτέστι δὲ ἀμφότερα ὁμοῦ, ἐπὶ μὴ ἀψύχου εἰς αἰτιατικὴν εἶναι. καὶ θρόνος αὐτῶν ἐκεῖτο παρὰ κέρας τὴν πέραν τὴν πρότερον. Ὅμηρός φησιν ἐν τῇ Ἰλιάδι, ποῖοι δὲ παρ' αὐτὴν ἔχον παμποίκιλα χερσίν. ὡσαύτως καὶ Πλάτων ἐν Φαίδωνι, καὶ σὺ παρ' αὐτὴν σύγκειται ἐγώ. ὅτι δηλοῖ ἀντὶ τοῦ εἰς, ἐπὶ κινήσεως ἀεὶ τίθεσθαι, ἀλλ' ἔστιν ὅτε καὶ χωρὶς κινήσεως, ὡς αὐτὸς ἐν τῷ αὐτῷ. καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῆκε, καὶ διαλέγει. ἐνίοτε ὁ παρὰ γενικῇ καὶ δοτικῇ, καὶ αἰτιατικῇ συντάσσεσθαι. μετὰ γενικῆς σημαίνει τὸ λαμβάνειν τι ἀπό τινος, μετὰ δοτικῆς σημαίνει πλησιότητα, οἷον παρὰ βασιλεῖ καθέζεται. καὶ ὕπαρξιν λεκτὸς ἐν λόγῳ. ἔχει ἐν τῇ συνθέσει σημασίας, τὸ παρακεῖσθαι ῥῆμα ἀεὶ ἢ προσκείμενον, ἢ σεσημειωμένον. οἷον παρὰ τοῦ θεοῦ τὸ κλέος, ἤγουν ἐκ τοῦ κυρίου. μετὰ δὲ τῆς αἰτιατικῆς, δηλοῖ κίνησιν, οἷον παρὰ σὲ ἦλθον. καὶ αἰτίαν, οἷον οὐ παρὰ τοῦτ' ἐγὼ κακὸς, ὅτι σὺ ἐντυχὼν ἁμαρτάνεις. ἀντὶ τοῦ διὰ τοῦτο, καὶ ἔξω. οἷον παρὰ τὴν ἀλήθειαν λέγεις, καὶ παρὰ τὸ δίκαιον πράττεις, ἀντὶ τοῦ ἔξω τῆς ἀληθείας, καὶ τοῦ δικαίου. κατὰ τοῦτο τὸ σημαινόμενον λέγεται, καὶ τὸ παρά. οἷον φύεται μὲν ὁ λαγωὸς κατὰ φύσιν, ἀπεκρίνατο δὲ ὁ αὐτὸς, παρὰ πέφυκεν, οἷον ἔξω οὗ πέφυκε. καὶ παρανενόμηκε ἄνθρωπος, καὶ ἐξήλασεν. οἷον παρὰ τὸ ὁρίζεσθαι ὑπάρχουσιν, καὶ παρὰ τὸ δέον καὶ θεῖον Δημοσθένης. σημαίνει ἐν τῇ συνθέσει παραφρονεῖν τι, ἢ καταφρονεῖν, οἷον παρεώρακε. ἢ παραλλάττεσθαι, οἷον τεῖχος μεγάλου παρέδραμον τέλος, καὶ παρῆλθεν αὐτόν. Παρὰ, συντασσόμενον ῥήμασιν ἐνίοτε δηλοῖ τὸ ἐκτὸς οἷον μετὰ τοῦ πρεσβεύω, τὸ ἔξω τῆς πρεσβείας τι πράττειν. ὡσαύτως καὶ πάρειμι, ἀντὶ πλησίον εἰμί. Παρὰ, ὡς ἐπίρρημα, ἀντὶ τοῦ πλησίον. Παρὰ πρόθεσις σημαίνει τρία. τὴν ἐκτὸς σχέσιν, ὡς ἄνομος παράνομος, λαλῶ παραλαλῶ, ἑστὼς παρεστώς. τὴν πλησιότητα, ὡς τρέχω παρατρέχω, ἐγείρω παρεγείρω. καὶ τὴν πλείονα σχέσιν, ὡς τὸ ὁρμῶ παρορμῶ. καὶ τὸ ἔξω δηλοῖ, ὡς παραπλεῖν, τὸ ἔξω πλεῖν. Παρὰ δὲ χρυσόθρονος ἥρα, ἔλλειψιν ἔχει. ὡς γὰρ τὸ μετὰ δὲ ἀντὶ τοῦ μετὰ ταῦτα δέ. καὶ ἐπὶ δὲ, καὶ πρὸς δὲ, ἀντὶ τοῦ ἐπὶ τούτοις καὶ πρὸς τούτοις, οὕτω καὶ παρὰ δὲ χρυσόθρονος ἥρα, ἤγουν παρὰ δὲ αὐτῷ ἡ χρυσόθρονος ἥρα. ἐν δὲ τῷ χρυσόθρονος φασὶν οἱ παλαιοί, τὴν χρυσῆν, ἀντὶ τοῦ πόρος ἐλεῦθαι ἐνηργεμένης. κεφαλὰς γάρ φασι πρὸς τῶν αἰθίων καὶ τῶν ἐλίων. Παρὰ ἐλπίδα νῦν ἐμοὶ συνέβη, ἤγουν ἔξω. Παρ' ἆσσον, παραχρῆμα, εὐθέως. Ἀπολλώνιος, ὡς φάτο, τὴν δὲ παρ' ἆσσον ἀθλοσύνη προσιέναι. Παρὰ πόδα βαίνει, ἀντὶ τοῦ πλησίον ἀκολουθεῖ. παρὰ πόδας, ἀντὶ τοῦ ἐγγύτατα. Συνέσιος. ἀνάγκη παρὰ πόδας ἀποδοῦναι τὴν χάριν.

Παρὰ τόπον, ἀντὶ τοῦ εἰς καιρὸν τόπον. οἱονεὶ ἔξω τοῦ καλοῦ τόπου. Συνέσιος, παρὰ τόπον ὁρμήσαντα, διὰ τὴν ἀπορίαν. Παρὰ, τὴν εἰς τὸ μέσον ἄφιξιν δηλοῖ. ὡς τὸ κἀγὼ παρὰ μέσον εἶμι ἐν μέσῳ, ἀντὶ τοῦ εἰς τὸ μέσον ἐλθών. Παραβαίνειν, τὸ ἐγγὺς βαίνειν. ταύτην δὲ εἰπὼν ἀρχιερεὺς ἐπαύσατο. ἐξ οὗ καὶ ὁ ἐφάρματος παραβάτης γίνεσθαι. Παραβαίνει τοὺς νόμους, καὶ τὰς σπονδὰς, καὶ τὰ συντεθειμένα. ὡς Ξενοφῶν, καὶ παραβαίνει μὲν ἄριστος τὰς μεθ' ἡμῶν σπονδὰς, παραβαίνει δὲ καὶ Τισσαφέρνης ὁ βασιλεύς. παραβαίνει, καὶ τὸ ὑπερβαίνει. Παραβαλέσθαι, τὸ ἐξαπατῆσαι. ἔστιν καὶ παραβλέπειν, ἀντὶ τοῦ ἀπατηλικῶς. Παραβαλεῖς, παραθήσεις, ἢ πλησιάσεις. Παραβάλλεσθαι, ἀντὶ τοῦ ἀποτάξασθαί φησι Λιβάνιος. Παραβάλλομαι, τὸ μάχομαι, δοτικῇ συντάσσεται. Παραβαλλόμενον, ἀντὶ τοῦ διαμαχόμενον. Παραβάλλω, τὸ συγκρίνω καὶ παρατίθημι, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. Παραβάλλω, τὸ πλησιάζω, καὶ τὸ παρακάζω, τὸ ἔρχομαι, καὶ τὸ παραβιάζω. παραβάλλω, τὸ ὁρμῶ, καὶ πρὸς δεῖπνα παραβάλλομαι. Παραβάλλει, ἀντὶ τοῦ παραγίνεσθαι. καὶ παραβάλλει, ἀντὶ τοῦ συγκρίνει. καὶ παραβάλλει, ἀντὶ τοῦ ἐμβάλλει, καὶ ἀντὶ τοῦ τρέφει ἄλογον ζῶον. ὅθεν τὸ παράβλημα, ὡς παρ' Ὁμήρῳ παραβλήματα, αἱ τροφαὶ τῶν ἵππων. Παραβάλλομαι, παθητικῶς τὸ παρεξετάζομαι, καὶ συγκρίνομαι, καὶ τὸ ῥιψοκινδύνως τι ποιῶ πρὸς κῦμα παραβαλλόμενος. καὶ Ὅμηρος παραβαλλόμενος ἐμὴν ψυχὴν, κινδύνοις παρακείμενον. Παραβαλοῦ, ἀντὶ τοῦ ὁρμίσον τῇ γῇ τὴν ναῦν. παρὰ τῷ Ἀριστοφάνει ἐν τῇ ναῦ ὁ χάρων λέγει. Παράβασις, παρὰ τῷ Ἀριστοφάνει. ὃ διέμενει, δοκεῖ λέγεσθαι ἐκ τοῦ χοροῦ. εἰσάγει δὲ τὸ ἑαυτοῦ πρόσωπον ὁ ποιητής. παράβασις δέ ἐστιν, ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβὰς, ἀπαγγέλλῃ πρὸς τὸν δῆμον ἀφορῶν. εἴδη δὲ παραβάσεως ἑπτά. ἁπλᾶ μὲν τρία, κατὰ δὲ σχέσιν τέσσαρα. ἀπὸ τοῦ βουλομένου, ἔξεστιν εὑρεῖν ἐν τοῖς εἰς τὰς Ἀριστοφάνους κωμῳδίας σχολίοις. Παραβάσει κέχρηται ὁ χορὸς. μηδὲν περὶ τὸ προκειμένου λέγων, ἢ τὴν ποιητὴν ἐπαινῶν. παράβασιν δὲ τοῦτο ἐκάλουν, ἀπὸ τοῦ παραβαίνειν τὸν χορὸν, ἀπὸ τῆς νενομισμένης στάσεως εἰς τὴν κατ' ἀντικρὺ τοῦ θεάτρου ὄψιν. ὁπότε ἐβούλετο ὁ ποιητὴς διαλεχθῆναί τι, ἔξω τῆς ὑποθέσεως, ἀπὸ τῶν ὑποκειμένων πρὸς τὸ θέατρον διὰ τοῦ χοροῦ. ἐστρέφετο δὲ ὁ χορὸς καὶ ἐγένετο στίχοι τέσσαρες. εἶτα διελθεῖν τὴν καλουμένην παράβασιν, ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ αὐτὸ ποιοῦσιν οἱ ποιηταὶ τὸ στρέφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν. Παραβάται λέγονται, οἱ μαχόμενοι ἐν τοῖς ἅρμασι, παρ' Ὁμήρῳ. Παραβάτης, ἐνίοτε ὁ ἡνίοχος εὑρίσκεται λεγόμενος, ὡς ὅτι τὴν ἵππων θρασὺν ἡνίοχον ὁ ποιητὴς λέγει. εὑρίσκονται δὲ οὐ καὶ ἡνίοχος, διὰ τὰ ἡνία λαβεῖν καὶ ὅλως ἐπελάσειν, εἰ λύσας αὐτὰ ἀνάγκαις φέρονται. εἰ δὲ καὶ ὁ κομψὸς παρόχος οὐ λέγεται παραβάτης, φαίνεται ἀρχοῦ. Παραβεβαῶτος, παραβεβηκότος. Παραβέβλησαι, παραβέβλησαι κέχρησαι. Παραβιβάζεσθαι, παραβαίνεσθαι. Παραβλέπων παρ' Ἀριστοφάνει, οὐκ ἀτενίζοντος φησίν, ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέποντος. Παραβλέψας παρ' Ἀριστοφάνει, ἀντὶ τοῦ πλησίον βλέψας. καὶ γὰρ παραβλέψας τι μειρακίσκης, τινὶ κατεῖδον. σημαίνει καὶ τὸ πλαγίως βλέψας. Παραβλῶπες παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀπατηλικῶς, παρανεύσαντες. παραβάλλεσθαι γάρ φασι καὶ τὸ ἐξαπατᾶν. ἐξ οὗ καὶ παραβαλλόμενος, ὁ ἀπατῶν τοὺς φίλους, ἀλλὰ καὶ ἁπλῶς παραλέγεται. ἀφ' οὗ καὶ παράβλημα κοινῶς, ὃ ζῴοις τροφὴν παρατιθέμενον. ἐντεῦθεν δὲ καὶ ὁ παράβολος ἄνθρωπος, ὁ κινδύνοις ἑαυτὸν παραβάλλων, ὅ ἐστι παρατολμῶν. καὶ πρᾶγμα ὅπερ ὁ τοιοῦτος ποιεῖ, παραβάλλω γίνεται, ἐκ τοῦ βάλλειν μετὰ τῆς παρὰ προθέσεως. καὶ μετὰ τῆς ἀνὰ προθέσεως, τὸ ἀμβλώσκω γόνος, ὡς ἐκ τοῦ μουσικῶς ἀναβάλλεσθαι, κατὰ τὸ ἀνεβάλλετο καλὸν ἀείδειν. οὕτω καὶ τὸ παραβαλλόμενος, ὃ δηλοῖ τὸ ἐκ παραβολῆς καὶ συγκρίσεως. Παραβλῶπες παρὰ τῷ

Ἀπολλωνίῳ

φασὶ δὲ ὡς καὶ τὶ θέλει δηλοῦσθαι, δῆλον. ἴσως δὲ δηλοῖ τὸ ἐκ τοῦ Διομήδους ὑπ' αὐτοῦ νοσφισθῆν, ἤτι χωρισθῆν καὶ ἀρπασθῆν. Πανζοία, ἡ πανοπλία. ἴσως ἀπὸ τοῦ σάκους εἴρηται.

Πανσελήνου, πεντεκαιδεκατίου πεπληρωμένης σελήνης.

Πανσθενεστάτῳ, ἰσχυροτάτῳ. Πανσπερμία, παγκαρπία.

Πανστρατί, σὺν ὅλῳ τῷ στρατεύματι. Πανσυδὶ, ὅτι διὰ τοῦ δέλτα γράφουσιν οἱ παλαιοὶ, ὡς τὸ σύνειπος, σύνειμος, καὶ τὰ ὅμοια. δηλοῖ δὲ κατ᾽ ἐκεῖνο, τὸ παμπληθεί. ἔνιοι δέ φασι πανσυδὶν, ἀντὶ τοῦ πανταχοῦ, μεθ᾽ ἑνὸς ἀσυμφώνου μέσου. ἄλλοι δὲ πανσυδὶν, ἀντὶ τοῦ πανορμεί. Δίδυμος δὲ Διονύσιος, ἀντὶ τοῦ παντελῶς. ὅθεν παρὰ Θουκυδίδῃ τὸ πανσυδὶ διηρέθη.

Πάντα κάλων σείειν, παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. Πάντα δ' ἀπὸ πλευρῶν χέε ἔργατιν. οἱ κατὰ βάθους ἔπρησεν, ἀντὶ ἀπὸ ἀπὸ τῆς χειρὸς, καὶ τῶν πλευρῶν τὸ δέρμα. Πάντα γυναῖκες ἴσαν, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥραν, παρὰ Θεοκρίτῳ. φασὶν ὅτι τὰ πάντα αἱ γυναῖκες γινώσκουσι, καὶ ὅτι Ζεὺς λάθρα τῇ Ἥρᾳ συνῆλθε. καὶ Ὅμηρος μὲν εὐνῆς φοιτῶντε φίλους λήθοντε τοκῆας. Ἀριστοκλῆς δὲ ἱστορεῖ ἐν τῷ περὶ Ἑρμιόνης ἱερῶν, ἰδίως ἀνθρώπων περὶ τοῦ Διὸς καὶ τῆς Ἥρας γάμου. ἱστορία. τὸν γὰρ Δία μυθολογεῖ ἐπιβουλεύσειν τῇ Ἥρᾳ μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. βουλόμενος δὲ ἀφανὴς γενέσθαι, καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς, τὴν ὄψιν μεταβαλεῖν εἰς κόκκυγα, καὶ καθέζεσθαι εἰς ὄρος, ὃ πρῶτον μὲν Θόρναξ ἐκαλεῖτο, νῦν δὲ Κόκκυξ. τὸν δὲ Δία χειμῶνα ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ, τὴν δὲ Ἥραν πορευομένην μόνην ἀφικέσθαι πρὸς τὸ ὄρος, καὶ καθέζεσθαι ἐπ᾽ αὐτὸ, ὅπου νῦν ἐστιν ἱερὸν Ἥρας τελείας. τὸν δὲ κόκκυγα ἰδόντα, καταπτῆναι διὰ τὸν χειμῶνα, καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς, τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν, οἰκτεῖραι καὶ περιβαλεῖν τῷ ἀμπεχόνῃ. τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν, καὶ ἐπιλαβέσθαι τῆς Ἥρας, τῆς δὲ τὴν μῖξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν ὑποσχέσθαι γυναῖκα ταύτην ποιήσασθαι. καὶ παρ᾽ Ἀργείοις δὲ οἱ μέγιστοι τῶν Ἑλλήνων τιμῶσι τὴν θεόν. τὸ δὲ ἄγαλμα τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν θρόνῳ, τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ᾽ αὐτῷ τῷ σκήπτρῳ κόκκυξ.

Παντάνα, τρυβλίον. Πανταλακοῖν, ἀντὶ τοῦ παντελῶς καὶ τελέως, καὶ καθόλου, τὸ παράπαν, διόλου, ταῦτα καὶ ἐπὶ τοῦ αὐτοῦ λαμβανόμενα. Πανταρκία, πᾶσι βοηθεῖν.

Πανταρκὴς, ὁ πᾶσιν αὐταρκῶν. Πάνταρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκε. συνεκδοχὴ ἀπὸ τῶν παρεπομένων τὴν τρῶσιν παρασχεῖν. ἀπὸ γὰρ τοῦ τόξου, τὴν περὶ τόξον ἐμπειρίαν δηλοῖ. καὶ οἱ δὲ πανουργίας σοφὸν ξυνὸν, ἤγουν ἔντεχνον.

Παντάσκιος, ὁ πάντοθεν σκιὰν οὐκ ἔχων. Πανταχῆ, πανταχοῦ, πάντα τρόπον, ἐν παντὶ τρόπῳ, καὶ πανταχόθι. πανταχοῦ δὲ καὶ πανταχόσε, εἰς πάντα τόπον. Πανταχῆ τῶν τόπων περιεσκεμμένοι, καὶ πανταχοῦ γῆς. Πανταχόθεν, καὶ πάντοθεν. Δημοσθένης, οὕτω πάντοθεν καταπεφρονηκότας ἐκείνους χρῶνται πάντοθεν, ἀντὶ τοῦ ἀπὸ παντὸς μέρους, καὶ ἀντὶ τοῦ εἰς πάντα τὰ μέρη. Πανταχοῦ, καὶ τὸ ὅπου, μετὰ γενικῆς. οἷον πανταχοῦ τῆς πόλεως. καὶ ὅπου γῆς ὑμεῖν. Παντελῶς, κυρίως. καθόλου δὲ, ἀττικῶς. Παντελὲς, παντελῶς, ὁλοτελῶς. καὶ παντεπόπτης, ὁ πάντα καθορῶν. Πάντες, ἀντὶ τοῦ οἱ πλεῖστοι.

Πάντοθεν, ὑπὲρ πάντων. Πάντ᾽ ἔχεις, πάντ᾽ ἐγνωκας.

Παντέλειον, ὁλόκληρον. Πανταχία, πανοπλία. Πάντη, πάντως, πανταχοῦ, πάντοθεν. Παντί, περισπώμενον δωρικῶς λέγουσι. Πίνδαρος, στέφανος σοφία καθ᾽ Ἑλλάνας ἐστὶ παντί. Πανδικάπαιον, ὄνομα πόλεως. Παντὶ θένα, ὅλῳ δυνάμει. Παντί γε, παντί που. Παντοδαπὰ, παντοῖα.

Παντοδαποὶς, διαφόροις. Πάντοθεν, προπαροξύνεται κατά τὸ εἶτεν. τὰ εἰς θεν ὑπὸ παραλήγόμενα ἐν τοῖς μόνοις προπαροξύνονται, οἷον ἔνδοθεν, ἔνδοθεν, ἄλλοθεν, ἑκάστοθεν, ὀπίσωθεν, ἔκτοθεν, πάντοθεν. τὰ δὲ ἄλλα πάντα παροξύνονται, οἷον ποντόθεν, τὸ ἐκ πόντου. οἰκόθεν, τὸ ἐξ οἴκου πόλεως καὶ τὸ ἐξ οἰκοῦ πράγματος. οἷον αἰσόθεν, αἰνῶς. τοῦθεν, ἀβυδόθεν, ὅσοθεν, ἐκ τοῦ οἴκου ὁ μέσος. πατρόθεν, καὶ ὅσα τοιαῦτα. Παντίον, πάντων ταλαιπώρων. Παντοδαπὰ. κεῖται παρὰ τῷ Ἀριστοφάνει ἀντὶ τοῦ πάνυ ἀλλ' ἀπὸ τοῦ λέγεσθαι πάντως. εἴρηται δὲ πάνυ πάλαι παρὰ τὸ κακὸν τὸν πηλόν. πηλὸς δὲ ὁ οἶνος, ὅθεν καὶ ἄμπελος, εἰσὶ ἔμπελος οὖσα ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. ἡ παντοδαπή, ἡ πάντα δεχομένη καὶ καταπίνουσα, ἡ πάντα ἐπιτηροῦσα. Παντοκράτωρ, ὁ θεὸς ὁ πάντων κρατῶν. Παντοπραγμοσύνη, πανουργία. Παντολιγοχρόνιος, παντελῶς ὀλιγοχρόνιος. Παντομάντορας, μοίρας. Παντομιγὴς, πολυειδής. Παντόσε, πανταχοῦ. Πάντοσε, εἰς πάντα μέρη. πάντοθε, παντί μέρει. πάντοσε ἴσαν ἀσπίδα λέγει Ὅμηρος, περιφερῆ. Πάντῃ μὲν λέγει, ἀεὶ ἑκάστοτε, καὶ διὰ παντός. Πανοῦργος, πάλαι μὲν ὁ πανοῦργος, νῦν δὲ οὐδαμῶς ἡ λέξις. καὶ ἡ συμφορὰ μέσον ἦν λέξις, καὶ ἐτέτακτο καὶ ἐπὶ συμφέροντος, νῦν κακὸν μόνον δηλοῖ. ὁ τύραννος τὸ βασιλικὸν ἦν ὄνομα, ἐλοιδορεῖτο νῦν. ἐλέγετο ἐξαίσιον ἦν καὶ ἐκδικεῖν, τὸ ἔξω τοῦ αἰσίου καὶ δικαίου, νῦν δὲ ἀγαθολογοῦνται χυδαῖοι, οἱ πεπληθυσμένοι. νῦν οἱ οἰδαιμονοῦντες, ἀλλοτρίους, οὐχ ὡς οἱ παλαιοί, ὁ ταλὶς καὶ ὁ ἀπολυμένος ὑμὸς. καὶ ἔνδοξος, οὐχ ὡς αἰσχρὸς, καὶ ἀνόσιος καὶ ἐπὶ φαυλότατος, νῦν δὲ ὁ ἀνόσιος. Παντουργῶ, πάντα ποιῶν. Πάντων ἐκπαγλότατε, ὑπὲρ πάντας ἐκπληκτικώτατε. Πάντως, παντελῶς, ἴσως δήπου, ἀληθῶς κυρίως.

Πάνυ σφόδρα, ἐκ παραλλήλου, τὸ αὐτὸ καὶ πάνυ λίαν.

Πανυπερτάτη, πασῶν ὑπερκειμένη τῶν παρακειμένων νήσων.

Πανυπέροχον, πάντων μέγιστον. Πάνυσσι, φησὶ, λαλοῦσα. οἱ δὲ κερίαν, ἢ τὰς θρίξας ἀναλαμβάνουσαν. Πάνωσιν, πάντων ἔχοντα. Πὰν, φασίν τις ὢν διὰ τὸ ἐπιφαίνεσθαι ἀπείροις τοῖς ἐνθουσιῶσι. Πανωλεθρία, καὶ πανώλης, ὁ πανώλεθρος. Πὰξ, ἀπόφθεγμα ἐμφατικόν. ἢ τέλος ἔχον.

Παξαμὰς, ὁ λίχνος ἄρτος. ἔστι δὲ ἡ λέξις ῥωμαϊκή.

Πάπα, προσφώνησις ὑποκοριστικὴ υἱῶν πρὸς πατέρα. οὕτω δὲ λέγεται παρὰ Συρακουσίοις ὁ πατὴρ πᾶς, καὶ κατὰ ἀναδίπλασιασμὸν, καὶ πλεονασμὸν τοῦ π, πάππας. Παππάζειν παρ' Ὁμήρῳ τὸ παππάζειν. ὡς καὶ τὸ πιππίζειν, ὀνοματοποιΐα. ὃ δηλοῖ τὸ βρεφικῶς προσφθέγγεσθαι τὸν πατέρα, καθά φασιν οἱ παλαιοί. ὥσπερ καὶ μᾶ, ἡ μήτηρ. καὶ κατὰ ἀναδιπλασιασμὸν, πάππας καὶ παππίας, ὡς μαμία ἡ ῥητορική. μάλιστα δὲ χρώμενον καὶ τὸ τοῦ ἀπαίου εἰκότος ἐν βιβλιοθήκαις, ὅτι βιθυνοὶ ἀνιόντες εἰς τὰ ἄκρα τῶν ὀρέων ἐκάλουν πάππαν τὸν Δία, καὶ Ἄττιν τὸν αὐτόν. ὁμοίως καὶ τὸ Ἡροδότου, καλεῖται Ζεὺς ὑπὸ Σκυθῶν ὀρθότατα Παπαῖος. ἐξ ὧν συνάγεται δεῖν μὴ εἶναι ξένην λέξιν τὸ πάππας καὶ παππῷος καὶ τὰ τοιαῦτα. Παππάζειν, παρακαλεῖν. Παπαιδάξ, παντελῶς. Παπαὶ, σχετλιαστικὸν ἐπίρρημα. Παπαιάξ, παπαιάξ, ἦχος ᾠδῆς, Ἀριστοφάνης νεφέλαις. Παππασμὸς, προσφώνησις, παρὰ παιδὸς εἰς πατέρα γινομένη. Παππῶ, ψηλαφῶ. παππῶ παππίας δευτέρας συζυγίας. τὴν ἁπαλῇ τε χειρὶ παππάσουσα. ἀπὸ τοῦ ἀφῶ τὸ ψηλαφῶ, ἀφῶ ἐστὶ παφῶ, καὶ τροπῇ τῶν στοιχείων παππῶ.

Παππίας, παρὰ τὸ πάππα, ὃ σημαίνει τῇ τῶν ῥωμαίων φωνῇ, τὸν πατέρα. Πάππος, ἀπὸ τῆς τῶν μικρῶν παίδων προσφωνήσεως. Ὅμηρος, οὐδέ τι μὲν παῖδες ποτὶ γούνασι παππάζουσι. Πάπποι, αἱ ἐπὶ τοῦ κάτω χείλους τρίχες. μύσταξ δὲ, αἱ ἐπὶ τοῦ ἄνω. Πάππος, ὁ πατρὸς πατὴρ. καὶ πάτρως ὁ τοῦ πατρὸς ἀδελφὸς, ὡσαύτως καὶ μήτρως, ὁ μητρὸς πατὴρ, καὶ ὁ ταύτης ἀδελφός. Παππορρόθος, ὁ περίσσῶς,

δὲ, πανίφθου. γέγονε δὲ παρὰ τὸ ἰθῶ ἰθύω ἰφθὸς, ὡς ἀγαπῶ ἀγαπάσω ἀγαπατός, καὶ τροπῇ τοῦ τ εἰς θ, καὶ πλεονασμῷ τοῦ ι ἰφθαιος, καὶ συγκοπῇ ἰφθὸς, καὶ ἐν συνθέσει πάνιφθος καὶ νίφθω. Πανίσιον, πᾶσι συναπτόν. Πανήγυρις, διαφορὰ συνάθροισις, ἀγείρω, ἄγυρις καὶ ἄγυρις. καὶ πανήγυρις, εἰς ἣν πάντες ἀγείρονται. Πανόδομον, διὰ βίου. Πανημέριος, καὶ ἐφημέριος, ἀμφίως παρῆκται. Πανημέριος, σημαίνουσιν πανήμαρ μὲν λέγει ἢ ἡμάτιον, τὸ ἡμερινόν. πανημάτιον δὲ οὐ λέγει, ἀλλὰ πανημέριον. οἷον πανημέριος αὐτὸς ἔσομαι. καὶ τοῖς πανημερίοις νίκος ἦν. Πανημέριοι, παρ' ἑτέροις ἐκεῖ ταῖς εὕρηται πανήμεροι, ὁμοίως τῷ ἐφήμεροι, ἐκβληθέντος τοῦ ἡμερινοῦ. Πανήμερον, τὸ δι' ὅλης ἡμέρας πραττόμενον, ὃ καὶ πανημέριον. ὡς καὶ τὸ δι' ὅλης τῆς νυκτὸς, πάννυχον καὶ παννύχιον. τὸ δὲ διὰ μιᾶς ἡμέρας πραχθὲν, αὐθήμερον. καὶ αἱ ἀποδόσεις διὰ μιᾶς ἡμέρας ἀποκαταλαβεῖν, αὐθημερίζουσι. τὸ δι' ὅλης τῆς ἡμέρας, ἡμερεύουσι, καὶ διημερεύουσι. οἷον ἐπὶ τῶν βαναύσων ὁ Πλάτων εἴρηκε, πρὸς τὴν ἀμφίεσιν. λέγειν ἄρα χαρημερεύειν ἐπὶ ἔργῳ, ἢ ἀνθρώπῳ. καὶ ὁ δι' ὅλης ἡμέρας βίος, ἡμεροβίοις. τὸ δὲ εἰς τὴν ἐπιοῦσαν μόνον, ἐφήμερον. τὸ δὲ παρὰ μίαν, παρήμερον, ἑτερήμερον. φαῖεν δ' ἂν τῇ ἐπιούσῃ ἡμέρᾳ, καὶ τῇ παρελθούσῃ, καὶ τῇ ὑστεραίᾳ, καὶ τῇ προτεραίᾳ, καὶ τῇ προτέρᾳ, καὶ τῇ χθὲς. ἐπὶ δὲ τοῦ ἐν αὐτῇ πραχθέντος, χθιζὸν, ἕωθεν. ἐπὶ δὲ τῆς παρούσης ἡμέρας, τήμερον καὶ σήμερον, καὶ ὁ ἐνεστὼς καὶ ἡ ἐνεστῶσα. ἡ δ' ἐπιοῦσα ἡμέρα, καλεῖται αὔριον, καὶ ὑστεραία καὶ προτεραία. τὴν δὲ μετὰ ταύτην εἰκάσαις ἂν, ὡς ἔνιοι Ἡσίοδος καλεῖ, εἰ μὴ τὴν τρικαιδεκάτην οὕτω λέγει. ἰδίως παρὰ Ἀθηναίοις καλοῦνται τριακάδες, ἐπὶ τῶν τετελευτηκότων. φιλοτιμότερον δὲ προσθεῖναι τὴν εἰς πρόσθεν ταῖς ἐπιούσαις ἡμέραις. οἷον εἰς αὔριον, καὶ εἰς τὴν ἐπιοῦσαν, καὶ εἰς ἡμέραν τρίτην, καὶ εἰς ἡμέραν τετάρτην. λέγεται δὲ, καὶ εἰς ἡμέραν ῥητὴν, εἰς ἣν ἂν ἐσώμεθα. καὶ εἰς ἡμέραν ὡρισμένην, καὶ εἰς ἡμέραν διωμολογημένην. καὶ ἡμέρα κυρία, ἡ ἐπὶ τοῦτο τεταγμένη. ἡ χωρὶς δὲ τὸ ἡμέρας εἴποι τις ἂν οἱ ῥήτορες, κυρίας τῆς κυρίας, καὶ [illegible] τῆς κυρίας. προσυπακουέσθω δὲ, τὸ τῆς ἡμέρας. ἐπὶ δὲ τῶν παρελθουσῶν ἡμερῶν, ἡμέρα τρίτη, ἢ τρίτην ταύτην ἡμέραν, καὶ τὰς ἄλλας ὁμοίως. Πάνταρχος, πανάρχης, ἐνδελεχής. Πανήρεα, πάντα ἀρίσκοντα. Πανηρέσιοι, κατὰ πάντα ἡρμοσμένως.

Πάνθηρ, πᾶσιν ἀρέσκων, ποικίλον, παμμήχανον. Πάνθεον, τόπος ἐστὶ τὸ παλαιὸν τῆς ῥωμαίων. ναὸς ἦν κοινὸς πάντων τῶν θεῶν, πάνθειον ἐκάλουν αὐτὸν οἱ ἐπιχώριοι. Πανθοίδης, ἐκ τοῦ Πάνθος γίνεται, ὡς ἐκ τοῦ Βούτης Βουτοίδης ἐστὶ πατρωνυμικόν. Πανθοίδης, καὶ ἐν συναιρέσει πανθοίδης, κατὰ πατρωνυμίαν λέγεται, ὁμοίως τῷ Βουτοίδης ἐστὶ ἐν ὁ Λυκαονίᾳ ὁ τοῦ Βούτου υἱός. Πανθοΐδην ἔλεγεν, ὡς φασὶν Εὔφορος, ὅπως εἰς κοινὸν καταθέντες τὰ κομισθέντα διῆκται πάντες ἀπὸ λαοῦ. Πανδοιχί, ἐκ ῥήματος. καὶ πανδοικὶ, τὸ πανοικεσία.

Πάνθος, κύριον ὄνομα, ἐξ οὗ πανθοίδης πατρωνυμικὸν, καὶ ἐν συναιρέσει πανθοίδης ὁ πολυδάμας. οὕτω καὶ Βουτοίδης Βούτης ὁ Βουτου υἱός. Πάνθοος, πολυδάμαντος ἦν πατὴρ, ἀνὴρ μαντικός. Πανθοῦς, πανθίσιος. Πάνθυρα λέγομαι, παρ' ὅσον ἀρέσκουσα λέγομαι, πάντα θρυλλεῖ. ἢ τε μαθεῖν [illegible] Πανθρύλλητον, τὸ πάντα θρυλλεῖν. Πανθιάλιον, μονογενὲς τὰς τρίχας, ὃ σφαδάζουσι. Πανθυμαδὸν χειριάζεσθαι, τὸ ὡς οὐκ ἐλεφθύχιον τραχύνεσθαι, ἀφ' οὗ λίθος ἐπιμόνως, ὁ ἄσχιστος.

Πάνθ' ὑπὸ μικρὸν, περὶ πάντα τὴν τῆς μιᾶς λόγον χρόνον.

Πάνθυτα, πανοῦβασα. Πανίς, ἡ πλεονεκτικός. Παιδίον, βρέφος, ὡς ἀπὸ τοῦ παιδός. Αἰσχύλος πανδυσσοί, καὶ ὁ λευκὸς πάντα, ἢ ὁ λευκὸς πάντα, καὶ καθαρὸς, καὶ ὁ μέλας καθαρὸς.

Πάνιον. ἔρημος πηλίωσις, ὥρα τε νῦν μετ' ἐμοῦ χωρεῖν τὴν κίθαραν λαβόντα, καὶ προσκεφάλαιον, ἵν' ἐς τὴν σὴν ἐμπαδέσθαι ῥοδιάζης. ἀλλ' οὐ δύναμαι πάντως ἔχειν τὸ πρωτεῖον.

Πάνιον, κυτόχοιν, ὁμόχρουν, λευκὸν, καθαρόν. καὶ πάνιον, ὄνομα τόπου. ἔνθα ὁ κάστρον παρὰ αἰγιαλῷ, ὃ λέγεται πάνιον πρὸς τῆς ἡρακλείας μέρους. Πανίσκος, κρατήρ. Πανίῳ δαίμονι, μανιώδει δαίμονι. Πανιώνιος, ἱερὸν ἀπόλλωνος ἐν ἰωνίᾳ. Πανκαρπία, πανσπερμία. Παγκρατής, πάντων κρατῶν, καὶ ἄρχων καὶ βασιλεύων. Πανίας, ὁ ἀπόπληκτος, ὁ ἀδολέσχης. Παννυχίζει, ἀντὶ τοῦ διανυκτερεύει. Διβάκος, ἐπαννύχιζον. Παννύχιοι. ἀπαθεῖς δὲ πάντως ἐκ φυσικῆς κλίσεως τὸ παννύχιοι. Πανοικεί, σὺν ὅλῳ τῷ οἴκῳ. Πανόλβιος, παμμακάριος. Πανομφαῖος Ζεύς, κατὰ μὲν ἀναγωγὴν ὡς ὁ πάσης ὀμφῆς, ἤγουν ἁπλῶς φωνῆς ἄναξ, ἤτοι ὁ πάσης φωνῆς αἴτιος ἀήρ. φωνὴ γὰρ, ἀὴρ ὁ πεπληγμένος, κατὰ δὲ μῦθον πανομφαῖος ἐστὶν, ὁ πάσης μαντείας αἴτιος. οἱ γὰρ ἄλλοι μάντεις ὑποφῆται, Διὸς εἰσὶν, εἴτε δαίμονες εἶναι, εἴτε ἄνθρωποι. Πανομφαίῳ, παμφήμῳ, ἀπὸ τῆς ὀμφῆς. Πανόπαια, ὄρνις οὕτω καλουμένη. Πανόπη, ὄνομα νηρηΐδος λέγεται, ἡ πᾶσιν ὁρωμένη. Πανόπη, πόλις φωκίδος κληθεῖσα ἀπὸ πανοπέως ἥρου φωκέων. ταύτης δ' φασιν ὁ πολίτης πανοπεὺς ὁμοφώνως τῷ προτέρῳ κυρίῳ. Πᾶν ὅτι οὖν, πᾶν τὸ τυχόν. Πανοπεὺς, ἀπὸ πανοπέως ὀνόμασαι ἥρω φωκέων. ἔγραψε δὲ πανόπην μὲν γράφουσι τὴν πόλιν, πανοπία δὲ τὴν αὐτῆς πολῖτιν, ὡς καὶ ἐν τοῖς ἐθνικοῖς γράφεται. ἔστι δὲ καὶ τὴν Σοφοκλῆν εἰπόντα φανοτεὺς, ὁ φωκεύς. φασὶ γὰρ οἱ παλαιοὶ ἐπεὶ ἦσαν χρήσιμα τῆς ἐνταῦθα. θαυμάζουσι δὲ οἱ ἀρχαῖοι, ὅτι ὁ Ζηνόδοτος ἐν τῷ καὶ δαυλίδα καὶ πανοπῆα γράφεται καὶ πανοπέων, ὡς μιγέλην, αἰτιῶνται τὴν γραφὴν, διότι ἀμείβει τὸν στίχον, καὶ οὐδὲ χρηματίζει καθ' Ὅμηρον τὸ ὄνομα. ἔστι γὰρ πανοπεὺς, ὡς ἀχιλλεύς. ἐν δὲ τῷ Γενικῷ φαίνεται πανοπεὺς, ὃ νῦν φανοτεὺς ὅμηρος τοῖς περὶ λεβάδειαν τόποις. καὶ ἔτι ἐνταῦθα ἡ τοῦ ἐπειοῦ πατρὶς, καὶ ὅτι ἐκεῖ μυθεύονται τὰ περὶ τὸν Τιτυόν, ἤγουν ἡ τῆς λητοῦς βία ὑπ' αὐτοῦ, δι' ἣν οἱ μυθικοὶ γῦπες αὐτοῦ κατὰ τοῦ ἥπατος ἐμφύονται, καὶ κύριοι ζωοφαγοῦσιν εὐρηκότες ταύτην καλὴν ὁ Διόνυσος, καὶ ἀλάστορα, ὡς ὁ μῦθος βούλεται. Πανόπτης, πολυόφθαλμος, καὶ ὁ πανταχόθεν φαινόμενος. Πανόρμιος, ἐπίθετον ἀπόλλωνος. Πάνορμοι λιμένες, οἱ ὀχυρώθησαν εἰς οὓς διὰ τὸ πᾶσα ναῦς καὶ ἐν παντὶ ἀνέμῳ ὁρμίζεσθαι. Πανόσκετος, οἷον πανταχόθεν φαντασίας. Πανόσπυλον, ἔνθα χύματος. ὅταν οἱ ἀπὸ σκύλου ἐπὶ πληγὰς, ἀμφόν τι, λέγεται χῦμα. Πανσπερμία, ἡ ἐκ τῶν σπερμάτων μῖξις. Πανσπέρμιος, συμμιγὴς, πληθύς. Πᾶν ὅτι οὖν, οἷον δὴ ποτ' οὖν, πᾶν τὸ τυχόν. Πανταλιεὺς, ἐξώλης. Πανουργία δὲ, ἐπειδὴ μετὰ τοῦ καλοῦ, καὶ τοῦ κακοῦ, δι' ἣν οὐκ ἐκπέπτωκεν εἰς τὸ κακόν. Πανουργία δὲ, ἐνεργεῖ ὡς κατ' ἐπιτήδειον τεχνικῶς. ἡ τοῦ πανούργου προσηγορία δύο σημαίνει. καὶ ὁ μὲν ἐπὶ βλάβῃ ἑτέρων τῇ ἐπινοίᾳ τῶν ἔργων χρώμενος, πονηρός. ὁ δὲ ἐπαινετὸς πανοῦργος, ὁ ὀξέως καὶ συνετῶς τὸ οἰκεῖον ἀγαθὸν ἐξευρίσκων, καὶ τὰς δολίους καὶ ἐπιβούλους παρ' ἑτέρων αἱ τῶν βλαβῶν συσκευασμένας ἀποδιαφυλάσσων. Πανοῦργος κύριος, ὁ πᾶσιν ἔργοις ἐπιβάλλων, καὶ ὁ δραστήριος, καὶ ἐνεργός. κατὰ χρηστῶς δὲ, καὶ ὁ ἐπὶ κακοῖς τοῖ μᾶσιν ἐπίθετον ἔχων γνώμην ὡς καὶ παντεργὸς, ὁ πάντα ἐργαζόμενος, καὶ ὁ μηχανικός.

Πανσοφος, πάντα σοφός. Πάνσῃ, ἱερὸς ἀττικῶς. ἐστὶ αὐτοῦ ὁ ναὸς ὁ ἄγαλμα ὁ ἱερόν. Πανύστατος, ἢ τὸ πᾶσιν ὕστατον. ἢ τὸ πάντων τελευταῖον ὁ ἔσχατον, καὶ μεῖζον. ἀπὸ τοῦ ἔτι, ὃ ἀπὸ τὸ ὀξέος, ὅτι ἐπὶ πρακτικῶς ὡς κύριος. Ἀντίμαχος δὲ ἐν ὁ σημαίνει γράφει, ὁ τι μὴ σημαίνει οὐκ ἔχειν οἱ παλαιοὶ

μισθὸν ἐκδεδομένον. τουτέστιν, ἐλαττούμενον τῆς ἀπ' αὐτῶν διατριβῆς. Παναχαιΐδα, τὴν Θεσσαλίαν λέγει Ἀπολλώνιος, ὅτι αὕτη πρώτη ἐκλήθη Ἀχαΐα, ἀπὸ Ἀχαιοῦ τοῦ ξούθου. Παναχαιῶν, πάντων Ἑλλήνων. Πανάωρον, ὁ τὸ πάντη ἄωρον λέγει Ὅμηρος, παρὰ τὴν ὥραν τὸν καιρόν, διὸ καὶ ἐδάσυνεν παρὰ δὲ τὸ κατὰ τὴν παραλήγουσαν. ἢ παρὰ τὸ τὴν ὥραν τὴν φροντίδα, τὸν πάντη πεφροντισμένον. ἢ ἀνάπαλιν, ὡς ἐν ἤθει τὸν πάνυ δίχα φροντίδος, ἴσως δὲ καὶ ἐψίλωσεν αὐτό. Πανδαισίαν, πολυτελοῦς τραπέζης, εὐωχίαν. Πανδαισία. Ἀριστοφάνης, ὥσπερ μᾶζα καὶ πανδαισία. πανδαισία, ἡ δαψιλὴς καὶ παντοία εὐωχία. μᾶζα δέ ἐστιν ὁ πεφυρμένος ἄρτος. ἄλλως. ὅταν γὰρ εἰς κοινὸν θύωνται, ἑκάστου φέροντος ἑαυτοῦ δεῖπνον, κοινὰ πάντα φαίνεσθαι. τοῦ μὲν τὰ προσφάγια φερόντων, τοῦ δὲ αὐτῶν δαπανώντων. ἄλλως. φασὶ γὰρ τὸ δεῖπνον ἐν ᾧ ἕκαστος αὐτοῦ κομίζων εἰς κοινὸν κατατίθεσθαι, καὶ πάντες πάντων μετέχουσι. τὸ δὲ σῖτος αὐτῶν, εἴκαζεν ἀλφίτοις καὶ μάζῃ, διὰ τὸ κοινόν. καὶ ἐπειδὴ συνεσθίουσι, ὅπου μὲν τὰ ἄλφιτα, ὅπου δὲ οἱ θυόμενοι. πανδαισίαν δὲ τὴν ποικίλην καὶ ἐκ διαφόρων ὄψων εὐωχίαν. ὅταν ἕκαστος τὰ ἑαυτοῦ ὄψα ἀπαγάγῃ, καὶ καθεῖται εἰς τὸ κοινόν. ἢ ὅταν πολλῶν προκειμένων ἐδεσμάτων, λάβῃ τις ὃ θέλει. εἰ δὲ πανδαισίαν, ἀρχαῖον ἂν ἔχοι παντοῖον ἔδεσμα. τὸ δὲ ὅλον συνθετοῦν εἶναι, ὥσπερ μᾶζα καὶ πανδαισία. Πανδαμάτωρ, τὸν ὕπνον ἔφη Ὅμηρος. Σιμωνίδης δὲ σμικρολογικῶς φησι δαμασίφωτα, διὰ τὸ μὴ καὶ τὸ θεῖον κωμῳδεῖσθαι παρασκευάσας τὴν ὁμοιοτήτων ἀκρίβειαν. ὃς οὐ πάντας, ἀλλὰ πάντα δαμάζεσθαί φησιν ὕπνῳ, τὰ πιθανώτατα ὑποτεθείς, ὡς εἴη τῶν πάντων πάντων ἰσχυρότερος. ἢ πάντων ἄναξ, κατὰ τὸ ὕπνε ἄναξ. δαμᾶν γὰρ καὶ δαμάζειν, τὸ ταπεινοῦν καὶ ὑποτάσσειν. ὅθεν καὶ δμῶες καὶ δμωΐδες, παρὰ τὸ δεδμῆσθαι. τὸν δὲ αὐτὸν κτηνῶν φασιν ὑποζυγίων. ἃ δαμαζόμενα εὐπειθέστερον ὑπέχουσι τὸν ζυγόν, καὶ ἧττον χαλινὸν σφαδάζουσι. καὶ ἡ δάμαρ δὲ ἐντεῦθεν εἴρηται, φασὶν ἀμφὶ συνεζευγμένη, καὶ δεδαμασμένη. τοιαύτην δὲ ὑποβάλλει ἐννοιαν τοῦ δεσποίνας, καὶ ὁ λεγόμενος, ὡς δηλαδὴ δαμάζει, καὶ ἐφ' ἑαυτοῦ ἄγει λαὸν ὑπὸ ζυγῷ οὕτως εὐλόγως φέροντα. καὶ οὕτω μὲν πανδαμάτωρ ὁ ὕπνος. εἰ δὲ καὶ λυσιμελὴς καὶ λυσιμελής ἐστιν, ὡς λύων μελεδήματα θυμοῦ, ἐρρέθη ἀλλαχοῦ. Πανδαμικοί, πανδεινοὶ χιτῶνες, ἐν ταῖς κωμῳδίαις.

Πανδαρέου, δύο κόραι τρέφουσαι ἐκόμισαν Ἀφροδίτῃ. ὡραίας δὲ γάμου γενομένας ἀνηρείψαντο Ἅρπυιαι, καὶ παρέδωκαν ἐριννύσιν ἀμφιπολεύειν. ἴσως γὰρ περικαλλεῖς μὲν οὖν οὔσας, διὰ ὀρφανίαν δὲ δυστυχούσας, καὶ εἰς ὑποδεέστερον, καὶ εἰς μὴ ἱκανοῦ ἤδη μεταβληθείσας τῇ τύχῃ, ὤχοντο ἀπιοῦσαι, καὶ διὰ τοῦτο ἀνέμοις ἐπαχθῆναι, καὶ δαίμοσι παραδοθῆναι μυθεύονται. ἡ δὲ Πηνελόπη παρ' Ὁμήρῳ ἐν υ', εὔχεται ταῖς τοῦ Πανδαρέου θυγατράσιν ὁμοιωθῆναι. κατά γε τὸ ἁρπαγῆναι θυέλλαις προσφερομένας εἰς ἐφέσταξ γίνεσθαι. περὶ δὲ τοῦ ῥηθέντος Πανδαρέου φέρεσθαι λόγος, ὅτι κύνα κλέψας χρυσοῦν ἐν Κρήτῃ ἱεροῦ ἔργον ἔμψυχον ἐκ τοῦ Διὸς τεμένους, παρακαθεῖ Ταντάλῳ. Διὸς δὲ ἀπαιτοῦντος τὸ κλέμμα διὰ Ἑρμοῦ, ὤμοσεν ὁ Τάνταλος μὴ ἔχειν. καὶ Ζεὺς μὲν τὸν κύνα Ἑρμοῦ ὑφελομένου ἀπολαβών, κατέσεισε τοῦ Ταντάλου τὸ Σίπυλον. ὁ δὲ Πανδάρεως ἢ Πανδάρεος φυγὼν εἰς Ἀθήνας, ἐκεῖθεν εἰς Σικελίαν διέβη. ἔνθα διαφθαρῆναί φασι μετὰ τῆς γυναικὸς ὁρμηθέντας. Πανδάρεως, κυρίως ὁ πάντα δέρων, ἤγουν λύπρῳ δέρων, καὶ πλεονεξίας, ἐργάτης. Πάνδαρον λέγει ὁ ποιητής, ἐξ αὐτοῦ τοῦ Ἀπόλλωνος λαβεῖν τὸ τόξον, ἤγουν τὴν τέχνην, ὅτι τὴν τέχνην ἐπιστάμενος. καὶ ἐπεί φασιν ὁ τρόπος, μετωνυμία. ἔστι δὲ ποιηταῖς, ἱστορεῖν τὸν περὶ τινα τέχνην δεξιόν, θεόθεν ἔχειν τὰ ὄργανα. οὕτω καὶ ἄλλος τις, αὐλοῦντα ἔχει τρίπηχυν

τήν οἱ πόρε Φοῖβος Ἀπόλλων. καὶ κίθαραν δέ τις, καὶ ἕτερος λύραν. καὶ ἄλλος ἄλλο, ὃ τι ἂν ἄρτιον ἔλαχεν, ἐκ θεῶν λαβεῖν μεμύθευται. τὰς γὰρ εἰς ἄκρον φασὶν εὐφυΐας, θεοῖς ἀνατιθέασιν οἱ ποιηταί. Πάνδεια, ἑορτὴ ἣν ἄγουσι μετὰ τὰ Διονύσια ἀγομένην. Πανδικτίωνος γνώμας, τοῦτο Λυσίστρατος. ἐπεὶ Πανδίκτιος συκοφάντης ἦν φιλόδικος, καὶ γράφων ψηφίσματα, ὑπὲρ εἷς τῶν περὶ τὰ Διονύσια διατραφέντων. Πανδίκτιος, ἐπὶ πανουργίᾳ διαβεβλημένος. συκοφάντης δὲ ἦν, καὶ φιλόδικος, γράφων ψήφων ψηφίσματα. Πανδικτίου· ὑπὲρ Ἀριστοφάνους γνώμας, οὐκ ἄρτων πανουργίαν στρεφόμενος, μέμνηται τοῦ Πανδικτίου καὶ Κρατῖνος. οὗτος καὶ ψηφίσματα ἔγραψε.

Πανδερκής, πάντα ὁρῶντος. Πὰν δ' ἦμαρ, δι' ὅλης δὲ ἡμέρας. Πάνδημος, παράγωγον ἐκ τοῦ πανδήμου. καὶ λέγεται ἣν ἐγλιχόμενοι πάνδημον αἰνίττεσθαί φασι τὴν κοινὴ ζητουμένην. ὅς ἂν τὸ παρὰ τοῖς ὕστερον κολαστικοῦ δήμου. ἐξ οὗ σύνθημα πονηροῖς ἐπέτασε τὸ δημόσιον. ὃς καὶ ἀρχιπτωχὸς, ὁ ἄρχων πτωχῶν ἐπικαλεῖν. καὶ ὅτι παρὰ τοῖς μεθ' Ὅμηρον πτωχὸς μέν, ὁ δὲ ἐν δήμῳ ἐκαίτων. ἀκολούθως Ὁμήρῳ καὶ οὕτω τὴν γαστέρα βόσκων. ποῖος δέ, ὁ χερσὶ πεσούμενος, καὶ οὕτω ζῶν. ἡ δὲ τοιοῦτος χειρομάχων πληθύν, ἱστορεῖν τοῖς τῶν Ἀθηναίων εὑρεῖν. καὶ ὅτι τὸν πτωχὸν ἀτίμως ὑπερῷ εἴκασεν ὁ Μίνανδρος εἰπών, ὁ δρομητήριον πτωχὸς ἦλθε, καὶ νεκρός, νῦν δὲ πλούσιος. Πάνδημος Ἀφροδίτη, οὕτως ἐκάλουν τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγοράν, διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιόν, ἃς ἐκάλουν ἀγοράς. ἔστι δὲ τὸ πάνδημον, πανδήσιμον. Πανδήμου, παντὸς τοῦ πλήθους, ὁ παντὸς τοῦ δήμου· καὶ ὁμιλοῦντος ὄχλου. Πανδοκεῖς, καὶ πανδοκεύτριαι καλοῦνται, οἱ τὰ πάντα πιπράσκοντες. καὶ τὸ χωρίον πανδοκεῖον, καὶ τὸ πρᾶγμα πανδοκεύειν, καὶ πανδοκεία. οἱ δὲ ὡς τὰ πανδοκεῖα κατειλημμένοι, κατάκειται ὧν λέγοιεν. μᾶλλον δὲ οἱ τὰ πάντα πωλοῦντες, παντοπῶλαι, καὶ ὁ τόπος παντοπωλεῖον. τὴν δὲ παντοπώλην, καὶ τὴν παντοπωλίαν, εἶπεν Ἄρχιππος ἐν ἰχθύσι. Πανδοκεύς, πανδοχεύς, ὁ πάντας δεχόμενος. Πανδοκεύτρια, ἡ καπηλίς, παρὰ τὸ δέχεσθαι πάντα. λέγεται δὲ καπηλίς, παρὰ τὸ κάπτειν τὸν πηλόν. πηλὸς δὲ ὁ οἶνος, ὅθεν καὶ ἄκαπνος. εἰ καὶ ἔμπηλος οὐδὲ ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. Πάνδοξ, ὁ ἐν πανδοκείῳ οἰκῶν. Πανδοῦρα, ἡ πανδουρίς, ὄργανον μουσικόν. πάνδουρος δέ, ὁ μετακεχειρισμένος τὸ ὄργανον. Πανδοσία, πόλις τῆς Ἠπείρου, καὶ Ἰταλίας. Πανδοῦρα μάχαιρα ἀπουσιασμένη, ἢ σπατίς. Πανδοχεῖον, οἱ διὰ τοῦ χ λέγοντες, ἁμαρτάνουσι. διὰ γὰρ τοῦ κ χρὴ λέγειν πανδοκεῖον, καὶ πανδοκεύς, καὶ πανδοκεύτρια. Πάνδοχοι, αἱ πάντας ὑποδεχόμεναι. τὸν δὲ πιεῖν ὕδωρ περιφερόμενον. καὶ πάνδοχοι πόλεις. καὶ πανδοχεῖον, τὸ πάντας ὑποδεχόμενον οἴκημα. Πανδρόσος, ὄνομα γυναικός. Πανδῶρα, κεῖται παρὰ τῷ Ἀριστοφάνει ἀντὶ τῆς γῆς. ἐπειδὴ πάντα κατὰ τὸ ζῆν δωρεῖται. ἀφ' ἧς καὶ ζείδωρος, καὶ ἀνησίδωρος λέγεται. Πανδώρα, ἑορτὴ ἥτις παρὰ πάντων δῶρα ἐλάμβανεν. ἢ ὅτι δῶρον πάντων τῶν θεῶν, ὥς φησιν Ἡσίοδος. Πανέα, κεχορτασμένη. Πανέλληνες, ὁ καθόλης. Πανέλληνας, οὐ κατὰ Ζηνόδοτον, ἀλλ' ὁμωνύμως ἑρμηνευτέον κατὰ τοὺς παλαιοὺς λέγοντας τὸ πανέλληνας καὶ Ἀχαιούς, ἀντὶ τοῦ Θεσσαλοὺς, καὶ Ἀργείους. ἵνα ἀντιδιαιρῇ τοῖς ὅλοις Ἀργείοις τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ λεγομένους ἰδίως Ἕλληνας κατά τινα ἐξοχήν. Ἑλλάδα γὰρ οὐ τὴν οἰκουμένην χώραν ὑπὸ Ἑλλήνων λέγει, ἀλλὰ μίαν τινὰ πόλιν Θεσσαλικήν, καὶ τοὺς ἐκεῖθεν Ἕλληνας. Πάνεμος, ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ Ἰούλιος. Πανέξοδον, ἐν πᾶσιν ἀμετρίαν. Πάνες, οἱ ἐπιπολάζοντες σφοδρῶς περὶ τὰς συνουσίας πᾶνας ἔλεγον. Πανέστιοι, ἐξ ἑνός, καὶ διακειμένων, ὅσοι ἐχθροὶ τὴν φύσιν. Ἡρόδοτος δὲ ἀπεστέρησε, Ἡσίοδος

μαχομένους τοῦ τείχους, οἱ μὲν παλτά, οἱ δὲ τρύφαλον. ἐν δὲ τῇ δεξιᾷ ἔχοντες πάλτον, ὅς τὸ ἐξάπηχυ. ἔμπροσθεν μὲν λόγχην ἔχον, ὄπισθεν δὲ αὖ τὸ ξύλον σφαιροειδές. Παλτάσια, σειέλαλος. Πάλυ, ἄλευ, ἀκριβῆ. Πάλυν, κληρωτόν.

Παλύνω, ἐπιπάσσω, παρὰ τὸ ἐπιπασέσθαι. Παλύνων ἄλφιτα ἀκτῇ, παρ' Ὁμήρῳ ἐν Λ. [illegible], τουτέστι λευκαίνων καταπάσσων ἄλφιτα ἀκτῆς. τουτέστι λύρου, ἢ κλαίσματος. Παλύνειν, λευκαίνειν, κυρίως δὲ ἐπὶ ἀλεύρου λέγεται. ὅθεν καὶ ἡ παιπάλη. ὁ δὲ κωμικὸς δοκεῖ καὶ ἀντὶ τοῦ κατακαλύπτειν τιθέναι τὴν λέξιν, ἐν τῷ καταπεπάλημαι, παιπάλη γενέσθαι. καὶ ἔτι φασὶ πάλα, τὸ ἀποπαλλόμενον λεπτότατον τοῦ ἀλεύρου. ἐξ οὗ καὶ τὸ παλύνειν, καὶ ἡ παιπάλη κατὰ ἀναδιπλασιασμόν, καὶ ἐκτάσει τοῦ ι. οἱ δὲ λέγουσι παλύνειν ἢ τὸ μολύνειν κατὰ Ἀττικούς, λευκοῦν τὸ εἰς τὸ ξανθὸν πρῶτα [illegible], παρ' [illegible]. Παλύνων, ἀντὶ τοῦ ἐπιπάσσων ἐνιοί φασι. Παλύνω, ὡς Ἀππίων τὸ μολύνειν καὶ βρέχειν. ἄμεινον δὲ τὸ λευκαίνειν. Παμβαξ, καὶ παμβακις, τὸ παρὰ πολλοῖς λεγόμενον βαμβάκιον, ἐκ τῶν [illegible] παμβακίδα. Παμβατάλας, ὁ [illegible] λόγος. Παμβώτις τέχνη, ἡ λαβὶς παντοδαπός.

Παμμαχος, [illegible]. Παμμάχων, κατὰ πάντα μαχητικός. Παμμάκια, καλεῖται παρὰ Λυκαονίοις τὰ κτήματα. καὶ παλαίεσθαι, τὸ κτᾶσθαι, ἐκτεταμένου τοῦ α. Παμμάχιον, παγκράτιον. Παμμέγεθες, λίαν μέγα. Παμμέλαθρον, μέλεσι συνθεθεῖς. Παμμήστορα, πάντων τεχνίτην. Παμμήτωρ, ἡ γῆ, ἀπὸ τοῦ τρέφειν πάντας. Πάμπαν, παντελῶς, ὁλοτελῶς. Πάμπανον, ὁ δαμάτωρ ἐν ἡρακλείᾳ. Παμπήδην, παντελῶς, ὁλοσχερῶς. Παμπασίαν, τὴν πᾶσαν κτῆσιν [illegible] Λακεδαιμόνιοι. Παμπληθεί, καὶ πάμπληθες, ἀντὶ τοῦ πολύ. καὶ παμπληθεῖς, πάνυ πολλοῖς. Παμποίκιλος, πολύτροπος. Παμπόνητον, πάντων πονηρόν. Παμπόλα, ὄνομα πόλεως. παμπόλλα δέ, ἡ πολλὰ καὶ ποικίλα. Παμφάγον καλοῦσι τὸ πῦρ. εὔθυς φαγεῖν καὶ τὸ δαπανᾶν ἐστί. Πάμφαγος, ὁ πάντα δαπανῶν. Παμφαὴς, ἡ πᾶσι φαινομένη φωσφόρος.

Παμφαίνειν, λάμπειν, στίλβειν, ἀστράπτειν. Παμφαίνουσιν, κατὰ ἐπίτασιν ἀπὸ τοῦ ἰαμ παμφαίνω παμφαίνεις παμφαίνει παμφαίνουσιν, ὥσπερ ἔχουσι. Παμφαλᾶν, τὸ μετὰ πτοήσεως καὶ ἐκθαμβήσεως ἐπιβλέπειν πάντη. λέγεται δὲ τῇ λέξει καὶ Ἱππῶναξ καὶ Ἀνακρέων. Ἀπολλώνιος, πολλὰ ἐπιπαμφαλόωντες, πολλὰ ἐπιβλέψαντες, σημαίνει καὶ τὸ ἐκπλήττεσθαι.

Παμφαλύζει, τρέμει. Παμφανόωσα, σφόδρα λάμπουσα. παμφαίνω, καὶ ἀπὸ τούτου παμφανάω, ῶ, καὶ πλεονασμῷ τοῦ ο, παμφανόων. Παμφανής, λαμπρός. Παμφθέγγης, παμφθόγγων. Πάμφι, παντάπασι. Παμφίλη, γυναικὸς ἀθλίας, ὅτι πάμφι τὸ γένος ἔχουσαι. Παμφίλων, κραίπνων.

Πάμφιλον, τέκνον. Πάμφιλος καὶ βιβλιοπώλης παρὰ Ἀθηναίοις, ἀμφότεροι πλεύσαντες, ἀντὶ τοῦ εἰπεῖν πλευτῆσιν, οὐ παροξυνεῖ κλαυσίζονται. ὁ Πάμφιλος δὲ Ἀμφιπολίτης ἦν, εἰπεῖν ἐν Ἀντιόχειᾳ, καὶ ἐπλάσθη τὰ τοῦ Δήμου. ἴσως δὲ τὸν βιβλιοπώλην παρεσιώπησέ φασι τὸν Πάμφιλον. Λυσίμαχος εἶπε τὸν Πάμφιλον ἀπολέσθαι καὶ αὐτὸν συλλυσχεῖν αὐτόν. Πάμφιλος παρὰ τοῖς Ἀθηναίοις, στρατηγὸς ἦν. ὃς ὡς ἡ Ἡρακλειδῶν ἔχοιτο ἰκετευόντων τῶν Ἀθηναίων δῆμον. μετὰ γὰρ θάνατον Ἡρακλέους εὐρυσθέως διώκει τοὺς Ἡρακλείδας, διὰ τὸ πρὸς τὴν Ἡρακλέα τὴν ἐκείνων πατέρα ἐμφύλιον μῖσος. τούτων τὴν ἱστορίαν ἔγραψε Πάμφιλος τραγικός. κατὰ δὲ ἐκεῖνον εὐγενής ἦν, ὃς τὴν Ἡρακλειδῶν τύχην χαρακτῆρα ἐφαίνετο. καὶ ἄλλα πολλὰ περὶ τούτου ἄλλοι λέγουσι. Πάμφορον, πολύκαρπον. Παμφόρος, πάντα φέρων. Πάμψυχος, ὁ ἀμφίαρος, ὅτι πάνυ ἡδέως ψυχαῖς ἐδίδου, ὁ διακονῶν πάσαις τὴν ἑαυτοῦ ψυχήν.

χὴν. ἢ ὁ διακονῶν τὴν ψυχὴν σώζων, ὅθεν ἀθάνατος.

Πάμψυχος, ὁ κύκνος. ἐπαδεῖ καὶ ὁ Λυκάς, καὶ τὸ φιλεῖν τοῦ σώματος τὰ παιδία καὶ τὴν πατέρα. Παναγής, καθαρόν. ἄγος γὰρ καὶ ἀσέβεια καὶ μύσος, κατ' ἀντίφρασιν. Παναγιαίας, παναγίας. Πάναγρα, τὰ δίκτυα, ἀπὸ τοῦ τὰ πάντα ἀγρεύειν.

Παναθήναια, ἑορτὴ παρ' Ἀθηναίοις εἶναι μεγίστη παρὰ πάντων ἄλλων, ἐν οἷς ὠρχοῦντο οἱ παῖδες ἐν ὅπλοις. ἐπειδὴ ἐν τοῖς Παναθηναίοις πᾶσαι αἱ ὑπὸ τῶν Ἀθηναίων ἀποικισθεῖσαι πόλεις βοῦν τεθυσομένην ἔπεμπον, συνέβαινεν ἄλλας εἶναι τῶν κρεῶν, ὥστε πληροῦσθαι πάντας, καὶ παρὰ τὸ δεῖον ἐσθίοντας, διὰ τὴν ἀφθονίαν τῶν κρεῶν. Παναίθε κόρυς, βαρύνεται, ὡς σύνθετον. ὡς γὰρ καλὸς πάγκαλος, κακὸς πάγκακος, οὕτως αἰθὸς παναίθος. οὐ θηλυκὸν ἡ παναίθη, ὡς ἡ παγκάλη. ἢ καὶ ἄλλως, παναίθουσα. τὰ εἰς ας λήγοντα θηλυκὰ διασύλλαβα ὀξυνόμενα, ἢ μὴ γινόμενα ἐν τῇ συνθέσει κύρια, διὰ τοῦτο μὲν φυλάττει τὸν τόνον. οἷον ἐπιτομὴ ἀνατομή, ἐπιπλὴ ἀναπλή, ἐπιῤῥοή. τὸ ἀναῤῥέα σημειωτέον βαρυνόμενον. μετὰ ἄλλων λέγει ἀνάλογα τὴν κάθισιν, ἐκβολὴ καταβολή, ὑψιρρόη κατῤῥοή, οἰνοχόη. παναί θη κόρυς, ἡ λαμπρά. οὕτω δὲ Εὐφράνιος, οἱ πλείους δὲ ὀξύνουσι τὴν τοιαύτην λέξιν. ὡς ἐν τοῖς Ἀππίωνος καὶ Ἡρωδιανοῦ δηλοῦται, φυλάττοντες τὸν τοῦ ἁπλοῦ τόνον, οὗ χρῆσις παρὰ τῷ κωμικῷ, ἐν τῷ αἰθὸς γεγένημαι. Πᾶνα, οἱ μὲν λέγουσιν υἱὸν Πηνελόπης, καὶ πάντων τῶν μνηστήρων, καὶ διὰ τοῦτο λέγεσθαι καὶ πᾶνα. Ἐπιμενίδης δὲ ἐν τοῖς ποιήμασιν αὐτοῦ, Διὸς καὶ Καλλιστοῦς Πᾶνα καὶ Ἀρκάδα, διδύμους. Ἀρίστιππος δὲ ἐν τῷ Ἀρκαδικῷ, Διὸς καὶ νύμφης Οἰνηΐδος. οἱ δὲ λέγουσι διὰ τοῦ πᾶν, ὅτι τὰ ὄρη τοῦ σημεῖον, τουτέστι τοῦ παντός. ὅθεν κυρίως προσαγορεύεται Πάν. συνοικειοῦται γὰρ ἡ μορφὴ τοῦ θεοῦ τῷ περιέχοντι. καὶ τὸ μὲν τῶν κεράτων ἀπομίμημα ἡλίου καὶ σελήνης, καὶ μηνοειδοῦς φασὶν εἶναι. τὸ δὲ πάρδαλιν εἰλῆφθαι τῆς γῆς φαντασίας εἰκόνα. τὰ δὲ κάτω λάσια τῶν τῆς γῆς μορφῶν, καὶ τῶν ἐν αὐτῇ πεφυκότων. τὴν δὲ σύριγγα, τῶν ἐν τῷ κόσμῳ πνευμάτων μίμησιν εἶναι. τὸ δὲ αἰγωπὸν, τῶν καταιγίδων τὰς εἰσπνοὰς τὰς ταραχάς, καὶ τῶν ἀπὸ τούτων γινομένων περὶ τὸν ἀέρα μεταβολῶν, καὶ τὰ κάτω, τουτέστι τοὺς μηροὺς δασεῖς σημαίνουσι, ἢ τοὺς ὑλώδεις τόπους. καὶ τὰ κάτω βραχέα, σημαίνοντα τῶν ὀρῶν τὰ τραχέα. ἔχει καὶ τῇ μιᾷ χειρὶ τὸ σκίπωνα, σημαῖνον τὴν ἐργασίαν, τῇ δὲ ἄλλῃ τὴν σύριγγα σημαίνουσαν τοὺς ἀνέμους.

Πανάγαθος, παγκακοδαίμων. Παναιτεῖς, ἀθλοῦσιν ἱερεῖα. Παναίθουσιν, ὅλως λαμπραῖς, παναίθουσι κορύθεσι.

Παναίτιος, πάντα ἀπαραίτητος. Πανάκεια, ἴαμα, ἢ ὡς εὐμίσγεται ὄφελος. Πανακές, εἶδος βοτάνης. Πανάκειος, παμπόνηρος. Πανακί, ἔξαρκα. Πάνακες, βοτάνη τις, ἣ πολλοῖς ὀνόμασι καλεῖται. Πάνακτος, ὁ ὄρειος, καὶ τόπος ἐν τῇ Ἀττικῇ. Παναλκής, ἰσχυρότατον. Παναλκοῦς, ἰσχυρᾶς, γενναίως, παντοδαπῶς, ἐκ τοῦ παναλκοῦς χειρός.

Πανάμερος, δι' ὅλης ἡμέρας. Πανάμωμος, ἀρεστός.

Πανάντην, πάντα δυνατόν. Πανάπιστος ἦν, ταυτὸ τῷ δυνάμενος. περὶ οὗ ἀπαχθεὶς εἴρηται. Πανάποτμος, ἄθλιος, δυστυχής. Πανάπυστος, ἄπυστος. Παναργύρον, ὅλον ἀργυροῦν. Πανασπίδας, ὄνομα κύριον. Πανάρχιος, τὸ μεγάλου καὶ δυνατοῦ. ἄλλοι δὲ πανάρχιος, ὁ πανταχοῦ λάμπων.

Πανάρμενον, πάντοθεν ἡρμοσμένον. ἢ πανηρμοσμένον, ἐξ ὅλου τεταγμένον. ἁρμονία γὰρ ἡ εὔτακτος ἀκολουθία. καὶ πανάρμενον, ἰσομαλίστατον. Πανασθενία, πάντα ὑγιεῖ. Πανασθενέστατον, ἰσχυρότατον. Πανανγής, πάνυ λαμπρόν. Πανατάλιξ παῖς, ὁ τῶν ἡλικιωτῶν ἀπολειπόμενος. ἢ πάντη ὀρφανός, οἷα τῇ ἀφηλικιότητι προσηδόντων τῶν τῆς ὀρφανίας κακῶν. καὶ πανατάλικα λέγει Ὅμηρος, τὸν παῖδα τὸν ἠλιθ

μοῦ δὲ λείπειν. Παλίουρος, εἶδος φυτοῦ ἀκανθώδους. Παλιμπάλιμα, σημαίνει τὸν πανοῦργον καὶ ποικίλον ἐν κακίᾳ, καὶ παλιμπετὲς ἐμ ὀρχήσει. λέγεται δὲ καὶ ὁ τραχὺς ἄνθρωπος καὶ ἀνώμαλος. Παλιῤῥόθιον, ἤγουν παλίῤῥουν, ὃ ὁ ποιητὴς ἑρμηνεύων λέγει, πέτρον δὲ βαλὼν βέλος ἤγαγε νῆα, αὖθις ἐς ἤπειρον. ἐπὶ γὰρ αὖθις ἐς ἤπειρον ἤγαγε, τουτέστι τὸ παλιῤῥόθιον ἐφέρετο. Παλιῤῥοια, ἡ ἄμπωτις. Παλίῤῥυτον, εἰς τοὐπίσω ἑλκόμενον. Παλίσκιον, τὸ ὑποσκιαζόμενον ὑπ' ἄλλου. Παλιμπετὲς, ὡς τὸ ὀπίσω ὁρμῶν. Παλίντιτοι, ὅτι ἐθέρμαινοι, ἀναχωρήσαντος. Παλινῳδία, ἐξ οὗ ψευδὴς, ἢ μεταμελητον. Παλίσχημα, δίσχημα, κακὰ, ἐναντία. Παλίνεξις, ἡ ἀνάπαλιν δίνεξις τῶν διωκομένων στραφέντων εἰς τοὺς διώκοντας. Πάλικος, πολύς. Πάλλα λατινικὴ, σφαῖρα ἐκ ποικίλων νημάτων πεποιημένη. Παλλάδιον, τὸ ἐν τροίᾳ, φασὶ διοπετὲς μὲν εἶναι. ἦγεν ἐξ ἀέρος ἄνωθεν οὐρανόθεν πεσόν. ἐπεφόρει δὲ δόρυ ἀμφότερα, τίμημα τε ἔχειν καὶ ἠλακάτην, ἐν δὲ τῇ κεφαλῇ πῖλον, καὶ δόρυ ἐν τῇ δεξιᾷ. Παλλάδιον, ἐστὶ δὲ ξόανον μικρὸν ξύλινον, ὃ ἔλεγεν εἶναι τετελεσμένον φυλάττειν τὴν βασιλείαν τῆς τροίας. Παλλαδίων χρυσουμένων, ἐν ταῖς πρώραις τῶν τριήρων οἱ ἀθηναῖοι ἀγάλματά τινα ξύλινα τῇ ἀθηνᾷ καθίδρυον, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν. Παλλάδος πρόσωπον, κατὰ. ἐπὶ μὲν ἐνὸς μέρους ἀθηνᾶς πρόσωπον, ἐπὶ δὲ θατέρου, τὴν γλαῦκα. Παλλακίς, ἡ παῖς. κατὰ δωριεῖς πάλλαξ λέγεται. Παλλὰς ἡ ἀθηνᾶ, παρὰ τὸ πάλλειν τὰ ὅπλα πολεμικὴ γάρ, καὶ ἐν τῷ γεννᾶσθαι ἀπὸ τῆς τοῦ διὸς κεφαλῆς, ἐξέθορε τὰ ὅπλα κινοῦσα. ἢ παρὰ τὸ παλλομένην τὴν τοῦ διονύσου καρδίαν ἀποσπᾶσαι τῷ διί. διόνυσον γὰρ τὸν ζαγρέα καλούμενον, ὄντα διὸς καὶ περσεφόνης ὑπάρχοντα, μελλόντων οἱ τιτᾶνες σπαράξαι, οὗ τὴν καρδίαν ἔτι παλλομένην ἀνήνεγκεν. ἢ ὅτι ἐν ταῖς συμβολαῖς τῆς μάχης τῶν γιγάντων καὶ τῶν θεῶν, πάλλαντα ἕνα τῶν γιγάντων ἀνεῖλεν. ἢ πάλλαντα τὸν ἴδιον πατέρα πτερωτὸν ὑπάρχοντα, καὶ βιάζοντα ταύτην ὡς θέλοντα συγγενέσθαι. ἢ τὴν παρθενίαν τιμῶσα, τοῦτον ἀνεῖλε. καὶ τὸ δέρμα αὐτοῦ ὡς αἰγίδα περιεβάλετο. καὶ τὰ πτερὰ τούτου τοῖς ποσὶ ταύτης προσήρμοσεν. ὅθεν αὐτὴν ἐθεοποίησαν οἱ ἕλληνες, κατέστησαν καὶ τὴν πολιοῦχον τῶν ἀθηνῶν, ἐπειδὴ μὲν ὑπερέχουσαν θυγατέρα, ἰοδάμου δὲ ἀδελφήν. ἣν ἰοδάμας ἀντιπολεμοῦσαν ἀνεῖλεν, ὥς φησι Σιμωνίδης ὁ γενεαλόγος παλλάδος. ἰθώμβειον, ἢ στρόμβου ἔργον ἀθηναίης ἐποίησε, οἳ καὶ αὐτοὺς ἥρωας χώρων ἐπιλεξαμένους ἱερεύειν. Φερεκύδης δὲ παλλάδια λέγει τὰ χρυσοῦ ἐπίπεμπτα μορφώματα, ἃ πάλιν ἐξ οὐρανοῦ εἰς γῆν βαλλόμενα ἃ τὸ παλλάδιον δὲ τῆς ἀθηνᾶς, τοιοῦτον ἦν τρίπηχυ ξύλινον, ἐξ οὐρανοῦ κατεπεσὸν ἐν πεσιμοῦντι τῆς φρυγίας. ὅθεν ὁ διόλλυμος καὶ δῖον τὸν τόπον ἀπὸ τοῦ παλλάδος ἐκεῖ πεσεῖν ἐν τῇ συμβολῇ τοῦ πολέμου, ὅπου διὰ τὴν ἁρπαγὴν τοῦ γανυμήδους ἐπολέμουν. τάνταλος ὁ ἡρακλῆς γανυμήδους, καὶ ἶλος ὁ ἀδελφὸς αὐτοῦ. ἰωάννης δὲ ὁ ἀντιοχεὺς ἐξ οὐρανοῦ λέγει πεσεῖν τὸ παλλάδιον, ἄστιον δέ τινα φιλόσοφον μαθηματικὸν ποιῆσαι ὡροσκόπον πάλλοντα, ἀπόρθητον εἶναι τὴν πόλιν φυλάττειν, ἵνα ἦν τοῦτο μὲν πεφυλαγμένον καὶ ἄσυλον, χαρίσαντα δὲ τὸ θεῖον τὸ παλλάδιον τῷ τρωί. Ἀπολλόδωρος δὲ λέγει, μετὰ τὸ κτίσαι ἶλον τὴν ἴλιον, τῇ βοῒ ἀκολουθήσαντα εὔξασθαι ἰδεῖν σημεῖον, καὶ τότε ἰδεῖν τὸ παλλάδιον, ὃ τρίπηχυ ἦν τῷ μεγέθει, τοῖς δὲ ποσὶ συμβεβηκὸς τῇ δεξιᾷ δόρυ ἔχον, τῇ λαιᾷ ἠλακάτην καὶ ἄτρακτον. φασὶ δὲ, ἀθηνᾶν παρὰ τῷ τρίτωνι τραφῆναι, ᾧ θυγάτηρ ἦν παλλάς. ἀμφοτέρους διδασκάλους τὰ κατὰ πόλεμον εἰς φιλίαν ἐλθεῖν. μελλούσης δὲ πλήσσειν τῆς παλλάδος, φοβηθεὶς ὁ ζεὺς, ὑπέτεινε τὴν αἰγίδα, ἠθυμήσασα ὑπὸ τῆς ἀθηνᾶς ἐπλήγη. ἀθηνᾶ δὲ περίλυπος γενομένη, ξόανον ἐκείνης ὅμοιον κατεσκεύασε.

περιέθετο τοῖς στέρνοις, ὃ λέγουσιν αἰγίδα, καὶ ἱδρύσατο ἐφεστῶσαν παρὰ τῷ διΐ. ὕστερον δὲ ἡ ἠλέκτρα ὡς προσηγγίσατο ἐξ φυγὴν εἰς τὴν ἴλιον τῆς μισονύμφου. τουτέστιν, ἡ τιμῶσα παρθενίαν τὰς νυμφευούσας μισεῖ. διαφέρει δὲ παρθένος, καὶ κόρη, καὶ νᾶνις, πρὸς νύμφην, γυναῖκα, μητέρα. παρθένος μὲν γὰρ ἐστιν, ἡ μὴ γάμου πεῖραν ἔχουσα ἀνδρῶν. νύμφη δὲ, ἡ ποσὶ ζευχθεῖσα, μήπω δὲ τετοκυῖα. γυνὴ δὲ, ἡ γονῆς ἐλθοῦσα καὶ τίκτουσα. γραῦς δὲ, ἡ διαφθείρουσα τὸ τίκτειν. Παλλάδα τὴν ἀθηνᾶν λέγει κατὰ ἀλληγορίαν. διὰ τὸ τῆς φρονήσεως ἢ φρονοῦσας, εἰς ἣν ἡ ἀθηνᾶ λαμβάνεται, ἀρσενικὸν. ὡς ἀπὸ τοῦ πάλλω, τοῦ δηλοῦντος τὸ κινῶ. ἐξ οὗ καὶ πάλος, ὁ κλῆρος λέγεται. καὶ κραταιπάλας, ὁ ὑπὸ μέθης παλμὸς, ὅτε κινοῦσι καὶ δονοῦσι τὸ κάρα, ἤγουν τὰς κεφαλάς. ἡ δὲ ἱστορία τοιαύτη, τὸν ἄγαν νεάνιδα τὴν παλλάδα, οὕτω παρὰ τοῖς παλαιοῖς τὰς μείρακας ὀνομάζεσθαι λέγουσι. ὅθεν καὶ παλλακίς προσαγορεύεσθαι. καὶ πάλλαντος παρὰ τοῖς ἀρχαίοις, εἶναι ὥς φασι Φερεκύδης. τὸ δὲ λέγειν οὕτω καλεῖσθαι αὐτὴν, ἐπειδὴ ἐν τῇ γιγαντομαχίᾳ πάλλαντά τινα φονεῦσαι γίγαντα, ἢ ὅτι ἐκ τῆς τοῦ διὸς ἀνήλατο κεφαλῆς. ἢ ὅτι κεραυνοῦ τοῦ σκληρῶς βληθέντος, καὶ τοῦ διονύσου διασπασθέντος ἔμβρυον, παλλομένην τὴν τοῦ ἐμβλήματος καρδίαν ἤνεγκε τῷ διΐ. εἴτε δὲ τοιοῦτον ἄλλο λέγεται, μύθου ἐστὶ περιττότερα. καὶ ἐκεῖνο μὲν θετέον, ὅτι τὰ τῆς παλλάδος εἴδωλα, παλλάδια τοῖς παλαιοῖς ὀνομάζονται. καὶ ὅτι φρονεῖν εἰκός ἐστιν ἀθηνᾶ, ὡς ἐῤῥέθη. Παλαίθα, ἡ τῶν σύκων ἐπάλληλος θέσις. Παλλάκιον, κοράσιον. Παλλακὸς, ἐρώμενος. Παλλάντιος ζεὺς, ἐν τραπεζοῦντι. Παλλαντὶς, ἐστὶ τωνὶς λίμνη. Παλλάσιον, τῶν πεπετασμένων ἐχάδων. τινὲς δὲ τῶν παλαιῶν. καλεῖται δὲ ἡ σήλιος ἐν τῷ ὄρει. Ἀριστοφάνης. Παλλάσσειν, ταράσσειν, βρέχειν, μολύνειν. Παλλασσόμενον, κρεμάμενον, ἀσκαλίζεται. Πάλλαι, κινεῖ, σείεται, ἐλλεύεται, καὶ ἐπὶ τοῦδε τὸν θυμὸν συνεπλέξατο ὁ βάρβαρος, καὶ τὸ παλλεύεσθαι ὑπὸ τοῦ τρόμου εἶλον. Πάλλειν, ἐλαθεῖν, ἐκινῆσαι. Πάλλεσθαι, κληροῦσθαι, ἄλλεσθαι. Παλλεῖον, ἀνάκυφον. Παλλήνης, δῆμος ἐστὶ τῆς ἀττικῆς. ἐστὶ ἀντιστρατεύσαντι τῷ βουλομένῳ τυραννεῖν, καὶ ἀθηναίους ὁμονοοῦσιν αὐτὸν πόλεμος συνέστη. παρὰ τῷ Ἀριστοφάνει καλεῖται πάλληνα. συγκεῖσθαι δὲ ἡ λέξις. τὸ γὰρ ὁλόκληρον ἐστὶ παλληνίαν. Παλληνὶς, ἡ ἀθηνᾶ ἐν χαλκιτῃ. Παλλήνιον, δῆμος τῆς ἀντιοχίδος. τὸ δὲ ἐκ τόπου ἑρμηνεῖται δὲ ἐν θρᾴκῃ παλλήνης γνώριμον. Παλλεκὸν βλέπον, ἀντὶ τοῦ γενναῖον. Πάλληξ, βούπαις. Παλλία, ὀπὸν. οἱ δὲ τὸ παλεῖν, ὡς δὲ τὸ πῦρ. Παλλίλογα, γίγνεται τρεπομένου τοῦ ε εἰς ι, ὁποῖον καὶ τὸ παλλαλεῖν κάρα. Παλλίκιον, πομπάτιον παρὰ λάκωσι. Παλλόμενον, ἀγόμενον, ταρασσόμενον. Πάλλονται οἱ ὀφθαλμοί, καὶ σαρκὸς, ὑπὸ πνεύματος ἐντὸς ἀπολειφθέντος. ἀφ' οὗ παλμὸς καὶ παλμοσκόπος, ὁ τῶν παλμῶν ἑρμηνευτής. καὶ πάλλεται ἡ καρδία, ὑπὸ φόβου. Παλλίτας, ὄργανον βασανιστήριον. Πάλλω, παλῶ ἐπάλα, ὅθεν πάλος ὁ κλῆρος. Παλλακία, τὸ μὴ τυχεῖν βάλλοντα. Πάλμη, γέῤῥον. Παλμικὸς. οἰώνισμα. ὅπερ Ποσειδώνιος συνηγάγετο, οἷον ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμὸς, τόδε σημαίνει. Παλμιστὸς, πάλης. Παλμὸς, τρόμος, σεισμός. Παλμυδὸς, βασιλεὺς, πατήρ. οἱ δὲ πάλμυς. Παλμύτας, αἰγύπτιος θεός. Πάλυνε, σπάσας, ἐπάσσε. Πάλος, κλῆρος. ὁ δὲ δωριεὺς τούτους καλεῖ πάλλεσθαι, παλλομένων δὲ, λαγχάνει ἐκ πάντων βραχείας. Πάλτα, τὰ δόρατα. ὁ δὲ κῦρος ἀναβὰς ἐπὶ τὸν ἵππον, τὰ παλτὰ ἐπὶ τὰς χεῖρας ἔλαβε, Ξενοφῶν. καὶ Ἀῤῥιανὸς, ἐξακόντιζον εἰς τὸ στρατόπεδον.

[illegible]θεσ. κλῖμος. λέγεται καὶ ἀντὶ τοῦ παλίμβολος ἐναντιόβολος, ἐναντιοτρόπων. ὡς καὶ παλίνδλις, ὅνομα. Παλίμβολον λογίζεταί τις, τὰ ἐναντία βουλευόμενον. οὐκ εὐτρόπως [illegible] δηλοῖ. Παλίμβολος. οἱ μὲν οὕτω λεγόμενος, [illegible] ὁ ἐπὶ δούλου [illegible] παλίμβολος τρίπρατος, ἢ πολλάκις ἀπεμπολημένος. ἴσως δὲ καὶ ὁ τοιοῦτος ἐκεῖθεν γέγονεν. [illegible] παλίμβολος δοῦλος, ὃν πάλιν καὶ πάλιν οἱ [illegible] μεταβολαῖς ἤλλαξαν, οἷα τρίπρατον. Παλιμπαγοῦν, τὸ εἰς τοὐπίσω ἀναστρέφειν. Παλιμπετὲς ἀπονέονται, ἀντὶ τοῦ παλιμπετεῖς. ἤγουν πεσόντες ἀνάπαλιν τοῦ σκοποῦ. καὶ ἔστιν [illegible], ἡ μεταφορὰ [illegible], ὅπως ἂν τύχῃ. δύναται δὲ ἐπίῤῥημα εἶναι, καλῶς ὀρνύμενον. τὰ μὲν [illegible] [illegible]

[illegible]

Λυγοῦν καὶ παλιγγενεσία λέγεται. Παλιναγγελος, ὁ ἐξ ὑποστροφῆς ἄγγελος, ὅταν ἀπαγγείλας [illegible], ἀπὸ τούτου [illegible] φασιν, [illegible]. Παλινάγρετα, εὐμετάβλητα, τὰ χαρίσματα, τὰ ἐκ μεταμελείας πάλιν ἀναλαμβανόμενα. καὶ παλινάγρετον, [illegible], μεταμελητόν. Παλινάγρετον, ἄμετάλητον, ἀτελεύτητον, παρ᾽ Ὁμήρῳ. οὕτω φασὶν οἱ παλαιοί, [illegible] παλινάγρετον δηλοῖ, ὡς βέβαιός ἐστι. [illegible] ἀπατηλὸν [illegible], [illegible] φιλαλήθης ἐστί. [illegible] οὐδ᾽ ἀτελεύτητον, [illegible] λειτουργὸς [illegible], οὐ γὰρ ἐμόν, λείπει τὸ ἔπος. Παλινείρετα, τὰ ἐπισκαπτόμενα, καὶ οἷον ἐπίγναφα. [illegible] Πάλιν, αὖθις ἀεὶ λέγουσιν [illegible], καὶ οὐκ αὖθις. Πάλιν ἀφίκετο πρὸς οἶκον, ἀντὶ τοῦ ἐπέστρεψε πρὸς οἶκον. Παλινδινία, ἡ ἐξ ὑποστροφῆς ὁδὸς [illegible]. Παλινδὶς, παλίγγνωσον. Παλινδικεῖν, ἐπισυνάπτειν δίκην. [illegible] παλινδικίαν [illegible], τοῖς ἀδίκως καταδικασθεῖσι. Παλινδικία, ἡ ἐξ ἀρχῆς δίκη. Παλινδίνητον, συνεχές. Παλινῳδία, τὸ [illegible]. Πλάτων, [illegible] καὶ μεμαθηκὼς παλινῳδίαν [illegible] αὐτοῦ [illegible]. Παλινδρομεῖν, εἰς τοὐπίσω ὑποστρέφειν. Παλίνδρομος, [illegible]

[illegible]

τῶ, παλαιστή. ἔστι δὲ τετραδάκτυλον μέτρον. λέγεται καὶ δόχμη, διὰ τὸ πλατείᾳ τῇ χειρὶ μετρεῖσθαι. ποιεῖ δὲ ἀπὸ τῶν μεγάλων δακτύλων πρὸς τὸν λιχανὸν ἄκρον, δακτύλους δέκα. ἡ δὲ σπιθαμή, ἔχει δόχμας τρεῖς. οἷον παλαιστὰς τρεῖς, δακτύλους δὲ δώδεκα. ὡς ἐχούσας τὰς δόχμας δακτύλους τρεῖς, ὁμοίως καὶ τὰς παλαιστάς. ἀπὸ δὲ τοῦ μικροῦ δακτύλου διισταμένων τῶν δακτύλων ἕως τοῦ ἀντίχειρος, λέγεται σπιθαμή παρὰ τὸ ἀποσπασμένην εἶναι, ἤγουν ἀποσπασμένη ἀπὸ τοῦ μεγάλου τοῦ ἀντίχειρος, πρὸς τὸ τοῦ μικροῦ ἄκρον. ὡς δὲ Χρύσιππος, ἤγουν ἀποσπᾶσθαι τὴν ὅλην χεῖρα. Παλαιστρικός, ὃ λέξιν φασὶν εἰρῆσθαι. ὁ δὲ ἀρχαῖος, παλαιστικὸν λέγει.

Παλαίτατος, ὁ παλαιός. Παλαίτεροι, λέγονται [illegible] καὶ οἷον εἰσὶν [illegible] πρεσβύτεροι. Παλαίφατα, ἐκ παλαιοῦ χρόνου πεφατισμένα, ἢ ὑπὸ μεμαντευμένα. οἱ δέ, πάλαι τὸ λόγον ἔχοντα. Παλαίφατον, τὸ πάλαι ῥηθέν. Παλαίω, προσπαλαίω. καὶ καταπαλαίω σε, μεταβατικόν. Παλαίων, πολεμιστήριος. Παλάμαι, αἱ τέχναι, αἱ χεῖρες. ὦ παλάμαι θνητῶν, ὦ δύστηνα γένη βροτῶν, οἷσι μέτριος αἰών. Παλαμᾶσθαι, τεχνάζεσθαι. καὶ παλαμᾶσθαι πρὸς ταῦτα, διὰ χρ. καὶ παλαμάσθω, καὶ πᾶν ἐπ᾽ ἐμοὶ τεκταινέσθω, ὃ γὰρ εὖ μετ᾽ ἐμοῦ καὶ τὴν δίκην ξύμμαχον ἔχω, καὶ σὺ μηδ᾽ ἄλλο κακὸν πράξῃς. καὶ αὖθις, ὁποῖα παλαμᾶται, ἀντὶ τοῦ τεχνάζεται. ὁ ἀπάλαμος παρ᾽ Ὁμήρῳ, ὁ ἄτεχνος. Παλαμήδης, ὁ Ναυπλίου καὶ Κλυμένης, σοφώτατος ὢν τῶν κατ᾽ αὐτὸν ἀνθρώπων, συνέπλευσεν ἐπὶ Τροίαν τοῖς Ἕλλησι, φθόνῳ δὲ Ὀδυσσέως, καὶ πεπλασμέναις τούτου γραφαῖς κατηγορηθείς, ὡς προδιδοὺς [illegible] τοὺς Ἕλληνας, λιθοβοληθεὶς ἀναιρεῖται. [illegible] ὁ τούτου πατὴρ Ναύπλιος, ἔπλευσε πρὸς τοὺς Ἕλληνας, καὶ τὴν τοῦ παιδὸς ἀπῄτει δίκην, ἄπρακτος δὲ ὑποστρέψας πάντων χαριζομένων τῷ βασιλεῖ Ἀγαμέμνονι, μεθ᾽ οὗ Παλαμήδην ἀνεῖλεν Ὀδυσσεύς, παραπλέων δ᾽ ἐπὶ τὰς Ἑλληνικὰς χώρας, παρεσκεύασε τὰς τῶν Ἑλλήνων γυναῖκας μοιχευθῆναι. Κλυταιμνήστραν μὲν Αἰγίσθῳ, Αἰγιάλειαν δὲ ὑπὸ Κομήτου, Μήδαν δὲ τοῦ Ἰδομενέως ὑπὸ Λεύκου, ἣν καὶ ἀπέκτεινε Λεῦκος, καὶ Κλεισιθύραν τὴν θυγατέρα αὐτῆς ἐν τῷ ναῷ καταφυγοῦσαν. καὶ δέκα πόλεις τῆς Κρήτης ἀποσπάσας ἐτυράννησε, καὶ μετὰ τὸν Τρωικὸν πόλεμον, καὶ τὸν Ἰδομενέα τῇ Κρήτῃ καταίροντα ἐξήλασε, ταῦτα πάντα ταῖς τοῦ Ναυπλίου γέγονε συσκευαῖς. ὕστερον δὲ ἀκούσας τὴν τῶν Ἑλλήνων ἐπάνοδον ἐπὶ τὴν πατρίδα, ἧψε φρυκτὸν ἐπὶ τὰ Κοῖλα τῆς Εὐβοίας, καὶ ἐν [illegible] Καφηρίδα, τὸν δὲ Ξυλοφάγον καλούμενον, ὅπου πλεύσαντες οἱ Ἕλληνες, αὐτοῦ δοκεῖν λιμένα εἶναι, διεφθάρησαν. τὰ δὲ περὶ τὸν Παλαμήδην καὶ Εὐριπίδης ἐν τῷ δράματι Παλαμήδους φησί. Παλάμη, ἐκ τοῦ πάλλω τὸ κινῶ καὶ σείω, ὁ [illegible] παρακείμενος πέπαλμαι, καὶ ἐξ αὐτοῦ παλάμη, δι᾽ ἧς ἡ χεὶρ κινεῖται [illegible]. Παλαμησάμενος, [illegible], μηχανησάμενος, καὶ ἐγχειρήσας. ἀπὸ τῆς παλάμης ᾗ τὰ πολλὰ κατασκευάζομεν. Παλάμηφι, ἀντὶ τοῦ παλάμῃ κατὰ προσχηματισμὸν τῆς φι συλλαβῆς. Παλαμναῖος, ὁ ταῖς οἰκείαις χερσὶ φόνον εἰργασμένος. Παλαμναῖος λέγεται, ὁ φόνον εἰργασμένος. παρὰ δὲ τοῖς Ἀττικοῖς παλαμναίας ἱκεσίας λέγουσι, τὰς ὑπὲρ φόνου γενομένας, ὧν τὸν Δία ἐπίκουρον, ἤγουν τιμωρόν φασι. Παλαμνωμένων, χερσὶν ἐργαζομένων τὴν ἐκ τῶν ῥημάτων παλαμηθεῖσαν σωτηρίαν. Παλαμῶν, τεχνῶν, ἢ χειρῶν. Παλάξειεν, παλάξειν, τὸ ἀναδεύειν. οὕτω φασὶν οἱ παλαιοί, τὸ φύρσαι καὶ μολῦναι. Παλάσσεσθαι λέγει Ὅμηρος, τὸ μολύνεσθαι, ὃ πλεονασμῷ τῆς λα συλλαβῆς ἀπὸ τοῦ πάσσεσθαι. [illegible] καταπάλη. ὡς ὁ κωμικός, καταπεπασμένος παιπάλῃ γενήσομαι. καὶ ἡ τοῦ Διομήδους θώραξ παλάσσεται αἵματι, ἤγουν μιαίνεται. ἔστιν δὲ ἡ λέξις Διονύσιος μέμνηται τοῦ Θουκυδίδου εἰπόντος, ὃ ἐμπαλασσόμενοι, ἀντὶ τοῦ ἐμπλεκόμενοι, περιπειρόμενοι, δεσμοί, φυρόμενοι. Παλάσσετο, ἐμολύνετο, ἐφύρετο. ἀπὸ τοῦ παλάσσω, τὸ μολύνω. Παλάσσονται, κληροῦνται. Παλαστῇ, μολύνω. Παλάχῃ, ἀρχῇ, λάχος, μοῖρα, γενεά. Παλαχόθεν, ἐκ γενεᾶς, ἐκ παλαιοῦ. Παλέας, ὁ σπάνιος. τίθεται καὶ ἐπὶ τοῦ ἄρρενος. Παλεύειν, ἐνεδρεύειν, προκαλεῖσθαι. εἰώθασιν ἐνεδρεύοντες τῶν ὀρνίθων ἱστᾶσιν [illegible], ὅπως τῇ φωνῇ προσκαλοῖτο τὰ ὁμογενῆ. Ἀριστοφάνης, καὶ τοῦ συκοφαντικὸν παλεύειν ἔλεγον. Παλεῦσαι, ἐξαπατῆσαι, ὑπαγαγέσθαι. ἡ παροιμία παλεύει [illegible] καὶ παλεύτρια περιστερά, [illegible]. Πάλη, ἡ παλαίστρα, ἀπὸ τοῦ πάλλεσθαι τὸ σῶμα. Πάλη, ὁ παλαισμός, καὶ ἀγών. καὶ ὁ παλαιστικός. Ἀποπαλαίειν, παλαίσματα, παλαίειν, προσπαλαίειν. παλαιστής, ἰσόπαλος, ἀντίπαλος, συγκαταφερόμενος, συλλαμβάνων, ἰσχυρός. σφοδρῶς καταπαλαίειν, προσπαλαίειν. Παληγενεῖς, οἱ γίγαντες. Καλλίμαχος, παλαιγενέων ἐλατῆρα. εἴρηται παρὰ τὸ ἐκ πηλοῦ γεγενῆσθαι, τουτέστιν ἐκ γῆς. Παλημάτιον, τὸ λεπτὸν ἄλευρον. Παλάξ, κυρίως σημαίνει [illegible]. ἔστι δὲ ἡ λέξις [illegible], ὥσπερ καὶ [illegible]. εἴρηται δὲ ἀπὸ τοῦ τῶν παλαιῶν ὕβρεως, πάλαξ, πάλακος, [illegible], οἱονεὶ παλαισμός, [illegible] παλαισμός, προσπαλαισμός. ἄλλοι δὲ λέγουσιν, ὅτι οἱ ἀρχαῖοι, ὅτε ἤθελον ὑβρίσαι τινὰ καὶ ἐμπαῖξαι, πηλὸν ἔχριον τὸ πρόσωπον αὐτοῦ. ὅθεν πηλός, πάλαξ, πάλακος, παλακίσθαι. Παλάσσειν, διαφθείρειν. Παλέας, τέφρας, σποδιάς. Παλιγγενεσία, τὸ ἐκ δευτέρου γεννηθῆναι, ἢ ἀναπλασθῆναι. ὃ τὸ ἅγιον βάπτισμα λέγεται. Παλιγκάπηλοι λέγονται, οἱ τὰ αὐτὰ πωλοῦντες, καὶ ἀγοράζοντες. εἰσὶ δὲ τέσσαρες αἱ διαφοραὶ τῶν πωλούντων, αὐτοπώλης, κάπηλος, ἔμπορος, παλιγκάπηλος, μεταβολεύς. καὶ ἔστιν αὐτοπώλης μέν, ὁ ἐν τῇ ἰδίᾳ χώρᾳ πωλῶν τὴν αὐτοῦ πρόσοδον. κάπηλος δέ, ὁ ἀγοράζων ἀπὸ τοῦ αὐτοπώλου, καὶ πωλῶν ἐν τῇ χώρᾳ [illegible]. ἔμπορος δέ, ὁ ἀγοράζων καὶ ἐπὶ ξένης πωλῶν, ὁ ἀπὸ τοῦ αὐτοπώλου, ἢ ἀπὸ τοῦ καπήλου. παλιγκάπηλος, ὁ ἀπὸ τοῦ ἐμπόρου ἀγοράζων καὶ πωλῶν. μεταβολεύς, ὁ κατὰ τὴν ἀγορὰν πωλῶν. ὥσπερ οἱ νῦν λεγόμενοι κάπηλοι. εἴρηται δὲ παρὰ τὸ συνεχῶς μεταβάλλειν, καὶ αὗται μὲν εἰσὶν αἱ σημασίαι κυρίως τῶν πωλούντων. καταχρηστικῶς δὲ πᾶς ὁ πωλῶν, κάπηλος λέγεται.

Παλίγκακον, σκολιόν, αἰσχρόν, δύστηνον. Παλικοί, ἀδελφοὶ δύο γεννηθέντες. Παλικοί, οἱ ὑπὲρ τῆς στρατείας [illegible], οἱ καλούμενοι παλικοί. [illegible]. Παλίγκοτος, ὀργίλος, σκληρός, φοβερός, ἐναντίος. Ἀριστοφάνης, μὴ γένῃ παλίγκοτος ἀντιβολοῦσιν ὑμῖν, ἤγουν μὴ ἐξ ὑποστροφῆς ὀργισθῇς, καὶ πάλιν μετανοήσας ἐφ᾽ οἷς ὑμᾶς [illegible]. ἐν ἐπιγράμματι, Κύπρις γὰρ τὰ μὲν ἄλλα παλίγκοτος, ἓν δέ τι καλὸν ἔλαχεν, ἐχθαίρειν τὰς [illegible]. Παλίγκοτος, ἀντὶ τοῦ ἐναντίος ἐστί, παρὰ Ἀριστοφάνει. Παλίγκυρτος, [illegible]. Παλιγκυᾶ, [illegible]. Παλιγλώσσῳ, βλασφήμῳ. Παλίζειν, σφαιρίζειν.

Παλίλλογα, παλισύλλεκτα. Παλιλογία, λέξις. ἡ φράσις, τοῦ μὲν προηγουμένου κώλου κατάληξις, τοῦ δ᾽ ἑπομένου ἀρχή. οἷον [illegible], καὶ πάλιν μυστήριον, μυστήριον [illegible]. Παλιλογία, ταυτολογία. Παλιμβάκχειος, ἐκ δύο μακρῶν καὶ βραχείας, συγκείμενος. οἷον, [illegible]. Παλίμβολος, [illegible]. Παλίμβιος, [illegible]. Παλιμβολία, ἡ εὐμετάβλητος γνώμη. Ἀγαθίας.

Παλίμβολον, ἀβέβαιον, ἄπιστον. τὸ γὰρ εὐμετάβολον εἶναι παλίμβολον. Παλίμβολος, ἀβέβαιος, εὐμετάβλητος, ἀνακόλουθος.

σωμῆν ἁπλῶς, ἀλλὰ χέρσας. αἱ δὲ καλούμεναι τοῦ οἴκου μὴ ἔχουσαι, τάχιον ἐκπαλαίσαι τέλεσιν, ἐπειδὰν βραχὺ ἢ ἀσθενῆ σωμάτιον. καὶ ἐπὶ τοῦ οἷον περίφρασις τοῦ ἀχαιῶν, οὐκ ἔτι ἀχαιοί.

Παῖς ὁ τὴν τοῦ παιδίου παρεκβαίνων ἡλικίαν, οὕτω δὲ ἀφιγμένος ἐπὶ τὴν τοῦ μειρακίου. εἰσὶ δὲ ἡλικίαι ἑπτὰ, ὥς φησιν Ἱπποκράτης. ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέομεν. παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνὴρ, πρεσβύτης, γέρων. καὶ παιδίον μὲν, ἄχρι ἑπτὰ ἐτέων ὀδόντων ἐκβολῆς. παῖς δ᾽ ἄχρι ἐκ φύσιος ἐς τὰ δὶς ἑπτά. μειράκιον δ᾽ ἄχρι γενείου λαχνώσεως ἐς τὰ τρὶς ἑπτά. νεανίσκος δ᾽ εἰς τὰ τρὶς ἑπτά, ἄχρι αὐξήσεως ὅλου τοῦ σώματος, ἐς τὰ τετράκις ἑπτά. ἀνὴρ δ᾽ ἄχρι ἑνὸς δέοντος ἐς τὰ ἑπτάκις ἑπτά. πρεσβύτης δ᾽ ἄχρις ἐτῶν πεντήκοντα ἕξ, ἐς τὰ ἑπτάκις ὀκτώ. τὸ δ᾽ ἐντεῦθεν, γέρων λέγεται. Παῖς ὁ ἐν παιδικῇ ὢν ἡλικίᾳ. ἀντίπαις, ὁ ἐκβεβηκὼς τὴν παιδικὴν ἡλικίαν. βούπαις, μέγας παῖς. καὶ παρ᾽ Ὁμήρῳ παῖδα παιδὸς, οἱ μετόπισθεν γίνονται. ταῦτα περὶ αἰνείου παρ᾽ Ὁμήρῳ ἐν τῷ υ τῆς Ἰλιάδος, καὶ παρὰ Οὐεργιλίῳ ἐν τῷ τρίτῳ τῆς Αἰνειάδος. τὸ δὲ λέγεται διὰ τὴν τῶν ῥωμαίων ἀρχὴν, ἥν φασιν εἰκὸς εἰδέναι τὸν ποιητὴν ἐκ τῶν σιβύλλης χρησμῶν, ἢ αὐτὸν οἴκοθεν εἰδέναι. μαντικὴν γὰρ ἀρετὴν, ὃ μαντικὴν ἐπιστήμην ἔχειν, ὥς φασιν ἄλλοι πλατύτερον. καὶ ὅρα ὅπως ὁ ποιητὴς οὐ μόνον τὰ φυσικὰ ἱστορεῖ, πολλὰ δὲ καὶ πρὸ τῶν ῥωμαίων, ἀλλὰ καὶ ὑστέρας τινὰς ἱστορίας παραδίδωσιν, ὧν ἐστι καὶ ἡ τοῦ αἰνείου ἀρχή. ἣν φημιζομένην ὡς εἰκὸς ἀχιλλεὺς μὲν ὀνειδίζων ἀπαιτεῖ, τὸ δὲ μετριώτερον ἐξετάζων εἰς αὐτὸν, καὶ παῖδας παῖδας, ὡς ἐκεῖνο πιστός. ὁ δὲ γεωγράφος λέγει, ὅτι τὴν αἰνείαν τινὲς μέν φασι μετὰ τοῦ ἀγχίσου πατρὸς καὶ ἀσκανίου τοῦ παιδὸς λαὸν ἀθροῖσαι, καὶ πλεῦσαι εἰς σικελίαν, ἐκεῖθεν δὲ εἰς τὴν λατίνην χώραν ἐλθεῖν κατά τι λόγιον. ἕτεροι δὲ οἰκῆσαι αὐτόν φασι περὶ τὸν μακεδονικὸν ὄλυμπον. ἄλλοι δὲ εἰς σικελίαν ἐλθεῖν. Ὅμηρος δὲ ἐμφαίνει φησὶν ἐν τροίᾳ μεῖναι αὐτὸν, καὶ διαδεξάμενον τὴν ἀρχὴν παραδεδωκέναι τοῖς παισὶν, ἠφανισμένου τοῦ πριαμιδῶν. ἤλω γὰρ πριάμου γενεὴν ἔχθαιρε κρονίων. καὶ τὰ ἑξῆς. τινὲς δέ φασι γράφουσι, νῦν δὲ δὴ αἰνείαο γένος πάντεσσιν ἀνάξει, καὶ παῖδων παῖδες, τοὺς ῥωμαίους λέγοντες. καὶ οἷς τὴν αἰνείαν καταστρέψαι τὸν βίον φασὶ ἐκεῖ. ὅρα δὲ, ἐστὶ δὲ τὸ μὴ ἔχοντος τὴν διαδοχὴν ἄπαιδος τὸ γένος λέγεται, ἀφανίζεσθαι. ὅτι καὶ διαδοχὴ ἱερέων καλὸν εἰπεῖν. τὸ δὲ ὁ δὲ ἀνάξει καὶ παῖδων παῖδες οἱ μετόπισθεν γένωνται. Παῖσον ἀττικοὶ, οὐ παῖξαι. Ἀριστοφάνης ἐν πλούτῳ, βούλει διὰ χρόνου πρός με παῖσαι, ἀντὶ ὑμεῖς παῖξαι, παιστέον, σφαιριστέον. παιδιὰ δὲ ῥῆμα τοῦ τερπνόν. Παισδιάμματα, προκάμματα. Παίσω, ἀντὶ τοῦ παίξομαι. ὡς ἀπὸ τοῦ παίζω παίσω. ὅθεν καὶ ἡ συμπαίστρια, καὶ ὁ συμπαίστωρ ἀττικῶς, ὡς τοῦ πταίζω παίζω δωρικοῦ ὄντος. ὅθεν καὶ τὸ παίγνιον καὶ ὁ συμπαιγμός. ἡ χρῆσις τοῦ παίσαι παῖσαι, ἐστὶ πολλὰ παρὰ κωμικῷ. Ἡρόδοτος λέγει, οὗτος μὲν ὁ λόγος ἄλλως πέπαισται ὑπὸ ἑλλήνων. τινὲς δὲ τὸ παίσατε, ἀντὶ τοῦ τύψατε, ὀρχήσασθε· κρούσατε τὴν γῆν. καὶ τὸ πολλὰ τῷ ποδὶ ἐν ἰδέαις. Παίσδε, παιδαριώδη. Παισός, πόλις μεταξὺ παρίου καὶ λαμψάκου. ἥ τις καὶ μετὰ τοῦ α λέγεται ἄπαισος. λέγεται δὲ φασι παισός, διότι ἐκεῖ ποτ᾽ ἀργὼ ὑπὸ κυμάτων ἐκλυθεῖσα ἀνεπαίσθη, ἤτοι ἀντεκρούσθη, ὅτι καὶ τοῦ κριοῦ προσωρμίσθη. Παίσωμεν, συγχορεύσωμεν. Παιῶν, εἶδος ὀρχήσεως. ἐχρήσατο δὲ Ἀριστοφάνης, παιστὸν παίζειν. Παιφάσσειν, τὸ ἐνθουσιωδῶς, καὶ ἐπιφανῶς ὁρμᾶν. ὅθεν ἐκπαιφάσσειν, τὸ ἐμφανῶς ὁρμὴν ἔχειν. καὶ παίφασσεν, ἐφλόγιζε, ἢ ἀντὶ τοῦ ἐνθουσιωδῶς ὁρμᾶτο. Παιφάσσουσα, ἀπὸ τοῦ φῶ φάω, φαίνω. κυρίως δὲ φάσσω. καὶ κατὰ ἀναδιπλασιασμὸν παφάσσω, καὶ πλεονασμῷ τοῦ ι παιφάσσω. ἀφ᾽ οὗ τὸ παιφάσσουσα, ἤτοι λαμπρύνουσα, περιφανὴς οὖσα. καὶ παρ᾽ Ὁμήρῳ ἐνθουσιωδῶς ἐλθοῦσα, καὶ ὁρμῶσα ἐπὶ τὴν ἀθηνᾶς.

Παιφάσσω, φαντασιῶ, ὁρμῶ. Παίω, τὸ τύπτω. εἰσπαίω, τὸ εἰσέρχομαι. Ἀριστοφάνης ἐν πλούτῳ, εἰσπεπαικὼς εἰς τὴν οἰκίαν. ἐκπαίω, τὸ ἐξέρχομαι. παραπαίω, τὸ παραληρῶ. συμπαίω, τὸ συγκρούω. ὑποπαίω μὲν δὴ, τὸ ὑποβάλλω. Παίων πρῶτος, ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν συντάχθη, οἷον ἀρχίλοχος. Παίων δεύτερος, ἐκ βραχείας καὶ μακρᾶς, καὶ δύο βραχειῶν, συντάχθη, οἷον ἀνάσιμος. Παίων τρίτος, ἐκ δύο βραχειῶν, καὶ μακρᾶς καὶ βραχείας, συντάσσεται, οἷον κλεόβουλος. Παίων τέταρτος, ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς, συντάσσεται, οἷον ἱκετηρίας.

Παιῶνας, ἰατροὺς καὶ ἀλαλαγμούς. καὶ παιωνίζειν, τὸ ἀλαλάζειν. Παιώνιον, ῥίζης φάρμακον. παιώνιον, ἰατρεῖον, θεραπευτήριον. ἢ σωτήριον φάρμακον. Παιωνία, παρὰ τῷ Ἀριστοφάνει. ἔστι δὲ παιωνία ἑορτὴ ἀθήνησιν, ἀπόλλωνι ἴσως ἀνακειμένη. καὶ παιωνίοις τισὶ φαρμάκοις σωτηρίοις, ἰατρικοῖς, θεραπευτικοῖς. καὶ ἀλλαχοῦ λέγει, παιωνίαισι χερσί. Παιωνίσαντες, εὐφημήσαντες, ἀλαλάξαντες, τὸν παιᾶνα ἐπικαλεσάμενοι. ἦν γὰρ ἔθος ἐπὶ ἔργον ἀρχομένους, καὶ ἐπὶ τῇ νίκῃ τοῦτο λέγειν.

Παιωνίσας, εὐξάμενος, τοῖς θεοῖς ὁμολογήσας χάριν. παιὼν γάρ ἐστιν, ὕμνος εὐχαριστήριος. Παιώνιος, διόνυσος. Παιών, ὁ ὕμνος. παίωνος δὲ, τοῦ ἰατροῦ. Πακέρρα, πόλις. Πακωτή, ἀποσκευή. Πακτά, ἡρμοσμένα, πεπηγμένα. Πακτοῦν, κλείειν, ἀσφαλίζεσθαι. μοχλοῖσι δὲ καὶ προσβάλλειν πακτοῦν, Ἀριστοφάνης λυσιστράτῃ. Πακτωλή, ὄνομα πόλεως, καὶ πακτωνή. Πακτωλός, ποταμὸς λυδίας, ὁ νῦν χρυσορρόας λεγόμενος. Πάλα, ζώνη. Παλαιγενὴς πρεσβύτα. Ἀριστοφάνης, χαῖρ᾽ ὦ πρεσβύτα παλαιγενές. Παλάθαι, μάζαι σύκων. καὶ παλαθίων, τῶν πεπατημένων ἰσχάδων. παλάθαι δὲ καὶ εἴδους βοτάνης. παλάθαι καὶ τὰ ἰατρικὰ πλάσματα, ὁ ἐπάλληλος θέσις τῶν σύκων. Παλαία, ἀλφιτισμός. οἱ δὲ πίσσην σῖτον.

Παλαιβίου, παλαιᾶς βίου. Πάλαι, ἐπίρρημα χρόνου δηλωτικόν. Παλαιβίσσα, πόλις. Παλαίμων, ἐκ τοῦ πάλη, ὃ σημαίνει τὴν παλαίστραν γίνεται, καὶ τοῦ αἵμων, τουτέστιν, ὁ ἔμπειρος τῆς παλαιστικῆς. καὶ παλαίμων, ὁ ἡρακλῆς. Πάλαι παρά τε τῷ κωμικῷ, καὶ ἑτέροις λέγονται, οὐκ ἀεὶ μακρὸν χρόνον σημαῖνον, ἀλλ᾽ ἔστιν οὗ καὶ πρόσφατον ἀττικῶς, ὡς μάλιστα δῆλον καὶ παρὰ Σοφοκλεῖ, ἀλλαχοῦ τε καὶ ἐν τῷ, νῦν τε καὶ πάλαι λέγω. νῦν μὲν γὰρ ἔφη τὸ προσεχῶς ἄρτι. πάλαι δὲ, τὸ ἐν τῷ ἀντιρρήσει προσεχεῖ εἶχε. Παλαιοβίτης, παλαιοπράγμων, ἀρχαῖος. Παλαιόν, ἀρχαῖον, ἑδραῖον. Παλαιός, ὁ ταῖς φρεσὶν ἐφθαρμένος. ἤλω ἄφρων, ὁ καὶ ἠλίθιος.

Παλαίτερος, ἐπὶ ἀψύχων. πρεσβύτερος μὲν, ἐπὶ ἐμψύχων. Παλαιόν, ἐνίοτε μὲν πρὸς ἕτερον λέγεται νέον. ὡς παλαιὰ ῥώμη, πρὸς τὴν νέαν. ἐνίοτε δὲ οὐ τῷ πρός τι ὅλως, ἀλλὰ δηλοῖ μόνον τὸ πάλαι γεγονός. παλαιὰ πρᾶξις, ἡ πάλαι γεγονυῖα, καὶ ἁπλῶς τὸ παλαιχρονικός. ἢ τὸ πάλαι μὲν τὴν ἀρχὴν εἰληφός, οὔ πω δὲ παυσάμενον. Παλαιός, ῥάπισμα, καὶ παλαιά. Πάλαι φιλῶ, ἤγουν ἐκ μακροῦ. καὶ πάλαι ἐποίησα, ἤγουν πρὸ μακροῦ. καὶ παρ᾽ Ὁμήρῳ ἐκ περισσοῦ κεῖται, καὶ οὐ κατὰ κυρίαν σημασίαν ἐν τῷ μοῖραν ὁ ξεῖνος ἔχει πάλαι. οὐ γὰρ κυρίως πάλαι μοῖραν ἔχει, ὁ νῦν αὐτίκα λαβὼν αὐτήν. ἀττικῶν δὲ τὸ χῆμα, παρ᾽ οἷς καὶ τὸ νυνὶ καὶ τὸ πάλαι ἁπλῶς οὕτω κεῖται, δίχα τοῦ σημαίνειν πολυχρονίαν τινά. Παλαίπολις, τὸ παλαιὸν ἄργος. Παλαιρόν, τείχος. Παλαίστρα, ὁ τόπος ἔνθα παλαίουσι. καὶ αὐτὴ ἡ πάλη. Παλαίσμασιν, ἀντὶ τοῦ στρατηγήμασι. Παλαιστής, ἀνταγωνιστής, σοφὸς παλαιστής. Παλαιστίνη, ὄνομα χώρας.

Παλαιστὴ, σημαίνει τὴν τῶν τεσσάρων δακτύλων ὀρθὴν κατὰ ἄρ σύνθεσιν, πλατὺ ὡς οὖσα, ὅτι πλάτος συνάγει τὰ ὀστᾶ, τουτέστι πλησίον εἶναι τοὺς δακτύλους. παρὰ τὸ πελάζειν δὴ τὰ ὀ-

τῆς κατὰ τὸν βίον εὐταξίας ἐπιτίμησις, καὶ σωφρονισμὸς ἀμαθίας ἀπαλλακτική. παιδεία δὲ ἀγωγή τις ὠφέλιμος τῆς ψυχῆς, ἐπιμελῶς πολλάκις τῶν ἀπὸ κακίας κηλίδων, ἐκπλύνειν ἐκκαθαίρουσα. ἢ τις πρὸς μὲν τὸ παρὸν, οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτοῦ γεγυμνασμένοις ἀποδίδωσιν εἰς σωτηρίαν. ἡ παιδεία, ἤδη κατορθοῦσα ἐπὶ τὸ κρεῖττον φέρουσα. παιδεία γάρ ἐστιν ἁπλῶς μὲν ἡ ἀρετή, συντόμως δὲ, ἡ φρόνησις, ἡ σοφίας, ἡ ἐπιστήμης. ἡ γνῶσις, ἡ τῆς μετὰ τοῦ παιδεία, καὶ ἡ τῶν μαθητῶν ἀνάληψις, κατὰ τὸ γεγραμμένον περὶ τοῦ Μωσέως, ὅτι ἐπαιδεύθη Μωσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων. Παιδεραστεῖ σφοδρῶς, ὅ, τι καλλωπίζει, καὶ ὁ ἀντολειδίας. Παιδέρως, οἱ μὲν σφραγῖδος ὄνομα, οἱ δὲ ἀλείματα, οἱ δὲ μύρου εἶδος. Παιδέρως, ὃ πάλαι μὲν τέλεια ἀρσενικὰ καὶ θηλυκὰ μετατιθέασιν, δὲ τῆς χρήσεως αὐτῶν, καὶ οἱ δοῦλοι. Παιδευθὲν, παιδοτροφεῖν. Παιδεύειν, ἀντὶ τοῦ κολάζειν οἱ δὲ ἐπὶ τῶν ἑτέρων εἶπον, ἀλλὰ παρὰ μόνῃ τῇ θείᾳ γραφῇ τοῦτο εὑρίσκεται.

Παιδεύω, καὶ παιδοτριβῶ, ἡ νουθετῶ ἐν τὰ καλά. Παιδευτὴς, παιδονόμος. Παιδιὰ, παίγνιον. ἰδέαι δὲ τὸν βασιλέα καὶ τὸν εὐνοῦχον κατὰ πάρεργον παιδιῶν ἕνεκα θεασάμενος ὁ Ἰμάσιος. Παιδικὰ, ἐπὶ θηλειῶν καὶ ἀρρένων ἐρωμένων τάττεται ἡ λέξις. λέγεται δὲ παιδικὸν, καὶ παιδαριῶδες, οἷον τὸ ἁρμόζον παιδί. ἡ δὲ λέξις ὡς ἐπίπαν ἐπὶ τῶν ἀσελγῶς ἐρωμένων. ἔστι δὲ οὐδέτερον πληθυντικόν. τοῦτο δέ ἐστιν ἐπὶ ἀγαθοῦ ἔρωτος, τινὲς δὲ ἐπὶ αἰσχροῦ λαμβάνουσι. Παιδικώτερον, ἱλαρώτερον. Παιδικὸν, ὁ ἐν γυμνασίῳ ὑπηρέτης. Παιδίον, παιδίας δεῖσθαι. Παιδίον, παιδίσκη. Παιδισκάριον, τὸ κοράσιον Ἀττικοί, ἐπὶ τῆς ἡλικίας. καὶ λίθος, ᾧ πρὸς τὰ λαστιουργίαν χρῶνται. Παιδίσκοι, οἱ ἐκ παίδων εἰς ἐφήβους μεταβαίνοντες. Παιδίσκη, ἡ ἐλευθέρα, καὶ ἡ δούλη, καὶ παιδισκάριον. παιδάριον δὲ Ἀττικῶς μὲν τὸ θυγάτριον, Ἑλληνικῶς δὲ τὸ ἄρρεν. Παίδνες, ἀλαλαγμοὶ ἐν πολέμῳ. Παιδνὸς, ὁ πάνυ νέος, παρὰ τὸ παίζειν, καὶ ὁ εὐγενής. ἢ ὁ νεώτατος παῖς. Παιδοβάτιον, εἶδος ἁμαξῶν. Παιδόθεν, ἀρχῆθεν, ἐκ ῥίζης, ἀπὸ γενέσεως, ἐκ παιδικῆς ἡλικίας.

Παιδοκομοῦντα, παῖδας τρέφοντα. Παιδολέτωρ Ἑρμῆς, τιμᾶται ἐν Μεταποντίοις. Παιδολετῶρα, παιδοφθόρον. Παιδομαθῶς, ἐκ παιδὸς ἠσκημένον ὄντα. οἷον μὲν, ἑρμῆς δὲ πλήρη, καὶ παιδομαθῆ περὶ τὰ πολεμικά.

Παιδονόμος, ἀρχή τις παρὰ Λάκωσι. Παιδονόμοι, οἱ προϊστάμενοι τῆς τῶν παίδων εὐκοσμίας. Παιδοπίπην, τὸν παράγοντα καὶ παρακρουόμενον, καὶ ἀναπείθοντα τὰ μειράκια λέγουσι. τοῦτον δὲ Κρατῖνος πυρρικίπην λέγει.

Παιδοποιΐα, καθ' ὃ μόνον τετραχῶς. οἱ μὲν γὰρ γνήσιοι ἐκ νομίμων γάμων, οἱ δὲ νόθοι οἱ ἐκ παλλακῶν. οἷον, ἐὸν πρίαμε νόθον, καὶ τὸν ἐνὶ δίφρῳ ἔστε, νόθον ἀτὰρ γνήσιον ἄμφω. οἱ δὲ σκότιοι, οἱ ἐκ λαθραίας μίξεως. οἷον σκότιον δέ ἐγείνατο μήτηρ. ἄλλοι παρθένιοι, οἱ ἐκ τῆς νομιζομένης παρθένου γεννώμενοι. ὡς τὸ, παρθένιος τὸν ἔτικτε χορῷ καλὴ πολυμήλη. ἡ δὲ τοιαύτη λέξις, διαφορεῖ τῶν παρακειμένων. ὁ μὲν γὰρ παρθένιος ὑιὸς τὸ ἔχει. ἡ δὲ παρθένος ὀξεῖα, ἐν ἰσοσυλλάβῳ τῷ διφθόγγῳ φιλεῖν λέγεται. Παιδοτρίβας, ἀλείπτας, γυμναστάς. Παιδοτριβικῶς, ἀλειπτικῶς. Παιδοφιλοῦσι, παιδεύουσι. Παιδουργία, παιδοποιΐα. Παίδουσα, ἡ παιδοῦσα, ἐγγόνων. Παιδοφάγα, παιδοφόνος. Παιδῶνας, τοὺς μισθοῦ ἐκ τῆς ἀγορᾶς κομίζοντάς τι. Παίε, αἰγιαλικὴ. τύπτε, πλῆττε, κροῦε, δέρε, βίαζε. Παίει μὲν ὁ τύπτων, παραπαίει δὲ ὁ παραφρονῶν, τῆς κατὰ προαίρεσιν ὁδοῦ διαμαρτάνων. Παίειν ἐφ' ἃ νοῶν, παρὰ τῷ Ἀριστοφάνει. ἤθιον μετὰ τῶν ἄλλων τὸν ὄρνιν, διὰ τὸ ἀμείνω προσφθέγγεσθαι. Παίζω τὰ πράγματα, προσπαίζω σοι. παίζω, ὑπεναντίον τὸ σπουδάζω. παίσομαι παρ' Ἀττικοῖς, ἀντὶ τοῦ παίξω. παιδιὰ ὑπεναντίον τῇ σπουδῇ, χαιρέτιον. δοῦλοι παίζουσι διὰ ἑαυτῶν δεσπότας. Παίζω, ὀρχοῦμαι. Παίζω, σεσημείωται ὡς μὴ ἀναλογοῦν. λέγεται γὰρ, ὅτι τὰ εἰς ζω οἱ παρακείμενοι τῷ ζ διφθόγγῳ, ἐπὶ φωνῶν ἔχουσι τὸ ζ. οἷον σχολάζω, βοάζω, τὸ ὑβριστικῶς, ματάζω, τὸ μάταια φρονῶ. τὸ παίζω δὲ φωνὴν ἐκ τοῦ παῖς παιδὸς, παιδίζω συγκέκοπται. Παιώνιος, ἰατρικά. Παιάνιον, ἐπινίκιον. Παιὰν, ὕμνος τὶς φασὶν εἰς Ἀπόλλωνα ἐστὶν, οὐ μόνον ἐπὶ παύσει λοιμοῦ, ἀλλὰ καὶ ἐπὶ παύσει πολέμου. καὶ ὁ μὲν ποιητὴς, καὶ παιήονα τοῦτον καλεῖ, οἱ δὲ μετὰ αὐτὸν παιᾶνα. ἐξ οὗ καὶ ῥῆμα παιανίζειν, καὶ παιανᾶν. ἐξ οὗ καὶ οἱ παιανισταί. καὶ τὸ τούτου ῥῆμα, παιανίζειν. γίνονται δὲ αἱ τοιαῦται λέξεις, ἐκ τοῦ παίω τὸ θεραπεύω. τοῦτο δὲ ἐκ τοῦ παύω, τροπῇ τοῦ δίχρονου εἰς δίχρονον. ἐπεὶ κατὰ παύσιν κακοῦ τινὸς ὁ τοιοῦτος ὕμνος ἱδρύεται. ἔστι δὲ καὶ παιὰν ὄνομα ἰατροῦ, τοῦ παρὰ θεοῖς. ἐτυμολογεῖται δὲ αὐτὸ ὄνομα, ἀπὸ τοῦ παιανικὸν καὶ καταπαυστικὸν κακοῦ, ὅ ἐστι ἀσκληπιαδῶν φῦλον. τὸν δὲ ῥυέντα παιᾶνα, ἰατρόν τινες θρακικὸν εἶναι νομίζουσι τὸν Ἀπόλλωνα. διὸ καὶ παρ' Ὁμήρῳ εἰρηται εἰς τὸν καλὸν ἀείδοντες, ἐπάγουσι παιᾶνα μέλποντες ἑκάεργον, ἀντὶ τοῦ ὑμνον ἄδοντες εἰς τὸν παιᾶνα Ἀπόλλωνα, ὡς οἷα ὀρθῶς ἀκριβολογεῖς. ὥσπερ δὲ παίω παιᾶνα, ἐπὶ τοῦ τύπτω, κατὰ τὸ γίνεσθαι σφοδρῶς παιάσαμεν, οὕτως ἴσως καὶ παίω παιᾶνα ἐπὶ ἐφάπτεσθαι. ἐξ οὗ ὁ παιὰν, ὅθεν κατὰ συγκοπὴν παιὰν. εἶτα ὥσπερ ἀλκμαίων ἀλκμὰν παρὰ Πινδάρῳ, οὕτω παιάων παιάν. ὁ δὲ παιάν συγκοπεὶς γίνεται παιάν, ὡς τὸ ἐκ παιῶν. καὶ παιῶνος εὐμενοῦς τυχών. σημειοῦσι, ὅτι εὕρηται παιωνία θεραπευτικὸν ἐστιν. καὶ παιωνία χεὶρ, ἡ ὑπὸ θεραπευτική. ἡ παιονία χώρα, ἐκ τοῦ παίων παίονος ὄνομα κύριον. Παιάνιζεται, ἀρχή τις ἐπὶ ἐπαίνων. Παιανὸς, ἄρχων, ἰατρός. Παιανισμονίκατος, ὁ τῶν παιάνων ἐπιεικῶν. Παίγματα, παίγνια, κοῦντια. Παίζω, δωρικῶς διὰ τοῦ ζ. ὁ δὲ Ἀττικὸς, παίσομαι καὶ παίσατε. καὶ συμπαίξεσθαι διὰ τοῦ σ ἐρεῖ. Παίγνιον, λεκτὸν, ἀπόπλασμα. καὶ τὴν ἀπάτην, παιδόργημα λέγουσι. Παίονες, ἔθνος βαρβαρικὸν, δοῦλοι, καὶ ἰατροί. καὶ παιονία χώρα.

Παῖον, ἀσφαλὲς, βέβαιον. Παιπάλη, λαλεῖν τὰ λεπτὰ. καὶ παιπάλη λέγεται, τὸ λεπτότατον τοῦ ἀλεύρου. ἀφ' οὗ πάλημα, τὸ λεπτότατον. ὡς ὁ, πολλὰς δὲ λείων ἐπὶ ἀλευρωδῶν. Παιπαλόν, ἀφιστάμενον, ὑψηλόν. Παιπάλη, οὐ γάρ. Παιπάλη κυρίως τὸ λεπτομερὲς τοῦ ἀλεύρου. καὶ παιπάλημα, πολλὰς ἐκτροπὰς καὶ διαδοχὰς ἔχον. κυρίως δὲ, τὸ λεπτὸν ἄλευρον. Παιπάλημα, τὸ πανοῦργον, καὶ ποικίλον ἐν κακίᾳ, καὶ παμπόνηρον τὸν ἀγχίνοιαν. παιπάλημα, ὁ πολλὰς ἐκτροπὰς καὶ διεξόδους ἔχον, κυρίως δὲ τὸ λεπτὸν ἄλευρον. Παιπαλόεις, ὁ τραχὺς, κατὰ πλεονασμὸν τοῦ π. παρὰ τὸ αἶπος, ὃ σημαίνει τὸ μέγα καὶ τραχύ. Παιπαλόεσσαν, ὑψηλήν. ἔστι δὲ σκοπιὴν εἰς παιπαλόεσσαν ἀνελθών. Παιπανία, ἡ κενοδοξία.

Παιρὸς, παιρίτας. Παῖς δαΐς, ἐκ τοῦ παῖς δαίς. αἰολεῖς διαιροῦσι τὰ μονοσύλλαβα ὀνόματα, τὰ εἰς αις λεγόμενα. Παιδικὰ, τὰ ἐρωτικά. Παῖς παιδὸς, παιδίον. παιδεία, ἡ παίδευσις. παιδιὰ ὀξυτόνως, τὸ παίγνιον. παῖς παιδίον παρ' Ἀττικοῖς τὸ θυγάτριον. παῖς δὲ ἐκαλεῖτο τὸ ἔθνος ἐκ τοῦ ἐν παιδικῇ ἡλικίᾳ διὰ τὸ ἀσθενὲς συνέσεως πρέσβεις δημοσίᾳ πεμφθῆναι, οὐ πάντως μόνον πατρὸς, ἀλλὰ καὶ τῶν γερόντων, ὡς ἐν ὀδυσσείας φ. Παισὶ καὶ χήραις, ἐν β Ὅμηρος ἀποκτείνει τοὺς ἄλλους, ὅτε δέ ἐστιν αὐτοῖς κυμάτων. διὰ μὲν τῶν γυναικῶν εἰς μικροψυχίαν, διὰ δὲ τῶν παίδων εἰς ἀρχὴν παιδίων, καὶ εἰς μαλακώτατα. καὶ οὐχ ἁπλῶς παισὶν, ἀλλὰ νηπίοις, οἱ μικρὸν ἐκ τοῦ οἴκου ἀναληφθέντες, μόνον μένουσι. καὶ οἱ δὲ γυ-

πᾶν τὸ σκεύασμα σιτίοις ἐσθιόμενον. καὶ γίνεται φασὶν ἡ λέξις, παρὰ τὸ ὀψέ. διὰ τὸ, οὐχὶ ἰσχὺν, ἀλλ' ὀψὲ τοιαύτας τροφὰς προσφέρεσθαι. ἢ μᾶλλον διὰ τὸ ὀψὲ καιροῦ εἰς χρῆσιν ἐλθεῖν ἀνθρώποις ὑπ' αὐτῆς χάριν τὸ ὄψον. τὰ περὶ τούτου δὲ, ἀπλοϊκῶς ἔχων. τὸ δὲ εἰς ὃ ἀεὶ διὰ τὸ ἑψεῖν γίνεται τὸ ὄψον, οὐ πάνυ ἀρέσκουσι, τὰ τε ἄλλα, καὶ ὅτι τὸ μὲν ἕψω δασύνεται, τὸ δὲ ὄψον ψιλοῦται. γίνεται δὲ ἐκ τοῦ ἕψω μᾶλλον ἑφθὸς, ἐδέσματι λιχνῶν ἰχθύων, ἀφ' ὧν τὸ χὺν, ὀψώνιον, ὀψοφίλος, ὥς φασιν οἱ παλαιοί, ἢ ὀψοποιεῖν, ἢ παραλειπεῖν. ὡς ὀψοφαγὸς, ἰχθυοφάγως φασὶ λέγεσθαι ὡς ἐπὶ πολὺ. ἰχθύδια γάρ φασιν ἰχθύδια ὑπολαμβάνομεν ἐν διώρυξιν, ὅταν ὁ πηλὸς ὑπερκαθέζεται τοῖς χλωροῖς. ἰσχὺν δὲ, ἐν ὡς οἱ ὕστερον ἐπὶ μόνων ἰχθύων τὴν λέξιν ὥρισαν, ὡς καὶ Ἀθηναίους παρασημαίνεται. ὅθεν καὶ ὀψάριον, καθ' ἃ φησὶν ὁ Τίμαρχος, ὅς καὶ ὁ κωμικὸς λαλεῖ. ἐπὶ μόνων τεμαχίων ἰχθυηρῶν, παρὰ τοῖς παλαιοῖς ἐλέγετο. ὀψάριον δὲ πολλοὶ χρῶνται ἐπὶ ἰχθύος πολλὰ τοῖς παλαιοῖς. Ὄψος, μοχθηρός. Ὄψου, παντὸς προσφάγματος.

Ὀψοφαγία, ἡ ὀψοφάγος, λαίμαργος, ὄψα ἐσθίων. Ὀψώνια, τὰ πρὸς τὸ ὀψωνεῖν ἀναλώματα. Ὀψώνια, κέρδη, χαρίσματα. Ὀψοφαγία, εὐωχία. Ὀψίγονος, ὁ ἀρχαῖος. Ὀψίμορος, ὁ ταχυθάνατος. Ὠκύαλος, ὁ ταχέως πλέων. Ὠκύπορος, ὁ ταχέως πορευόμενος. Ὠκύτατος, ὁ ταχύτατος, ὀξύτατος. Ὠμηστὴς, ὁ ὠμὰ κρέα ἐσθίων. Ὠμὸς, ὁ ἀεὶ ζῶν, ἢ ὑπάρχων. Ὠνήμενος, ὁ ἀγοράζων. Ὤνιον, πωλούμενον, παρὰ τὸ ὠνίζειν.

Τέλος τοῦ ω στοιχείου.

ΑΡΧΗ ΤΟΥ Π

ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Πῖ, τὸ στοιχεῖον, καθὰ τὸ παίω. ὁ ἐν τούτῳ φθόγγος, ὥσπερ παίοντος ἢ κρούοντος ἦχος ἐστί. Πᾶ, ἀντὶ τοῦ πῇ δωρικῶς. ὡς παρὰ Θεοκρίτῳ, πᾶ μοι ταὶ δάφναι. Παάπις, ἐν τοῖς πατρίοις τοῖς ἀθηναίοις ἐπεμψε δῶρα. ἀλλὰ φρατρίοισιν, ἀτὰρ ὁ μεγακλέους ὑπάτου παῖς. ὑπέρβολος τὰ πόματα κατελάβεν. Παγαὶ, αἱ πηγαί. στωικοί. Πάγασα, σφόδρα. ἢ ἐέργω, ἐπάγη. Παγαίοι, ἀγράριοι. Παγανὸς, ἰδιώτης, ἄφρων. Παγὰς, τὰς τῆς ἀπὸ τῶν γεωργικῶν, καὶ παγίδας, δίκτυα, παγίδας. Πάγαρος, ὕφα. καὶ παγάριος. Παγασαῖος, ὁ Ἀπόλλων, ὁ ἐν Παγασαῖς τόπῳ τιμώμενος. Παγασαὶ, πόλις καὶ ἀκρωτήριον μαγνησίας. ὠνομάσθη δὲ ἀπὸ τῶν πηγαῖς περιέχεσθαι τὸς τόπους. ἐστὶ δὲ ἐν τῷ παγασαίου Ἀπόλλωνος ἱερόν. Παγασιτικὸς, κόλπος. Πάγγαιον, ὄνομα ὄρους. Παγγὰς, πλάνος. Παγγενῆ, ἐπίρρημα μηδότητος. Παγελὸς, ὁ ἐν τῷ ποδὶ ἀστράγαλος. Παγετὸς, κρύσταλλος, ψῦχος, κρυμὸς, σκόπελος. Παγὴ, παγὶς, πόδαγρα, βρόχος. Πάγη, παγίδα, ὑφ' ἣν ἀπατώμενα.

Παγῆναι, στερεωθῆναι, παγῆναι. Παγίως, ὁ ἐξ ὅλου στερεὰς καὶ ἀσφαλοῦς κατοχῆς. Πάγιον, στερεὸν, στερεὸν, ἐδραῖον, βέβαιον, ἀσφαλές. Παγὶς, ἐνέδρα. παρὰ τὸ πήσσω παγίς, καὶ παγίς. λέγεται καὶ πόγη δίκτυον, ἢ θηρευτικὸν ὄργανον τετράγωνον. Παγκάλως, πάνυ καλῶς. Παγκαρπία, πανσπερμία. Πάγκοινος, ὁ λίμνη ἡ δῶ ἄδον. Παγκρατίαστής, ἀπὸ τῆς κράδης τὸ σύκον. Παγκρατιαστὴς, ἀθλητής.

Παγκρατιάζειν καὶ παγκράτιον, τὸ αὐτό, ὅ ἐστι πλεονεξεῖν. ἢ τὸ χωρίον, ὁ δὲ τῆς. Παγκρατιασταῖς, ἀθληταῖς, πύκταις, ταῖς χερσὶ καὶ ποσὶ παγκρατιάζουσι. Παγκράτιον, πυγμή, ἀγών, πάλη, ἄθλησις. Πάγκαρπος, ἐλαίας εἶδος ἢ κατασκευὸς καὶ ταπεινὸν, ἐν τῇ ἀκροπόλει. Παγκάδια, ἑορτὴ παρὰ φολίοις, ὅταν ἡ ἄμπελος σφαδῇ. Πάγοι, κρυστάλλοις ἐσχάτοι, ἢ εἰς ὕψος ἀνέχουσαι ὀξεῖαι πέτραι. Παγον εἰπεῖν, ἐν ὄρει τετραγωνισμένον. Πάγον λέγουσι, διὰ τὸ ἐξ ὕδατος πεπῆχθαι. πάγος, ὕδωρ τὸ πεπηγμένον ἀπὸ ψύχους, καὶ τὸ σκληρὸν καὶ πετρῶδες ὄρος. Πάγος, ὄχθος, βουνὸς, ψύχος.

Παγοῦσιν, πόρπημα, ἢ μικκύς. Πάγουροι, οἱ καρκίνοι, παρὰ τὸ οὐρεῖν καὶ φυλάττεσθαι ἐν τοῖς πάγοις. πάγοι δέ εἰσιν, οἱ κρημνώδεις τόποι. παρὰ τὸ πεπῆχθαι εἰς ὕψος, καταχρῶνται δὲ εἰς τὸ διατρίβειν ἐν τοῖς πάγοις, ὡς τὸ δυσλαδὴς ὕδατα φυλάσσω, ἀντὶ τοῦ διατρίβω. Πάχυρος, ῥίς. Παγυρίτης, ὄνομα χώρας ἢ τόπος. Πάχυ, παντελῶς, πάνυ, ἀσφαλῶς, βέβαιον. Παχυρισμὸς, πολυσύγκριτος. Παγῶν, πηγῶν. Παδαχίαι, χέρσοι. Παδος, ὄνομα ποταμοῦ, τοῦ παρ' ἄλλοις ἠριδανοῦ ὀνομαζομένου. Πάζιον ἢ τοπάζιον, λίθος πολύτιμος. Παθαίνεσθαι, ἀπὸ τοῦ ἀγανακτεῖν. καὶ παθαίνεσθαι, ἀντὶ τοῦ πάθος μεταλαμβάνειν, ἢ διεγείρειν. Πάθας, πάθη, συμφοράς. Πάθη, δύο σημαίνει. πόνον καὶ ἡδονήν. ἔστι ἡ μὲν ἡδονὴ, λεία κίνησις. ὁ δὲ πόνος, τραχεῖα κίνησις. καὶ ἡ μὲν ἡδονὴ, οἰκεία τῇ πάσῃ φύσει, ὁ δὲ πόνος, ἀλλότριος. Πάθη, ἡ κάκωσις, ἀκόλουθον σφίσι. πάθη δὲ θηλυκῶν, τὸ πάθος. Παθητικὴ πίστις ἐστὶν, ἢ ὡς εἶδος οὐ συνημμένον τῷ πράγματι. ἢ διὰ τοῦ χωρεῖν, ἢ ἐπιπολαία. Παθιῶται, συγγενεῖς, τελεταίου. Πάθος, λέξεως ἀμαρτία, ὡς τὸ ὤν, μεταφορὰ, ὡς τὸ ὑγρόν ἢ γῆ. κατάχρησις. ἐντεῦθεν καὶ ἡ συναφή. Πάθος μετακίνησις τοῦ λόγου, οὐ ἐκ τῆς ἀρχῆς. εἴτε καὶ ἄλλως. ἢ τὸ μετασχηματίσαι δυνάμενον εἰς τοῦτο, ὃ οὐκ ἦν πρότερον. ἢ πάθος ἐστὶ δύναμις, καθ' ἣν παθητικοὶ γινόμεθα. πάθος ἐστὶ ψυχῆς κίνησις ἄλογος, διὰ ὑπόληψιν κακοῦ ἢ ἀγαθοῦ. πάθος κίνησις ἐξ ἑτέρου εἰς ἕτερον, τὴν μὲν ἀρχὴν ἔχον ἐν τῷ ποιοῦντι, τὸ δὲ τέλος ἐν τῷ πάσχοντι. Πάθω, ἡ γινομένη, ἤγουν πάθω, ἀντὶ τοῦ ἐὰν συμβῇ μὴ ζῶντα ἀπελθεῖν. Παίωνα, αἱ ἐπικαλούμενοι. Παῖ, ἀντὶ τοῦ ὦ παῖ. τὸ δ' ἔτυμον ὦ παῖ. παῖδα γὰρ πᾶν τὸ γέρον καλεῖν δίκαιον, ὅς ἂν πληγὰς λάβῃ. Παιάν, ὁ Ἀσκληπιὸς. ὁ δ' ἐπὶ κλαίουσα φρύγας οὐχὶ παιᾶνος, τουτέστιν ὕμνων, φροντίδες δὲ, λύπας.

Παιᾶνας, ὕμνους, εὐφημίας. παιᾶνας δύο ᾖσαν. ἐπειδὴ ἔτι ἦρχον, ὃς ἐν πρὸ τῆς μάχης ἐγένετο. ὁ ἕτερος, ὅτε ἐνίκων. δύο παιᾶνας ᾖδον οἱ παλαιοί. πρὸ μὲν τοῦ πολέμου τῷ Ἄρει. μετὰ δὲ τὸν πόλεμον, τῷ Ἀπόλλωνι. ὃ δὴ, ὡς ἐπὶ πλεῖον λέγει Θουκυδίδης, ἀντὶ τοῦ ὡς πρὸς τὸ ἄρξαι τὸν πόλεμον.

Παιανίζω, τὸ παιᾶνα ᾄδω ἢ παιωνίζω. παιὰν γὰρ καὶ παιών, λέγει κυρίως ἐν τῷ παιανισμῷ, ἐκ θεῶν ἀρξάμενοι, ἐν τῇ φίλῃ παιᾶνος. Παιὰν δὲ ἐστὶ ὕμνος τῶν θεῶν ᾀδόμενος, καὶ μάλιστα τοῦ Ἀπόλλωνος, ἐπὶ ἀπαλλαγῇ τοῦ λοιμοῦ. τὸ δὲ παιὼν καὶ παιωνίζω, ἀνάλογον καὶ τὸ παιωνίζω, ἐπὶ νίκης πλέον κυρίως. καθ' ἑξοχὴν δὲ, ἐπὶ ἁπλῶς εὐφροσύνης. Παιανισμὸς, ᾠδὴ ἐπὶ ἀπαλλαγῇ κακῶν. Παιανιστάμενος, τοῖς παιᾶσιν ἐπικαλῶν. Παιανία, ἑορτή. ὡς τῇ ἑκάτῃ φέρουσα παιᾶνα. Παιδαγωγηθεῖσαν πόλιν, ἀντὶ τοῦ ἀχθεῖσαν, ἢ παιδαγωγηθεῖσαν, κτλ. Παιδαγωγία, παιδεία, διδασκαλία. Παιδαγωγὸς, παιδαγωγὸς, ἢ τὰ ὅμοια.

Παιδάκια, μειράκια. Παιδάρια, ἡμέρας δύο. Παῖδα δέ μοι, τὴν θυγατέρα δέ μοι. Παιδαριώδης, παιδαριωδῶς. Παιδάρια, τὰ μείζονα, καὶ τὰ ἀρτίως γεγονότα. Παιδαρίσματα, παιδάρια. Παιδάριον, οὐ μόνον ἐπὶ τῶν ἀρρένων κέχρηται τῷ ὀνόματι ἡ ἡρωτικὴ, ἀλλὰ καὶ ἐπὶ τῶν παρθένων. Παιδαριώδη, ἀσύνετα. Παιδεία ἐστὶ, παίδευσις

ἔφη, ἐνδέθην ὀχῆας εἶχον. καὶ αὐτ' ἂρ ὀχῆας ἐκεκλίνω. Ὀχεὺς, ὁ τῆς περικεφαλαίας ἱμάς. Ὀχὴ ὀξυτόνως, ἡ τροφή. ἀφ' ἧς καὶ τὸ εὐοχεῖν κατὰ ἔννοιαν παρ' Ἡσιόδῳ. καὶ ἡ εὐωχία δὲ κατὰ ἔκτασιν. ὅμοιον δὲ πρὸς τὰ ῥηθέντα, καὶ τὸ πλείων πλεῖον τοῦ γαριέστερον. καὶ τὸ πλεῖον ὀξυτόνως κατὰ περιοχὴν ὁ ἐνιαυτὸς ὁ καιριακὸς πλείω ἐκπεπληρωκώς. ἔστι δὲ τόπος πόλις βαρυτόνως. καὶ τὸ ῥὸς ὀξυτόνως, ὁ ἀπὸ τοῦ γάλακτος. καὶ νόμος μὲν ὁ τὰ δίκαια διδοὺς. νομὸς δὲ ἐν ὀξείᾳ τάσει, ὁ τῆς νομῆς τόπος, καὶ ὁ κατὰ αἰγυπτίους ἐν ἐνορίαις. καὶ κατὰ τόνον ὀξὺν, ὁ χρόνος. καιρὸς δὲ προπερισπωμένως τὸ μέτωπα. καὶ ἄπλετος μὲν προπαροξυτόνως κακὸν, ἀναπτὸς δὲ ὀξυτόνως ὁ φερατός. Ὀχεὺς, τὸ ζωστῆρος φασὶ ἐκεῖνους ἱμάντας εἶναι, οἷς διόδον συνέχεται ὁ ζωστήρ. Ὀχῆες, οἱ μοχλοὶ, ἀπὸ τοῦ συνέχειν τὰς θύρας. Ὀχὴ, ὀμόχλη, καὶ φωνή. Ὄχημα, ἅμαξα, ἅρμα, δίφρος. Ὄχησις, ἱππασία, φόρησις. Ὀχθῆσαι, βαρυχθῆσαι. Ὄχθας οὐ μόνον ποταμοὶ ἔχουσιν, ἀλλὰ καὶ τάφρους. αἱ δὲ εἰσι κοῖλαι καὶ ὑποσκαφαὶ κοίλης τάφρου. διὸ καὶ κατὰ τοῦτον εἶπεν Ὅμηρος ἐν τῷ ια' τῆς Ἰλιάδος, ἵνα ἐμφήνῃ τὰς ἐκ τῆς διαιρέσεως ὄχθας. Ὄχθη ἐπὶ ποταμοῦ λέγεται, ἀκτὴ δὲ ἐπὶ θαλάσσης. ἀπὸ τούτου γίνεται ὀχθῶ, ὀχθήσω ποιητικῶς τὸ βαρύνεσθαι. καὶ ὀχθίζω τὸ αὐτὸ παρὰ τοῖς κοινοῖς. καὶ προσοχθίζω, καὶ προσοχθίσματα. Ὄχθη, ὁ ὑψηλὸς τόπος, καὶ κρημνώδης ἐν ποταμῷ ὁ τοιοῦτος ἐν θαλάσσῃ λέγεται ἀκτή. ἀκτὰς δὲ ἀπὸ τοῦ ἄγνυσθαι τοῦ λῦμα. αὐτοῦ ὅθεν λέγεται καὶ Δημήτηρ ἱερὸν ἀκτῆς. οἷον τὸ ἐξαίρετον τοῦ σίτου καὶ προέχον. ὁ παράλιος τόπος ἐπὶ μὲν τοῦ ποταμοῦ λέγεται ποταμία. ἐπὶ δὲ θαλάσσης, αἰγιαλός. καὶ ἡ ἠιὼν καὶ θὶν, ποιητικῶς. Ὀχθῆσαι, τὸ δυσανασχετῆσαι, ἢ ὀργίσαι. ὅθεν καὶ Ἡσίοδος ὀχθεῖν λέγει τὸ ἐπὶ κακοῖς κινεῖσθαι καὶ ἄλλως ὀχθῆσαι. τὸ εἰς ὕψος αἴρειν τὸν θυμόν. ὄχθος γὰρ τοπικὴ ἐπανάτασις, τὸ γοῦν μέγ' ὀχθήσας, ἀντὶ τοῦ λυπηθείς. καὶ τὸ ὤχθησαν θεοί, ἀντὶ τοῦ ἐδυσανασχέτησαν, ἠχθέσθησαν, ἢ ὕψωσαν τὸν θυμὸν, ἢ τὸν φόβον. ἐκ δὲ τοῦ ὁμηρικοῦ ὀχθεῖν καὶ τὸ παρὰ τοῖς ὕστερον προσοχθίζειν παρῆκται. καὶ τὸ ἐξ αὐτοῦ προσόχθισμα. Ὄχθησις, θόρυβος, τάραχος. Ὄχθοι, αἱ τραχεῖαι καὶ δύσβατοι τόποι, καὶ αἱ ἐξοχαὶ τῶν πετρῶν.

Ὄχθοιβοι, περιάπτειν ἐκεῖ εἰώθασι περὶ τοὺς χιτῶνας, ἃ καλοῦσιν ὀχθοίβους, εἰσὶ δὲ τὰ λεγόμενα λώματα. Ὄχθος, λόφος ἡ ὀλυμπίας. πρῶτον κρόνιον λόφος ἐκαλεῖτο. Ὄχθος, κρημνός, πέτρα, τὸ ὑψηλὸν τοῦ ποταμοῦ, ἢ τῆς γῆς, ἢ ἀπόκρημνον χῶμα τῆς θαλάσσης. κυρίως δὲ, ποταμῶν ἄκρα. Ὀχλαγωγῆσαι, θορυβῆσαι, ἢ συναγαγεῖν ὄχλον, ἢ ταράξαι. Ὀχλεῖ, τίκτει, λυπεῖ, κινεῖ μετὰ ὄχλου. Ὀχλεῦντι, ἀπὸ ἐνεστῶτος γίνεται τοῦ ὀχλέω, ἐξ οὗ παράγωγον τὸ ὀχλίζω. ὡς ἐκ τοῦ ὁπλέω τὸ ὁπλίζω. καὶ διὰ τοῦ φρίσσω τὸ φρίζω, ὀνοματοποιεῖται τὸ ὀχλεῖν, καὶ μιμεῖται ἡ λέξις κυλισμὸν ὁρμητικώτερον τοῦ κυλινδεῖν, καὶ τοῦτο μὲν συμφρόνως πέφρασαι τῷ ποιητῇ ἐπὶ ψηφίδων. Θεόκριτος δὲ θρασέως· ἔφη τὸ πᾶσα λίθος αἰδεῖ. δῆλον δὲ ὅτι ἐκ τοῦ ὀχλεῖν καὶ τοῦ ὄχλου πλεονασμῷ τοῦ μ γίνεται ὁ μοχλὸς, καὶ ἐκ τοῦ ὄχθος ὁ μόχθος. Ὀχλεῦντι, ἀπὸ ἐνεστῶτος γίνεται τοῦ ὀχλέω. Ὀχλεὺς, μοχλὸς, τρόφιγξ, δεσμὸς, ἅρμα, ποικιλία. Ὄχλευσις, χολή. ὀχλισμῶν, μοχλῶν. Ὀχλίσσειαν, κινήσειαν. Ὀχλιζομένων, συναγομένων. Ὀχλίζω, τὸ κινῶ. Ὄχλογος, κατάλογος, λαός. Ὀχλοισίαν, ἐκκλησίαν, ἐκκλησίαν. Ὄχλος, πλῆθος, σύνοδος, σύλλογος, δῆμος, ἄθροισμα, συναγερμός, σύστασις. τάχα καὶ συναγωγή, καὶ συλλογή, καὶ θίασος, καὶ χορός. ὡς εἰ λέγει τις ἀνθρώπων ὄχλος, καὶ γυναικῶν πλῆθος, καὶ παίδων σύνοδος, καὶ ξένων σύλλογος, καὶ πολιτῶν δῆμος, καὶ δούλων ἄθροισμα, καὶ ἐμπόρων ἀγερμός, καὶ ναυτῶν σύστασις, καὶ ναυτῶν συναγωγή, καὶ κυβερνητῶν συνδρομή, καὶ παιδευόντων θίασος, καὶ παιδευομένων χορός. Ὄχλος. ὁ ὄχλος παρὰ

τοῖς ἀττικοῖς, παρὰ δὲ τῇ θείᾳ γραφῇ καὶ τοῖς ἄλλοις ἕλλησι, τὸ πλῆθος τοῦ λαοῦ. Ὀχλῶ, καὶ ἐνοχλῶ, ἐνίοτε μὲν αἰτιατικῇ, ἐνίοτε δὲ δοτικῇ συντάσσεται. ἐπηρεάζω, σοβῶ. Ὀχλώδης, ὁ ταραχώδης. Ὄχμα, πόρπημα. Ὀχμάζουσι, κατέχουσι, βασανίζουσι. κυρίως δὲ ἐστὶν ὀχμάσαι, τὸ ἵππον ὑπὸ χαλινὸν ἀγαγεῖν, ἢ ὑπὸ ὄχημα. σημαίνει καὶ τὸ ἐν μάχῃ κρατῆσαι, ἀπὸ τῆς αἰχμῆς. Ὀχμοί, ταχὺν φυτείαι. Ὄχναι, κυρίως αἱ ἀχράδες. ἤγουν δένδρα γεννῶντα τὰς ἀγρίους ἀπίους. γίνεται δὲ παρὰ τὸ ἄχειν. ἄχουσι γάρ πως αἱ ἐκεῖθεν καρποὶ διὰ τὸ ἄγαν τίφον. Ὄχνυ, εἶδος κόσου, ἢ κυνοσουμος. Ὀχαί, αἱ συνέχουσαι τὰς ναῦς, καὶ διασπασθεῖσαι. Ὄχος, τὸ ζευκόν. ὄχημα δὲ, κοινόν. ὄχημα ἐφ' ᾧ ὀχεῖταί τις. Ὄχος τεχνικῶς τὸ ἅρμα, τὸ ἐκ τῆς ἁμάξης κατασκευασμένον, καὶ ὑπὸ τῶν ἵππων κινούμενον, καὶ ὀχούμενον. καὶ ὀχοῦμαι τὸ ἐπὶ ἅρματος διώκων φέρομαι. καὶ ἅρμα πρότερον, τὸ πεζὸν ἱερόν. Ὀχοῦμαι, καὶ ἀντὶ τοῦ ἐπιβάτης εἰμί. καὶ τὸ ἐφ' ἵππου καθῆσθαι. ὅθεν καὶ ὄχημα τὸ ἅρμα. καὶ ὀχῶ καὶ ὀχεύω, τὸ ἀφροδισιάζω. καὶ ὀχεία τὸ πρᾶγμα, καὶ οὐχὶ ὄχημα. παρὰ τοῖς ἀττικοῖς δὲ λέγεται καὶ ὀχεῖσθαι ποιῶ, καὶ ἐπιβαίνειν καθίσταμαι ἕτερον, ὡς Δημοσθένης. αὐτὸς βαδίζω καὶ ποιῶ. τοῦτον δὲ ὀχῶ, ἀντὶ τοῦ ὀχεῖσθαι ποιῶ.

Ὀχὸς, ὀχούμενος, φερόμενος. Ὀχῶν, βαίνων. Ὀχυρὸς, ἰσχυρός, ἀσφαλής. Ὀχύρωμα, περίφραγμα. Ὀχύρωσεν, ἠσφαλίσατο, ἐφυλάξατο. Ὀχῶν, ὀχηματικῶς ἔχων, ἢ ὀχημάτων, ἢ ἁρμάτων. Ὄψ, ὄψις, ὀφθαλμός, ἡ φωνή. Ὄψα, λέγονται τὰ ἐκ σίτου ἐδέσματα, παρὰ τὸ ὀψέ. καὶ τοῦτο δηλοῖ. ἡ γὰρ διὰ ὀψὲ ὥρας εἰς δεῖπνον προσεφέροντο αὐτὰ παυσάμενοι ἤδη τῶν ἔργων, ἢ διὰ ὀψὲ χρόνου ἐξευρίσκεσθαι, κατὰ τὰς ἀναγκαίας ἐξ ἀκροδρύων καὶ σπορίμων τροφάς. Ὀψαλίδαι, οἱ ἀρχηγέται τῶν αἰπολῶν. Ὄψανον, ὄψις, φωνή. Ὀψάριον, τὸ ἰχθύδιον. Ὀψαρτύτης, μάγειρος. Ὀψαλίδαι, οἱ ἀρχηγέται τῶν αἰπολῶν. Ὄψανον, ὄψις, φωνή. Ὀψάριον, τὸ ἰχθύδιον. Ὀψαρτύτης, μάγειρος. Ὀψαρτυτικὰ, μαγειρικά. Ὄψεαι, θεωρήσεις. Ὄψεως, θέας. Ὀψὲ, οὐ μόνον ἀντὶ τοῦ μόλις, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐν ὑστέρῳ, μετὰ προσθήκης ὀνόματος χρονικοῦ. οἷον ὀψὲ τῆς ἡμέρας. χωρὶς δὲ τῆς προσθήκης, ἀντὶ τοῦ ἑσπέρας καθαρῶς. παρὰ Θουκυδίδῃ. ἐπειδὴ καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ. Ὀψὲ δύναν, ἐν δυσὶ μέρεσι λόγου δεῖ γράφειν κατὰ τοὺς παλαιούς. οἱ συνθέντες ὑφ' ἓν ὀψέδυον. διὰ τοῦ ι γὰρ ἂν ἐγράφετο. ὡς τὸ ὀψιμαθὴς, ὀψίτεκτος, ὀψιτέλεστος. Ὀψείοντες αὐτῆς καὶ πολέμοιο, ἀντὶ τοῦ ὀπτικῶς ἔχοντες. φασὶ γὰρ οἱ παλαιοί, ὡς τὰ τοιαῦτα ῥήματα ἔφεσιν ἐκεῖ δηλοῦσι, καὶ τὸ ἐπιθυμητικῶς ἐκεῖ ἔχειν, ὅθεν καὶ βρωσείω, τὸ βρωτικῶς φασὶν ἔχω. καὶ κακχείοντες, οἱ κακκακικῶς ἔχοντες. σημειοῦνται δὲ, ὡς οἱ τοιοῦτοι ἐν ταῖς οὐ προχωροῦσιν εἰς μέλλοντας. Ὄψεις, ὄνειροι, ὀφθαλμοί, ὁράσεις. Ὀψέποτε, μόλις ποτέ. Ὄψιδι, ἐπειδὴ φασὶν εἶναι Ἡρωδιανός. ἀπὸ τοῦ ὄψομαι. Ὀψία, ἡ βραδεία. Ὀψίγονος, ὁ βραδέως γεννηθείς. Ὀψίας, ἑσπέρας. Ὀψίγονοι, οἱ ὀψὲ καὶ εἰς τὸ μέλλον γενησόμενοι. τοὺς δὲ καὶ ἀπογόνους φαμέν. Ὀψιμαθὴς, ὁ ὀψὲ ἀρξάμενος μανθάνειν. Ὄψιμον, χρόνιον, ὕστερον. Ὄψιμον, ὀψιτέλεστον, ἐκ παραλλήλου. τῆς αὐτῆς ἐστιν ἐννοίας δηλωτικὰ, διὰ σημειώσεων. Ὀψινὸς, ὁμοίως τοῦ ὄρθρινός, καὶ τοῦ ἁμάρτημα. χρὴ οὖν ἐκ τοῦ ὄψιος. Ὀψιπαίδευσε, ἤγουν ζῶσιν ἄγοντας παῖδας βράδιον. Ὄψις, ἕξις διακριτικὴ σωμάτων, ἢ διάκρισις αἰσθητῶν. καὶ ἡ πρόσοψις, ἤτοι τὸ πρόσωπον. ἡ ὁρατικὴ δύναμις, καὶ τὸ ὁρᾶσθαι.

Ὀψιτέλεστον, μετὰ πολὺν χρόνον τελεσθησόμενον. Ὀψοδία, ἡ ἔνδεια τοῦ ὄψου. Ὄψομαι, καὶ ὄψει μόνα ἐν χρήσει. τὰ ἄλλα ὁρῶν ἄγεται. Ὄψον ἁπλῶς φασὶν οἱ παλαιοί,

παρ

ἀντὶ τοῦ ὤφειλε, τὸ ὠφελεῖν ἀντὶ τοῦ προστακτικοῦ. νίκα ἢ δῖνεν ὀφέλλεις, ἀντὶ τοῦ ὀφέλλοις. Ὀφέλλω, σημαίνει τὸ αὐξάνω, καὶ διαβάλλω. ἐξ οὗ πλεονασμῷ τοῦ ε γίνεται ὀφέλλω. ὅθεν καὶ τὸ ὀφέλλομαι τὸ αὐξανόμενον ἐν τῷ τέλει λόγον. Ὄφελμα, αὔξημα, κάλυμμα, κάλυπτρον. Ὀφέλμασι, σαρώμασιν. Ὄφελον, ταυτὸ ὂν τῷ ὤφελον. ἀναυξίαν δὲ ἐννοίαν ἔχει, καὶ ἀπόλλουσιν τοῦ ι. Ὄφελον, εἰ μὲν λαμβάνεται ἀντὶ τοῦ εἴθε, εὐκτικῷ συντάσσεται, ὡς ἐν τῷ ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου. ἢ μετὰ παρατατικοῦ χρόνου. οἷον ὄφελον ἐγένετο, ἀντὶ τοῦ εἴθε ἐγένετο. ἐν χρήσει διὰ τοῦ ο μικροῦ. εἰ δὲ ἀντὶ τοῦ ἐχρεώστουν, διὰ τοῦ ω μεγάλου, ἢ κανονίζεται ἀπὸ τοῦ ὀφείλω εἰς παρατατικόν. οἷον ὀφείλω. ὁ παρατατικὸς ὤφελον, ες, ε. καὶ συντάσσονται μετὰ ἀπαρεμφάτου. οἷον ὤφελον γενέσθαι τόδε, μετὰ τοῦ ως γράφεται ἀντὶ τοῦ εἴθε. ὡς ἐν τῷ, ὡς ὤφελόν γε, μὴ δὲ ἦν προσθήκας, μετὰ δὲ τοῦ ως, ἀντὶ τοῦ εἴθε, ἢ ἔτι τοῦ πότε, ἀντὶ τοῦ ἐχρεώστουν. οἷον ἐγὼ παραγενόμενον ἐνταῦθα, ὡς μὴ ὤφελον. καὶ τόδε, ὡς εἴθε ὤφελον. σημείωσαι δὲ ὅτι ταῦτα συντασσόμενον ἔχει τὸ ἀπαρέμφατον ἅπαξ ῥηθὲν τὸ παιδίσκη, ὃ παραγινόμενον, ὃ διεσώθη. οἷον ἐμοὶ τόδε παιδίσκη, ὡς μὴ σοὶ ὤφελον ποιεῖσθαι δηλονότι. Ὄφελος, ὠφέλεια, ὠφέλημα, κέρδος, κέρδαλέον, ἐπικερδὲς, ἐπωφέλημα, ἔρμαιον, εὕρημα, εὔρημα. τάχα δὲ θησαυρός. ἐντεῦθεν ὠφελίμως, ἐπωφελῶς, κερδαλέως, ἐπικερδῶς, ὠφελεῖσθαι, κερδαίνειν, ἐπαυλᾶν, εὐξυνεῖν. ἕτερος δὲ χρήσιμος, ὠφέλιμον, χρηστὸς, χρηστὸν, χρήσιμον, χρήσιμον, ἀναγκαῖον, ἐπιτήδειον, ἐπωφελὲς, λυσιτελὲς, συμφέρον, σύμφορον, συμφέρει, ὀνήσιμον. τὸ δὲ ἀνωφελὲς, μοχθηρόν. ἀπὸ δὲ τούτων, ἢ ἀβλαβές. ἢ τὸ ἐναντίον, ἡ χρεία. ἡ ὠφέλεια, τὸ κέρδος. φαῦλον ἢ λυσιτελέστατα. τὰ δὲ ἐναντία, ἄχρηστον, ἄχρηστον, βλαβερὸν, ἀσύμφορον, ἀλυσιτελὲς, ἀνωφελὲς, ἀνόνητον, ἀνεπιτήδειον. Ὀφελοῦντος, ἐρανίζοντος, σώζοντος, παραινοῦντος. Ὀφέλτης καὶ ζέραξ. ὄρνεα. ὅθεν ὁ μὲν ὀφέλτης, ἀπὸ ὀφέλτου τοῦ καὶ ἀρχιμόρου κληθείς, ὃς ἦν Λυκούργου υἱὸς τοῦ νεμείου Διός. γέραξ δὲ ἀπὸ γέρακος τοῦ ἥρωος κεκριμένου. ὁ δὲ αὐτὸς, ζέραξ κατὰ Φίλωνα καὶ ἑτέρους, κεφαλὸς λέγεται. νῦν δὲ ὁ καφυρεὺς, ἰδιωτικώτερον ἐλαφρότερος καλεῖται, πυκνότερον καὶ κάλλιον, στρογγυλός, ὀρεινοβάτης. ἔνιοι δὲ Ἀπολλόδωρον ὁ ὄφειος καὶ ἡ ἀθηνᾶ, καὶ ὁ προμηθεύς. ὄφειος λέγων μὲν, διὰ καλὸν ὁ ἄνθρωπος ἐν γῆς. προμηθεὺς δὲ, διὰ καλὸν ἡ οἰκία. ἀθηνᾶ, διὰ καλὸν ὁ θεὸς, ὥς φασιν οἱ μῦθοι. Ὀφελτρεύω, ὀφελτρεύουσι, κοσμοῦσι πέδον. κολλύριον, σημαίνει τὸ καλλύνειν. Ὄφελτρον, κάλυπτρον. Ὀφθαλμίαν, ἰδίως τῶν πυρέσσειν φασίν.

Ὀφθαλμιάζει, φθονίζει, ἐπιβάλλειν ὀφθαλμόν. Ὀφθαλμοῦ, ἀπεντεβάτης τοὺς ὀφθαλμοὺς τούτου. Δημοφάνης. Ὀφθαλμοῦ ἀλόησιν. ἐξ ἧς τὸν ὀφθαλμόν, εἴρηκεν ἁπλῶς οὕτω διὰ σημείωσιν. ἄλλως γὰρ καὶ χωρὶς τοῦ ὀφθαλμοῦ τίθεται τὸ ἀλόησιν ἐπὶ τυφλότητος. Ὀφθῇ, ὀφθεῖ, φανῇ.

Ὀφθαλμός βασιλέως, ὁ ταμιεύμενος κατάσκοπος. Ὀφιγαί, αἱ τῶν ὄφεων. Ὀφιόδειν, χελιδών, διατριβήν, εἰλεῖν.

Ὀφιόμαχος, εἶδος ἀκρίδος μὴ ἔχον πτερά. Ὀφιόδηκτος, ὁ ὑπὸ ὄφεως δηχθείς. ὄφις ἀπὸ τοῦ ἰὸς, ὄις, ἐν ὑπερθέσει πλεονασμῷ τοῦ φ, ὄφις. Ὀφιοῦσσα, γῆ ἐρημωθεῖσα. Ὀφίουρος, ἑρπετὸν ἐν αἰθιοπίᾳ. Ὀφιοῦς. Ἡρόδοτος διὰ τὸ πλῆθος τῶν ὄφεων. Ὄφις παρὰ τὸ ὄπτω τὸ βλέπω. ὀπτικὸν γὰρ, διὰ κεκαλυμμένον ἀνεωγμένους ἔχει τοὺς ὦπας. Ὄφις, εἶδος ἰχθύος. ἢ τὸ χρυσοῦν περιβραχιόνιον, καὶ ὁ δράκων, ὁ φυλάττων τὰ χρυσᾶ μῆλα, ἐν ἀκίδι, ὃν ἀπέκτεινεν Ἡρακλῆς. Ὄφλα, ὄνομα χωρίου ὅπου ἐστὶ ἐν Ἱερουσαλήμ. Ὀφλάνειν, ὀφλισκάνειν, ὀφείλειν. Ὄφλημα, τὸ ἐκ καταδίκης τῷ δημοσίῳ ὀφειλόμενον. κυρίως ὀφείλημα τὸ ἐκ δανείου, καὶ τὸ ἁπλῶς χρέος. χρέος δὲ τὸ ἰδιωτικὸν λέγουσιν. Ὀφλήσουσι, καὶ ὄφλησιν χρεωστοῦσιν. Ὀφλισκάνοντες, χρεωστοῦντες, ὑπομένοντες. Ὀφνίς, ὕννις, ἄροτρον. Ὄφρα, εἰ μὲν ὑποτακτικὸν ἐπιφέρεται, σύνδεσμός ἐστιν ἀντὶ τοῦ ὅπως. εἰ δὲ ὁριστικὸν ἐπιφέρεται, ἐστὶν ἐπίρρημα, ὡς τὸ ὄφρα μὲν ἠὼς ἦν, ἀντὶ τοῦ ἕως. Ὄφρα εἰδῆτε, ὅπως εἰδῆτε, ἐπιγνῶτε. Ὄφρ' ἄν, ἕως ἄν. Ὄφρ' εὖ εἰδῶ, ὅπως καλῶς ἴδω. Ὄφρυα, τὰ ὑψηλά, καὶ ὑπερκείμενα χωρία. ἔνιοι, αἱμασιάς. Ὀφρυανασπῶσι μεγαλαυχοῦσι, παρὰ τῷ Ἀριστοφάνει. ἀπὸ τοῦ ὀφρῦς ἢ φρόνημα ἢ σεμνόν, ἀντὶ τοῦ ὑπερήφανον. Ὀφρυάζειν λέγεται, τὸ ταῖς ὀφρύσι νεύειν. Ὀφρυηέσσης, ἐν ὑψηλῷ. οἱ δὲ μέσον, ἢ ὑψηλόν. Ὀφρυή, χῶμα, λόφος, αἱμασιαί. Ὀφρύς, παρὰ τὸ ὄπτω γίνονται καὶ τὸ ῥύω τὸ φυλάττω τροπῇ συνεθῇ, ὡς ἐν τροπαῖς τοῦ π εἰς φ. φυλάσσουσι γὰρ τὴν ὄψιν ἤτοι ὄμμα, καὶ τοῦ μὴ κακουργεῖσθαι ὑπὸ ἱδρῶτος.

Ὀφρύκνησον, ἐρυθριῶσα. οἱ γὰρ ἐρυθριῶντες κινοῦσι τὰς ὀφρῦς. Ὀφρύν. λέγει ἐνίοτε ὁ ποιητὴς τὴν ὑψηλὴν ἐξοχήν. ὡς ἐν τῷ ἐπ' ὀφρύσι κεκλιμένους. ὥσπερ φησὶ Κρατῖνος ὁ κύριος, ἐν ὀρέων κόρυμβα. ἢ ὀφρῦς, τὰ κρημνώδη ἢ τραχέα τῶν ὀρῶν ἢ ἐξοχὰς ἢ ὑπερηφάνεια. Ὀφρύοεσσαν, πόλις ἐστὶ τρωάδος. ὡς δηλοῖ Ἀνθρωπίων ἐν τρίτῃ ἀτθίδος. Ὀφρυεῖν, μετέωρον. Ὀφρυόεσσα τροία, ἡ ἐπὶ ὀφρυώδους τόπου κειμένη. ἢ διὰ τὸ ὑψηλὸν ἢ ἀνεμόεσσα. ὀφρύες γὰρ αἱ ὀρειναὶ ἐξοχαί. Ὀφρυόεντα, λοφώδη, ὑψηλόν. ἢ ὀφρυόεντος, ὑπερήφανος. Ὄχα, ἐξόχως. ἀπὸ τοῦ ἐξέχω ἔξοχος, τὸ ἔξοχον, τὰ ἔξοχα, ἐπίρρημα ἔξοχα, ἢ ἀποβολῇ τῆς ἐξ προθέσεως ὄχα. ἀποβάλλεται γὰρ πολλάκις ἡ πρόθεσις, ὡς ἐπὶ τοῦ κατ' αἰγὶς, αἰγὶς. Ὄχανον, τὸ κράτημα τῆς ἀσπίδος. καὶ ὄχανον, ὁ δεσμὸς ἢ ὁ λῶρος. ἐξ οὗ ἀποκρέμαται ἡ ἀσπίς. γίνεται δὲ παρὰ τὸ ἔχω, ὃ σημαίνει τὸ κρατῶ, ἔχανον, καὶ ὄχανον. Ὄχ' ἄριστος, ταυτὸν τῷ μέγ' ἄριστος. καὶ ἔξοχος ἄριστος. ὑπερθέσεις ἐπὶ ὑπερθέσει, κατὰ συνήθειαν ποιητικήν.

Ὀχεῖσθαι, ἐλαύνεσθαι. ὁ λόγος ἐπὶ Ἀχιλλέως, οὗ βαρυσπαλεῖς πέδον τῶν καρπῶν μεγάλως. Ὀχέειν, οἴσειν, τὸ ὀχεῖν, φέρειν, βαστάζειν. ἐντεῦθεν ἢ τὸ σύλλεκτον καὶ κινητὰς ὀχείω. ἰστέον δὲ, ὅτι ἐχέφρονας τοὺς, περιφράσεις ἐπὶ τοῦ συνετοὺς εἶναι, ἢ εἴρηται ἐκ μεταφορᾶς τῶν ἀφθονοφορικῶν. ἢ λέγεται ὀχεῖν. ἢ ὀλχεῖν. Ὀχέεσκον, ἀντὶ τοῦ ὤχουν. ἤτοι ἔφερον, ἐβάσταζον. Ὀχεῖσθαι, ἄλλοι μὲν ἀφηγηματικῶς ποιεῖται. οὕτω γὰρ φαμὲν ὡς εἶχε τις ἐφ' ἵππου ὀχεῖσθαι. ἄλλοι δὲ ὀχεῖσθαι λέγει τοῖς Ἀχιλλέως ἵπποις παιδικῶς, ἀντὶ τοῦ ὑπὸ ἡνιόχου γίνεσθαι. Ὀχεῖα, νοστεία. ἢ ἄγκυρα. παρὰ τὸ ὀχεῖν ἐν τῷ πόντῳ τὰς ναῦς. Ὀχεία, ἡ μίξις, καὶ ἡ συνουσία. Ὄχεον, ἅρμα, δίφρος, ἅμαξα, ὄχημα. ἢ καὶ τέλος εἰς ὄχημα ἑπτάδιφρος. Ὀχεῖσθαι, ἄλλως μὲν κοινότερον ἐνεργητικὸν δηλοῖ, λαμβανόμενον ἐπὶ τοῦ ἡνιοχεῖν καὶ ἐπιβαίνειν. λαμβάνεται καὶ παθητικῶς παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἡνιοχεῖσθαι. Ὀχεῖται, μετέωρος φαίνεται. Ὀχέοντες, ἐν αὐτοῖς ἔχοντες. Ὄχεσφιν, ὑπέμενον, ἔφερον.

Ὄχεσφιν, κατὰ προσχηματισμὸν Ὅμηρος Ἰλιάδος ι. ἐν δὲ τὸν γε ἀνέλκετο παρ' ἵπποισι καὶ ὄχεσφι. διὰ ὀχήμασιν. ἢ τοῖς ἅρμασιν. Ὀχετεύειν ἐστὶ κυρίως, τὸ ὕδωρ διὰ αὐλακος ἄγειν. ἀφ' οὗ μετοχετεύειν, τὸ μετάγειν ὕδωρ ἐφ' ἑτέραν αὔλακα. Ὀχετεῦσαι, ἐπιχέαι, σαλεῦσαι, μεταφέρει. Ὀχετλα, τὰ ὀχλήματα, οἱ δὲ τὰ συντεθραυσμένα. Ὀχετός, σωλήν, ἀγωγός, ῥύαξ, ὕδωρ, ὑδραγωγεῖον. Ὀχετοκρήνια, τὰ καλούμενα, ἢ διαχύσεις αἱ λεγόμεναι τῶν μηχανημάτων. εἰσὶ δὲ αὗται ξύλινα, ἢ κεραμεᾶ. οἱ δὲ φασὶ τοὺς ὑπονόμους, καὶ τὰς ὑπὸ τῆς γῆς ὀχετούς. Ὀχεῦνται, ἠρέμα κινοῦνται.

Ὀχεύς, ὁ μοχλός, ἡ τῶν λεγομένων σειρά. ἤγουν σειρά. ὁμοίως τῷ ῥαιὰ ῥιὰ, καὶ λαμπρὰ λαπαί. καὶ γίνεται παρὰ τὸ ἔχω, ὁ τὰς θύρας συνέχων. διὸ ὁ ποιητὴς τρόπῳ ἐσημειώσατο

ἐφε.

Νῦ στοιχεῖον, ἐγκλίνεσθαι. οἷον μή νύ τοι οὐ χραίσμῃ. Νυγμή, κέντρον. Νυχθήμερόν ἐστι, κόσμου περιφορά. Νυθόν, ἄφωνον, σκοτεινόν. Νυκτάετος ὄρνις, ἰσχὺς ἥρως, ὁ καὶ ἐρωδιός. Νυκτάλωψ, παρὰ τὸ ἐν τῇ νυκτὶ ἀλᾶσθαι, ὅ ἐστι πλανᾶσθαι. Νυκταλός, ὁ νύκτα φιλῶν, περὶ Διονύσου τοῦ κυνὸς φασιν. οὐδὲ γὰρ ἦν ἔσω νυκταλός, καὶ ὑπνηλός. Νύκτας τε καὶ ἦμαρ, παρ' Ὁμήρῳ. δηλοῖ μὲν καὶ αὐτὸ τὸ μὴ μόνον ἐν ἡμέρᾳ δεῖν ἐσθίειν τὸν ἀρχηγὸν καὶ ἐπιμελῆ, ἀλλὰ καὶ ἐν νυκτί, καὶ μὴ παννύχιον εὕδειν, ὡς εἴρηταί που. ἔχει δὲ τὸ ἦμαρ, ἀντὶ ἐπιῤῥήματος. οἷον καὶ τὸ αὐτῆμαρ, καὶ ἐννῆμαρ. Νυκτιλαμπής, ἐν νυκτὶ λάμπων. Νυκτερινόν, ἀγρυπνητικόν, ἄττικοί. Νυκτερινοί κύνες, οἱ λύκοι. ὥς Δαυΐδ ἐν ψαλμοῖς ... Νυκτερίς, ... Νυκτὶ ἐοικώς. ὁ μὲν ἀλληγορία ἐπὶ Ἀπόλλωνος, ἤγουν ἡλίου λέγει, ὡς ἐν τῷ καιρῷ τοῦ λοιμοῦ μὴ καθαρὰς ἐκπέμποντος, μηδὲ φοῖβος ὄντος ταῖς ἀκτῖσι, κατὰ τὸ τοῦ ἡλίου φοῖβον φλέγει, ὁ δὴ φασιν Αἰσχύλος, ἀλλὰ διὰ τὴν παχύτητα τοῦ ἀέρος ἀμυδρὰν καὶ ἀμαυρὰν καὶ ζοφώδη κατάστασιν ἔχοντος. ὅτι γὰρ λοιμώδης νόσος ἦν ἡ τοῦ Ἀπόλλωνος ὀργὴ κατὰ τῶν ἀχαιῶν, καὶ ὅτι τοιούτου ἐκεῖνος αἴτιος, πάντες οἱ παλαιοί φασι. καὶ οὕτω μὲν ἡ ἀλληγορία. ἡ δὲ ῥητορικὴ ἐπιβολὴ νυκτὶ ἐοικέναι φησί, τὸ βλοσυρὸν καὶ ἄγριον τὴν ἰδέαν, ὥσπερ ἥμερον τὸ μὴ τοιοῦτον. τὸ μὲν ἀπὸ τῆς ἡμέρας. ... καὶ εὐπροσωπεῖν ἡ ἡμέρα. ἐκεῖνο δὲ ἀπὸ τῆς νυκτός, δυσπρόσωπος οὕτως, καὶ διὰ τὸν φόβον. ἐπεὶ καὶ δείδια λέγεται, παρὰ τὸ δεδιέναι. Νυκτὶ ἐοικώς, τῇ ταχύτητι, διὰ τὴν ἀναίσθησιν δηλονότι. ἡ γὰρ ἡμέρα πολύμοχθος οὖσα διὰ τὰ ἔργα, μακρὰ ἡμῖν φαίνεται. Νυκτίδαι, γένος τι τῶν τὰς δαιμονικὰς νόσους ἰωμένων. Νυκτίβιος, ὁ ἐν νυκτὶ ὡς ἐν ἡμέρᾳ διάγων. Νυκτικόραξ, εἶδος ὀρνέου ἐρημικοῦ. Νυκτιλόχοι, λησταί. Νυκτιπόλος, ὁ λῃστής. Νυκτίλαος, ὁ δαίμων. Νυκτιβόμενος, ὁ νυκτικόραξ. Νυκτίμαντις, μάντεως εἶδος. Νυκτομαχία, ἡ ἐν νυκτὶ τοῦ πολέμου μάχη. Νυκτός, ἡ ἑσπέρας, ἢ μεσημβρίας ἔλαβον ἑκεῖνος, ἑλληνικῶς λέγουσιν ἀττικοί, ἤγουν εἰς τὸν καιρὸν τῆς νυκτός, ἑσπέρας καὶ μεσημβρίας. κοινοὶ δὲ λέγουσι κατὰ τὴν νύκτα, καὶ κατὰ τὴν ἑσπέραν, καὶ τὰ ἄλλα ὁμοίως. Ἄλλως. Νυκτὸς καὶ ἡμέρας ἀττικοί, ἤγουν ἐπὶ τῆς νυκτὸς καὶ ἐπὶ τῆς ἡμέρας, ἑλληνικῶς ἐρεῖν. ἢ νύκτα καὶ ἡμέραν, ἤγουν κατὰ τὴν νύκτα καὶ ἡμέραν. τὸ δὲ νύκτωρ, καὶ καθ' ἡμέραν ἁπλῶς, ἀδιαλείπτως. Νυκτῶν μέσον ἀττικῶς ἀντὶ τοῦ νυκτὸς μέσης. Νύκτωρ ἀττικοὶ λέγουσιν, ἀντὶ τοῦ κατὰ τὴν νύκτα. Νυμφάδας, νύμφας. γράφεται δὲ καὶ νυμφίος, ὅπερ ἐστὶ νυμφευόμενος. Νυμφαγωγεῖ, νύμφην ἄγει. Νυμφαγωγός, ὁ μεθ' ἀρχόμενος ἑτέρῳ νύμφην, καὶ ἄγων ἐκ τῆς πατρικῆς οἰκίας, ὡς πρότερον γεγαμηκότι οὐκ ἔξεστι μετελθεῖν, διὸ ἀποστέλλουσι τὸν φίλον ἑαυτοῦ. διαφέρει γὰρ ὁ νυμφαγωγὸς τοῦ παρόχου. ἐκαλεῖτο γὰρ πάροχος τὸν φίλον τις, ὃ ἐστὶ ὁ χήμας ἅμα τῇ νύμφῃ καὶ τῷ νυμφίῳ ὀχούμενος, οἷον παράνυμφος. Νύμφαι λέγονται, διὰ τὸ κατὰ τὸ νέον, ὃ ἐστι κατὰ τὸ ἔαρ μάλιστα ἐκφαίνεσθαι. διὸς δὲ θυγατέρες, ὅ ἐστιν ἀέρος καὶ αἰθέρος. διὰ τὴν ἄνωθεν ἐπιμίξεως αὐταῖς ὑγρότητα καὶ θερμότητα. ἴστε, ὅτι καθὰ περὶ ἐμοῦ νεόγαμος γυναικὶ κόρη, τουτέστι παρθένῳ ἡ μετὰ σπίνα τὸ δήμητρος κόρη, οὕτω καὶ αἱ μυθικαὶ νύμφαι ὁμωνυμοῦσι ταῖς κατ' ἀνθρώπους. ὅτι καθὰ περὶ παρθένοι κόραι, καὶ μετὰ γάμον κόραι, καὶ κοῦραι λέγονται διὰ τὸ νέαζον, ὡς καὶ Ὅμηρος οἶδε, καὶ αἱ τοῦ μύθου νύμφαι, ἐξ ὧν πολὺ πλῆθος ἐν τῇ ποιήσει καὶ τῶν ὑποκειμένων καὶ τικτουσῶν νύμφαι καλοῦνται, κατά τινα συνωνυμίαν. ὅτι δὲ καὶ συγγενικόν ἐστιν ὄνομα ἡ νύμφη, καὶ ὅτι καὶ προβεβηκυῖαν ἤδη τῇ ἡλικίᾳ νύμφην ὁ ποιητὴς καλεῖ, οἷον δεῦρ' ἴθι νύμφα φίλη. καὶ ὅτι κλητικὸς τῆς νύμφης ὁ νυμφίος, καὶ ὅτι ὁ παράνυμφος εἰπεῖν ἐστιν οὕτω λέγεται. ἐρεθιστὸν γάρ ἐστι παρανύμφιον καλεῖσθαι τὸ συσκευαζόμενον τῷ νυμφίῳ τὴν νύμφην, ἢ πεζῇ ἢ ἐφ' ἁμάξης, ὡς παρὰ ἀθηναίοις, ὑφ' ὧν καὶ πάροχος καλεῖται, διὰ τὸ μέσος αὐτῆς συναναβαίνειν. καὶ ὀχούμενος τῷ νυμφίῳ παροχεῖσθαι. καὶ ὅτι νυμφῶν χωριτικῷ λόγῳ ὁ τόπος, ἐν ᾧ οἱ νύμφιοι. καὶ ὅτι νυμφαγωγός, ὁ τὴν νύμφην ἄγων ἐκ τῆς πατρικῆς οἰκίας τῷ νυμφίῳ, καὶ ὁ μάλιστα τὴν κατὰ δεύτερον γάμον, καθ' ὃν οὐ θέμις τὸν νυμφίον ἀγαγεῖν, ἀλλ' ἀποστέλλεσθαι φίλον. ὃς οὕτω προσονομάζεσθαι, δηλοῦσιν οἱ παλαιοί. Νύμφαι, εἰσὶ

ουν. Νέμιος Ἀπόλλων λέγεται κατὰ τοὺς παλαιούς. ἐπεὶ οἱ ποιμένες [illegible] αὐτὸν. καὶ ἄλλως δὲ νέμιος ὁ Ἀπόλλων, ἐπεὶ θερμαίνων ὡς ἥλιος τὴν πόαν τοῖς θρέμμασιν [illegible]. Νόμιον μέλος, ποιμενικὸν παρὰ τὸ νομεύω. ἢ νόμιον, μέλος, ὕμνος, παρὰ τοῖς ἀρχαίοις οὕτω λεγόμενος. Νομίσω, ἀντὶ τοῦ ὑπολαβεῖν, καὶ ἀντὶ τοῦ ὑπολαμβάνεις. καὶ ἀντὶ τοῦ νόμον θέμενος. [illegible] Νόμισμα, δύο σημαίνει, τό τε νόμιμον ἔθος, καὶ τὸ νόμισμα τοῦ [illegible] χαλκοῦ, ἢ χρυσοῦ. Νομισαμένων, νομίμως [illegible] [illegible]

[illegible]

Νίσαιον, πέδιον περὶ Σουσίδα, ἔνθα ἵπποι ἄριστοι γίνονται, νισαῖοι λεγόμενοι. Νισαῖος ἵππος, ὁ ἔστι ξανθός. ἡ γὰρ νίσα πάσας τὰς ἵππους ξανθὰς ἔχει. Νισᾶν, ὁ ἀρτεμίσιος μὴν, καὶ ἄλλη πόλις. Νίσεσθαι, ἤγουν πορεύεσθαι, ἐκ τοῦ νίω νίσω μέλλοντος γίνεται, νίσομαι ἐνεργῶς, παρατατικῶς ἐνισσόμην ἐνίσσετο.

Νίσιβις, νισίβεως, ὄνομα πόλεως, ὁ πολίτης νισιβηνός.

Νίσομαι, εἰ μὲν διὰ δύο σσ γράφεται, τῆς ἀναλογίας ἐστὶ τοῦ διαλύσαι καὶ τῶν νισόντων. εἰ δὲ δι᾽ ἑνὸς σ, ἔστι μὲν χρόνου μέλλοντος. ἄδηλος δὲ ὁ ἐνεστὼς αὐτοῦ, εἴτε ὁ νέομαι νίσω, εἴτε καὶ ὁ μὴ γνωστός. νίω, ὡς τίω. ὅπως δ᾽ ἂν ἔχει, οὐχ ὁ καταλογάδην γράφων αὐτοῦ δεῖται. ὅτι δὲ καὶ διὰ διφθόγγου γράφεται ἡ τοῦ νίσεσθαι ἄρχουσα, ἐν διαφόροις κατάλογοις, ὡς ἀπὸ τοῦ νίω τὸ πορεύομαι, κατὰ τὸ θέω θείω, βίω βείω, ὡς τὸ, ἐς ὀρχομενὸν ἐπιστήσεσθαι. Νισσύρος, νῆσος μία τῶν κυκλάδων, ἡ καὶ πορφυρίς, ἀπὸ τῶν ἐν αὐτῇ πορφυρῶν. Νισσόμενος, ἐρχόμενος.

Νίσσεσθαι, προσπίπτειν δοκεῖ, καθὰ καὶ τὸ λίσσεσθαι. εἰ γὰρ κατὰ λόγον ἀπὸ τοῦ νίω ἦν, εἶχεν ἂν διὰ διφθόγγου τὴν ἄρχουσαν. εἰ μὴ ἄρα ὁ γραμματικὸς χαρακτὴρ εἰς τὸν ἰσωλόγον, ὁ τοῦ λίσσω, πτίσσω, καὶ τῶν ὁμοίων. Νιτάριον καὶ βάτιον, παρὰ τῷ Ἀριστοφάνει. Σύμμαχός φησι νίταρος πολὺς ἐπὶ μαλακίᾳ διαβεβλημένος, ἀρχοῦ καὶ βατάλου. καὶ τὰς μικρὰς δὲ ἐκαλοῦν, βατάλους ἔλεγον. καὶ Θεόπομπον φησὶν ἐν Βατάλῳ. ἐκ δὲ νιτάριον καὶ βατάλον, εἶδος φυτῶν. εἶναι οὖν εἰκεῖν Ἀριστοφάνης, ὅτι ὡς ἀνήρ μὴ εἶχε. Δίδυμος δέ φησιν, ὑποκορίσματα πρὸς γυναῖκας. νιτάριον δὲ νέαριον, οἱονεὶ κοράσιον. ἄλλως, φιλοφρονητικὴ ἡ προσφώνησις. βατάλιον δὲ τὴν ἕδραν, παρὸ καὶ τὸ βατεῖν. ἡ δύναται βάτον, ἀντὶ τοῦ τρυφερὸν καὶ μαλακὸν, οἷος ὁ βάτος τὸ ἰχθύδιον. Νιτίαιον, ἀκρωτήριον.

Νιτρία, τόπος. Νίτρον, σμῆγμα, ἢ εἶδος ἰατρικὸν, παρὰ τὸ νίζω νίτρον, ὡς μάσσω μάκτρον, πλύνω πλύντρον, φέρω φέρτρον. Νίτρον, τοῦτο αἰολεὺς μὲν ἂν εἴπῃ, ὥσπερ οὖν καὶ ἡ Σαπφὼ διὰ τοῦ ν. Ἀθηναῖος δὲ διὰ τοῦ λ, λίτρον. Νιφαλάδες χιόνος ἐπιλάδας ἔχει. Νίφαργον, νεφέλῃ λελαμπασμένον. Νιφάς, ἡ τῆς χιόνος κατ᾽ ὀλίγον ἀπόῤῥοια. νιφαλάδα δ᾽ ὡς ἐκτενῶς ἔφραζε. τὰς γὰρ ψακάδας, ψιάδας φησὶ γάρ. αἱ μανότεραι δὲ ψιάδας κατέχουσιν ἔφραζε. Νιφάτας, ὄρος ἀρμενίας. Νίφει, ἐπὶ τοῦ νέφους, χιονίζει. ἀφ᾽ οὗ νιφετὸς, ὅταν χιὼν σφοδρὰ καὶ ἀθρόα καταφέρηται. Νιφετὸς, λέγεται ὁ κατ᾽ ἄλλος χειμών. νιφὰς δὲ τὸ μικρὸς, καὶ ὄμβρος, καὶ ὑετὸς, καὶ ψακὰς, καὶ ὄρος νιφοειδὴς, καὶ χιονόβλητον. Νιφοβόλα, μετὰ πλεονασμοῦ ἐχρήσατο Ἀριστοφάνης ἐν ὄρνισιν, ὡς ἀπὸ τῆς νιφοβόλου εὐθείας. Νιφοβόλον, ὑψηλόν. Νιφοβόλοις, ξηροῖς.

Νίψα, πόλις θρᾴκης παρὰ Ἡροδότῳ. Νίψαν, ἤγουν ἔπλυναν.

ΤΟ Ν ΜΕΤΑ ΤΟΥ Ο.

Νόαι, πόλις σικελίας. ὁ πολίτης, νοαῖος. Νόα, πηγὴ λακωνική. Νόημα, ἀντὶ τοῦ νόημα αἰολεῖς λέγουσι. τρέπουσι γὰρ τὸ η εἰς α, οἷον ἐκάβην ἐκάβαν, πόλιν πόλαν, ἠὼς αὔως. Νοαρίως, νουνεχόντως. Νόει, συλλογίζου, σκόπει. Νοερὸν, πνευματικὸν, ἄυλον, ἢ τὸ τὰ νοητὰ ὁρῶν, ὃ πᾶν διὰ τοῦ νοῦ νοούμενον, ἢ τὸ διαφεῦγον τὰς πέντε ἡμῶν αἰσθήσεις, ἢ τὸ μὴ ὁρώμενον. οὕτω μὲν οὖν κυρίως λέγονται δὲ καὶ ἐναλλὰξ καταχρηστικῶς. Νοεροὶ, οἱ ἄγγελοι, καὶ οἱ λογισμοί. ὅτε κακῶς λέγουσι καὶ παρὰ ἀναλογίαν οἱ φιλόσοφοι τὸν νόα, αἰτιατικὴν τῶν ἑνικῶν. καὶ οἱ νόες εὐθεῖαν τῶν πληθυντικῶν, καὶ αἰτιατικὴν τῆς νόας. δέον γὰρ τὸν νοῦν λέγειν, καὶ οἱ νοῖ. ἀπὸ γὰρ συναιρέσεως ἐστὶ, καὶ δεῖ πρὸς τὸ ἐντελὲς κλίνεσθαι, καὶ τὸ συνῃρημένον. ἔστι γὰρ νόος νοῦς, νόον νοῦν. Νενόσου, νόσησον. Νόσημα, σύνεσις. Νοοῦντος, νοοῦντος, αἰολικῶς.

Νόημι, τὸ νοῶ. καὶ φίλημι, τὸ φιλῶ. τὰ εἰς ω λήγοντα περισπωμένων τῆς πρώτης συζυγίας ῥήματα, εἰς μι προφέρουσιν αἰολεῖς. Νοήμων, συνετὸς, ἔμπειρος, γνωστικός. Νοεῖται, ἐνθυμεῖται. Νοῆσαι, ἐφράσθη. Νόησις, ἡ πρώτη τοῦ νοῦ κίνησις. παρὰ τὸ νέω, τὸ πορεύομαι. οὐδὲν γὰρ ταχύτερον τοῦ νοός.

Νοητὸς ἐστὶν, ἐνέργεια ψυχῆς περὶ τὰ νοητά. Νοητὰ εἰσὶ, τὰ μὴ σωματικῶς, ἀλλὰ κατὰ νοῦν γνωριζόμενα, χωρὶς σωματικῶν ὀφθαλμῶν, ἢ τὰ μὴ ὁρώμενα. Νοητὸν ἐστὶ, τὸ ἐν τῷ νοερῷ ὑποστατόν, καὶ νοούμενον. Νοθεία, ἡ λατρεία γένους, ἡ νοθεία, καὶ τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα, οὕτω καλεῖται. ἦν δὲ μέχρι χιλίων δραχμῶν. οὕτω Λυσίας καὶ Ἰσαῖος καὶ Ἀριστοφάνης καὶ Ὑπερίδης καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. Νοθεύω, τὸ κιβδηλεύω. Νοθογενῆ, παραγενῆ. οἱ μὴ γνήσιοι παῖδες, ἀλλ᾽ ἀπὸ πόρνης, ἢ φίλης, ἢ δούλης, ἢ παλλακῆς ἀγόμενοι, ἢ δυσγενοῦς, ἢ φαύλης. Νοθεύει, ἀπαλλοτριοῖ, ἀπατᾷ, κολακεύει. Νοθεῦ, φοβεῖται, ἀγριαίνει, νοθεύει. Νόθος, ὁ μὴ γνήσιος υἱός. παρὰ τὸ ὀνῶ τὸ μέμφομαι, ἢ βλάπτω, γίνεται νόθος, καὶ κατὰ ἐκβολὴν τοῦ ο καὶ τροπῇ τοῦ τ εἰς θ νόθος, ὁ μὴ ὢν γνήσιος υἱὸς, ἀλλ᾽ ἐκ παλλακίδος. αἱ γὰρ παιδοποιίαι παρὰ τῷ ποιητῇ τετραχῶς λέγονται. γνήσιος, νόθος, σκότιος, καὶ παρθένιος. γνήσιος ὁ ἐκ νομίμων γάμων. νόθος, ὁ ἐκ παλλακίδος. σκότιος, ὁ ἐκ λαθραίας μίξεως. παρθένιος, ὁ ἐκ τῆς παρθένου ἔτι νομιζομένης γενόμενος.

Νόθως, φαύλως. Νοίδιον παρὰ τῷ Ἀριστοφάνει, λεπτὸν καὶ μεμεριμνημένον. οὐ γὰρ ὑποκοριστικῶς εἴρηκεν, ἀλλ᾽ ὡς διανοημάτων παρήγαγεν, ἀπὸ τοῦ πληθυντικοῦ τοῦ νόοι, τὸ νοΐδιον ὑποκοριστικόν. ἔστι δὲ ὀνειδισμὸν, καὶ λοιδορικὸν, ἀπὸ τοῦ οἴου καὶ τῆς μίξεως κακῶς. Νοΐδιον, καὶ βοΐδιον, ἀρχαῖα καὶ δόκιμα. οὐχὶ νοΐδιον καὶ βοΐδιον, διὰ τοῦ ι. Νομάδες, βοσκόμεναι ἀγέλαι, καὶ ἔθνη σκυθικὰ, ἄγριοι, βάρβαροι, οἱ λεγόμενοι ἁμαξοφόριτοι, ἢ ἁμαξόβιοι. Νομάδες ἐπίχαι, αἱ φθίνοντος τοῦ μηνός. Νομαδέσσοχοι, ἀπὸ τῶν ἐσμῶν κατὰ στοῖχον ἐρχόμενοι. Νομαὶ, βοσκήματα, βοσκαί. Νεμαντία, πόλις ἰβηρίας παρὰ Ἰόβα, ἡ καὶ νουμαντία λεγομένη.

Νεμάσιον, σκεῦος τραγικόν. Νομάρχης, ὁ νομῶν ἄρχων. νόμους δὲ λέγουσι, τὰ μεγάλα χωρία. Νέμβα, πόλις ἐν Λιβύῃ. Νομίας, ξύλα περιφερῆ. Νομεὺς, βασιλεὺς, ἡγεμὼν, καὶ ὁ πλείων τὰ ἐγκύκλια, καὶ χοίνιξ χρημάτων. Νομὸς, κυρίως λέγεται ὁ κοινῶς βοσκὸς, καὶ διαιρεῖται εἰς αἰπόλον, ποιμένα, βουκόλον, συβώτην, ἱπποφορβὸν, καὶ τὰ τοιαῦτα. ἔστιν ὁ αἰπόλος νομεὺς αἰγῶν. ὁ ποιμὴν δὲ, προβάτων. ὁ βουκόλος, βοῶν. ὁ συβώτης, χοίρων. ὁ ἱπποφορβὸς, ἵππων. Νομὴ, ἀπὸ τοῦ νέμεσθαι, τὸ βόσκεσθαι. ἀφ᾽ οὗ εὐνομία λέγεται μελισσῶν, ἤγουν καλὴ βοσκή. ἀπὸ δὲ τοῦ νέμω, τὸ διδῶμι, γίνεται νόμος. καὶ διανομὴ, ἡ πρὸς πολλοὺς δόσις καθ᾽ ἴσα. καὶ εὐνομία, ὅταν ὦσι καλοὶ νόμοι, ἢ ὅταν ἐσφραγῶσι καλῶς κείμενοι νόμοι. Νομὴ, διαίρεσις, μερισμὸς, τμῆσις, τροφή. Νομεῦσι, ποιμέσι.

Νομαῖον, ὁ νομομαθής. Νομήματα, διανεμήματα.

Νομίζειν, ἐπαθῇ λέγειν. Νομιζόμεθα, νόμιμα οἰόμεθα.

Νομίζοντος, ἀντὶ τοῦ νόμον ἔχοντος. Ἡρόδοτος, γυναῖκας δὲ νομίζοντος πολλὰς ἔχειν ἕκαστος. Νομίζω, τὸ ὑπολαμβάνω, καὶ τὸ νόμιμον ἡγοῦμαι, καὶ νομίζομαι καθεστὼς ἐστὶ δὲ νομίζεσθαι, ἀντὶ τοῦ νομίμως πράττεσθαι. καὶ νενομισμένα, τὰ νόμιμα, οἱονεὶ τὰ τῷ νόμῳ δοκοῦντα. Νομίζεται, νόμιμόν ἐστι, καὶ νενομοθετημένον ἐστὶ. νομίζεσθαι νενομοθετημένον εἶναι. νομίζω καὶ τὸ δοκῶ, οἴομαι, ἐν τοῖς χρόνοις συστέλλοντες νομίζω, μέλλων νομίσω, κοινῶς καὶ ἀττικῶς νομιῶ. Νομικὸς, ὁ τῷ νόμῳ ἀκολουθῶν, ἢ ὁ τοῦ νόμου ἐξηγητής. Νόμιμόν ἐστι, δίκαιον τὸ κατὰ νό-

μον.

Νιτρία, χώρα, γράφεται διὰ τοῦ ῑ. Νιτὸς χοινὸς, ὁ συνεστραμμένος. παρὰ τὸ νῶ τὸ νήθω, ἐξ οὗ ἐπιπλέκειν. καὶ παρὰ Ἡσιόδῳ λέγεται νήθω. Νῖτος, ἔσχατος, ἢ σπλὶς, συνεστραμμένος.

Νιτρικῶς, ἀληθῶς, παρὰ τὸ νὴ σφαλερὸν μόνον, ἢ τὸ τρίμω τὸ φοβοῦμαι. οἱ γὰρ τἀληθῆ λέγοντες, οὐ δειλιῶσι κατὰ πᾶσιν, ὡς οἱ ψευδόμενοι. Νῆττα, παρὰ τὸ νήχεσθαι, ἐπὶ ἐνυδρον τὸ ζῶον. Νῆττον, πλῆρες, μεστόν. Νοῦν, ἀντὶ τοῦ νηῦν λέγουσι δωριεῖς. τοῦτο οὐκ ἐστὶν, ἀλλὰ τὰς ναῦς. Νήϊμον, τὸ ἄφωνον, τὸ ἐσφαλμένον ἀυτμῆς, ὃ ἔστι φωνῆς. Νῆυς, ἡ ναῦς, διὰ τοῦ ῡ. παρὰ τὸ νέω, τὸ νήχω. νῆυς, διὰ τοῦ ᾱ ναῦς, παρὰ δωριεῦσι. χρῆται οὖν ὁ ποιητὴς ταύταις ταῖς φωναῖς. νηυσί, ναυσί, νήεσσι, νέεσσιν, οἱ αἰολεῖς ναΐεσσι. τί οὖν Ὅμηρος οὐκ αἰολεῖ ἔχων ταῦτα τῇ φωνῇ; ἀλλ᾽ ἐν σύνθεσι, ναυσίθοος, ναυσίκλυτος. Νηφάλια ξύλα, τὰ μὴ ἀμπέλινα, ἢ συκάμινα, ἢ σῦκα. ἐκεῖνα γὰρ οἰνίσματα λέγονται. Νηφάλιοι, νήφοντες, μὴ πεπωκότες, ἢ θύματα καὶ βωμοί, ἐφ᾽ ὧν οἶνος οὐ σπένδεται, ἢ θυσίαι. Νηφάλιος, ἄγρυπνος, ἀκραιφνής, ζέων τῷ πνεύματι. ὁ ἄποινος, νηφάλιον, σῶφρον, κόσμιον. Νηφαλισμός, ἡ προσευχή.

Νηφαλισμένον, ὕλαι οὐκ οἴνῳ κεκραμέναι. Νηφαλιεύειν, ὁ ἀεὶ νήφων καὶ σύνεσιν ἔχων τῇ ὕλῃ κατάλληλον.

Νήφω τις, ὅταν ἐκτὸς μέθης ᾖ. σωφρονεῖ, ὅταν ἐκτὸς μανίας ᾖ. γρηγορεῖ, ὅταν ἐκτὸς ὕπνου ᾖ. ἀφ᾽ οὗ νηφάλιος, καὶ νηφάλιος ὁ αἰτία ἀναπνέων, ὁ ἐκ μέθης ἀναλαμβάνων ἀπὸ τῶν ἰδίων τοῦ εἶδεναι. Νήφω, γρηγορῶ. νίφω δὲ, ἀντὶ τοῦ βρέχω, δίφθογγον. νίφω δὲ ἀντὶ τοῦ χιονίζω, ῑ. ἐξ οὗ καὶ νιφάς. καὶ νιφετὸς, ἡ χιών. Νήχεσθαι, νεῖν, κολυμβᾶν, λοῦσθαι. περὶ κολυμβητοῦ καὶ πεφυκότος ἐπὶ. εἶτα νήκτης, λύτης, βύθιος, κολυμβητὴς, ὑγρὸς, ὑγρόβιος, ἐπιπλεόμενος, ἐπινηχόμενος.

Νήχεσθαι, παρὰ τὴν νῆσιν γίνεται, ὥσπερ τὸ κολυμβᾶν, παρὰ τὴν κολυμβίδα. ὀρνίθων δὲ ὀνόματα, καὶ ἄμφω ἐν τοῖς λιμναίοις διατρίβει. Νήχυτος, πολύχυτος. Νήχυτον ὕδωρ, τὸ πολύχυτον. τὸ γὰρ νη καὶ στέρησιν σημαίνει καὶ ἐπίτασιν, καὶ ἀχύτον ὕδωρ, τὸ πολὺ κατὰ ἰσότητα τοῦ στιχιδίου. Διονύσιος, πεπλανημένως ἀντιλέγει ἀχύτον ὕδωρ τὸ θολερόν. Νήχομαι, τὸ κολυμβῶ. νήχεσθαι δὲ ὁ ἄνθρωπος, ὅταν ἐγκαταβιάζῃ τοῖς ὕδασι. νήχεσθαι ὁ ἰχθὺς καὶ ἐπινήχεσθαι ἐπιπολάζων εἰς ἐπιφάνειαν.

ΤΟ Ν ΜΕΤΑ ΤΟΥ Ι.

Νίβα, χιόνα, καὶ κρύσταλλον. Νιβαλίδες, αἱ τὰ λείψανα ἔχουσαι αἶγες. Νιβατισμὸς, εἶδος ὀρχήσεως βαρβαρικῆς. Νιγλαρεύειν, τερετίζειν. Νίζω, σημαίνει τὸ νίπτω, καὶ καθαίρω. νίπτω, νίζω. οἱ αἰολεῖς τὰ εἰς ζω ῥήματα, εἰς δύο σσ μεταβάλλουσιν. οἷον νίζω, νίσσω. ταραντίνων δὲ φωνῇ γίνεται νίζω. Νιθίδες, παίδων ἀδελφαί. Νίκαιον, ἐπαθλον, ἐπινίκιον. Νικᾶ, κρατεῖ, διαφέρει. Νίκαια, πόλις ἐστὶ τῆς λοκρίδος τῆς ἐπιθαλαττίδιος. Νικάτωρ, ὄρος, ὃν καὶ ἐμβόλιμον λέγουσι. Νικατῆρες, οἱ ἀνδρειότατοι ἐν ταῖς τάξεσι. Νικηφόρον, νικητήριον. Νίκη, παρὰ τὸ ἐπὶ δουλεῦσαι, καὶ τοῦ εἴκω ὁ χοιροβοσκός, γέγονεν ἐνίκη. καὶ ἐκβολῇ τοῦ δύο ιι, τοῦ τε ἐν ἀρχῇ, καὶ τοῦ μέσου, καὶ κατὰ κρᾶσιν τῶν δύο ιι εἰς ἕν, δηλονότι μακρὸν, νίκη. οἷον ὁ ἐπὶ χοιροβοσκός. ὡς καὶ ὁ ποιητὴς λέγει, ἐπιφολκία νίκη. ἄλλοι δὲ παρὰ τὸ νῦν σφαλερόν, καὶ τοῦ εἴκω, γέγονε νίκη κατ᾽ ἔκθλιψιν τοῦ ῑ, ὡς καὶ ὁ χοιροβοσκός. ἀλλ᾽ ἀντίκειται αὐτοῖς, καὶ ἡ ἐκβολὴ, καὶ ἡ γραφή. ἡ γραφὴ μὲν, ὅτι εἶναι διὰ τοῦ ῑ γράφεται. καὶ ὤφειλε γράφεσθαι διὰ τῆς ει διφθόγγου. ἡ ἐκβολὴ δὲ, ὅτι οὐδέποτε τὸ νη ἐπίρρημα ἐκβάλλει τὸ η, οἷον νήδυμος. Νίκα, παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ ἐνίκα. Νίκη ἐστὶ, δύναμις κρατητικὴ περὶ ἀγωνίαν.

Νικόφορος, νικᾶν, νικᾶν, νικήσας, ὀνόματα εἰσί. Νίκης πέρατα, ἀντὶ τοῦ νίκη, τὸ τέλος δηλαδὴ τῶν ἀγωνιζομένων.

Νικᾶν, καὶ τὸ κρίνειν δὲ γίνεται, ἐκ παραλλήλου τούτου, κείμενον πολλαχοῦ παρ᾽ Ὁμήρῳ. καὶ ἐν ἰλιάδι. τὸ ἀρίστων γὰρ βασιλεύς, ὅτι χεῖρ ἐπὶ χερσί, ἀντὶ τοῦ νικητὴς ἐκείνου γίνεται. Νικᾶσθαι, ἐπέχεσθαι. Νικητήριον, ἐπαθλον. Νικόλαος, πυρσὸς ἑρμηνεύεται, ὁ κατὰ διάκονος ἐρρωμένος εἰς τὴν ἐκλογὴν τοῦ Χριστοῦ. τὴν δὲ τῆς πράξεως τῶν ἑαυτῶν φιλοζηλίαν, φαῦλοι τοὺς τρόπους ὡς δηλοὺς παρανόμους. καὶ ὁ Θεόλογος, κἂν ἐγκαλεῖ ὡς ὁ ποιητικὸς ἀσεβὴς, μύρους ἀντίαλλαφον. Νίκος, διαφορά. Νικόστρατος, εἶδος ἀμπέλου. Νικύλος, κύκνος. Νικύρτας, δουλόδουλος. Νικῶ, τὸ περιγίνομαι, ἀφ᾽ οὗ νίκη. Νικᾶν, ὑπλικόν. ὡς ἀπὸ τοῦ στιγῶ στιγῶ, οὕτω καὶ ἀπὸ τοῦ νικῶ, καὶ τὸ ἐκλεκτὸν νικῶν. καὶ νικάω νικῶ νικᾷς, ἡ μετοχὴ ὁ νικῶν τοῦ νικῶντος, τὸ εἰκαστὸν νικῶμι, τὸ τρίτον νικῶ, πλεονασμῷ τοῦ ᾱ ὅτι ἀδὸς νικάω, καὶ ἐξ αὐτοῦ νικῶ καὶ νικάως. Νικύλος, ὁ σπάλαξ, ὁ μὴ ἔχων ὀπτῶν. Νικωνία, πόλις ἐν Σκυθίᾳ κειμένη πρὸς ταῖς ἐκβολαῖς τοῦ Ἴστρου. Νικῶ, τροποῦμαι, ἀνταγωνίζομαι, περιγίνομαι, ὑπερβάλλω, ὑπεραίρω, ὑπερακοντίζω, ἐξαίρω, αἱρῶ, κρατῶ, παραδραμῶ, κλέω, καταγωνίζομαι. Νίκωχις, πόλις. Νιμμανὸς, ὁ καθαρισμός.

Νίμμα, κάθαρμα. Νίμμα, ὁ πολὺς λέγει. ἡμεῖς δὲ ἀπόνιπτρον λέγομεν. ὡς Ἀριστοφάνης, καὶ οἱ ἀμφ᾽ αὐτόν. Νίμματα, λουτρὰ, πλύματα. Νίν, ἀντὶ τοῦ αὐτὸ, παρὰ Σοφοκλεῖ. δωριεῖς ἀντὶ τοῦ αὐτὸν λέγουσι. Νιόβη, οἱ μὲν ταντάλου, οἱ δὲ πέλοπος καταλέγουσι καὶ γυναῖκα μὲν ἀμφίονος ἔσεσθαι φασίν, οἱ δὲ ὁμφίονος, ἐκφῦσαι δὲ ἀπολλυμένας καὶ ἡ συμφορὰ δὲ αὐτῆς, κατὰ μὲν ἐνίους ἐν λυδίᾳ, κατὰ δὲ ἐνίους ἐν θήβαις γενέσθαι φασί. Ξενοκλῆς δὲ τοὺς μὲν παῖδας αὐτῆς ἐν θήβαις ὀπλισθῆναι φησίν, αὐτὴν δὲ εἰς λυδίαν ἐλθεῖν. ὁ δὲ τῶν παίδων αὐτῆς ἀριθμὸς Ὁμήρῳ μὲν κατὰ ἰλιάδα μηρύεται δωδεκάπαιδα, καὶ ἐξ ἄλλων τῶν νεωτέρων ἐν τῷ μέτρῳ τῶν ἐπῶν. ὁ αἰσχύλος, ὡς Ὁμήρῳ ἔδοξεν, ὁ καὶ συνδιατιθεμένας τὰς παιδίσκας, καὶ τεκοῦσαν ἡ μήτηρ εἶχεν αὐταῖς. Εὐριπίδης δὲ τεσσαράκοντα νιόβης ἱστορεῖ. τῶν δὲ νεωτέρων, οἱ μὲν τὰ ὀγδ. παῖδας τοὺς παῖδας εἶπον, οἱ δὲ εἴκοσι. δοκεῖ δὲ ὁ τῶν παίδων τῆς νιόβης θάνατος ἐξ αἰτίας λοιμώδους γενέσθαι, ὅ καὶ ἄλλως ὑπὸ αἰφνιδίου πάθους ἐνίος. ὅθεν ἀπόλλωνι καὶ ἀρτέμιδι ἀναθεῖσαι, οἱ νεαροὶ θανάτου εἰσὶν αἴτιοι, τόξοις λεγομένοις βάλλειν τοὺς οὕτω θνήσκοντας. Νίνεια, πόλις ἀσσυρίων, ἐν τῇ μεσογαίᾳ. ὁ πολίτης, νινεῖος, ἢ νινευΐτης. Νινοΐ, πόλις.

Νιοῖς, ἡ ἐν καρίᾳ ἀφροδισιάς. Νιόνης, ὄνος. οἱ δὲ, νύκτιος καὶ νικάσας καὶ νινίος, νεῖος τανδαμαντος, καὶ φρύγιον μέλος. Νίπτειν, τὸ ἀπὸ καρποῦ. Νίπτω, τὸ διὰ ὑγροῦ καθαίρω. Νιρεὺς τρεῖς τοῦτον ἔσχε ὄρμημα, ἔχων ἀπὸ τῆς νήσου σύμης. γέγονε δὲ ὑπὸ τῆς ὀφθαλμίας καὶ χαρόπου. ὅρα δὲ ὅπως καὶ οἱ γεννησόμενοι τὴν νεῶν πρὸς ὁμοιότητα ὀνομάζονται. μήτηρ μὲν γὰρ ὁ ἀγλαΐα, χάροπος δὲ βορεστόνος, πρὸς διάστασιν τοῦ ἐπιθέτου ὁ πατήρ. ἡ μὲν ἀγλαΐας, ὁ δὲ χαρίεις, ὡς ὁ κλεινὸς ἐπιφαίνει. Νίρος, φέως, ἀχανές, ἢ κρημνός. Νίρον, μέγα. Νῖσα, ἐστὶ μὲν καὶ μεγαρικὸς. ὁ δὲ ἐν βοιωτίᾳ διονύσου ἱερὸν εἶχεν ἐπιφανές. ἐστὶ δὲ καὶ παρὸν αὐτὸν τισινὰ ἐπὶ ὄρους. ἡ δὲ μεγαρικὰ καὶ νισαία ἐλέγετο, τῆς μεγαρίδος οὖσα ἐπίνειον, ἀπὸ νίσου κληθεῖσα τοῦ πανδίονος. οἱ δὲ μεθ᾽ Ὅμηρον φασὶν, ὅτι νῖσαν εἰδαμοῦ φαίνεσθαι βοιωτίας. διὸ καὶ γράφουσι κρεῦσαν. ἴσον δὲ ἐστιν ἀντωδάλεινται. ἄλλοι νῖσαν δὲ γράφουσι. κῶμαι δὲ ἐστι μία. ὁ ὑπὸ τὸν ἐπίσουσα. Νισὸς, τόπος, καὶ πόλις, ἐν ἐρυθρᾷ κειμένη. Νισαῖοι ἵπποι, ἀπὸ τῆς νισαίας, ἄριστοι καὶ μέγιστοι ἐν αἷς ἔχουσιν οἱ βασιλεῖς. καὶ ἐξ ἀρμενίας ἐστιν. οἱ δὲ φασὶν, ἀπὸ μηδείας

λέγεται παρ' Ὁμήρῳ, ἐπεὶ ὁ τὸ πλεῖστον [illegible] φησί. Νηπιάς, ἀλογιστία, ἰδιωτεία, ἐν τῇ χαλκῇ παιδοτροφίᾳ. Νηπίαις, ἀνοίαις. Νηπίη, ἀθλιότης. Νήπιος, ἄφρων, ἀνόητος, παρὰ τὸ ἔπος, [illegible] τοῦ ὁ νήπιος, ὁ παῖς, καὶ προσηνής, καὶ νήπια [illegible]. ἢ παρὰ τὸ νη στερητικὸν καὶ τὸ εἰπεῖν, γίνεται νήπιος, καὶ κατὰ συναίρεσιν νήπιος, ὁ μὴ δυνάμενος λέγειν. καὶ νήπιος, ὁ ἐστερημένος τοῦ βίου. Νήπιος, δηλοῖ δὲ τὴν ἡλικίαν, ὅτε δὲ ἄθλιος. νηπίαχος δὲ συνεμφαίνει τὴν ἡλικίαν, καὶ τὴν βρεφικὴν ἔχει, ἥ τίς ἐστι κλαυθμυρισμός. Νήπιος, ὁ ἐν βρεφικῇ ὢν ἡλικίᾳ. καὶ ὁ ἔχων νόησιν βρέφους, κἂν ᾖ γέρων. [illegible] παρὰ τῷ ποιητῇ ἐπὶ τοῖς μὴ κατὰ βαθεῖαν σύνεσιν γινομένοις, καὶ ἐπὶ προσώπου, οἷον οὐ τοῦ φρονεῖν ἔχοντος.

Νήπυχοι, νήπιοι, ἄπαιδες, μάταιοι, καινοί. Νήριδες, ἰχθύες. Νηρεῖ, [illegible] καὶ [illegible]. Νήσους, ἢ τὰ [illegible]. Νησιωτάτω, [illegible].

Νηπύθιν, ἄχαρον. Νηρίτια, βουνά, κόρυς μικρόφωνος. Νηπιότης, [illegible] καὶ παρὰ τῷ κωμικῷ, ὁ μὴ φρονῶν, ἀπὸ [illegible] τοῦ νηπιάζειν καὶ [illegible], ἤγουν φρονῶν. [illegible] εἶναι ἐνταῦθα συγκεκόφθαι καὶ τὸ νήπιον, ὅτι ἐπὶ ἄφρονος λέγεται. [illegible] δὲ ὁ κωμικὸς τὸ [illegible] τὸ τρίβωνα, ὁ ἐστιν ἐντριβὴς περὶ πράγματα. ἐν ἄλλοις φασὶ καὶ τρίβωνα. Νηπύτιος, κατ' ἔκθλιψιν τοῦ νη, ὁ ἐστερημένος τοῦ νηπιάζειν. νηπύτιος, ἀντὶ τοῦ νήπιος. Νηρία, μυρσίνου [illegible]. Νηρεύς, μυθικῶς μέν ἐστι δαίμων θαλάσσιος. οὗ καὶ Δωρίδος τῆς ὠκεανοῦ θυγατρὸς αἱ νηρηΐδες. [illegible] δὲ, νηρός, ὁ θαλάσσιος, παρὰ τὸ νήχω. Νηρῆς, κατὰ συναίρεσιν, ἐκ τοῦ νηρέες, ὥσπερ καὶ τὸ χρυσέες χρυσῆς, καὶ βρυσέες βρυσῆς. Νηρηΐδες, θαλάσσιοι δαίμονες, ἔχει τὸ ῑ. ἀπὸ γὰρ τοῦ νηρηΐδες, ὡς βρυσηΐδες, καὶ χρυσηΐδες, νηρηΐδες, καλληΐδες. Νηρεΐδες, πᾶσαι αἱ τοῦ νηρέως θυγατέρες. παραδίδονται δὲ ἄλλως, ὅτι ἐν ὑπομνήματι Βακχυλίδου τοῦ [illegible], διαφορὰ νηρηΐδων φέρεται, καὶ νηρέως θυγατέρων οὕτως. εἰσὶν οἵ φασι διαφέρειν τὰς νηρηΐδας, τῶν τοῦ νηρέως θυγατέρων. καὶ τὰς μὲν ἐκ Δωρίδος γενομένας αὐτῷ θυγατέρας νομίζεσθαι, τὰς δὲ ἐξ ἄλλων κοινότερον νηρηΐδας καλεῖσθαι. πιθανὸν οὖν τὰς μὲν ἐκ μιᾶς τῆς Δωρίδος γενομένας τῶν ἄλλων οὔσας, νηρέως θυγατέρας λέγεσθαι. νηρηΐδας δὲ τὰς [illegible]. καὶ ἔστιν ἐν τούτοις ἡ νηρηΐδας κοινὸν ὄν, ὃ καὶ ἐθνικόν. τὸ γὰρ νηρηΐδας, ἐθνικώτερον, ἐκ τῆς νηρέως γενεᾶς. Νηρίδας, τὰς κοίλας πέτρας. Νηρίθμους, ἀναριθμήτους. Νήρικος, φασὶ [illegible] λέγεσθαι παρὰ τῷ ποιητῇ τὴν ὕστερον Λευκάδα. ἣν καὶ ὁ [illegible] ἀκτὴν ἠπείρου λέγει τῶν Καρυστίων οὖσαν, ὡς καὶ Ἀμφιλοχικὸν Ἄργος [illegible] φησί ποτε εἶναι, ὡς μύθος καὶ ὁ [illegible]. Διονύσιος δὲ ὕστερον τοῦ κατὰ τὴν χερρόνησον ταύτην ἰσθμοῦ [illegible] διακοφέντος, [illegible] φασι [illegible] ἡ λευκάς, ὅπου Λευκάδιον [illegible] ἱερόν, πατρὸς πωλόντας. ὅτι δὲ νήρικον φασὶν [illegible] λέγεσθαι παρὰ τῷ ποιητῇ τὴν ὕστερον Λευκάδα, [illegible] ἔλεγεν ὁ [illegible] τῆς θαλάσσης, ἢ τῆς ὑπὸ τῶν [illegible] παρελθόντος, ὁμολογεῖται. Νήρικος, πόλις ἠπείρου.

Νηρίτα, [illegible]. Νηρίς, πόλις [illegible]. Νηρίται, μαργαρῖται. Νηρίτης, ὁ θαλάσσιος κοχλίας. οὐκ ἔστι δὲ παρὰ τὸ νηρεύς. [illegible] γὰρ χάριεσθαι διὰ διφθόγγου, ὡς ἀναρπαΐς [illegible] νηΐτης. ὁ δὲ Τεχνικὸς λέγει, ἀπὸ τοῦ νηρὸς [illegible]. Νήριτον, ὄρος Ἰθάκης ἐπιφανές, ὃ [illegible] παράκειται νήϊον ὄρος. οὗ τὰ [illegible] πλέσματα. ὡς εἶναι κατὰ τοῦτο τὸ λέγειν, [illegible] τοῦ [illegible]. Νήριτον, [illegible] καὶ ἀνοίδησιν. [illegible] νήριτος ὕλη, ἤγουν πολλή. Νηστόμυια, ὑπὸ τῶν γήρα [illegible]. ἢ οὐκ ἂν [illegible] πρὸς μῦθους. Νήσιος, ὁ [illegible]

[illegible] ὁ ἐκ κοχλίου κοχλιδίου [illegible]. Νήσιος ὅλος, Ἡσίοδος. μεγάλα πρὸς ἂν [illegible] φιλονεικοῦσι διὰ τὸ [illegible]. Νηρὸν ὕδωρ, [illegible] πρόσφατον, [illegible].

Νηρὸς. [illegible], ἐν χθονὸς νηροῖς, μυχοῖς, τοῖς κοίλοις, ἢ τοῖς καθύγροις. Νηρόν, τὸ πρόσφατον. Νῆς, τὸ ἴχνος, [illegible] τοῖς τρισίν. Δωριεῖς δὲ νῆς λέγουσι. Νήσαι πυρὰν λέγουσιν, οὐ συναγαγεῖν, οὐδὲ συνθεῖναι. Νησαία λίθος, ἤτοι τὴν σάρδιον, διὰ τὸ ἐν νήσῳ λέγεσθαι, οἱ δὲ, σμάραγδον. Νησαῖοι ἵπποι, μεταξὺ τῆς [illegible] καὶ τῆς βακτριανῆς, τόπος ἐστὶ κατὰ [illegible], ὅπου [illegible] νήσαιος. ἐνταῦθα ἵπποι διάφοροι γίνονται [illegible], ἐν νυκτὶ [illegible]. Νήσαντες, ἀντὶ τοῦ κλώσαντες. καὶ νήσαντες, ἀντὶ τοῦ συνθέντες. Νήσαντο λίνῳ μοῖραι, ἤγουν [illegible]. λίνον δὲ μοιρῶν συμβολικῶς, τὰς τῶν πραγμάτων τροφάς, καὶ τὰ ἐν βίῳ ὁρισθέντα λέγει ὁ ποιητής. Νῆσις, ἡ κλῶσις, καὶ ἡ σύρσις. Νῆσοι, γῆ ἐν μέσῳ θαλάσσης. Νησοδόμηται, κορυθωσάμεναι. Νήσου φαίακος, τὴν σαλαμῖνα λέγει ὁ Λυκόφρων. τὴν γὰρ σαλαμῖνα πρῶτον φαίακες κατέσχον. ὅθεν, ἡ κύπρος [illegible] βασιλέως ὁ ἀσσύριος, κατὰ [illegible]. τευχρὸς δὲ [illegible] καὶ σαλαμῖνος υἱὸς, ὡς [illegible], ἀνεῖλε τὸν φαίακα, καὶ τὴν τῆς σαλαμῖνος βασιλείαν κατέσχεν. οὕτω γοῦν τὴν σαλαμῖνα φαίακος εἴρηκε νῆσον. Νησος, νοτίς. Νῆσος, γῆ περιεχομένη ὑπὸ θαλάσσης πανταχόθεν. ἴσως δὲ εἴρηται, ἀπὸ τοῦ ὁρίου, τῆς νήσου, ὅτι καὶ αὐτὴ [illegible], ἐπὶ τοῖς κύμασι τῶν ὑδάτων ὀχεῖσθαι.

Νῆσος γιγάντων, ὁ μὲν [illegible] Προκόπιος, τὴν [illegible] φασὶ διὸς τρόπαιον κατὰ γιγάντων. ἕτεροι δὲ τὴν [illegible], ὅπου τὸ τῶν [illegible] κεραυνοί, ὡς Ἡσίοδος. φλὸξ κεραυνωθέντος ἀπέσσυτο [illegible], [illegible] ἐν βήσσῃσιν [illegible]. ἕτεροι δὲ γιγάντων νῆσος, ἡ πιθήκους [illegible], οἱ εἰσὶ περὶ τὴν ἰταλίαν. μέμνηται δὲ αὐτῆς [illegible] ἐν ἑβδόμῳ [illegible]. ταύτας τὰς νήσους ᾤκουν πρότερον οἱ γίγαντες. ὕστερον δὲ ὁ Ζεὺς [illegible] αὐτῆς, ἐπίθηκεν αὐτοὺς τὰς νήσους, καὶ [illegible] πιθήκους ἔθηκε [illegible], πρὸς [illegible] καὶ αἰσχύνην τῶν γιγάντων. Νῆσος, παρὰ τὸ νῶ, τὸ κολυμβῶ, ὁ μέλλων νήσω. ἐξ οὗ γίνεται νῆσος. Νῆσσα, [illegible] τῷ ποσειδῶνι. οὕτως [illegible] ἄλλα τῶν ὀρνέων ἄλλοις θεοῖς, διὰ τὴν πρὸς ἐκείνους συνάφειαν. ἢ [illegible] ἢ κατὰ [illegible] ταυτότητα, οἷον νῆσσα ποσειδῶνι, [illegible] μὲν οἰκεῖα ὁ ποσειδῶν. καὶ ἡ νῆσσα δὲ παρὰ τὸ νῶ, τὸ κολυμβῶ ἐτυμολογεῖται. ἐξ οὗ καὶ τὸ νήχω καὶ ἡ ναῦς, καὶ ὁ νηρός. Νῆσσα, τὸ νοσσάριον. ὡς παρὰ τὸ δέρω δέρσα, καὶ ἄγω ἄξω ἅμαξα, οὕτω καὶ παρὰ τὸ νέω, τὸ κολυμβῶ, νῆσσα. καὶ [illegible] τὸ αὐτὸ σημαίνει, νῆσσα. [illegible] δὲ, πόλις καὶ τόπος. Νηστεία ἐστὶ, ψυχῆς ἀγαθὸν φυλακτήριον, σώματος [illegible], ἀσφαλής.

Νηστεία ἐστὶν, οἴκου αὔξησις, ὑγιείας μήτηρ, νεότητος παιδαγωγός, κόσμος πρεσβύταις, [illegible] χαλινός, συζυγίας φυλακτήριον, παρθενίας φρουρά. Νηστεία ἐστὶ, τοῦ κακοῦ ἀναχώρησις, ἐγκράτεια γλώσσης, θυμοῦ ἀποχή, ἐπιθυμιῶν χωρισμός, καταλαλιᾶς [illegible], ἐπιορκίας. Νηστίρα, ἡ μὴ πω [illegible] τροφῆς. Νῆστις, βάραθρον. τὸ δὲ ἀρχαῖον, διὰ τοῦ ῑ. Νῆστις, οὐ μόνον ὁ ἄγευστος σίτου, ἀλλὰ καὶ ἔντερον, μεταξὺ κοιλίας καὶ στομάχου [illegible]. Νήσῳ ἐν ἀμφιρύτῃ παρ' Ὁμήρῳ ἐν α' τῆς ὀδυσσείας, ἐπάγω [illegible], νῆσος δενδρήεσσα. [illegible] μὲν εἶπεν νῆσον δενδρήεσσαν. Νήσῳ δ' ἐν κραναῇ [illegible] φασιν εἶναι [illegible] τὸ ὄνομα, διὰ τὸ κραναὸν εἶναι, ἵνα [illegible] ἐπ' αὐτῆς τὸ γάμον, εἶτα [illegible] εἴρηται. [illegible] δὲ [illegible] τὰ [illegible] νῆσον ἀφροδίτης [illegible], πρὸς τῇ ἀττικῇ οὖσαν [illegible] τὸν αἶαν, κατὰ τὸν [illegible].

Νήτια, ἀνόητα. Νήτηρ, μάτηρ. Νήτη, ἡ τῆς λύρας χορδή.

Νητρία,

κατεινώμενα, ζωπυροῦνται ἐν σποδιᾷ. Νάουσαν αἱ λίμναι, ἃ περιεσώρευσαν ἐν τῷ τῆς ἐλευσῖνος. Νάσσω, καὶ νάσσω, ἀντὶ τοῦ σωρεύσω. καὶ νάσε, ἀντὶ τοῦ ἐσώρευσε. Νάσσεσθαι. Ὅμηρος, γαῖαν ἄλις ναστάσθαι, ἤτοι σωρεύσασθαι. κυρίως δὲ νάσσεσθαι ὤφειλεν, ὡς ἀπὸ τοῦ νάσσω, τὸ σωρεύω. ἐξ οὗ ἐπιθετικὸν ναστὰ ἀπαρτίζεται πλακουντώδη. Νάθω, τὸ κλώθω. Νάθον ἄλιον, συντελεῖ(?) ἄλιον. Ναΐδα, ἄπορον καὶ δειλὸν, καὶ ἀμαθῆ, καὶ ἀσθενῆ. Ναΐδες, αἱ νύμφαι, αἱ ἐν ναμασιν οὖσαι. παρὰ τὸ νάω, τὸ ῥέω. Ναΐδα, ἀθηνᾶ παρ' αἰγυπτίοις. Ναῖον τάμνεσθαι, διότι ξύλον ἐπιτάλλειν εἰς ναῦν. Ναῖον, μύρος λέγεται τῆς νηὸς ὁ Ἀπολλώνιος, ὅπερ σύρεται κατὰ τὸ ὕδωρ.

Ναῖον, ὄρος ἰταλικόν. ἀφ' οὗ κατὰ Κρατῆτα αἱ ναιάδες. οἱ δὲ τὰς διατριβούσας ἐπὶ τὰ νάματα. τὸ δὲ ἐπιθετικὸν οὐδέτερον. ὥσπερ τὸ ἐπιθυμητικὸν, αἱ δὲ ναιάδες, ἀπὸ τοῦ νεῖος, ἡ ἀπὸ τοῦ ναίω. Νῆις οἰκίδος, ταυτὸν ἐστὶ τῷ ἀνεπιστήμων. καὶ γίνεται παρὰ τὸ νῆ στερητικὸν μόριον, καὶ τὸ εἴδω, εἴσω, τὸ γινώσκω. νῆις εἴρηκεν τὴν εἰδέναι δηλοῖ. ἐπεὶ ὁ νῆις, ἄπορος, ὁ ἄτεχνος. ὁ μὴ εἰδὼς, ὥσπερ ἐν τῷ ἄις ἄιδος, εἴρηκεν ἐν λέξει τὴν ἰδεῖν. ἄλλως. νῆις ἄιδλον, ἀντὶ τοῦ ἄπειρος, ἀνεπιστήμων. ἄιδρις δὲ μᾶλλον εἰπεῖν οἰκειότερον. ὡς γὰρ ἄιδρις, οὕτω καὶ ὁ νῆις παρὰ τὸ εἴρηκεν τὸ εἰδέναι ἐτυμολογεῖται. Νήσοι, ταῖς πόλεσι ταῖς πρώταις καὶ τελευταίαις. Νεῖσα, ἔσχατα, κατώτατα.

Νείαιρα γαστὴρ, ἡ ἐν ταῖς κάτω. Νείατος κόλπος, ὁ διὰ τὸ ἄνω κάτω. Νεκρόδειπνον βουλεύω, ἐὸς ἐπίθετον, ὅ ἐστιν ἀσύνετον, κατὰ τὸ χαλκεῖον. κόρδος γάρ φασι καὶ ὁ σύνδεσμος. Νεκροδαλής, ἀπὸ φιλᾶ, ἀπὸ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ κέρδους.

Νέβροι, οἱ μὴ κέρατα ἔχοντες. νεβροὶ δὲ, οἱ κέρατα ἔχοντες, καὶ νεβροφόροι. Νέκταρ, καὶ ἀνώνυμον, οἱ ποιηταὶ λέγουσιν. οἱ δὲ κοινοὶ, ἀνώνυμον καὶ ἀνώνυμον. Νήκεστον, ἀθεράπευτον. Ἡσίοδος, ἐν δὲ δίκῃ βλάψας, νήκεστον ἀάσθη, ὅ ἐστιν ἐβλάφθη. Νίκας ἐπαμείβεσθαι ἄνδρας, σημαῖνον ἐστὶν ἐν ᾧ ἄνδρας ὁ ποιητὴς λέγει, ἢ τῆς ἀνδρείας, ἢ ἁπλῶς τῆς πολεμικῆς.

Νηκουσάσαι, παρήκουσαν, ἠμέλησαν, οὐκ ἤκουσαν. Νηκτά, κολυμβητὰ ἰχθύα. Νηλεγὲς, εἰκηρὸν, ἀφρόντιστον.

Νηλεγὲς, φροντιστὴς, ἐρωτικός. Νηλεγέως, ἀνοίκτως.

Νηλέγω, ἐρῶ, ἢ δειλῶ. Νηλέϊ χαλκῷ, τῷ ἀνηλεεῖ σιδήρῳ. Νηλεὲς ἦμαρ, σκληρὰ ἡμέρα. Νηλεὴς, ὁ σκληρὸς, ὁ ἄπιστος, ὁ ἀνηλεὴς, ἀπὸ τοῦ ἔλεος γέγονε, καὶ τοῦ νη στερητικοῦ ἐπιρρήματος, οἱονεὶ ὁ ἐστερημένος τοῦ ἐλεεῖν. τὸ δὲ νηλὴς, ἀπὸ τοῦ νηλεὴς γέγονε, κατὰ κρᾶσιν, ἀπὸ τοῦ λῶ, τὸ θέλω, καὶ τοῦ νη στερητικοῦ. οἱονεὶ, ὁ μὴ θέλων εἶναι ἐλεήμων, ἀλλὰ ἀνηλεὴς καὶ σκληρός. Νηλειῶς, ἀντὶ τοῦ ἀνηλεῶς, καὶ νηλεῶς. Νηλέϊ, τὸ νηλεὲς, καὶ κατὰ διάλεκτον καὶ τροπῇ τοῦ ε εἰς ι νηλεὶ, ἀντὶ τοῦ νηλεεῖ, τὸ κτητικὸν ἀντὶ γενικῆς ἁπλῶς παρ' Ὁμήρῳ, ὡς ἐν τῷ πολεμίζει καί. Νηλεῖ, τῷ νηλεῖ, ἀνηλεῶς. Νηλὴς, ὁ ἀνηλεὴς, σκληρός. Νηλιτεῖς, αἱ ἀναμαρτήτους. ὡς ἀπὸ τοῦ εὐσεβὴς γίνεται εὐσεβεῖς, οὕτω καὶ ἀπὸ τοῦ νηλιτὴς γίνεται νηλιτεῖς, νηλιτεῖς. παρὰ τὸ νη ἐπιταλικὸν, καὶ τὸ ἀλιτεῖν, ὃ σημαίνει τὸ ἁμαρτάνειν τὸ ἀλιτεῖν, διὰ τοῦ ι γράφεται. τὸ δὲ νηλίτης, διὰ τοῦ η, ὅτι ποιητικῶς ἐτράπη τὸ ι εἰς τὸ η. ἀνάγει δὲ, τῆς ἀναμαρτήτους λέγουσιν. ἀπὸ τοῦ νη στερητικοῦ, καὶ τοῦ ἀλιτεῖν. Νηλιτεῖς εἰσιν, ἢ νηλιτίδες, ἀπὸ εὐθείας βαρυτόνου κατ' ἐτέραν χαρακτῆρα.

Νηλὸς, ἴσον, ἄμεινον λευκός. Νήλιπος, ἀνυπόδητος, ὁ μονοχίτων, κατὰ στέρησιν τοῦ νη, ὥσπερ νήνεμος. τὸ δὲ νήλιπος, οἱ ἀνυπόδητοι, συνέρχεται ἀπὸ τοῦ νηλίπους. Νήλιπος, ὁ μὴ ἔχων ἱμάτιον. Νῆμα ἀσκητὸν, τὸ ἐπιμεμελημένον. ἔστι δὲ καὶ ἴσον εἰπεῖν ἀσκητὸν, ὡς ἐκ τοῦ ὕφασμα εἶναι καλὰ, καὶ χιτῶνα δὲ διὰ τὸ πλέξασα καὶ ἀσκήσασα χιτῶνα. καὶ λέχος δὲ τὸν ἀσκητὸν λέγει Ὅμηρος. νῆμα δὲ γίνεται, παρὰ τὸ νέω, ὃ μᾶλλον παρὰ τὸ νῶ. ἐξ οὗ καὶ τὸ νήθω παράγεται. ὡς ἐκ τοῦ πνῶ τὸ πνέω. καὶ ἐκ τοῦ μῶ, ἔτι ζητῶ, τὸ μάω, ὅθεν καὶ ὁ προμηθεύς. παρ' Ἡσιόδῳ δὲ χρῆσις τοῦ νῶ. Νῆμα, οὐκ ἔστιν ἀπὸ τοῦ νήθω νῆσμα καὶ νῆμα, ἀλλ' ἔστι τὸ ῥῆμα. ἐπεὶ σημαίνει τὸ νέω, τῷ γάρ τοι σοί, νήματ' ἀφεστάκασιν ὀμίχλας. Νᾶμα, ὕδωρ, ῥεῦμα. Νημερτὴς δὲ, τὸ μὴ ἡμαρτημένον διὰ τὸ ψεύδεσθαι, ἀλλ' ἀληθές. Νημερτέσατο, ἔτι ἀληθεύσατο. Νημερτὴς, ὁ ἀληθὴς, παρὰ τὸ ἁμαρτῶ ἁμαρτὴς, καὶ μετὰ τοῦ νη στερητικοῦ νημαρτὴς, καὶ συγκοπῇ καὶ τροπῇ τοῦ α εἰς ε νημερτὴς, ὁ ἐστερημένος τοῦ ἁμαρτεῖν, ἢ ὁ μὴ ἁμαρτάνων τοῦ ἀληθοῦς. Νηνεμία, ἡ ἡσυχία, γαλήνη. Νηνεμίαν παρ' Ὁμήρῳ, χαλεπὸν ἐστὶν ἐπιθετικὸν ἐλλιπτικόν. τὸ γὰρ τέλειον ἐστὶ νηνεμίας οὔσης, ἢ ἐν καιρῷ νηνεμίας, ἐπειδή εἰσι καὶ τὸ θέρους καὶ χειμῶνος ἐπεισακτοὶ καὶ ἡμέραι. καὶ αὐτὰ γὰρ ὁμοίως ἐλλειπτικῶς προσάγεται. Νηνεμόμενον, καθεσταμένον ἐκ ταραχῆς, εὔδιον, ἥσυχον. Νήνεμος, ἄνεμον οὐκ ἔχον. Νηνίεται, σύγκειται, ἀνιᾶ. Νηνίζοντα, θρηνοῦντα, λαλοῦντα. Νηὸς ἐίσης, χρήσιμον εἰς τὸ ἀπιέναι, τῆς νηὸς ἴσης. Νηὸς ὅπλα, πείσματα, ἢ σπεῖρα, ἤγουν ὑφάσματα ἐξ ὧν τὰ ἱστία. ἢ σπεῖραι, δι' ὧν καὶ τὰ ἱστία ἕλκονται. ἢ δι' ὧν οἱ τροχίλοι διαδεσμοῦνται, ἐρέτμια καὶ στρόφοι, καὶ ἄλλα τοιαῦτα. Νηὸς μέρη, ἡ τρόπις. εἶτα φάλκης, τὸ δὲ καταλέγον ἐπὶ τῶν πρώρων προέμβολος. τὸ ἔδαφος τῆς νεὼς, κύτος καὶ γαστὴρ, καὶ πλευραί. τὸ ὑπεναντίον δὲ, κατάστρωμα, καὶ ἴκριος. ἐδάφη μέν τι καὶ ζυγοὶ, καὶ ἑδώλια, καὶ λέγει τὰ κατέχοντα τῶν ναυτῶν. τὸ δὲ ὄπισθεν τῶν ναυτῶν, οἴαξ, καὶ πηδάλιον. ἡ δὲ κεφαλὴ πρύμνα, καὶ τὰ ἄκρα αὐτῆς ἄφλαστα λέγεται. τὸ δὲ ἔμπροσθεν, πρῶρα. τὰ δὲ ἄκρα τῆς κώπης. τὸ μὲν ἐχειρίδιον, τὸ δ' ἐμβαπτόμενον τῇ θαλάσσῃ, ταρσὸν κωπῶν καὶ πηδάλιον. τὰ δὲ σχοινία, κάλωες, πρότονοι, πείσματα, ἀπόγεια, πρυμνήσια, ὅρμοι. καὶ ὑποβάθρα δὲ, καὶ διαβάθρα, ἢ κοινῶς σκάλα. Ναυσίοχος, φύλαξ πλοίων. Νηπιαχεύειν, ἀτιταίνεσθαι. Νηπίας, ἀλογιστοῦ, παρὰ τῷ Ἱπποκράτει. Νηπιώδης, οὐ μόνον τὸ ἐφήβων τίνθους, ἀλλὰ καὶ τὸ ἀρχαῖον τίτθους, ὅ ἐστιν ἄλογον.

Νηπέϊον πεδίον, παρὰ τῷ Ἀπολλωνίῳ, πεδίον νηπείας ἐστὶ περὶ κύζικον. μνημονεύει δὲ αὐτοῦ καὶ Καλλίμαχος ἐν ἰάμβοις. τὴν δὲ νήπειαν, Διονύσιος ὁ μιλήσιος πεδίον τῆς μουσικῆς λέγει εἶναι. ὁ γὰρ βασιλεὺς τῶν μυσῶν θυγατέρα ἔσχεν ἐρχομένην ἄνομα, ἥ ἀκολουθεῖσα ἔκρηξε, καὶ κατέφαγεν ἐν τῷ πεδίῳ τούτῳ ὃ νῦν καλεῖται νηπείας πεδίον. Ἀπολλόδωρος δέ φασι, νηπείας πεδίον ἐν φρυγίᾳ. ὁ δὲ Καλλίμαχός φησιν ἐν ὑπομνήμασιν, εἴρηθεν εἶναι τὴν τὸ πεδίον κατέχουσαν. ἔστι δὲ καὶ πόλις καλουμένη ἀδράστεια, ἀπὸ τοῦ ἱδρυσαμένου. ὁ δὲ Ἀπολλώνιος, ἱστορικῶς μέμνηται, τῆς τε πόλεως καὶ τοῦ πεδίου. φασὶ γὰρ, ἄστυ τε καὶ πεδίον νηπείας ἀδραστείας. Νηπιάζει, μωραίνει. Νηπιάζειν, τὸ μὴ εἰδέναι κακοποιεῖν, ἢ ἁμαρτάνειν. καὶ ὁ ἀπόστολος, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. Νηπιάας ὀχέειν, ἀντὶ τοῦ νηπιοφροσύνας φέρειν. ὀχεῖν μὲν γὰρ τὸ φέρειν τι, καὶ βαστάζειν. ὀχεῖσθαι δὲ, τὸ φέρεσθαι καὶ βαστάζεσθαι. ἄλλως. νηπιέας ὀχέειν, ἀφροσύνην δηλοῖ. νηπίη, παιδικὴ ἡλικία, ἡ ἀπὸ τοῦ νηπύτιος, ἐπὶ παραλείψει τοῦ α. καὶ ἔστι παράγωγον ἀπὸ τοῦ νήπιος νηπίεος, οὗ θηλυκὸν νηπιείη, καὶ ἀποβολῇ τοῦ ε νηπίη ἰωνικῶς. ἰστέον, ὅτι οὐ ταυτὸν σημαίνει, ὡς τὸ νηπιέας ὀχέειν. ἀλλὰ τὸ μὲν ἀφροσύνην δηλοῖ. ἡ δὲ νηπίη βρέφους ἡλικίαν. Νηπιάχω, μωραίνω.

Νηπίαχον, τὸ νηπιάζειν, μηδὲν νόησιν εἰπεῖν, μηδὲν εὐηθῆ, μηδὲ μειρακιώδη, μηδὲ ἄνεσιν ἔχειν, ἀπὸ τοῦ μηδὲν, τὰ νήπια παιδία εἰδέναι τι. Νηπιέας λέγει Ὅμηρος, τὰς ἀφροσύνας. φασὶ δὲ οἱ εὐηθεῖς ὑπὸ τῶν νηπίων, ἤτοι νηπίων φρένων. νηπίη, βρέφους ἡλικίαν δηλοῖ. Νηπιέας, ἀντὶ τοῦ νηπιότησιν, ἀφροσύναις, ἀσυνεσίαις. ἄλλως δὲ, κατ' ἔλλειψιν

λέγεται

ΤΟ Ν ΜΕΤΑ ΤΟΥ Η.

μνηστῆς Δηιδαμείας. τὴν δὲ Ἰφιγένειαν κατὰ τοὺς ἀκριβεῖς τῶν ἱστορικῶν, οὐ γυναῖκα ἔχειν Ἀχιλλεὺς, ἀλλὰ κατασχεθέντων τῶν ἀνέμων ἐν τῷ διάγειν τοὺς Ἕλληνας ἐν Αὐλίδι, πέμπουσιν εἰς Μυκήνας ἀφελέσθαι πρὸς θυσίαν τὴν Ἰφιγένειαν. ψευσαμένης δὲ τῆς Κλυταιμνήστρας, τίς ἡ χρεία αὐτῆς, ἔφασκον Ἀχιλλεῖ μέλλουσι συνοικίσαι αὐτήν. οἱ δὲ τῶν ὅτι λέγουσι, δι' Ἀχιλλέως ταύτην κομισθῆναι ἐν Αὐλίδι, διὰ τὸ σύμφωνον τὸ συμβὰν περὶ τοὺς ἀνέμους, ἔμελλον αὐτὴν θύειν. ἡ δὲ Ἄρτεμις αὐτὴν ἐλεήσασα, κατὰ Φανόδημον τὸν ἱστορικὸν, εἰς ἄρκτον μετέβαλε. κατὰ δὲ Νίκανδρον, εἰς ταῦρον. καθ' ἑτέρους, εἰς γραῦν· ἢ κατ' ἄλλους, εἰς ἔλαφον. ταῦτα δὲ πάντα λῆρος, καὶ μῦθοί εἰσι. τὸ δ' ἀληθὲς οὕτως ἔχει. παραστάσης τῆς Ἰφιγενείας τῇ θυσίᾳ, καὶ μελλούσης θύεσθαι, ἄρκτος, ἢ ταῦρος, ἢ γραῦς, ἢ ἔλαφος διῆξε μέσον τοῦ τῶν Ἑλλήνων στρατοῦ, καὶ προσταγῇ τοῦ μάντεως τὸ ζῶον ἐκεῖνο ἐθυσίασαν. ἡ δὲ Ἰφιγένεια σωθεῖσα, φεύγει περὶ Σκυθίαν, ἐν ᾗ πόλις Ἀρτέμιδος λέγεται, καὶ ἀνῄρει πάντας τοὺς Ἑλλήνων ἀφικνουμένους. τινὲς δὲ τὴν Ἰφιγένειαν ταύτην, ὥσπερ καὶ Δοῦρις, οὐκ Ἀγαμέμνονος θυγατέρα λέγουσιν, ἀλλὰ Θησέως ἐξ Ἑλένης γεννηθεῖσαν. ἄλλοι δὲ οὐκ ἐκ Κλυταιμνήστρας λέγουσι τὴν Ἰφιγένειαν, ἀλλ' ἐκ τῆς Χρυσηΐδος. καὶ Ἀγαμέμνονος παῖδας γίνονται, Χρύσης, ὁ καὶ ἡ ζητηθεῖσα Ἰφιγένεια. μετὰ δὲ τὴν πόρθησιν Ἰλίου, ἐν τῇ τῶν Ἑλλήνων ἀπελάσει, χρόνον μὲν ἐν τῇ λεγομένῃ Χρύσῃ πόλει τοῦ Εὐξείνου [illegible]. τὴν δὲ Ἰφιγένειαν τὴν αὐτοῦ ἀδελφὴν Ταυροσκύθαι αἰχμαλωτίσαντες, ἱέρειαν Ἀρτέμιδος ὑπὸ Σκυθῶν ἐποίησαν. οὐκ ἀπεικὸς δὲ τὸ θυομένης τῆς Ἰφιγενείας διαδραμεῖν ἔλαφον, καὶ ταύτην τοὺς Ἕλληνας ἀναλαβεῖν, καὶ τὴν κόρην ἐᾶσαι. καὶ ὁ Ἰουδαῖος [illegible] αὐτὸς, οὕτως ἔοικε. σφαγιαζομένης γὰρ αὐτῆς, καταπτᾶσαν ἀπὸ τοῦ δαιμονίου [illegible], ἁρπάξαι δὲ τὸ ξίφος, καὶ πρὸς δάμαλιν ἐπιῤῥίψαι πλησίον τοῦ ναοῦ νεμομένην, ἣν [illegible] ἀντ' αὐτῆς. ὡς ἀντὶ Ἰσαὰκ κριὸν ἐν φυτῷ σαβὲκ δεδεμένον. Νεάτειρα, ἡ νέα, ἡ θυγάτηρ. Νεεργὴς, καινῶς εἰργασμένος. Νεοῤῥάντῳ, νεαρῷ ἀπὸ τοῦ αἵματος. Σοφοκλῆς Αἴαντι, καθ' ὅντα σὺν νεοῤῥάντῳ ξίφει. Νεοῤῥύτοις, νεωστὶ ῥέουσι. Νέορτον, νέον. τί δ' ἐστὶν ὦ παλαιὲ νέορτον.

Νέος, νεώτερος, ἔφηβος. νέος ἐστὶ καὶ ὀξὺς, ἀμαθὴς, πρόσφατος. ἀπὸ τοῦ νέεσθαι, ὅ ἐστι πορεύεσθαι εἰς αὔξησιν. ἢ παρὰ τὸ ὁρμᾶσθαι. ὁρμῆς γὰρ καὶ ἡλικίας ἀνάπλεως. Νεόσμηκτον, νεόθηκτον, νεοκάθαρτον. Νεὸς, ἡ καινῶς ἀροτριωμένη γῆ. καὶ ὡς γεωργὸς πυρῶν εἰς νέον σπείρας, φύλασσε ἰσχύν. Νεοσπάργανον, νεωστὶ τὰ σπάργανα περιβεβλημένον, ἅ ἐστι σπάργανα. Νεοσσοί, τὰ νοσσία δηλοῖ. ὡς ἀπὸ τοῦ νέον, ἤγουν νεωστὶ ὄσσεσθαι, ὅ ἐστι βλέπειν, ἢ βλέπεσθαι. ἢ παρὰ τὸ νέον σεύεσθαι, ἤτοι κινεῖσθαι. πλεονασμῷ τοῦ ἑνὸς σ. ὡς ἐν τῷ ὅσσατο, καὶ ἐν τῷ [illegible], καὶ τοῖς ὁμοίοις. Νεοσσὸς, ὁ νέον, ἤγουν καινῶς σεσωσμένος καὶ κινούμενος. ἢ ὁ νέον ὀσσόμενος, ἤτοι φῶς βλέπων. ἀλλ' οὗτος μὲν εὔλογος ἡ τῶν δύο σσ γραφή. εἰ δὲ παρὰ τὸ νέον σεύεσθαι γίνεται νεοσσὸς, διὰ τοῦ ἑνὸς ὀφείλει γράφεσθαι, ὡς ἐν τῷ [illegible], καὶ ἐν τῷ [illegible] νεοττὸς, νεοττίον, νεοττία, οἱ νεοσσοὶ, οὐδὲ νεοσσίον. Νεοσάλευτος, κεκλαυθμυρισμένοι παῖδες, πρόσφατος [illegible]. Νεοσσῷ, παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἐν [illegible] ἐγένετο νέον μῦθον, ἢ μῦθον [illegible] αὐτῶν, καὶ καινοὶ [illegible] λόγον εἶναι. Νεοτεφὴς, νεόκροτος. Νεοτευχὴς, ἐπιτρεπόμενος. Νεοσύλλεκτον, τὸ νεοσύνακτον. Νεόγραφον, καινῶς γεγραμμένον καὶ καινόν. Νεοτελὴς, καινῶς τετελεσμένος.

Νεοτεύκτον, νεοποίητον. Νεοταχὴς, καινῶς κατασκευασμένον. Νεῖτος, [illegible] σώματος. ἢ [illegible] [illegible] ἀκρασίας [illegible] τῶν νέων [illegible]

κίᾳ. Νεοτεύω, ὁ [illegible]. Νεοττιὰ, καλιά. ἐπὶ τῶν μικρῶν ὀρνέων. ἰδίως, ἐπὶ ὄφεως, καυλὸς, ἐν ᾧ ἐκτρέφεται [illegible], καὶ ἄλλοι καὶ ἑτέρων κτηνῶν. ἢ ἔτι καθολικὸν ὄνομα. ἰδικῶς δὲ λέγονται ἱππῶνες, καὶ ἱπποστάσεις ἐπὶ τῶν ἵππων. βουστάσεις καὶ αὐλαί, ἐπὶ πάντων καὶ κατοικεσίαι, σηκὸς, ἔνθα ἐγκλείουσι τὰ νέογνα, ὅταν τὰς μητέρας ἀμέλγωσιν, ἢ εἰς νομὴν ἐκπέμπωσιν. οἱ δὲ τῶν ἀνθρώπων οἶκοι ὀνομάζονται οὕτως. ἐν ᾧ κοιμῶνται, [illegible] λέγεται κοινῶς καὶ ἀττικῶς δωμάτιον, παρ' Ὁμήρῳ θάλαμος, καὶ καταχρηστικῶς κοιτών. ὁ δὲ κοιτὼν πολλῶν κατ' ὄφελος εἶναι [illegible]. τὸ δὲ μετὰ θύραν, πρόδομος λέγεται, καὶ παστάς. τὸ μετὰ τὸν πρόδομον, δόμος. εἶτα αἴθουσα, τὰ κοινῶς [illegible]. εἶτα αὐλὴ, καὶ ἕρκιον αὐλῆς. Νεόττιον, [illegible] ὄρος [illegible], καὶ πόλις λεγομένη [illegible]. Νεοττοί, νεοσσοί.

Νεουμένη, δευτερουμένη. Νεοῦν, τὸ ἀροτριᾶν, ἀπὸ τοῦ ἐκ τῆς ἀροτριάσεως νέαν ἀναλαμβάνειν τὴν γῆν. Νεόπακτος, νεόπηκτος. Νεόρατος, καινῶς [illegible]. Νεόφθιτος [illegible], ἄρτι φθαρεῖσα. ἢ τελευτήσασα, νεόφθιτος. Νεόφυτον, τὸ καινῶς φυτευθέν. Νεόφρων, ὁ [illegible], [illegible]. Νεόφοτος, ὁ νεωστὶ [illegible]. Νεοχάρακτα, καινῶς κεχαραγμένα. Νεοχμοῦντες, μετακινοῦντες. καὶ νεοχμοῦσι, τὴν [illegible]. καὶ νεοχμὸς, ἄχαρις, ἄπειρος. ἢ ἄπορος, νεωστὶ εἰργασμένος. Νεοχμὸν, καινὸν, πρόσφατον. Νεοχμωμένη, καινοτομουμένη. Νεοχμώσωσι, μετακινήσωσι, νεωτερίσωσι. Νεοχμοῦσιν, ἐλλείπουσιν. ἢ καινοποιοῦσιν. ἀπὸ τοῦ νέος [illegible] γίνεται νεοχὸς, καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ μ, νεοχμός.

Νέποδα, [illegible]. Νέποδες, [illegible]. τὸ γὰρ ἄποδες [illegible]. ἔχουσι [illegible] φῶκαι [illegible].

Νέποδες δὲ οἱ ἰχθύες, οἱ [illegible] ποδῶν. Νέπος, [illegible] μετὰ τοῦ [illegible]. [illegible] δὲ [illegible].

Νέρθεν, ὑποκάτωθεν. παρὰ τὸ ἔνερθεν, νέρθεν κατὰ ἀφαίρεσιν τοῦ ε. τοῦ παρὰ τὴν [illegible] τὴν γῆν, γίνεται [illegible], καὶ ἔνερθεν, καὶ συγκοπῇ νέρθεν. Νέρτατα, ἔσχατα. Νέρτερον, ἐκ τοῦ ἐνέρτερον, κατὰ ἀφαίρεσιν λέγεται. ταῦτα δὲ ἐκ τῶν ἐνέρων [illegible]. Νέρτερος, ὑποκάτωθεν. ὁ [illegible] ὑπὸ τὴν κατώτερος, καταχθόνιος. Νέρτεροι, [illegible], οἱ [illegible] κατὰ τὸ [illegible]. καὶ χθόνιοι, νεκροί.

Νέρτος, ἱέραξ. οἱ δὲ, εἶδος ὀρνέου. [illegible], [illegible] θυγατέρων. Νέσος, ποταμός. [illegible] ἔθνος Ἰλλυρικὸν, ἀπὸ [illegible] εἰς τὴν Ἑλλάδα. καὶ Ἐρατοσθένης ἐν τῷ γεωγραφουμένῳ φησὶ, μετὰ Ἰλλυριοὺς [illegible]. καθ' [illegible] φάρος [illegible]. [illegible], ὧν ἡ αἵρεσις αὕτη. ἄλλον μὲν τὸν [illegible], ἄλλον δὲ τὸν [illegible]. Νέστωρ, εἷς παρ' Ὁμήρῳ, μελίγηρυς ῥήτωρ. οἱ δὲ λοιποὶ κατ' ἄλλους ἄλλον τρόπον παραβάλλονται. Νέστωρ, παρὰ τὸ [illegible], ἢ παρὰ τὸ [illegible] ἔχειν τὸν νοῦν.

Νεύει, ἐπανέρχεται, ἢ μᾶλλον φεύγει. [illegible] ἐπὶ τῆς κεφαλῆς λέγεται. ὃ μὲν [illegible] ἐπιλλίζουσιν οἱ [illegible], [illegible] ὀφθαλμοὺς νεύουσι. [illegible] ἐπὶ κεφαλῆς κατανεύειν κατὰ τὸ ὅλον. ἀνανεύειν δὲ, [illegible] ὀφρύσι νεύειν, ἀπὸ [illegible]. [illegible] γὰρ πάντες [illegible] ὀφρύες, καὶ ἄλλοι, ἐν οἷς φαίνεται κατάνευσις. ὥσπερ [illegible] σχήματι μὲν ἐστιν, [illegible] δὲ [illegible]. Νεῦμαι, ἔρχομαι, ὑποστρέφω, παλινοστῶ, ἄξω, ἐπανήξω. Νευρὰ, [illegible] χορδὴ διαφέρει. νευρὰ μὲν ἡ ἐκ τῶν νεύρων, ἢ τοῖς χρῶνται εἰς τὰ τόξα, χορδὴ δὲ, ἡ ἐκ τῶν ἐντέρων εἰς τὰ ὄργανα. [illegible], μέρος τι τοῦ σώματος. οἱ δὲ [illegible]. Νεῦρον λέγει Ὅμηρος, τὸ κύκλῳ σφίγγον τὸν τοῦ σιδήρου τοῖς βέλεσιν ἐμβαλλόμενον. καὶ νῦν μὲν φυσικῶς ἡ λέξις ἔχει. ὅτε δὲ [illegible] ἀναλογίαν [illegible], πᾶσαν πραγμάτων ἰσχὺν, χρήματα [illegible] ἐφράσατο.

Digitized by Google

σης. εἶτα ἐργολαβοῦντες τινὲς οἱ κηλητίοντες, ἐπεί γε, δὲ πεπασκευάσαντο. Νίμβοις, δίναις, καὶ ἀφανισμοῖς, ταχέσιν. οὐ νίμβοις, παρ' Ὁμήρῳ. ἤτοι οὐ ταχέσιν, καὶ δινώδεσι μιμητέον.

Νέμεσθαι, οὐκ ἐπὶ πυρὸς μόνον λέγεται, ἀλλὰ καὶ ἐπὶ βοσκημάτων, καὶ ἐπ' ἀνθρώπων. καὶ νέμεσθαι, ἀντὶ τοῦ διοικεῖν.

Νέμεσις ὁ νόμος τοὺς ἀρχαίους. νέμω, μέλλων νεμῶ. καὶ νέμεσις νεμέσω, ὡς ἰθύνω ἰθυνέσω. ἐκ τοῦ νέμω νεμῶ, τὸ ἔνεμα καὶ ἐνεμησάμην. ἐκ δὲ τοῦ νεμῶ νεμέσω, τὸ νεμεσῶ. νέμομαι δὲ, τὸ βόσκομαι. καὶ νέμομαι, τὸ περιέρχομαι ποιητικῶς. νέμω καὶ διανέμω τοῖς πτωχοῖς τὰ προσόντα. Νεμέσθαι, διαμερίζεσθαι.

Νέμομαι, τὸ βόσκω. ὅθεν νομὴ ἡ βοσκή. καὶ εὐνομία ὅταν νομὰς εὖ ἔχωσι τὰ ζῶα. ἐκ δὲ τοῦ νέμω, τὸ μερίζω, νόμος καὶ διανομὴ, ὁ πρὸς πολλοὺς δοτὸς, καὶ ἴσα. ὅθεν καὶ ἀνομία, ὅταν ἑκάστοις ὑπὸ νόμων διοικῶνται. Νέμομαι, τὸ οἰκῶ. Πίνδαρος, ἀλλ' ἀμφὶ νέμονται αἶσαν. Νέμοιτο. Ὅμηρος, ὄφρα νέμοιτο. καὶ ὅρα, τὸ νέμοιτο ἐπὶ ἀνθρώπων λέγεσθαι, καὶ λαβὼν ἐξ Ὁμήρου ἀρχὴν. ἐκ τούτου δὲ καὶ τὸ νέμος παρῆχθαι, εἰ λέγεται ὄνομα. Νέμος ἐκάλουν, τὸ ἄλσος, τὸ ὄρος, τὸ παράλιον. Σοφοκλῆς, πέτραι θ' ὄντα καὶ νέμος ἐκάλουν. Νέμος, σύνδενδρος τόπος, καὶ νομὴν ἔχων, καὶ τὸ γυναικεῖον αἰδοῖον, καὶ σῶμα, καὶ τὸ τοῦ ὀφθαλμοῦ κοῖλον. Νέμος σκιερόν. παρὰ Διονυσίῳ Λακωνικῷ. αὐτὸς γὰρ ἡλίῳ ἔοικεν, ὡς ἐπὶ πολύ. τόπος δὲ ἔτι λέγεται τὸ νέμος, ἐπιτήδειος εἰς νομήν.

Νέμω, σημαίνει τέσσαρα. τὸ μερίζω, ἐξ οὗ καὶ νόμος ὄνομα. τὸ βόσκω, ἐξ οὗ καὶ νομεὺς ὁ βοσκός. καὶ σύννομοι, οἱ ὁμοῦ βοσκόμενοι ἵπποι, καὶ νομὴ ἡ βοσκή. τὸ περιέρχομαι, τὸ φθονῶ καὶ μέμφομαι. ἐξ οὗ καὶ νέμεσις, ἡ μέμψις. νέμειν, διαιρεῖν, μερίζειν, βόσκειν. Νέμω, τὸ βόσκω, καὶ τὸ δίδωμι, καὶ τὸ διοικῶ ποιητικῶς. νέμομαι δὲ, τὸ βόσκομαι. καὶ νέμεσθαι τὴν ὕλην, τὸ ἐπὶ τούτου πῦρ. καὶ νέμομαι, τὸ περιέρχομαι ποιητικῶς. ἀπονείμαντες, ἀντὶ τοῦ παρέχοντες. διανείμαντες δὲ, ἀντὶ τοῦ διαμερίσαντες. τὰ ῥήματα, ἀπονέμω καὶ διανέμω. καὶ ἔστιν ἀπονέμω, οἷον εἰ τὸ οἰκεῖον καὶ ἁρμόζον ἀποδιδῶ τινι. ὡς ἔφαμεν, ἀπένειμεν ὁ θεὸς τῇ ἡμέρᾳ τὸν ἥλιον, καὶ τῇ νυκτὶ τὴν σελήνην. καὶ οὕτω τῇ καθ' ἡμᾶς φύσει, τὸ ὄντως ἀγαθὸν ἀπονείμαντες. διανέμω δὲ, ὅπερ ἐστὶν ἓν ὂν καὶ τὸ αὐτὸ διῃρημένως πρὸς διάφορα πρόσωπα διδόναι, ὡς τὸ διένειμε τὴν γνῶσιν, ἀντὶ τοῦ πρὸς πολλοὺς τοῦτο ἐμέρισε. καὶ διένειμε τὸν κλῆρον, καὶ τὸν πλοῦτον τοῖς πτωχοῖς, ἀντὶ τοῦ διασκορπίσας ἔδωκε. Νενεμημένα, ὑποτεταγμένα, κεκληρωμένα. καὶ νενεμημένως, ἰσαίως.

Νένασαι, ἐκ τοῦ νάσσω, ἢ ναῶ, τὸ σωρεύω. ἤγουν ἐπέσαξαι, σεσώρευται. Νενασμαχηκώς, ἐν πλοίῳ πολεμήσας. Νένασται, σεσώρευται. ἐκ τοῦ ναίω ναῶ, τὸ σωρεύω. Νενίκηται. ἐκ τοῦ, τὸ σωρεύω. ὁ παρακείμενος νένακα, ὁ παθητικὸς νένασμαι, τὸ τρίτον τῶν πληθυντικῶν νένανται, καὶ ἰωνικῶς νενέαται, καὶ ἰωνικῇ ἀφαιρέσει τῆς ἀναδιπλασιασμοῦ νέαται. Νενεαίνεται, τεθεράπευται. Νενευκότι, συγκεκυφότι, βλέψαντι. Νενεμημένον, συγκεκομμένον. Νένηται, πεπλήρωται, σωρεῦται. Νενηφότως, καὶ ἐγρηγορότως, οὐκ ἐγρηγόρως. Νένηται, ἡ κατὰ συγκοπὴν τοῦ ε ἐκ τοῦ νενέαται, ὅπερ καὶ νενέαται, ἰωνικῶς γίνεται. ὁ ἐκ τοῦ νένηται κατὰ συστολήν. ἔστι γὰρ τὸ ῥῆμα, τρίτης συζυγίας. Ἰωνικῶς, νένηται εἶναι καὶ νενημένος. Νεόλαλος, τυφλὸς, ἀπόπληκτος, ἀνόητος. Νεοδὸς, ἀδελφός. Νεοδὲς, εὐήθως. Νενάρω, κακολογεῖ. Νένωται, νεόφυται, σεσώρευται, ποιεῖται. Νενωμένα, διανενεμημένα. Νενήχωται, τεθεράπευται, καταπέπλευται. Νέφεα, τὰ χρώματα.

Νεοαρδέα, νεωστὶ πεποτισμένην, καὶ ἀρδευθεῖσαν. Νεόβορον, νεωστὶ βεβρωμένον. Νεόβλαστον, τὸ νεωστὶ βλαστῆσαν. Νεόβροχοι, ἔνυγροι. Νεογιλὸς, ὁ νέος γονεύς, καὶ ἐν συγκοπῇ νεοττός. Νεογνὸς, ὁ νεωστὶ γεγεννημένος, ἢ νεογνὸς ὡς ὤν. Νεογιλὸς, ὁ νέος καὶ μικρός. Νεοδαμώδεις, ὁ ἐλεύθερος, παρὰ τοῖς Λακεδαιμονίοις. ἤτοι ἐκ τῶν εἱλώτων. Νεόδμητον, νεοδόμητον, καινόν. Νεόδαρτος, ἐλευθερωθεὶς ἀπὸ τῶν δούλων. Νεοθηλὶς προσφάτως, εὐγενεστέρων. Νεοκοία, ἑορτὴ Διονύσου. Νεοθάλεος, καινός.

Νεοθηλὴς, νεωστὶ βλαστήσας. Νεοθανὴς, νεωστὶ τεθνεώς.

Νεοθηγῆ, νεωστὶ ἀκονηθέντα. Νεόθρεπτον, τὸν νεωστὶ πεπηγότα τυρόν. Νεοθρόνις, νεοκυήτοις, νεωστὶ ὁρμῶσιν, αὐξανομένοις. Νέοιο, ἀγρεύοντα. νεῖα κυρίως, ὁ νεωτερικὴ κατάστασις. ἐκ τοῦ νέος νεῖος, οὗ θηλυκὸν ἡ νειά. ὥσπερ καὶ ἄγρειος ἀγρεία, ἐξ ἄγρα πολλά. ὅμοιον δὲ τὸ ἐὼς νεῖος, ἡ νειός, ἡ θηλυκὴ νειά. [illegible] ἐπὶ δὲ νειὸς, ἡ αὐτὴ τῇ πολλαχοῦ ῥηθείσῃ ταχείᾳ. ἵνα εἴη ὥσπερ νεῖος, οὐχ ἡ ἀναβολὴ, ἀλλ' ὁ ἀρχαῖος καὶ ἀναβολικὸς, οὕτω κτητικὸς καὶ νεῖος καὶ νειὸς, ὁ νεωτερικὸς τόπος, καὶ ἡ νεωτέρα χρεία. νειὸς, ἡ νεότης. Νεοκατασκευασμένη, πόλις. Νεοκαταστάτεις ἀνθρώπους φησὶ Θουκυδίδης, ἀντὶ τοῦ νεωστὶ κατοικισμένους.

Νεοκλύστα, νεωστὶ πλυθέντα. Νεοκλείδης ὁ λήμων, ὁ ἔχων τοὺς ὀφθαλμοὺς μεστοὺς ἀκαθαρσίας, ὁ λημῶν παρὰ τῷ Ἀριστοφάνει. Νεοκλῆς, ἀλιευτικὸς στρόβος, ἁλιαγὸς ἐπὶ κόρον. Νεοκμῆτα, νεωστὶ κατεσκευασμένα. Νεοκόρος, ὁ τὴν ἐκκλησίαν κοσμῶν. κορεῖν γὰρ, τὸ σαροῦν. Νεόκρατοι, λέγονται πρωτότοκοι οὗτοι ἐλέγοντο, ὧν ἡ χρῆσις διττὴ καθώρισται, ἔν τε τοῖς περὶ ἀρχαίοις, καὶ ἐν ταῖς ἐπιγραφαῖς, ἢ ἐν στήλαις.

Νεόκτιστον, νεοκατασκευαστὸν, ὃ νεωστὶ κατεσκευασμένον. Νεολαία, τὸ ἄθροισμα τῶν νέων. Νέολος, ὁ νεωστὶ ἐλθών. Νεόλεκτος, νεοσύλλεκτος. Νεολιγὸν, νεοττόν. Νεολώφοι, νεωστὶ λελοφηκότες τοῦ μανιάτου. Νέομαι, πορεύομαι, ἀπέρχομαι.

Νεόμηνον, τὸ τεχθὲν πρὸ τοῦ ἱστορεῖσθαι. Νεομηνία, νουμηνία, ἀρχὴ μηνὸς, καὶ νουμηνία μὴ λέγε. τῶν ἰώνων γάρ. ἀλλὰ νουμηνία. Νεομηνία, ἡ πρώτη τῆς σελήνης ἡμέρα. Νέον δ' ἐπιτείρεσθαι θυμὸν, ἀντὶ τοῦ νεωστὶ, ἐπαλλαγῇ ἐπιρρήματος. καὶ νέον ἐπιρρηματικῶς, ἀντὶ τοῦ ἐν τῷ νέῳ καιρῷ. τουτέστι, τῷ ἔαρι παρ' Ὁμήρῳ ἐν β' ῥαψωδίᾳ. Νέον ἐρχομένοιο παρ' Ὁμήρῳ, λέγει τὰς μελίσσας νέον ἔρχεσθαι διὰ τὸ πλῆθος. ἵνα λέγῃ, ὅτι οὕτω πολλαὶ ἦσαν, ὡς τὸ συνεχῶς προσιοῦσαι νεωστὶ ἐλθεῖν ἔρχεσθαι. εἰ δὲ νέον, τὸ ἔαρ νοοῦσι. εἰ καὶ ἄλλως πολλὰ λέγεται διὰ τὸ τότε ἄνθη. καὶ λέγομεν, ὅτι κατὰ νέον, ἤτοι κατὰ τὸ ἔαρ ἔρχεται. τότε γὰρ μάλιστα τὸ σμῆνος ἐκπέτεται εἰς τὰ ἄνθη. Νέονται, πορεύονται. Νέονταο, νεχομένους. Νέον τεῖχος, τὸ αἰολικὸν τόπος, ὁ ἐκάλουν νεοτειχίτας. ὡς καὶ τὸ χυλὸν τεῖχος, τὸ περὶ Συρίαν. καὶ χυλοτειχίτης, ὁ ἐκ τούτου. Νέον ἡ βόσκει, ἀρτίως ἡβῶντα, ἄρτι ἀκμάζοντα. Νεοπαθῆ, τὰ οὐ πρότερον ἑορτασμένα, ἀλλ' ἀρχόμενα. Νεοπαγῆ, νεωστὶ πεπηγμένον. Νεοπηδὴς, αἰχμάλωτος. Νεόπλουτος, ὁ νεωστὶ πλουτῶν. Νεοπτόλεμος ἐκαλεῖτο ὁ τοῦ Ἀχιλλέως υἱός. διότι νέος ὢν, ἐπολέμησε. τὸ δὲ ἄλλως κύριον αὐτοῦ, Πύρρος ἦν, ὡς ἐν Σκυρίοις ὁ Σοφοκλῆς. ὑπὸ Ἰμώνυμος ἐστὶν ὕστερον ἐπωνύμως διὰ τὸ πολέμιον τῇ βαρυτόνῳ τοῦ πυρροῦ, ὅπερ ἐστὶ πυρσοῦ. μορίαν γὰρ ἐστὶ πρὸς διάφορον σημασίαν διαφόρως ὀνομάζεσθαι. ὡς ἐστὶ καὶ ὁ τελίσας βαρυτόνως, τὸ κύκνον ὡς ὄρνις. καὶ ὀξυτόνως τελεσὸς, τὸ ἐπίθετον. Νεοπτόλεμος, ὃς τοῦ ἐκ τῆς Ἰφιγενείας καὶ Ἀχιλλέως ἐγένετο. μετὰ δὲ τῶν κυρίων Ἰφιγενείας Σκυρίαν, ὥς φησι Πίνδαρος. Ἰφιγένειαν δὲ ἐκ Σκυρίων σφαγῆναι, παρθένον οὖσαν φησὶν Ἀχιλλεὺς τὸν παῖδα Δηϊδάμειαν σπείρας τὴν Σκυρίαν. Τριφύλαρχος δὲ καὶ οἱ λοιποὶ πάντες Δηϊδάμειαν τὴν Λυκομήδους θυγατέρα καὶ Ἀχιλλέως παῖδα τὸν Νεοπτόλεμον ἱστοροῦσι. φησὶ γὰρ ὁ Τριφύλαρχος οὗτος, υἱὸς Ἀχιλλέως. καὶ

νέα γὰρ λέγεται ἀπὸ τοῦ νέα φαίνεσθαι κατ' ἔτος τῷ πόλῳ. λέγεται δὲ καὶ πᾶσα πληθὺς χώρα, ἢ θάλασσα. Νεόστατον, νεωστὶ τατον. Νεόφατον, νεόφαντον. Νείατα, ἔσχατα. Νειρός, ὁ κόχλος. νηρεὺς δὲ, ὁ θαλάσσιος. ἢ νηρεὺς δὲ, ὁ ὕμνος ἢ ὁ Νηρεύς.

Νειρή, κοίλη, κοιλία ἐσχάτη. Νειρόν, στερεὸν, ἔσχατον.

Νειοσονται, ἀντὶ τοῦ πορεύονται διὰ διφθόγγου καὶ δίου. τὸ μὲν ὅτι ἀπὸ τοῦ νέομαι. τὸ δὲ, ὅτι τὰ εἰς ἕω συζυγίας, ὡς τὸ βαδίσομαι, καὶ φοιτήσομαι. Νεῖται, ἀφίξεται, ἐλεύσεται. Νείφει, βρέχει, ἀπὸ τοῦ νίφος. ἐξ οὗ νέφος, καὶ νιφετὸς, γίνεται νίφω καὶ νείφω. Νεκάδεσσιν ἐν αἰνῇσιν, ὁ ἐν δεσμοῖς, ἢ αἰναῖς νεκάδεσσι. λέγει δὲ νεκάδας τὰς τάξεις τῶν νεκρῶν, Ὅμηρος. Νέκες, νεκροί, ἄνοι, ἀρχαῖοι, νέοι.

Νεκρὸς, ἀπὸ τοῦ νη στερητικοῦ καὶ τοῦ κῆρ ἡ ψυχή. καὶ νήκερος, ὁ μὴ ἔχων κῆρ. εἶτα καὶ ὁ τόνος συνεσχέθη, παρὰ τὴν τοῦ ε συναίρεσιν, καὶ τὸ κῆρ, ὅ ἐστι κῆρ, ἡ ψυχή. Νέκταρ ἐτυμολογεῖται, ἀπὸ τοῦ κτῶ, τὸ κτάομαι καὶ τοῦ νη στερητικοῦ. σημαίνει τὸ ἄκτητον, ὃ οὐδενὸς ἑαυτοῦ γίνεσθαι κτέαρ, ἤτοι κτῆμα. ἡ δὲ ἀμβροσία, ἢ ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ βροτὸς, ἣν οὐδεὶς ἔχει βροτὸς, πλεονάζοντος τοῦ μ πρὸ τοῦ β, διὰ ἔγκειν φωνῆς, ὡς ἐν πολλοῖς γίνεσθαι. ἢ μᾶλλον ἐκ τοῦ ἐμβαίνειν ῥεῖν, ἤγουν ἀπὸ εἶναι φθορᾶς. νέκταρ παρὰ θεοῖς λέγεσθαι, ἡ ξηρὰ ἐν θεοῖς τροφή. ἀμβροσία δὲ, ἡ ὑγρά. ἢ νέκταρ παρὰ τὸ ἀεὶ κτέαρ νέον εἶναι. ἢ νέκταρ, θεῖον πόμα. καὶ νεκτάρεον πέπλον, τὸ θαυμαστὸν, καὶ ἀκήρατον. ἢ νέκταρ, τὸ τῶν θεῶν πῶμα. σημαίνει τὸ συνέχειν τοὺς πίνοντας αὐτὸ ἐν νεότητι. παρὰ τὸ ἔχω, καὶ τὸ νέον, γίγνεται νεκταρόν, καὶ κατὰ συγκοπὴν νέκταρ. διὸ καὶ ἡ ἥβη αὐτὸ κιρνᾷ. ἥτις ἐστὶ τῆς θείας νεότητος. παρὰ τὸ νη στερητικὸν καὶ τὸ κτῶ, γίγνεται νέκταρ. σημαίνει τὸ αἴτιον τοῦ μὴ κτᾶσθαι καὶ φονεύεσθαι τοὺς πίνοντας αὐτό. ἀφ' οὗ δηλοῦται, τὸ ἀθάνατον. εἶεν τὸ μὴ κτεῖνον διαδέμενον. κατὰ δὲ ἄλλους, τὸ νέκταρ πίνεσθαι κατὰ μῦθον, ὥσπερ αὖ καὶ διὰ ἀμβροσίαν ἐσθίεσθαι. καὶ ἔστιν αὕτη μὲν ἀναβαίνουσα ῥοὴ κάτωθεν δηλαδή. ἐκεῖνο δὲ μὴ καταρρέον ἐξ ὕψους, ἄνω δηλουμένου ἄνω, ὑφ' ἧς οἱ ἀστέρες τρεφόμενοι διαγίνονται. ὃ καὶ ἄλλως νέκταρ, καὶ ἀμβροσία, αἱ ἐκ γῆς ἀναβαίνουσαι, ξηραὶ, ὑγραὶ, καὶ αὖθις νέον καταρρέουσαι. ἀφ' ὧν καὶ οἱ ἀστέρες δοκοῦσι τρέφεσθαι. ὁ δὲ ὠκεανὸς κύκλῳ ῥέων, ὑπὸ τῶν παλαιῶν νοεῖται, καὶ ὑφ' Ὁμήρου ὠκεανὸς θεῶν γένεσις λέγεται. Νεκτάρεος, μελιηδής. Νεκτάρεος ἑανὸς, ἤγουν θεῖος, ἀπὸ τοῦ πολλαχῶς δηλουμένου νέκταρος. ὡς ἀπὸ ἀμβροσίας ὁ ἀμβρόσιος, καὶ ἀπολύσει τοῦ ι νεκτάρεος. Νεκταροῦσιν, ἐλαφρίζουσιν.

Μενεπτόλεμος εἶπεν ὁ ποιητὴς τὸς περὶ μάχην, ὡς καὶ τὴν πολυτείαν μενεπτόλεμον, οἱονεὶ πολεμικόν, ἡ ἀκτέρ πολεμικόν. Μενέων, ἐμένον, λυπῶν. Μενεχάρμας ἐσύστην. ἔστιν δὲ, ὡς προσθετικὸν μένειν χάρμης καὶ πολέμου καὶ ὅτι δὲ, γίνεσθαι ἐν αὐτῷ ὁ μενεχάρμης, ὁ μενεπτόλεμος, ὁ λόγος. δὲ αὐτοῖς ἔστι τῷ καλεῖν μαχητῇ, ὡς ἐναντίος ὁ φύγαλος. ὁ δὲ μενεχάρμης, ὡρίσθαι καὶ μενέχαρμος κατὰ τὸ πάλαι εὐρέπολος καὶ εὐρυπύλης, ἐπὶ τῶν ὀξυτόνων δηλοῖ, τὸ εὐρυπύλης ἄλλα. Μενέχαρμος, καὶ μενεχάρμης, καρτερικός, πολεμικός, ὑπομονητικὸς ἐν τῇ μάχῃ. χάρμη γὰρ, ἡ μάχη.

Μενέχαρμος, ὅμοιον μὲν τῷ μενεπτόλεμος, καὶ μενέλαος. ἐναντίον δὲ, πρὸς τὸ φύγαλος, καὶ πρὸς τὸ λαλός.

Μενῶ καὶ τλήσομαι, ὁ ἐκ παραλλήλου ταυτὸ σημαίνειν, δ' διαφορὰν ἔχουσιν. ἔστι γὰρ μένειν μὲν ἔχει, μὴ τλῆναι δέ. πολλοὶ γὰρ μένουσι μὲν πρὸ κακοῦ ἔχειν. ἐπιλαθὸν δὲ τλῆναι οὐ δύνανται. Μενέων, λυπούμενον, προθυμούμενον. Μενθῆραι, αἱ φροντίδες. Μενθιᾷ, μεριμνᾷ, λυπεῖται. Μενί. Λακεδαιμόνιοι, τὸ νῦν μενί, ἀντὶ τοῦ νῦν μέν.

Μένος, μίνη, πόσις. Μενεῖσθον, ὄνομα τόπου. Μενεσθεὶ λαίνα λέγει Ὅμηρος, ἡ ἐπὶ τὸ μένος εἶναι, τὴν αὐτάρκης, ὁ τὴν ἐπισχῦσαν τὸ κατὰ φύσιν μένει. τὰ δ' αὐτῇ, καὶ ἐπάρχει ἔτι ἄν. Μενοεικέα δῶρα φησὶν Ὅμηρος ἐν τῇ σ' τῆς Ἰλιάδος, εἰς δηλαδὴ τὸ μένος εἶναι τὸ τοῦ ἀχιλλέως. καὶ πάλιν λέγει ὅλως μενοεικέα. καὶ ἑρμηνευτικὸν τοῦ, τοῦ ὥσπερ ὅλως, μᾶλλον δὲ διαφορικόν. τὸ μὲν γὰρ ὥσπερ ἔχει τι καὶ ἐμβολῆς. τὸ δὲ μενοεικὲς, εἰ καὶ ἀορίστως φράζεσθαι, ὅμως συμμετρίαν δηλοῖ ἔστι τὴν κατὰ τὸ ἀρκοῦν.

Μενοεικέα, πολλὰ, προσηνῆ, ἀρεστά. Μενοεικὲς, ἀρεστὸν τῇ ψυχῇ, τὸ ἐμμελὲς, καὶ προσηνὲς. παραμένει τὰ ἔπη ἀεὶ, καὶ ἀρεστὸν τῇ ψυχῇ. Μενοινᾷ, φροντίζει, μεριμνᾷ, προθυμεῖται, ὀργίζεται. Μενοινὴ, ἀντὶ τοῦ βουλὴ, κεῖται παρὰ τοῖς ποιηταῖς. Μενοινῶ, ἀντὶ τοῦ σκοπεῖν καὶ λέγειν, ἡ μέριμνα. Μενοινῶ, τὸ προθυμοῦμαι, μένω μενοινῶ, ὡς προσκεῖται εἰς τῶν οἱ διφθογγον μενοινῶ. ὡς παρὰ τὴν ἄγνωστος γενεὰν ὀνίδω καὶ ἀγκίνα, οὕτω μενοινὰ καὶ μενοινὰ, καὶ μενοινὴ γέμα. Μενοιάδαλος, ἀπὸ τοῦ μενοίτιος μενοιδάδαλος, ὡς ἀπὸ τ̃ πρίαμος πριαμίδαλος. ἔστι κατὰ ἀποβολὴν τ̃ ι, καὶ πλεονασμῷ τοῦ α μενοιάδαλος, ὡς σκιμάλος καὶ ἀμφισκιμάδαλος. Μένος, τὸ ἐμμονον ἔργον, ἢ ἀπὸ τοῦ τὸ δεῖνος. μένος

τροπῇ τοῦ ω μεγάλου εἰς ο μικρὸν, καὶ προσθήκῃ τοῦ μαι, οἷον τύψω τύψομαι, λέξω λέξομαι. Μίλλων μέσος δεύτερος γίνεται, ἀπὸ τοῦ δευτέρου μέλλοντος ἐνεργητικοῦ, τροπῇ τοῦ ω μεγάλου περισπωμένου εἰς τὴν ου δίφθογγον, καὶ προσθήκῃ τοῦ μαι, οἷον τυπῶ τυποῦμαι, λεγῶ λεγοῦμαι, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. Μῶλος, μῶλημα, ἡ μῶρος τοῦ σώματος, ἢ ἦχος ἀσπίδος, ὅσμα, ῥοιβδὸς, καὶ ἀλαλαγμός. Μῶλος, ὁ σύγκρουσις τοῦ ἴππου, τὸ μεμιλισμένον, ἢ ἀπὸ τοῦ μέλιτος γλυκύτητος.

Μέλον, ἐπιμελοῦ. καὶ τὰ λοιπὰ μὴ μέλον δικαίως, ὥσπερ ἐς τέλ ἡμέρας. Μίλπεσθαι παρ' Ὁμήρῳ, ἐν ταλίῳ, δηίῳ μέλπεσθαι ἄρει. δηλοῖ τὸ εὐχερῶς κινεῖσθαι, καὶ οἷον παίζοντος ὅλον ἐν τῇ κατὰ συστολὴν καὶ πεζῇ μάχῃ. διὰ τὸ πολλὴν ἐν τοῖς δεινοῖς ἔχειν εὐχείρειαν. καὶ τὸ μὲν ταλίῳ λείπεται τοῦ ὡρμένῳ, ἢ μάχῃ, ἢ πιστῷ τινός. τὸ δὲ μέλπεσθαι, εἴληπται ἀπὸ τῶν καθ' ἡσυχίαν μελπόντων παιανικῶς τῷ ἄρει, λέγω ἑορτῆς, ἢ πρὸ μάχης κατακολουμένων, ὡς μὴ δεδιέναι. Μέλπηθρον, τὸ παίγνιον. παρὰ τὸ μέλπω, τὸ παίζω, σημαίνει καὶ τὸ ὑμνῶ.

Μέλπεσθαι, ᾄδοντες, ὑμνοῦντες. Μελπόμενοι, παίγνια μέλποντες, ὑμνοῦντες, ᾄδοντες. Μέλπω, τὸ ὑμνῶ. ἐξ οὗ μολπὴ, ἡ ᾠδὴ παρὰ τὸ μέλω ἐπιθέσει. καὶ ὅτι, τὸ μολπὴ ἀπὸ κοινοῦ ἦν, εἴπερ αὐτὸς παρῆκεν τὸ μέλπεσθαι, ἵνα ἡ μολπὴ μέλποντος. Μελύγειον, πομάτιον σκυθικὸν, γινόμενον ἐκ μόνου μέλιτος καὶ ὕδατος, βοτάνης τινὸς ἐμβαλλομένης. Μελύφριον, ἰωνικὸν ἀντὶ τοῦ τρυφηλόν. τοιοῦτοι γὰρ Ἴωνες. Λακεδαίμονες, λευρὸν ἐπὶ τῶν πεπέρων κίμμα, μελίσφυρον εὑροῦσαί τινες τῶν ἰωνικῶν. Μελχισεδὲκ, ἑρμηνεύεται ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου.

Μελχισεδὲκ, τὸ χι, τὸ ἀπὸ παραδόσεως. μελχὶ, λέγεται βασιλεύς. τὸ σεδὲκ, εἰρήνη. λέγεται οὖν βασιλεὺς εἰρήνης, καὶ ἀνάγεται εἰς τὸν Χριστόν. Μιλχὸν, προσχίσματα, εἴδωλον καὶ τῶν. προσχίσματα γὰρ καὶ βδελύγματα, τὰ εἴδωλα προσαγορεύειν εἴωθεν ἡ γραφή. ἐπεὶ δηλοῖ τὸ μῖσος καὶ ἀποβλέπειν. Μιλωθρία, ἡ τῶν μιλῶν θέσις. Μίλω, ἐν ἐπιμελείᾳ εἰμί. Μιλωδία, ὑμνῳδία. Μιλωδοῦσι, μετ' ᾠδῆς ὑμνοῦσι. Μίλων, ἀρέσκων. Μεμαᾶσι, προθυμοῦνται. Μεμαγμένη μᾶζα, ἐπὶ τῶν ἑτοίμων ἀγαθῶν. Μεμαγμένην λέγει Λακεδαίμονας, ἀντὶ τοῦ παρεσκευασμένην, καὶ ἐν ἑτοίμῳ γεγονυῖαν. Μεμαθέσθαι, φιλοδιατρίβειν. Μεμακυκότα, τὰ μακρῶς φρονοῦντα, ἀποκτείνοντα. μακκῷ γὰρ καὶ λαμβάνω ἐγέγονεν εἶναι, τουτέστι βαρέως ἀκοῦσαι. ἢ παραφρονοῦντα, ληροῦντα. γέγονε παρὰ τὸ μάταιον κενὸν, ὃ δηλοῖ τὸν ἄνουν. ὅθεν ὁ καὶ ἐμμανὴς, παρὰ τὸ ἄνω καὶ τὸ κοῦ, ὃ σημαίνει τὸ νοῦ. Μεμηκῦαι, μηκώμεναι. μήκη γὰρ, ἡ τῶν αἰγῶν φωνή. βληχὴ δὲ, ἡ τῶν προβάτων. ὅθεν καὶ μηκάδες αἶγες. Μεμακυῖα, ἐκ τοῦ μεμηκυῖα, συστολῇ τοῦ η εἰς α. Μεμηκῦαι, γίνεται ἀπὸ τοῦ μηκῶ μηκάσω. δοκεῖ δὲ συγκεκόφθαι ἀπὸ τοῦ ἐκεῖθεν γεγονέναι δευτέρου παρακειμένου. ἰστέον δὲ, ὡς Ὁμήρου ἐπὶ οἴων εἰπόντος τὴν τοιαύτην λέξιν, οἱ μεθ' Ὅμηρον ἐπὶ αἰγῶν μὲν εἴθισαν λέγειν τὸ μηκᾶσθαι. ταῖς οἴεσι δὲ ἀπεκλήρωσαν, τὸ βληχᾶσθαι. Μεμαλισμένος, μεμαλαγμένος, ἢ παραφρονοῦντας, μαινομένους. Μέμαμεν, ἐκ τοῦ μῶ μάσω μέμακα, μεμάκαμεν συγκοπῇ.

Μεμάασιν, προθυμεῖσθαι, ἐπιθυμεῖν, βούλεσθαι, σπεύδειν, προθυμεῖσθαι. Μέμαρπεν, μάρπω, τὸ καταλαμβάνω, ὁ μέλλων μάρψω, ὁ ἀόριστος ἔμαρψα, ὁ δεύτερος ἔμαρπον, καὶ ἐκ τοῦ ἀναδιπλασιασμοῦ μέμαρπον, τὸ τρίτον τῶν πληθυντικῶν ἐμέμαρπον, καὶ ἀφαιρέσει μέμαρπον. Μεμαρπὼς, εἰληφὼς, ὁρμηκώς. Μέμασαν, οὐκ ἐκ τοῦ μαιμῶ, οὗ μέλλων ὁ μαιμάσω, ἀλλ' ἀπὸ τοῦ μῶ πρωτοτύπου τοῦ μαιμῶ. τοῦ δὲ τοιούτου μῶ παράγωγα καὶ ἡ μῆτις, καὶ ἡ μῆνις, ἔτι δὲ καὶ ὁ μοῦσος. οἱ γὰρ ἀρέσκονται τὸ μῶ, ἤγουν ζητῶ. καὶ τὸ μῶ, ὃ δηλοῖ προθυμοῦμαι. Μέμασαν, ἐκ τοῦ μῶ, τὸ προθυμοῦμαι. καὶ μεμαὼς, ὁμοίως ἐκ τοῦ μῶ μάσω μέμακα. μετοχὴ μεμακὼς, καὶ συγκοπῇ μεμαώς. μέμασαν ἐκ τοῦ μέμακα, τοῦ α εἰς α βραχὺ τραπέντος. Μεμαίεσθαι, ἐκπιάζομαι. Μεμαώτων, τὸ ὁρμᾶν ἐψυχωμένος προθύμως.

Μεμαστιγωμένος, καταργυρωμένος. Μεμαυῖα, προθυμουμένη, ἐπειγομένη. Μεμαχημένα, ἀπηχθημένα. Μεμαὼς, καὶ μεμαυῖα, ἀπὸ τοῦ μεμῶ μεμαῶσα. Μεμαὼς, προθυμούμενος. Μεμαὼς, ὁρμῶν, θέλων, σπεύδων, προθυμούμενος, πιστεύς. Μεμαὼς μεμαότος, βεβαὼς βεβαότος, τεθνεὼς τεθνεῶτος, ἑστὼς ἑστῶτος. μετοχαὶ ὁπόσαι τὰς εἰς ως διὰ τοῦ ο μικροῦ, αἱ πᾶσαι διαλλαγαὶ κλίνονται. κινεῖται δὲ διὰ τοῦ ω μεγάλου. Μεμαὼς, ἀντὶ τοῦ ὀργιζόμενος κεῖται, παρὰ τῷ Ἀπολλωνίῳ ἐν τῷ τρίτῳ. Μεμβλάσεται, συνελεύσεται. Μέμβλεται, μεμέληται, μέμβλεται. Μέμβλεν, ποιητικὴ λέξις ἐκ τοῦ μεμέλεν γίνεται. ὅπερ διὰ μελάνσεως ἦν, κατά τι συγκοπὴν, καὶ ἐπένθεσιν τοῦ β, διὰ εὐφωνίαν καὶ συστολὴν τοῦ παραλήγοντος η εἰς ε. Μέμβλεται, ἐν φροντίδι ἐστὶν, ἀπὸ τοῦ μέλω. καὶ μέμβλεσθαι, καὶ ἐπιμέλεσθαι. μεμέληται, μέμβλεται.

Μεμβλὶς, μῦλος, ὁ νοῦς. Μεμβλοκανίζω, οἴχομαι, ἔξω τοῦ βίου εἰμί. Μεμβλώκασιν, ἀντὶ τοῦ παραβαίνειν. ἢ μέμβλεταί μοι, ἀντὶ τοῦ μετ' ἐπιμελείας ἐγένετό μοι. Μέμβλωκα, ἐκ τοῦ μολῶ μολήσω μεμόληκα, συγκοπῇ καὶ πλεονασμῷ τοῦ β, καὶ τροπῇ τοῦ η εἰς ω μέμβλωκα καὶ περίμβλωκα. μέμβλωκεν, ἀντὶ τοῦ μεμόληκε, παρῆλθε. Μέμβλωκα, παραμένει. Μεμβλώστων, τυχόντων. Μεμβρὰς, εἶδος ἰχθύος. Μεμελημένος, πεπονημένος. Μεμίανται, μεμίαναν ται. Μεντὶ θεοὶ, ἀπείρακαι, καὶ οὐκ εἰδέναι ἡμαρτήκασι. ἄλλως, μεντὶ θεοὶ, οὐκ ἀπατηλοί. Μεμισημένοι, πεπληρωμένοι. Μεμετρήαται, μετρῶ, μετρήσω, μεμέτρηκα, μεμέτρημαι, καὶ ἰωνικῶς μεμετρήαται. Μέμηκε, βοᾷ. μέμηκε, κραυγάζει. Μέμηκεν ἡ γῆ, καὶ διέφηνε παρ' Ἡσιόδῳ. ἢ ἀντὶ τοῦ ἠχεῖ, ἢ ἀντὶ τοῦ συμπέπτωκε, συγκέκλεισται, διὰ τὴν πυκνότητα τοῦ κρύους. ὑπὸ γὰρ αὐτοῦ ἡ γῆ, καὶ τὰ λίθινα ἀνοίγεται. Μεμηκὼς, κεκραγώς. Μέμηλα, μέσος παρακείμενος. καὶ γίνεται κατὰ συγκοπὴν ἐκ τοῦ μεμέληκα, ὡς ἐκ τοῦ δεδάληκα τὸ δέδηλα, καὶ τοῦ βεβόληκα τὸ βέβουλα. Μέμηλε, διὰ φροντίδος ἐστὶ. μέλω σημαίνει, μελήσω μέλλων, μεμέληκα παρακείμενος, καὶ μέσος μέμηλα, ὡς βέβουλα. Μέμηλε, μέσος παρακείμενος ὑποτακτικὸς, ἐκ τοῦ μέμηλα. ὁμοίως τῷ ὄλωλα, ὀλώλει. Μεμηλὼς, φροντίζων, ἐπιμελούμενος.

Μέμηνε, μαίνεται. Μεμιασμένα, μεμολυσμένα, μεμιαμένα. Μεμιγμένοι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ συγκεχυμένοι. ἐπιμὶξ κείμενοι, ὃ ἀνάπαλιν ἔχει πρὸς τὸ κινούμενοι. Μίμμος, ὕπατος ἦρχε μαιμάξ, λιμὴν τῶν Ἀχαιῶν. Μεμισθαρνηκὼς, ὁ μισθῷ καμών. Μεμίχθων, μεμιγμένοι ἦσαν. Μεμνέων, ὅ ἐκ τοῦ μεμνέειν γίνεται κατ' ἔκτασιν τοῦ ο εἰς ου. ἢ ἀπὸ τοῦ μεμνέω, ὑπερθέσει τοῦ ε. ἐστὶ καὶ ἄλλα τοιαῦτα καὶ παρὰ Σοφοκλεῖ, τὸ ἀρχῆς δὲ τῆς μεθοδικῆς μεμνώμεθα. Μέμνω, ἀπὸ τοῦ μνῶ, κατὰ συγκοπὴν μνῶ καὶ μέμνηκα, ὁ μέλλων μνήσω, ὁ παρακείμενος μέμνηκα. μέμνω δὲ, τὸ κοσμῶ. Μέμνω, ἀντὶ τοῦ μέμνησαι παράλογον, ὅτι πᾶς παρακείμενος περισπώμενος, τροπῇ τοῦ η εἰς ω κατὰ τὸ δεύτερον, οἷον πεποίηται πεποίησαι, μέμνηται μέμνησαι, καὶ ἀποβολῇ τοῦ σ μέμνηαι ἰωνικῶς, καὶ κατὰ συστολὴν τοῦ η εἰς ε μέμνεαι, καὶ κρᾶσει μέμνῃ. Μέμνημαι, αἰτιατικῇ καὶ γενικῇ συντάσσεται παρ' Ὁμήρῳ, ὡς τὸ Τυδέα οὐ μέμνημαι, καὶ ὀλεσίθυμος μέμνηται. ὁππότε κλίνειν μάχεσθαι. Μεμνήμην, ἀνάλογον εὐκτικὸν κατὰ τὸ κέκλημαι κεκλήμην, καὶ τὰ ὅμοια. ὡς οἱ τεχνικοὶ κανονικῶς παραδιδόασι. Μεμνῶν, μνῶ κατὰ συγκοπὴν μνῶ, μνήσω μέμνηκα μέμνημαι

τὴν χαλκίδα ἔθνος μελιτεῦσιν. Μελίτη, ὄνομα νηρηΐδος, ἀπὸ τοῦ μελιτοῦσθαι διὰ τὴν τῆς καρδίας ἡδύτητα. ἐλέγετο δὲ πᾶσι, τὸ πλεῖν.

Μελίτη, δῆμος τῆς ἀττικῆς, ἐν ᾧ ἐμυήθη ἡρακλῆς, τὰ μικρὰ μυστήρια. ἔστι δὲ ἐκεῖ καὶ ἡρακλέους ἱερόν. ἐκλήθη δὲ ἀπὸ μελίτης νύμφης, ᾗ ἐμίγη ὁ ἡρακλῆς. ἐν μελίτῃ δὲ ὑπὲρ ἐπιφανέστατον ἡρακλέους ἱερὸν ἀλεξικάκου. Μελίτη νῆσος, ὁ ἐρυθραῖος πέλαγος, ἐρυθραῖος νῆσος μεταξὺ ἠπείρου καὶ ἰταλίας. ταύτῃ νῆσος παράκειται μελίτη, ἣ ὡς προβέβληται τοῦ παχύνου ἀκρωτηρίου τῆς σικελίας. ὁ δὲ ἐρυθραῖος πρὸ τοῦ σώματος τοῦ ἀδρίου.

Μελιτόμβροτον, ἡδύ, γλυκύ. Μελίτεια, τὰ βίτια. Μελιτίδης, μωρός τις ἦν. Μελίτιον, πόμα τι σκυθικὸν μέλιτος ἑψομένου σὺν ὕδατι, καὶ πόᾳ τινί. Μελιτωθῶν, ἡδυσμάτων. Μελιτόν, κηρίον, ἢ τὸ ἱερὸν πλακοῦς. Μελιτοῦτα πόλις, ἀπὸ τοῦ κρόκου καὶ ἑψημένου ἰσάκις, πρὸς τὸ προσιέναι μελίσσας.

Μέλισσα, ἡ μέλισσα. Μελισσοχεῖρ, τὸ κρατοῦντα ἔφορον ποιεῖν, ἵνα μὴ αἱ μέλισσαι προσπέτωνται. Μελιττοῦτα, μάζαν λέγουσι ἀπὸ μέλιτος δεδευμένην. ἔφθον δὲ ὡς ἐλέγετο τοῖς ἱεροῖς. λαοσφαλῆς προφάτας, δὸς μελιττοῦτα. δίδοται δὲ, ὥσπερ εἰς τροφώνιον. Μελιττοῦντα, πλακοῦντα. Μελίφρονα, προσηνῆ, καὶ ἡδεῖα. διὰ τὸ εὐφραίνειν τὰς φρένας, καὶ μελίφρων τὸ αὐτό. Μελίφρων, ὁ κατὰ τὴν τοῦ μέλιτος γλυκύτητα ἡδύς, παρὰ τὸ μέλι καὶ τὸ εὐφραίνειν. ἐλλείπει δὲ ἐνταῦθα τῷ ε̄ι διφθόγγῳ, ὡς καὶ ἐν ἄλλοις πολλοῖς. ἐν ἑτέροις δὲ τέλειον αὐτὴν περιττῶς, ὡς ἐν τῷ ἐπιφάμισαν. δηλοῖ γὰρ τὸ ἐπιβοήσαντα αὐτῆς. Μελίφυλλον, βοτάνη τις, ὃ καὶ μελισσόφυλλον, καὶ πράσιον. Μελίχλωρος, ὁ χλωρός. Μέλλειν, κρίνειν, νομίζειν, ποιεῖν. Μέλλησις, μελλησμός, βραδυτής, ὄκνος, τροφή, ἀποστροφή, ἀναβολή, ὑπερβολή, διατριβή, διατριβὴ, τριβή, ἀνάθεσις, ἔσοπτρος εἰς ἐπίδειξιν. ἡ δὲ τροφή τοῖς μελλονταῖς, νωθρεία δὲ καὶ νωθρότης καὶ ἀμβλύτης.

Μελλίβος, ὁ μισάνθρωπος, καὶ μὴ ὁμιλητικός, ἢ ὁ μὴ διαλελεγμένος. Μέλλει, ἀντὶ τοῦ βραδύνει, διὰ δύο λλ γράφεται. καὶ ἔστι καὶ μέλλω ὑπάρχοντος ἐπὶ μέλλοντος χρόνου. καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου, ἤτοι ἐνεστῶτος. οἷον μέλλω μετ' ἐπιὼν τὸ δεῖν. ἢ μετὰ μέλλοντος πρώτου, οἷον μέλλω ποιήσειν. συντάσσεται δὲ μετὰ ἀορίστου, οἷον μέλλω ποιῆσαι. μέλλω δὲ ἀντὶ τοῦ ὀφείλω μετὰ ἀορίστου. καὶ Ὅμηρος, ᾗ μὲν δὴ οὕτως μέλλω ἀνθρώπῳ τελέσαι.

Μέλλειν, ἀναβάλλεσθαι, ὀκνεῖν, τρίβεσθαι, διάγειν, ἀναβαλλέσθαι, ὑπερβάλλεσθαι, βραδύνειν, διατρίβειν, ὑπερτίθεσθαι, τραγῳδεῖσθαι. Μελλόγαμος, ὁ μέλλων ἀνὴρ γενέσθαι. Μέλλω ποιεῖν, καὶ μέλλω ποιήσειν. οἱ μέλλω ποιῆσαι, ἀλλὰ μετὰ τοῦ ἄν. μέλλω ποιήσειν ἄν. προστιθέασι τὸ ἄν, ἵνα τὸν παρῳχημένον διὰ τούτου μέλλοντα δείξωσιν. οἱ δὲ μὴ οὕτω γράφοντες, ἁμαρτάνουσι. Μέλλω διὰ δύο λλ, ἀντὶ τοῦ εἵμαρται, καὶ πεπρωμένον ἐστί. καὶ μέλλει, ἀντὶ τοῦ ἔοικε. καὶ πρὸς ἐνεστῶτα ὅτι παρ' ἐνεστῶσιν, ὃ πρὸς μέλλοντα ἀποδίδοται, οἷον μέλλω ἐρεῖν σοι χαρά. καὶ μέλλω διατρίβειν σοι, ἃ ἔλεγον. Μέλλειν, οἰκεῖν, ἐλπίζειν, προσδοκᾶν, φοβεῖσθαι, ὑπισχνεῖσθαι. συντάσσονται δὲ μέλλοντι, ἢ ἐνεστῶτι, οἷον μέλλω ποιήσειν τι, ἢ ποιεῖν, ὁμοίως καὶ τὰ ἄλλα.

Μέλλω εὔχεσθαι, ἤγουν ἔοικεν εὔχεσθαι δύναται εἶναι, καὶ ἀντὶ τοῦ ὀφείλεις. Μέλλουσι, ὑπερθέσεις. Μελλήσω, ἀναβαλοῦμαι, ἢ ὑπερθήσομαι. Μελλουργῶν, τὸ μέλλειν. Μελλήρης, μελλίφοβος. Μελλογαμβρός, μελλόνυμφος. Μέλλον ἐν ἀμφιβόλῳ ἄδηλος εἶναι, ἐπειδὴ ὡς εἴρηται ἀντὶ τοῦ ἔοικε. ἐκεῖ γὰρ εἶχεν ἄδηλος ὤν, παρὰ Ὁμήρῳ. Μελλονικιᾶν, τὸ βραδύνειν, καὶ ἀναβάλλεσθαι. Μέλλονται, ἀντὶ τοῦ φροντίδα ποιοῦνται, παρὰ Ἀπολλωνίῳ. μελλόντων, ἀντὶ τοῦ μελλόντων κεῖται παρ' Ὁμήρῳ, ἐν χ τῆς ὀδυσσείας. Μελλόπαις, ὁ ἀπὸ δέκα ἐτῶν, προκόπτων παῖς τῇ ἡλικίᾳ. Μέλλω, ἐπὶ τοῦ βραδύνω, ἢ ἐπὶ τοῦ ἐσομένου χρόνου, παρὰ Θεοκρίτῳ. Μέλλων ἐστὶν, ὅταν περὶ μέλλοντος χρόνου τι ποιήσω κατ' αὐτὸ λέγω. ὡς ὅταν ἐρωτηθείς, τί ἄρα ποιήσω αὔριον, εἴπω, ὅτι γράψω. μετ' ὀλίγον δὲ μέλλων ἐστὶν, ὅταν περὶ τοῦ ὄντος οὕτω μέλλοντος χρόνου τι κατ' αὐτό, ἢ τι ποιήσω, ἢ τι πείσομαι. ποιήσω μὲν, ὡς ὅταν περὶ τοῦ ὄντος οὕτω μέλλοντος χρόνου ἐρωτηθεὶς τί ποιήσω, εἴπω ὅτι γεγράψομαι. πείσομαι δὲ, ὅταν περὶ τοῦ αὐτοῦ χρόνου ἐρωτηθεὶς τί πείσομαι, εἴπω ὅτι γεγράψομαι. Μέλλων πρῶτος ἐνεργητικὸς γίνεται ἀπὸ τοῦ ἐνεστῶτος, καὶ δεῖ ἔχειν πρὸ τοῦ ω μεγάλου σ, ἢ δυνάμει σ ἐνεργείᾳ. δυνάμει, οἷον τύπτω τύψω, λέγω λέξω. ἐνεργείᾳ, πείθω πείσω, φράζω φράσω, ἀκούω ἀκούσω, ποιῶ ποιήσω, βοῶ βοήσω, χρυσῶ χρυσώσω, τίθημι ὁ θέω θήσω, ἵστημι ὁ στάω στήσω, δίδωμι ὁ δόω δώσω. ἀλλὰ δόω ἄχρηστόν ἐστι, χωρὶς τῶν ῥημάτων τῆς πέμπτης συζυγίας, ὧν ὁ μέλλων ὡς ἐν λόγῳ πλεονασμὸς διὰ τοῦ αὐτοῦ ἀμεταβόλου ἐκφέρεται, οἷον ψάλλω ψαλῶ, νέμω νεμῶ, φαίνω φανῶ, κρίνω κρινῶ, σπείρω σπερῶ. αἰσθάνεσθαι δὲ μετὰ τοῦ σ, καὶ παρεξετείνας τούτων τῶν ῥημάτων τοὺς μέλλοντας λέγουσιν, οἷον ψαλῶ ψάλσω, νεμῶ νέμσω, φανῶ φάνσω, κρινῶ κρίνσω. καὶ τὴν αὐτὴν ἀπὸ ἐνεστῶτι ἔχει ἀρχήν, χωρὶς τοῦ θρέψω καὶ θρέψω. ὧν ὁ ἐνεστὼς διὰ τοῦ τ γράφεται, οἷον τρέφω τρέχω. καὶ χωρὶς τοῦ ἕξω, οὗ ὁ ἐνεστὼς ψιλοῦται, οἷον ἔχω. ἔχει δὲ ὁ μέλλων παραλήγουσαν ἴσην ἀπὸ ἐνεστῶτι, ἢ μείζονα. οὐδέποτε δὲ ἐλάττονα, χωρὶς τοῦ πήγω πήξω, ἐρύκω ἐρύξω, καὶ φήγω φήξω. ὧν ἡ παραλήγουσα τοῦ ἐνεστῶτος, τῇ φύσει ἐστὶ μακρά. ἡ δὲ τοῦ μέλλοντος θέσει, καὶ χωρὶς τῶν ῥημάτων τῆς πέμπτης συζυγίας. ὧν ὁ μέλλων συστέλλει τὴν παραλήγουσαν, οἷον ψάλλω ψαλῶ, κάμνω καμῶ, φαίνω φανῶ, σπείρω σπερῶ. εἰσὶ καὶ ἃ ἐναντίον τούτοις πάσχουσιν, οἷον πλέω πλεύσω, ῥέω ῥεύσω, πνέω πνεύσω, ὧν ὁ μέλλων προσλαμβάνει τὸ υ. Σημείωσαι καὶ τὸ καίω καύσω, καὶ κλαίω κλαύσω, ὧν ἡ παραλήγουσα τοῦ ἐνεστῶτος διὰ τῆς αι διφθόγγου. ἡ δὲ τοῦ μέλλοντος, διὰ τῆς αυ γράφεται. Σημειωτέον δὲ ἔτι, ὅτι οἱ μέλλοντες τοῖς ἐνεστῶσιν ἰσοσύλλαβοί εἰσιν, οἷον τύπτω τύψω, ἀκούω ἀκούσω, χωρὶς τοῦ θελήσω, μελήσω, ὠφελήσω, βουλήσω. ὧν οἱ ἐνεστῶτες οὐκ εἰσὶ θέλω, μέλω, ὀφείλω, βούλω, ἀλλὰ θελέω, μελέω, ὠφελέω, βουλέω. Σημείωσαι ἔτι, τὸ θήσω, στήσω, δώσω, ὧν οἱ ἐνεστῶτες οὐκ εἰσὶ τίθημι, ἵστημι, δίδωμι, ἀλλὰ θέω, στάω, δόω. τὰ γὰρ εἰς μι ῥήματα, οὐκ ἔχουσι τὸν μέλλοντα. ἀλλὰ μόνον τὸν ἐνεστῶτα, καὶ παρατατικόν, καὶ δεύτερον ἀόριστον. αὔξω, ἀλέξω, καὶ ἕψω βαρύτονοι οὐκ εἰσὶ μέλλοντες, ἀλλὰ ἐνεστῶτες ἀττικοί. κοινοὶ γὰρ περισπῶσι, καὶ λέγουσιν αὐξῶ, ἀλεξῶ, ἑψῶ. τὰ γὰρ εἰς ξω καὶ ψω λήγοντα ῥήματα, περισπῶνται, οἷον διψῶ, κισσοδεξῶ, φιλοδοξῶ, ἀδοξῶ, αὐξῶ, ἀλεξῶ, ἑψῶ. αὔξω δὲ καὶ ἀλέξω καὶ ἕψω ἔθει ἀττικῶν ἐκ τῶν περισπωμένων γεγόνασι βαρύτονα, ἀλλὰ αὐτῶν οἱ μέλλοντες, οὐκ ἐκ τῶν βαρυτόνων ἀττικῶν, ἀλλὰ ἐκ τῶν περισπωμένων γίνονται, οἷον αὐξέω αὐξήσω, ἑψέω ἑψήσω, ἀλεξέω ἀλεξήσω.

Μέλλων δεύτερος ἀπὸ τοῦ πρώτου μέλλοντος ἔχων ἀρχὴν γίνεσθαι ἐκ τοῦ δευτέρου ἀορίστου, τὸ χαρακτηριστικὸν σύμφωνον, ὃ φυλάττει, ἐπεὶ πρὸ τοῦ ον ἐν τῷ δευτέρῳ ἀορίστῳ τίθεται, προσλαμβάνων, οἷον τύπτω τύψω, ἔτυπον δεύτερος ἀόριστος ἔτυπον. τυπῶ μέλλων δεύτερος, χαίνω χανῶ, ἔχανον χανῶ. τυφθήσομαι μέλλων πρῶτος παθητικός, γίνεται ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ πρώτου ἀορίστου παθητικοῦ, ἐκβολῇ τοῦ ε κατὰ τὴν ἀρχήν, καὶ προσθήκῃ τοῦ σομαι, οἷον ἐτύφθην ἐτύφθης τυφθήσομαι. τυπήσομαι, μέλλων δεύτερος παθητικός, ὁμοίως ἀπὸ τοῦ δευτέρου προσώπου τοῦ δευτέρου ἀορίστου παθητικοῦ γίνεται. ἀποβολῇ τοῦ ε, τοῦ κατὰ τὴν ἀρχήν, καὶ προσλήψει τοῦ σομαι, οἷον ἐτύπην ἐτύπης τυπήσομαι, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

Μέλλων μέσος γίνεται, ἀπὸ τοῦ ἐνεργητικοῦ μέλλοντος,

γενή-

μετὰ ἀπαρεμφάτου, ἤδη ἐνεστῶτος, οἷον μέλλω ποιεῖν τὸ δεύτερον. ἢ μέλλοντος πρώτου, οἷον μέλλει πολεμεῖν. αὐτὸ τοῦτο δὲ μετὰ ἀορίστου, οἷον μέλλω ποιῆσαι. μέλλω δὲ ἀντὶ τοῦ ὀφείλω, μετὰ ἀορίστου. Μελεϊστὶ, κατὰ μέλος τι κόπτειν. Μελίρρυτος, τῶν παίδων οἱ πρεσβύτεροι. Μέλεον, μάταιον, ἄθλιον. Μέλεος, ἄθλιος, μάταιος. μελέη δέ οἱ ἔπλετο αὐτή. παρὰ τὸ λῶ τὸ θέλω. καὶ ἰωνικῶς λέος, καὶ μέλεος, ὃν μὴ θέλομεν. οὐδεὶς γὰρ θέλει τὸν μάταιον. εἶτα συστολῇ τοῦ η εἰς ε, μέλεος. οἱ μέλεοι μὲν τλῆτε ἰμὰ παρὲξ θέσφατα βῶσαι ῥυβανομενοίω ποταμὸν, ἀλεκκόντε μίλαιναν. ποταμός ἐστιν ὁ ῥύβας πλησίον τῆς Βιθυνίας, παρ' ᾧ ἀκτή ἐστι μέλαινα. Μελεζὸν, παραιτικὸν, κινητικόν. Μελετᾷ, γυμνάζεται, ἀσκεῖ. καὶ μελετῶ, παρὰ τὸ μέλλω. οὕτω παρὰ τὸ μέλι. καὶ τὸ ἐτεὸν, τὸ ἀληθὲς, ὅ ἐστιν ἡ ἀληθινὸν εὐκαίρως. ἢ παρὰ τὸ μέλειν, τὸ φροντίζειν. τὰ γὰρ μαθήματα, φροντίδων πολλῶν ἐστὶν ἄξια. Μέλεται αὐτῷ, ἀντὶ τοῦ μέλει. ἦ γοῦν φροντίς ἐστι. Μελετάω, ῶ, τὸ ἀσκῶ, αἰτιατικῇ συντάσσεται. Λυσιστράτης, οὔτε τέχνην, οὔτε σοφίαν μελετῶσιν οὐδένες. μελετῶν δὲ ἁπλῶς ἐκ τοῦ μελετῶ μελετητικοῦ, μελετῶν, ῶ, ᾶ. μελετᾷ, ἀσκεῖ, γυμνάζεται. Μελέτη, ἄσκησις, ἐπιμέλεια. καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελέτας τῶν γυμνασίων τὰς χωρὶς αἵματος παρατάξεις, τὰς δὲ παρατάξεις τὰς μεθ' αἵματος, μελέτας. Μελετητήριον, οἶκος, ἢ ὄργανον ἐν ᾧ τις μελετᾷ, ἢ χωρίον. Μελετώμενοι, διδασκόμενοι, ἐκμανθάνοντες. διώκουσι τῶν αὐτῶν ἁπλῶς μὲν τὸ πρῶτον παραινοῦντες δὶς γυμνάσαντες αὐτοὺς, μελετώμενοι ὑπ' αὐτῶν τὴν ἄσκησιν. ἐκ δὲ ἀλλοιώσεως, ὅπερ αἰτίαν ἀναγκαίαν καὶ τοῖς ἄλλοις τε ἐκεῖ λίχνους αἴθονται, οἱ μέλλοντες ἔνα πρὸς τῷ πεπεμμένους. Μελέτωρ, ὁ ἐπιμελούμενος. ἐκ μυρός τοῦ πατρός. ἐφαίνω γὰρ μελέτωρ, ἀμφὶ τὸν ἐν πάθει. Μελετῶν, οἶκος ἐν ᾧ οἱ τραγῳδοὶ ἐμελέτων. Μελέων, ἐκρῶν. Μέλη, τὰ γένη. καὶ μέλη, καὶ σκέλη. ἢ συνωνύμως ἀπὸ τοῦ μεμερίσθαι μέρη, καὶ μέλη. ἢ ἀπὸ μεταφορᾶς τῶν μουσικῶν μελῶν. ἐπειδὴ παρὰ τούτοις ἐλέγετο οἱ ἄνθρωποι μετὰ ἁρμονίας συνεστάναι. οὕτω καὶ τὰ σώματα, οὕτω Χοιρόβοσκος. Μελεδὼν, κατὰ μέλος. καὶ ἐπίρρημα εἰς μικρὰ μέρη καὶ μέλη κοπτόμενον. Μελεδὼν, ταλαιδὼν, φροντίς, ὠδή. Μέλημα, φρόντισμα. Μέλην, διασκεδάζω, τὴν διασκεδάζει δηλοῖ παρὰ τὸ ἐπικρατεῖν. Μέλιον, πλατεῖαν τὴν ἀπὸ τῆς μίλης. μέλος τὸ πλατὺ τὸ κυάθιον, τοὺς ὀφθαλμικοὺς μέλης καὶ ἐκ τοῦ ἐπικρατεῖν. καὶ μέλη χωρὶς τῶν πραγματικῶν μέλη. Μελήσας, ἀμελήσας, βραδύνας, καὶ ἐπιμελεσάσας. Μέλης, μέλητος. ὁ τοῦ Ὁμήρου πατήρ. Μελήσεται παρ' Ὁμήρῳ, καὶ κατανοήσομαι, ἀπλῶς, τὰ κοινὰ μελήσει, καὶ κατανοήσω. Μελησία, ὄνομα κύριον. ὁ δὲ ὁρᾷ τὴν μελησίαν, καὶ ὁρᾷ αὐτήν. Μελησμὸς, ὁ βραδύτης. Μελήσω, ἀμελήσω, φροντίσω. Μέλι τὸ, φέρουσαι ἄνθρωποι, ἢ ἔργον μελισσῶν. Μελία, καὶ μελίας ἡ λίθος, ἡ αὐτὰ μελία ἐστὶ λίθου. οὐχ ὡς ἐνταῦθα λέγεται τὸ μαλερὸν. καὶ ἰσχνὰ ἐχούσα παρ' Ὁμήρῳ, τὰ ἐξ ὅρμης τοῦ δίφρου αἰτία ἐξία. Μέλιον, τὸ ἴχνος λέγει Ὅμηρος, ὃν τρόπον καὶ δόρυ. τὴν ἰδιαίτερον μὲν γενικῶς, τὸ δὲ ἀπὸ εἴδους λίθου μελίας. διὸ καὶ μέλιον τὸ δένδρον μετωνυμικῶς. ἄλλως δὲ τὸ μελία ὁμωνύμως τῶν ἐγγέων τῶν ὅπλων, ὡς γάρ που ἐλέφας τὸ ἐξ ἐλέφαντος ἐστὶν, οὕτω καὶ μελία, τὸ ἐκ μελίας δόρυ. Μελίας λακρος, τὸ τῶν ἀνθρώπων γένος. Μελίβοιαι, μίλια. Μέλι, τὸ δὲ γλυκὺ μέν ἐστι τῶν αἰσθητῶν, μέλαν δὲ τὴν ἀναίδειαν. χολῆς δὲ ποιητικὸν αὐτό φασιν εἶναι καὶ τρέπειν τοὺς χυμοὺς εἰς δύναμιν τῆς γεύσεως, ὃ δὲ καὶ μᾶλλον τὸ ἐκ φύσεως αὐτοῦ πικρότατον κατηγορεῖ τὴν γένεσιν. Μελίβοια, πόλις Θεσσαλίας. Μέλι, παρὰ τὸ μέλω τὸ φροντίζω.

Μελίβοιον, τὴν ὁλοχώραν πόλιν. Μέλιγγες, ἐλαφρὰ ξύλα θαλάσσης, παρὰ τὴν μελίαν τὸ ξύλον. ἀκρὶ δὲ ἐκ δύο τὴν πῦρ, τοὺς δὲ τὴν μέλαν, ἢ τὴν δι' αὐτοῦ μελισμόν. Μελίγηρυς, εὔφωνος. Μελίγλωσσος, εὔφωνος, ἡδύφωνος. Μελίγηρυς, εὔφωνος, ἡδύφωνος. Μελίζωνος, ἀλεκτοφθαλμος. Μελιτοεις, οὕτως ὁ λιπαρὸς ἐκαλεῖτο τόπος, καὶ μία τῶν ἀφροδίτης θυγατέρων. Μελίζειν, πόας τι συνθεῖον, γινόμενον ἐκ μόνου μέλιτος, μεθ' ὕδατος βοτάνης ἐμβαλλομένης. Μελίφωνος, μέλιτι ὅμοιον. Μελίζωρος, γλυκεῖα. Μελιά, δόρυ. Μελιηδέα θυμὸν ἱστᾶσιν, ἢ φίλον ἦτορ ὁμοίως ἔχει. καὶ ὅρα, ὡς οὐ μόνον οἶνος μελιηδὴς, καὶ πυρὸς μελιηδὴς, ἀλλὰ καὶ παρ' Ὁμήρῳ θυμὸς μελιηδὴς, ἤγουν ἡ ψυχὴ λέγεται. Μελιηδής, μελιτώδης, ἥδιστον, διὰ τὸ ἡδύ. τοῦτο παρὰ γὰρ παρὰ τὸ μέλι. ἐστὶ δὲ ὡς μέλι ἡδύ, διὰ τὸ ἡδέσιμον. Μελιηδέος, ἡδυτάτη, γλυκυτάτου. Μελίην, τὴν ἐκ μελίας, ὃ πύρ ἐστι δόρυ. Μελίκρατα, μέλιτι μεμιγμένα βρωτὰ τροφή. Μελίκηρα, τὰ ὑπὸ τῶν γεωργούντων συντελούμενα ἐμφερῆ κηρίοις ἐν τῇ θαλάσσῃ. Μελικηρίς, εἶδος ἀμπέλου, καὶ πόα τις, καὶ πάθος ἐπίμετρον, μελιτώδης ὑγρὸν ἔχον. Μελίκρατον, οἱ παλαιοί μέτρια φασὶ μέλιτος ἢ γάλακτος. οἱ μὲν τοι μεθ' Ὅμηρον, μέλι καὶ ὡς ἄρτι κεράμενος μέλιτος καὶ ὕδατος ὃ μελίκρατον οἶδασι. νεφάλιον δὲ πόμα. ἐκ δὲ τοῦ ἐξ ὕδατος, οὕτω καὶ ἐν μελιώδεσι ψυχαῖς φέρειν, ὁ ἔλαιος ὥς ἐκ ἄλλου. Μελίλωτος, πόα τις, καὶ λωτοῦ εἶδος. Μελίνος, εἶδος ἀμπέλου. Μελίνη, εἶδος ὀσπρίου, καὶ μέρος τι τοῦ πολύποδος. ἢν δὲ ὁ σῖτος ἂν μελίνης. ἐστὶ δὲ, εἶδος ἐκ κεγχρίου νομίζουσι τὴν μελίνην, ὃ πὴρ ἐκ τοῦ καλεῖν ἔλυμον ἰδόντες. Θεόφραστος δὲ ἐν ἱστορίᾳ περὶ φυτῶν, ὡς διαφέροντα ταῦτα ὁμοῦ γράφει, κέγχρον, ἢ μελίνην, ἢ ἔλυμον. Μελίσσι, κατα[...]. Μελίσσεται λυρικῶς, ἄγει μελίζει, ᾄδει, ἀλλὰ λιγυρῶς. μέλι γὰρ, τὰς ᾠδὰς ἔλεγον. Μελίσματα, ᾄσματα.

Μελισμὸς, τὸ μελῶν ὁ διαιρέσεις, ἐκ τοῦ μελίζω. Μελισσα, ὀβολός, ὅ ἐστι μέρος φαρμακώδους. Μελισσαῖος, ὁ ξενός. Μέλισσαι, αἱ τῆς δήμητρος μύσταις. Μέλισσα, παρὰ τὸ μάλιστα ἐφιζάνειν, ἢ παρὰ τὸ μέλι τῇ γῇ νεῖσθαι. Μέλισσα κατὰ τὰς παλαιὰς λέγεται, ὡς μάλιστα ἐφιζάνουσα, ἢ τὸ χρήσιμον ἐκ τοῦ καρπῶν ἐκλέγουσα. παρὰ τὸ μᾶλλον ἀναλαβεῖν, ἢ τήκειν, ὃ ἐδόθη αὐτῇ ὃ συναλίσκει εἰς τὸ. ἴσως δὲ καὶ ὅπου μῆλα πάντα τὰ θρέμματα, ὡς ἐν τοῖς εἴδεσι τοῦ τῶν προβάτων κατὰ λεξικὸν, οὕτω καὶ τὰ ἐκτρέφουσα μῆλα ἐνταῦθα, ὡς ἐκ τῆς τῶν μήλων ἐπάρας, διὸ ἔσα τὰ ἀφελίμματα θρέμματα. Μελισσών, μελισσεύς. Μελισσώς, μέν, τροφὸν, παρὰ σπῆλον, παρ' ἑτέροις, πρὸς ἐπὶ αὐτὸ ἄγειν.

Μελίσιον, τὸ μῆλον. Μελίσσα, ὄνομα πόλεως, καὶ χωρίον, ὅπου ἐργάζεται τὸ μέλι. μελίσσιον, κέρας. ἀπὸ μελισσῶν ἐκρίθη. Μελισσονόμοι, οἱ τῶν μελισσῶν ἐπιμελούμενοι.

Μελιτοῦσα, ἡ γλυκεῖα λίθος, ἢ μέλιτι πεφυραμένη.

Μελιτάχρως, γλυκεῖας. Μελιτῶ, κατὰ μέλι. Μελιταῖον κυνίδιον. τὸ κυνῶν οἱ μὲν ἰχνευτικοὶ. οἱ δὲ ὅμοιοι τοῖς θηρσὶ χερσὶν. οἱ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων οἰκουροί. οἱ δὲ ἐπὶ τέρψει, ὡς τὰ μελιταῖα κυνίδια, ἐν μελίτῃ νήσῳ, ἐπὶ τέρψει τρεφόμενα. Μελίτεια, πόα τις, ἣν ἔνιοι μελιτόφυλλον. ἄλλοι μελισσόφυλλον. Μελιταῖον, κυνίδιον μικρόν. Μελίτη, ὄνομα νήσου διάφορα, ἐκ μέλιτος τὸ ὄνομα. Μελιτία, εἶδος βοτάνης, ἢ κοινῶς λέγομεν μελισσοβότανον. ὁ δὲ φύλλον ἔχει πλατύ.

Μελίτη, εἶδος βοτάνης γλυκυρριζούσης. Μελίτειον, ὄρος Μακεδονίας. Μελιτεὺς, πάππος τοῦ Φιλίππου μελιτεύς ἐστι. καὶ πόλιν αὐτὴν ἐκτιμήσας, ἴσως μὲν διὰ Λαοδίκεια, ἐπεὶ καὶ πρῶτον αὐτὸν φασὶ πολλαχοῦ. ἴσως δὲ, καὶ ὅτι μύλωνα ἐδείκνυτο, ἐν οἷς οὗτος ἐτρέφη. Μελιτεὺς οἶκος, ἐν τῷ τῆς μελίτης δήμῳ, οἰκός τις ἦν παμμεγέθης, εἰς ὃν οἱ τραγῳδοὶ ἐμελέτων. Μελιτόπηκτα, τὰ ἐκ χλω-

γος τὸ λείπεται, οὕτω καὶ ὁ μέλανθος ἀπὸ τοῦ μελάνθιος, ἐπίθετον δὲ τοῦ κυανελλῶνος ὁ μέλανθος. σημαίνει σύμβολον ἴσως ἐν τῶν κατὰ θάλασσαν ἐπιθέτων ἀναπληχθείη. ἵνα ᾖ τὸ μὲν μέλαν, διὰ τὸν μέλανα πόντον. τὸ δὲ ἄνθος, διὰ τὴν πολιὰν θάλασσαν.

Μέλανθος, προσηγορικὸν ἀπὸ τοῦ μελάνθιος, ὡς κάστος κάστιος.

Μέλανθος ὁ κυανελλὼν παρ' Ἀθηναίοις. ἐπωνυμίας ὁ αὐτὸς παρὰ Δωριεῦσι. Μελάνιππος, στρατιώτης. Μελανοκάρδιον πέτραν λέγει Ἀριστοφάνης, διὰ τὸ λίθινος τὸ φοβερόν. οὐ γὰρ ἔχει καρδίαν ἡ πέτρα. ἐκ μεταφορᾶς τῶν ἀγρίων ἀνθρώπων, οὓς διὰ τὴν ἐνοῦσαν αὐτοῖς ἀγριότητα, μελανοκαρδίους φασί. Μέλανος τοῦ θηρευτοῦ, παρ' Ὁμήρῳ λέγοντος ἔχει πολλοὺς παρὰ τοῖς παλαιοῖς. Ἀρίσταρχος μὲν φασὶ μέλανος [illegible], τουτέστι, μέλανος ἴσως. ὧ ἀντιλέγοντες [illegible] οὕτω, φασὶν οὐκ οἶδεν ὁ ποιητὴς τὸ ἐγκλίνειν. ἀλλὰ [illegible] λέγει, [illegible]. ἄλλοι δὲ, μελανόσσου γράφουσιν, ἤγουν μέλανας ἔχοντος ὀφθαλμούς. οἱ δὲ γράφοντες μελανόσσου, ὅτι μέλανα ἔχοντος ὄσσα, εὐθύνας πολλὰς διδόασι τοῖς τεχνικοῖς. ἤγουν ἐὰν ἐν ἄρθρῳ γράφῃ αὐτοῦ μέλανος τοῦ θηρευτοῦ, ἐν καὶ μελανοστέρου συνθέτως φασί, τὸν καὶ φωνοφόνον μελανὸν μὲν φασὶν ὄντα, τῶν ἄλλων δὲ ἰσχυρότερον. Μελανοσυρμαῖον λέοντα, μέλανα καὶ συρμαιζόμενον. συρμαία δὲ ἐστὶν εἶδος πόμα. λέγεται δὲ ἐπὶ τοὺς αἰγυπτίους. Μελανόφρυς, λασιόφρυς, βαθεῖα. Μελανοχροιὴς, ὁ μέλαιναν χροιὰν ἔχων. Μελάντατον, μελανὸν, κατὰ ἐπίτασιν. Μελάντειοι εἰσὶ, δύο σκόπελοι οὕτως ὀνομαζόμενοι, ἀπὸ μέλαντος τοῦ κατασχόντος τὴν χώραν, τὴν προσηγορίαν ἔχοντες. Ἀπολλώνιος. Μελανοβλέφαρον, τὴν [illegible], ἡ καὶ περὶ τοὺς ὀφθαλμοὺς γίνεται, παρὰ τῷ Ἱπποκράτει. Μελαντημίδιος, οἶνός τις οὕτω καλεῖται. Μελάντιος χοιρὰς, ἡ χοιράδες, ἤγουν σκόπελοι, ἡ ἡ πρὸς τάξιν τοῦ πόρου μελάντιος.

Μελάνυδρος κρήνη, οἱ μὲν διότι καθόλου τὸ ὕδωρ μέλαν εἶναι δοκεῖ μὴ φωτιζόμενον, ἀλλὰ καὶ ὡς ἐκ βάθους ἀνάγουσα τὸ ὕδωρ. Μελάνυδρος [illegible], ἡ ἡ βαθύυδρος, καὶ διὰ τοῦτο Διονύσιος, ὃς ἐστι καὶ [illegible], μὴ μέλαν ἄλλως τὸ ὕδωρ.

Μέλας πόντος, παρὰ τῷ Ἀπολλωνίῳ οὕτω λεγόμενος, ὡς ἱστορεῖ Εὔδοξος ἐν δ' τῆς περιόδου. ἐπειδὴ δὲ αὐτοῦ εἶναι τὴν [illegible] φασίν. ἢ δὲ οὕτω λέγεται, καὶ Ὅμηρος λέγει, ἰόεντι μέλανι πόντῳ. ὠνομάσθη δὲ ἀπὸ μέλανος τοῦ φρίξου υἱοῦ [illegible], ἢ ἀπὸ ποταμοῦ μέλανος καλουμένου, ἐκεῖ ῥέοντος. Μέλας, ὁ μὴ βλεπόμενος. παρὰ τὸ μὴ καὶ τὸ λάω τὸ βλέπω. Μέλδω, τήκω, ἕψω, φθείρω, ἐκκενῶ. Μέλδειν κυρίως ἐστὶ, τὸ τὰ μέλη ἔδειν, οἷον μελίδειν, καὶ μετοχὴ μελδόμενος. Μελδόμενος κνίσῃ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ τήκων τὸ λίπος τοῦ κρέατος. γίνεται δὲ τὸ μέλδειν, ἀπὸ τοῦ μέλι δαίειν, ὅ ἐστι καίειν. καὶ ἔστιν ἡ φράσις καινή. ὤφειλε γὰρ εἰπεῖν [illegible], ἕως τέλειον ὁ λέβης τῶν κνισῶν. Ὅμηρος δὲ ἀντὶ παθητικοῦ [illegible] μελδόμενος λέγεται [illegible] τῇ κνίσῃ, τουτέστιν οἱ ἐκ χαλκοῦ ποιηθέντες ὁ λέβης [illegible] ἄτμητος καὶ ἄτηκτος, ἀλλὰ τὸ ἐντὸς αὐτοῦ λίπος. καὶ ἔστι τὸ σχῆμα ὅμοιον τῷ, [illegible] μάχη ἐγείρετο, [illegible] ἐγχέων φρασσόντων ἡ μάχη, [illegible] αὐτοῖς λέγονται. οὕτω κἀνταῦθα τῆς κνίσης μελδομένης, ὅ ἐστι τηκομένης, ὁ λέβης τῇ κνίσῃ λέγεται μέλδεσθαι. τινὲς δὲ τὰ κνίσα φασὶν οὐδέτερος, [illegible] τὸν λέβητα τήκων τὰ κνίσα, τουτέστι τὰ λίπη ἐν τῷ [illegible]. Μελδόμενος, τηκόμενος. Μέλδοντες, τήκοντες, ἕψοντες. γίνεται βοῶν μέλδοντες, τουτέστιν ἕψοντες. καὶ κνίσῃ μελδόμενος, ἀντὶ τοῦ μέλδων τὰ κνίσα. Μελεάγρια, ῥίζας [illegible] μελεαγρίων, καὶ καρδίας [illegible] ἐλεφαίροντο. λέγονται δὲ καὶ μελέαγρος. Μελεαγρίδες, ὄρνια ἅπερ ἐγένοντο ἐν τῇ ἀκροπόλει. λέγουσι δὲ οἱ μὲν, τὰς ἀδελφὰς τοῦ μελεάγρου μεταβαλεῖν εἰς τὰς μελεαγρίδας ὄρνιθας. οἱ δὲ, τὰς συνήθεις [illegible] τῆς ἐν Λέρῳ παρθένου, ἣν τιμῶσι [illegible]. Μελέαγρος, κυριακὸν ὄνομα, ὦ δηλαδὴ μέλει ἄγρας. Μελέαγρόν φασι περιγενόμενον τοῦ συὸς, καὶ ἀποδείξαντα δοῦναι τὴν αὐτοῦ κεφαλὴν καὶ τὸ δέρμα τῇ ἐρωμένῃ ἀταλάντῃ. καὶ γὰρ καὶ αὐτὴ συνεκυνήγησεν. οἱ δὲ θεῖοι παῖδες [illegible] μὲν ὄντες, μήτρωες δὲ μελεάγρου, ἔτι δὲ θεῖοι τὰ πρὸς μητρὸς, ἀγανακτήσαντες, αὐτὰ τῆς ἀταλάντης ἀφείλοντο βίᾳ, καὶ μελεάγρῳ [illegible]. ὁ δὲ [illegible], δύο τοὺς ἀπέκτεινεν, ἐφ' οἷς καὶ τὴν μητέρα ἐλύπησε. τὸν δὲ πλευρωνίων διὰ ταῦτα καλυδωνίοις πολεμούντων, ὁ μελέαγρος ἐξ αὐτῆς μὲν οὐ συνεμάχει τοῖς ἐν καλυδῶνι συμπολίταις, ἀγανακτῶν πρὸς μητέρα καταρωμένην. πεισθεὶς δὲ ὕστερον τῇ γυναικὶ κλεοπάτρᾳ, ἀπώσατο [illegible] ἐκ τῆς πόλεως τοὺς κουρῆτας. οἱ δὲ αὖ [illegible] προσιστοροῦσι, καὶ ὡς ἡ μήτηρ ἐκμηνίσασα τῷ υἱῷ μελεάγρῳ, διὰ τοὺς ἀδελφοὺς τὸν παρὰ μοιρῶν αὐτῇ δοθέντα δαλὸν ὅρον ὄντα τῆς τοῦ υἱοῦ ζωῆς κατέφλεξε. τελευτήσαντος δὲ [illegible] αὐτοῦ, μεταμεληθεῖσα [illegible] ἑαυτὴν κατέκαυσεν ἐπὶ τῇ τοῦ παιδὸς πυρᾷ. αἱ δὲ τοῦ μελεάγρου ἀδελφαὶ ἐκπαύστως θρηνοῦσαι, εἰς ὄρνις τὰς λεγομένας μελεαγρίδας μετεβλήθησαν. [illegible] ἦν ἐνταῦθα [illegible] ἀγαθὸς [illegible] φίλτρον. [illegible] τὸν βίον, ὡς καὶ [illegible] αὐτόν. [illegible] ὁ ἀμφὶ συὸς κεφαλῇ, [illegible] τῷ πρώτῳ βαλόντι ἔλαφον, ἢ αἶγα, ἢ σῦν, ἢ κεφαλὴν, [illegible] τῆς βολῆς. ὁ δὲ ἐπιχώριος λέγει, ὅτι ὡς [illegible] περὶ μέρους τῆς χώρας ἐμάχοντο κουρῆτες, καὶ αἰτωλοί. καὶ ὅτι θέστιος ἀλθαίας πατὴρ κουρήτων ἄρχων, [illegible] πλευρῶνος, καὶ ὡς πόλεμος τοῖς [illegible] πρὸς οἰνέα καὶ μελέαγρον. [illegible] ἦν. Μελεδαίνειν, ἐπιμελεῖσθαι. Μελεδαίνω, φροντίδα ἔχω. Μελεδανθείων, ἀντὶ τοῦ μεριμνῶν θεραπευτῶν. μελεδαίνειν δὲ λέγεται ὁ μεριμνᾶν. Μελεδαίνειν, ἐπιμελουμένων, παρὰ τῷ Ἱπποκράτει. Μελεδήματα, αἱ φροντίδες, [illegible] παρὰ τὸ τὰ μέλη ἔδειν. [illegible] μελεδῶνες. Μελεδήματα ψυχῆς [illegible] αἱ μελεδῶναι λέγονται, ὡς τὰ μέλη ἔδουσαι καὶ τήκουσαι. ὅθεν καὶ ὕπνος ἐτυμολογεῖται [illegible]. ὡς [illegible] λύων [illegible] ὁ [illegible], ὥσπερ καὶ ὁ θάνατος. διὸ καὶ ἀδελφοὶ [illegible] ὕπνος καὶ θάνατος. καὶ λυσιμελεῖς ἄμφω λέγονται. Μελεδήματα, μεριμνήματα. [illegible] Μελεδῶναι, αἱ τὰ μέλη ἔδουσαι φροντίδες. ὅθεν Ἡσίοδος [illegible] αὐτὰς λέγει, τὰς ἕως κόρον τὰ γυῖα [illegible]. καὶ οἱ αἰολεῖς [illegible]. Μελεδῶναι, [illegible] ἡ μελεδών, [illegible] ἐστὶν ἀμφιβάλλειν. γίνεται δὲ ἀμφότερα παρὰ τὸ τὰ μέλη ἔδειν. [illegible]. Μελεδωνὸς, ὁ φροντιστής. ἀπὸ τοῦ μέλω τὸ φροντίζω. καὶ μελεδωνοί, ἐπίτροποι, φροντισταί. Μέλω, ἐπὶ φροντίδος [illegible]. συντάσσεται δὲ διπλῶς. [illegible] μὲν ἀπὸ [illegible] εἰς [illegible]. οἷον μέλει μοι ὁ ἄνθρωπος. [illegible], ἀπὸ γενικῆς εἰς δοτικήν. οἷον μέλει μοι τοῦ ἀνθρώπου, ἀντὶ τοῦ φροντίζω. καὶ ἐστὶν ἀπρόσωπον. μεταμέλομαι δὲ παθητικῶς, ἐπὶ τοῖς πεπραγμένοις. οἷον μεταμέλομαι ἐπὶ τῇ ἀπωλείᾳ τῶν χρημάτων. ἔχει δὲ ἀπρόσωπον, καὶ μεταμέλει μοι τοῦ πταίσματος, καὶ μεταμέλει μοι ἐπὶ τῷ πταίσματι. μέλλω δὲ, ἀντὶ [illegible] καὶ βραδύνει, [illegible]. καὶ ἐστὶν ἀμετάβατον. καὶ μέλλω [illegible], ἐπὶ μέλλοντος χρόνου, ἡ σύνταξις τῇ

ρον, ὃ σημαίνει τὸ πέμπω. ἄπω κατὰ μετάθεσιν καὶ συναίρεσιν μεθεῖναι καὶ ἀφεῖναι χαλῶντας, οἷον δὲ καὶ τὸ εἶναι παρὰ τῷ Ἀνακρέοντι. Μεθεῖναι, μετέρχεσθαι. Μεθεῖεν, προῖεν, ἀφίεν. καὶ μεθιεμένα, ἀντὶ τοῦ βαλλόμενα, πεμπόμενα. Μεθέμεν, ἀφεῖναι, ἀπαρεμφάτως αἰτιολογικῇ, καθολικῶς δὲ γενικῇ.

Μεθ' ἵππων, ἐφ' ἵππων. Μεθίσασθαι, τὸ μεταβαίνειν, καὶ ἀμείβειν τόπον ἐκ τόπου, καὶ τὸ μεταβαίνειν τόπον ἐκ τόπου. καὶ μεθίσταται, ἀντὶ τοῦ μετατίθεται. Μεθίστατε, μεταίρω, μετάγετε. Μεθίεσαν, ἐπὶ φίλου ἀνακαλοῦντος ἐκ λόγου κακοῦ ἔδωκεν ἄν, τὸ ὁ Δωρικὰ ἑταῖροι μεθίεσαν, ἀντὶ τοῦ συνίεσαν. ὡς τὸ ἀμφιβάλλουσι μεταλαβὼν, ἀντὶ τοῦ συλλαβών. Μεθισῶ λέγω τὸ καθίσασθαι, ὅπερ ἐστὶ τὸ καθίσασθαι τόπον μετάγω. καὶ μεθίσαμεν ἐγὼ τὸν θρόνον, οὐχ ὑπό λόγου. Μέθλω, τὸ ἄρτι.

Μεθοδείας, ἐπιβουλὰς, ἐπιθέσεις, δόλους. ὡς ὁ Ἀπόστολος, πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. Μεθοδεύειν, μετέρχεσθαι, τεχνάζεσθαι. ὅθεν μέθοδος, καὶ μεθοδεία. Μεθοδευσάμενος, ἀλλάξαντες. Μεθόλιον, ὁ ἐπὶ τὸ ἔφολκον. Μέθοδός ἐστι, λόγος σύντομος πολλῶν, καὶ κατὰ μέρος περιεκτικός. μέθοδος δὲ λόγος εὐρετικὸς, ἀφ' οὗ τὴν ἐπιδιδομένην μετὰ τοῦ ὅλου, καὶ τάξεως ἐπὶ τὰ ζητούμενα προϊών. Μεθολίτας, τέχνας, ἐφόδια. Μέθοδος, ἐξ ὁδοῦ κινουμένου μετὰ λόγου.

Μεθ' ὁμήλικας, παρ' Ὁμήρῳ, ἤγουν ἐν ὁμήλιξι. Μεθόριον, μέρος τι τῶν καλουμένων ὑπὸ τῶν ἀρχιτεκτόνων τρίγλυφον.

Μεθόριον, ὁ μετὰ τῶν ὁρίων τόπος, μεταίχμιον. Μεθορίζω, μεθέχω. Μεθορμηθεὶς, ἐφορμηθείς. Μεθορμιζόμενος, μεταβαλλόμενος. Μεθορμίσθαι, μεταίρεσθαι. Μεθόρον, μεταξὺ τῶν ὅρων. Μέθυ, πεπλήρωται. Μεθύω, ὁ προσηγορικὸς. μεθύσκεσθαι, τὸ ὅλως πίνειν. μεθύσκει δὲ ἄλλος ἄλλον. Μεθυμναῖος, ὁ Διόνυσος. Μεθύουσαν, λέγουσιν οἶνον. Μεθύσαι γῆν, Ἀνακρέων· ἡ γῆ μέλαινα, χθὼν μεθύσκει. Μέθυσος, ἐπὶ ἀρσενικοῦ οὐδεὶς δοκιμάζει. ἐπὶ θηλυκοῦ λέγεται ἡ γυνὴ μέθυσος, ἐπὶ ἀρσενικοῦ λέγε μεθυστής, καὶ μεθυστικός. μεθύει, ἀμεταβάτως καὶ μεταβατικῶς λέγεται.

Μεθυσοκότταβοι, λάγαρι χαλκαῖ φιάλαι, ἂς μεταξὺ τοῦ δείπνου ἐτίθεσαν, οἴνου πεπληρωμένας. εἶτα εἰς μικρὰ ποτήρια ἐμβάλλοντες οἶνον, εἰς ταύτας ἀπὸ ὕψους ἐξέχεον ἐπὶ τῷ ψόφον ἐκ τούτων, ὅς ἐκαλεῖτο κότταβος. ἐνίκα δὲ ὁ μείζονα ψόφον ποιῶν, ἐκ τούτου οὖν μεθυσοκότταβος. Μεθυτρίδα, εἶδος μικρῶν ὀρνίθων. Μεθύσιον, εἶδος ἀμπέλου. Μεθύσκομαι, πληροῦμαι. Μεθυπλήξ, ὡς οἰνόπληξ, μεθυσπλήξ, γαῦρος. Μεθύω, πραιπαλῶ, οἰνοφλυγῶ. Μεθύω, γίνεται ἐκ τοῦ μέθυ, ὃ σημαίνει τὸν οἶνον. μέθυ δὲ ὁ οἶνος, ἀπὸ τοῦ μεθιέναι καὶ ἀμελεῖν τοὺς πίνοντας αὐτόν. μεθύω, παρὰ τὸ μέθυ. τοῦτο παρὰ τὸ μὴ θεῖν, ἤγουν τρέχειν. οἱ γὰρ μεθύοντες ἀκίνητοί εἰσι, μέχρις ἂν ἀπομεθυσθῶσι. Μεθωναῖος, καὶ μεθωναῖος, τοπικόν.

Μεθώνη, πόλις Θετταλίας, καὶ νησίς. Μείδημα, ἀφθέγμα, ἀπομειδίαμα. Μειαγωγία, ὁ τὸ μειαγωγεῖν, ὁ Ἀριστοφάνης, μειαγωγεῖσθαι τὴν τραγῳδίαν, καὶ κατὰ ἐφόρων, ὅπερ τεχνικὰ ἐργαλεῖα. Μειαγωγός, οὕτως ἐλέγετο ὁ εἰσάγων τὸ ἱερεῖον, τὸ ἐλεγχόμενον ὑπὸ τῶν ἐγγραφομένων εἰς τὰς φρατρίας. Μείδεσιν, ἐμειδίασεν, ἐγέλασεν. Μειδία μα ἦτορ, τὴν ἐν τῷ ἀέρι βούλεται ποιεῖν ἡσυχίαν καὶ ἱλαρότητα, τὴν ἐκ τῆς γαλήνης. καθὰ καὶ εἰρηνεύειν μειδιᾶν, καὶ ἡμέρα διαγελᾷ. καὶ ἡ χθὼν γελᾶν λέγεται παρὰ τῷ ποιητῇ, καὶ αἰγιαλὸς ὁμοίως παρ' ἑτέρῳ ποιητῇ γελᾷ, κύμασιν ἐπικρούει. ὄριμα κλυζόμενος. ἐκ τοῦ μειδιῶ ἐκλύει καὶ χυδαῖος. τὸ δὲ τοιοῦτον τῇ ὥρᾳ μειδίαμα, ὁ φαιδρὸς περιποιεῖται. διαλαλεῖ θερμότερος καταχρατεῖ καὶ συνθρυπτεῖται χειμῶσιν ἀπαλός. ὅθεν οὐ μόνον μειδιᾶν ἡ ὥρα λέγεται, ἀλλὰ καὶ χρυσέῃ ὥρᾳ

εἶναι, καθάπερ ὁ ποιητὴς ἐν τῇ ῥαψῳδίᾳ φησὶ, ἐξ τῶν ἐκ τοῦ πυρὸς βαλοῦσι καὶ χρυσοῦς ἡλίου ἐν αἰθέρι λαμπρότατα. Μειδιᾶ, γελᾷ. ὅθεν μειδίασμα, γέλως. ἀπὸ τοῦ μειδιῶ, παρὰ τὸ γελᾶν σημαντικόν. Μειδιᾶν, ἀφελῶς. καὶ ὑπογελῶς, μειδιᾶν.

Μειδιῶ, τὸ ῥῆμα γελῶ. ἐξ οὗ φιλομειδὴς ἡ ἀφροδίτη, παρ' Ὁμήρῳ. Μειδιῶ, προσμειδιῶ δὲ ὡς μεταβατικῶς δηλοῖ, ἐκ τοῦ μειδῶ μειδιῶ· μειδιῶν αὐτὰς θηλυκός, μειδιῶ κυνὸς. μέλλων κυνὸς μὲν μειδιάσω, θηλυκὸς δὲ μειδιάσω, ἀόριστος ἐμειδίασα κυνός, ἐμείδησα θηλυκός. Μείδυλος, οὕτως ἐλέγετο ὁ πατὴρ Βακχυλίδου. καὶ γίνεται παρὰ τὸ μειδιῶ, ὡς παρὰ τὸ φείδω φείδυλος. Μείζω πάντων, εἰ οὕτω λέγοντες ἁμαρτάνουσι. μείζων γὰρ ἐχρῆν λέγειν πάντων. μείζονα δὲ, τοῦτο ἴσως. Μεῖζον τόδε τοῦδε, μεῖζον τόδε ἢ τόδε. καὶ μεῖζον τόδε ὥς τι χαίρειν, ἀντὶ τοῦ ὑπὲρ τῶν χαρῶν, οὕτω καὶ μεῖζον ὥς τι κλαίειν, ἀντὶ τοῦ ὑπὲρ τὸ κλαίειν. μείζων, μέγας μέγιστος, καὶ εὐκτικῶς μείζων, πλεονασμῷ τοῦ ῑ μείζων.

Μεῖζον φόβου πρᾶγμα, τὸ ἄφοβον, καὶ μὴ ὑποπίπτον φόβῳ. μεῖζον δὲ φόβου πρᾶγμα, τὸ ὑπερβολικὸν φόβον ἐμποιοῦν. Μείζονες, ἔπληθυ τὰς εἰς ων εὐθείας καὶ εἰς ας αἰτιατικὰς λήγουσι τῶν πληθυντικῶν συγκριτικῶν ὀνομάτων, ὡς τὸ πράττειν. οἷον μείζους, χείρους, καλλίους, ἀντὶ τοῦ μείζονες καὶ μείζονας, χείρονες καὶ χείρονας, καλλίονες καὶ καλλίονας.

Μείζων, παραδιδόασιν οὕτω. μέγας, ἐξ οὗ πρῶτος τόνος συγκριτικὸς μεγάτερος, δεύτερος μείζων, τρίτος μέγιστον, καὶ βοιωτοῦ μίζων. βοιωτοὶ γὰρ τὰ δύο σσ εἰς ζ καὶ ἀντὶ τρίτου, καὶ ἐπεκτάσει τοῦ ῑ μείζων. ὅτι δὲ καὶ παρὰ τὸ μὴ ἐξ ὧν δυνατὸν γίνεσθαι ὁ μείζων, ὃς ἐστι παρὰ τὸ μὴ ἐγγίζειν ὁ μέγας, ὑπερχοῦ δηλοῦται. Μείζων, λέγεται καὶ ταχύς. Μειζότερος, μειότερος, λαλοῦντος. Μειλαίνω, μελανῶ. Μείλαν, ἐπεκτάσει τοῦ ῑ γίνεται, ἐκ τοῦ μέλαν μείλανος. ὅθεν τρίτον καὶ μελανίων, τὸ κάειν, μελανίειν λέγεται. καὶ τὸ θεμέλιον θεμείλιον. καὶ τὸ μελίσσειν καὶ ὁ μείλιχος, μελίσσειν ἐστὶ μείλιχος. Μειλίρ, ἀρέσκειν. Μείλια, τὰ ἐκμειλίξασθαι δυνάμενα δῶρα, τὰ ἱλαστικά. Μείλια, σημαίνει τὰ προικῶα πράγματα, τὰ ἐξουσιαστικά. παρὰ τὸ μελίσσω γίνεται εἰς δὲ ῑ, πολλὰ δ' ἐπὶ μείλια δώσω. τὸ ἐξῆς, ἐπιδώσω μείλια, οἷς μειλίσσεται ἡ ἀνάγκη. τὰ προικῶα δὲ λέγει, τῶν ἀλόγως διαλύει μείλια τῶν ψυχῶν.

Μειλίγματα, χαρίσματα, αναφάγματα, δῶρα, ἃ ὁ προσφ.

Μειλικτὲς ἔσφη, ὁ πρὸς τῇ ἁμαρτηκότας προσφιλής. Μειλικτήριος, εὐμενικός. Μείλιον, μείλιγμα. λέγει δὲ τὰ προικῶα, τὰ χαρίσματα. Μείλιον, τὸ ἀπὸ μελίας γίγνεται μελίνος, καὶ κατὰ συγκοπὴν μέλινος, καὶ πλεονασμῷ τοῦ ῑ μείλινος. καὶ μείλινον, ἐκ ξύλου τοῦ μελίας δόρυ. Μειλίσσειν τε πρὸς παρ' Ὁμήρῳ, ἀπαίτησις εἴρηται. ὡς γὰρ παίδων μειλίγματα, τὰ ἐπιεικῆ βλέμματα, οὕτω καὶ πυρὸς μείλιγμα μὲν ἡ τοῦ νεκροῦ τροφὴ μειλισσομένου πυρός. μείλιγμα δὲ, τὸ μὴ ταχὺ θάπτεσθαι. διὸ καὶ ὁ ποιητὴς πυρὶ ὑπο μειλίσσει τὸν ἄχιλλεῖ. Μειλίσσω, φιλοφρονῶ, προσάγω. Μειλίσσω, λέγει ὁ Εὐσέβιος, ὅτι οὐ δεῖ συνήθως τὸ καταπραῢνειν, ἀλλ' ἐπὶ τοῦ λέγειν τὰ μειλίχια λέγειν. Μειλίσσω, μειλίσσομαι καὶ ἐκμειλίσσομαι, τὸ καταπραῢνω. Μειλίχια, ὅ ἔλεα, πραεῖα, προσηνῆ, ἐπιεικῆ. Μειλίχιος, ὁ πρᾶος. Μειλίξατε παρὰ Ἀπολλωνίῳ, ἀντὶ τοῦ παρηγορήσατε, καὶ ἵλασαι. Μείλιχος, καὶ μειλίχιος, ὁ πρᾶος καὶ προσηνής. παρὰ τὸ μέλι, ὥς λέγει φασίν. ἡ ἀπὸ τοῦ μέλιτος μείλιτος, καὶ τροπῇ τοῦ τ εἰς χ, καὶ ἀναβιβασμῷ τοῦ τόνου μείλιχος, καὶ πλεονασμῷ τοῦ ῑ μείλιχος. Μείλινος, σημαίνει τὸ ἀπὸ μελίας γεγονὸς. Μειονεκτεῖ, τὸ ἧττον φέρει. Μεῖον, σημαίνει τὸ μικρὸν καὶ ἔλασσον καὶ ἔλαττον. Μειοψία, ἡ μικρὰ ὄψις. Μείφρων, ἔλαφρος, καὶ ἐλάττων φρενῶν, πα-

ἡ κλίσις ἔχει, περισπᾶσθαι τὰ τοιαῦτα ἰαμβικά. ὡς θαλῆς θαλῆν, φαλῆς φαλῆν. ἕτεροι δέ φασι διφορεῖται μήτης καὶ μητοῦς, ὡς θάλης καὶ θαλῆς. καὶ οὗτοι μὲν οὕτως. οἱ δὲ περὶ Ἀρίσταρχον φασὶν, ὡς ἅπαντα τὰ τοιαῦτα διχῶς κλιθέντα οὐ μεταβάλλει τὸν τόνον, τὸ γοῦν μύκης Ὅμηρος μὲν μύκητος κλινεῖ. Σοφοκλῆς δὲ ἐξεγκλίβας, ἔστι δὲ καὶ μύκης μύκητος καὶ μύκου, ὅπως ἂν καὶ εἴη αὐτῆς, εἴτε ὁ τοῦ λύχνου, ὃς καὶ μύξα λέγεται, εἴτε ὁ τῆς σπάθης. ἀφ' οὗ καὶ ἡ μυκλώα, καὶ τὰ λοιπά. Μεγήρατα τέκνα. παρ' Ἡσιόδῳ μεγάλως ἐρίζοντα, ἢ μεγήρατα, πρὸς ἃ οὐδεὶς ἐρίσει. πρὸς ἄλληλα γὰρ ἐρίζουσιν. ἃ τίμια καὶ ἔνδοξα.

Μεγιστᾶνες, οἱ τοῦ βασιλέως περίβλεπτοι, ὑπερφύσιοι.

Μέγιστον, οὗ μεῖζον οὐδέν. Μεγ' ἴαχε, μεγάλως ἴαχεν, ἤγουν ἤχησεν. Μεγίστω, μεγάλω. Μέγιστος ποταμός, ὁ ἐν αἰγαίῳ πελάγει εἰς βάλλων. Μεδάλου, ὄνομα πόλεως. Μεδέσθαι, μεμελεῖσθαι, φροντίζειν, βασιλεύειν.

Μέδω, ἄρχω. Μεδέοντα, βασιλεύοντα. Μέδεα, τὰ αἰδοῖα. Ἡσίοδος δὲ καὶ ἄλλοι μέζεα ταῦτά φασι. συστολῇ τῆς ἀρχούσης, καὶ προσθήκῃ συνάθα τοῦ ζ ὡς ζ. Μεδέσθω, φροντιζέτω, ἀπὸ τοῦ μέδομαι, κατὰ συστολὴν τοῦ ε εἰς ε. Μεδιμνῶν, ἀπὸ μεδιμνῶνος ἤγουν πελάδιον, καὶ ὑλήκτρον. ἔστι δέ φασι φωνικὸν μεδιμνῶν, καὶ ἐπαρχικόν. ὁ δὲ Γεώργιος φησὶ, μεδιμνῶν ὁ φωνικὸς ἐν τῷ ἀττικῷ κόλπῳ, δέχων βοιωτίων κάδια ρξ'. ὁ δὲ βοιωτικὸς ἀπ' ἐκείνου κέκληται. Μελέσουμαι, ὡς ἐν περισπωμένοις ἑκούσιος κινεῖται τὸ μελῶ μελέσω, ὡς αἰδῶ αἰδέσω, ἐπὶ ἐντρεπτικῶς. ὅθεν ὁ αἰδήμων, καὶ ἐλῶ ἐλέσω, ἐξ οὗ ἐλατός, ὁ βρῶσις, καὶ μεδῶ μεδέσω, τὸ γελῶ. ὁ γὰρ μέδω βαρύτονος ἐστὶν, ἐξ οὗ καὶ ὁ κατὰ ἀρχὴν ἔχων μέδων γίνεται, ὡς φροντιστὴς ὢν τῶν ἀρχομένων, καὶ βουλευτικός. οὐ δύναται οἰκεῖον ἔχειν μέλλοντα, εἶτον ὡς ἄδω ἄσω, οὕτω καὶ μέδω μέσω, διὰ συνέμπτωσιν τὴν πρὸς τὴν δοτικὴν τοῦ μέσου, ὥσπερ οὐδὲ τοῦ ἐλαφίσω μέλλων ἐστὶν, ὡς ἂν μὴ συνεμπίπτῃ τῷ ἴσω ἐπιρρήματι. μεδέω ποιητικῶς, τὸ βασιλεύω. καὶ μέδων, ὁ βασιλεύς. Μέδιμνον, τὸ μόδιον, ἢ μέτρον ἀττικόν, γινόμενον μόδιοι ἕξ, ὅτι τεσσαρακονταοκτὼ χοίνικας. Μέδιμνος, μέτρον ἐστὶ ξηρῶν, οἷον πυρῶν, ἢ κριθῶν. ἔχει δὲ χοίνικας ὀκτὼ καὶ τεσσαράκοντα. Μέδιμνος, καὶ χοῖνιξ, καὶ πῆχυς, καὶ ἕτερα τινὰ ὄργανον δηλοῦσι τοῦ μετρουμένου, καὶ αὐτὸ τὸ μετρούμενον, ὥσπερ καὶ ἡ λέξις τὸ σταθμοῦ. Μεδίμνους, παροξυτόνως κυρίως οἱ ἀττικοὶ λέγουσιν, οὐ μεδίμνους. Μεδίμω, ἄρχε.

Μέδοντες, οἱ βασιλεῖς. ὅθεν καὶ μέδω, τὸ βασιλεύω, παρὰ τὸ μέδω, τὸ βουλεύω, μέδω. οἷς εὐβουλίας δεῖ. ὅθεν καὶ βουληφόροι λέγονται. Μεδοίατο, φροντίζειν. Μεδώμεθα θούριδος ἀλκῆς, ἤγουν φροντίσωμεν τοῦ εἶναι ἄλκιμοι. Μέδων, βασιλεύων, βασιλεύς. Μέζεα, ἀντὶ τοῦ τὰ αἰδοῖα λέγουσιν Ἴωνες. Μαζός, αἰδοῖον. Μέζων, ἀντὶ τοῦ μείζων. καὶ τοῦτο ἴδιον τῶν ἰώνων ἐστὶ, τὸ ἀποβάλλειν, τὸ ι τῆς ει διφθόγγου. Μέθαις, ταῖς σκεύεσι ταῖς θεατρικαῖς, κιθάρα, ἢ κύμβαλον. Μεθαρμοζόμενος, ἐπιδιορθούμενος, μεταρχόμενος.

Μεθάρμοσον, ἀντὶ τοῦ ἐπανόρθωσον. Σοφοκλῆς, μεθαρμόζειν κυρίως λέγεται, ἐπὶ μουσικῆς, ἤγουν τὸ μεταθεῖναι τὴν ἁρμονίαν. Μεθέηκεν, ἀντὶ τοῦ ἠμέλησεν, ἐκ τοῦ μεθίημι. ἐξ οὗ μεθήμων, ὁ ἀμελητής. καὶ μεθημοσύνη, ἡ ἀμέλεια. καὶ ἡ μέθη, καὶ τὸ μέθυ, ὡς ἑκαχοῦ εἴρηται. ἐναντίον δὲ τὸ μεθεῖναι, πρὸς τὸ ἐφεῖναι, ὃ δηλοῖ τὸ ἐντείλασθαι. ἀφ' οὗ καὶ ἐφίεσθαι, τὸ ἐντελεῖσθαι, ἑκαχοῦ ὁ ποιητής. Μεθεὶς, ἐάσας, ἀφείς. Μεθεκτὸς, ἐκ τοῦ μετέχειν. Μεθέμεν, μεθεῖναι, συγχωρῆσαι, ἀπαρέμφατον. ἐκ τοῦ ἵημι, τὸ ἀπαρέμφατον ἕναι, ἕμεν, καὶ μεθέμεν.

Μεθέηκε, ἀντὶ τοῦ εἴασε. ὁ δὲ μεθεῖσα εἰς παρθένους. Μεθέω, ἀφίεται, ἀμελῆσαι. μεθίω, ἀφ' οὗ ἐάσω. καὶ μεθήσω, ἐξ αὐτοῦ. Μεθέω, συγχωρῶ. ἀπὸ τοῦ μεθῶ μεθέω, ὡς τελῶ τελέω.

Μεθεῖον, καταλείψας, ἐάσας. καὶ μέθεο. Μεθέμεν, παρὰ τὸ ἵημι τὸ πέμπω, μεθίημι. ὁ παρατατικὸς μεθίην. τὸ πληθυντικὸν, μεθίεμεν. καὶ τὸ ἀπαρέμφατον μεθιέναι, καὶ κατὰ συγκοπὴν μεθέμεν. Μεθέντες, ἐάσαντες. ἐκ τοῦ μεθίημι, τὸ ἀφίημι. Ἀριστοφάνης, ἀλλὰ μεθίεμεν, καὶ μέθεσθαι νῦν μου πρῶτον.

Μέθεξις, κοινωνία. Μεθέπω, τὸ διώκω. ἐπομαι, τὸ ἀκολουθῶ. μεθέπουσιν αὐτὸν ἕκαστος, ἤγουν διώκουσι κατὰ πόδα. Μεθέπεις, ἤγουν εἰς ἡμᾶς ἥκεις. παρ' Ὁμήρῳ ἐν τῷ τῆς ὀδυσσείας. Μεθέπει ἵππους, ἤγουν ἐλαύνει. Μεθέπειν, τὸ ζητεῖν, καὶ ἐρευνᾶν. φησὶ γὰρ Ὅμηρος, ὁ δ' ἐνίσχεν μένεα θρασύν. ὃ καὶ σημειωτέον φασίν, ὡς ἀπὸ τοῦ σημαίνειν, ἐδηλοῖ τὸ ἐπιτάσσειν. Μεθέπων, ἐπιδιώκων. Μέθες, ἄφες, βάλε. ἀπὸ τοῦ ἵημι, ὁ δεύτερος ἀόριστος ἧν. ἡ μετοχὴ εἷς ἑντός. τὸ προστακτικὸν ἕς, καὶ μετὰ τῆς μετὰ προθέσεως, μέθες. ἔδει ὀξύνεσθαι, ἀλλὰ συστέλλεται. Μεθέσθαι, καταλιπεῖν.

Μεθεῖσθαι, μέλλων ἔσω, ὁ δεύτερος ἀόριστος ἦν. ὁ μέσος ἔμην ἕο ἕτο. καὶ τὸ προστακτικὸν, ἕσο. καὶ ἐκβολῇ τοῦ σ, καὶ τροπῇ τοῦ ε καὶ ο εἰς οὐ δίφθογγον, οὗ, καὶ μετὰ τῆς μετὰ προθέσεως, μεθοῦ. τὸ δεύτερον τῶν πληθυντικῶν μέθεσθε. Μεθιστάναι, μεταβιβάζεσθαι. Μεθίστασθαι, μεταβίβασται. Ἀριστοφάνης, πολὺ μεθέστηκα. Μέθετε, ἐάσατέ με. Μεθιστῶμεν, μετοίσομεν. Μεθήκειν, ἀντὶ τοῦ ἐφήκειν, ἐκ τοῦ ἵημι, τοῦτος ἀόριστος ἧκα, καὶ μεθῆκα, κε, ε. Μεθήμων βίος, παρ' Ὁμήρῳ ἐν ς' τῆς ὀδυσσείας, καθ' ὑπερβατὸν ἡ λέξις. λέγει δὲ μηνύων ὃν ὁ νέος ἐρύεσθαι βίον τρόπον. ὡς δηλοῖ τὸ ἐπαχθὲν, καὶ τὸν ἐπάνω τὸν ἐν βίῳ, τὸ τέταρτον ἀπὸ λέξεων. ἐν οἷς πατέρα τὸν παῖδα ὡς λυμπρὸν εἶναι τρυφῶν. οὐ γὰρ ἄλλως τοιαῦτα εἶχε πεινῶν. Μέθη ἐστὶν, οἴνου ἄμετρος χρῆσις. μέθη ἐστὶ, λήρησις πάροινος, ἢ οἴνωσις ἐπιπλέον. μέθη μὲν οὖν ἐστιν, ἀκρατοτέρα χρῆσις σφοδροτέρα. παροινία δὲ, ἡ ἐκ τῆς χρήσεως ἀκοσμία. κραιπάλη δὲ, ἡ ἐπὶ τῇ μέθῃ δυσαρέστησις, καὶ ἀηδία ἐν τῇ κραιπάλῃ ὀνομασμένη. Μέθη ἐστὶν, ἡ τῶν κατὰ φύσιν ἀπὸ λογισμῶν, δι' ὧν ἡ ἀληθὴς γίνεσθαι φαίνεται ἡ ὄντων διάγνωσις.

Μεθήκειν, τὸ μεταγαγεῖν, ἢ μεταλλεῖν. Μεθ' ἡμέραν, ἀντὶ τοῦ κατὰ τὴν ἡμέραν. Μάξιμος, ὡς τὸ μεθ' ἡμέραν τὸ γενόμενον πέπλακε. μεθ' ἡμέραν, ἀντὶ τοῦ ἐν ἡμέρᾳ. ἀττικὸν τὸ σχῆμα. μεθ' ἡμέραν γάρ φασιν, οὐκ ἐν ἡμέρᾳ. Μεθημοσύνη, ἀμέλεια, ῥαθυμία. Μεθήμων, ῥᾴθυμος, ὀκνηρός, προδότης, ἔμπορος. Μεθήμονες, τὸ αἴτιον τῆς ἀμελείας, καὶ ἐκλιθῆναι σημαίνει, ἀπὸ τοῦ μεθίεναι. ἀφ' οὗ καὶ ἡ μέθη γίνεται. Μεθήσει ἐστὶ, ἤγουν μετέωρα εἰσί. Μεθῆς, ἐάσῃς, ἀμελήσῃς. Μεθήσει τὸ Χολον, οἱ μετὰ Ὅμηρον ἀφήσει φασί, πρόθεσιν θέντες ἀντὶ προθέσεως. ἔστι δὲ μεθήσειν, τὸ χαυνώσειν, ἀμελήσειν. ὅθεν καὶ ὁ μεθήμων. καὶ μέθη, ἡ χαυνοῦσα τὸν νοῦν, καὶ μέθυ, τὸ ταύτης αἴτιον. Μεθήσω, ἐάσω. Μεθήσομεν, καὶ μεθήσομεν, ἤγουν ἀμελήσομεν. Μεθήσω, ἀπολύσω. Μεθιᾶσι, καὶ ἀφιᾶσι καὶ συγχωροῦσιν, αἰτιατικῇ συντάσσονται. Μεθίει, ἀμελεῖ, ἀφίει. καὶ μεθιεῖς, ἀντὶ τοῦ καταλιμπάνων. Μεθίεις κοινῶς μὲν διὰ τοῦ ι. ὡς τὸ τίθημι τίθεις, οὕτω μεθίημι, εις, ἀλλά γε κατ' ἐναλλαγὴν χρόνου γράφεται, καὶ διὰ διφθόγγου. ὡς τὸ τίθημι, ἐτίθην ἐτίθεις ἐτίθει, οὕτω μεθίημι μεθίην μεθίεις μεθίει, ὡς καὶ ἵημι ἵην ἵεις ἵει. Μεθίεμεναι, ὅτι γενικῇ φιλεῖ παρὰ τῷ ποιητῇ σύνταξιν, οὐκ ἔστιν ἀμφιβάλλειν. ἀλλ' ἐν ἐξ αὐτοῦ ἡ μεθημοσύνη λέξις αὕτη κεῖται ποιηταῖς. σύστοιχα δὲ ταῦτα, μεθήσοντι, μεθήμονα, μεθίατε, καὶ μεθεῖν, καὶ μεθίεντες. Μεθιέντας, ἐῶντας, προδιδόντας. Μεθίεν χόλον, δηλοῖ μὲν τὸ μεθιέσαν καὶ ἠμέλησαν. γίνεται δὲ συνήθως ἐκ τοῦ μεθίεις μεθίεντος, καὶ ἀποβολῇ τοῦ ε. ὁμοίως τῷ γράφειν, καὶ κόσμειν, καὶ ἐτέρων μυρίων. Μεθιέναι, καὶ τὸ ἀφιέναι, ἀπὸ τοῦ ἵημι τοῦ δηλοῦντος

ὑπερφανίζεσθαι. ταυτὸν δέ ἐστι, τὸ ὑπερφίαλον εἶναι ἐν βίῳ. Μεγαλαλκὴς, μεγαλοσθενής. Μεγαλαυχεῖ, σεμνύνεται, καυχᾶται. Μεγάλαυχος, μεγαλόφρων, μεγαλόψυχος. Μεγαλαυχούμενοι, καταπαυρόμενοι. Μεγαλαυχῶ, μεγαλαυχοῦμαι. Λιβάνιος, μεγαλαυχεῖ μετὰ ὠσὶ, μεγαλαυχεῖ ὁ Διδάσκαλος ἄκρα. Μεγαλαυχῶ, οὐδεὶς τῶν ἀρχαίων, ἀλλὰ μεγαλαυχοῦμαι. Μεγαλανδροῦ, μεγάλοι ἄνδρες, ἢ μεγάλοι κατὰ τὴν ἀνδρίαν, ἢ πολυανθρώπου. Μεγαλεῖα, ὑψηλά. καὶ μεγαλεῖον, μεγαλοπρεπές. Μεγαλεπήβολος, ὁ μεγάλων πραγμάτων κατάρχόμενος. Μεγαληγορῶ, μεγάλως λέγων. Μεγαληγορεῖ, ἀμφιβαίνως. Μεγάλη κλεῖδα θυρέων, ὅλον τὸ ἄνοιγμα. ἔστι δὲ μοχλόν. Μεγαλήτορος, ὁ ὑπερήφανος. Μεγαλήτορα, μεγαλόψυχον. Μεγαλίζου, ἐπαίρου. Ὅμηρος, μὴ μεγαλίζεο θυμῷ. Μεγαλίζεσθαι, τὸ ἐπαίρεσθαι ὡς τὸ μὴ δὲ μεγαλίζεο θυμῷ. καὶ σημαίνει παρ' Ὁμήρῳ ἐν τῇ τῆς Ὀδυσσείας, οὔτ' ἄρα μεγαλίζομαι, οὐδ' ἀθερίζω, ὅτι τρεῖς αἰτίας ἐμφαίνει ἀποστροφῆς, ἐνταῦθα τὰ πρός ἐναντίωσιν θέλοντα, τὸ μεγαλίζεσθαι, τὸ ἀθερίζειν, καὶ τὸ ἄγασθαι. ὅτι ἐξαθερίζει τις τὸν οἰκτρούμενον, τουτέστιν ἐξουθενεῖ, ὡς μὴ ἄξιον ἀκούσαντος. ἢ μεγαλίζεται, ὡς μείζων ὢν ἐκείνου. ἢ ἄγαται, τὴν αἰτίαν ἐπισπώμενος τοὺς ἐπαινουμένους εἰκότως. Μεγαλίζεο, μεγαλύνου, καυχοῦ. Μεγάλιον, μύρον, μέγιστον, ὑψηλόν.

Μεγάλ' ἴαχε, μεγάλως ἤχησε. Μεγάλλειος, μύρον κατὰ τὸ ὄνομα, παρὰ Θεοκρίτῳ. Μεγαλομήτηρ, ἡ τῆς μητρὸς μήτηρ. Μεγαλόνοια, μεγαλοφυΐα, ὑπερηφανία, μεγαλοπρέπεια. Μεγαλοπρέπεια, φιλανθρωπία ψυχῆς μετὰ λόγου. ἢ ἀρετὴ ἐν τοῖς ἔργοις δαπάνης. κατὰ δὲ ἄλλους μεγαλοπρέπεια ἐστὶν, ἢ γνωμίωση μεγάλοις παρ' αὐτῇ ἐμφαίνει. ἢ ἡ ἐν τῇ βίῳ αὐτοῦ πρεσβείᾳ καὶ δημιουργίᾳ τὰ εἰς πολὺ τὸ πρέπον ἐμφαίνουσα. ἢ μεγαλοπρέπεια, ἀρετὴ ἐστὶν ἀποδεδομένη ἐν ἔργοις μεγάλων πράξεων. καὶ μεγαλοπρεπὴς, ὁ μεγαλοφανὴς, ἢ ὁ ἐπὶ μεγέθει ἐναλλομένων ἐπώνυμος. Μεγαλουργία, μεγάλα ἐργασία. Μεγαλοψυχία, μεγαλαυχία, ὑψηλοφροσύνη.

Μεγαλοφρονῶ, τὸ γενναίως καρτερῶ. μέγα δὲ φρονῶ, καὶ ὑψηλὰ φρονῶ, ἐπὶ ἀλαζονείας, καὶ ἐπαίρομαι. Μεγαλόφρων, ὁ μεγαλόψυχος. Μεγαλοφυεῖς, μεγαλόφρονες. Μεγαλορρήμονος, καὶ μεγαλορρημοσύνη, μεγαληγορία. Μεγαλοψυχία, ἕξις ψυχῆς τοῖς συμβαίνουσι λυπηροῖς, μὴ καταλειπομένη. Μεγαλοψυχία, ἀλαζονεία, μεγαλολογία. ἢ τῆς μεγαλοψυχίας. Μεγαλόψυχος ἐστὶν, ὁ πάντα εὐθύμως φέρων. μικρόψυχος δὲ, ὁ μὴ δὲ τὰ μικρά. Μεγαλώνυμον, μεγαλόδοξον, περίφημον, ἔνδοξον. Μεγαλωστὶ, ἀπὸ τοῦ μεγάλως γέγονε πλεονάζοντι τῷ τι ἐπιρρηματικῶς. ὡς καὶ ἐν τῷ ὄντι, καὶ οὕτω τὶ καὶ τὶς ὁμοίως. καθ' ὅμοιον δὲ τρόπον γίνεται καὶ ἐπ' ἄλλοις, ἤγουν μεγαλοπρεπῶς. Μεγαλωστὶ, ὁμοιότητα συνθέσεως ἔχει, οὐ μόνον πρὸς τὸ ἑλληνιστὶ, ἀλλὰ καὶ πρὸς τὸ δωριστὶ, καὶ ἰδιωτὶ, ἐκ τοῦ ἀμάχως καὶ ἰδίως, ὡς παραδιδόασιν οἱ παλαιοί.

Μεγαλοσύνη, καὶ μεγαλορρημοσύνη, μεγαλοψυχία, ἥτις ἀρετὴ ψυχῆς, καθ' ἣν δύναταί τις φέρειν εὐτυχίαν τε καὶ δυστυχίαν, δόξαν τε καὶ ἀτιμίαν. ἢ μεγαλοψυχία ἐστὶν ἀρετὴ ὑπεραίρουσα τῶν μετρίων ἐν ἔργοις καὶ κακίας, καὶ μάλιστα ζωῆς καὶ θανάτου. Μεγαμέδοντα, οἱ ποιηταὶ τὸν ἐπὶ βασιλεία λέγουσιν οὕτω καλοῦσι.

Μεγαλωνυμος, μεγαλομηχάνος, ὄνομα, κύριον. Μεγάσορα τὰ δεῖπνα, ἔνιοι λέγουσι διὰ τὸ κατανοεῖσθαι τοὺς κατοικοῦντας αὐτὴν αἰχμαλώτους, καὶ ὑπερβολὴν. καὶ ὅτι αὐτὰς γίνεσθαι μεγαλείως, διὰ τὸ πολλὰ δύνασθαι κατορθοῦσθαι. πῦρ γὰρ γίνεσθαι ἐμμέσον χωρῶν ἄλλως, μεγάλους εἶναι, ὁ αἰτεῖσθαι τοὺς τοίχους τῶν ἀνθρώπων, καὶ μείζονα φρόνησιν τῶν κατοικούντων. ἢ ὅτι αὐτὸς μεγάλοις ἐστὶ, διὰ τὸ πολλὰ δύνασθαι κατορθοῦσθαι. Μεγαλυνθείη σφίγγεσθαι, αἱ πόρναι οὕτως εἴρηνται. ἴσως δὲ ἐπειδὴ καὶ σφίγγεται, οἱ μαλακοὶ ὑπομαλάττεται, ἢ καὶ ἀπὸ μαίας, οὕτω λεγομένως ἐν μεγάροις. Μεγαρεῖς, ἰσοκρατεῖς. Μεγαρέων ἄξιοι μοίρας, ἀντὶ τοῦ ἄτιμοι. ποιοῦσι γὰρ οἱ μεγαρεῖς. ὅτι δὲ ποιοῦσιν ἐστὶ τὸ πρᾶγμα, δῆλον. καὶ σοφοὶ οἱ μάρτυρες, οὐκ ἄλλοι εἰσὶ, οὐδὲ τῆς μεγαρέων μοίρας, ἀλλὰ τῶν ἐπικρατουμένων τῆς σοφίας τὰ ἄξια. Μεγαρίζοντες, λιμώττοντες, ἢ μέγα λέγοντες. Μεγαρίσαι, τὰ μεγαρέως δοξάσαι. Μέγαρον, οὐ μόνον τὸ κοινῶς, ἀλλὰ καὶ ἰδικῶς, μέγαρα, καταγεια οἰκήματα φασὶ ταῖν θεαῖν, ἤγουν δήμητρος καὶ περσεφόνης. Αἴλιος δὲ Διονύσιος φησι, καὶ ὅτι μᾶλλον μέγαρον, οὐχὶ μέγαρον εἰς ὃ τὰ μυστικὰ ἱερὰ κατατίθενται. Μέγαρον, τὸ ὑπερῷον οἴκημα. παρὰ τὸ μέγα, μεγαίρω, μέγαρον. ἐπίφθονον γὰρ οἶκον, τὸ μέγα, καὶ ἄξιον φθόνου. Μεγαρέων, ἀπὸ τοῦ μεγάρων. Μεγάρτης, φθόνος. Μέγαρτος, ἀνώνυμος καὶ φθονερός. ἀμέγαρτος δὲ, ὁ ἄφθονος. Μέγας, παρὰ τὸ μέγα, ὁ μὴ ὢν ἐν τῇ γῇ, ἀλλ' ὑπερέχων αὐτῆς. Μέγας κόσμος, ὁ ἄνθρωπος.

Μέγας, σύγκειται ἐκ τοῦ μὴ στερητικοῦ, καὶ τοῦ γῆ. ἵνα ᾖ μὴ γάς, ὁ μὴ πρὸς τῇ γῇ ὢν, ἀλλ' ὑπερεκβὰς τὴν γῆν. Μέγας κατὰ συγκοπὴν ἐκ τοῦ μεγάλος. τὸ δὲ οὐδέτερον μέγα κατὰ ἀποκοπὴν ἐκ τοῦ μεγάλον. Μέγας βασιλεὺς, μέγα βασιλεία λέγει Δημοσθένης τὸ τῶν περσῶν. οὕτω γὰρ ἔλεγον αὐτὸν, διὰ τὸ πλεῖστον δύναμιν ἔχειν τῶν περσικῶν. κοινῇ δὲ εἶναι, τουτέστι σημαίνει τῇ περιουσίᾳ τῆς ἀρχῆς, ἀπὸ τοῦ μέγα φρονοῦντος τῇ ῥώμῃ. Μέγας οὐρανὸς, οὐλυμπός τε, ἢ ἐκ παραλλήλου τὸ αὐτὸ λέγουσι κατ' ἀπόφασιν ἀλήθειαν. ἢ ὄλυμπον κοντίον, τὸ μακεδονικὸν ὄρος. οὐρανὸν δὲ, τὸν ὑπὲρ ταῦτα τόπον, ὃς ποτε μὲν κλεῖεται, ὅτε καὶ πάλαι πεπηγεν, ποτὲ δὲ ὡς οἷον ἀνεωγμένος ἀποφαίνεται. Μεγαθύνης, τὰ παρὰ τὸ θῦμα, καὶ τὸ γένος εἰσὶ τὰ ὀνόματα ἤδη μὲν εἶτα παρεξέτεινεται. οἷον δημοσθένης, ἀνδοθένης, διογένης, ἑρμογένης. ἐπὶ τὰ δὲ ῥήματα, οἷον μεγαθύνης, μονογενής, εὐγενής. κατὰ ταῦτα καὶ δημοσθένης καὶ μητροφάνης, παρεξέτεινε τὰ εἴδη. ἀφανὴς δὲ καὶ διαφανὴς, καὶ προφανὴς, ὀξύνεται ἐπιθετικῶς. διό ἵνα ὦν τὰ μὲν κύρια, ἀπὸ τοῦ φαίνω γίνεται. τὰ δὲ ἐπίθετα, ἀπὸ τοῦ φαίνεσθαι. τὰ δὲ εἰς ης, ἀπὸ τοῦ φαίνεσθαι, πάντα συνεχωρεῖται, εἴτε κύριά εἰσιν, εἴτε ἐπίθετα, οἷον ἄφαντος, προφαντος, διόφαντος. Μεγαθυμος, εἶδος ἀστραγάλου ἐν κύβοις. Μεγάσχελὶ, μέγα σχῆμα ἐχόντων. Μέγα τὶ ἄγγελος ἐσθλὸς, ἐπὶ τῶν ἀγαθὰ ἀπαγγελλόντων. Μεγάφρονος, μεγαλόφρονος, ἢ μεγάλως ἄφρονος. Μεγαφρονῶ ἐπὶ τοῦ κάλλει, ἢ ἐπὶ τοῦ πλούτῳ, ἢ ἐπὶ τῇ εὐγενείᾳ μεγαφρονῶ, τὸ ὑπερηφανῶ, λέγεται συντάσσεσθαι, εἴπερ ἐπὶ ταῖς ἀρεταῖς μεγαφρονοῦσι. Μεγαχέονται, μέγα βοῶσι. Μέγεθος, μεγαλεῖον. Μέγεθος, λέγει τὸ μέγεθος, κοινῇ αἴσθησις. λέγεται δὲ κατὰ ἀναλογίαν, καὶ ἐπὶ ὅσα χρόνους λαμβάνεσθαι, καὶ ἐπὶ γένος. εἰσὶ γὰρ αὐτοῦ τὸ εἶδος μετ' εἴδους ἐναλλαγμάτων. ἢ μὲν τὸ ἐν ὅλοις, ἢ δὲ τὸ ἐν χυμοῖς. Μέγ' ἔξοχον, μεγάλως ὑπερέχον. Μεγῆραι, φθονῆσαι, ζηλῶσαι. Μεγήρατα, μεγάλως ἐπέραστα, ἢ ὑπερφανῆ, διὰ τὸ κάλλος. ἢ μεγάλως ἐρίζοντα περὶ κάλλους. ὁ πρὸς οὓς οὐδεὶς δύναται ἐρίσαι, ἀλλὰ μετ' ἀλλήλων ἐρίζειν. Ἡσίοδος, μεγήρατα τίκτε θεάων πόντῳ ἐν ἀτρυγέτῳ. Μέγαρον, τὸ ἐπέραστον. Μεγῆρε, τὰ τίμια, καὶ μεγαλόχαρτα.

Μέγες, ὁ μέγας. Μέγης, ὄνομα κύριον. Ἀρίσταρχος μὲν βαρύνει τὸ μέγης, ᾧ καὶ πείθεται ἡ παράδοσις. οἱ δὲ περὶ Πτολεμαῖον καὶ τὸν Ἀσκαλωνίτην, περισπῶσιν, ὡς ἑρμῆν. φασὶ γὰρ ὡς τὰ εἰς ης βαρύτονα δισύλλαβα ἀπὸ βραχέος ἀρχόμενα, περιττοσυλλάβως κλίνονται, δίβητος, λάχητος. οὕτω γοῦν καὶ μέγης ἔδει κλίνεσθαι, καὶ μέγητα εἶναι τὴν αἰτιατικήν. ὅτι δὲ μὴ οὕτως ἐκλί-

 ἐκλί-

τὸ λέγω μετὰ πίστεως μόνης καὶ ἄνω πέποιθεν. οἷον τὰ τοῦ κόσμου πράγματα μάταια. μάταιον, καὶ τὸ μωρόν. Ματήρ, ἐπίσκοπος, ἐπιζητῶν, ἐρευνητής. Ματρεύειν, ματεύειν, ζητεῖν. Μάτεον, ἀπέτυχε. ματάειν δὲ ἐπράξεν, ἀμέλησεν, ἀπέσχεν. Ματέουσιν, ἀμφιζέουσι. Ματία, ἀργυρία.

Κυκλόσομεν, ἀνακυκλώσομεν. Κυκλία τὰ πολλὰ, παρὰ τῷ Ἀριστοφάνει. τὰ τὴν αἰτίαν ὑπόθεσιν ἔχοντα, ταῦτα κύκλια ἔλεγον. παρθένια δὲ ἃ αἱ παρθένοι ᾖδον. κύκλια δὲ καλοῦνται μέλη, τὰ ἐπικατηγμένα. ἔστι δὲ διαγραμματικόν. ἄλλως. ἀντὶ τοῦ κατάτεχνα, ποικίλα, οἷον ὕμνους, παιᾶνας, προσῳδίας, καὶ τὰ τούτοις παραπλήσια. Κυκλιοδιδάσκαλον, ἀντὶ τοῦ διθυραμβοποιόν λέγει Ἀριστοφάνης. εἴρηται, ὅτι ἐγκύκλια διδασκαλίαν. Ἀντίπατρος δὲ καὶ Εὐφρόνιος ἐν τοῖς ὑπομνήμασι, φασὶ τοὺς κυκλίους χοροὺς στῆσαι πρῶτον λασόν, ἑρμιονέα. οἱ δὲ ἀρχαιότεροι, Ἑλλάνικος καὶ Δικαίαρχος, Ἀρίονα τὸν μηθυμναῖον. Δικαίαρχος μὲν ἐν τῷ περὶ Διονυσιακῶν ἀγώνων. Ἑλλάνικος δὲ, ἐν τοῖς καρνεονίκαις. Κυκλοβάλων, πλίσχων, σμικρολόγων. Κυκλοβορεῖν, καὶ καταλωπίζειν, χασμητίσματα ἐστι κωμῳδίας.

Κυκλοβόρος, ποταμὸς ἀθηναίων, ὃς οὐχ ἀεὶ οὐδὲ διὰ παντὸς ῥεῖ, ἀλλὰ χειμάρρους. ἤτοι τόπος κυκλοτερής, ἐν ᾧ τὰ ὤνια ἐπωλοῦντο, ἃ ἐφ᾽ οὗ περιέφερον ὁ κλῆρον. Κύκλοι, ἐν τῇ νέᾳ κωμῳδίᾳ καλοῦνται, ἐν οἷς ἐπιπράσκοντο τὰ ἀνδράποδα. ἴσως ὅτι τὰ ὤνια κύκλῳ ἵστατο, ἐφ᾽ ὃ δὲ ἀναβαίνοντες οἱ δοῦλοι ἐπιπράσκοντο. τὸν δ᾽ ἀγοράζοντα Ἀριστοφάνης καλεῖ, μονοκύκλιον ὑπερβολῆς. Κύκλοι εἰσὶ παράλληλοι, οἱ περὶ τῷ αὐτῷ πόλους γραφόμενοι.

Κύκλοι εἰσὶν ἀρκτικοί, οἱ τὸ φαινόμενον ἀεὶ μέρος τοῦ οὐρανοῦ καὶ τὸ ἀφανὲς διορίζοντες. Κύκλοι εἰσὶν μεσημβρινοί, οἱ διατέμνοντες τὸ ὑπὲρ γῆς ἡμισφαίριον. κύκλοι εἰσὶν ὁρίζοντες, οἱ διορίζοντες τὸ φαινόμενον μέρος τοῦ οὐρανοῦ ἀπὸ τοῦ ἀφανοῦς. Κύκλον ποιὸν λέγει Ὅμηρος συνήθως, ἢ τὸ τοῦ ἅρματος τροχόν, ὡς καὶ αὐτὸς εὖ πεποιημένον. ἢ καὶ πρὸς διακολοῦν τὸ παρὰ τοῖς θεοῖς διανοητικόν κύκλον. Κύκλος, σφαῖρα, οὐρανός, κόσμος. Κύκλος ἐστὶν ἰσημερινός, ὁ μέγιστος τῶν παραλλήλων, ἐφ᾽ οὗ τὰς ἰσημερίας ὁ ἥλιος ποιεῖται. Κύκλος ἐστὶ τροπικός, ἐφ᾽ οὗ γενόμενος ὁ ἥλιος τὰς τροπὰς ποιεῖται. Κύκλος, περίβολος, καὶ ἐν ἀγορᾷ τόπος ἔνθα σκεύη καὶ σώματα πιπράσκονται, καὶ ἐν ταῖς κωμῳδίαις ὑπότροχον ἢ κατάστασις σώματος. καὶ παρὰ τοῖς γεωμέτραις ἐπίπεδον σχῆμα, ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, καὶ εἶδος ἱματίου. Κυκλοτερής, περιφερής, ἐπικαμπής. Κύκλους καὶ τροχοὺς, τὰ τείχη. τροχὸν δὲ τὸ τεῖχος ὡς Σοφοκλῆς ἡρακλεῖ, κυκλώπειον τροχόν. Κυκλοτερὲς τόξον λέγει Ὅμηρος, οὐ τοιοῦτον φύσει, σκολιὸν γὰρ ἐστι καὶ ἀγκύλον πρὸ τῆς τάσεως, ἀλλ᾽ ὅπερ ἐκ τοῦ σπασθῆναι τοιοῦτον γίνεται. Κυκλοφορεῖται, κατὰ κύκλον φέρεται, ἢ κινεῖται. Κύκλωπες, κυκλωπες, καὶ κατὰ συγκοπὴν κύκλωπες, ὅτι κυκλοτερὴς ὀφθαλμὸς εἷς ἐπέκειτο τῷ μετώπῳ. Κυκλωπες, ἄγριοι ἄνθρωποι. καὶ κυκλώπειον κλέμμα. σημαίνει δὲ καὶ ὄρος. Κυκλώπων ἔθνος, ἐπειδὴ κύκλωπες ἐπείχοντο τὰς μυκήνας. καὶ κυκλώπειον, χαλκεῖον. Κυκλῶ κυκλώσω κοινῶς. κυκλῶ κυκλώσω, παρ᾽ Ὁμήρῳ, τὸ ἐφ᾽ ἁμάξης ἄξω. κύκλα γὰρ οἱ τροχοί, καὶ εἰσκυκλέω, καὶ ἐπικυκλέω, καὶ ἀνακυκλέω.

Κυκλῶσαι, τὸ περιελθεῖν καὶ περιοδεῦσαι, ἤγουν ποιῆσαι. κυκλῶσαι δὲ καὶ ἀνακυκλῶσαι, τὸ πολλάκις αὐτὸ μεταστρέψαι. Κυκλωπαίδημοις, ὑψηλοῖς. Κύκλῳ, εἴτε ὄνομα, εἴτε ἐπίρρημα, σὺν τῷ ι γράφεται. ἔστι γὰρ κύκλος, κύκλου, κύκλῳ. καὶ λοιπὸν αὗται αἱ δοτικαὶ μεταρχόμεναι εἰς ἐπιρρήματα, κατὰ τὴν σύνταξιν τῆς δοτικῆς, τὴν γραφὴν φυλάττουσι. οἷον ἰδίᾳ, δημοσίᾳ. κύκλῳ. οἷον, κύκλῳ σῶμεν. Κύκλωψ, ἐπειδὴ ἐστι, παρὰ τὸ σπανίζω ἤγουν κύκλον δὲ τὸ πολύφημος. εἰ μὴ ἄρα ὥσπερ τὸ αἰγύπτιος, ἐν τοῖς ἑξῆς κύκνον εὕρηται ὄνομα, οὕτω καὶ τὸ κύκλωψ ἐξ ἐθνικοῦ εἰς κύκνον μετῆλθεν, ἐξελιπόμενος τοῦ πολυφήμου τοῦ κυνός. Κύκλωψ ὅτι ποιμὴν ὤν, καὶ λύραν κατέχων ἤγουν τοῖς αὐτοῦ θρέμμασι, καὶ ὅτι αὐτὸν ὀδυσσεὺς ἐτύφλωσε, δηλοῖ ἡ ἱστορία. Κύκνειον, τὸ τοῦ κύκνου μέλος. Κύκνοι, δύο. ὁ μὲν ἄρης, ὁ δὲ ποσειδῶνος. καὶ τὸν μὲν ἄρεος, κακῶς τὰ παρὰ θαλασσίαν διαθέντα, ἡρακλῆς ἀπέκτεινεν. ὡς ἐν τῇ ἀσπίδι ἡσίοδος δηλοῖ. τὸν δὲ ποσειδῶνος, ἀχιλλεὺς στρατευσάμενον καὶ συμμαχοῦντα τοῖς τρωσίν, ὡς καὶ Πίνδαρος ἱστορεῖ. Κύκνος τῷ ἀπόλλωνι, οὐ μόνον διὰ τὸ ᾠδικὸν καὶ μαντικὸν ἀφιέρωται, ἀλλὰ καὶ διὰ τὸ λευκόν, ὅπερ ἐκ τοῦ λευκοῦ ἐστι βλέπειν χαρακτηρίζεται, οὗπερ ἀπόλλων ἐστὶ παραίτιος. ὅθεν καὶ δῆλος ἐπιδέδωκε ὀνομάζεσθαι, ὡς δῆλα καὶ εὔορατα πάντα ποιῶν. Κύκνος, ζῷον ἀπὸ τοῦ κλῶ τὸ φωνῶ, γίνεται κλύω, κλύκος, καὶ καθ᾽ ὑπερβιβασμὸν καὶ μετάθεσιν τοῦ λ, κύκνος. ἢ ὁ κυκλοτερῆ ἔχων τὸν τράχηλον, παρὰ τὸ κύκλος. Κύκνος, ἄτρωτος ἦν τὸ λοιπὸν σῶμα, πλὴν κεφαλῆς. τοῦτο μῦθος ἐστιν, ὅτι κατὰ τὴν κεφαλὴν πληγεὶς ὁ κύκνος ἀνῃρέθη. ἀλλὰ περιδέξιος ὤν στρατιώτης ὁ κύκνος. καὶ κάλλιστα σκεπόμενος ἐν πολέμοις, ὡς μηδέποτε τρωθῆναι ὑπεκρίθησαν τοῖς μύθοις, ὅτι ἄτρωτος ἦν, ἐπειδὴ πληγεὶς ὑπ᾽ ἀχιλλέως τὴν κεφαλὴν, ἀνῃρέθη. Κύκνος, ὁ στρατιώτης καὶ ποσειδῶνος, λαθραίως τεχθεὶς, ἐρρίφη πλησίον θαλάσσης. κύκνον δὲ πτέρυξ αὐτοῦ κατασκιάσαντα, ἰδόντες ἁλιεῖς ἀνείλοντο τοῦτον, καὶ κύκνον ὠνόμασαν. ὃς ἀνδρωθεὶς, ἔγημε πρόκλειαν τὴν λαομέδοντος, καὶ γεννᾷ τέννην, καὶ ἡμιθέαν. ἀποθανούσης δὲ τῆς προκλείας, ἐπέγημεν ὁ κύκνος φιλονόμην τὴν τραγασέως. ἣ ἐρασθεῖσα τοῦ τέννου, καὶ μὴ τυχοῦσα, κατηγόρησε πρὸς τὸν πατέρα, ἐκβιασθεῖσα ὑπ᾽ αὐτοῦ, συμφωνοῦντος αὐτῇ καὶ αὐλητοῦ τινος μόλπου. ὁ δὲ ὀργισθεὶς, εἰς λάρνακα λαβὼν τέννην καὶ ἡμιθέαν, ἀφῆκεν εἰς τὴν θάλασσαν. τῆς δὲ λάρνακος προσενεχθείσης τῇ τότε λευκοφρύϊ νήσῳ, νῦν δὲ ἀπὸ τοῦ τέννου τένεδος καλουμένῃ, ἰδόντες οἱ τῆς νήσου τὸ συμβὰν καὶ μαθόντες τὸ δρᾶμα, βασιλέα αὐτῶν τὸν τέννην ἐποίησαν. καὶ τὴν νῆσον ἀπ᾽ ἐκείνου, τένεδον προσηγόρευσαν. ὕστερον δὲ ὁ κύκνος τὸ ἀληθὲς, ἀνεῖλε μὲν φιλονόμην. αὐτὸς δὲ ἐλθὼν συνῴκησε τοῖς παισὶν ἐν τενέδῳ. ἀχιλλεὺς δὲ ἐπιστρατεύσας τῇ τροίᾳ, ἀνεῖλε τὸν κύκνον, καὶ τέννην τὸν ἱερὸν κύκνου λεγόμενον, ἔργῳ δὲ ἀπόλλωνος. ἡ δὲ ἡμιθέα διωκομένη φεύγουσα τὴν μῖξιν, εἰς γῆν κατεπόθη. μετὰ δὲ τὸ ἀνελεῖν ἀχιλλεὺς κύκνον, καὶ τέννην, εἰς ἑστίαν ἐλθὼν, ὕστερον ἀνεῖλε καὶ μνήμονα, ὃν ἔδωκεν ἡ θέτις συνακολουθεῖν ἀχιλλεῖ διάκονον, ὑπομιμνήσκειν αὐτὸν μὴ ἀνελεῖν ἀπόλλωνος παῖδα. εἱμαρμένον γὰρ ἦν ἀχιλλεῖ ἀποθανεῖν, εἰ ἀνέλῃ παῖδα ἀπόλλωνος. ὁ δὲ τέννης, ὡς ἔφην, υἱὸς ἀπόλλωνος. Κύκνος, ἀπὸ τοῦ κυνῶν πλέον τῶν ἄλλων τὴν ἰδὲν χύσιν τροφῆς. Κυκνίας, προγένειος. Κυκοῦντος, θρηνοῦντος. Κυλίζει, ἀπὸ κινεῖ κυλίνδεται. Κύλιον, τὸ σκύφος. Κυλλόν, ἀγκύλον, χωλὸν, βλαισόν. Κυλο-

[illegible]

πλω. κτίαστη, ἀπὸ τ κτίας κτίατος. καὶ ἔστιν ὑλός ἢ μβαπλασμού, πρὸς ὁμοιότατα τ κόνεαι, καὶ ἄσβεσι. Κτενίω, φονεύω. Κτιμένη, Δολοπικὴ πόλις τ Θεσσαλίας. Δολοπηΐα δὲ, τὴν Θεσσαλίαν εἶπεν ὁ Ἀπολλώνιος, ἐπειδὴ Δόλοπες ἔθνος Θεσσαλίας. Κτενῶ, τὸ φονεύω. Κτίσις, ὁ κόσμος. πᾶσα ἡ τοῦ θεοῦ κτίσις διαιρεῖται εἰς ἕξ, εἰς ἀόρατα λογικά, εἰς σύνθετα λογικά, εἰς σύνθετα ἄλογα, εἰς αἰσθητικὰ καὶ γεννητικά, εἰς ἐκτραφὰ καὶ κινητά, εἰς ἀναίσθητα καὶ ἀκίνητα. Κτίσμα, κλεινόν. Κτίσαι, ἱδρῦσαι, οἰκῆσαι, ἄρξασθαι. Κτίσμα, ποίημα, οἰκοδόμημα. Κτίσας, ποιητὰς, πλάστας. Κτόνος, ὁ φόνος. ἐξ οὗ καὶ κτενῶ, τὸ φονεύω. Κτυποῦσι, ψόφουσι.

Κτισέρ, κτίσας. Κτίσας, κτίσορθ. Κτυπίον, κτυπῶν, βροντῶν. Κτυπία, ὁ ἐπιθαλάμιος ὕμνος. Κτυπίον, τ ἐπιφερομένων τ θαλάμου, ἃ ἐπικτυποῦσιν ἔξωθεν, ὅταν συγκατακλίνεται ἡ νυμφίῳ ἡ γαμουμένη. Κτύπος, παρὰ τὸ τὸν ἦχον, καὶ πλεονασμῷ τ κ κτύπος. τὰ γὰρ τυπτόμενα, ψοφεῖ. Κτυπεῖ, κομπάζει, μεγαλορρημονεῖ, τῇ χειρὶ κροτεῖ. Κτύπος, ὁ κτύπος, χειρόκτυπος προσενεχθεὶς ἐσθίειν, ἢ λιμὸς μαμᾷ σημεῖον. Κτυπήσεις, κατακτυπήσεις. Κτῶ μενος, σωάζων. Κτῶ, τὸ κτῶμαι.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Υ.

Κύαθος, μέτρον ὑγροῦ, ἐγγιστα δέκα, ἢ κοχλιάριον. ὡς ἀκατοφαλος. Κυαμίον, ἰγγεῖον ὤν. Κυαμεύσαι, αυλῷ ψηφοφορῆσαι, ᾧ ἐχρῶντο οἱ βουλευταί. Κυαμοτρὼξ, Δικαστὴς, κυάμοις ἐψηφίζοντο οἱ δικασταί, διὰ τὸ μὴ καλεῖσθαι, ἀντὶ ψήφων. ἄλλοι δὲ διὰ τ σ κυαμοτρὼξ, ὁ κυάμοις δικάζων, ὁ ληρώσεων. τότε γὰρ ἐχρῶντο ἀντὶ ψήφων. ἄλλως. τρεφόμενος ἀπὸ τῶν κυάμων, ἐπεὶ ἀντὶ ψήφων κυάμοις ἐχρῶντο ἐν ταῖς χειροτονίαις τῶν ἀρχόντων, καὶ ἐν ταῖς ἐκκλησίαις. ὡς οὖν τ ψηφιζομένων ἀργύριον λαμβανόντων, καὶ χειροτονούντων ἢ δικαζόντων τέλος, οὕτως ὠνόμασε τ δῆμον, τ ἀπὸ τῶν κυάμων τρεφόμενον. Κυαμεύτης, ὁ πάλλης καλούμενος. Κυαμεύσαι, κληρῶσαι. Κυάμου καρπὸς, τ νοσαλισμὸν φασιν ὁ Διοσκορίδης. Κύαμος, ὥσπερ, ὁ ὁ κλῆρος, καὶ τὸ ὑπὸ τῶν βιβλίων τ μαστοῦ πρῶτον συνιστάμενον γάλα, καὶ τὸ αἰγύπτιον κιβώριον λεγόμενον καὶ κυάμων. Κυανίας ἐπ' ὀφρύσιν, ἡ δὴ ἀκοντίζεται κεφαλὰ, ἀπὸ μέσης συμπλεκόμενος, καὶ κατὰ σύλληψιν, ὥς εἰ τεχνικοί φασι. διὰ τὸ συμπλέκεσθαι, καὶ συλλαμβάνεσθαι, καὶ συνάπτεσθαι ταῖς ὀφρύσι, τὴν ὅλην κεφαλὴν. ἐπειδὴ ἐστὶν ἴδιον συμπλοχῆς, ὅτι συλλήψεως. Κυανέμβολοι τριήρεις, ἐπεὶ αἱ ἢ ἐμβόλους ἔχουσαι, κυανῷ βεβαμμένας. ὡς μιλτοπάρειοι, μεμιλτωμένοι, ἢ αἱ τέμνουσαι τὴν θάλασσαν. κυανὸν δὲ, τ ταύτης ὕδωρ.

Κυανὸν, εἶδος χρώματος οὐρανοειδὲς. Κυανόπεζα, μελανόπους. Κυανὸς, θαλάττιον ὕδωρ, καὶ ὄρνις. Κυάνεον, τὸ μελανώτερον δὲ ἐφ' ὅλην. καὶ δὲ γινώσκειν, ὅτι τ κυανοῦ ἐν ταῖς, τὸ κυάνεον. ἐτυμολογεῖται δὲ ἀπὸ τ κῦμα, κυμάλιον, καὶ ἐμβολὴ τ ν κυάνεον. τοῦτο γάρ τι δηλοῖ τὸ κῦμα. δι' ἐκ τ κύανος, χυμὸς ἢ μέλαν, ἐξ οὗ τὸ κυάνεον μεθοδικῶς, ἀφ' οὗ κυάνεον, καὶ κυανοῦν. Κυανοῦν, ἐκ τ τοιόνδε κυανοῦν. ὁ παρὰ τοῖς ἰωσι λίγεται, ὡς τὸ χαλκὸν χάλκεον, καὶ χρυσὸν χρύσεον.

Κυανοχαῖτα, ὁ μελανόθριξ. κυανὸν γὰρ, τὸ μέλαν. ἡ χαίτη, ἡ θρίξ. Κυανώπιδος, μελανώπιδος, ὠραίων. Κύαρ, τὸ βελόνης τρῆμα. παρὰ τὸ ἐκπεραίνειν, καὶ τὸ τ κύπας τὸ μάλον. Κυάρη, ἡ αἰθυῖα. Κυάρας, ὁ λυκος, ὁ δὲ κνάρας ὁ μαδᾶ τρατηγός. Κύβαδα, κύμα. ἀπατέωσι. Κύβαρος, θεός. Κυβαίζοντα, λαλοῦντα, τ ἐκκύπτοντα, ἢ τ ὀρχοῦντα. Κυβᾶσαι, κατασκάψαι. Κυβαρσία, κεφαλὴν ὄλικος. ἄλλοι κυβαρσίαν φασὶ, τὰς κεφαλαλγίας. Κύβαν, θεός. Κύββα, ποτήριον. Κυβεία, πανουργία, ὁ καὶ σκοπός. Κόβειρος, ἀνταλλάς. Κυβεία τόκος, εἰς ὃν συντίθεται κυβιστικῶς, ὁ νῦν τόκος λεγόμενος. Κύβελα, καὶ ἄλλα. διὰ δὲ τ χρήματος, τὴν αἰχμὴν διάκειταν αὐτ ἀρτεσαφαίας.

Κύβειρον, θύκλαι μελετῶν. Κυβίλλη φασὶ τὴν ῥίαν, παρὰ τὰ κύβελα ὄρη. ὀρεία γὰρ θεός, διὸ καὶ ἐποχεῖται λεόντων ζεύγει. Κύβελον, ὄρος ἐν φρυγίᾳ, ἔνθα τ ματρὸς τ κυβίλης ἱερὸν ἅγιον ἔστι. Κυβέρνησις, φρόνησις. ἡ κυβέρνησις ἔστι ψυχῆς ἐπιστήμη, περὶ τὴν ἄστατον φύσιν τ ἀνθρωπίνων πραγμάτων, παρὰ τὸ τὰ κύματα ἐρευνᾶν ἢ πρὸς αὐτὰ ἰθύνειν τὴν ναῦν, τρεπομένων τὰ ἴσας. Κυβερνήτης, ὁ τ πλοίου ἡγεμών. Κυβερνῶ, εὐτεχνῶς συντάσσεσθαι. οἷον ὁ βασιλεὺς κυβερνᾷ τὴν πόλιν. κυβερνητικὸν τὴν γλῶτταν, τῇ σιωπῇ, καὶ τοῖς λόγοις. Κύβεσις, ἡ κύβεσις, ἀκρα. Κυβευτὴς, καὶ κυβιστὴς λέγεται. Κυβεύειν ἔστι, τὸ διὰ ψήφων παίζειν, καὶ τὸ κύβον ῥίπτειν, καὶ εἰς κίνδυνον προσπελᾶν. Κυβεύω, τὸ κύβοις χρῶμαι. Κυβεύειν, διαλύειν. κυβεύω, κύβον ῥίπτω, ὡς κίνδυνον προσπελάζω. μὴ παραβάλλεσθαι κυβεύειν ἐν βίῳ. Κυβευτήν, ἑβραϊκὸν κυβευτὴν, ἀπὸ μὴ εἰδὸν τέχνην τ τοῖς κύβοις χρώμενον. ἐπισκόπην γὰρ ἐπιλόγως. τὸ δὲ διαφερὲς χρῆσθαι, ἐπισημαντικώτερον τὴν ἐθυμίαν τ κυβείας ὀνομάζον. Κύβηβος, γάλλος, κίναιδος, μανῶν. Κυβήβη, ἡ θεῶν μήτηρ. Κυβήβαν κυρίως, τὸ ἐπὶ τὴν κεφαλὴν ῥίπτειν. ὅθεν καὶ κύμβαχος. Κυβιλίσαι, πελεκίσαι. κύβιλις γὰρ ὁ πέλεκυς, καὶ ὃ ἀγρευόμενος κύβελις ὁ θύτης.

Κυβήλιον, διαφορεῖται, κορυβαντιῶ. Κυβήλη, ἡ καὶ ῥέα, βίλλα, καὶ ἄρτεμις, μήτηρ τ θεῶν, καὶ ἡ ἀφροδίτη, καὶ ἐπιλέματα παρὰ ἀρχαίοις. παρ' ὃ καὶ τ πέλεκυς φασὶ καὶ διάτεξιν. Κυβήλεις καὶ καβάλους, ἢ κακούργους λέγουσι.

Κυβηλίς, μάχαιρα. ἀμφίστομον δὲ πέλεκυν, ᾧ τὰς βοῦς καταβάλλουσι. ἐπεὶ δὲ τῶν τυραννοῦσιν. Κυβησίνδα, παιδιᾶς φασὶ, ἐπεὶ δὲ ὀρχησὰς πάλλουσι. Κυβιστῶ, πραγματεία, κύβισμα. Κύβιστ, κυβευτῶν. Κύβισμα, σύλλημμα. Κυβίσας, ἀλεῦσι. Κυβισθίων, πηδῶν. Κυβιστητὴρ ἐπὶ κεφαλὴν, ἢ τὸ φορτίον ἐπὶ νῶτα, ἢ κατὰ νῶτα. Κυβιστᾶν, ἐπὶ κεφαλὴν ῥίψαι, ἢ τοῖς ἀγκῶσι πλήττειν. Κύβιλος, ὁ κατεχόμενος τῇ μητρὶ τ θεῶν, κυβελικὸν τρόπον. Κυβίσεις, κλάσεις τοῖς διαλυτολικοῖς. Κυβιστᾶν, κυρίως τὸ ἐπὶ κεφαλὰς ῥίπτειν. καὶ κυβιστᾶν, κολυμβᾶν. Κυβίστησις, συστροφὴ, ὄρχησις. Κυβιστὴρ, καὶ ἀρνευτὴς, τὰ αὐτὰ. ἐπεὶ καὶ ἔστιν τὸ κυβιστητὴρ, ἀρνευτήρ τε γὰρ ὁ ἐπὶ κεφαλὴν εἰς θάλασσαν δυόμενος, καθ' ὁμοιότητα τ τ ἀρνῶν σκιρτήσεως. οἱ σκιρτῶντες, τοῖς μὲν ἐμπροσθίοις ποσὶν ἅλλονται, τὴν δὲ κεφαλὴν τῇ γῇ πελάζουσι. διὸ καὶ τ ἔμπροσθεν ἰχθὺν, τ καὶ ἐμπείραν διὰ τὸ συνεχὲς ἐξάλλεσθαι, ἀρνευτὴν ἐκάλουν, κατὰ τὴν τ Δειπνοσοφιστοῦ ἱστορίαν. ἢ κυβιστὴρ δὲ, ὁ ἐπὶ κύμβην, ὁ ἐστι κεφαλὴν ὑπὸ ἢ ὅλως γινόμενος, ἢ ὁ κατὰ κύβου ἄνωθεν καίειν βάλλων ἑαυτὸν, ὡς ἀπὸ κύβου, ἀπὸ τ κύμβην δηλοῖ παρῆχθαι. ὡς οἷον κάτω κάρα κατὰ ἐπικύβητον γινόμενος, ἐν τῷ κατακλίνεσθαι, ἀπολύεται ἡ καὶ ἐν τῷ καλύπτει βέβλοφα, βλάπτει βλαβέα, κρύπτει ἀποκρυβεῖ. Κυβισῶ, τὸ κολυμβῶ, καὶ κυβιστῶ. πεδοσᾶν, καὶ τὸ ἁπλῶς ἐν γῇ κυλίεσθαι, ῥίπτειν χεῖρας ἢ πόδας.

Κυβισίς, πάλη. Κυβιστὴς, ὁ ὀρχηστής. Κυβιστᾶν, εἰς κεφαλὴν πίπτειν. Κυβισᾶν, κολυμβᾶν κατωφερικῶς. Κυβοῦσι, πηδῶσι, σκιρτῶσι. Κύβος, τὸ τετράγωνον. ὁ κύκλος, ὃν μάτην ἔχων. ὁ χῦμα γινωσκόμενον, καὶ ἀριθμὸς ἕξ, ᾧ οἱ ἐπιθέται χρῶνται. ἐκαλεῖτο δὲ τ κύβου χῦμα, καὶ παρὰ τοῖς μεγαλικοῖς κύβος, καὶ οἱ ταλαμῖνοι λέγουσι κύβον, τὸ τοῦ ἱματίου σημεῖον. πάφιοι δὲ ὃ φυλλάδιον. Κύβιτρον, τὸ ἀπίλεγμον. ἀπὸ τοῦ

κῶσαι, ταύτῃ Ὅμηρος, οἱ δ' ἐπὶ κρόφαλιγγος, οὐδ' ἐπιπείθου, οὐδὲν ἔφη διαφέρειν. Κρυφίζουσι, πανοῦργος, δόλιος.

Κρυώδεις, ψυχώδεις. Κρωβίαλον, πόλις περὶ παφλαγονίαν, ἧς μέμνηται Στράβων ἐν γεωγραφουμένοις. Κρώβυλος πλέγμα τριχῶν εἰς ὀξὺ λῆγον. ἐκαλεῖτο δὲ ἐπὶ ἀνδρῶν οὕτω, κόρυμβος δὲ ἐπὶ γυναικῶν, σκορπίος δὲ ἐπὶ παίδων. Θουκυδίδης, κρωβύλους ἀναδούμενοι, καὶ ἐν ἔρσεσι τεττίγων κρωβύλον. ἢ κρωβύλον παρ' Ἀθηναίοις, τὸ προσείλημα. Κρωβύλου ζυγός, παροιμία ταττομένη ἐπὶ τῶν περιβαλλομένων κιχωρίοις συνηθείᾳ. μέμνηται δὲ, ἐν πορνοβοσκῷ Εὔβουλος.

Κρώβυον, δρέπανον. Κρώβυλος, ὁμαλὸς τῶν παιδίων, ὁ κατὰ μέσον τῶν αἰδοίων, ἢ ὁ κόρυμβος τῆς ἐμπλοκῆς, ἢ ἐπὶ ἀνειλημμένον ὑπὸ μίτου τοῦ μεσαίου ἐπὶ τὴν κορυφήν. οὕτω δὲ καὶ ὁ ῥήτωρ Ἡγήσιππος, ὃς καὶ Δίγγος ἐκαλεῖτο. Κρωγμὸς, ἡ βοή. Κρωδέης, ὁ δειλός. Κρώζει, κρώζει, ὡς κορώνη, ἢ κόραξ. Κρώζουσιν ἐπὶ ἀψύχων, βοῶσι. Κρωμάκιον, παιδίον, πανοῦργον. Κρωμακόν, κρεμνῶδες.

Κρώμαξ, σωρὸς λίθων. Κρώμνα, χωρίον κυρίως, καὶ πόλις παφλαγονίας, οὗ ἐτιμᾶτο Ποσειδῶν. Κρώπια, τόπος.

Κρωπίδαι, δῆμος τῆς λεοντίδος φυλῆς, οὓς ἀλαζονευόντες παίζοντες ἔλεγον τοῦ ρ στοιχείου εἰς τὸ λ, εἶπον κλωπίδαι.

Κρῶπος, ὁ ὀφίς. Κρωσσοί, ὑδρίαι, στάμνοι, λήκυθοι, κρατῆρες, βάτακοι, σολῖται, καὶ ἐπιλεβάδιοι. Κρωσσός, παρὰ Σοφοκλεῖ, ὁ ἐπὶ κρατήρ. γίνεται φασι παρὰ τὸ κρῶ, καὶ συγκοπῇ κρῶ, τὸ κελεύω καὶ ἐπιχέω. καὶ οἱ παρὰ Λυκόφρονι δὲ ἐνέροις κρωσσοί, ἀγγεῖα ἐκεῖνα δεξιὰ ἐφθεῖσθαι. λέγουσι ἴσως ἔξωθεν, καὶ τὰ νικῶντα δὲ ὑπὸ τῶν μεγάλων κεφαλῶν.

Κρώτωνος, μάντεων γένος. Κρῶφι, ἢ μῶφι, ὄνομα ὀρῶν.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Τ.

Κτὰ, ἡ ἔκτα, ἔκτεινε. Κτὰν, κτάναι, φονεύειν, ἀνελεῖν. Κτάω, ῶ, κτῶμι, κτείνω, ἀόριστος δεύτερος ἔκταν, τὸ τρίτον τῶν πληθυντικῶν ἔκτασαν, συγκοπῇ ἔκταν, καὶ ἀφαιρέσει τοῦ ε κτάν. Κταίνειν, κτείνειν.

Κτανέεσθαι, κτείνειν κτενῶ ἔκτεινα, ἀόριστος δεύτερος ἔκτανον, ὁ δεύτερος μέλλων κτανῶ, ὁ μέσος κτανοῦμαι κτανῇ κτανεῖται, τὸ ἀπαρέμφατον κτανέεσθαι, καὶ διαλύσει τῆς διφθόγγου εἰς δύο ε κτανέεσθαι, ὡς εἴργω εἴργω. Κτάνθεν, ἀπώλοντο. Κτάρα, ἰχθὺς βραχύτατος πάντων. Κτᾶσθαι, οὐ τὸ φονεῦσαι, παροξύνεται, ὅτι μὴ φωνητικῶς ἐκτείνει τὴν παραλήγουσαν, κατὰ τὸ κτᾶσθαι, ἀφ' οὗ τὰ κτήματα. Κτᾶσθαι, ὠνεῖσθαι, ἢ ἀγοράζειν, ἢ φυτεύειν. Κτᾶται, ὠνεῖται.

Κτᾶν, ἐκτάκεν, ἀπέθανεν. Κτέαρ, τὸ κτῆμα, δῶρον, σκεῦος, καὶ κλίνεται κτέατος. Κτέανον, κτῆμα. Κτεάτεσσι, ταῖς κτήμασι, κτήσεσι. Κτεάτεσσι, πλεονασμὸν ἔχουσι τῆς τε συλλαβῆς, καθὰ καὶ τὸ σώμασι, παρὰ τῷ ὁπτικῷ. τὸ κοινὸν γὰρ σώμασι. Κτεατίσσαι δουρὶ ἐν περιφραδέσι, ἐπὶ τὸ αἰχμαλωτίσαι, ταυτέστι. Κτεάτισσε Λαέρτης ἀγρόν, τουτέστιν ἐκτήσατο. οὐ κατὰ λόγον ζῶον, ἀλλ' ἐπειδὴ μάλα πολλὰ ἐμόγησε κατὰ βίον ἀπλοῦν ἡρωικόν. τὸ δὲ τοιοῦτον μόγημα, καὶ πολυδίνητον κατέστησε τὸν τοιοῦτον ἀγρόν. Κτεατίσασθαι, ἐκτῆσθαι. Κτείνω, ἀναιρῶ, κτείνω, τὸ φονεύω μέλλων κτενῶ, παρακείμενος ἔκτακα. Κτεὶς κτενός, τὸ κτένιον, παρὰ τὸ ἐκτείνειν τὰς χεῖρας, ἢ τὰς τρίχας. κτεὶς δὲ ἐπὶ τῆς θαλάσσης, παρὰ τὸ ἐκτείνεσθαι καὶ ἀπλοῦσθαι, ἢ παρὰ τὸ ἐκτείνειν τοὺς φθεῖρας. Κτείς, τὸ ἐφήβαιον, τὸ μόριον, ἤγουν τὸ αἰδοῖον, καὶ τὸ τῶν τριχῶν καλλυντρόν. Κτένας, τὰς τῶν χειρῶν καρπούς καὶ τῶν ποδῶν, καὶ τὰ στήθη, μεταφέρονται ἀπὸ τῶν εἰς τὰς τρίχας ἐπιτηδείων κτενῶν. λέγουσι δὲ καὶ τὰς ἰσχίου πλευράς.

Κτένια τῶν κιθάρων, οἱ περιέχοντες ἄγκυλοι λέγονται.

Κτενιούμεθα, ἀναιρεθησόμεθα. Κτενωτὸν, ὑφαντόν. Κτενωτὸς τρίχα, τὴν ἐφεστρίδα. Κτένιον, ἐν ᾧ κτενίζομεν τοὺς φθεῖρας, καὶ τὸ τῆς κεφαλῆς. Κτέρας, κατὰ πολυωνυμίαν, ταυτὸν ἐστὶ τῷ κτέαρ καὶ κτῆμα. Κτέρεα, ἐντάφια. Κτέρεα κτερεΐξαι, οὐ μόνον ἐτυμολογικῶς ἔχει, ἀλλὰ καὶ ἀττικόν ἐστι σχῆμα, συνηρημένον ῥῆμα καὶ συστοιχεῖ ὀνόματι, ὡς καὶ ἐπὶ τοῦ λόγον λέγει, καὶ ὕπνον ὑπνοῖ. κτέρεα δὲ κτέατα, ὅτι κτήματα νεκρικά. ἢ κυρίως, τὰ κτωμένοις προσήκοντα, ἢ πάντα τὰ εἰς τιμὴν τοῖς κατοιχομένοις ἐπιφερόμενα. Κτερεΐξαι, ἐνταφιάσαι. Ὅμηρος, σήματί οἱ χεῦσαι, καὶ ἐπὶ κτέρεα κτερεΐξαι. Κτερεΐξαι, τὸ τύμβον στῆσαι, καὶ τὰ ἐπὶ τῷ τύμβῳ τελέσαι. τύμβον ἐπικτερεΐξαι, τύμβον ἐποίησαν καὶ ταρχῦσαι, τὸ θάψαι.

Κτέρεα, νεκροί. καὶ ἀκτέριστοι, οἱ ἄταφοι. Κτερίζω, κτερίζω, σκυλεύω, ἐνταφιάζω. Κτερίσαι, καὶ κτερεΐξαι, θάψαι, ἐνταφιάσαι. Κτερίσουσι, θάψουσι. Κτέωμεν, ἀντὶ τοῦ φονεύσωμεν, ὁμοίως ἐστὶ τῷ ἀφίωμεν καὶ φθίωμεν καὶ εἰδέωμεν. ἀντὶ τοῦ κτῶμεν ἀφῶμεν φθῶμεν καὶ εἰδῶμεν. ἐξ οὗ δῆλον ὡς πρωτότυπόν ἐστι ῥῆμα κτῶ, οὗ τὸ ἐντελὲς κτέω, ἐν πλεονασμῷ τοῦ ε κτέω, καὶ ἐκτελείωσει τοῦ ε κτείνω. ὁμοίως τὸ ἴω εἶμι, τὸ κλέω, οὗ παράγωγον τὸ εἴδω. Κτηδόνες, τριβόλλοντα ἰχθύα, καὶ θηρίδια, καὶ αἱ ἐν εἴδει τῶν ξύλων ἐκφύσεις. Κτήνους, ὁ λυγρός ὁ προηγούμενος τοῦ ποιμνίου. Κτῆμα, καὶ αὐτὸ πλουτήσομεν, ἀκτήμων, εὐκτήμων. Κτήματα, λέγει Ὅμηρος φανερῶς πολλαχοῦ πάντα τὰ ἐν ἀγροῖς ὄντα διὸ καὶ καλά, πάντα τὰ θρέμματα. Κτήματα, οὐ μόνον τὰ ἔπιπλα, ἀλλ' οἱ μεθ' Ὅμηρον καὶ χρήματα, παρὰ τὴν χρῆσιν καλοῦντες, ἀλλὰ τὸν ἅπαντα βίον. Κτήματα, οἱ μεθ' Ὅμηρον ἰδίως, ἐπὶ πάντων ἁπλῶς τῶν ὑπαρχόντων. Κτῆνα τετράποδα κυρίως, ἐπὶ τῶν σφαζομένων εἰς βρῶσιν. κτᾶσθαι γὰρ, τὸ φονεύεσθαι. καταχρηστικῶς δὲ, καὶ ἐπὶ τῶν ἄλλων. κυρίως δὲ τὰ θρέμματα, ἐκ τοῦ σφάζειν καὶ κτείνειν. ἢ κτῆνα κυρίως, τὰ ἥμερα. θρέμματα δὲ, τὰ ἄγρια. Κτήνεα, χρήματα. Κτηνοδίαιτοι, ἀλογοειδεῖς. κτήνεα γὰρ, τὰ ἄλογα. Κτηνώδεις, ἀλογώτατος. Κτησάμενος, λαβὼν, ἔχων. Κτησίδιον, ὁ μικρὰ κτῆσις, ἤγουν ὀλίγη περιουσία. Κτῆσιν καὶ κτήματα λέγει Ἡσίοδος ὁ ποιητὴς τὰ ἀπόθετα, συνήθως ἑαυτῷ φράζων. περὶ δὲ τῆς λέξεως αὐτῆς ἐστιν εἰπεῖν, ὅτι ἐκ τοῦ κέω κῶ προσέρχεται, καὶ τὸ κέχμαι κέκμαι κεῖμαι, ὅθεν παράγεται κειμήλιον, ἀποθέτων πάντως ὄντων δηλαδὴ καὶ κειμένων. καὶ αὖ πάλιν ἐκ τοῦ αὐτοῦ κέω κῶ, πλεονασμῷ τοῦ τ γίνεται κτῶ κτήσω, ἀφ' οὗ ἡ κτῆσις, ἤτοι κτῆμα, κείμενον ὡς ἀποθέσιμον αὐτό. Κτήσιος, Ζεύς. Κτῆσις, ἡ περιουσία, ὁ πλοῦτος. Κτητῶν, ἀγοραίων. Ἡσίοδος, κτητὴν, οὐ γαμετήν.

Κτιδεὸν, τὸ ἀπὸ τῶν κτίδων πεποιημένον, ἐμπεριειλημμένον ἢ ἐκτεταμένον. Κτίζαι, οἰκοδομῆσαι, κτίσαι. Κτιδέη, κυνῆ, λύκειος περικεφαλαία ἐξ ἐκτίδος δέρματος. ἐκτὶς δὲ ζῶόν ἐστι γαλῇ παραπλήσιον. ἣ κτιδέην ἔχει, ἡ τὴν περικεφαλαίαν. ἐκτὶς δὲ φασι, δορὰν λύκου. Κτίζω, κτίσεις, κτίσον, τὸ ἐκτισμένον. κτίσις, ἡ πρᾶξις τῶν κτιζόντων. Κτίλος, ὁ προηγούμενος τῶν προβάτων κριός. Κτιλώσασθαι, ἢ κτιλώσασθαι, συνδουλῶσαι. Κτίλος, ὁ χειροήθης καὶ ἥμερος. ἐκ τοῦ κίω τὸ πορεύομαι. ὁ τῶν ἄλλων προπορευόμενος. ἐξ οὗ καὶ ἐπιλεγόμενος παρὰ Παρθενίῳ. ὁ συνήθης ἐστί. Κτιλώσασθαι, ῥῆμα παρὰ Ἡροδότῳ εἰπόντι, ἐκτιλώσαντο τὰς λοιπὰς τῶν ἀμαζόνων, ἤγουν ὡς γυναῖκας ἔχειν ὑπέβαλον. Πορφύριος δὲ, καὶ κύριον ὄνομα εἰσὶ κτίλον ἐστί, ὃν Διὸς λέγει ἀπόγονον.

Κτιμένη, κατῳκισμένη, ἡ πόλις Θεσσαλίας. Κτίμενον, τὸ οἰκούμενον. Κτιμένη παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, Ὀδυσσέως ἦν ἀδελφή. ἣν ἀνὴρ Εὐρύλοχος γαμεῖν ὑπέσχετο. ἐφιέμενος δὲ αὐτὴν λέγει, κατὰ καὶ τὴν ἄλοχον τοῦ Λαέρτου, δαίφρονα. ἡ πρὸ αὐτοῦ τὴν πενθό κλην.

κροσσοῖς, καὶ ὑφαλότερον ἔχοντα οἱ πρὸς τῷ τέλει. καὶ ἦν ἴσως καὶ τὸ ἐν ἀποσιμοῦσθαι, ὅθεν ἀπὸ σιμοῦ καὶ κοίλου τόπου ἀνέχεσθαι ὕφους. καί ... δὲ ἀποσιμοῦσθαι παρὰ τοῖς παλαιοῖς, παρ' οἷς οὐ μόνον ἀπεθίμωσαν τὸ ὕφασμα, καὶ πρὸς τὸ λαμπρότατον ἦγε κατὰ Παυσανίαν. ἔνθα καὶ ἀποσιμῶσαι, τὸ μετεωρίσαι ναῦς, παρὰ Θουκυδίδῃ. Κροσσαῖον, ὑποτρόχων κλιμάκων, πρὸς τειχομαχίαν ἐπιτηδείων. Κροσσός, τὸ κράσπεδον. κροσσοὶ δὲ ἡ ὑδρία, ὅτι ἄγγος ἄλλο εἰς τὸ ἐπιχέας ὕδωρ μέγα, παρὰ τὸ ἐπιχέω. τοῦτο δὲ γέγονε, παρὰ τὸ κρῶ, κατὰ συγκοπὴν κρῶ.

Κροσσός, ὁμαλός. Κροσσωτοῖς χιτῶσι, τοῖς διαφόροις χαρακτῆρσι τῆς ἐκκλησίας κοσμούντων ἱερῶν ἀνδρῶν. διηρμήνευται γὰρ οἱ κροσσοί, καὶ πάλιν ἀνέωνται. Κρόσσαλος, εἶδος ὕλης. Κροτεῖα, φυλακτήρια. Κρόταφος καλεῖται, τὸ ἐπικείμενον τοῖς ... ὀστέον. Κροταλίζειν, ... ψοφεῖν, καθὰ καὶ τὸ κροτεῖν, οὗ παράγωγον τὸ κροταλίζειν. ἀπὸ γὰρ κροτῶ, ἀφ' οὗ κροτίζω. καὶ πλεονασμῷ κροταλίζω, ... ὁμοιότατα τῷ ἐγγυαλίζω. ἐκ δὲ τοῦ κροταλίζω καὶ τὸ κρόταλον, οὗ χρῆσις παρὰ τῷ κωμικῷ. σημαίνει δὲ ἴσα τὰ κρόταλα, ἐξ ὀργάνων τεχνῶν ἢ ξύλου ἢ χαλκοῦ, ἃ ἐν χερσὶ κροτούμενα θορυβεῖ. ἐπ' αὐτῶν δὲ ὁ κωμικὸς καὶ παρὰ τὸ δῖον ἐν λαλιαῖς ὀχληρός, εἰς κρόταλον παρεικάζεται. Κρόταλος. Ἀριστοφάνης, ... ἡ μεταφορὰ ἐκ τοῦ κροτάλου, κρόταλον κυρίως, ὁ σχιζόμενος κάλαμος, ὁ κατασκευαζόμενος ἐπιτηδείως ὥστε ἠχεῖν, εἰ ἂν αὐτὸν διασείσῃ ταῖς χερσί, καθάπερ κρότον ἀποτελοῦν. τρανὸς οὖν ἐστί φασι, καὶ τὴν φωνὴν διαρθρωμένος, καθάπερ κρόταλον. Κρόταφοι, κυρίως ἐπὶ τῶν ζώων τῶν κερατοφόρων, διὰ τὸ ἐξ αὐτοῦ τῶν μερῶν φύεσθαι κέρατα. εἰσὶ δὲ ... ὅτι κροτοῦσι τὴν ἀφὴν παλλόμενοι. Κρόταφος, καὶ κόρση, ταυτόν. κρόταφον δὲ ἐκ τῆς κόρσης ἐτυμολογοῦσι ἔνιοι, οἱ μεταθέντες τὸ ρ, ... κρόσα. εἶτα ἐξ αὐτῆς παράγουσι διὰ τοῦ τ καὶ φ διαφυλακτικώτερον τὸ κρόταφον, ἵνα ᾖ ... καὶ ἀττικῶς κρόταφος. ὅτι ξυλάφιον, καὶ ἔλαφος ἐλάφιον. ἀπὸ δὲ τῆς κόρσης γίνεται καὶ ἡ κόρρη, τροπῇ τοῦ σ εἰς ρ, ὁμοίως τῷ πυρσός πυῤῥός, ταρσός ταῤῥός. καὶ τὸ ἐπὶ κόρρης δὲ τύπτειν, τὸ κατὰ κόρσης ἤτοι κροτάφου ἐστί. παρὰ δὲ τοῖς ἀττικοῖς, κόρρη ὁ ... Ἀρκεσίλας, κρόταφόν φησι τὸ μεταξὺ ὀφθαλμοῦ καὶ ὠτὸς καὶ κορυφῆς. ὅτι καὶ ἀπὸ τοῦ κορύσσειν ... ἐτυμολογεῖται, δηλοῦσιν οἱ παλαιοί. Κροτήσατε, ἀλαλάξατε, βοήσατε, ἐπαινέσατε ταῖς χερσί. ποιητικὸν γὰρ ὁ κρότος. Κροτοθορύβου. πλὴν ἄναξ φίλον λεοντάμων, οἷον κροτοθορύβου ἡμᾶς ἐνέπλησας, ἀναστάντας ... τὸ ἐπικέλευον.

Κρότημα, ἐπὶ δολίων τάσσεται. Κρότα, ἐκτυπούμενα, ... ἐπιτεθαμμένα. Κρότοι, εὐφημίαι, ἔπαινοι.

Κρότωνες, ὁμοίως. Κρότωνες, κρότωνες. Κροτωνία, ... φυλὴ ... Κροτώνων, κυνῶν φθειρῶν. Κρότων ὁ φθεὶρ ἀπὸ τοῦ κροτεῖν, οἷς ... ὁ δὲ ... βοτάνης ὄνομα λέγει διὰ τὸ ὅμοιον αὐτῆς τὸ σπέρμα διατριβόμενον ἐν τοῖς ... ὁμοίως τῷ ζώῳ, διὰ τοῦ κρότων ἐκλήθη. ἔστι δὲ καὶ ὄνομα πόλεως. Κροτῶ, κρούω, προσκρούω διὰ τῆς διπλῆς. ἀνακρούομαι δὲ μέλος, ἀποκρούομαι διὰ ... Ἀριστοφάνης, ἐγὼ δὲ τὼ χεῖρε ἀνακροτήσας ... Κρότωνος τὰ ἐν τῷ πνεύμονι βραχία, παρὰ τῷ Ἱπποκράτει. Κρότων. οὕτω καλεῖται, ὃ ἔνιοι κίκι αἰγύπτιον. οἱ δὲ σησάμινον ἀγρίαν, καὶ τὸ ζῶον τὸ ἐν κυσὶ καὶ βουσὶ γινόμενον. ἄλλοι δὲ πυρσούς. Κροτών, τὸ ἐπιγινόμενον τοῖς δένδροις, μάλιστα τῇ ἐλαίᾳ. Κρότωνος, ... νῦν δὲ ἐπὶ τοῦ ζώου. λέγεται τὸ γὰρ εἶναι πάντων ὅμοιον, καὶ μελιμίαν ἔχον διακονικήν. κρότων δὲ ἐστι, ζωΰφιον τὸ ἐν τοῖς κυσὶ καὶ βουσὶ γινόμενον. Κρούζω, κροβύζω.

Κρουνηδόν, δίκην κρουνοῦ. Κρουνοί, αἱ τοῦ χειμάῤῥου ἀρχαί, ὥσπερ πηγαὶ αἱ τῶν ποταμῶν. καὶ οἱ τόποι ὅπου πλῆθος.

Κρουνοχυτρολήραιον, ἀντὶ τοῦ φλύαρος εἶ, κρουνὸς τὸ χύδην καὶ ἀκρίτως, καὶ ἀθρόως ῥέον, λῆρον τὸ ματαιολογίαν. συνέθηκεν οὖν Ἀριστοφάνης ἐκ τοῦ κρουνοῦ καὶ λήρου, καὶ τῆς χύτρας ... οὕτως. ἵνα τὸ ὅλον δηλώσῃ τὸ ἀνεπίθετον, τὸ ἄκαιρον, καὶ πολυλόγον. Κρουνοῖο, τοῦ φοβεροῦ. Κρούματα, μέλη. Κροῦμα, τὰ ἄφορα δένδρα. Κρούσεις, κροῦσαι γέλωτα.

Κρουνοφόρον, οὕτω καλεῖται ἡ τόρμος ἐν ταῖς ναυσί. Κρούπεζα, ξύλινα ὑποδήματα, καὶ κλοιός. καὶ κρουπεζία καὶ κρουπεζοφόρος, ὁμοίως. Κρουπαλίας, κλοιδίας. Κρουπεζούμενος. τὰ ξύλινα σανδάλια, κρουπέζια λέγεται, καὶ ὑποδήματα ξύλινα, μεθ' ὧν τὰς ἐλαίας πατοῦσι. θέλει οὖν δηλοῦν τοὺς τραχεῖς πόδας ἔχοντας. Κρούπεζαι, ὑψηλά, ἢ ξύλινα ὑποδήματα, ἢ γυναικεῖα. Κροῦσαι τὴν θύραν, ἴσως μέχρι παραβεβίασαι ἡ χρῆσις. ἄμεινον δὲ, τὸ κόψαι τὴν θύραν. Κρούσασθαι πρύμναν, φασὶ ἐνίους λέγεσθαι ὅταν μεταχαλιέσαντες οἱ ἐρέται, ἐλαύνωσιν ὀπίσω ἐπὶ τὴν πρύμναν, ὅταν εἰς λιμένα εἰσέρχωνται, ἵνα τὴν πρύμναν εἰς γῆν ἔχωσι ..., καὶ τὴν πρῷραν ἔξω, ὅπως ἄνευ τροπῆς εἰς ἔξοδον ᾖ ναῦς. Κρουσιδημεῖν, ἀντὶ τοῦ κρούειν τῇ βουλῇ, ἐλυμαίνετο τὸν δῆμον ἀπατῶν, καὶ παρακρουόμενος τῇ βουλῇ. ἔστι γὰρ παρακρουόμενον μέτρον, ὃ λέγεται ἐπὶ τῶν τοῖς μέτροις παραλογιζομένων. καὶ παρακρούσασθαι, ἀνατρέψαι. καὶ παρακρούσιν, ἐξαπάτην, ἐμπαιγμόν. Κρουστικὸς, ἐλεγκτικός. Κρουσίθυρος, μύρος τι οὕτως ἐκάλειν.

Κρουσιμετρεῖν, ἐλλιπῶς μετρεῖν καὶ ἐνδεῶς. οἱ γὰρ φαῦλως μετροῦντες συνέκρουον τὰ μέτρα, εἰς τὸ ἀποχεῖσθαι τὰ μετρούμενα. ἐντεῦθεν καὶ τὸ παραλογίζεσθαι, παρακρούεσθαί φασι.

Κροῦσιν, ἀπάτην, δοκιμασίαν. παραλογισμὸν λέγει Ἀριστοφάνης, καὶ μουσικὸν ὄνομα, καὶ τὴν πρὸς τὸ λίθον ἐν ταῖς ζυγοστάσεσιν ὑπέκρουσιν. Κρουστικὸς παρὰ τῷ Ἀριστοφάνει ἐν ἱππεῦσι, τὰ ὦτα τῶν ἀκροωμένων κρούων, τῇ σφοδρότητι τῶν λόγων. Κρυτεῖται, κοκκίζει. Κρούω, κυρίως ἐπὶ τῶν κιθαριζόντων. κρούειν γὰρ, τὸ τοῖς κέρασι παίειν, ὁ μέλλων κρούσω, ὁ παρακείμενος κέκρουκα. Κρύβδην, καὶ κρύβδα, λαθραίως, κρυφίως. Κρύβεσθαι, καὶ κρύβεσθαι, φεῦγε διὰ τοῦ β λέγειν. κρύπτεσθαι δὲ, καὶ κρύπτεσθαι. Κρυβηλός, κρυπτὸς τόπος.

Κρύβα, κρυφοί. Κρυβασία, ... Κρυβέτας, ... Κρυεροῦ, φοβεροῦ. καὶ κρυόεντος, φοβεροῦ, ψυχροῦ, φρικτοῦ. συμβαίνει γὰρ τοὺς φοβουμένους συγκρούειν τοὺς ὀδόντας. Κρῖμα, ... Κρυμοῖ, ῥιγοῖ, χειμάζει.

Κρυμός, ὁ κρυμός, ἀπὸ τὸ πάγος. παρὰ τὸ κρύος κρυμός, καὶ ἀποβολῇ τοῦ ἑνὸς μ κρυμός. ἐν χειμῶνι γὰρ ... Κρυόεσσα, ψυχρά, φοβερά. ἀπὸ τοῦ κρύος κρυόεις, καὶ κρυόεσσα. Κρύος, ψῦχος, πάγος. Κρῖος, παρὰ τὴν γινομένην κροῦσιν τῶν ὀδόντων ἐν τῷ ψύχει, κρύος καὶ κρύος. Κρυστάλλια, ὁμοίως ἔχει πρὸς τὸ ἀμφορίδια, ὃ δηλοῖ τὰ φανερά. Κρυστάλλια, οἱονεὶ κρυφαῖα. ἐκ τοῦ κρύπτω, κρυστάλλιον. Κρυπτεύομαι, ἐνεδρεύομαι. Κρυπτάδιος, ἀρχαῖος. Κρύπτω, καλύπτω, κρύπτω ἐν τῇ ἐμῇ βουλῇ, ἤγουν καλύπτω. καὶ κρυπτὸν, τὸ κεκρυμμένον. κρύφα, ἀντὶ τοῦ κρυφίως. καὶ κρυβήδην, τὸ αὐτό. Κρύσταλλος, τὸ πεπηγμένον ὕδωρ ὑπὸ ψύχους, ἢ διαφανὴς λίθος ὑπὲρ γῆν. Κρύφα, ὅπερ λαθραίως ἄλλων φασί. τὰ ἐπικρυπτικὰ ἐπιῤῥήματα, μετὰ γενικῆς συντάσσεται. οἷον κρύφα τοῦ δεῖνος λέγομεν. καὶ ... τοῦ δεῖνος. ... τίθεται δὲ ἐνταῦθα τὸ ..., ἀντὶ τοῦ ἄγνοια. καὶ κρυφῇ δωρικῶς, ἀντὶ τοῦ κρύφα.

Κρυφαίως, ἀντὶ τοῦ κρύφα. Κρύφιοι, οἱ πονηροὶ λογισμοί.

Κρύφαλον, σάκκον. Κρυφαδίην, κρυφίως. Κρυφῇ, λάθρα, ἀδήλως, κρυπτῶς. Κρυφίους, ὕπουλος. Κρύψαι καὶ

κάλυψαι

φυλῆς τῆς Ἀντιοχίδος. Κρωπὸς, ὁ καταδικασθεὶς, ὁ κεκομμένος καὶ χαλκῶν. Κρωπιὰ, δῆμος τῆς Ἀντιοχίδος, κώμη.

Κροαίνω, τοῖς ποσὶ κρούω, καὶ σκιρτῶ, ἢ κροτῶ, καὶ κτυπῶ.

Κρόβυζοι, ἔθνος [illegible]. Κροβαλεῖον, [illegible]. Κρόβαλος, ὁ ὀμαλὸς τῶν παίδων, καὶ αἱ τρίχες τῶν αἰδοίων. Κρώζει ὁ κόραξ, ἡ δὲ κορώνη κρώζει. Κρειὸς, [illegible], ἀσθενής.

Κροκάλη, ὁ αἰγιαλός. Κρόκη, παρὰ τὸ κρούεσθαι μέλλουσα, ἀποβολῇ τοῦ υ. κρόκη, ἢ τὸ κρούεσθαι, διὸ παρακολουθεῖ.

Κρόκαλα, λέγονται αἱ ψῆφοι τῶν ποταμῶν, ἀπὸ τοῦ κρούειν καὶ ψοφεῖν. Κρόκησι παρὰ Λυκόφρονι, κρόκαις αἰγιαλοῖς. κρόκη δὲ λέγεται ὁ αἰγιαλὸς, ἀπὸ τοῦ κρούειν τὸ κῦμα. κρόκαι, καὶ κρόκη, πρὸς ἣν θραύονται καὶ κλῶνται τὰ κύματα. κρόκαι καὶ αἱ ψάμμοι, καὶ οἱ αἰγιαλοὶ τῆς θαλάσσης. Κρόκεα, παρὰ τὸ ἐν κρυφῇ ἔχειν τὴν σπορίαν, ὅθεν τὴν αὔξησιν. Κρόκη, νήματος εἶδος, ἡ ῥοδάνη. Κρόκαλον, τὸ κασσύρτον καλῴδιον. Κροκόδειλος, παρὰ τὸ δειλὸς καὶ τὸ κρόκος γίνεται κροκόδειλος. καὶ γὰρ ὁ χερσαῖος κροκόδειλος φοβεῖται τὸν κρόκον. ὅθεν οἱ μελιττουργοὶ, ἐπειδὰν ἀπέρχωνται καὶ ἐσθίει τὸ μέλι, ἐπιτιθέασιν ἔξω κρόκον, ὅνπερ ὁρῶν φεύγει. ὁ δὲ θαλάσσιος παρὰ τὸ δεδοικέναι τοὺς κρόκας, ὃ σημαίνει τοὺς αἰγιαλοὺς, οἷον ὁ περὶ τὴν γῆν δειλός. ὁ δὲ κροκόδειλος ζῴδιόν ἐστι μικρὸν, λέγεται καὶ κροκόδειλος κατὰ ἐναλλαγὴν τοῦ στοιχείου. Κροκόπεπλον ἠῶ, τὴν πρωΐαν λέγει ὁ ποιητής. διὰ τοῦ κρόκου, τὸ πολὺ μὲν τῆς νυκτὸς, ὀλίγον δὲ τοῦ φωτὸς αἰνίττεται. ἡ μέντοι ῥοδοδάκτυλος ἠὼς, ἤγουν πρωΐα, τὸ πλεῖον μὲν τῆς ἡμέρας, ἔλαττον δὲ τῆς νυκτὸς ὑποδηλοῖ. ὡς πάσης ἤδη προηγεῖσθαι μὲν τὴν κροκόπεπλον, μετὰ αὐτὴν τὴν ῥοδοδάκτυλον. ἄλλως δὲ μυθικῶς καὶ κατὰ σῶμα κροκόπεπλον μὲν ὡς κρόκεον, ἤτοι κιῤῥὸν πέπλον φοροῦσα. ῥοδοδάκτυλος δὲ, ἧς οἱ δάκτυλοι ῥόδινοι. ὡς ῥόδοις ἐοικότες αἵματος φοινικοῦ χυμῷ καλῷ ἐρευθόμενοι. καθὰ καὶ ἡ Σαπφὼ τὰς τῶν μυθικῶν χαρίτων πήχεις γυμνοῦσα, ῥόδοις εἴκαζεν, ὡς εἶναι αὐτὰ ῥοδοπήχεις. εἶεν δ' ἂν ἠοῦς οἱ δάκτυλοι κατὰ ἀλληγορίαν, αἱ τοῦ ἡλίου ἀκτῖνες, ὡς καὶ ἑκατόγχειρ ἀλληγορικῶς λέγεται. ὅπου δὲ χεῖρες, οὐκ ἀπεοικὸς ἐκεῖ καὶ δακτύλους τὴν ἀλληγορίαν προσθεῖν. Κροκίδες, σπάραλα. Κρόκος, τὸ κροτὴρ, ἢ ἀλεκτρυὸν, ὅς τὸν τράχηλον τοιοῦτον ἔχει τῇ κρόκῃ. Κροκόττας, ζῷον ἐκ τετραπόδων αἰθιοπικόν. Κροκύλεγμος, τὸ κολακευτικῶς τὰς κροκίδας ἀναλέγειν τῶν ἱματίων. Κροκύλεια, καὶ ἐνικῶς εἴρηται τὸ κροκύλειον, τὸ [illegible] αὐτῆς, κροκυλεύς. Κροκύλειον, κροκίδιον. Κροκὰς, ἡ ἐχίδνης βοτάνη. Κροκύφαντος, ὅτι διὰ κρόκης ὑφαίνεται. οἱ δὲ Ἀττικοὶ κεκρύφαλον αὐτὸ καλοῦσιν, ὅτι κρύπτει τὴν φαλὸν, ὅπερ ἐστὶν ἐξοχὴ τῆς κεφαλῆς.

Κροκώδης, ἐπεὶ ὡς δυσλύτων ὄντων τῶν ἐκ τῆς κρόκης δεσμῶν. ἐπεὶ δὲ, ὡς κρόκου φορμίον ἐκεῖ. ἐπεὶ δὲ κροκώδη, ἐκ κροκῶν συνεστραμμένων. Κροκώτιον, ὑποκοριστικῶς εἴρηται. ἔνδυμα δέ ἐστι Διονυσιακὸν ὁ κροκωτός. κεῖται δὲ καὶ ἀντὶ γυναικείου ἐνδύματος. Κροκωτὸς, εἶδος χιτῶνος. Κροκωτῷ. Ἀριστοφάνης, ἐπὶ κροκωτῷ, Διονυσιακὸν φόρημα, κροκωτὴν ἐφόρει λεοντῆν. Ἡρακλέος γὰρ φόρημα ἡ λεοντῆ. κροκωτὸν δὲ, ἵνα ᾖ φοβερὸς, ἢ κροκωτὸν γυναικεῖον ἐκ πάσης ἐνδύματος.

Κρολάζει, πλησιάζει θάττον. Κρομβὸς, ὁ κάνδυλος, καὶ ὁ καπυρός. Κρομβότατον, καπυρώτατον, κατακεκαυμένον. Κρομμύαι, τὰ κρομμυοπώλια. Κρομμυοξυρεγμίας, ἀντὶ τοῦ. Λαμιὰν γὰρ καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. ἀπὸ δὲ τῶν κρομμύων καὶ τῆς ὀξύτητος καὶ τῆς ἐρυγῆς, συνέθηκε τὴν λέξιν Ἀριστοφάνης. Κρομμύων ὀσφραίνομαι, παρὰ Ἀριστοφάνει, σημαίνει τὸ δακρύειν ἀκουσίως τοὺς ὀσφραινομένους κρομμύων. Κρόμμυον, παρὰ τὸ τὰς κόρας μύειν τῶν ἐσθιόντων αὐτό. δακρύειν γὰρ ἔστι. Κρόνια, παρὰ τοῖς Ἕλλησιν ἑορτή. τὰ παρὰ τοῖς Ῥωμαίοις καλούμενα Σατουρνάλια, ἡ ἀπονέκρα.

Κρονίδαν, παλαιότης. Κρονίων ὄλα λέγουσι, τὴν ἀρχαίαν. ἐνταῦθα γὰρ τὸν Κρόνον κατακεκρύφθαι φασί. Κρονικαῖς γνώμαις, ἤγουν ἀρχαίαις μωρίαις. Ἀριστοφάνης, ἀπὸ Κρονικαῖς γνώμαις. παροιμία ἐστὶν, ἐπὶ τῶν ἀμβλυωπούντων, ἢ ὡς εἴρηται καὶ ἐν νεφέλαις. Κρονικαῖς λήμαις, παροιμία ὥσπερ τὸ χύτραις λημῶν, καὶ κολοκύνταις, ἐπὶ τῶν ἀμβλυωπούντων. Κρονικώτερα, ἀρχαιότερα, μωρότερα. Κρόνιον, τὸ ἱερὸν τοῦ Κρόνου. Κρόνιον, ἀκρωτήριον τῆς Πίσης. περὶ γὰρ τὸ Κρόνιον λόφον ἄγεται τὰ ὀλύμπια. Κρόνιον, ἑορτὴν, ἢ παλαιάν.

Κρόνιππος, ὑβριστὴς, τρυφητὴς, πόρνος. Κρόνιππος, ὁ μέγας λῆρος, καὶ ἐπίτασιν λαμβανομένου τοῦ ἵππου, παρὰ τῷ Ἀριστοφάνει. Κρονίων ὄζων. Ἀριστοφάνης, καὶ πῶς ἂν νῦν σὺ καὶ Κρονίων ὄζων. τουτέστιν, ἀρχαϊσμοῦ γέμων καὶ μωρίας. ἐπεὶ ὅτι ἑορτὴ ὡς παλαιὰ ἤγετο τοῦ Κρόνου, ἢ ὅτι τὰ παλαιὰ καὶ εὐήθη Κρόνια ἐκάλουν, καὶ Κρόνους τοὺς λήρους. Κρονίων, ὁτὲ μὲν μακρὸν ἔχει τὸ ι, ἐνίοτε δὲ βραχύ. ὅταν μὲν οὖν βραχὺ, διὰ τοῦ ω μεγάλου κλίνεται, ὡς εἰρηνίωνος. ὅτε δὲ μακρὸν αὐτὸ ἔχει, διὰ τοῦ ο μικροῦ, ὡς μαχάονος. Κρονίους, παλαιοὺς ἀνθρώπους. Κρόνον μέγαν καλεῖ ὁ ποιητὴς, διὰ τὸ τοῦ ἀέρος μέγεθος. Κρόνος, ὁ Κρόνος τοῦ Σολομῶντος [illegible] ἦν τοῦ. μᾶλλον δὲ κόρος νοῦ, καὶ καθαρὸς. τοιοῦτον οὖν οἱ Σολομῶντος ζῶντες, Κρονίαν ἔχουσι πολιτείαν. ὅθεν καὶ βασιλεὺς αὐτῶν ὁ Κρόνος λέγεται. τὸν Κρόνον φασὶν ἐκ τῶν Κρόνου καὶ [illegible] τῶν γενεθλιαλογιῶν, καὶ [illegible] τὴν [illegible] ἄρξαι. Χρύσιππος δέ φησι, κατέχειν ὅτι ὧν τῶν ὅλων καὶ [illegible] καταφερομένων πολλῶν, τὴν ἑκάστου [illegible], κρόνον ὀνομάζεσθαι. Κρόνους, ἀρχαίους λέγουσι, μωροὺς, λήρους, ἀναισθήτους. Κρόνου πυγὴ, τὸ ἀρχαῖον καὶ ἀναίσθητον κέρας, ἀπὸ τοῦ Κρόνου. Κροσσᾶ, κατεσσύκαστα. Κροσσίδαι, μάστιγος γένος.

Κρὸξ, κρόκος. Κρότιον, ἀξίνη λίθινος. [illegible] δὲ διὰ τοῦ β, κρόβιον. Κροσσοὺς πύργων, τὰς ἀναβαθμίδας τῶν τειχῶν. Κρόσσαι, κατασκευάζονται αἱ ἄκραι τῶν πύργων καὶ οἷον κόρσαι καὶ κεφαλαὶ, διὸ καὶ ἐξοχὰς αὐτὰς καλοῦσι, καὶ κεφαλίδας. μέμνηται δὲ αὐτῶν ὁ ποιητὴς, ἐν τῷ κροσσάων ἐπέβαινον. Ἀρίσταρχος δὲ πολεμικὰς κλίμακας ὑπερέχειν τὰς κρόσσας νοεῖ, ἤτοι μοχλοὺς κλιμακώδεις. τινὲς δέ φασιν, ὅτι κρόσσαι λίθοι ἐπὶ κορυφῇ τοῦ τείχους προνενευκότες, ἐφ' ὧν αἱ ἐπάλξεις ἦσαν. διὸ καὶ συγκατασκάπτουσιν αἱ ἐπάλξεις ταῖς κρόσσαις. οἱ δέ τινές φασιν, ὅτι κρόσσαι αἱ τῶν πύργων ἐξοχαὶ, ὡς καὶ κροσσοὺς ἱματίων φαμέν. ἄλλοι δὲ οὕτω φασί. κρόσσαι ἐργαλεῖα πρὸς τειχομαχίαν ἐπιτήδεια, ἔχοντα ἐκ [illegible] ἀνάβασιν κατασκευασμένην, ἕως ἂν εἰς τοὺς πύργους ἀνέλθοι ὁ τειχομαχῶν. οἱ δὲ νεώτεροι καὶ τὸ κρόσσας μὲν πύργων ἔρυον, οὕτω νοοῦσιν, ὅτι τὰς κρόσσας ἤτοι τὰς τοιαύτας κλίμακας κατὰ τῶν πύργων ἔρυον. ὅπερ οἱ μὴ ἀπολεχθέντοι φασὶ, μὴ εἰδέναι τὴν ποιητικὴν τῆς τοιαύτης μηχανῆς. πρόκροσσας λέγει Ὅμηρος, τὰς ὡρμισμένας ναῦς ὡς κλιμακηδὸν οἷον ἱσταμένας, διὰ τὸ ὑψηλὸν τοῦ τόπου. ἄλλως. Κρόσσαι, τειχόμαχοι κλίμακες. οἱ δὲ παλαιοὶ καὶ οὕτω φασὶ, προκρόσσας τὰς ἑτέρας πρὸ ἑτέρων, ὡς τὸ θέατρον δῆθεν φαίνεται τὸ κοῖλον. ἔτι δὲ καὶ οὕτω. προκρόσσας, ἄλλας ἐπ' ἄλλαις ἐπικειμένας. ἡ δὲ λέξις αὕτη καὶ παρὰ Ἡροδότῳ. ὅς καὶ ἑρμηνεύων αὐτὴν φασὶ, προκρόσσας ὥρμων τὰς ναῦς. αἱ μὲν γὰρ πρὸς τὴν γῆν ὥρμουν, αἱ δ' ἐπ' ἀγκυρῶν. καὶ πάλιν, αἱ πρῶται τῶν νεῶν ὥρμουν πρὸς γῆν, ἄλλαι δ' ἐπ' ἀγκυρῶν. ὅτι γὰρ τοῦ αἰγιαλοῦ ὄντος οὐ μεγάλου, προκρόσσαι ὥρμουν ἐς πόντον, καὶ ἐπὶ ὀκτὼ νέας. καὶ οὕτω μὲν Ἡρόδοτος τὰς παρ' αὐτῷ φράζει προκρόσσας. αἱ μέντοι τῶν ἑλλήνων ἐπὶ ξηρᾶς εἶχον τὸ πρόκροσσον.

Κριμνώδη, Ἀριστοφάνης ἀντὶ τοῦ παχεῖαν σύστασιν ἔχοντα, παρὰ τοὺς κρίμνους. οὗτοι γὰρ παχύτεροι τῶν ἀλεύρων. κρίμνον δὲ εἶδος ἀλεύρου. Κρίμνα, ἄνθη κάλλιστα, εὐωδιάζοντα, ἢ μᾶζα. ἄμεινον δὲ θυμιάματα, ἃ τῷ μέλιτι φυρᾶται, οἱ δὲ πλακοῦν.

Κρῖναι, τάξαι, χωρίσαι, δοκιμάσαι, δικάσαι, ἐπιλέξασθαι. Κρῖναι, καὶ λέξασθαι, ταυτόν. ἀφ' οὗ τὸ μὲν ὁ ἐκκριθείς, τὸ δὲ παρ' Εὐριπίδῃ λεκτοὶ καὶ ἐκκριτοί, καὶ ὁ ἐπίλεκτος ἢ ὁ λογάς, ἐκ τοῦ ἐπιλογάδην ἐκ ῥήματος. Κεκριμένος, ἐπιλεξάμενος. Κρίνει καρπόν τε καὶ ἄχνας, ἀντὶ τοῦ διαχωρίζει. κατὰ τὸ κρῖνε ἄνδρας κατὰ φῦλα παρ' Ὁμήρῳ. Κρίνειν, τὸ ἐξετάζειν, καὶ δοκιμάζειν, καὶ βασανίζειν. καὶ ἀνακρίνειν Ἀττικῶς, ὡς τό, ἀνηρώτα, καὶ ἀνεπυνθάνετο. προσλαμβάνον δὲ τὴν ἐκ, ἢ τὴν διὰ πρόθεσιν, σημαίνει τὸ χωρίζειν, ἢ ἐκλέγειν. μετὰ δὲ τῆς ἐν, δηλοῖ τὸ ἐναριθμεῖν ἢ ἐντάττειν, καὶ ἐγκαταλέγειν. μετὰ δὲ τῆς σύν, τὸ παραβάλλειν, καὶ παρεξετάζειν, καὶ παραθεωρεῖν. μετὰ δὲ τῆς πρό, τὸ προτιθέναι, ἢ προτιμᾶν. Κρῖνε, ἀντὶ τοῦ χώριζε, ἢ δίκαζε. Κρίνειν, οὐ μόνον ἐπὶ τοῦ δικάζειν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁπλῶς χωρίζειν ἢ ἐπιλέγεσθαι. ὅθεν ἔκκριτοι. Κρῖνε ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας. ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις. τουτέστι, μὴ συγκεχυμένως τὰ τῆς μάχης μαχέσθω, ἀλλὰ πρῶτον μὲν κατὰ φῦλα ὄντες δῆλα, ἔπειτα κατὰ ἔθνη. οἷον Κρῆτες, ἰδίᾳ ἐν μέρει τοὺς Ἀθηναίους. ἑτέρωθι τοὺς Σαλαμινίους, καὶ τοὺς ἄλλους ὁμοίως. εἶτα δὴ αὖθις αὐτὰ τὰ φῦλα κρῖνε, τουτέστι διαχώριζε κατὰ φρήτρας, ὅ ἐστι κατά τινα τμήματα φυλετικὰ καὶ συγγενικά. φρήτρη γάρ φασιν ἐστίν, ἡ τριττύς. ἤγουν τρίτον τῆς φυλῆς. ἵνα μὴ μόνον τὰ ἐπίφυλα φῦλα ἀλλήλοις ἀρήγοι. Κρινθῆ, διακριθῆ, ἐχωρίσθη. Κρῖνε, κρῖθε. Κρίνις, ἱερεὺς Ἀπόλλωνος. Κρινομένους, ἀναιρουμένους, ἀποθνήσκοντας. Κρίνεσθαι μένος ἄρεός ἐστιν, ὅτε σύμμικτος πόλεμος γίνεται. τότε γὰρ διακρίνεται τὸ τῶν μάχων μένος. καίτοι διακεκριμένως οἱ ἐν τούτῳ μάχονται, τὴν ἀρχὴν μὲν συμπεπλεγμένοι, ἐν δὲ τέλει τῆς μάχης διακρινόμενοι, ὅτε νίκη ἑτεραλκὴς γίνεται. Κρινόθεν, ὡς ἀπὸ τοῦ κρίνου κατὰ μεταπλασμόν. Κρίνονται ἄρει, ἀντὶ τοῦ εἰς διάκρισιν ἀπέλθωσιν, ἵνα τοῦ μάχεσθαι παύσωνται. κατὰ τὸ ἀπόσχοιτο φιλόνεικος καρτερῶς. ἐκ τοῦ τιθέναι δὲ κρίνω, καὶ κριτής. διὸ οἱ πρὸς ἄρην ἀναμεμιγμένοι διακρίνονται. καὶ ἄλλως δὲ κρίνονταί τινες ἄρει, ἀντὶ τοῦ μεμερισμένως, οἱ μὲν ἔνθεν, οἱ δὲ ἐκεῖθεν μάχονται. ὅθεν φασὶν Ὅμηρος μένος ἄρεος διακρίνεσθαι, ἤγουν μερίζουσι. Κρίνον, τὸ ἄνθος ἀπὸ τῆς διακρίσεως, διὸ καὶ τὰ τῆς διακρίσεως λέγεται κρίνον εὐμάραντον, καὶ ταχὺ διαπῖπτον. διὸ καὶ ἡ κολοκύνθα κρίνον λέγεται. καὶ τοὺς πλοκοὺς δὲ κρίνα λέγουσιν. αὐτὰ δὲ ἡ κολοκύνθα μονοδιαίρετόν ἐστιν ὄνομα. Κρίνον, τὸ ξηρόν. τάσσεται καὶ ἐπὶ πλοκοῦ, καὶ στεφάνου, καὶ ἐπιπλοκῆς. καὶ σχῆμα χορικῆς ὀρχήσεως. Κρίνω, καὶ μετὰ τῆς ὑπό, ὑποκρίνομαι. ὡς τό, ἐν τῷ ὑποκρινάμενον τὸ ὄναρ. ἤγουν ἀπολογισάμενον, καὶ ἔκρινα. Κρίνω, καὶ διακρίνω τόδε. καὶ κρίνω μάλιστα δεῖν ἐχθρὸν ἔχειν. Κρίνω καὶ ἔκρινα μακρόν, κρινῶ δὲ καὶ κέκρικα κέκριμαι. καὶ οἱ ἀπὸ τούτων χρόνοι βραχὺ ἔχουσι τὸ ι, καὶ τὰ ἀπ' αὐτῶν ῥήματα, οἷον κρίσις κρίμα. καὶ ἐπὶ πάντων τῶν διὰ τοῦ ινω, ὁ αὐτὸς κανών. Κρίνω, κρινῶ, κέκρικα. πόσα εἰσὶ ῥήματα ἐπὶ τῆς σήμερον συζυγίας τῶν βαρυτόνων ὠνομασμένα, τὰ καταβάλλοντα τὸ ἀμετάβολον ἐπὶ τοῦ παρακειμένου; πέντε, τὸ κρίνω κρινῶ κέκρικα, κλίνω κλινῶ κέκλικα, πλύνω πλυνῶ πέπλυκα, τείνω τενῶ τέτακα, κερδαίνω κερδανῶ κεκέρδακα. Κρινόμενα ἄρει, παρ' Ὁμήρῳ τὸ διαστῆναι. κρίνεσθαι ἄρει, ἀντὶ τοῦ συνιέναι καὶ ἑνοῦσθαι τῷ ἄρει. καὶ ὡς ὑπ' αὐτῷ κριτῇ τὸ μάχιμον ἔργον μεταχειρίζεσθαι. ἢ καὶ ἄλλως τὸ κρινώμεθα, ἀντὶ τοῦ συγκρουσώμεθα, ἀναμισγώμεθα, συγχεώμεθα, οὐ τὸ ἀνάπαλιν διακρίνεσθαι ἔτι. ὡς καὶ τὸ ὅτε αἰπόλοι φησὶ τὰ αἰπόλια διακρίνουσι, καὶ ὡς νὺξ ἐλθοῦσα, διακρινέει μένος ἀνδρῶν. Κριθωνιά, ὁ τῶν κριθῶν λειμών. ὥσπερ ῥοδωνιά, ὁ τῶν ῥόδων. καὶ ἰωνιά, ὁ τῶν ἴων. Κρίξαι, ἠχῆσαι, φωνῆσαι. Κριοκοπεῖν, τὸ τοῖς κριοῖς τοῖς μηχανικοῖς πολιορκεῖν. ὡς τό, οἱ δὲ τοὺς πύργους κριοκοπεῖν ἐπεχείρησαν.

Κρίον, ἄγγιον. Κριόντων, βασιλευόντων. Κριὸν Διονύσιος ἐν τοῖς Ἀργοναυτικοῖς φησὶ γεγονέναι τροφέα Φρίξου, ὃν αἰσθόμενον τῆς ἐπιβουλῆς Ἰνοῦς, ὑποθέσθαι τῷ Φρίξῳ τὴν φυγὴν ποιήσασθαι. ὅθεν καὶ μυθεύεσθαι ὡς ὑπὸ κριοῦ διασωθείη. Ἡρόδωρος δέ φασιν Ἀθάμαντος καὶ Θεμιστοῦς γενέσθαι παῖδας, Σχοινέα, Ἐρύθριον, Λεύκωνα, Πτῶον, Νεφέλης δὲ Φρίξον καὶ Ἕλλην. οὓς διὰ τὴν Ἰνοῦς ἐπιβουλὴν ἐκχωρῆσαι, τελευτῆσαι δὲ τὴν Ἕλλην ἐν τῇ ἀποχωρήσει. Κριὸς ὅτι ἐκόμιζε τὸν Φρίξον, ὅτι ἐλάλησε, καὶ Ἑκαταῖός φασιν. ἄλλοι δέ φασιν αὐτὸν ἐπὶ κριοπρώρου σκάφους πλεῦσαι. Διονύσιος δὲ ἐν δευτέρᾳ, κριόν φασι Φρίξου τροφέα γενέσθαι, καὶ συμπεπλευκέναι αὐτῷ εἰς Κόλχους. διὸ καὶ μεμύθευται τὰ περὶ τῆς κατ' αὐτοῦ θυσίας αὐτόθι. Κριός, δῆμος τῆς Ἀττικῆς. καὶ κριόθεν, ἐπίρρημα. ἢ κριοῖθεν. Κριὸς ἀσελγόκερως, τὸν μεγαλόκερων φασὶ Πλάτων ὁ κωμικός. τὸ γὰρ ἀσελγές, οὐ μόνον ἐπὶ τῶν ἀκολάστων ἐλάμβανον οἱ παλαιοί, ἀλλὰ καὶ ἐπὶ τῶν μεγάλων. Κριός, ὁ τὰ κέρα ἱέμενος. ὡς ὁ κοπτῶν ἤλαυνε ὀπίσω. καὶ ἐν ταῖς σιτικαῖς ἀποσκευαῖς, κριὸς καλεῖται τὸ ἀφαίμιον τὸ πρῶτον, ᾧ τὰ λοιπὰ ἐπιτηρεῖται. Κριὸς τροφεῖα ἀπέτισε, παροιμία ἐπὶ τῶν ἀχαρίστων. καὶ γὰρ τοὺς κριοὺς ἐκτραφέντας, φασὶ κυρίττειν τοὺς θρεψαμένους, ὅ ἐστι πλήττειν. Κριὸς ἐστὶ μὲν καὶ τὸ ζῶον, ἔστι δὲ καὶ ἐν τῷ οὐρανῷ ζώδιον. ἔστι δὲ καὶ τὸ τειχομαχικὸν ὄργανον, οὕτω καλούμενον. κριὸς τροφεῖα ἀπέτισεν, παροιμία ἐπὶ τῶν ἀχαρίστων. ἐπεὶ τὰς φάτνας οὗτοι πλήττουσι. Κριοφάγος, θεός τις, ᾧ κριοὶ θύονται. Κρίουσα, ὄνομα πόλεως, καὶ ἰχθύος.

Κρισαῖος κόλπος, κρισαία δὲ θάλασσα. Κρίσαν ζαθέαν λέγει Ὅμηρος. ἐπεὶ Δημήτριόν φασι περὶ αὐτὴν ἐπιφανῆναι ὡς ἀναβαινομένην Ἀπόλλωνι, ἐξ ἧς καὶ Δῖον κρισαῖον, ᾧ κέκληται κρισαῖος. ὁ δὲ αὐτὸς ὁ κιρραῖος, διὰ τὸ καὶ τὴν κρίσαν διπλάζοντα κατὰ τοὺς νεωτέρους τὸ σ, διὰ τὸ κίρραν λέγεσθαι. ὡς γὰρ πυρσὸς πυρρός, φασὶ τοῦτο ὡς τὸ ρ καὶ πυρσωδὸς πυρρωδός, οὕτω καὶ κρισαῖος κόλπος κιρραῖος. Κρῖμις, κύων ἦν πολυθρέμματος. τοῦτόν φασιν ἰσχυρὰν ἐπιφαινομένην κατ' ἔτος τὸ κάλλιστον τῶν προβάτων ἀφαρπάζειν, καὶ τὸν κρίσαμιν ἀπελάσαι. φαινομένην δὲ αὐτῷ ὄναρ, κελεῦσαι καταθάψαι αὐτήν. τὸν δὲ μὴ φροντίσαντα, πανγενῆ ἀπολέσθαι. Κρίσεως, δοκιμασίας, ἀκολουθίας. Κρισίαι, τάξεις ἱππικαί. Κρίσιν, ἀκολουθίαν. Κρίσις, ἔρεξις διαγνωστικὴ τῶν ἐφ' ἡμῖν. κρίσις καὶ ἡ κόλασις, ὡς ἐν τῷ εὐαγγελίῳ, καὶ εἰς κρίσιν οὐκ ἔρχεται. τουτέστιν, οὐ κολάζεται. Κρίσις, ἐξέτασις, ψῆφος, βάσανος. Κρίσις ἐστίν, ἀπόφασις ἢ πρόταξις τοῦ δικαστοῦ, ἑκάστῳ κατ' ἀξίαν ἀπονέμουσα. ἐν ᾗ γὰρ ὀφθαλμοῦ κατ' ἀξίαν ἕκαστος ἀπολήψεται, καὶ ἡ συνείδησις αὐτοῦ πρὸς τὸ μαρτυρῆσαι ἑτοίμη ἐστίν, ὅτι δικαίως ἀπέλαβεν.

Κρισσός, ἡ ἐν ταῖς φρεσὶ γινομένη διάφυσις, ὅθεν ῥικνός. ἡ ἐν τοῖς ἄρθροις διάφυσις, σκληρὰ καὶ ἐρυθρά. Κρίσιμον, φυλακτήριον. Κριτάν, κριτήν. Κριταῖος, τέρμινος. Κρίτας, δόντας. Κριτήριον, δοκιμαστήριον. δικαστήριον. Κριτής, ἀπὸ τοῦ κρίνω τὸ χωρίζω, ἢ διακρίνω. ἔστιν καὶ ἀκριτόμυθος, ὁ μὴ διακρίνων τὰ λεγόμενα. Κριτικόν, τὸ κρίσιμον. Κριτικοὶ εἰσίν, οἱ κατὰ τὴν γραμματικὴν παράδοσιν εἰδότες κρίνειν τὰ ποιήματα. Κριτικὸς ἐνθυμήσεων, διακρίνων λογισμούς. Κριῶθεν, ἀπὸ δήμου. ἔστι δὲ ὁ κριωθεὺς δῆμος φυλῆς.

ἐκρέμασα ἐκρέματο ἐκρέμω, τὸ προσεκλιθὸν κρέμω. Κρέμαμαι, ἐκρέμαντο, ἐκ τοῦ κρέμαμαι κρημνίζω. Κρημνοὶ, τὰ χείλη τῶν ἑλκῶν, καὶ τὰ περιβόλαια τῶν γυναικείων αἰδοίων, παρὰ τὸ ἐπικρέμασθαι, καὶ οἱ ἐξέχοντες τόποι. Κρημνίζω, τὸ κατὰ κρημνῶν ὠθῶ. Κρημνοκοιμητὴν, κατακλῖναι, ἀλαζονεύεσθαι, μεγάλας λέξεις ποιεῖν. Κρημνὸς, παρὰ τὸ κρημνὸν κρημνὸς, ἢ παρὰ τὸ εἰς ὃ, καὶ πλεονασμῷ τοῦ ἐ κρημνὸς, ὁ παρὰ τὸ κάρα ἢ τὸ πέρας ἢ κρημνὸς, ὁ ἐπὶ κάρα ἡμῶν. κρημνὸς δὲ, ὁ κατὰ ἔσω. καὶ κρημνὸς, φάραγξ. Κρηναῖον, ἀρχὴ ἐπὶ τοῦ ἐκπιπτόντος ὕδατος. Κρηναῖον ὕδωρ, καὶ κρήνη τόπος. Κρήνη, πηγὴ, ἱερὸν ὕδατος. Κρηνίδας, τοὺς κεφαλαίους λίθους.

Κρηνῶν, καρηβαρῶν. Κρηνοφύλαξ, ὁ τὴν κρήνην φυλάσσων. Κρηπιδούμενος, ἀντὶ τοῦ ἀπολούμενος τὰς κρηπῖδας. Κρηπὶς, θεμέλιον, ὑποβάθρα, καὶ εἶδος ὑποδήματος. Κρῆς, Δωρικῶς τὸ κρέας. Κρῆσαι κεράσαι, ἐπὶ χρίσει. Κρησίας, καλλίστου. Κρησέραν, τὸ περιβόλαιον Δεισοφάνης λέγει. κατὰ δέ τινας, ἀλλοῖ τὸ πῶμα. κυρίως δὲ τὸ ἐπιβαλλόμενον ἐν ταῖς κεφαλαῖς ποιοῦν. ὅθεν δὲ, περιτραχήλιον ποιὸν εἶναί φασι, κακῶς. οὐ γὰρ λέξις ἐστὶ τὸ κάρα ὠνόμασαι. ἄλλως. Κρησέραν, τὸ περιβόλαιον τῶν κεφαλῶν, ἐπὶ δὲ διεῤῥυτός. Δεισοφάνης, ἀλλ᾽ οὐχὶ καὶ κρησέραν προσκατώμασεν. τῶν δὲ λέγει ὡς πρὸς χνοῦν. Κρησίκαλα, ἐν Ὁμηρικῇ θυσίᾳ ἡ λέξις φέρεται. ἄλλον ὅτι, μέρη ἱερεῖον λέγεται. Κρῆς, κρητικὸς, ἀπὸ κρήτης. Κρησφύγετα, τὰ πρὸς τοὺς χοροὺς κοινὰ καὶ ὀχυρώματα, ὠνόμασαι, οἱ διαλανθάνοντες τόποι. Κρησφύγετον, τὸ καταφύγιον. Κρήτεσιν, ἀπὸ κρήτης. Κρητίζω, παρὰ τὸ ἐπὶ κρήσει βιοτεύειν. ψευστικοὶ γάρ. ὁ δὲ Ἀπολλόδωρος παρὰ τὸ εὐ λειπᾶσθαι τὸ ἐπὶ τὰ τοῦτον ὕρα. Κρήτη, νῆσος. Κρηπὺρα ἐλευθέρον λέγει, τὴν ἐν σειρῶσι, πανέσμενον καλίμον.

Κρατὴρ, ὁ φάρυγξ, καὶ τὸ οἰνοχόον ἀγγεῖον. Κρατῆρος, ἢ κρατοῦντος. Κριτήριον, ἐπίχυσις. καταχρῆσαι γάρ, τὸ καταχέαι. Κροτίζω, ψοφίζειν. Κρηδνὸν, εἶδος χιτῶνος. ὂν δὲ ἱματίδιον λιτὸν, καὶ βραχύ. τὰ γὰρ τοιαῦτα κρητίδια ἔλεγον, καὶ γένος ὀρχήσεως. Κρηφαγεῖν, κρέας ἐσθίειν. ἀπὸ τοῦ κρημνοῦ τοῦ σημαίνοντος τὸ παχὺ τοῦ ἀλεύρου. ἄττικῶς.

Κρῖ εἶπεν ὁ ποιητὴς ἐν τῇ τῆς Ἰλιάδος, πάντα ἐλέλαντο τὰ διδύμοις ἐν ἀλωῇ ὡς τετρίβεσθαι, ἀπὸ μέρους τὰς κριθὰς καὶ τἄλλα δηλῶσαι. τίμιον γὰρ τοῖς παλαιοῖς ἡ κριθὴ, ὡς πρώτη εὑρεθεῖσα. καὶ διὰ τοῦτο ἀπ᾽ αὐτῆς, ὡς ἐκ μέρους καὶ τἄλλα δηλοῦται ἐδέσματα. ὅθεν καὶ κρίβανος ὁ ἰπνὸς, ἐν ᾧ ἄρτοι ἀπλῶς ἕψονται, οὐ μόνον οἱ κρίθινοι. διὸ καὶ καβανοῦν ὀρμαθὸς, οὐ μόνον ἀπὸ κριθίνων ἀρτίσκων, ἀλλ᾽ ὡς εἰκὸς καὶ ὁ ἐξ ἰτρίων. ὅτι δὲ τὸ κρῖ, ἐκ τοῦ κρίμνον ἀποκέκοπται, οὐ μὴν ἀπὸ τῆς κριθῆς, δηλοῦσιν οἱ παλαιοί, παρ᾽ οἷς κεῖται, καὶ ὅτι κριθὴ στελέχους ἄρθρον ἡ πισσωδῆ. ἐφ᾽ ἧ γρῖφος οὗτος κριθῆς ἄρθρον, χυλὸν ἐργάσασθαι. τί δαὶ τὸ ὀργάσαι, δηλοῦσιν οἱ τοῦ κωμικοῦ ἐρμηνεῖς. Κρῖ, ἡ ἀποκοπὴ τοῦ κριθὴ, ἄλλως. κρῖ λευκὸν, ἀπὸ κοινῶν ἐπαθεν οὐκ ἐκ τῆς κριθῆς. ἂν γὰρ ἂν θαυμάσω καὶ αὐτὸ, καθὰ καὶ κριθὴ, ἀλλ᾽ ἐκ τοῦ κρίμνον οὐδέτερον. λευκὸν δὲ αὐτὸ εἶπεν, ὡς μὴ λευκὸν οἴονται, πρὸς ἀναδιαστολὴν μελαίνης ἤδη τῆς ἐπὶ φαινομένης κριθῆς, ἐκεῖνα πολλαχοῦ γίνονται, μάλιστα δὲ πρὸς σύγκρισιν σίτου. ἐκεῖνος γὰρ οὐ τοιοῦτος. ὅσον δὲ, ὅτι οὐχ οὕτω παρ᾽ Ὁμήρῳ φαίνεται οὐδέτερον εἶναι τὸ κρῖ ἐκ τοῦ λευκὸν, ὡς ἐκ τοῦ ὑφηφοῦς, ὅπερ ἐν ὀδυσσείᾳ. κρῖ μὲν λευκὸν κατὰ τὴν Τιχικὴν ἤδη, καὶ ἐν θυσίᾳ γίνεται τοῦτο ἀπλικώτερον. ὅσον κρῖ λευκὸν, κατὰ τὸ ἀρχαῖον λεγόντων οὐκ αἴτιον, καὶ κατὰ τὸ κλινὲς ἐπικαλεῖσθαι, καὶ τὰ τοιαῦτα. κρῖ σύμφωνον θαλεροῦ ὑπὸ σχηματίσθαι, οὐκ ἀπὸ ἐπιφωνεῖν ἔτι. Κριβάνας, πλακοῦντας λέγει. Κρίβανον οὐδέτερος, οἱ ἀττικοὶ λέγουσι καὶ κλίβανον. παρὰ τὸ καβάνον, ὡς μόνον ἐπίδοσον τὸ κριβανον. οὕτως δὲ λέγεται ὁ ἐπὶ κριβάνου, ἐν ᾧ αἱ καῖαι ὀπτῶνται. ἔλεγον δὲ ἔλεγον τὰς κλιβάνιτας, καὶ κριβανίτας, ἄρτος ἐν κριβάνῳ ὀπτηθείς. τῶν δὲ τόρων ἐν κριβάνῳ ὀπτηθέντων, ἄρτος αἰγύπτιος ἐκαλεῖτο. ὅθεν ἐπὶ φραιμία, ἄρτος κρίβανον, ἐπὶ τῶν κακῶν καὶ ἐφαρμοστέρων.

Κριβανιτῶν ὁρμαθῶν, παρὰ τῷ Δεισοφάνει. ἀντὶ τοῦ ἄρτων λέγονται ἐν κριβάνῳ ὠπτημένων, λέγει εἶναι σφαίρας κριβάνου παρὰ τὸ κλίνειν καὶ τὸ βάθος. χαλᾶσθαι δὲ καὶ ἐκ κριβανιτῶν ὁρμαθῶν. Κριγλανον, πλάτη, ἀσπίς. Κρίγη, ὁ φλοὺς, ὁ δαίμονες, ἐλλιπῶς. Κριγμὸς, ὁ τῶν ὀδόντων κτύπος τρισμὸς τοῖς ὀλέσασι γινόμενος. Κρίγλιον, ὁ μικρὸς παῖς. Κρίζω, ὁ χιλιάζων. Κρίζει, ὀξὺ αὐλεῖ. Κρίζειν, κεκραγέναι.

Κριθὸν, ἐκλεκτὸν, διάφορον. Κρίζος, φύρα, κρίζα.

Κριθαὶ, αἱ λέγονται κατ᾽ ἐξαίρετον λέγονται, ὅταν ταῖς ἐκεῖσε ἐπιτροφῆς εἶναι, ἢ δὲ χύσις παρὰ τὸ κριθῶν. Κριθαὶ ἀχίλλειαι λέγονται, ὅσαι ἐν τῇ ἄθων αἱ ἀχίλλειαι εἰσί. ὥσπερ δὲ καὶ σπόγγος ἀχίλλειος, λευκότατός φασι, καὶ πυκνότατος καὶ ἰσχυρότατος. ἢ ἀπὸ τὰ πρῶτα καὶ τὰς κριθὰς ἐκεῖθεν λέγεσθαι, ὅθεν καὶ ὅθεν πληγεὶς ποιεῖ φασι φάρον. οἱ δέ φασι ἀλλ᾽ ἐν τῷ δεύτερον γίνονται. λέγεται δὲ ἐν τῷ μελίτει κριθῶν εἶναι, ἢ ὡς ἀχίλλειος ἰᾶσθαι, ὡς τὸ μὲν ῥεῦμα, ἀνάπτειν, τὸ δὲ φρενικὸς, ἀληθεῖν. ἀφ᾽ ἧς καὶ περιῤῥαίνεσθαί φασι τὸν ἥρωα οἱ λόγοι, ὅτι ἐπιφέρειν τὸν ἀναβαθμῶν λεγόντων βασιλέα, οὗ μνεία καὶ ἐν τοῖς κατὰ τὴν λυκόφρονα. καὶ ἐν τῇ νήσῳ καὶ κριθὰς λέγεσθαι εἶναι, ἧς ὁ ὅλος οἶνος οὐ μίσγεται. Κριθὰ, κριθινον, καὶ ἐπὶ κρίσιν ἐρρίσαι. Κριθίζεται, ἀντὶ τοῦ κατακριθίζεται. Κριθὸς, παρὰ τὸ προκριθῆναι τῶν ἀκροφύλων. προέφυσε γὰρ ἐσθίειν πρὸ τῶν καρπῶν. ἢ παρὰ τὸ διακρίνεσθαι τοὺς ἄχνους, ἤγουν διαχωρίζεσθαι ἐν τῇ ἐκ τῶν ἀνέμων. Κριθὴ, τὸ τῶν ἀνδρῶν αἰδοῖον. τὸ δὲ γυναικεῖον, μύρτον καὶ κριθίδιον ὑποκοριστικῶς. Κριθὴ, πυρὸν, ὁ τὸ τῶν ἀνδρῶν μόριον, ὁ ὀφθαλμῶν ἐπανάστασις ἐπ᾽ ἰατροῖς. Κριθιάσις ἤδη, νόσημα ἵππων, καὶ ὑπὸ πλησμονῆς. Κριθόπυρον, ἀπόβρεγμα κριθῆς. Κριθόκαλον, σπέρμα μελανθίῳ ὅμοιον. Κριθοφολακία, ἀρχὴ ἐπὶ τῆς ἐξαγωγῆς τῆς κριθῆς, ἢ σίτου. Κριθὸν, ἐπιούσιον ἀνθρώπου. Κριθοτρώγων, κριθοφάγων. Κρίκοι, σωληνίσκοι.

Κρίκε ζυγὸν παρὰ τῷ ποιητῇ, ἀντὶ τοῦ τρίζει κατὰ ὀνοματοποιίαν. διὸ καὶ τρίζειν, ἣν αὐτὸ ἔγραφον, ὡς Λουτροῦ φησι. ἄλλον δὲ ὅτι κἀνταῦθα οὐδέτερος ἐστὶ τὸ ζυγὸν, κατὰ σύνθεσιν μεταπλασμόν. Κρίκα, κρίκον. Κρικελᾶν, τὸ ἐκπλήξαι τοὺς δακτύλους, ὥσπερ κρυβοὺς. Κρίκος, σημαίνει τὸ ἦχον, ἐφόρει, ποιὸν ἦχον ἀποτελεῖν, ἀπὸ τοῦ κρίζειν ὀρνίθος ἡμαρτημένος. ἔφαμεν γὰρ εἶναι, κρίκον, ὃ μιμοῦσι δῆλον εἰρημένον. Κρίκος, τὸ κρικίλιον, παρὰ τὸ κλίνω, κατὰ ἀποβολὴν τοῦ τ κλίκος, ὁ πάντως περικεκλεισμένος, καὶ κρίκος τοῦ δὲ εἰς τὸ τραπεῖτος. ἐπὶ δὲ ἱέραξ, καὶ ἐν ὑποθέσει κρίκος, ὡς ἀρμόδια παραδίδει. Κρίκος, ἐξ ὀνοματοποιίας παρῆκται καὶ αὐτὸς, καθὰ καὶ ὁ ἱέραξ ὄρνις. πότε ποτε, ἐκ τοῦ κρίζειν, οὗ χάρις παρὰ Μενάνδρῳ. εἶδον, ἀλλὰ καὶ χαμαιτύπη κρίζει τις, ὁ ἤδη καὶ ἔλα ἦχον ἀποτελεῖ. ἐξ οὗ καὶ Λουτρὸς ἱέρισον κρίνει, καθ᾽ ὁμοιότατα τοῦ ἤχου, καὶ τῶν ὁμοίων. Κρίμα, τὸ κατάκριμα, ὃ ἢ καταδίκη, ὡς τοῖς κρίμα ἕων τὸ ἴδιον καὶ πίστει. ἔκρίνα, τὸ δίκαιον. ὡς τὸ κρίμα δίκαιον κρίνετε, καὶ οἱ ἐξηγούμενοι τοῦ θεοῦ λόγοι. Κρίματα, αἱ οἰκονομίαι, ψῆφοι, δίκαι. Κρίμνα ἤδη, τὸ κριθὴν. πότε ποτε, ἐκλεχθὲν ὑπὸ πολλῶν βεβαίως. Κριμισὸς, ὄνομα ποταμοῦ. Κριμιᾶτας, πλακοῦντας ἀδελφὸς. Κριμνοὺς, λαιδοὺς ἵππους λέγουσι. Κριμνὸς, ὁ κριθὴ. Κρίμνος, ὁ κριθὴ. Κρίμνον, τὸ παχὺ τοῦ ἀλεύρου.

Κριμνώδη

καὶ τὸ πῦρ περὶ ὃ αἱ χύτραι τίθενται τῶν ἱερῶν, ἀλλὰ τὸ ἐγγὺς τοῦ πυρὸς, ἵνα ὑπὸ ὀπτᾶσθαί ᾖ. Παυσανίας δὲ κανοῦν παραδίδωσι τὸ κρεῖον, ἢ ἄλλο τι ἐφ' οὗ τὰ κρέα κεῖσθαι. ὥσπερ ἀπὸ τοῦ κρέως τὸ κρεῖον, οὕτω καὶ τὸ κρεάγρα, καὶ ὁ κρεανόμος. τὴν δὲ κρεάγραν, καὶ ἅρπαγα λύκον ὁ Παυσανίας καλεῖσθαί φασι.

Κρείων, σημαίνει τὸ βασιλεύς, ἐκ τοῦ κρατέω μετοχῆς κατὰ συγκοπὴν κρείων. Κρείων γὰρ βασιλεὺς παρ' Ὁμήρῳ. ἀπὸ τοῦ ἐπικρατέστερος καὶ κρείσσων τι γίνεται, περιφράσεις τοῦ κακοῦ, ὁμοίως παρ' Ὁμήρῳ. ἰστέον, ὅτι τὰ εἰς ων συγκριτικὰ τῇ ει διφθόγγῳ παραλήγεσθαι, οἷον χείρων, ἀμείνων, μείζων, πλὴν τοῦ καλλίων, βελτίων, αἰσχίων, ἡδίων, τῶν ι παραληγομένων. κλίνονται δὲ ἅπαντα διὰ τοῦ ο μικροῦ, οἷον βελτίων βελτίονος. Κρείσσων, ὁ βελτίων, ὡς ἀπὸ τοῦ ταχὺς γίνεται ταχίων, καὶ ὁ τρίτος τύπος θάσσων, οὕτω καὶ παρὰ τὸ κρατὺς, γίνεται κρατίων, καὶ ὁ τρίτος τύπος κράσσων, καὶ τροπῇ τοῦ α εἰς ε κρέσσων, καὶ πλεονασμῷ τοῦ ι κρείσσων. οὐδέποτε γὰρ πρὸ τῶν δύο σσ εὑρίσκεται δίφθογγον, οἷον φρίσσω, λίσσω, πλὴν τοῦ κρείσσων, καὶ κρίσσων, παρ' Εὐριπίδῃ, ὅθεν καὶ τὰ κώδια, ὁ κρίσσων καὶ ὑπερκρείσσων παρ' Ὁμήρῳ οὐδέτερον ὑπερκρείσσον λέγεσθαι, ὁ δηλοῖ τελείως ἄρχων. Κρείττονες, οἱ ἥρωες οὕτω λέγονται. δοκοῦσι δὲ κακότυχοί τινες εἶναι, διὰ τοῦτο καὶ οἱ παριόντες τὰ ἡρῷα σιγὴν ἔχουσιν, μὴ τι βλαβῶσι. καὶ οἱ θεοὶ δὲ, Αἰσχύλος Αἰτναίαις. Κρείττονα, ἀρετήν. Κρεῖττον ἀλωῆς, τὸ τὴν ἀλωὴν νικῶν, ἤτοι δὲ ἀλωῆς, τὸ ὑπ' αὐτῆς ἡττώμενον. οὕτω καὶ κρείττων τοῦ χρυσοῦ ὁ ἄνθρωπος ὁ ἥρως, καὶ ἥττων χρυσοῦ καὶ ἔρωτος. καὶ κρείττων δὲ, ἐπὶ σώματος λέγεται, ἀντὶ τοῦ ἐπικρατέστερος. οἷον τὸ στράτευμα τῶν Λακεδαιμονίων κρεῖττον τοῦ τῶν Ἀθηναίων ἐγένετο, ἀντὶ τοῦ ἐπικρατέστερον καὶ ἰσχυρότερον.

Κρειῶν, ἀντὶ τοῦ κρεῶν πλεονασμῷ τοῦ ι. Κρείων, ὁ βασιλεὺς, ἀκλιτὸν εὕρηται. Κρέκα, τὴν τρίχα. τὴν ξυρὸν ἀπέστη κρέκα, ἀντὶ τοῦ ἔκοψε. Κρεῖον, τὸ κρατοῦν, κρατοῦντων, τῶν ποταμῶν διαφερόντων. Κρέκοντα, κρούοντα. Κρέκελος, ὀρνεος. Κρέκηδα, αὐλὸς, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀπὸ τοῦ κλάδου. κυρίως δὲ, τὸ τὴν κιθάραν κρούειν. κρέκοντες, ἠχοῦντες. Ἀριστοφάνης, περὶ τοῦ κρέκοντος. Κρέκω, τὸ ἠχῶ.

Κρήμα, ἄρχων βελγάρων, ὃ ἐστὶν ἐν τοῖς βελγαροῖς. Κρεμάθρα λέγεται παρὰ τῷ Ἀριστοφάνει, διὰ τὸ μετέωρον εἶναι αὐτὴν κρεμαμένην. ἔστι δὲ σκεῦος εἰς ὃ τὰ περιττεύοντα ὄψα εἰώθασιν ἀποτίθεσθαι. ἄλλως, παραγώγως ἄρτημα. δεῖ γὰρ κρεμᾶσθαι τὸν Σωκράτην ἐπὶ κρεμαστῆς καθήμενον. κρεμαστὴ δὲ λέγεται, διὰ τὸ οὕτως αὐτὴν ἀεὶ μετέωρον εἶναι κρεμαμένην. Κρεμάσω, μέλλων. οὐκ ἀπὸ τοῦ κρεμῶ, ἀλλ' ἀπὸ τοῦ κρεμάζω, καὶ ὑπερβολῇ τοῦ σ κρεμάω, καὶ κρᾶσει κρεμῶ, καὶ μεταβαίνεται εἰς ἐνεστῶτα, οὕτως ἀγοράζω, μέλλων ἀγοράσω ἀγοράω ἀγορῶ. ταῦτα δὲ κλίνεται μέχρι παρατατικοῦ. Κρεμάω, κρεμάσω, κρεμάσωσι τὴν ἀσπίδα, ἀντὶ τοῦ ἐπιτηδεύσωσι. ἐν γὰρ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες. Κρεμβαλιάζειν, κοχλίδια καὶ ὄστρακα ἀμφοτέροις ἔχουσι, τοῦ ὑπερήχεια ἦχον ἀποτελεῖν τῶν ὀρχουμένων.

Κρέμβαλα, ἐφ' οἷς τὰς κρόκας ἐντυλίσσουσιν αἱ γυναῖκες.

Κρέμμυον, τὸ κρόμμυον. Κρεμόω, πλεονασμὸν ἔχει τοῦ ο τοῖς παραληγούσαις. εἴληπται δὲ, ἀντὶ μέλλοντος τοῦ κρεμάσω. Κρεμῶ, αἰωρῶ, περιάπτω, ἐξάπτω, ἀρτῶ, ἀναδοῦμαι.

Κρεμῶσι τοῦ κόλπους, καὶ κρεμόω, ἀπὸ τοῦ κρεμῶ κρεμᾷς κρεμᾷ [illegible] πλεονασμῷ τοῦ ο. Κρέξ, ὄρνεον ἐστὶ θαλάσσιον ἴβιδι ἴσον. ἴβις δὲ ἐστὶ περὶ Αἴγυπτον γυπαροφαλῆ. Κρέξ, εἶδος ὀρνέου, ἐξ ὃ πάνυ τὸ ῥύγχος καὶ πρίονος δίκην ἔχον. Ἄλλως. Κρέξ, χαραδριὸς, καὶ ὄρνεόν ἐστι, ὁ τοῖς γαμοῦσιν οἰωνίζεται. τάσσεται δὲ ἐπὶ τροχοῦ. Κρεωδαισία, ὁ μερισμὸς τοῦ κρεῶν. Κρεωδόχον, τὸ δεχόμενον τὰ κρέα ἀγγεῖον. Κρεωδοσία. κρεωδαι-

Κοπρόσυρα, τὰ συρόμενα κόπρια. Κόπτιον, ἐκτὸς συμβολον. Κόπτον λέγει Ὅμηρος, καὶ τὴν τοῦ ξέρξου πόλιν, ὡς ἐκ τοῦ παρακαλεῖσθαι. κόπτος γὰρ πολλά τινα. συνθήκαις, ὡς εἰκὸς ἐγένετο, καὶ μάλιστα ἐπὶ τὰ βιβλία. ἐστι δὲ ἡ ὕφασμα κοπτοῦ μετὰ περιστρεφομένας λέσχας χάριν, ὡς ἐν τύπῳ περιπλοκῆς. Κοπροφοροῦσι, κόπρον συμφοροῦσι ἀσφαλῶς. Κόπτω καθεύδειν, λέγεται ἐπὶ τῶν τρόπων πελάγους πλανωμένων, τοῦ σοὸς μὴ βλέπειν ἐκ δολίας ἔτι βίου ξένος ῥῖπος. Κόπτει, πολεῖ. Κόπτε, ἀπελαύνει ταῦτα.

Κοπτομένην, ταλαιπωρουμένην. Κοπτός, ὁ πολὺς. ἐπειδὴ τὸ ἀμφὸς, ἀπὸ τοῦ κοπτὸν τὸ κόπτω, γίνεται κοπτὸς, καὶ συγκοπή. Κόπτω, πλήσσω, κείρω, τέμνω, χίζω, καὶ τὸ ἄρτον, ὡς τὸ εἰς ἰσθ' ὁ κέφας τῶν θυρῶν ἐπὶ τὰ ἀποκόπτει. ἐξ οὗ καὶ κόμμα, καὶ κομμάτιον. κόπτειν τὴν θύραν, ἐπὶ τῶν ἔξωθεν· τὸ δὲ ψοφεῖν, ἐπὶ τῶν ἔνδοθεν λέγομεν. καὶ κόπτω τὰ γράμματα, ὃ καὶ παρὰ τοῖς ῥωμαίοις, ἐπιδέδωκε σίγνα κατέκοπτε δὲ τὸ τίμημα, καὶ τὸ θρηνῶ. ἐξ οὗ κοπετὸς, ὁ θρηνος. καὶ κόπτω ἐπὶ ἄλλου πράγματος. κόπτεσθαι δὲ ἀντὶ τοῦ θρηνεῖν. καὶ κόπτεσθαι τὸ στῆθος, ἀντὶ τοῦ τύπτειν. ὁμοίως καὶ κόπτεσθαι τῶν κεφαλῶν. Κοροτεῖν, τὸ ἀπάγειν τῶν κορῶν. Κορακῖνος, εἶδος ἰχθύος. Κορακίας, ὁ μέλας καὶ κολοιός. καὶ κορακῖνος ὁμοίως. Κορακῖνος, εἶδος ὄρνεος. Κορακοφορασθείσας: ἐπὶ γὰρ κατεῖδεν ὁ Ἀριστοκλείδης. Κορακῖνος, εἶδος ἰχθύος. Κόραξος πέτρη, καὶ κρήνη Ἀρέθουσα, παρ' Ὁμήρῳ. κόραξ δὲ αὐτὸς ἦν κυνηγέτης ἀνήρ, ἰὸς ὀρθοῦσας γυναικὸς, ἐκ τῶν ἐκεῖ. ὃς διώκων λαγὸν ἐν ἰθάκῃ, κατὰ τοῦ κρημνοῦ ἀπήχθη καὶ τέθνηκεν. ἡ δὲ μήτηρ διὰ τὴν λύπην ἑαυτὴν ἐπὶ τῆς κρήνης ἀπήγξατο. ἐντεῦθεν ἡ μὲν μητρὸς Ἀρέθουσα κρήνη λέγεται. ἡ δὲ τοῦ υἱοῦ, κόραξος πέτρα. Κοράλλιον, λίθος θαλάσσιος ἐρυθραῖος. Κοραμβλῦν, ἀντὶ τῆς κράμβης λέγουσιν ἀττικοί. τὴν δὲ αἰτίαν. φασὶν ὅτι ταύτης τὰς κόρας ἀμβλύνει. Κόρανος, βασιλεὺς μακεδονίας. Κόραφο, περιεῖσα. Κόραξ, τι γαστροειδὲς ζῷον, καὶ εἶδος κυανόχροον, καὶ ἰχθύς τις, καὶ τὸ ἀλεκτρυόνος ῥύγχος. Κοράζαι, ἄγαν πολλὰ κράξαι, κακίζεται παρὰ τοῖς θεοῖς. Κορόζα, σκευός τις, καὶ τὸ γυναικεῖον αἰδοῖον.

Κόραξ, εἶδος ὀρνέου. ἐστι δὲ καὶ εἶδος μηχανήματος. Κόραξ ὑδραῖος, ἐπὶ τῆς ὀρχήσεως ἐμμελῶς τεχνάζοντος. Κόραξ, παρὰ τὴν κόρον, ὁ σημαίνει τὸ μέλαν, ἢ παρὰ τὸ κόρας μεγάλας ἔχειν.

Κόρας, ὀφθαλμούς. Κορακίζει, ὀρχεῖται, καὶ ἀκολαστα λαλεῖ. Κοράττειν, κεραμίζεσθαι. Κοράττειν, τὸ ἄγαν περιεργάζειν καὶ λιχνεύειν. Κορδάκη, ὄχημα. Κόραφος, ποιὸς ὄρνις. Κορβᾶν, οὐκ ἐστὶν ὁ δωρεὰ καὶ ἡ προσφορὰ, ἀλλὰ κυρίως ἡ προσφορὰ λέγεται. Κορβωνᾶς, ὁ ἱερὸς θησαυρός.

Κόρβους, τοὺς κόρακας φασὶν οἱ ῥωμαῖοι. Κόρδαξ, εἶδος ὀρχήσεως ἀσέμνως κινούσης. Κορδακισμοί, τὰ τῶν μίμων γελοῖα καὶ παίγνια. Κορδακίζειν, ὀρχεῖσθαι. Κορδακίζεται, αἰσχρῶς ὀρχεῖται. Κορδακισμὸς, ὁ ὀρχηστής. Κορδινᾶμαι, τὸ καρηβαρεῖν παρ' Ἴωσι. γράφεται δὲ καὶ κορδιῶμαι.

Κορδύλη, πᾶν τὸ ὑψηλὸν καὶ συνεστραμμένον, καὶ ὁ παρὰ τὸν ὦμον λοβός. καὶ παροιμία, κορδύλης οὐκ ἄξιος. Κορδυλισμὸς, ὁ περιβολή. Κορδύλημα, τὸ περίβλημα. Κορδύλος, ἰχθύς ποιός. Κορδυς, πανοῦργος. Κορέσαι, πληρῶσαι, χορτάσαι. Κορεία, θεραπεία, κάλλυσις, ἡ δουλεία τινὶ κατὰ τὸ λουτρόν. Κορῆσαι, περιχρώσαι. Κόρην, κορυφὴν, ἐπιπλήξεις. Κορέω, πίνει παρ' Ὁμήρῳ ἀντὶ μᾶλλον τοῦ κορέσαι οὐ κατὰ ἀναλογίαν ἐστὶ μέτρου, ἀλλὰ κατ' ἴσος συκοφάντης.

Κορῆν, τὸ κοσμεῖν. ἀφ' οὗ νεωκόρος, ὁ τὸν ναὸν ἐπιμελούμενος καὶ κοσμῶν. Κορέσεις, μιάνεις ἐθέλω καθαίρειν παρ' Ὁμήρῳ. Κορεῖν, τὸ σαίρειν, καὶ φιλοκαλεῖν, καὶ κοσμεῖν.

Κορείαν

μοσι, διὰ τὸ κουρᾶσθαι, ὅτε τὴν κουρὰν ἐκλύθησαν, καὶ ἀγάλματα εἶναι παρ' αὐτοῖς οὕτως ἔχοντα. μετονομάσαντο δὲ εἰς αἰτωλίαν, φασὶν ἀκαρνᾶνες κληθῆναι, διὰ τὸ ἀκείρεις φυλάσσειν τὰς κεφαλάς. οἱ δὲ παλαιοὶ λέγουσιν, ὅτι ἰδίως κουρῆς εὑδοίων τὸ βοιωτὸν ὄχει τὰς ὄπισθεν κόμας, ἀκρόνας χαίτην. Κομᾶς, γέμας.

Κομόωσι, τρυφῶσι, πλουτοῦσι. τὸ γὰρ κομᾶν, ἐπὶ τὸ τρυφᾶν λέγεται καὶ γαυροῦσθαι, καὶ μεγαλοφρονεῖν. ἄλλως τε καὶ ταῦτα θηξὶ κομᾶν εἰς ὅμαιον συγκεχώρηται αὐτοῖς. Κὸν, εἰδός.

Κονάβησαν, ἤχησαν. Κόναβος, ψόφος, ἦχος, παρὰ τὸ βοῶν κτύπος. Κόναι, φόνοι. Κόναβος, καὶ τὸ κοναβίζειν, καὶ τὸ κοναβεῖν. λιφορεῖται γὰρ καὶ αὐτὸ ἦχος ἀπὸ ξύλων ξηρῶν προσαγόντων. ἢ μᾶλλον κοινότερον εἰπεῖν, ἦχος σωμάτων ξηρῶν. Κονδάκιον, σκηνωτόν. Κονδύλ, σύγγραφῆ, πίνακα, ὀφρυάσιον. Κονδυλίτερον, ὀφρυαστήριον. Κονᾶς, μέθυσος ἀλλαγῆς. Κονδαλευτὸς, κονιορτὸν ἐγείρων. Κονδυλίζω, καὶ κονδυλισμὸς, καὶ κόνδυλος. τὸ δὲ κολαφίζω καὶ κολαφισμὸς, καὶ κόλαφος, ἀττικά. Κόνδυλ, παρὰ τὸ κῶ τὸ κεῖμαι γίνεται κεὰξ, καὶ πλεονασμῷ τῶν συμφώνων κόνδυλ. Κόνδυλοι, κεφαλαί, ἀστράγαλοι. Κονδυλίζω, κολαφίζω. Κονδυλούμεναι, ἀνειλοῦσαι, καθαιροῦσι ἐπὶ τῶν βρωμένων ὑπὸ τοῦ πυρὸς ἐλατῶν. Κόνδυλος, παρὰ τὴν κάμψιν τῶν δακτύλων, εἰσὶ κόνδυλοι ὄντα. περὶ αὐτοὺς γὰρ ἡ κάμψις τῶν δακτύλων ἐγγίνεται. ὁ κόνδυλός ἐστιν, ὅ εἰς τὰ κενὰ ἀνάμεσος τῶν ψαυσμένων, κατὰ βραχὺ τὰ μέρη ταῦτα. Κόνδυ, εἶδος ποτηρίου. Κονδυλίσαι, κονδύλοις πλῆξαι. Κόνει, σπεῦδε, τρέχε. Κόνειον, βοτάνη ἀναιρετική. Κονεῖν, ἐπείγεσθαι, κιθαρίζεσθαι, ἐνεργεῖν. Κονεαλίς, γένος ἐλαίου. Κονίδας, ἐναντίους καταλογισμός. Κονεῖται, ὑφάττεται. Κονθαλοί, οἱ ἀναιδεύσεις. Κονθαλυ, κονθύλε, λῦμεν ἀττικῶς τῆς πολιμαίδος φολῖς, ἢ πανδίεσος. Κονία, καὶ κόνις, ἐκ τοῦ κινῶ, καὶ κατὰ συγκοπὴν κνῶ, τὸ κόπτω γίνεται, λέγεται, ἀφ' οὗ καὶ κνῆσις, ἡ διακοπτικὴ μάχαιρα. Κονία, ἡ ἄσβεστος, ἀφ' οὗ κονιῶ τὸ ἀσβεστῶ χρίω. καὶ κεκονιαμένος τοῖχος, ὁ ἀσβέστῳ κεχρισμένος. κόνις δὲ, ἡ λεπτοτάτη γῆ. Ὅμηρος, καὶ ἀμφότερα ἐπὶ τῆς σημασίας τῆς κόνεως τίθησι. κονίσαλος δὲ τὸ αὐτὸ δύναται, παρ' αὐτῷ τῷ κονιορτῷ. παρὰ δὲ τοῖς ἀττικοῖς, δαίμων τίς ἐστιν ὁ κονίσαλος. κονιορτὸς δέ ἐστι, κόνις αἰρομένη. Κονιᾶν λέγεται, τὸ διὰ λευκοῦ χρίειν ἐκ τοῖχον. τιτανος δὲ λέγεται, ὁ κονιὸς ἄσβεστος. Κονιᾶται, οἱ τοὺς τοίχους παραχρίοντες. Κόνις, ἡ κόνις, ἄμμος, μάχη, ἀκαθαρσία.

Κονίειν πεδίον, τὸ διὰ τῆς πεδιάδος κόνιν ἐγείρειν, ἐν τῷ συνεδαίως θέειν. ἐκ δὲ τοῦ κονιᾶν ῥήματος, καὶ τὸ ἐγκονεῖν γίνεται, ὃ τὸ διακονεῖν. Κονίη ἀειρομένη, εὕρηται παρ' Ὁμήρῳ, ἐφ' οὗ ἐπινοεῖται τὸ ὕστερον, ἡ τοῦ κονιορτοῦ σύνθεσις. ἄλλον γὰρ ὡς ταυτὸν κονιορτὸς καὶ κόνις καὶ κονίη ἀειρομένη. κονία καὶ κόνις παρὰ τῷ ποιητῇ ταυτὰ δύναται, ὡς καὶ κονίσαλος. ἢ μὲν κονία ἄλλο σημαίνει, ὡς ὁ ἀπ' αὐτῆς σύνθετος ἐλαιοκονία δηλοῖ. ἡ δὲ κονία καὶ τι ζωΰφιον μικροφυές ἐστι, κατὰ ὅνομα κόνιν, ἀφ' ἧς οἱ φθεῖρες γεννῶνται. ἧς ἡ κλίσις διὰ τοῦ Δ. κόνις γὰρ κόνιδος. Κονίουσι, κονιορτὸν ποιοῦσι. καὶ κονίοντες ὁμοίως. Κονίεσθαι, ἀγωνίζεσθαι, ἢ κονιορτοῦσθαι. Κονίζω, τὸ ἀγωνίζομαι, καὶ παρασκευάζομαι πρὸς τὸν πόλεμον, ἀπὸ τοῦ κόνις. οἱ γὰρ ἀρχαῖοι ὅταν ἤμελλον ἀγωνίζεσθαι, εἰς τὰς χεῖρας αὐτῶν πάσσοντες, κόνιν προσλάμβανον διὰ τὸ ἰσχυρῶς κρατεῖν.

Κόνιν λέγει Ὅμηρος, τὴν ἁπλῶς κόνιν. οἱ δὲ μεθ' Ὅμηρον τὴν τίτανον, ἐξ ἧς καὶ ἐλαιοκονία σύγκειται, καὶ ῥῆμα γίνεται συζυγίας δευτέρας κονιῶ, κονιάσω. ἐξ οὗ καὶ τάφος καὶ τοῖχος κεκονιασμένον. Κόνιν, τὴν μάχην ἔλεγον οἱ παλαιοί.

Κονιοντὸς, ἀνύοντος, διαπεραίνοντος. Κονιόποδες, ταλαίπωροι.

Ἀπόλλημα, τὸ μὴ σκεπάζον ὅλον τὸν πόδα, χρῶνται δὲ καὶ κονίποδα, τουτέστι κοινὸν σανδάλιον. Κονιορτοκύλιστος, ἀγροῖκοι, ἐργάται. Κονιορτὸς, συντίθεται ἐκ τοῦ ὄρω κόνιν παρὰ τὸ ὕστερον. Κονιορτὸς, ὁ χοῦς παρὰ τὸ ὄρω τὸ διεγείρω, ὁ μέλλων ὄρσω. ἔστιν ὄνομα ῥηματικὸν ὀρτὸς, ὡς κείρω κορμὸς, καὶ ἐν συνθέσει μετὰ κόνις κονιορτὸς, ὁ τὴν κόνιν ὀρῶν καὶ ὁρμῶν, καὶ διεγείρων. Κονιορτὸν, ἀσκοὺς πλείονας ἐς ὅτι πληρώσαντα κονιορτοῦ, φέρειν ἕκαστον ἑκάστῳ ἀνδρί, καὶ κατὰ τὴν συμπλοκὴν τοὺς ἀσκοὺς τῆς αἰθάλης ἔνδον μαχαιριδίοις. Κονιορτωσάμενον, κόνιν ἐπιβαλλόμενον. κονιορτωσάμενον καὶ ἐκπορευθὲν κατὰ σπουδὴν ἐρχόμενον ἐπιφαίνεσθαι. Κονιπόδες, ὑποδήματα ποιχικά. Κονισάλος, κεκονιορτωμένος. Κονίσαλοι, ἀφροδίσια. Κονίσαλος, κονιορτὸς, ἢ δαίμων τριπώλης, ἐκ τοῦ μὴ ὀκνεῖν καὶ ἐπὶ κόνεως μίγνυσθαι, καὶ κονίσαλος. Κονίσαλος, ἐκ τοῦ κονίω κονίσω, ὡς ἴξω ἴξαλος, ἢ ἐκ τοῦ τὴν κόνιν σαλεύεσθαι. ἰστέον δὲ, ὅτι ὁ κονίσαλος, καὶ πάτος λέγεται, ὡς δηλοῖ ὁ εἰπὼν, ὅτι ὁ ἱδρὼς τῶν γυμναζομένων μιχθεὶς τῷ πάτῳ, συντελεῖ πρὸς διαφόρησιν ὄγκων τῶν παρὰ φύσιν. καὶ κονιῶ, τὸ ἀσβέστῳ χρίω. καὶ κονίομαι, τὸ εἰς μάχην ἐνσκευάζομαι. Κονιοντὸς, ἤγουν τρέχοντος. ἐν γὰρ τῷ τρέχειν, κόνις ἤγουν χῶμα ἐγείρεται. ἢ ἀπὸ τοῦ κονῶ τὸ σπεύδω.

Κονίοντες πεδίοιο, ἀντὶ τοῦ κόνιν ἐγείροντες διὰ τοῦ πεδίου. ἢ μᾶλλον, ἐπὶ τοῦ πεδίου, καὶ τῆς πεδιάδος, κατὰ τὸ ἴχνος εἰς πεδίον, ἐκ δὲ τοῦ κονίειν πεδίοιο, καὶ τὸ ἐγκονεῖν ἐποιήθη, ὡς τὸ χωρῶμεν, ἐγκονῶμεν. Κόνις καὶ κονία. ὅτι δὲ ἡ μὲν τοιαύτη κόνις διὰ καθαροῦ τοῦ Θ κλίνεται, εἶπεν κόνις κόνιος, ὡς ὁ κόνιος διεφθαρμένος. ἡ δὲ περὶ τὰς τρίχας τῆς κεφαλῆς ὁ φθορεοποιὸς, διὰ τοῦ Δ, κόνις κόνιδος. δηλοῦσι δὲ μὲν ἴωνες καὶ ἀττικοί, ὁ δὲ ἀριστοτέλης, ἐκ τῆς τῶν φθειρῶν ὀχείας γίνεσθαι τὰς κόνιδας λέγων, ἐν τῇ περὶ ζώων ἱστορίᾳ. σημαίνουσι δὲ καὶ παραβολικῶς ὁμίχλη βαθεῖα τὴν πολλὴν καλοῦσι κόνιν, ἐγγὺς κονίας ὁμίχλην φασὶν Ὅμηρος. καὶ κόνις ἐστὶ δ' ὅτι, ἐπὶ ταύτης λέγεται τῆς σημασίας τοῦ κακοτρόπου. ἡ κόνις ὥσπερ καὶ κονία ἐφ' Ὁμήρῳ μὲν, τῆς αὐτῆς ἐστὶ σημασίας. ὕστερον δὲ, κονία μὲν ἔλεγεν καὶ ἡ χίονος τὰ ὡς φασὶν οἱ ῥήτορες κεκονισμένα. κόνις δὲ ἰδίᾳ ἀθλητικὴ, ἐξ ἧς καὶ τὸ ἀθλητικῶς κονίεσθαι, καὶ κονίστρα ἡ παλαίστρα. χρῆσις δὲ τοιαύτης κόνεως, παρὰ ἀθηναίῳ ἐν τῷ σκάπτοντι δεῖ τὴν τῶν ἀθλητῶν κόνιν. ἐκ δὲ τῆς κόνεως πολλὰ παρῆκται, ὃν δὴ καὶ τὸ ἐγκονεῖν, ὃ καὶ αὐτὸ Ἀριστοφάνης, ὁ αὐτοχειρὶ δουλεύων. καὶ διακόνιον δέ φασιν, εἶδος πλακοῦντος, ὡς ἐστι γενικῶς ἄρτος τις, ἢ πέμμα πλατὺ παρὰ τὴν πλάκα. ἐπεὶ ὡς τυρόεις τυροῦς, σησαμόεις σησαμοῦς, οὕτω καὶ πλακόεις πλακοῦς. ἐκάλουν δὲ τούτους φασί, καὶ κύμα ἐνθὺν ὑποστρακίων ἐπίχευμα σπιλάδος ἐστὶν. Κόνισαι, γυμνάζεσθαι. Κονίσουσι, κόνιν ἐγεροῦσιν, ἢ κονίσουσιν, ἀντὶ τοῦ φεύξονται, εὖρε κονίσουσι πεδίον. ἐκ τοῦ παρακολουθοῦντος νοεῖται τὸ φεύξονται. οἱ γὰρ φεύγοντες, κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν. Κονίστρα, ὁ ἀγὼν, ἡ παλαίστρα. ἢ ὁ κυλίστρα. Κόνιστρον, ῥύπος. ἔλουσαν ὑμᾶς ἄνω κονίας, δυσκεφαλους. καὶ οἱ δὲ φέρεις κίνιον καὶ κονιορτοῦται. καὶ κονιομένους, κόνεως πεπληρωμένους. Κονίω, τὸ ἀγωνίζομαι, ὥσπερ ἀπὸ τῆς μῆτις μητίω, καὶ δῆρις δηρίω, καὶ μῆνις μηνίω, οὕτω καὶ ἀπὸ τῆς κόνις κονίω. Κονιῶ, τὸ τοῖχον χρίω. Κόννα, σπουδαῖος. Κοννάβησαν, ἤχησαν. Κονναβίζω, ἦχον ἐπιτελεῖ, δονεῖται. Κόνναρον, καρπὸς δένδρου, ὅμοιος παλιούρῳ. Κοννᾶς, αὐλητὴς ἦν, καὶ μάθητος, ὃς τὴν συμπόσια παρῆν συνεχῶς ἐστεμμένος, οὗτος ὀλυμπιονίκης γενόμενος, καὶ πολλάκις στεφανωθεὶς, πενιχρὸς ἦν, μηδὲν ἔχων ἀλλ' ἢ κότινον. ἀφ' οὗ Κρατῖνος εἶπεν, ἰδεῖν καὶ συγγαμεῖ

διδο

Κομήτης ἀστὴρ, ἀστεροειδὲς πυρὸς ἄθροισμα, ἐπί τινα σχηματισμὸν κεκινημένον χρόνον, καὶ ὃς ἔνι ἄστρον εἶναι σύνδεσμον ἔχον, οἷον κόμην ἐκτείνων, ἢ ἐκχέων. Κόμματα, ἐπὶ τῶν ἐσθῶν. Κομία, εὐωχία. Κομιδὴ, ἡ ἐπιμέλεια. ἐκ τοῦ κομίζω, τὸ ἐπιμελοῦμαι. καὶ εὐκόμιστος κατὰ τοὺς παλαιοὺς, ὁ ἐπιμελείας τετυχώς. λέγεται καὶ κομιδῇ. κομιδῇ δὲ ἐπίρρημα, τὸ λίαν. Κομιδῇ, ἀντὶ τοῦ λίαν, ἢ παντελῶς, ὁλοσχερῶς, εἰλικρινῶς, παντάπασι, τελείως. Κομιδὴ, ἡ ἀνάσωσις. Ἡρόδοτος. λέγεται δὲ καὶ ἡ ἄφιξις. Κομιδῆς ἀποτίνειν, ὃ ἔστιν ἐπιμέλειαν, ὅμοιον δὲ τῷ θρέπτρα ἀποδιδόναι, ὅ ἐστι τροφεῖα. Κομιδῇ, ἐπίρρημα ἀπὸ δοτικῆς, ἀντὶ τοῦ ἐπιμελῶς. καὶ τὰ ἐπιρρήματα γίνεται μὲν ἐκ πάντων τοῦ λόγου μερῶν. καὶ ἀττικοὶ μὲν μάλιστα ὁμοίως ταῦτα ποιοῦσιν ἀπὸ δοτικῆς ἑνικῶν θηλυκῶν ὀνομάτων. ἔστι μὲν οὖν προσηγορικῶν, ὡς τὸ κομιδῇ παρρησίᾳ. ἔστι δὲ οὖν ἐπιθέτων, ὡς τὸ ἰδίᾳ δημοσίᾳ. καὶ ἐστι ἄρθρων τε καὶ ἀντωνυμιῶν, ὡς ᾗ τὸ καθ᾽ ὃ. καὶ ταύτῃ, τὸ οὕτω. καὶ ἀπὸ αἰτιατικῆς ἑνικῶν τῶν οὐδετέρων, καὶ πληθυντικῶν, πολὺ ἢ πολλὸν, καὶ πολλά.

Κομίδιον, τὸ τοῦ δένδρου δάκρυον. Κομιεῖ παρ᾽ Ἀριστοφάνει, ἀντὶ τοῦ λήψει. κομίζω, μέλλων κομίσω, καὶ ἀττικῶς κομιῶ, ὁ μέσος μέλλων κομιοῦμαι, κομιῇ, καὶ ἀττικῶς κομιεῖ.

Κόμιζε, ἐπιμελοῦ. Κομίζεσθαι, αἰτιατικῇ, ἀντὶ τοῦ ἔχειν. ἂν ἡ βέλτιστα, πάντ᾽ ἐμοῦ κομίζεσθαι. Κομιζόμενος, ἀντὶ τοῦ κομιδὴν ἔχων καὶ ἐπιμέλειαν. Κομίζω, ὁ μέλλων κομίσω κοινῶς, κομιῶ ἀττικῶς, ὡς νομίζω νομιῶ, κιθαρίζω κιθαριῶ. ὁμοίως καὶ τὰ παθητικῶς ἐκφερόμενα, ἐνέργειαν δὲ δηλοῦντα, οἷον ἀγωνίζομαι ἀγωνιοῦμαι. οἱ ἀττικοὶ τῶν διὰ τοῦ ιζω ῥημάτων ὑπὲρ δύο συλλαβὰς τοὺς μέλλοντας κατὰ περισπασμὸν τοῦ ζω λέγουσι. πρόσκειται δὲ ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ ὀρίζω καὶ κτίζω. ταῦτα γὰρ ὁμοίως, κατὰ τὸν μέλλοντα βαρυτόνως προφέρονται. ἀπὸ δὲ τοῦ δανείζω δανειῶ οὐκ ἔστιν. οὐδὲ δανειοῦμαι, ἀλλὰ δανείσω καὶ δανείσομαι. πλὴν τοῦ βαδίζω οὐ βαδιῶ, ἀλλὰ βαδιοῦμαι ἀττικῶς. Κομίζω ἐνεργητικῶς φέρω, καὶ ἐπιμελοῦμαι ποιητικῶς. ὡς τὸ τὰ σαυτῆς ἔργα κόμιζε. προσκομίζω τὸ δῶρον, ἤγουν φέρω. κομίζομαι οὐ μόνον τὸ φέρομαι, ἀλλὰ καὶ τὸ λαμβάνω. Λιβάνιος ἐν ἐπιστολῇ, καὶ δόξει μὴ εὖ φαύλους κεκομίσθαι μισθούς. Κομιούμενος, ἀνησόμενος. Κόμιζε μώνυχας ἵππους, ἀντὶ τοῦ ἐπιμέλειαν ἔχε, ποιητικώτερον πέφρασται. τὸ γὰρ ἀττικὸν ἐκομισάμην. ἄλλο δὲ παλαιῶς τοῦτο τὸ κομίζειν. παρὰ τὸ κόμισόν μοι ἵππους. ἐκεῖνο δὲ ἐπιμελείας ἐστὶ δηλωτικόν. ἐξ οὗ καὶ κομιδὴ ἡ ἐπιμέλεια.

Κόμισαι, ἀντὶ τοῦ ἐπιμελήθητι, ἐκ τοῦ κομίζω, ἐξ οὗ καὶ κομιδὴ ἡ ἐπιμέλεια, ἧς ἡ δοτικὴ ποιεῖ ἐπιρρηματικῶς τὸ κομιδῇ. ὅπερ ἐστὶ λίαν καὶ ὡς εἰπεῖν ἐν ἐπιμελείᾳ. Κομιστὰς, ἐπιμελητάς. Κομιστὴ, τροφή. Κομιστέον, δεῖ κομίζειν. Κομίστρια, ἐπιμελήτρια, τροφὸς, ἐμπλέκτρια. Κομιῶ μέλλων δεύτερος ἀττικὸς ἐκ τοῦ κομίζειν, ὅμοιος τῷ ἐγγιῶ καὶ βαδιοῦμαι, καὶ τοῖς τοιούτοις. δηλοῖ δὲ ἡ λέξις τὸ ἐπιμελείας ἀξιώσω, καὶ τὸ περιποιήσασθαι. Κόμμα, εἶδος φαύλου νομίσματος, παρὰ τῷ Ἀριστοφάνει. ἔοικε δὲ εἶναι τοῦ πονηροῦ κόμματος. ἀντὶ δὲ τοῦ εἰπεῖν φαύλου νομίσματος, πονηροῦ κόμματος εἶπεν. καὶ εἴρηται ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων, διὰ τὸ ὀλίγον μὲν ἔχειν χρυσὸν, πλεῖστον δὲ χαλκόν.

Κομμαγηνὴ, ὄνομα τόπου. καὶ κομμαγηνὸς, ὁ ἀπὸ τοῦ αὐτοῦ τόπου. Κόμματα, καὶ κυράβια. Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους εὐαγγελίῳ, τὰ μὲν κυράβια εἰσὶ τὰ πίτυρα, τὰ δὲ κόμματα ἐοίκασιν εἶναι μέρη ἢ τῆς καλάμης, ἢ τῶν περὶ τὴν ἅλω αὐτὴν ἐν τῷ ἀχύρῳ γινομένων ἢ τῶν ἀνθερίκων.

Κομμάτιον ἐστὶ δύο σίγλων, ὃ τριῶν, εὐδόκιμον δὲ ὑπερβάλλει εἰς τὸ τέταρτον. ὡς παρὰ τῷ Ἀριστοφάνει, ὡς τὸ ἐπὶ ἄλλο χεῖν δὲ λέγειν ὑμᾶς ἔφερον καὶ τὰ λοιπά. Κομμαργιῶν, ἀργιδῶν, μοχθῶν. Κομμοῦν τὸ σῶμα, ἐρεθίζειν. ἐπεὶ καὶ κομμωτικὴν λέγουσι τὴν κοσμοῦσαν. Κομμώτρια, ἡ κοσμήτρια, καρίδιον μακρόλοβον. Κόμμι, τὸ ψιμύθιον. κόμμι, καὶ ὁ λίβανος, καὶ τὸ ἐξηραμμένον ἐκ δένδρου δάκρυον. Κόμμωσι, ὀδόντες γόμφιοι ἢ κόπτουσι, ἢ κοπτοί. Κομμοῦν, ὡραΐζειν τὸ σῶμα. Κομμὸς, περίεργος κόσμησις, ἀγὼν γυναικῶν μωρία πλοκὰς μετὰ κομμοῦ, καὶ δολευθεὶς, ποιεῖ γὰρ καὶ ὁ ἐλεγμοῦ. Κόμμωσις, ὁ τοῦ σώματος ὡραϊσμὸς, καὶ ὑπὸ τῶν μελισσουργῶν, ἡ τοῦ σμήνους διάχυσις. Κομμοῦσθαι, καλλωπίζεσθαι. Κομμωτὰς, καλλωπιστάς. Κομμωτικὸν, ἐπίπλαστον. Κομμώτρια, ἐμπλέκτρια ἡ κοσμοῦσα τὰς γυναῖκας. Κομμωτίζω, ἐπιμελοῦμαι τὰς παρειὰς τῷ ψιμυθίῳ. κόμμι γὰρ τὸ ψιμύθιον. Κομπάζω, καὶ κομπέω κομπῶ, καὶ κομποῦμαι λέγεται, ὅτι κομπαστικῶς λέγω. Σοφοκλῆς, ἐν αἴαντι δὲ μή τ᾽ ἀλεξημάχοσι. Κομπάζειν, τὸ ἐπὶ λόγοις μεγαλαυχεῖν, καὶ ἐπὶ τούτοις μεγαφρονεῖν. Κόμπαρος, ὃς συνάγεται εἰς ὑπερβολὴν ἐπὶ ὁμοίως τῶν αὐτῶν ἐπιτελεῖν χρείαν.

Κομπάσας, ὁ κομπάσας, παρ᾽ Ἀριστοφάνει ἐν πλούτῳ, ἀντὶ τοῦ ἐπαρθεὶς ἐκ μεταφορᾶς τῶν κομώντων δένδρων, ἃ τὴν κόμην ὑψοῦ ἔχουσιν. τοιοῦτοι δὲ οἱ ὑπέρφρονες, ὑψοῦ τὴν τρίχα αἴροντες. Κομπασμὸς, ψόφος. Κόμπαλος, χαλαστρόφαλ. Κομπαλακεύσω, προσαλαζονεύσω. Κόμπαι, ὀδόντες γόμφιοι. Κόμποις, ὑπερηφανίαις. Κόμπον, κτύπον λέγει Ὅμηρος, ὃν ὁ κάλμητος ἀποτελεῖ θέγων ὀδόντας, καλῶς ἐπιτυχῶς ὀνοματοποιήσας, ἐντεῦθεν δὲ κατὰ μεταφορὰν, καὶ ἐπὶ φλυαρίας ἀλαζονικῆς ὁ κόμπος καὶ τὸ κομπάζειν, καὶ τὸ κομπεῖν λέγεται. Κομπολακεῖν, ὦ Ἀριστοφάνης. οἷα ἐκομπολάκησεν, κενοὺς οὐκ ἐπιόντα φέροντες. οὐκ ὀλίγον κομπάσας, ὡς Αἰσχύλος. Κομπορρήμων, ὁ κενόδοξα λέγων. Κόμπος, ἀλαζονεία, ἔπαρσις. καὶ κόμπος ὁ ψόφος. Κόμπος, ὁ διὰ τοῦ λόγου ἔπαρσις, ὄγκος δὲ ἐπὶ σώματος. Κόμπος, ἡ κενοδοξία, παρὰ τὸ κενὸν ὄγκον ἔχειν, ὅ ἐστι φωνήν. Κομποφακελορρήμονα, βαρυρρήμονα σκληρὰ καὶ συνδεδεμένα ἐπιλέγοντα. φάκελοι γὰρ τὰ βαρέα, καὶ συνδεδεμένα φορτία τῶν ξύλων. Κομπῶδες, ἀλαζονικόν. Κομψὰ, τὰ στρογγύλα.

Κομψεία, ποικίλη λαλιὰ, καὶ πανουργία, ἣν οἱ συνήθεις ἔνιοι τὰ τῶν κορυφῶν ἔρια. οἱ δὲ γένος λαχάνων, ἕτεροι δὲ ἱπποσέλινον καὶ σμύρνιον καλοῦσι. Κομψεία, ἐλαφρία, ἀστειότης, πιθανολογία, ἀλαζονεία, σοφία. Κομψεύεσθαι, σεμνύνεσθαι, ἀλαζονεύεσθαι. Κομψευριπιδικῶς, ἀντὶ τοῦ εὐριπιδείως, καὶ δεινῶς. οἷον πανούργως. κομψοὶ δὲ παρὰ τοῖς ἀρχαίοις ἐλέγοντο οἱ πανοῦργοι. Κομψὸν, περίεργον, περίλαλον, πανοῦργον, ἀπατηλόν, πιθανόν, τεχνικόν. λέγουσι καὶ κομψεία, ἐλαφρία, ἀστειότης, πιθανολογία, ἀλαζονεία. Κομψὸν, λέγεται τὸ χαρίεν. λέγεται καὶ τὸ σεμνόν. λαμβάνεται καὶ ἀντὶ τοῦ γλαφυρόν. καὶ ἀντὶ τοῦ, κόμπου γέμον καὶ μεγαλαυχίας. Κομψὸς, κομψεύω, καὶ κομψεύομαι. κομψεία κομψεύειν παρὰ τοῖς παλαιοῖς, τὸ περιλαλεῖν. Κομψὸς, εἴρηται μὲν ἡ λέξις ἐπὶ τοῦ πανούργου, καὶ ἐπὶ τοῦ μετρίου, καὶ ἐπὶ τοῦ ἐπιεικοῦς. ἀμφότερα οὖν, παρὰ τὸ κάμπτειν ῥῆμα. ἀφ᾽ ἐπὶ μὲν τοῦ πανούργου παρὰ τὸ εὐκαμπτὸν, καὶ διεστραμμένον τῇ διανοίᾳ. ἐπὶ δὲ τοῦ ἐπιεικοῦς, παρὰ τὸ εὐκαμπῆ αὐτὸν εἶναι. οἷον εὐχερὴς προσηνής. οὕτως Εἰρηναῖος ὁ ἀττικὸς, ἢ κομψὸς ὁ πιθανολόγος. ὁ μετὰ ὑπερηφανίας καὶ κόμπου φθεγγόμενος. Κομῶντας ὄπισθεν, τοὺς Ἄβαντας λέγει ὁ ποιητὴς, κατὰ τὸ ἔθος ἴδιον. φασὶ γὰρ οἱ παλαιοὶ ὅτι Κουρῆτες ἐν Χαλκίδι ᾤκησαν. συνεχῶς δὲ πολεμοῦντες αὐτοῖς περὶ τῆς Λελαντίας πόλις, ἐπεὶ τὸ κόμας οἱ πολέμιοι ἀποτέμνοντες κατέσπων αὐτοὺς, ὀπισθοκόμοι γεγόνασι τὰ ἔμπροσθεν κειρά-

μενοι.

δὲ Διονύσιος λέγει, ὅτι Φιλήμων ἐπισκώπτει τὸ ὄνομα, ὡς βάρβαρον. λέγειν γὰρ καλοῦσιν. ἴσθι δὲ, ὅτι βουνόν. Φιλήμων ἐν οὕτω, ὡς σύνηθες εἴρηκεν, ἄλλοι δὲ ὡς ξένον ἐπισκώπτει. ἐκ δὲ τοῦ κολωνοῦ, παρήγαγεν καὶ πόλις Κολώνεια. καταί τι ἄλλο, καὶ κατὰ τὴν Θεσσαλονίκην, Θεσσαλονίκεια. δηλοῦσι δὲ ὑψηλὸν τόπον αἱ λέξεις. διὸ καὶ αἶγα ἐρρίθη κολώνη. σημαίνει δὲ, ὅτι αὕτη μὲν ἡ παλαιὰ κολώνη τῶν πολιτῶν ἦν, καὶ ἑτέρα τις ἦν. Ἄλλως. Κολώνη, καὶ κολλικολώνη, τόπον ὑψηλὸν δηλοῖ, ὅθεν παρώνυμον κολώνεια, ὡς ἀνοχὴ ἀνοχεία. ἔχει δὲ ἡ ἀπορίαν, διὰ τί οὐ καλεῖται ἡ κολώνη, εἴπερ ἀπὸ τοῦ κολωνὸς ὠνόμασται, ὃ δηλοῖ μέγα ὄρος κατὰ τοὺς παλαιούς; καὶ ἴσως ἔστιν εἰπεῖν, ὅτι συμβεβηκόσι καὶ αὐτὸ τοῖς διὰ τοῦ ωνη θηλυκοῖς ὀνόμασιν. οἷον, ὥσπερ κορώνη, μελώνη, καὶ τοῖς τοιούτοις. οὐκ εἰς ὀξὺ παντελῶς ἡ κολώνη λέγεται. ἔχει δὲ καὶ ὡς τινὲς ἀπὸ κολοβώματος ὄρους. διὸ καὶ κολώνη λέγεται, ὡς ἀπὸ τοῦ κολούω, τὸ κολοβῶ. ταυτὸν δὲ πάντως κολωνὸν καὶ κολώνην εἰπεῖν. παρὰ δὲ ἴσως τὸ ὁμωνυμικὸν, ὃ καὶ Σοφοκλῆς ἀκολουθῶν, κολώνην ἄκραν τάφον ἔφη. Κολώνεια, ἀποικικὸς τόπος, εἰς ὃν οἱ ἐλεύθεροι ἀναπέμπονται. φασὶ γὰρ τότε τὸν Αἰνείαν τὸν ἐπὶ Ταρσῶν πολεμεῖν, τοὺς γεγηρακότας τῶν στρατιωτῶν μετὰ τῆς ἀρχαίας ἐλαίας ἐν Ἰταλίᾳ καταλιπεῖν. τοὺς δὲ γεωργίας ἐπὶ ἀμπέλων ἐπιμελεῖσθαι, καὶ εὔφορον γενέσθαι τὴν Ἰταλίαν. τοὺς δὲ γεωργοὺς οἱ Ἰταλοὶ κολώνους ἐκάλουν. Κολωνία, τόπος. Κολωνὸς ἐστὶ ἦλθες, ἀντὶ εἰς τὸν κολωνὸν ἦλθες. παροιμία δὲ ἐπὶ τῶν μισθαρνούντων. Κολωνὶς, γῆς ἀνάστημα, τόπος ὑψηλός. Κολωνῷ, τῇ ἐξεχούσῃ ἀκρωρείᾳ.

Κολοιὸς, ὁ ὄρνιθος κατὰ μὲν Φιλόξενον, ἀπὸ τοῦ κλῶ γίνεται, συμπεπτωκότος ῥήματος, κατὰ πρόσληψιν συλλαβῆς, διὸ οἱ δὲ προσγίγνεσθαί φασι τὸ ι. ἀπὸ δὲ τοῦ τοιούτου κλῶ καὶ τὸ κλάζω γίνεται κατὰ παραγωγήν. κατὰ δὲ ἑτέρους, ἀπὸ τοῦ κέλω, ἐκτάσει τοῦ ο εἰς ου, μείναντος δηλονότι τοῦ ι παραγωγικοῦ. κολοιὸς δὲ, τὸ ὄρνεον. Κόλωψ, ἀμφιπλόων. Κολωτίκη, εἶδός τι. Κολώτης, ἐπίκουρος λόγιος καὶ πάνυ δόκιμος, κατὰ τοῦτο Πλούταρχος ὁ Χαιρωνεὺς πολλὰ γέγραφε. καὶ ἀγαλματοποιὸς Διονύσου ἄξιος γέγονεν. ἴσως δὲ καὶ τοῦτο παράγεται κολώτιος, ἐπώνυμον τῆς οἰκίας Ἀγγέλου τοῦ κολωτίου. ὃς εἰς ἓν τῶν τὰ ἀπόρρητα τοῦ μεγάλου ἀρχιερέως ἐπισταμένων, πάντων ἔθει τὴν σήμερον ἡμέραν ἐν τῇ βασιλίδι τῶν πόλεων ζώμενος εἰσί, φιλοξενίᾳ, φιλανθρωπίᾳ τε καὶ ἐλευθεριότητι, καὶ ἐκ πάντων τῶν ἀρετῶν τὸ ἄνθος δρεψάμενος, ἀσυγκρίτως χαρίζεσθαι. οὗτος δὲ ὁ Ἄγγελος κολώτιος ἐν τινὶ πόλει τῆς Ἰταλίας ἀπὸ τῶν Πελασγῶν, οἳ πρῶτοι τὰ γράμματα ἐν Ἰταλίᾳ ἐδίδαξαν, παλαιά τε καὶ εὐγενεστάτη οὖσα γεγονώς, ἐμοὶ πάντων φίλτατος ἦν, τὰ Ἑλληνικὰ δὲ εἰς γνῶσιν τῶν παλαιῶν καὶ ποιητῶν καὶ πεζῶν ἐπισυλλεξάμενος. τὰ δὲ λατινικὰ κατὰ πολὺ, καὶ εἰς ἄκρον παιδείας, εἰς ἐλευθερίαν πάντων ἀεὶ πρόθυμος, τὴν ἑαυτοῦ οἰκίαν πᾶσι τοῖς σπουδαίοις ξενοδοχεῖον κατέστησε.

Κολοφὼν, τέλος ἔσχατον, τέλος. Κομᾷ, γαυριᾷ, μεγαλοφρονεῖ, ἐπαίρεται, χλιδᾷ, τριχῶν ὑπερβολῇ κοσμεῖται, ἢ περιουσίᾳ χρημάτων μεγαλαυχεῖ. μὴ φρονεῖν ὑπὲρ κομῶσιν, ἀντὶ τοῦ τρυφῶσι, πλουτοῦσι. τὸ γὰρ κομᾶν ἔλεγον ἐπὶ τοῦ τρυφᾶν, καὶ γαυροῦσθαι, καὶ μέγα φρονεῖν. ἄλλως τε καὶ τὸ ταῖς θριξὶ κομᾶν. Κομᾷ ἀνὴρ, ἢ γυνὴ, ἀντὶ τοῦ κόμην τρέφει. κομᾷ ἀγρὸς, ἀντὶ τοῦ θάλλει. κομᾷ ἀνὴρ ταῖς θριξί. κομᾷ τὸ δένδρον τοῖς κλάδοις. κομᾷ καὶ ὁ πλούσιος ὑπὸ πλούτου. καὶ κομᾷ τόπος, ἤγουν φυτὰ ἔχει. καὶ κομᾷ ἀντὶ τοῦ τρυφᾷ, καὶ ἐπαίρεται. Ἀριστοφάνης, ὁ μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτο κομᾷ. Κόμαι, αἱ τρίχες τῆς κεφαλῆς, καὶ χωρίον.

Κομαίθα, ἡ τυχοῦσα γυνή. Κομμιοῦνται, κοιμηθήσονται. Κομάκτορ, ἡ λέξις παρὰ Ἡσιόδῳ ἐν μελίᾳ. Κόμανα, πόλις, ἔνθα ὁ Χρυσόστομος ἐτάφη πρῶτον. Κομανίαν, κορωνίαν, ἀλαζονείαν, ὕβριν. Κομενταρήσιος, ὁ χαρτουλάριος. Κόμαρος, εἶδος φυτοῦ. Κομᾶς, θεραπεία, καὶ τὰ συμφέροντα. Κομάσαι, παρὰ τῷ Θεοκρίτῳ, ἀντὶ τοῦ βλαστῆσαι, ἀνθῆσαι. Κομᾶν ὑπὸ, τὸ ἐπὶ ἵππου σημαίνεσθαι τῶν καλῶς πεποιημένων, καὶ τρέφειν τὴν κόμην, ἤγουν τὸ πλεῖον τοῦ συμμέτρου ἔχειν τὴν κόμην. Κομέω κομῶ, τῆς δευτέρας συζυγίας, τὸ εὐφραίνομαι, καὶ ἀγάλλομαι. καὶ τὸ τὰς τρίχας τρέφω, μετοχὴ κομῶντες, καὶ ἐκτάσει τοῦ ο κομόωντες. κομῶ δὲ τῆς πρώτης συζυγίας, σημαίνει τὸ ἐπιμελείας ἀξιῶ. ὅθεν καὶ τὸ κομείτην δυϊκὸν, ἀντὶ τοῦ ἐκόμουν, ἐπιμελείας ἠξίουν. σημειωτέον καὶ ὅτι κατὰ τὴν τοῦ Ἡροδότου ἱστορίαν, οὗτοι μὲν οἱ Ἀργεῖοι διὰ τὸ πένθος κατεκείροντο τὰς κεφαλὰς πρότερον κομῶντες. Λακεδαιμόνιοι δὲ οἱ νικήσαντες, ἔθεντο μὴ κομῶντες πρῶτον, ἀπὸ τοῦτο κομᾶν. ὡς δὲ καὶ συγγενῶς ἔχει ὁ καρηκομόων καὶ ἀκερσεκόμης, καὶ ὁ ἀκροκόμης, αἱ χρήσεις δηλοῦσιν. Κομαροφάγα, κόμαρον ἐσθίοντα. Κομβακιῶται, κόμπους λέγω. Κόμβαλα, χύματα ἐλαίου. Κόμβη, κουρότερον μέτρον. Κομβεῖν, τὸ σῶμα ὡραΐσαι. Κομβῶσαι, ἀναλαβεῖν. Κόμβωσαν, ποιὸν ἦχον ἀπετέλεσαν.

Κομβολύτης, βαλαντιοτόμος. Κομβίζειν, φυσᾶν.

Κόμβος, κόσυμβος, τὸ ἔκκριμα. Κόμβος, ὁ κόμβος τῶν δύο χαλινῶν, ὅταν τις δήσῃ ἐπὶ τῶν ἰδίων τραχήλων.

Κόμβους, ἅλωνας γομφίους. Κομβώματα, τὰ καλλωπίσματα. Κόμβωμα, δόλισμα, σκεύασμα. Κομβώματα, τὰ ἐν τοῖς φαλαροῖς μικρὸν τόρνον ἔχοντα, ἀπὸ χαλινῶν.

Κομβοῦσθαι, κολλᾶσθαι. Κομεῖν, κομίζειν, ἐπιμελεῖσθαι, θεραπεύειν. ὅθεν καὶ κόμη, καὶ ἐπικόμιος. Κομείτην, ἀντὶ τοῦ ἐπιμελείας ἀξιοῦν, ἀπὸ τοῦ κομῶ, ὃ σημαίνει τὸ θεραπεύω, καὶ ἐπιμελοῦμαι. ὁ παρατατικὸς ἐκόμεον, τὸ τρίτον τῶν δυϊκῶν ἐκομεέτην ἐκομείτην, καὶ ἰακῶς κομείτην. Κομέεσκεν, ἤγουν ἐπιμελείας ἠξίου. Ὅμηρος ἐν τῇ Ὀδυσσείᾳ, ἐκ τούτου γηροκομεῖν ὅτι τὸ κομίζειν κατὰ γῆρας, ἤγουν κομεῖν τοὺς γέροντας. Κομέουσι παρ' Ὁμήρῳ, καὶ ὅλως κομεῖν, καὶ ὅτι κομίζειν λέγεσθαι δῆλον. ὅθεν κομιδὴ, ἡ ἐπιμέλεια.

Κόμη, σημαίνει τὰς κεκοσμημένας Ἑλλήνων. εἰς ὕβριν δὲ ὑπὸ Ἀλεξάνδρου ἐπαινεῖ. κομᾶν γὰρ οὐ γυναικεῖον, οὐδ' ἐξ ἀνάγκης ἐπαφρόδιτον. ὅτι μὲν δὲ λίαν χαίτην τρέφειν, πρὸς μόνον κάλλος νομίζεσθαι, ἀλλὰ καὶ διὰ τοῦτο ἐπαύξει τὸ φοβερόν. κόμην ἔχειν δὲ, καὶ εὔκομον εἶναι, γυναικικώτερον ἔστι, διὸ καὶ ὁ πλάτων ὀνειδίζεσθαι, ὡς κόμην ἔχων. Κόμη δένδρων, τὰ φύλλα λέγεσθαι. καὶ οἱ λεπτοὶ κλαδίσκοι, διὰ τὸ εἰς κόσμον ἀπαιωρεῖσθαι, καὶ αὐτὰ τοῖς φυτοῖς ὁμοίως τῇ κυρίως κόμῃ. οἱ δὲ τραγικοὶ, καὶ φοίβην αὐτὴν εἶπον. οἷον πᾶσαν κείρειν φοίβην ὕλας παλαιᾶς. Κόμην, τὴν ὑπερβολὴν τῆς λαμπάδος λέγει, καὶ τὴν εὐπρέπειαν. Κόμη, ἡ θρὶξ, παρὰ τὸ κόσμον εἶναι τοῦ σώματος. οἱ δὲ παρὰ τὸ κομᾶν, καὶ ἐπιμελείας ἀξιοῦσθαι.

Κόμης, ἄρχων, ἡγεμών. Κομπὰ, αὐχητά. Κομήτας. Ἀριστοφάνης Πλούτῳ, μηδὲν ταύτην γε κομήτην, ἀντὶ τοῦ ὑπερφανῆ. Κομητικὰ πλοῖα, τὸ περὶ Λακωνικῆς ἐν τῷ περὶ τῆς φυλακῆς τῶν τριήρων. ἔοικε καλεῖσθαι κομητικὰ πλοῖα, ἐν οἷς ἐκόμιζον οἱ στρατιῶται τὰ ληφθέντα λάφυρα, ὡς ὁ αὐτὸς ῥήτωρ ὑποσημαίνει ἐν λ' λόγῳ. Κομηταμυνίας, συντίθησι παρὰ τὸ κομᾶν, ὃ ἐστι φρονεῖν μέγα. ἐκ δὲ τούτου δηλοῖ Ἀριστοφάνης τὸ λακωνίζειν, παρόσον μέγα ἐφρόνουν οἱ Λάκωνες εἰς ἀνδρείαν καὶ παρὰ τὸ ἀμυνίαν, διαβάλλων ὡς μισόδημον. ἀμφότερα οὖν τὰ τῆς στασιώσης εἰς οὐδὲν τείνει, ἢ ὡς ἐναντίον ὄντα τῆς πόλεως καὶ τυράννων.

φρας πεπλασμένην, ἢ ἐμβάλλουσι. Κολλυρίων, ὄρνις ποιός.

Κολλύκιον, ἀκριον λέπισμα. Κολλῶ, ἐκ τοῦ κόλλα. τοῦτο ἀπὸ τοῦ ἕλω τὸ κρατῶ. ἕλλα, καὶ ἡ τὰ διῃρημένα συγκρατοῦσα. Κολοβάφυα, τὰ κολοβὰ ἀφύη. Κολοβὸς, ὁ παλαιὸς καὶ ὁ μικρὸς καὶ ὁ ὀλίγος. ὁ ἐστερημένος, καὶ τόμος τὶς κάκρωλαις. Κολοβρὸς, ὁ μικρὸς χοῖρος. Κολοβότης, ὀλιγότης, σμικρότης. Κολοβὸν, ἐλλιπές. Κολοί, τόποι κακοί. Κολοιβάζειν, ἀτάκτως ἐσθίειν. Κολοίδιον, παραξιφίδιον.

Κολοίδερον, ξύλον μάχης ποιοῦντων ἐπεσφαιρωμένον.

Κολοία, φωνή. Κολοιοί, σκῶπες, μικροὶ κορώνιοι.

Κολοιός, παρὰ τὸ κλῶ ῥῆμα τὸ φωνῶ γίνεται κλὸς, καὶ κατὰ πλεονασμὸν τοῦ οι γίνεται κολοιός. περιεκτικὸν τὸ ζῶον. Κολοιόπτερα ἢ κολοιόπτερα ζῶα, ὁ κάνθαρος ἢ ἡ μηλολόνθη, ἢ εἴτι ἄλλο. Κολοιὸς ποτὶ κολοιὸν ἱζάνει. φιλάλληλον γὰρ τὸ ζῶον καὶ συναγελαστικόν. τάττεται δὲ ἐπὶ τῶν τοῖς ὁμοίοις προσομιλούντων. Κολοιοὺς, ὀνόματα ὀρνέων μικρῶν λέγομεν.

Κολοίσφυμα, ἄπλυτον κάθαρμα. Κολοιτία, δένδρον τι.

Κολοίφρυξ, ταναγραῖος ἀλεκτρυὼν, ἢ ὄρνις βοιωτίος.

Κολοκάναι, ἰσμήκεις, ἢ λεπτοί. Κολοίτιον, ξυρόν. Κολοκύθων, ἀπὸ τοῦ κολοκοῦ. ἀλεκτρυόνος μεγάλη γίνονται.

Κολόκυμα, τὸ κολὸν κῦμα, ὅπερ τυφλὸν, διὰ τὸ μὴ καχλάζειν λέγουσιν. ἢ τὸ κοῖλον καὶ ἐπιφέρον ὑψηλὸν κῦμα ἢ μέγα ἀποκορυφοῦσθαι μέλλον. ἄλλως ὅπερ τινὲς κωφὸν καλοῦσι ὃ μὴ ἐπηχοῦν, μηδὲ καχλάζον. Κολοκώνας, τὰς κολοβίδας τινές. Κολὸν λέγε, τὸ κολοβόν. ὅθεν καὶ παρὰ τοῖς ἴωσι κόλοι, οἱ κολοβοκέρατοι κριοί. καὶ αὐτὸ δὲ ὁ κολοβὸς, ἐπὶ κόλου βοὸς κυριολεκτεῖται. ἐξ οὗ καὶ σύγκειται κεκολουσμένος ὢν καὶ αὐτὸς τὰ κέρατα. Κόλον, κενὸν, μάταιον. Κόλον, τὸ μὴ τέλειον, ἀλλὰ κολοβόν. Κολοὸς, ὁ θόρυβος. ἡ μεταφορὰ ἀπὸ τοῦ κολοιοῦ, ὅ ἐστι θορυβῶδες καὶ κραυγαστικὸν ζῶον.

Κόλος, λέγεται ὁ τράγος ὁ μὴ ἔχων κέρατα. Κόλος, κολοβός. ἡ μάχη ἄκοσμος. θόρυβος ποικίλος, πηρὸς, κολοβός.

Κολοσσὸς, ὁ ἀνδριάς. καὶ κολοσσὸς, ἄγαλμα. Κολοσσὸς, σημαίνει καὶ τὸ εἴδωλον. Κολοσσία, ἀνδριάντος σκιὰ, καὶ τὸ εἰς ὕψος ἀνάστημα. Κολοσταθμὸς, ἔπαυλις καταβατὸν ἔχουσα τὴν πολεῖαν. Κολοσυρτὸς, κυρίως οὖν καὶ παρὰ τοῦ κωμικοῦ χῦσις, κτύπος. ὁ ἀπὸ κάλων, ἤγουν ξύλων συρομένων ἐν ὄρει. ἐπειδὴ δὲ τὴν ἐκ φρυγάνων συρομένων αἰρομένων κόνιν οὕτω καλοῦσι. κάλα γάρ φασι τὰ φρύγανα. ἢ ἄλλως. κολοσυρτὸς, ὁ μετὰ κολωνοῦ, ὅ ἐστι θορύβου ἐπισυρμὸς, ἤγουν κυρίως, ὡς καὶ προείρηται ἐν ὄρει κάλων, ὅ ἐστι ξύλων ἑλκυσμός. καὶ ὁ ἐξ αὐτῶν θόρυβος, ἢ κτύπος γινόμενος. ἐν γὰρ κάλα σύρεσθαι ξύλα. ἤγουν κολυμβωθεῖσα, ὡς εἰκὸς τεμεῖς, καὶ πελεκήμασι. τινὲς δὲ τὸν μέγαν θόρυβον οὕτω νοοῦσι. κόλον γὰρ παρ᾽ αὐτοῖς τὸ μέγα. ἐξ οὗ καὶ κολόκυμα, τὸ μέγα κῦμα. καὶ ὁ μεγάλην δέ φασιν ἀγέλην ἔχων, κόλαξ καλεῖται. ἀφ᾽ οὗ ῥῆμα κολακεύειν καλεῖται. ἰστέον δὲ, ὅτι τὸ κόλον οὐ μόνον ἐπὶ μεγάλου τινὸς λαμβάνεται, ἀλλὰ καὶ τὸ κολοβὸν δηλοῖ, καὶ μὴ ἔχον ἐλάττωμα. ὅθεν καὶ κόλος βοῦς. καὶ ἵνα τὶς εἴπῃ τὸ αὐτὸ συνθέτως, ὁ κολοβός. καὶ κόλον δόρυ, οὗ ἀπετέτμηται καὶ ἡ αἰχμὴ ἢ ὁ καυλός. καὶ κολόκυμα καθ᾽ ἑτέρους, τὸ κωφὸν κῦμα, ὃ ἐκολοβώθη, ὡς ἀνέμου δίχα κινούμενον. καὶ κολώνη καὶ κολώνεια καὶ κολωνὸς δὲ, τὰ λήγοντα μὲν εἰς ὀξὺ, μὴ ἀκριβῶς δὲ ἀπωξυμμένα, ἀλλ᾽ ἔχοντα καὶ πλάτος ἐν τῇ κορυφῇ.

Κολοσυρτεῖ, θορυβεῖ τὰ θράσει. Κολούει, Ὅμηρος ἐν τῷ ν τῆς ἰλιάδος, μενοινᾷ κολούει, ἀντὶ τοῦ κολοβοῖ, καὶ ἀτελὲς ἀφίησι. δῆλον δὲ ὡς ἀντίκειται αὐξήσει, τὸ τελεῖν ὅ ἐστι πληροῦν, καὶ τὸ κολούειν. Κολουᾶν, θορυβεῖν. Κολούει, μειοῖ, ἐλαττοῖ. ὁρῶν τοὺς παῖδας ἐκλελυμένους, τοὺς δὲ γεγονότας πολλὰ κακὰ ἐργασαμένους, ἀπείρει τοὺς μὲν βέλτιον ἐπιρρώννυσι, τοὺς δὲ κολούονται. Κολούεται, ἐμποδίζεται. ὡς ὁ καὶ παραβάλλει τὴν πατρίδα σύζευξιν ἔχειν λαθεῖν πολλὰ, καὶ ἐκκόπτειν δῆμον κολούειν. ἀντὶ τοῦ ἐκριζοῦν.

Κόλουρα, τὰ μὴ ἔχοντα κέρκον, ἢ τὰ κολοβὰ ἔχοντα οὐρὰν, ἅπερ ἐν ταῖς ἱερουργίαις οὐ θύεται. καθόλου γὰρ εἰ μὴ ἦν τέλειον καὶ ὑγιὲς, οὐκ ἐθύετο τοῖς θεοῖς. Κολουραία, πέτρα κοίλη κεκαμμένη, ὁ στρογγύλη, παρὰ Καλλιμάχῳ. Κολουρία, κολοβά, ματαία. Κολουρίᾳ, τῇ ἀπεψίᾳ. Κολουρία, τὰ κολοβὰς ἔχοντα οὐράς. τοῦτο δὲ καὶ ἐπὶ ἄρτων καὶ ἐπὶ ἰατρικῶν φαρμάκων λέγεται. Κολουραῖς, τὰ σκέλη. Κολουρον, κολοβὸν μάστιγα. Κόλον, αἰδοῖον, λάκκος. Κολουμβᾶ, θορυβεῖ. Κολοῦσθαι, κολοβοῦσθαι.

Κολούσματα, κλάσματα. Κολοῦσαι, ἀπαλὰ καὶ ἐγκαλυπτα ποιῆσαι. ἐκ τοῦ κολούω καὶ κολὸν κέρας. καὶ κόλος βοῦς, ὁ κεκολουσμένος τὰ κέρατα. ἐξ οὗ σύγκειται ὁ κολοβός, καὶ κάλαις φρενικωτάτων μαθηματικῶν κατ᾽ οὐρανὸν καλούμενοι κόλουροι. καὶ φημὶ δὲ ἀκόλουθοι, εἰ ἐν τῇ ἰδίᾳ οὐσίᾳ. Κολούων, μειῶν, ἐλαττῶν. Κολοφὼν, τὸ μέγα καὶ ὑψηλὸν ἀκρωτήριον. λαμβάνεται δὲ ἐπὶ μεγάλων κακῶν. Κολοφώνια, ὑποδήματα κοῖλα, καὶ μεταλλικὴ ἐν.

Κολοφωνία, εἶδος ἐν παροιμίοις κ... Κολοφώνια, τῇ δωρικῇ ἀντὶ γενικῆς χρῶνται. οἷον τὴν κεφαλὴν τοῦ ἀνθρώπου, ἀντὶ τοῦ ἀνθρώπου. καὶ Ὅμηρος, τοὶ παρὰ πρύμνῃ, ἀντὶ τοῦ παρὰ τῇ πρύμνῃ τῆς νεώς. καὶ αὐτὸς δὲ διέφρεσι θυμὸν ἄρειον, ἢ οὐκ ἀγγελίῃς ἀναμένουσιν ἕκαστα θυμῷ, ἀντὶ τοῦ αἰσθητικὸν καὶ ἄγγελον. Κολούω, τὸ βλάπτω. Κόλακος, χείρουργος. Κόλπος ἐπὶ θεοῦ, ὁ τῶν ἀγαθῶν θησαυρός. κόλπος δὲ, ὁ ἐνέργεια. ἵνα τί ἀναστρέφεις τὴν χεῖρα σου ἐκ μέσου τοῦ κόλπου σου. Κόλπος, κατὰ τοὺς παλαιοὺς ἐν ἰλιάδι ἐν τῷ ζ. ἡ ἀγκάλη. σημαίνει δέ ποτε καὶ τὸ ἄνω τοῦ πέπλου. ὡς δηλοῖ καὶ Ἡρόδοτος εἰπὼν, ἐνδὺς χιτῶνα μέγαν, καὶ κόλπον πολὺν καταλιπόμενος τοῦ χιτῶνος. εἴληπται δὲ ἐξ ὁμοιότητος τοῦ ἀπὸ θαλασσίου κόλπου, ὅς ἐστι θάλασσα διὰ ἀκρωτηρίων.

Κόλπος, κατὰ τοὺς παλαιοὺς κυρίως θάλασσα ὑπὸ ἀκρωτηρίων περιεχομένη. Κολπῶσθαι, ἐκπνεῦσαι. Κολοβάσιος ἰατρός. Κολυβιστὴς, τραπεζίτης. Κόλυθρον, εἶδος συκῆς. Κόλυβος, ἔπαυλις. Κολυμβήσαντος, ἀνακολυμβοῦντος. Κολυβάδες ἐλαῖαι οὐ λέγονται, ἀλλὰ ἁλμάδες.

Κολυμβᾶν, αἱ λυρικὰς κολυμβᾶν λέγουσιν. ἀπὸ τοῦ κόλους ὅ ἐστι κολοβοὺς φαίνεσθαι, διὸ ἐν ὕδασι, καὶ μὴ ἀποτελεῖς.

Κολυμβήθρα, ὁ κόλυμβος. κόλυμβος δὲ, ὁ τοῦ λουτροῦ.

Κόλυμβος, ἀργυραμοιβός, ἀργυρονώνην. ὀνόματα καταλλάκτου. λέγεται δὲ καὶ κολυμβιστής, καὶ καταλλακτικοῦ ἀλλάγμα. Κόλυμβον, εἶδος νομίσματος. Κολυμβατὰς, βὺς ἐκ τῶν φρεάτων ἀποπίνοντας τοῖς πόδεσι.

Κολυμβίς, ὄρνις ποιός. Κόλυμβοι, αἱ κολυμβάδες τὰ ὄρνεα, ἢ ζῶα ἐν κολυμβήθραις. Καλίμφατος, φλοιὸς, λεπίδιον. Κολύοντες, κωλύοντες. Κολυρίζοντες, ἐπιπονοῦντες. Κολυπὸς, ὄνομα λιμένος. Κολίφανον, φλοιοῦ λεπίδιον. Κολυφρὸν, ἐλαφρόν. Κόλχοι, λέγεσθαι ἢ σαρδοὺς, ἀσιανοί, καὶ λευκόσυροι. οἰκοῦσι δὲ ἐν τοῖς μέρεσι τῆς ἀσίας περὶ φάσιν ποταμόν. Κολχικὸν, φαρμακόν. Κολῶ, κολούω. Κολῶναι, αἱ πόλεις τρεῖς. Κολωνίστας, κολακεύοντας. Κολώνη, ὡς κύριον ὄνομα λαμβάνεται παρ᾽ Ὁμήρῳ. διὸ καὶ βαρύνεται ὡς, τὸ καλλικολώνη. μᾶλλον δὲ ὡς ἀπειρὼν, κορώνη, μηκώνη, μαιώνη. εἰ δὲ ἦν παρώνυμον ἐκ τοῦ κολωνὸς, ὡς καινὸν, ὀξύνοιτο ἄν. ἡ δὲ κολώνη, καὶ λόφος ἂν λέγοιτο. καὶ Βοιωτὸς δὲ, ὥσπερ Ἡρόδοτος μὲν λίθον λέγει εἶναι φησίν. Δίλοφος

κατ' ἐνθ βοίσου, Ἀριστοφάνης. Κοκκῦ ἁπλῶς, ἀντὶ τοῦ ταχύ. Κοκκῶνες, οἱ κόκκοι τῆς ῥοιᾶς, καὶ ὀθυρίξες. Κοκρόδαλοι, κόλλοι. Κοκρύλων, λυσῶν, κλεπτῶν. Κοκυτὸς, ποταμὸς ἐν ᾅδῃ μυθικός. Κολαβίζειν ἐστὶν, ὅταν ὁ μὲν πλατείαις ταῖς χερσὶ τὰς ὄψεις ἐπιλάβῃ τὰς ἑαυτοῦ, ὁ δὲ παίσας ἐπερωτᾷ, πότερον τέτυπται. Κόλαβοι, οἱ μικροὶ ἄρτοι, παρὰ τὸ ἐκ τῶν μεγάλων κολαβοῦσθαι. κόλλαβοι καὶ οἱ πασσαλίσκοι τοῦ ψαλτηρίου, ὁ τῆς κιθάρας. Κολαβρίζειν, σκιρτᾶν.

Κολαβρισμένα, κύλλοις ἀγομένα. Κόλαβρον, τὸ κυλίδιον. Κολαβωθείσης, περιῤῥαγείσης, χλευασθείσης, ἐκ βραχείας, εὐτελοῦς σεμιδαλίσσης, ἐν τῷ Ἰὼβ ἡ λέξις αὕτη.

Κολάζειν, περαίνειν, ὀχλεῖσθαι. Κολάζω, ἀμύνομαι, εὐθύνω, τίνω, τιμωροῦμαι. Κολάζω, τὸ τιμωροῦμαι, αἰτιατικῇ. Ἀριστοφάνης, μὴ κολάσαι ἔξεστί μοι τοὺς οἰκέτας. Κολάζω, καὶ τὸ παλαίω. ἀφ' οὗ κεκολασμένον εἶδος, τὸ πεπαλαισμένον. ἢ ἀπὸ λόγου, τὸ ἀπείλαστον. Κολᾷ τὸν ἄνδρα. Ἀριστοφάνης, κολούσας καὶ παύσας καὶ ταπεινώσας. ἀπὸ δὲ τῶν κόλων, ἤγουν τῶν ἐντέρων τὴν λέξιν ἐποίησεν. ἴσως δὲ αὐτὸ τὸ πλεῖστον. Κολακεία ἐστὶν, ὁμιλία πρὸς ἡδονὴν ἄνευ τοῦ βελτίστου. ἢ ἕξις ὁμιλητικὴ πρὸς ἡδονὴν, ὑπερβάλλουσα τὸ μέτριον, ἢ ἐπαινετὸς ὑπὲρ τὸ πρέπον, καὶ ἀπάτη. Κολακεύω, λέγεται τὸ ἀπατῶ. καὶ κόλαξ, ὁ ἀπατεών. Κολαστήρια, καὶ βασανιστήρια, ὄργανα δι' ὧν κολάζουσι τινες. καὶ ἀπὸ τούτων αἱ κολάσεις. Κολακοφωροκλείδας, Ἱεροκλείδας, ὃν ἐπὶ πονηρίᾳ κωμῳδοῦσιν. Ἕρμιππος μὲν, ἐν Κέρκωψι. Φρύνιχος δὲ, ἐν Κωμασταῖς. ὁ δὲ Ἀσκληπιάδας, Κλεώνυμον εἶναι ὑπέλαβεν, οὗ δὲ τὸ τέλειον τοῦ ὀνόματος ἐπισέσωσαι. Κολακρέται, οἱ τῶν ἀργυρίων ταμίαι, οἱ τὸ ταρῶχειν ἔταττον. Κολακώνυμος, ὁ Κλεώνυμος. λέγεται δὲ κολακώνυμος, ὅτι κόλαξ ἦν. Κολαινὶς παρὰ τῷ Ἀριστοφάνει. παρὰ τὴν τοῦ φωνήν· ὁμοιότατα Ἀρτέμιδι ἐπώνυμον ἡ Κολαινίς. Μυρρινουσίοις δὲ ἐν αὔραις, ἡ Κολαινὶς Ἄρτεμις. ἱδρύσε γὰρ ὧν τὰ τέχνα τῆς Κολαινίδος. φασὶ δὲ Ἑλλάνικος, Κόλαινον Ἑρμοῦ ἀπόγονον ἐκ μαντείου ἱερὸν αὐτῆς ἱδρύσασθαι Κολαινίδος. καὶ Φανόδημος ἐν τῇ ἐνάτῃ. Εὐφρόνιος δέ φησιν, ὅτι ἐν Ἀμαρύνθῳ ἡ Κολαινίς, διὰ τὸ τὴν Ἀγαμέμνονα θῦσαι αὐτῇ ἐκ τοῦ κριοῦ κόλον. Μυρρινούσιοι δὲ Κολαινίδα ἐπονομάζουσι τὴν Ἄρτεμιν. Φιλιάτης ἢ τῶν φαιρικῶν. Κόλαξ, ὁ ἐπαινῶν ὑπὲρ τὸ πρέπον. ὁ ὡς φίλος ὑποκρινόμενος εἶναι, ὁ ταπεινῶς θεραπεύων ἕνεκα. παρὰ τὸ κόλον παράγωγον, κόλαξ. κόλον δὲ τὸ ταπεινὸν καὶ μὴ ὁλόκληρον. τινὲς δέ φασι παρὰ τὸ κολλᾶσθαι, ἐξ οὗ καὶ δύσκολος ὁ δυσχερῶς ἐπὶ κολλώμενος. κόλαξ, καὶ ὁ παράσιτος. κόλαξ, καὶ ὁ ἀπατεών. κόλαξ, καὶ ὁ βωμολόχος. Κολάπτω, κλάσει πρὸς τὸ γόνυ, ἢ γλύφει. Κόλασίς ἐστι ψυχῆς θεραπεία ἐπὶ ἁμαρτήμασι γενομένη. Κολασία, ἀνδριάντος σκιά, καὶ τὸ εἰς ὕψος ἀνάστημα. Κολάπτω, κόλαψα. Κολαφίζειν, πυγμῇ παίειν, παρὰ τὸ κολούειν τὸ φῶς, ἢ τὸ τυφλοποιεῖν. Κολαφίζω, καὶ κόλαφος. κόλαφος δὲ πληγὴ ἡ διδομένη διὰ τῶν μέσων δακτύλων. Κολαφιζόμενος, ῥαπιζόμενος. Κόλαφος, κόνδυλος. παρὰ δὲ Ἐπιχάρμῳ ἐν Διονύσῳ, καὶ παιδοτρίβαις ὄνομα. Κόλια, ποιά τις ὄρχησις. Κολιάζοντες, ἀκούοντες. Κολοιὸς, ματαιόφρων. Κολισμὸς, τὸ περαίνεσθαι. παρῆκται δὲ ἀπὸ τοῦ κόλου, καὶ ἀπὸ τοῦ καθεῖναι εἰς τὸ κόλον. τοῦτο δὲ κολιάζειν ἔλεγον. Κολίαχος, κακόχολον ὄνομα. Κολίειν, ἐλαύνειν. Κολιάδες, τὰς ἐπὶ μήκους στὴν λαπλάτους ἀπάντησιν. Στράβων δὲ ἐν τῷ φορτικῷ δράματι, τοὺς τίς οὐκ ἄξει, τίς ἔξω τὴν ἀπιοῦσαν μητέρα τῶν διδομένων κολίκων λέγων. Κολυτάκος, ἀργυραμοιβός. ὅτι ὁ κέρμα ἀντὶ ἀργύρου ἀνταμειβόμενος, τραπεζίτης, ὁ ἀργυροπράτης κολυτάκος.

Κολεὸν, σὺν δὲ ὕφεις εὕρηται, ὁ καμάτερον, κουλεὸν λέγεται μετὰ τοῦ ῥ. Κολεόπτερον, εἶδος ζωυφίου πτηνοῦ, παρὰ τὸ ὡς ἐν κολεῷ τὰ πτερὰ συνέχειν ὑπὸ ἐλύτρου. Κολεμίς, Ἄρτεμις, ἀπὸ Κολαινοῦ τοὔνομα λαβοῦσα. Κολεὸς, καὶ κουλεὸς, ἡ ξιφοθήκη, παρὰ τὸ κοιλαίνεσθαι, ἢ παρὰ τὸ τὰ κοῖλα, εἰς ἃ τὰ τόξα καὶ τὰ βέλη. κουλεὸς δὲ τὸ μεγαλύτερον. Κολεὸς, ἡ θήκη τοῦ ξίφους, καὶ λάρναξ, καὶ σορός. Κολεθρὰ, νέα, νωθρά. ἔνιοι δὲ τὰ σέβατα τραχέα. Κολετρῶσιν. Ἀριστοφάνης, κατὰ τοῦ κόλου τύπτουσιν, ἢ καταπατοῦσιν, ἀπὸ τῶν τὰς ἐλαίας πατούντων, ἢ τὸ ἐνάλλεσθαι τῇ κοιλίᾳ καὶ τύπτειν εἰς τὴν γαστέρα. κόλον γὰρ τὸ παχὺ ἔντερον. Κολιβάζω, ἰθίω, κατακτείνω. Κολία, ὀρχήσεως εἶδος, καὶ ἐπικάλαμα, καὶ μέτρον τι, καὶ τὸ ἡμικόλιον, καὶ τὰ ἐκ μέλιτος τρωγάλια. Κολιᾶν, ἐρίζειν, ἀγνωμονεῖν. Κολιάζεσθαι, ὀρχεῖσθαι. Κολιὰς, ἐπιθαλασσία ἄκρα τῆς Ἀττικῆς.

Κολλάβους, λέγει Ἀριστοφάνης, τοὺς ἄρτους τοὺς ἐοικότας τῷ πλάσει τοῖς κολλάβοις τῆς κιθάρας. οἱ δὲ εἶδος πλακοῦντος τετραγώνου, ἢ ἄρτοι μικροῦ παρὰ τὸ ἐκ μεγάλων κολλαβίζεσθαι. ἄλλως, ἄρτοι νέοι ἐκ νεωτέρων. οἱ λάσανοι ὑπὸ σικυωνίων λέγονται. καὶ ἡ παρὰ τὸ ἐργάνω. ἄλλως. εἶδος ἄρτων εἰσὶ μικροί, ἀρτίσκοι, ἐκ τῶν μεγάλων κεκολλαβισμένοι, οὓς καθάπαξ ἄρτους οὐκ ἤθελον καλεῖν. καὶ ἐν Βατράχοις μέμνηται ἄρτους, ὅπερ τὰ κολλάβους. χρήματος δὲ ἐστὶν ὄνομα, ὥσπερ κολλύβαν λέγουσιν οἱ Ἀθηναῖοι. οὐδὲ κόλλυβον εἶδος εὐτελοῦς νομίσματος, ἀντὶ τοῦ οὐδὲ ὀβολοῦ. Κόλλα, τοῦ βοὸς τὸ παλαιὸν δέρμα, ἐξ οὗ τὸ κολλᾶν. Κόλλα, περιτμήματα δερμάτων, ἀφ' ὧν ἕψεται ἡ κόλλα τοῦ βοός. Κόλλησις, διχῶς, κατὰ ἁρμονίαν, καὶ κατὰ πρόσφυσιν, ὡς ἐπὶ ξύλων καὶ μετάλλων. Κολλητὰς σανίδας, τὰς ἀνοχλοῦ κλεισὰς λέγει Ὅμηρος. Κολλήεντα, καλῶς κεκολλημένα, ἢ τὰ ἐκ συμβλημάτων ἡρμοσμένα. Κολλίδιαι, γένος ἐλαιωτῶν. Κολλικία, εἶδος ἄρτου, ἢ ἔντερα.

Κόλλικας, τοὺς τροχισμοὺς, ἢ τὰ μικρὰ ἀρτίδια, παρὰ τῷ Ἱπποκράτει. Κολλικονόμον, τὸν κόρδακα, κόλλικα λέγουσι, καὶ κορδακίσματα. Κόλλιξ ἐστὶν εἶδος ἄρτου περιφερής.

Κόλλοπες λέγονται, οἱ πασσαλίσκοι τῆς κιθάρας, εἰς οὓς ἀποδεσμοῦνται αἱ νευραί, ἢ πίνονται στρεφομένων. Καὶ τὰ τῶν ὑῶν, καὶ βοῶν σκληρὰ δέρματα περὶ τῶν τραχήλων, ἐξ ὧν καὶ τοὺς τῆς λεγομένους κολλάβους ἐποίουν. κόλλαβοι δὲ οἱ μικροί, παρὰ τὸ ἐκ τῶν μεγάλων κολοβοῦσθαι. ἐλέγετο δὲ καὶ τὸ παλαιὸν δέρμα. Κόλλοπι, κολοβῷ. Κολλοπίζειν, κονδυλίζειν. Κολλοπίδωσι, κατακολλήσωσι. Κολλούραν, ἀπὸ τοῦ κολοβόν. κόλλιξ γὰρ ὁ ἄρτος. Κολλούρια, τὰ κολοβὰς ἔχοντα τὰς οὐράς. τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄρτων δύναται λέγεσθαι, καὶ ἐπὶ τῶν ἰατρικῶν φαρμάκων. Κόλλοψ, τοῦ νώτου ἡ φορίνη, καὶ τῆς λοφιᾶς τὸ ἄκρον. Κόλλοψ, ὁ παρὰ τοῖς ὕστερον κόλλαβος, δι' οὗ τείνονται αἱ χορδαί. καὶ οὕτω φασὶ λεγόμενος, διότι τὸ παλαιὸν ἐκ δερμάτων σκληρῶν ἦν, τῶν πρὸς τῷ τραχήλῳ τῶν βοῶν. ἔστι δ' ὅτι καὶ τῶν οἰῶν, ἃ καὶ αὐτὰ κόλλοπας ἐκάλουν, διὰ τὸ ἐξ αὐτῶν ἀναβραττομένων κόλλαν γίνεσθαι, ὡς δηλοῖ ὁ Παυσανίας γράψας, ὅτι ἐκολλώπουν, τῇ κόλλῃ συνήρμοσαν, καὶ ἐκόλλησαν. ἀπὸ γὰρ τοῦ παλαιοῦ φασὶ κόλλοπος τῶν βοῶν ἑψομένου γίνεσθαι κόλλαν. ὅθεν ὁ κόλλοψ, ᾧ ἐπιτείνουσι τὰς χορδάς. Κόλλοπες, βοῶν νῶτα, ὅθεν κόλλα γίνεται. ἑτέρωθι δὲ οὕτω, κόλλοψ τὸ τραχηλιαῖον τοῦ ταύρου σὺν τῇ ὑπὸ τὴν φορίνην, ἤγουν ὑπὸ τὸ δέρμα πιμελῇ. ἐξ οὗ οἱ κόλλαβοι τοῖς παλαιοῖς. ἄλλοι δὲ γράφουσιν οὕτω κόλλοψ, ταύρου ὑπαυχένιον δέρμα. ἐξ οὗ οἱ κόλλαβοι. Κόλλυβα, τρωγάλια. Κολλυβιστὴς, ὁ τραπεζίτης. κόλλυβος γὰρ εἶδος νομίσματος, καὶ ὁ ἐν τῷ χαλκῷ κεχαραγμένος βοῦς. Κολλύρα, τὸ ἔλαττον τοῦ ἄρτου. κολλυρίς δὲ τὴν κολλύραν εἶδος ἄρτου, ὃ τοῖς παιδίοις διδόασι. Κολλύρα, θρέψασθαι ἐπὶ τῶν ἐκ τοῦ

ρυλός. Κοιλόσταθμα, βαθύσταθμα. Κοιλοῦ κρατῆρος, τοῦ μεγάλου. τὰ γὰρ κοῖλα, οὕτως ἐκάλουν. Κοιλώμασι, τεταπεινώμασι. Κοιλῶπις, βαθεῖα ἴλιγξ. Κοιλῶπαι, ῥήγματα.

Κοιλώτατα, δένδρον τι. Κοιμᾶσθαι, μεθύειν, μαίνεσθαι, τρία πάθη ἀναισθησίας, τὸ μὲν κοιμᾶσθαι ἐναντίον, τῷ ἐγρηγορέναι. τὸ μεθύειν, τῷ νήφειν. τὸ δὲ μαίνεσθαι, τῷ σωφρονεῖν. Κοιμάστορος, κοιτῶν. Κοιμηθέντα, κατακλιθέντα, οὐ πάντως ἀποθανόντα. Κοίμησιν, διὰ τοῦ ᾱ γράφειν αἰολικῶς, ἔγραφε τὸ ῑ εἰς ᾱ, κατὰ τοὺς παλαιούς. Κοιμίζω, κατακλίνω. Κοιμήσαι τὴν λόχον, Νικηφόρῳ παντὶ λόγῳ. καὶ κοιμίσαι, ἐπὶ θανάτου, Σοφοκλῆς. Κοίμησον ἐλθόντα, ταύτην παῖδα ἐλθόντα. Κοίμος, ὁ πάντα ἐν αὐτῷ διατεθειμένα ἔχων καὶ κεκοσμημένα.

Κοιμῶμαι, δαρθάνω, εὕδω, καθεύδω, κνώσσω, ἐφυπνῶ, ὑπνῶ. Κοινάχορτος, κοινή, δημοσία. Κοινῇ, ὁμοῦ, καθολικῶς, μετὰ πάντων. Κοινοβούλιον, τοὺς συνέδρους. Κοινολέχιον, τὸ δημόσιον. Κοινοκαθέντας, συνθεωρήσαντας.

Κοινολογεῖται, διαλέγεται κοινῇ. Κοινολεχής, ὁ κοινὸν λέχος ἐπὶ μοιχείᾳ ποιούμενος. Κοινολογία, ἡ κοινὴ διάλεκτος. κοινὴ δὲ, ἀντὶ τοῦ ἀνθρωπίνη, μεγάλῃ, καὶ θαυμαστῇ. ἐγὼ δὲ κοινῇ συμφορᾷ πεπληγμένος. Κοινὸν ἐμοὶ καὶ σοὶ, μετὰ διαλλαγῆς συντάσσεσθαι. Κοινὸν, βιβλίον τὸ ἀκάθαρτον. Κοινὸν γραμματεῖον ἦν, εἰς ὃ ἐνεγράφοντο οἱ εἰσαγόμενοι εἰς τὰς φράτρας, καὶ γεννητάς. τὸ δὲ ληξιαρχικὸν, εἰς ὃ ἐνεγράφοντο οἱ εἰς τοὺς δήμους ἐγγραφόμενοι, ὡς διακρίνοιεν ἄλλοι τὰ ἑαυτῶν, καὶ ἴδιος ἐν τῷ περὶ τοῦ ἀσπαλαθίνου κλήρου. Κοινὸν γένος, τὸ ταῖς μὲν φωναῖς ἔχον τὰς αὐτὰς, διαστελλόμενον δὲ ἰδίοις ἄρθροις. οἷον ὁ ἄνθρωπος καὶ ἡ ἄνθρωπος, ὁ κύων καὶ ἡ κύων, ὁ ἵππος καὶ ἡ ἵππος. Κοινὸν, ἢ τὸ ἐν πολλοῖς θεωρούμενον, ἢ τὸ πολλῶν κατηγορούμενον. κοινὸν, καὶ τὸ ἀκάθαρτον, ἢ τὸ μηδὲν ἔχον πλέον τῶν λοιπῶν. Κοινὸν, τετραχῶς λέγεται. ἢ τὸ εἰς τὰ μέρη διαιρετὸν, ὡς ἡ κληροχουμένη γῆ, ἢ τὸ ἀδιαίρετον ἐν χρήσει κοινῇ λαμβανόμενον, ἢ τὸ ἐν προκαταλήψει ἰδιοποιούμενον. εἰς δὲ τὸ κοινὸν ἀνακιρνάμενον, ὡς ὁ ἐν θεάτρῳ τόπος, ἢ ἐν βαλανείῳ, ἢ τὸ ἀδιαιρέτως εἰς κοινὴν καὶ τὴν αὐτὴν ἔννοιαν προβαλλόμενον, ὡς ἡ φωνὴ τοῦ κήρυκος. κοινὰ δὲ καὶ ὁμοούσιον, ὁ πατὴρ, ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα. Κοινὸς, οἶμαι, ὅτι παρὰ τὸ κίω, τὸ κεῖμαι, κεῖνος, καὶ κοινὸς, ὁ πᾶσι προκείμενος, ἢ γινόμενος, ἢ παρὰ τὸ γῶ, τὸ χορῶ, καὶ δέχομαι, γίνεται γοινὸς, καὶ κοινὸς, ὁ δημόσιος καὶ εὐπρόσιτος. Κοινὸς, κυρίως γὰρ ὁ ἐξ αἵματος μεμολυσμένος. σημαίνει καὶ τὴν μηδὲν πλέον τῶν ἄλλων διαφέροντα, διὰ τὸ εἰς κοινὸν εἶναι τὰ μέρη. σημαίνει καὶ τὴν ἀναμεμιγμένον τοῖς πᾶσιν. ἐξ οὗ καὶ ῥῆμα, κοινῶ κοινώσω. Κοινὸς Ἑρμῆς. παροιμία ἐπὶ τῶν κοινῇ τι εὑρισκόντων. Κοινῷ, χωρὶς προθέσεως. Συνέσιος, κοινῷ σωτῆρι τοῖς Ἕλλησι. καὶ ἀνακοινῶ μετὰ προθέσεως. Λιβάνιος, ἐχρῆν αὐτὸ τοῦτ᾽ ἀνακοινοῦν ὑπὸ δήμῳ. Κοινῶ, τὸ μολύνω καὶ κηδεύω. Κοινωνεῖν, μεταδιδόναι. κοινωνεῖν δὲ ὁ κατηχούμενος, ἀντὶ τοῦ λόγου ὑπὸ κατηχοῦντι ἐν πᾶσιν. Κοινωνία, ἡ τῶν θείων μυστηρίων μετάληψις, διὰ τὸ τὴν πρὸς Χριστὸν ἡμῖν χαρίζεσθαι ἕνωσιν, καὶ κοινωνοὺς ἡμᾶς τῆς αὐτοῦ βασιλείας ποιεῖν. καὶ κοινωνία, ἡ ἐλεημοσύνη. Κοινωνικοὺς, τουτέστι πράους, προσηνεῖς, ἀτύφους, συγκαταβατικούς, ἀπὸ τοῦ μεταδιδόναι κοινωνίας. Κοινωνῶ σοι τῆς δόξης, κοινωνῶ σοι τοῦ δεῖπνου, ἀντὶ τοῦ συμμετέχω σοι, καὶ κοινωνῶ σοι ὧν ἔχω, ἀντὶ τοῦ μεταδίδωμι. Πλάτων, μὴ ἄλλοις κοινωνοῦν τὰ πράγματα ἔχειν. καὶ κοινωνῶ ἁπλῶς, τὸ μετέχω, πρὸς γενικὴν μόνην συντασσόμενον. Κοινωνοῦσι ἴσοι, οἱ μεταδιδόντες ἀλλήλοις, καὶ μεταλαμβάνοντες παρ᾽ ἀλλήλων φιλίας, ἢ γνώσεως, ἢ ἴσως τινὸς, τῶν παρ᾽ ἑαυτοῖς, ἢ ἑτέρου ἴσως, ἔξω ἑαυτῶν συμμετέχοντες.

οἷον τραπέζης, ἢ χωρίων, ἢ πλούτου ἴσων. Κοινωνήσουσι, καὶ ποιήσουσι, καὶ πάντα τὰ οἰκεῖα δόντας λαμβάνεσθαι, ἀντὸ προσαλαλυθότων χρόνων, ὅταν ἔχωσιν ἐπειδὴν τὸ ὡς ἐκδιδομένον. Κοινῶσαι, προσανακοινοῦν. Κοινωφελὴς, ὁ πάντας ὠφελῶν. Κοιόλης, ὁ ἱερεύς. Κοῖον, ἐνέχυρον. καὶ κοῖον, ἀντὶ τοῦ ποῖον λέγουσιν αἰολεῖς. Κοῖος, ὁ πατὴρ Λητοῦς, παρὰ τὸ κοεῖν, ὃ ἐστι νοεῖν καὶ συνιέναι, ἤγουν ὁ συνετός. Κοιρανέος, ἐγγύτερος, ἐγγαστριμύθος. Κοιμοιβώντα, ἐπίρρημα, ἀχανεῖ.

Κοιρανέων, κοιράνους καθιστὰς, ἢ τὰ τῶν κοιράνων ἔργα ἐπιτελῶν, καθάπερ βασιλικὸς, ἢ βασιλεύων. Κοιρανέουσι, λαοῖς τὸ βασιλεύουσι καὶ ἐπικρατοῦσι, ἢ βασιλικὰ δρῶσιν, ὡς ἐλεγχθέντες κοιρανέειν διέπειν στρατόν. καὶ κοίρανος λέγεται ὁ ἡγεμὼν. γίνεται δὲ κατὰ τοὺς παλαιοὺς, ἀπὸ τοῦ καιρὸς, τροπῇ τοῦ ᾱ εἰς ō, οἱονεὶ ὁ τοῦ καιροῦ κύριος, ὁ νέος, πλεονασμῷ τοῦ ῑ. καὶ ἐξ αὐτοῦ πολυκοιρανία. καὶ κοιρανέειν, τὸ ἡγεμονεύειν, καὶ τὸ βασιλικὰ ἔργα ἐπιτελεῖν, ὡς τὸ κοιρανέων διέπειν στρατόν. Κοῖσαι, δίκαιοι. Κοισοὶ, κορμοί. Κοιτέρα, γυνὴ ἐθέλουσα εὐγενὴς καὶ πλουσία, μήτηρ μεγακλέους, καὶ λαμάχου ὁ λαμαχίνος γαμεῖ. ἢ ὡς ἐπὶ βλακείᾳ διαβεβλημένη. καὶ κοισυροῦται, καὶ κοσμεῖται, ἀπὸ τῆς κοισύρας. Κοισυροῦται, καλλωπίζεται.

Κοίταις γυναικείαις, ἐπιθυμίαις. Κοίτη, τὸ στιβάδιον, καὶ ἐγγυθήκη. Κοιτάσαι, κατακοιμῆσαι. Κοίτη, κίστη, ἐν ᾗ τὰ βρώματα ἔφερον. οἱ δὲ μικρὰ κοιτίδα. Κοίτη, ἡσυχία, ἀρεμία, παρὰ τὸ κίω τὸ κεῖμαι, ὁ παθητικὸς ἐκεῖνος ἐν τῷ ὡς μῖ, κεῖμαι κεῖται, καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν κοῖτος.

Κοίτις, ἁπλῶς ὁ μικρὰ κίστη. τὴν γὰρ κίστην, κοίτην λέγουσιν. ἔστι δὲ ἐν αἷς ποικιλόμεναι αἱ γυναῖκες ἀποτίθενται τὰ χρήματα. Κοίτῳ μελόμενα, δηλοῖ ὁ κοῖτος μὲν τὴν κοίτην, αὐτὴ δὲ τὴν ἀνάκλισιν, δι᾽ ἧς ὕπνος περιγίνεται. Κοίτη, ἰσὸν, εἰς τὴν κοίτην ἐγκοιμῶνται. Κοῖτος, ὁ ἐν τῇ κοίτῃ ὕπνος, καὶ θηλυκῶς ἡ κοίτη. Κοιτὼν, τὸ δωμάτιον. Κοιφὸν, κοῖλον. Κοκάζοντα, ἀφρίζοντα, κακίζοντα. Κοκκίδα, κίγκλον. Κοκκόεις, κορώνη. Κοκκοβάφη, φλόξ. Κοκκοῦς, συκῆ. Κοκκοθραύστης, ὄρνις ποιός. Κοκκώσι, οἱ πυρῆνες τῶν ἐλαιῶν. Κόκκος, ἐξ οὗ τὸ φοινικοῦν βάπτεται, καὶ αὐτὸ τὸ χρῶμα, καὶ ὁ γλυκύτερον μόνον, καὶ ὁ τοῦ σίτου κόκκος.

Κοκκύτιον, ὁ λῆμος ἐλλειπεῖ ἀπάσαις τῆς οἰκουμένης γῆς.

Κόκκου, τὴν τοῦ σίτου κεγχραμίδα, καὶ ἐπιβάλλει σιτίσμασι.

Κοκκοσιδόν, κοκκοβαφίς. Κοκκοχλόων, συλλαβίζων.

Κόκκυ, ἀπλῶς ὁ ταχύ. Κοκκύαι, αἱ πρόγονοι, ἀφ᾽ ὧν μέρη κοκκύασι καθαπερεὶ ἀρχαϊσμοί. Κοκκυβίας, ὄνομα κύριον.

Κόκκυγος, ἐπὶ ὑποσταθέντων πλεόνων ὄντων, καὶ ὀλίγων ὄντων. Κοκκυγίας, ἄνεμος ὃς προσπνεῖται. Κοκκύζειν, τεράζειν, φωνεῖν ὀξέως. Κόκκυ, ποιὰ φωνὴ, καὶ τὸ κοκκυ, ἢ ἀντὶ τοῦ ὀλίγον. ἔστι δὲ μόνως παροξυτόνως. Κοκκύζω, τὸ ᾄδω, ἐξ οὗ κόκκυξ, παρ᾽ Ἡσιόδῳ. καὶ ἐπίρρημα κόκκυ, παρὰ τῷ κωμικῷ. καὶ κοκκοβόας, ὄρνις. καὶ ὀρθροκόκκυξ, ἀγρίως ἀλεκτρυών. καὶ ὁ κωμικὸς, ὁ δὲ κοκκύζων ἀλέκτωρ προσκαλεῖται.

Κοκκύμηλα, εἶδος ὀπωρῶν, τὰ παρ᾽ ἡμῖν λεγόμενα βερίκοκκα. Κοκκύμηλα, ὁ καρπός. Κόκκυξ, ὄρνεον δειλὸν, ὅμοιον ἱέρακι. ὁ καὶ διὰ δειλίαν οὐ συναλίζεται τοῖς λοιποῖς ὀρνέοις. ὁ παρὰ ῥωμαίοις κοῦκος καλεῖται, ἔστι δὲ λάγωνος.

Κόκκυξ, τὸ ζῷον, ἢ τὸ ὄρνεον, καὶ ἡ βοτάνη, καὶ τὸ πρόβατον, καὶ τοῦ ὑγροῦ ὀστέον τὸ πρὸς τὰς ἰσχίοις, καὶ λόφος, καὶ περικεφαλαία. Κόκκυς, λόφος. Κοκκύσδων, ἀντὶ τοῦ κοκκύζων. Θεόκριτος, οὐδ᾽ ὄρνιθος ἄλλον ἀλέκτωρ κοκκύσδων, νάρκαν ἐν ἐκρῆσι διελεῖν, ἤγουν ἀπρακτίαις ἀλγειναῖς διελεῖν. καὶ κοκκύσων, ἤγουν δίκην ἀλεκτρυόνος βοήσων. Κοκκύσονται, σύνθημα λύσιν. Κοκκύσω, σημεῖον, σύνθημα δίκην ἀλεκτρυόνος

ἁλίσκεσθαι. ὅτι δὲ καὶ ἐπὶ θαλασσίου θηρίου κνώνεστ(ο) ἐν τῇ ἀλί, λέγεται ἡ λέξις. Κνώδαξ, κέντρον, ἄξων, πόμων, ὄργανον χυ(τ)ρεῖκον, καὶ χαλινόν. Κνώδα, χωρία, θηρία. Κνώδοντα, παρὰ τὸ ἀνασφρονοῦ ποιλίκοι. κυρίως δὲ πᾶν τὸ εἰς ὀξὺ λῆγον, παρὰ τὸ πρὸς τὸ κνήειν ὀδόντα. Κνώδων, τὸ ξίφος. κνώδαξ δὲ κνώδακος, τὰ σιδήρια τοῦ τόρνου, ἐν οἷς τὸ τορνευόμενον ξύλον ἐμβαλλόμενον στρέφεται. Κνώδων, ἡ ἀκμὴ τοῦ ξίφους καὶ τοῦ δόρατος. Κνώζει, βοᾷ. Κνώμενοι, γαργαλιζόμενοι, ἢ κνηθόμενοι, ἢ θελγόμενοι. Κνῶος, ἡσυχία πάντων.

Κνώπες, τὰ θηρία Νίκανδρος, ἵνα κνώπεσι τραφόμενοι βόσκονται ὕλην. κινώπετα δὲ καὶ κνώπετα, καὶ κνῶπες, τὰ θηρία τὰ ἐν τοῖς πέτροις, καὶ τοῖς πηλοῖς κινούμενα. ἤτοι τὰ χερσαῖα. ὥσπερ τὰ θαλάσσια. κνώδαλα, καὶ τὰ χερσαῖα καὶ ὀρείτροφα, ἃ παρὰ τὸ κνώσσειν, καὶ κοιμᾶσθαι ἐν τοῖς ὑλώδεσι καὶ δασέσι τόποις.

Κνωπός, ἀργὸς. ἔνιοι κνουπνός. Κνώσσειν, τὸ κοιμᾶσθαι, καὶ ὑπνώττειν, παρὰ τὸ κινεῖν καὶ ἀργὰ εἶναι τὰ ὦτα εἰς τὸ κοιμᾶσθαι. κνώσσειν, καὶ συγκοπῇ κνώσειν. Κνωσός, πόλις, καὶ Κνωσία. Κνώσσω, τὸ κοιμῶμαι. Κνωσός, πόλις. Ἐπονύστασε, καθεύδουσι. Κνωσιδαύλια, τὰ ἑρμηνευτικά. Κνώψ, ὁ τυφλός.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ο.

Κοᾶ, ἀκούει, πείθεται. Κοαλδδεῖν, λυδοὶ τὴν βασιλείαν. Κοάλεμον, λέγει Ἀριστοφάνης τὸν κλονοῦντα καὶ παύοντα τὰ κακά. ὅτι καὶ αὐτὸς ἔμελλε παύσειν τὴν κλίνουσαν. ὁ κοάλεμος, τὴν ἀγοραίαν αὐτοῦς εἶπεν. ἐγκεῖται δὲ τῇ λέξει τό, τε ἠλίθιον καὶ τὸ κοεῖν, ὃ ἐστι νοεῖν. τὴν οὖν ἀνόητα καὶ μάταια κοοῦντα, κοάλεμον εἶπεν. Κοάλεμον δαίμονα ποιῶν Ἀριστοφάνης ἱππεῦσι, σημαίνει τὸν μωρόν, παρὰ τὸ κοῶ ῥῆμα, δηλοῦν τὸ νοῶ. Κοάλεμοι, οἱ ἀνόητα κοοῦντες, καὶ νοοῦντες. Κοαλοί, βάρβαρον ἔθνος. Κόαλοι, βάρβαροι. Κοάξ, βάτραχος. Κοὰξ κοάξ, ἐπίφθεγμα τῶν βατράχων. Ἀριστοφάνης ἐν βατράχοις, βρεκεκεκὲξ κοὰξ κοάξ.

Κόαρον, ἐλάχιστον. Κοάσαι, αἰδεῖσθαι. Κοαχλίτας, ἄρτος. Κόβαλτρα, κολακεύματα, πανουργήματα. Κόβαλα, πανοῦργα, καὶ ἀνελεύθερα. Δίδυμος, κατεσωμυλευμένα, ἀπατηλά, καὶ κακοβούλους τοὺς κοβάλους λέγει. Κόβαλα, καλοῦσι τὰ πανουργεύματα, ἐρίσματα, κλέμματα. καὶ κόβαλοι, ὁ προσποιούμενος μετὰ ἀπάτης παιδιά. καὶ κόβαλος, ὁ ταύτῃ χρώμενος. ἔστι δὲ συνώνυμον τοῦ βωμολόχου. Φιλόχορος Δαιτέρῳ Ἀτθίδος. οὐ γὰρ ὡς ἔνιοι λέγουσι, βωμολόχον εἶναι καὶ κόβαλον, νομιστέον τὸν Διόνυσον. Ἀριστείδης δὲ ἐν δευτέρῳ ἱστοριῶν ζώων, τὴν ὦτον φησι κόβαλον, καὶ μιμητικὸν ὄντα, ἀντορχούμενον ἁλίσκεσθαι. Κοβαλεύειν, τὸ μετατρέφειν τὰ ἀληθῆ μιθοῦ κατ' ὀλίγον. Κοβαλεύω, λῃστεύω, πανουργεύω.

Κόβαλοι, δαίμονές εἰσί τινες, σκληροὶ περὶ τὸν Διόνυσον. Ἀριστοφάνης καὶ ἀλλαχοῦ λέγει ἐπ παραλλήλου κοβάλους καὶ πονηρούς. Κοβαλικεύμασι, τὸ κολακεύειν, καὶ πρὸς χάριν δημαγορεῖν. ἐπεὶ καὶ κλέων ἐδόκει παρὰ τοῖς Ἀθηναίοις εὐδοκιμεῖν, διὰ τὸ πρὸς ἡδονὴν καὶ χάριν δημαγορεῖν, Ἀριστοφάνης. Κόβαλος, ἀνελεύθερος, πανοῦργος, λῃστής, ἀπὸ τοῦ κοπίδος, ἢ ὁ κακότεχνος. Κόβαρος, ἄνθρωπος. Κόβαρα, γελοῖα. καὶ κόβαρος, γελαστής, λοιδορητής. Κοβελίσκον, τρυβλίον. Κόγκαλος, κονιορτός, ῥόμβος, στρόβιλος, πόνος. Κογκυλαδόντες, κογκύλιον ἐκπιέζοντες. Κόγξ, ὅμπαξ, ἐπιφώνημα τετελεσμένοις, καὶ τοῖς δικαστικοῖς ψήφου ἦχος, ὡς ὁ τῆς κλεψύδρας. παρὰ δὲ Ἀττικοῖς, βλὼψ. Κοχαίζειν, ποιεῖται ἀπὸ τοῦ ἤχου τῶν κοχῶν. Κοχών, καὶ χόανα, καὶ τὸ μέτρον. Κόχλων τὸ ἐλάχιστον λέγουσι, καὶ κόγχης ἄξιον, τὸ οὐδενὸς ἄξιον. Κόγχω διελεῖν, παροιμία ἐπὶ τοῦ ῥᾳδίως τι ποιοῦντος. Κογχίτης, εἶδος λίθου. Κόγχαι, αἱ ὄχεαι. Κόγχον, τὸν χάμον παρὰ τοῖς Ἱπποκράτει. Κόγχον διελεῖν, ἴσον ἐστιν. Κόγχος, κοχλίας.

Κοχυλαγόντες, γυναῖκες, νύμφαι. Κοχύλαι, κανίσκια.

Κοχλίας, λίθος σκληρός, ἔχων ἐν ἑαυτῷ κοχλίους τύπους. Κοχύλια, τὰ ὄστρεα. καὶ κοχύλη, ἡ πορφύρα. Κόδαλα, ἰχθύος ὁ ποταμός. Κοδολεύεσθαι, ἰνδὸν διατρίβειν.

Κολαλεύομαι, ἐνδολεμοχῶ. Κολαλασμένοι, ὀρθωκασμένοι, ἀγρογοῦντες. Κολαμεῖον, κωμαλεῖον. Κολαμεύς, φρύγει τὰς κριθάς, καὶ ἔργον οἰκοδομεῖ. Κολαμεύειν, τὸ ἐν ἱπνῷ φρύγειν, ἢ ἐπὶ ἀγγείῳ. Κολαμή, ὄνομα θεραπαινίς, ἀπὸ τοῦ κολαμεύειν, ὅπερ ἐστὶν ἐν ἱπνῷ φρύγειν. Κολαμία, ἱπνία, φρυκτρία, ἀλεκτρία. Κοδράντης, τὸ πᾶν, ἢ τὸ τέταρτον τοῦ φόλλεως, ἢ λεπτόν. τὸ δὲ λεπτόν, ἑξακισχιλιοστὸν ταλάντου, ὃ ἐστι νόμισμα ἕν, ἢ κόκκοι τρεῖς. τὸ δὲ τάλαντον, λέγεται εἰκοσιτεττάρων. ὁ δὲ κοδράντης, νομίσματα τρία. ὁ δὲ ἔσχατος κοδράντης, τὸ τέταρτον τοῦ φόλλεως. Κοθῖνος, ἄρτος. Κόθουρος, οὓς ἡμεῖς λέγομεν κροκωτοὺς εἶναι, τὸ ἀρχαῖον αὐτῶν ὑπογράφοντες. Ἀθηναῖος, λαμπρὸς τὸ γένος. Κοθόμαλον, τὸ στρούθιον μῆλον, οἱ δὲ κυδώνιον, οἱ δὲ ἄνθους εἶδος, οἱ δὲ κόσμος περιτραχήλιος. Κολώνα, σῦκα χειμέρια, καὶ καρύων εἶδος περσικῶν. Κοθεῖ, οἰδαίνεσθαι, νοεῖ. Κόθουρα, ἐπὶ τοῦ αἰδοίου, καὶ κότιδον ὁμοίως. Κοθοῦμεν, ἀλώπεκα.

Κόθορνος, ὑπόδημα ἀμφοτέροις τοῖς ποσὶ πεποιημένον. ἔνιοι δὲ καὶ ἀνδράσι καὶ γυναιξὶν ἐφαρμόττον φασὶ τὸ ὑπόδημα τὸν κόθορνον. Κόθορνος, ὁ κουφόλογος. ἀρμόζεται τοῖς θουροῖς ἑκατέρους ὁρμῶν, παρὰ τὸ κεῖθεν ἀεὶ οἴσειν, ἢ ὁ κολοβὴν οὐρὰν ἔχων. κόθορνος, καὶ ὁ κλέπτης, καὶ ὁ κρυπτὸν. Κόθορνος, ἀργός, ἄκαιρος. Κοθῶ, βλάβη. Κοθυνίδαι, δῆμος. Κοῒ κοΐ, παρὰ τῷ Ἀριστοφάνει, αἱ παιδικαὶ μιμοῦνται τὴν τῶν χοίρων φωνήν, κοῒ κοῒ λέγουσαι. Κοία, κλέμμα.

Κοιάς, σφαῖρα, ἢ λίθους. Κοιάζει, ἐγχειρίζει. Κοίαον, σύνθεσις. Κοιᾶται, ἱερᾶται. Κοιγκαί, κοίλα. Κοίλος, τὸ ἐν τοῖς κυάμοις θηρίδιον. Κοίζω τὰ χοιρίδια, μιμητικῶς λέγεται. Κοίημα, γύννημα. Κοίης, ἱερεὺς καβίρων, ὁ καθαίρων φονέα. οἱ δὲ κόης. Κοῖκες, ἐν Αἰθιοπίᾳ φοινίκων εἶδος, καὶ τὰ πεπλεγμένα ἐκ τῶν φύλλων τοῦ δένδρου σκεύη, φορμοί. Κοικύλλειν, περιβλέπειν. κοῖλα γὰρ τὰ ὑπὸ τῶν ὀφθαλμῶν, οἱ δὲ τὸ περιστρέφεσθαι καὶ διατρίβειν περιβλεπόμενον. ἄλλοι, φθονεῖν. Κοῖλα, τὰ ὑποκάτω τῶν ὀφθαλμῶν, καὶ οἷον ἐπὶ τοῦ προσώπου μῆλα. Κοιλαδδεύς, κοιλία, λεβηλδός. Κοιλάναι, κοῖλον ποιῆσαι. Κοιλάς, τὸ πλάτος, ἢ τὸ βάθος. Κοιλάς, τὸ αὐλίον, καὶ ἡ βαθεῖα γῆ.

Κοιλέμβολον καλεῖται, ἐπειδὰν ὁ δίκομος διφαλαγγία τὰ μὲν ἑπόμενα κέρατα συνάψῃ, τὰ δὲ ἡγούμενα διαστήσῃ.

Κοίλησι, βαθείαις. Κοιλία, ὀχετὸς ἐν κυρίως, καὶ τὸ ἐκ ξύλων οἴκημα. Κοιλία, ἀπὸ τοῦ κοῖλον εἶναι, ἢ ἀπὸ τοῦ δέχεσθαι τὴν τροφὴν καὶ χαδεῖν, χελία καὶ κοιλία. Κοιλίας. Ὅμηρος διαπαντὸς γαστέρα καλεῖ, οὐ κοιλίαν. Κοιλοδιᾶν, οἷον τὰ κοῖλα τῶν ὀφθαλμῶν οἰδεῖν. Κοιλίς, δῆμος Ἀττικῆς.

Κοίλισκον, κοῖλον. Κοιλοβοῦρος, στενοῦρος, ἀγρεῖος. πανοῦργος, ἀλώπηξ. Κοῖλον λέχος, ἀσαφῶς ἔφη Ὅμηρος τὸν δούρειον ἵππον. καὶ βαθὺν δόλον, προσεῖπεν αὐτόν. λέγεται καὶ ὁ Σοφοκλῆς εἰπεῖν, ὑπόκοιλον δούρειον ἵππον. Κοῖλον τοῦ καλὸς δεῖξαι, ἐπὶ τῶν εἰς φυγὴν τρεπομένων. Κοιλοχίτωξ, ὁπλίτης. ἔνιοι δὲ οἴσσες. Κοῖλος αἰγιαλός, ἁπλῶς ὁ βαθύς. οὐ γὰρ ἂν αἰγιαλοῦ ὀφρύς, μὴ βαθέος ὑπεσκαμμένου τοῦ κατὰ τὸ ὕδωρ. Κοῖλος θυρεῶν, οὐκ ἔχων θύρας. Κοιλόσωμος, ὁ

ὕστερ, διὰ τὸ ἐκεῖ συλλείβεσθαι τὰ ὕδατα. Κνημοὶ, τὰ ὑψηλότερα τῆς ὑπωρείας, ἔνθα συλλειβομένων τῶν ὑδάτων ὕλαι πυκνοῦνται. τὰ γὰρ κορυφαῖα τοῦ ὄρους δυσβάτους τε ἰλατόμοις, καὶ οὐδὲ λάσια εἰσί. Κνημοῦμαι, φθείρομαι.

Κνημὸς, δασεῖς, τραχεῖς καὶ δυσβάτης τόπος.

Κνημοῦσθαι, φθαρῆναι. Κνημῶσαι, περιχῶσαι, φράξαι, κλεῖσαι, ἰλλεῖν. Κνηστιῶντα, ἐπιθυμητικῶς ἔχοντα τοῦ κνᾶσθαι. Κνηθιάω, κνῆσμα καὶ κνησμονὴ καὶ κνησμὸς, ἐκ τοῦ κνήθω. Κνηκὸν, φονὸς, ξανθόν. Κνῆστις, σιδήριον ἐστι, ᾧ ξέουσιν οἱ μάγειροι τὸν τυρόν. καὶ κνῆστ, διὰ τοῦ κ βάλλεται.

Κνῆστις, ἰδίως ἡ τυροτόμος μάχαιρα, ἣν ὁ κωμικὸς συνθέτως τυροκνῆστιν λέγει. Ὁμήρου διαλελυμένως κατὰ τρίτην ἐτυμολογίαν, αἴγειον κνῆ τυρὸν, καὶ κνήστι χαλκείῃ. καὶ γίνεται ἀπὸ κνάω κνῶ, τὸ κόπτω. ἐξ οὗ καὶ κναίω, καὶ ἀποβολῇ τοῦ ι ἰωνικῶς, τὸ κνέω. Κνῆστις, κνηστὶς, σιδηρᾶ ξυστὴρ, ᾧ ἡ ξέουσι τὸν τυρόν. ἔστι δὲ καὶ τὴν ῥάχιν ἀκούειν, ἐκεῖ τὸ ἀκνῆστιν.

Κνισσὸς ἔρνος, ἀρτεμίδωρος. Κνυτὸν, τὸ κνωρόν.

Κνυζοῦντος τὰς ἀκοὰς, ἀντὶ τοῦ ἐπιθυμητικῶς ἔχοντος ἀκούειν. Κνῦζον, ὅπερ καὶ κνίμον λέγεται· ἐστὶ δὲ καὶ μαχαιρίδιον, ὑφ' οὗ ξύεται ὁ τυρός, παρὰ τῷ Ἱπποκράτει.

Κνίδαι, σκνῖψαι, καὶ κνᾶται. Κνίδη, βοτάνη, καὶ κνίδιος καρπός. Κνίδιον, κνίδαλα. κυρίως μὲν τὰ θαλάσσια θηρία, διὰ τὸ ἐν ἁλὶ κινεῖσθαι, κνίδαλα ὄντα ὅπα. ἐστὶ δὲ καὶ τὰ χερσαῖα, διὰ τὸ ὑπὸ κυνῶν ἁλίσκεσθαι. ἡ σίδη, κνίδαλα ὅσ' ἄπειρος πολλὰ τρέφει, ἠδὲ θάλασσα. Κνίδιος, τὸ πικρόν. κνίδιος δὲ καρπὸς, λίφθογγον τὸ δεῖ. Κνιδᾶται, δακνεῖται, ἴσως ἀπὸ τῆς κνίδης. Κνίδος, γένος ῥόδου.

Κνιδοῦντες, κνίδῃ μαστιγοῦντες. Κνιδώσεις, κνησμοὶ ἀπὸ τῆς κνίδης γινόμενοι, παρὰ τῷ Ἱπποκράτει.

Κνίζειν, τὸ κατατέμνειν καὶ ἐκθλίβειν, συκάμινα κνίζειν. φασὶ γὰρ τὴν συκάμινον κάθυγρον οὖσαν κατατέμνεσθαι ξίφεσι τῶν γεωργῶν τὴν φλοιὸν αὐτῆς, ἵν' ὅπως πεπαίνων τοὺς καρποὺς αὐτῆς ἔχῃ. καὶ γὰρ εἰ μὴ τοῦτο ἦν, ἀπώλλοντο ἂν οἱ καρποὶ αὐτῆς ἐκ τῆς οὕτω πολλῆς ὑγρότητος, ὡς γινώσκεις σῆψιν αὐταῖς. Κνίζον, τὸ ἐρωτικὸς λυπεῖν, καὶ συντάσσεται αἰτιατικῇ. κνίζεται δὲ κυρίως, ἀμεταβάτως διὰ τοῦ ε ψιλοῦ, ὅτι προσηχημένος καὶ τεῖνον, λαλεῖν ἵνα ὑπὸ χαρᾶς ἀφίησιν. ἰστέον δὲ, ὅτι κνίζομεν, καὶ κνίδη, κνισῶς εἶδος βοτάνης, ἣν ἀκαλήφην οἱ ἰατροὶ λέγουσι. καὶ κνῖσα, καὶ ἀναπεμπόμενος ἀτμὸς, ἀπὸ καιομένων θυμάτων. καὶ κνισῶν, τὸ θυσίαν ἔμπυρον θύειν. ὡς παρ' Ἀριστοφάνει, ἐφ' ὅτῳ κνισῶμεν, ὅτῳ ἀγυιάς, ἤγουν τὰς ἐν ταῖς ἀγυιαῖς καὶ τὰς κιτταρίζουσας. ἡ κνίσα ὁ ἀγυιὸς. καὶ κνισμὸς, ἡ ἐρωτικὴ λύπη. Κνίζων ἡ κνιζείων, λυπῶν, ἢ συκάμινα τέμνων. Κνίζων αἰτιατικῇ, λυπῶν ἢ τέμνων. παρὰ τὸ κνῶ, τὸ κόπτω. τοῦτο δὲ παρὰ τὸ κινῶ, ἐξ οὗ κνίζω καὶ κνίζω, τὸ ἐξ ἐπιπολῆς καὶ ἰσχνῶς ξύω. ἀφ' ὅτου βραχύβολον ἐπιπείξασθαι χαράσσειν. Κνίκα, πίλη. Κνιπὸν, σαῖον, ξηρὸν μέλαθρα καὶ δασεῖς. Κνιπὰ, ὄμματα περιβεβρωμένα, καὶ ξηρὰ τῶν ξηροφθαλμῶν. Κνιπόδος, πάρασμα δορᾶς. Κνιψ, ζῶον πτηνὸν, ὅμοιον κώνωπι. Κνιπία, ἡ φειδωλία. Κνιπότης, τὸ κνησμὸν. ἔστι δὲ φασὶ τὴν ξηροφθαλμίαν, παρὰ τῷ Ἱπποκράτει. Κνίσα, ἀτμὸς, καπνὸς τῶν θυσιῶν, καὶ τὸ λίπος τοῦ ἱερείου, καὶ ὁ ἐπίπλους. Κνισμοὶ, σπαράγμοί, καὶ τὰ ἐπιόντων κνίσματα, καὶ μόνα λύχνων σπασμοῖ. Κνισμὸς δὲ κυρίως ἐπὶ τὴν μίξιν βακχεία καὶ πόρνοις. ὅς καὶ καταπνισμὸς λέγεται. καὶ κατακίνισμαι, ἀντὶ τοῦ ὑπ' ἔρωτος πάσχω. Κνίσσα. κνισσότερον μὲν διὰ δύο σ γράφεται. Ἡρωδιανὸς δὲ θέλει ἀπὸ μέλλοντος ἀπὸ τῶν γινομένων τοῦ ἐπιγκνίσω, δι' ἑνός τε γράφεσθαι σ, καὶ ἐκτείνειν δασεῖ τὸ ι.

δηλοῖ δὲ φασὶν ἡ κνῖσα τὴν κατ' ὀλίγον, ἀπὸ τοῦ [illegible] φορὰν τῇ ὀσφρήσει. καὶ ἄλλως. κνῖσα, λέγεται μὲν καὶ ἐπὶ λίπους, καὶ ἄλλων ἰκμῶν. σημαίνει δὲ καὶ τὴν ἀπὸ κρεάτων ἐψομένων ἀνάδοσιν τοῦ καπνοῦ. ἔτι δὲ ἡ κνῖσα, καὶ δι' ἑνὸς σ γράφεται, καὶ ἐκτείνει τὴν παραλήγουσαν, καὶ ἐκ τοῦ κνῶ κνίζω γίνεται, κατὰ τὸν Ἡρωδιανόν. [illegible] δ' εἴρηκεν ἐκ τῶν [illegible] καπνοῦ, καὶ οὕτω ποιεῖ ἂν τὸ ῥῆμα, ἀντὶ τοῦ [illegible] περιδιωκομένην καπνῷ, εἴτ' οὖν τὴν [illegible] θύματι. Κνίσαι, ἡ ἀναθυμίασις τῶν θυομένων τῆς σιδήρου.

Κνίσαι, φθεῖραι, ὀλέσαι, λεπτῦναι. Κνιφαλίοι, περὶ [illegible]. Κνισσῆν, εὐῶδες. Κνισμὸς, ζηλοτυπία, ὁ μῖσος τί [illegible] κνισμοῦ αὐξανόμενον. Κνιφολιχὸς, λίχνος. Κνισσὰ, λάχανα συγκεκομμένα. Κνισάριον, τὸ μικρὸν λίθον. Κνίφω, θλίβω. Κνὶψ, ζωΰφιον, ὃ γίνεται τοῦ κνιπὸς, [illegible] ἀυθεῖαν, καὶ σημαίνει τὴν ὀλίγα διατανύοντα. Κνεῦς, ὁ ἐκ τοῦ ἄρεος [illegible]. λέγεται δὲ καὶ κνοῦ, καὶ ὁ τοῦ σκόλοπος [illegible] λιχανὸς σφιγγί. ἔστι δὲ φασὶ κνοῦν μὲν, ἦχον χρυσοῦ δὲ [illegible] τοῦ ἄξονος, ἢ χοινικίς. Κνόος, ὁ ξηρός. Κνόον, [illegible]. Κνόον, κνόεον. ξηρόν. Κνῶ, τὸ ἐλάχιστον. Κνύζεσθαι, μυχθίζειν, κλαίειν, ἀσχαλάσθαι. Κνυζᾶσθαι, παρὰ Θεοκρίτῳ, ἐπὶ τοῦ κνιμᾶσθαι ἄσημον, καὶ ἄναρθρον ἀποτελοῦσι φωνήν. ὑποτιθυρίζεται γὰρ φαντασιαζόμενα. λέγεται δὲ κυρίως τὸ κνυζᾶσθαι ἐπὶ τῶν θηρίων, καὶ ἐπὶ τῆς ἀσήμου καὶ ὀνυχώδους ὑλακῆς τῶν κυνῶν. παρὰ δὲ Θεοκρίτῳ ἀντὶ τῆς ἀναιρέσεως φωνῆς, ἣν προΐενται τὰ [illegible] παιδία. Κνυζηθμὸν, [illegible] ὅπερ ἦχον οἱ παλαιοί λέγουσι. δῆλον δὲ ὡς ἐκ τοῦ κνυζῶ, κνυζήσω κνυζηθμὸν, ὡς ὀρχήσω ὀρχηθμόν. καὶ ὡς ἄλλο ῥῆμα τὸ, παρὰ τοῦ κνυζῶ δὲ εἶναι, [illegible] λαῖς μιμεῖσθαι συζυγίας. τριχῶς γὰρ φέρεται, κνυζῶ [illegible] κνυζῶ, κνυζᾶς, ὡς ἐν τοῖς Ἀθηναίοις. καὶ κνυζῶ, οἶς. ἐν πολλὰ δὲ τῶν [illegible] ῥημάτων οὕτω τηλεγεῖται. Κνυζηθμὸς, λέγεται [illegible] ἐπὶ κυνῶν φωνή. Κνυζήματα, [illegible] λέγεται τὰ γοερὰ ἀποφθέγματα. Κνυζίεσθαι, [illegible] λυπέσω. Κνυζὲρ ἀίγα, [illegible].

Κνυζαί, οἱ τὰ ὄμματα [illegible]. Κνυζούμενον, [illegible] φωνῇ κυνῶν. ἢ κνυζούμενον, γοερὸν φθεγγόμενον. [illegible], ἐπὶ κυνὸς. καὶ κνυζῶσαι, ἀντὶ τοῦ λυπῆσαι. [illegible] Κνύζω, κνυζῶ, τὸ διαφθείρω καὶ [illegible], ὁ μέλλων κνυζώσω. Κνυζώσω, ἀντὶ τοῦ ῥυσσώσω, [illegible] ῥυσοὺς ποιήσω. [illegible] φασὶν οἱ τῶν [illegible] ὀφθαλμοὶ κατὰ δὲ [illegible] καὶ οἱ τῶν κυνῶν [illegible] κνυζεῦν. καὶ κνυζηθμὸς ἐπὶ κυνῶν λέγεται. Ἡρωδιανὸς ἐμφαίνει, ἀπὸ τοῦ κνύζειν γίνεσθαι τὸν κνυζηθμόν.

Κνυζᾶται [illegible], ἀμεταβάτως, διὰ τοῦ ε ψιλοῦ, ὅτι προσηχόμενος καὶ τεῖνον λαλεῖν ἵνα ὑπὸ χαρᾶς ἀφίησι [illegible] ται καὶ κνυζοῦται. Κνύζα, [illegible] ἀπὸ τοῦ [illegible] ἐπὶ τῶν κυνῶν, καὶ ἡ κόνυζα, κατὰ συγκοπήν. Κνῦος, ἄκανθα μικρά. Κνυθὸν, σμικρόν. Κνῦμα, [illegible] τοῦ μη[illegible] μόσα τοῦ ψόφου, δηλοῖ δὲ καὶ τὴν [illegible], ἐπὶ δὲ τῶν κυνῶν γίνεται κνυζηθμός. Κνῦμα, ὁ [illegible] κνησμός.

Κνυχώσω, [illegible]. Κνώσσω, παρὰ τὸ [illegible], τὸ βλέπω, ἢ παρὰ τὸ κινεῖσθαι τοῦ βλέπειν. Κνώδακες, οἱ ἐν τοῖς [illegible]. Κνώδαλον, κυρίως ἐπὶ τοῦ θαλαττίου θηρίου. εἴρηται δὲ καὶ ἐπὶ τοῦ χερσαίου. κνώδαλον παρὰ τὸ κνᾶν [illegible] σκεσθαι. καὶ κνώδαλα, [illegible] κεφαλὴ οὕτω [illegible]. καὶ ἄλλως κνώδαλα, κυρίως μὲν τὰ τῆς θαλάσσης ζῶα. καταχρηστικῶς δὲ καὶ ἐπὶ πάντων τῶν θηρίων ὁ λόγος τίθεται. [illegible] ἐν Θεογονίᾳ, κνώδαλα ὅσ' ἤπειρος πολλὰ τρέφει, ἠδὲ θάλασσα. λέγεται παρ' Ὁμήρῳ τὸ χερσαῖον, παρὰ τὸ ὑπὸ κυνῶν ἁλίσκεσθαι.

λας, καὶ τὸ ξύον ἀναβαινομένους φασί. Κλᾶν, συντρίβειν, κατακλᾶν. Κλώπαια, ῥάβδον, καὶ τὰ κλεπτικὰ χωρία.

Κλώναξ, κλάδος. Κλῶντο, σχῶντο, συντρίβοντο.

Κλῶνες, αἱ ἐκφύσεις τῶν δένδρων. Κλωνκλωνός, τοῦ κλωναρίου τοῦ δένδρου. Κλωὸς σύνεστος, οὕτως ἀττικοὶ τὴν κλοιὸν ἔλεγον. σύνεστον ἦν, διὰ τὸ βραχὺ τοῦ ξύλου. ἄλλως, τὸ κολλάριον τὸ παρ' ἡμῖν λεγόμενον, ᾧ εἰώθασι τοὺς κύνας δεσμεύειν ἐν τοῖς ἀγροῖς, ἔστι ξύλινον. Κλωπᾶσθαι, ἐπιθυμεῖν, θέλειν, καὶ τὸ λάθρα καὶ ἀφανῶς ἰέναι, καὶ πράσσειν, καὶ κλέπτεσθαι.

Κλώπειον, ἔρχεσθαί ἐστιν, ὡς Ἰώβιον ἐν τετάρτῳ ἱστορικῶν. Κλώπτω, κλέπτω. Κλωπαμένη, λάθρα καὶ ἀφανῶς περιοῦσα καὶ ἐφιεμένη, παρὰ τὸ κλέπτεσθαι, οὕτως τὸ προθυμεῖσθαι ἔλεγον. Κλωπεύω, κλωπιτεύω, ἀντὶ τοῦ κλέπτω. κλωπιδιον ἦν, μικρόν. Κλώσαιεν, ἐπικλώσειεν. Κλωστὴρ, τὸ κεκλωσμένον ῥάμμα. Κλωστῆρα, τὴν ἄτρακτον, καὶ τὸ νῆμα. Κλὼψ, ὁ κλέπτης, καὶ ὁ λῃστής, παρὰ τὸν κλέψω μέλλοντα γίνεται, κατὰ ἀποβολὴν τοῦ ε, κλὼψ καὶ κλὸψ, καὶ κατὰ ἔκτασιν κλώψ. ὡς βλέπω βλὲψ καὶ βλὼψ, ὁ σφοδρός.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Μ ΚΑΙ Ν.

Κμίλεθρα. διὰ γνῶναι ὅτι τὸ κ πρὸ τοῦ μ, οὐ δύναται εὑρίσκεσθαι ἐν ἀρχῇ λέξεως. τοῦ γὰρ πολύκμητος οὐχ εὕρηται ἐν μέσῳ τὸ ἁπλοῦν αὐτοῦ, ἤγουν τὸ κμητός, καὶ τὸ κέκμηκα, ὃ δηλοῖ τὸ κεκοπίακα, οὐκ ἔστιν ἀπὸ τοῦ κμῶ, ἀλλ' ἀπὸ τοῦ καμάμενα. λέγει δὲ ὁ Ἡρωδιανὸς τὸν Πάμφιλον ἀναγαγεῖν ἐν ταῖς γλώσσαις τὸ κμίλεθρα. σημαίνει δὲ τὰς δοκούς.

Κνατὰ, πεποιημένα, πεπονημένα. Κναλαίσθαι, κνήθεσθαι. Κνάζω, βεβαιῶ. Κνάθω, ἀγρεύομαι. Κναιόμενον, κατατρυχούμενον. Κναίω, τὸ κνῶ. κναίω, τὸ κόπτω.

Κνάκων, ἐν ἐπιγράμμασι, κνάκων ἀπολύσας τὸν δ' ἀνέθηκε τράγον. Κνακὸν δέρμα, παρὰ Θεοκρίτῳ. ἤγουν ξανθὸν, ἢ λευκόν. λευκὸν μὲν, ἀπὸ τοῦ καρποῦ. ξανθὸν δὲ, ἀπὸ τοῦ ἄνθους.

Κνάκωνα, τὸν κνήκου χροιὰν ἔχοντα. ἄλλως κνάκωνα, τὸν λευκὸν τράγον, ἀπὸ τῆς κνήκης τοῦ σπέρματος λευκοῦ ὄντος, ἢ λάγνον. Κνάκωνα, λευκὸν, ἢ πυῤῥὸν, ἀπὸ κνήκου τοῦ σπέρματος, παρὰ Θεοκρίτῳ. Κνακὸς, ψαρὸς ἵππος. Κνακὸν, λευκὸν, πυῤῥόν. Κνάμπτει, κάμπτει, καταξαίνει, κατέχει. Κνάμπτομαι, κακοῦμαι, κατατεινοῦμαι, καταξέομαι. Κνᾶν, κόπτειν, ξύειν. Κνὰξ, γάλα λευκόν. Κνάφω, ἀπὸ τοῦ κνῶ γίνεται κνάπτω, ὡς χῶ χάπτω, καὶ ῥηματικὸν ὄνομα κναφος. σημαίνει δὲ τὴν ἀκανθώδη φυτὴν, ᾗ τὰ ἄλικτα τῶν ἱματίων ἐπιστρέφοντες κατεργάζονται. Ἀλκαῖος, μὴ μέγαν περὶ κναφον περιισχθείς κύκλον. Κνάπτειν κελεύω γλώττας, συνεχῶς ἐνδὺς τὸν ὀλέσαντα κελεύω τὴν γλῶτταν. Κναπτόμενον, ξαινόμενον.

Κνάπτω, τὸ ξέω, καὶ καθαίρω, ἐξ οὗ κναφεὺς καὶ κναφεῖον. Ἐκνάπτω, τὸ κάμπτω, ποιητικῶς. Κνᾶσθαι τὸ οὖς, οὐ κνήθειν.

Κνᾶσαι, ὀλίσαι, λυπῆσαι. Κνασάνεον, ἐκόλαψαν. Λαλεῖ οὖν. Κναφεῖον, ἐν ᾧ τὰς ἐσθῆτας κναπτουσιν, ὅ ἐστι βάπτουσι.

Κνάφος, ἀκανθώδης ἐστὶν, ᾧ ξαίνουσι τὰ ἱμάτια. Κνάφος, ὄργανόν ἐστιν ἐν κύκλῳ κέντρα ἔχον. διὸ οὗ τοὺς βασανιζομένους ἐκτείνουσιν, ὅμοιον ὂν κναφικῷ κτενί. κνάφον λέγουσιν, ὅταν ἐν κύκλῳ οἱ κναφεῖς περιελαύνωσι τὰ ἱμάτια περὶ τὸν λεγόμενον κνάφον. ἔστι δὲ τοῦτο φυτὸν ἀκανθῶδες. Κναφεύειν, πλύνειν τὰ ἱμάτια. Κναφεύς. ἀττικὸν μὲν τὸ διὰ τοῦ κ, κοινὸν δὲ τὸ διὰ τοῦ γ. οἱ παλαιοὶ δὲ ἀττικοὶ διὰ τοῦ κ κνάφος. ἔστι δὲ ἀκανθώδης ἐστὶν, ᾧ ξύουσι τὰ ἱμάτια. οἱ δὲ νεώτεροι διὰ τοῦ γ, παρὰ τὴν γνάφειν. κναφεὺς δὲ παρὰ τὸ κνῶ, ὃ σημαίνει τὸ ξύω. Ὅμηρος, ἐπὶ δ' αἴγειον κνῆ τυρὸν. καὶ κνέπτει χαλκεύς, παρὰ τὴν τοῦ φαίνειν γνάφειν, ἢ ὡς ἔστι παρὰ τὸ γάνος, τὸ λαμπρόν. Κναφεύς, ὁ πλύνων τὰ ἱμάτια. Λευκοφάνης, ἀπόλοιτ' ὀφείλων ἐπὶ κναφεῖ τριώβολον. ἀττικῶς διὰ τοῦ κ, κοινῶς δὲ διὰ τοῦ γ. Κνάω, τὸ κνήθω. Κνεῖν καὶ ξύειν, ταυτὸν ἐστὶν, ἔτι κόπτειν. ἐξ οὗ καὶ τὸ κνίζειν γίνεται. παράγεται δὲ χρόνους τινὰς, ξύομαι δὲ οὐδὲν ἔχων, τουτέστι κνῶμαι. καὶ Σώφρων, βαιὰ δ' ἐξύομαι ἐκ παλαιᾶς κεφαλῆς, ἤγουν κεκνησμαι. ξυόμενοι ἄνθρωποι ἥδονται, καὶ σφιν γίνεται, ὥσπερ τοῖς ἀφροδισιάζουσι. Κνεφαῖον, σκοτεινόν. Κνέφας, δῆλον ὡς φωτὸς στέρησις ἐστι τὸ σκότος. διὸ καὶ κνέφας λέγεται, ὡς κενὸν φάους. Ὅμηρος δὲ ἑσπέριον δηλοῖ αὐτὸ, εἰπὼν, ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε. Κνεφαῖος, ὅτι σκότους ὄντος, καὶ μήπω γενομένης ἡμέρας. Κνέφαλον, τύλη. Κνέφας ἱερὸν, τὸ βαθὺ καὶ μέγα σκότος. ἐπεὶ καὶ ἐπὶ μεγάλου πολλάκις τὸ ἱερὸν τίθεται.

Κνέφα, σκότῳ. Κνέφος, σκότωσις. Κνέωρον, φυτόν ἐστιν, ὃ τοῖς θεσμοφορίοις ὑποστρώννυνται, καὶ ὅτι ἀνάφρασιν ἔχει, καὶ γυναικεῖον μόνον. Κνῆ, σκάπτει. Κνηθόμενοι, τριβόμενοι, ἀποκνηθόμενοι τὴν ἀκοήν. Κνηκίας, ὁ λύκος. Κνηκὶς, ἡ περιλευκὴ ζώνη, τὸ μικρὸν κνέφος. Κνηκὶς, νεφελώδης τοῦ ἀέρος κατάστασις, καὶ δίφρος λεπτὴ, καὶ νεφέλιον λεπτὸν, καὶ μελανία, καὶ ἴλαφος. Κνηκὶς ἐπινεφώδης, μελανία τις περὶ σῶμα. ἄλλοι ἐπὶ τῶν νεφῶν εἶπον. Κνηκὸν, τὸ προπίζον χρῶμα ἐπὶ τοῦ ἄνθους. ὅτε δὲ ἐπὶ καρποῦ, τὸ λευκόν.

Κνῆκος, λευκὸς, καὶ εἶδος ἐστὶ σπέρματος, καὶ πυρός.

Κνῆμαι, τὰ ἔμπροσθεν τῶν σκελῶν. ὧν τὰ ὄπισθεν ἐντερόμια λέγεται. καὶ κνημῖδες, τὰ περικείμενα τοῖς σκέλεσιν ὅπλα. ἀφ' οὗ εὐκνήμιδες Ἀχαιοί, ἤγουν εὔοπλοι, ἀπὸ μέρους τῆς πάσης ὁπλίσεως σοφιζόμενος. Κνημαίου, τοῦ τῆς κνήμης, παρὰ τῷ Ἱπποκράτει. Κνήμαργος, κνημώδης, παχύκνημος.

Κνήματα, ξύσματα, παρὰ τῷ Ἱπποκράτει. Κνήμη, τὸ ἔμπροσθεν τοῦ γόνατος. γαστροκνήμη δὲ, τὸ ὄπισθεν παχύ. Κνῆμα, ὁ τοῦ σκέλους παχύτης. ἀπὸ τοῦ κνῶ, κνῆμα, καὶ κατὰ συγκοπὴν κνήμη. οἷον τῆς κινήσεως αἰτία. ἰστέον, ὅτι τὰ μὲν ἔμπροσθεν λέγουσιν ἀντικνήμιον, τὰ δὲ ὄπισθεν γαστροκνήμιον. κυρίως δὲ ἀντικνῆμαι λέγονται, τὰ διαιρούμενα ξύλα τῶν χειλέων τοῦ τροχοῦ. σημαίνει δὲ καὶ τὰς ἐξοχὰς, καὶ προβάσεις, καὶ καθόλου τόπους τῶν ὀρῶν. Κνημίαι, φορεῖ, καὶ τὰ ὀρθὰ ξύλα τῶν θρόνων, ὅπου δεῖν ἐπὶ κλίνης. Κνημῖδας, οὐκ ἀεὶ λέγει πολεμικὰς, ἀλλὰ βύρσας, διὰ ὧν κνῆμαι τοῖς ἀγρόταις καλύπτονται. οὕτω δὲ καὶ κυνέην αἰγείην, οὐ τὴν ἐν μάχῃ χρησίμην, ἀλλὰ τὸ ἁπλῶς ἐξ αἰγὸς κάλυμμα τῆς κεφαλῆς. Κνημῖδας, ὅπλον σκέπον τὰς κνήμας, ἀφ' ὧν καὶ παρονομάζονται. τούτων τὰ ἄκρα ἐπισφύρια λέγονται, ὡς τοῖς τῶν ποδῶν κάτω σφυροῖς προσαρμόζοντα. Κνημὶς, ὅπλον σκέπον τὰς κνήμας τῶν στρατιωτῶν, ἀφ' οὗ εὐκνήμιδες Ἀχαιοί, ἀπὸ μέρους οἱ εὔοπλοι. κνημοὶ δὲ ἐπὶ ὀρεινῶν τόπων μερῶν λέγονται, οὕτω καὶ αἱ κνημῖδες. Κνημὶς, καὶ τὸ εὐκνήμις. βαρύνεται δὲ τὸ εὐκνήμις κανόνι τοιούτῳ. τὰ εἰς ις θηλυκὰ ὀξύτονα, εἰ μὲν ἐν τῇ συνθέσει φυλάξωσι τὸ θηλυκὸν μόνον γένος, καὶ ἂν αὐτῶν τόνον φυλάξουσιν. οἷον σκελὶς, περισκελίς. εἰ δὲ μετὰ θηλυκῶν γίνονται, καὶ ἀρσενικοῦ γένους, μεθίστανται εἰς βαρεῖαν τάσιν. οἷον ἐλπὶς, δύσελπις. τῶν γὰρ κοινῶν ἐστι τῷ γένει. ταύτῃ τοι καὶ τὸ κατηρεφὶς μὲν ὀξύνεται, ὡς μονογενές. τὸ δὲ μελανόχροις βαρύνεται. οὕτω καὶ τὸ κλαὶς, εὔκλεις. κνημὶς, εὐκνήμις. ὁμοίως καὶ ψηφὶς, πολυψηφίς. ὡς τὸ πολυψηφῖδα παρ' ὅρμον φεύγων. καὶ αὐτὸ μὲν τὸ εὐκνήμις βαρύνεται. Κνημὸς, ὄρος. ὅθεν αἱ ἐπικνημίδιοι, ἀπὸ ὄρους κνημῖδα. Κνημοὶ ὕλης, οἱ μετὰ τοὺς πρόποδας, ἐκ μεταφορᾶς τῶν ζωικῶν μετὰ πόδας κνημῶν. οἱ δὲ ἐκ τοῦ δασεῖς τόπους ἑρμηνεύουσι τοὺς κρημνούς. καλῶς φασι καὶ αὐτοί, ὡς τῶν ταπεινοτέρων τόπων ἐν τοῖς ὄρεσι δασυτέρων

αἰγιαλῷ ὕδατος οὕτως ἐπικλύζεσθαι. Κλυδώνιον, πλάγος, χειμών, καὶ θόρυβος πραγμάτων. Κλύε μοι, ἐπάκουσόν μοι.

Κλύει, ἀκούει. Κλύζω, πλημμυρῶ, ῥέει, βρύει. Κλύζω, τὸ δὲ κλυστῆρος ἰατρικόν, ἀφ' οὗ κλυστήρ, τὸ ἐργαλεῖον, διὰ οὗ κλύζονται. κλύζω, τὸ ὑγρὸν καλύπτω, ἀφ' οὗ ἐπίκλυσις, ἡ τῶν ὑδάτων ἐπιῤῥοία, ὅταν καλύπτῃ τὰ ἐπιφάνειαν. καὶ κατακλυσμὸς καὶ κλύδων, ἡ ταραχὴ τῆς θαλάττης. καὶ κλυδώνιον, τὸ κῦμα τῆς θαλάττης, ὅταν παρὰ τοῦ αἰγιαλῷ ὕδατος οὕτως ἐπικλύζεται. καὶ κλυζόμενα, τὰ ὑπὸ τοῦ ὕδατος καλυπτόμενα. Κλύμενον, ἤγουν ἔκλυσον, ἐξ οὗ καὶ ὁ κλύδων παρήχθαι. Κλῦθι, ἄκουσον, πέπλασται ἀπὸ τοῦ κλύω. θέμα γὰρ εἶναι τοῦ κλῦθι, τὸ κλῦμι οὐκ ἀρέσκει τοῖς παλαιοῖς. Κλῦθι, λῦθι, φῦθι, μακρὰ παραλήγονται, ἀπὸ τοῦ κλύω, λύω, κατὰ μεταπλασμὸν γινόμενα. τὸ δὲ κέκλυθι βραχύνεται, ὁμοίως καὶ τὸ ὄρνυθι, καὶ τὸ ἴθι βραχύνεται. Κλῦθι, κλύω ποιητικόν, ἀκούω κοινόν. κλύω ἐνεστώς, ἔκλυον παρατατικός, μέλλων ἀπὸ τούτου οὐκ ἔστι, λέγεται δὲ ὁ τοῦ κοινοῦ ἀκούσω. ἐπὶ τῇ κοινῇ γὰρ καὶ ὁ ποιητικὸς ἐχρήσατο, καὶ ἡ ἀττικὴ γλῶττα, καὶ αἱ ἄλλαι, αἷς μάλιστα χρῶνται οἱ ποιηταί. διὰ τοῦτο γὰρ καὶ κοινὴ λέγεται, ὅτι μετέχουσιν αἱ ἄλλαι αὐτῆς. κοινὸν γὰρ οὗ μετέχουσι τὸ πλεῖστον δῆλον, καὶ προειρημένων ἐκείνων, οὕτω ἐπάγεται, ὅτι μετέχουσιν αὐτῆς πάντως δηλοῦν, ὅτι αἱ ἀποδεδειγμέναι πᾶσαι χρῶνται αὐτῇ, καὶ αὕτη πάσαις αὐταῖς. ἀόριστος δεύτερος ἔκλυον, ες, ε, ἀφ' οὗ προστακτικὸν κλύε, καὶ κατὰ μεταπλασμὸν κλῦθι. μεταπλασμὸς δέ ἐστιν, ὅταν τέλος ὀνόματος, ἢ ῥήματος, ἐφ' ἕτερον τέλος τρεπῇ οἰκεῖον τοῦ τρεπομένου. οἰκεῖον δέ ἐστιν, ᾧ δηλοῦται ἡ αὐτὴ πτῶσις τοῦ ὀνόματος, ἐν ἄλλοις χρόνοις ἄν, ἢ ὁ αὐτὸς χρόνος τοῦ ῥήματος, ὡς τοῦ ἀορίστου τέλος τὸ ε τραπὲν εἰς θι, ᾧ τέλει χρῶνται ἂν ἀόριστος προστακτικοὶ ἐν ἑτέροις. Κλύμενος, οὕτω λέγεται ὁ ᾅδης, ἢ ὅτι πάντας προσκαλεῖται εἰς ἑαυτόν, ἢ ὁ ὑπὸ πάντων ἀκουόμενος. Κλύμενος, ἰατρὸς ἀφηγητὴς ὥν Διοσφαίνης φησίν, ἀναμεμίχθαι τοῦ μαρσίου, διὸ τὸ καὶ τὸν μάρσιμον ἰατρὸν εἶναι ἀφεῖ. ἦν δὲ καὶ τραγῳδοποιὸς ἀγνὼς ὁ μάρσιμος. λέγεται δὲ καὶ ὁ ἐπαινὸς, ὡς Ἀντίμαχος, κλειτοῦ τε κλυμένοιο καὶ ἀμφιλύτης. Κλύσαι λέγεται ὡς ποτήριον, ἢ ἄλλο τι ἀγγεῖον, ὕδατι πλύνειν, ἢ χεῖρα. πλῦναι δὲ ἐσθῆτα, κατακλύσαι μετὰ ποδοῖν τὸ βρέχειν. Κλυστήριον, ἰατρικὸν ἐργαλεῖον. καὶ κλυστὴρ, κλυστῆρα προθέμενος, ὑπεξήγαγε τῆς ἑαυτοῦ γαστρὸς τὰ σκύβαλα. Κλυτοί, ἔνδοξοι, ἀγαθοί, καλοί, τίμιοι, πολλοί, ἢ πανταχοῦ περιφημισμένοι. Κλυτίδα, κλυτοῦ παῖ.

Κλυταιμνήστρα, κύριον ἡ γυνὴ τοῦ ἀγαμέμνονος. Κλυτόδωλος, λέγει Ὅμηρος κατὰ συγκοπήν. τὸ γὰρ ἐντελὲς κλυτόπωλος ἐστίν, ἐκ τοῦ κλυτίου, ὁμοίως τοῦ ἀλεξιπώλης. Κλυτίος, παρ' Ὁμήρῳ ὡς τρίβραχυ κύριον, παροξύνεται, ὥσπερ καὶ τὸ τυχίος, καὶ τὸ ὀλίος, καὶ τὸ δολίος. Κλυτομήτης, ἀκουστὴ ὁρμῶν.

Κλυτοπώλῳ, ἢ ἀντὶ τοῦ εὐίππῳ, διὰ τὸ πανταχοῦ φθάνειν τὸν θάνατον, ἢ οὗ κλυτὴ ἡ ἐπιπόλευσις, ἤγουν ἐπίλευσις. διὰ τὸ ἐξάγγελον τῶν θνησκόντων ὑποθανάτιον, καὶ ἡ εὐθεῖα αὐτοῦ ἐστι προπαροξυνομένη κατὰ τὸ εὔπωλος. ἐστὶ δὲ υἱὸς ὁ ᾅδης, οὗ κλυτὴ ἡ ἐπιπώλευσις, ὅτι ἱερὸς. μιαίνουσι γὰρ τοὺς θανατωθέντας οἱ ἐπ' αὐτοῖς θρηνοῦντες, ἢ ὁ κλυτοὺς ἔχων ἵππους. Κλυτοπώλῳ, ἐνδοξοπώλῳ, ἔνδοξος ἀγαθός. Κλυτὸς, παρὰ τὸ κλύω, τὸ δοξάζω, γίνεται κλυτὸς, ὁ ἔνδοξος. καὶ κλυτὰ, τὰ λαμπρὰ καὶ ἔνδοξα. Κλυτὸς ἱπποδάμεια, δυσὶ διαλέκτοις ὑπόκειται. φασὶ γὰρ οἱ παλαιοί, ὅτι δωρικὴ καὶ ἀττικὴ ἐστὶν ἡ τοιαύτη σύνταξις τῶν γενῶν. πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα πολλαχοῦ δηλοῦνται. ὃν καὶ τὸ ἐν πόλει συνοικοῦσι, τουτέστιν ἐν τῇ κατὰ πατέρας πόλει, καὶ τὸ ἀγγελθεῖσα μοι γενναῖος, καὶ κλέος φρενῶν, ὁ κλέος, καὶ φαῦλος οὐσία, καὶ ὅλος λαός, καὶ ἡ ἱεραῖος, παρὰ τοῦ Ξενοφῶντος καὶ τελικοῦ, καὶ δεινὸς θεός, καὶ μάταιος πολλά. τὸ δὲ ἄμαλα τῶν, ἀντὶ τοῦ τῇ ἡμέρᾳ. Κλυτὸς ἱπποδάμεια, συμβαίνει θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάττεσθαι ἐπίθετα, ὡς τὸ παρ' Ὁμήρῳ. κλυτὸς ἱπποδάμεια, καὶ θερμὸς ἀϋτή, καὶ αἰπὸς ὄλεθρος. καὶ παρ' Ἡσιόδῳ, διαζομένου πέλεκυς. ὁμοίως δὲ καὶ τοῖς οὐδετέροις ὀνόμασιν ἀρσενικὰ καὶ θηλυκὰ ἐπίθετα, καὶ πάλιν ἀρσενικοῖς τε καὶ θηλυκοῖς ἐπιφέρουσιν οὐδέτερα, ὡς τὸ πολύ ὄψον, καὶ κόσμον κάλλιστον, καὶ γένος ἐρχόμενον, καὶ μεγάλην λίθον, καὶ παιδίον βαδίζον. καὶ Ὅμηρος, τέκνον φίλε τὸ τὸ δίδωμι. Κλυτὸς ἱπποδάμεια, καὶ θερμὸς γένος, καὶ τὰ χαῖρε, τὸ γυναικεῖον. καὶ παρὰ Πλάτωνι, διάγοντα καὶ φέροντα. καὶ Ὅμηρος ἐπὶ ἥρας καὶ ἀθηνᾶς ἔφη, οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ, καὶ ἵπποι ἀθανάτοιο ἔχουσιν ἐρύκακε καὶ τὸν ἀντίθετον τὰ ἐπίθετα ἀρσενικά, ἢ ἄρθρα, ἃ μάλιστα τοῖς θηλυκοῖς συντάσσεται, ὡς φαίνεται ἐν τοῖς ἄνω. Κλυτὸς ὄρνις, ὁ ἀλεκτρυών. Κλυτοτέχνης, ὁ ἥφαιστος, ὁ ἔνδοξον ἔχων τὴν χαλκευτικήν. οὕτως λέγεται ὁ αὐτὸς, καὶ αἰθαλόεις θεός, ὁ χαλκεύς.

Κλυτότοξος Ἀπόλλων καλεῖται, ὡς σὺν τῇ μαντικῇ καὶ μουσικῇ καὶ ἰατρικῇ ἐπιστατῶν καὶ τῇ τοξικῇ, κατὰ τὸν μῦθον. ἔστι δὲ ὡς ἐπὶ τῷ Ἀλεξάνδρου λεγόμενον ἐστιν, ὅτι τοῦ κλέους καὶ τοῦ κλέος, ὃ ἔστι κλείζειν καὶ δοξάζειν. ἐκ μὲν τοῦ κλέους, τὸ κλυτότοξον σύνθετον. ἐκ δὲ τοῦ κλείειν, κλειστὸν ἐκατεριξόμενον φωνῇ ὁ κινητής. Κλύων, ἐπακούων. Κλύω, σημαίνει τὸ δοξάζω, καὶ τὸ ἀκούω. ἐκ τούτου κλῦμι, ἔκλυον, ες, ε, κλυτὸς κλυτός, κλῦθι καὶ κέκλυθι. Κλύω ποιητικόν, τὸ ἀκούω κοινόν. ἀφ' οὗ κλυτὸς ὀνομαστός. καὶ περικλυτός, ὁ περιακουόμενος. καὶ ἀγακλυτός, ὁ ἄγαν καὶ λίαν ὀνομαστός. καὶ τηλεκλυτός, ὁ ἐκ προγόνων ὀνομαστὸς ἢ περιβόητος. καὶ κλύω, τὸ μανθάνω. καὶ κλύω κακῶς πρὸς τινων, ἤγουν ἀλγύνομαι παρὰ τοῦ. Κλῶ, σημαίνει πέντε. τὸ κλῶ, ἐξ οὗ καὶ κλάδος. τὸ ἐκκαλῶ, ἐξ οὗ κλεῖ, τὸ ἐκκαλεῖ. τὸ κλάω, ἐξ οὗ καὶ κλαίω κλῶ. τὸ φωνῶ, ἐξ οὗ κατὰ παραγωγὴν κλώζω. τὸ ἐμποδίζω, ἐξ οὗ καὶ κλοιός, τὸ ἐμποδίζον. Κλυτοπόλος, ὁ διὰ τῆς γλώττης περὶ τὴν οὐρανίσκον ψόφος, ὃν ἀποτελοῦσιν οἱ ἱππεῖς φωνήν. οἷον οἱ ἐπελαύνοντες καθιστᾶσι κυρίως. Κλῶθες, κλάσεις. Κλώδωνες, αἱ βάκχαι τοῦ Διονύσου παρὰ Μακεδόσιν, αἱ κλεπτεύουσαι ὄσφρον μιμαλλόνες, ἀπὸ τῆς μιμήσεως.

Κλώζεσθαι, καὶ συρίττεσθαι, ἐστὶ δὲ ὅπη καὶ λίθοις βάλλεσθαι.

Κλώζω, τὸ δὲ ψόφου εἶδος χλευάζω, ἀπὸ τῶν κολοιῶν, τὸ κλώζειν γὰρ ἐπὶ τῆς φωνῆς λέγεται αὐτῶν. Κλώθω, καὶ κλώζω, ἐκ τοῦ κλῶ. κατὰ τὸ κλώζω, λέγονται κλώζεσθαι καὶ ἀποσυρίττεσθαι οἱ ἐν θεάτροις νικώμενοι, καὶ κλωγμὸν τὸν ψόφον.

Κλώθει, κατασκευάζει, ἐπιψηφίζει, νήθει, βλαστάνει, πολλοῖς σύγκειται. Κλώθων, νῆμα λέγεται. ἄκλωστος, ἄνηθος, καὶ ἄνητος. Κλῶθες, αἱ κατακλῶθες, μεταπλασμὸν ἐποίησεν ἐκ τῆς αἱ κλωθοί, ὧν ἡ εὐθεῖα ἡ κλωθώ. δηλοῖ δὲ τὰς μοίρας, παρὰ τὸ κατακλώθειν αὐτὰς ἐν μιᾷ αὐτῶν τῆς κλωθοῦς. καὶ οὕτω μὲν ἐνδόξως. ἴσως δὲ μᾶλλον οὐχ ἁπλῶς μοῖραι, αἱ κατακλῶθες, ἀλλὰ ἡ ἀπὸ συστήματος ἢ ἁπλῶς μοῖρα. κατακλῶθες δὲ, αἱ μὴ εὐτυχεῖς, διὸ καὶ βαρεῖαι λέγονται. Κλωθώ, μία τῶν μοιρῶν. εἴρηται δὲ, παρὰ τὸ ἐπικλώθειν ἑκάστῳ τὸ πεπρωμένον. Κλωστὴρ, τὸ κλώθεσθαι ὑπ' ἀμφοτέροις ποσίν. Κλώμακες, τραχεῖς τόποι.

Κλώμακα, πολλὰς ἀποκλίματα ἔχουσαι, ἀφ' οὗ τὴν τραχεῖαν καὶ ὀρεινὴν σημαίνει, ἡ ἁρμονία, ἡ δύσβατον. Κλωμακόεν, ἐπὶ ὀχυροῦ τίθεται τόπου, ἐν ᾧ εἰσι κλώμακες, ὥσπερ καὶ ὁ Ἀνακρέων μέμνηται. ὃ ἔστι τόποι οἱ λόφοι κατὰ τοὺς παλαιοὺς ὑψηλοί. τραχεῖαι δὲ αὗται, καὶ πηγάδες, καὶ ἀναβάσεις εἰσὶ κατακλῶσαι τοὺς δι' αὐτῶν βαίνοντας. φυλάττεται δὲ ἡ λέξις νῦν τε καὶ τῶν, εἰ καὶ μὴ ἀκριβῶς, ὑπὸ τὸ ὑπερβάρβαρος περὶ [illegible] τοὺς παφλαγόνας, οἱ κρημνώδεις τόπους, τοὺς [illegible]

Κλίματα, ἀποκλίματα. Κλιματοφόρος, ὁ ἐπὶ κλιμακίου ἔχων τὴν παρειάν. κλιμακίδιον τὸ τῶν πυρῶν. Κλιμακίδες, αἱ τῶν πλοίων ἀποβάθραι. Κλῖναι, τραπεῖν τῶν μαχομένων. καὶ τὸ κλίνεσθαι ἔχοντα ὑπό τινος, καὶ τὸ ὁμοίως.

Κλίναι, ἐτρέψαντο, ἀπεχώρησαν. Κλινίδιον, κραββάτιον ὑποκοριστικῶς. Κλίνω, παρὰ τὸ κλῶ. κλίνειν γὰρ λαμβάνει τὰ κλινόμενα, σχηματισμένα τῆς ὀρθότητος. Κλίνη, τὸ κράββατον. Κλίνθη, ἀπὸ τοῦ κλίνω. αἰολικῶς ἐπὶ τὸ τρίτον. Κλίνθη, ἐκλίθη. Κλιντὴρ, θρόνου εἶδος, περὶ ὃν ἔστιν ἀνακλιθῆναι, ὡς δηλοῖ τὸ, ὡδὶ ἢ ἀνακλιθῆναι. Κλινίδιον, ὄνομα ὑποκοριστικόν, τὰ ἀπὸ τῶν εἰς α καὶ εἰς η θηλυκῶν, καὶ τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων διὰ τὸ ἰδίου γινόμενα οὐδέτερα ὑποκοριστικά, διὰ τοῦ ι γράφεται. οἷον μοῖρα μοιρίδιον, ἑταίρα ἑταιρίδιον, κλίνη κλινίδιον, πύλη πυλίδιον, κόρυς κορυδίον, ψυχὴ ψυχίδιον. πλὴν τοῦ γῆ γήδιον, τὸ χωρίδιον, ὃ φυλάττει τὸ ι. ξίφος ξιφίδιον, νῶτος νωτίδιον, καὶ ἕτερα. τὰ δὲ ἀπὸ τῶν εἰς ις θηλυκῶν διὰ τοῦ ως κλινομένων, διὰ τοῦ ιδιον γινόμενα, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον ὄφις ὄφεως ὀφείδιον, ἄλυσις ἀλύσεως ἀλυσείδιον, ταξίς τάξεως ταξείδιον, λαμπάς λαμπάδος λαμπαδίδιον, φύσις φύσεως φυσείδιον, λέξις λέξεως λεξείδιον, ἐκτύπωσις ἐκτυπώσεως ἐκτυπωσείδιον, καὶ ἕτερα. Κλινθήτην, ἐκλίθησαν.

Κλινὶς, ἐπὶ τῆς ἁμάξης τομεῖς καθέδρα. Κλινὶς, βαλάντιον ἐν ᾧ κλινὶς εἰσδεχομένη ἔνδεκα, ὅτι λαμβάνει ἀπὸ τῆς κλίνης, καὶ κλινίδιον, ὑποκοριστικῶς. Κλινοκομεῖον, διαιτήριον ὅπου ἐν ᾧ λαμπρός. Κλινοπέτης, κλινήρης, κλινήρεις δὲ, παραλελυμένος. Κλινοπόδες, ἐπὶ δίφρου κειμένοι. Κλινοστέγιον, τῶν φαυλίδια. Κλιντὴρ, θρόνος ἀνακλιτός. Κλιντήριον εἶδος φορείου ἢ κλινίδιον, ἔχον ἀνάκλισιν, οἷον τὸ τῶν ἀρχιερέων. Κλισιάδες, αἱ θύραι αἱ θύραι. Κλισία, καὶ σκηνὴ ταυτὸν, πλὴν οἷον ὁ μὲν κλισία, μιμεῖται τὰς οἰκίας, πλέον τι ἔχουσα ἔκτοσ, καὶ μεγάλην ἐπὶ τὰς πύλας. ἡ δὲ σκηνὴ, οὐκ ἀπὸ ξύλων ἐξ ὑφασμάτων μόνον, ἀλλὰ καὶ ἀπὸ σινδόνων ἢ πίλων ἐκεῖ συνίσταται. ἔστιν καὶ ὁ σκηνίτης τὸ ἴδιον παροικούμενος. ἄλλο δὲ, ὅτι ἡ κλισία, καὶ κλισιάς λέγεται. φασὶ γοῦν Ἡρόδοτος, ὅτι μεγάλαι κλισιάδες ἀναπέπτανται διὰ πύργου. ἔστι δὲ ἡ κλισία, ἀπὸ τοῦ κλισίου οὐδετέρου παρωνομάζεται. ἔστι δὲ τὸ κλίσιον, ἀπλοῦν καὶ εὐτελὲς οἴκημα. ὡς δὲ Διονύσιος δηλοῖ, τὸ τῶν προβάτων σηκώματα καὶ φυλακτήριον οἰκίδιον, εὐτελὲς πάντως ὂν καὶ αὐτό.

Κλισμὸς, ἡ καθέδρα, καὶ ὁ θρόνος, ὁ ἔχων ἀνάκλισιν, παρὰ τὸ κλίνω. Κλίσια, τὰ κυνοβόσκεια. Κλισία, τὸ ἀνάκλιντρον. ἡ γὰρ ἐν κοιτῶνι κατακειμένη κλισία, οὐ πρὸς καθέδραν, ἀλλὰ πρὸς ἀνάπαυσιν ἐστὶν ἡ σκηνὴ αὐτοῦ. Κλισία, παρ᾽ Ὁμήρῳ λέγεται ἔστι καὶ εὐτελὴς οἴκησις, ἐστὶ καὶ καθαρὰς αὐτῆς, καὶ κλίσιον, καὶ κοῖλος, καὶ ἔπαυλις. οἱ μὲν οἶκος ἢ δῶμα ἢ μέγαρον. λέγεται καὶ κλισμὸς, ἤγουν θρόνος, ἔχων τι ἀνάκλιντρον ὅπου καὶ τάπης ἐξ ἐρίων ἐπίκειται προσκεφάλαιον δηλαδή. Κλισία, ἡ στρατιωτικὴ σκηνή, ἐπὶ στρατοπέδου κατεσκευασμένη, σύγκλισις, οὐδὲ καλύβη, καὶ ἡ καθέδρα. ὡς ἐν τῷ κλισίῃσιν ἐϋτυκτοῖσιν ἴθυνε. τὸ μὲν ἀπὸ τῆς κατακλίνεσθαι, τὸ περιέχεσθαι. καλλιστεύει γὰρ Ὅμηρος τὸ κατακλίνεσθαι, ἐπὶ οὖν τίθεσι τῆς συμμαχίας μέσον. ὡς ἐν τῷ ἐκκλίνεται, χώρας δηλῶν ὅτι μοῖραν ἔχοντας, ἤγουν συγκεκλεισμένοι εἰσί, καὶ συνεχόμενοι. τὸ δὲ ἀπὸ τῆς κλίσεως τὸ ἀποφεύγειν, καθὸ λέγεται τὸ ἀσσίως κεκλιμένοι, ἤγουν ἐκφερόμενοι. κλίνει δὲ καὶ κλιντήριον, ἀπὸ τῆς ἀνακλιθῆναι. ὀρθὸν μὲν τὸ σῶμα ἰσταμένως. λαμβάνεται δὲ ἐν τῷ καθίζεσθαι, καὶ ἐνταῦθα ἐπὶ τῆς ἐννοίας ἐν τῷ καθέζεσθαι, ἀνακλίνεται. Κλισίον, κατάκλιτον, ἢ βάσις, ἐφ᾽ ἧς τίθεται ὁ θρόνος.

Κλίσιον, οἰκίσκος ἤτοι εὐτελὴς, καὶ οἷον ἐκ κλισία, περὶ ὃν ἀπὸ τοῦ ἰσιοῦν. παρὰ μὲν γὰρ τοῖς ἀττικοῖς τὸ κλίσιον ἁμαξῶν καὶ ζευγῶν ἐστὶ δηλαδή. λέγεται δὲ ἡ γυμνάσιον παρὰ τῶν παλαιῶν ἐπάνω καλεῖν. διότι μέγα τι ἐν τῷ παλαιῷ τῶν ὄχων δοκεῖ, κλίσιον εἶναι τὸν σηκὸν τῶν προβάτων. γράφεται δὲ καὶ διὰ διφθόγγου κλείσιον. θυρῶν, ἐν ᾧ ξύλα ἵσταται. καὶ κλεισίαι αἱ λέξεις. πυλῶνες, πλατεῖαι θύραι, δι᾽ ὧν καὶ ξύλα εἰσέρχεται. Αἴλιος Διονύσιός φησι, κλίσιον ὡς κλινίδιον, καὶ ὅτι θυρῶν τῶν μίσθων. καὶ κλεισίαι αἱ πύλαι θύραι πλατεῖαι, καὶ εἰς τὸ ἐντὸς ἀνοιγόμεναι, παρὰ ἀττικοῖς κλίσιον, ὁ μέγας θυρών. Ὅμηρος δὲ οὐ σαφῶς ἐμφαίνει δηλοῦν οἶκον εἶναι παρ᾽ αὐτῷ τὸ κλίσιον.

Κλίσις, ἡ κατ᾽ ἄκρα κίνησις. Κλίσις ἐστὶ λόγου ἐπὶ τὸ ἐπὶ τὰ δεξιὰ κλίσις, ἐφ᾽ ἧς κλίσις, ἡ ἐπὶ τὰ ἀριστερὰ κλίσις. ἐπ᾽ ἀσπίδα κλίσις ἐστι, καὶ αὕτη ὁμοίως ἐπὶ τὰ ἀριστερὰ κλίσις, ἡ πρόσκλισις, παραγγελία εἰς ἐρίσιν, οὕτω Δημοσθένης. Κλισμοὶ, θρόνοι ἔχοντες ἀνακλίσεις. παρὰ τὸ κλίνω, τὸ ἀνακλίνω. Κλισμοὶ, θρόνοι, ἢ ἀνακλιντήρια. Κλίσις, ἀνομασία.

Κλῖτα, κοιλ, ἢ ἐλλεῖπον εἰς τὸ κατακλίνεσθαι. Κλῖτα, τὰς ἀνακλίσεις τῶν ὀρῶν καὶ βάθρας. Κλιτόριον, πόλις Ἀρκαδίας. Κλιτόριον, ὄνομα πόλεως. ἀπὸ τοῦ κλύω, κλιτόριον, πρὸ τοῦ ν εἰς ι. ἔστι δὲ καὶ πηγὴ ἐν ταύτῃ τῇ πόλει, ἧς ὁ γευόμενος ἀποστρέφεται τὸν οἶνον. σημαίνει δὲ καὶ τὸ αἰδοῖον τῆς γυναικὸς. ὅθεν καὶ κλιτοριάζειν λέγεται, τὸ αἰσχρῶς ἅπτεσθαι.

Κλῖτος, τῖρος πλάγιον. πλύνεται ἐκ τοῦ κλίτος ὂν, ὁ Ταλμουδός φησι. Κλιτὺς, τόπος κατωφερής. Κλιτὺς, κατὰ ἢ παλαιούς, τὰ ἀνακλίματα καὶ ἐξέχοντα τῶν ὀρέων, παρὰ τὸ κλίνεσθαι. ὅθεν καὶ παρὰ τὸ ἀνακλίνεσθαι τὰ ἄλλα καὶ ἄλλως δὲ φράσαι, ἐκλιτὺς οἱ προκλιμένοι καὶ προπεπτωκότες ἐν ὄχθῃ· ἐπὶ τόπου, οὓς αἱ χαράδραι παραγινόμεναι καταρρέουσιν. ὅτι δὲ καὶ ἐξοχὰς ἔχει αἱ ἐκλιτύες δηλοῦσι, λέγομεν ἐν τοῦ ἀναπτύσσειν χαράδραι. τὰ γὰρ ἐξέχοντα καταρρίπτοντα, χαραδρούμενα τῶν ἀπ᾽ αὐτῆς ἐξ οὗ ἡ χαράδρα παρήγετο. Κλεὶς, ὁ λαιμὸς, ὁ περιεχόμενος ὑπὸ τοῦ τραχήλου τῶν ποδῶν, καὶ ὁ ζυγὸς, καὶ ἐξ ὑπάρχει περιτίθεσθαι τοῦ τραχήλου, διὰ διφθόγγου, καὶ μέρος τι τῆς νηός. Κλοιὸς, καὶ ξύλα, τὰ σίδηρα, ἃ φοροῦσιν οἱ καταδίκοι, παρὰ τὸ κλείω κλοιός. κλείω γὰρ περικλείεται. Κλοίφιον, κλεῖθρον. Κλοιωτὰ, δεσμοὶ διαβαλλόμενα. κλοιὸς γὰρ, εἶδος δεσμοῦ περιτραχηλίου.

Κλοιώτης, ὁ δεσμώτης. Κλονεῖ, ταράσσει, φθείρει, φοβεῖ. Κλονεῖται, φθείρεται, ἔρχεται. Κλονέοντο, ἐθορυβοῦντο, ἐταράττοντο, καὶ τὰ ὅμοια. Κλόνον, ἰχίον, ῥάχις, ὀσφύς, τὰ αὐτὰ καὶ τὰ ὅμοια. Κλόνος, ἑρμηνεύεται, σεισμὸς ὁ μάχιμος καὶ γυναῖος. καὶ χλωρῶν, παροξύνεσθαι παρὰ τοῖς παλαιοῖς, καθὰ καὶ τὸ χειλὸς, καὶ ὄλος, ὡς κόνον τρίβραχυ. Κλονέοντα, ταράσσοντα, ἀπὸ τοῦ κλονῶ. Κλόνος, ὀργὴ, καὶ σεισμὸς παρὰ τὸ κλόνος ἐξαίρεται αὐτὸν Ἀπίχαρης γάστηρ, καὶ ἡ ταραχὴ, καὶ ὁ θόρυβος. Κλονούμενος, ταρασσόμενος. Κλοπαὶ, παραλογισμοί. καὶ κλοπεῖς, ἀντὶ τοῦ ἐξαπατηθείς. Κλοπιεῖον, παραλογίζεσθαι, ἀπατᾶν, κλεψιγαμεῖν, τρυπησῆσαι. Κλοπιτεύειν, κλοπιτεύειν ἀφαιρεῖν ὑπὸ τῆς κλ.

Κλοπεύς, παραπαίων μάχαιρα, ταρίχιον. Κλοπιφορεῖν, τὸ ἐν κλοπῇ φέρειν. Κλοπαντὸς, ἐξαλλάξαντος, ἀλλαξάντος.

Κλοπητήριον, ὃ καὶ ἑξῆς ταῦτα παρὰ τῷ ποιητῇ, καὶ δηλοῖ κατὰ τοὺς παλαιοὺς τὸ κλοπιμαῖον, καὶ οἷον παρακλέπτων τὴν καιρὸν, ἢ τὸ κλοπητήριον, καὶ οἷον καθαλογεῖν. καὶ κλοπαῖς ἐπιθυμητὰ ἐκδιατρίβειν, καὶ οὕτω κατηγορεῖν ἐν κινεῖ. Κλάδιον, πίλημα. Κλοιὸν, χώρα. καὶ ἡ τοῦ ἐλατῆρος φορά, ἢ κινοῦντος σφαιρίσεως. Κλυδάζεται, ταράττεται, παραφρονεῖν. Κλυδώνιον, τὸ κῦμα τῆς θαλάσσης, ἀπὸ παρὰ τὸ αἰγιαλὸν

ἢ δὲ ἔξωθεν στόμιον, καὶ ἀπολαύμενον, καὶ ἐπιζυγοῦντα τὴν θύραν. Κλεῖδα, ἀντὶ τοῦ κλεῖδα. καὶ περονίδαρον, ἀντὶ τοῦ περονίδαρον. Κλεῖδας, τὰς κλεῖδας. Κλεῖδες, παρ' Ὁμήρῳ ἐν ὀδυσσείᾳ ἐν τῷ ς', ἐκεῖ λεγόμεναι κατακλεῖδες, εἰς ἃς αἱ κῶπαι καθίσταται. Κλεῖδες, αἱ τῶν ἐρεσσόντων καθέδραι. καὶ φεύγει σὺν νηυσὶ πολυκλήϊσι καλύσω, παρὰ τὴν κλάσιν τῶν γονάτων. ἔστιν καὶ τὸ μετακλείζειν, παρὰ τὸ ἐγκλᾶν, καὶ ἐπικάμπτειν τὰ γόνατα. Κλειζόμενος, φημιζόμενος. Κλείζω, τὸ καλῶ. Κλεῖθρον, ὁ περὶ τὴν καταλύουσιν τόπος ὑπὸ τοῖς κατοικίοις, παρὰ τῷ Ἱπποκράτει. Κλεὶς ἡ τῶν ἐρεσσόντων καθέδρα. κλεῖδες, τὰ ζυγὰ, ἐφ' ὧν οἱ ἐρέται κάθηνται.

Κλεὶς, πολλὰ δηλοῖ. ὥσπερ καὶ τὸ κλειδίον, καὶ ἡ κλείς. λέγεται καὶ ἐπὶ μέρους τινῶν, ὡς Ἀθήναιος παρασημειοῦται. οἷον κλεῖδες μὲν ὀπταὶ διασπαρθεῖσαι... πρὸς ὅπερ νοούμενον ἴσως, τὸ ἄρα αἱ τὰς θύρας κλείουσιν· λέγεται ἀπέκαυσε, τὸ θύειν μὲν τῶν σεμνῶν βρῶμα. οὕτω δὲ καὶ ὀρφῶν κλειδία, οἷον ἐν γαλεῖοις τὰ κλειδία τῶν ὀρφῶν, καθ' αὐτὰ ταριχεύονται κλειδίων θύραν, χρῆσις παρὰ τῷ κωμικῷ, ἐκέτο ἡ κακοτεχνήσασα κλειδία, τὰ κρυπτὰ καὶ δυσεπιβούλευτα.

Κλείζετε, ὑμνίζετε. Κλεῖσαι, οἱ ἀρχαῖοι λέγουσιν οὕτως, οὐ κλεῖσαι, ὡς κλεῖδα. Κλεῖσι, ταῖς κατακλεῖσι τῶν κωπῶν. Κλειδοῦσθαι, ἀντὶ τοῦ κλειδοῦσθαι Ἰωνικῶς λέγουσι. διαλύουσι γὰρ τὴν ει δίφθογγον, εἶτα ἐκτείνουσι τὸ ε εἰς η.

Κληϊσταί, ἠσφαλισμέναι. Ὅμηρος, κληϊσταὶ δ' ἐπέθηκε σανίδας πυκινῶς ἀραρυίας. Κλῆμα, ἀπόσπασμα. Κλημακίδων, τραχεῖαν καὶ ὀρθήν. Κληματίδες, αἱ ἐκ τῶν κλημάτων δέσμαι. Κληματίς, ἡ ἄμπελος. Κληρικοί, ἱεροὶ καὶ ἅγιοι. Κληροδοσία, κλῆρος, μερίς. Κληροδοτεῖσθαι, λαχμῷ δίδοσθαι. Κλῆροι, αἱ δύο διαθῆκαι. Κληρονόμος, παρὰ τὸ κλῆρος καὶ τὸ νέμω. τὸ δὲ κλῆρος, παρὰ τὸ κλῶ. ἢ διὰ τὸ κλᾶν καὶ τὸ ξύλον, κλῆρος γίγνεται. ἐπειδὴ ἐν ξύλῳ οἱ κλῆροι ἐχαράσσοντο. Κληρονομῶ, ὡς ἐπὶ τὸ πλεῖστον μὲν, γενικῇ συντάσσεται. ἅπαξ δὲ, αἰτιατικῇ. Δημοσθένης, πῶς ἀλλοτρίων γε κακῶν ἄξιον κληρονομῆσαι. Λουκιανὸς, ὡς κληρονομήσοιμι τῆς βακτηρίας αὐτοῦ. καὶ αὖθις κληρονομήσει ἀποθανόντος ἐμοῦ τὰ κτήματα. κληρονομῶ τόνδε ἡ ἀρχαία χρῆσις οὐ λέγει, ἀλλὰ τοῦδε. Κληρονομῶ, ὅτι σημαίνει τὸ μετέχω καὶ λαμβάνω, γενικῇ. Κλῆρος ἐστὶ σημεῖον, ὃ, ὡς ἐμβάλλει τῷ ἀγγείῳ τοῦ λαχμοῦ, ψηφὶς τυχὸν ἢ δακτύλιος, ἢ βῶλος ὑγρὸς, κατὰ Σοφοκλῆν, ἤ τι τοιοῦτον. τὸ δ' αὐτὸ, καὶ πάλος λέγεται. ἀλλὰ τὸν μὲν παρὰ τὸ πάλλω, τὸ κινῶ. κλῆρος δὲ, ἀπὸ τοῦ τέλους τῆς κινήσεως. παρὰ τὸ κλῶ, τὸ καλῶ, διὰ τὸ ἕκαστον δηλοῦντος καλεῖσθαι ὡς εἰς ἔργον, ἢ μᾶλλον ἀπὸ τοῦ κλᾶν τὸ ξύλον, κατὰ Ἡρακλειανόν. ὡς ξύλων μάλιστα πάλλεσθαι διαδεδομένων τοῖς τοιούτοις. ἰστέον δὲ, ὅτι ὁ μὲν κλῆρος, καὶ πάλος λέγεται, κατὰ πολυωνυμίαν. παρὰ δὲ τοῖς ψῆφον, ἀπὸ τοῦ κλήρου, καὶ τὸ κληροῦν, καὶ τὸ κληροῦσθαι λέγεται. οἱ παλαιοὶ κλήρους νοοῦσι, καὶ τοὺς ὑπὲρ μαντείας μισθούς. ἐν δὲ τῷ Δέλτα κλήρους ἐνδεδειγμένος, κλήρους λέγει οὐ τὰς μαντείας, ὃ σημαίνεται δια δεδόμενα τῷ μάντει, ἐξ ὧν ὁρώμενος προείρηται.

Κλῆρος, οὐσία, ἢ λαχμός. λέγεται κλῆρος, καὶ τὸ σύστημα τῶν διακόνων, καὶ πρεσβυτέρων. κλῆρος ὡς ἡ κληρονομία. κλῆρος, μέτρον γῆς. ὅθεν καὶ οἱ κληροῦχοι, ἀντὶ τοῦ οἱ τοὺς κλήρους ἢ τὰ μέτρα τῆς γῆς κατέχοντες. Κλῆρος, τὸ βαλλόμενον εἰς τὸ λαχεῖν, ἢ ψῆφος, ἢ οὐσία, ἢ μέρος, καὶ συνεκδοχικῶς ἐν σημείοις γινόμενον. Κληρούτη, διαιρείτη. Κληρουχία, διανομή.

Κλήρῳ σῆμα λέγει Ὅμηρος, ἡ περιφραστικῶς τοῦ κλήρου. ἢ κλῆρον μὲν, τὸ σῆμα τὸ διδόμενον παλλεσθαι. σῆμα δὲ, τὸ ἐν αὐτῷ γεγονὸς σημεῖον. διό φησι κλῆρον ἐσημήναντο ἕκαστος, οὐ γράμματα δηλονότι ἐξηπίσταντο· τὰ τοιαῦτα σήματα, εἴδωλα δὲ ἴσως, ἢ ἁπλῶς ἐκτυπώματα ἐν ὑποκειμένῳ ἐπιτηδείῳ ἐκδόσιμον, ἢ ξυλαφίῳ, ἢ τοιούτῳ τινί. Κληρουχικὸν, κλῆρα τῶν Δημοσθένης, ὡς ὄχλος τῶν τὴν ἰδιωτικὴν λέγει, τὴν ὑπὸ κλήρου διδομένην, τὴν τελοῦσαν. ἐπειδὴ οἱ Ἀθηναῖοι λαμβάνοντες πόλιν πολεμίαν, καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, κλήρῳ τὴν γῆν αὐτῆς διένεμον. ἢ κληρουχικὴν λέγει, τὴν γεωργικήν. κληροῦχοι γὰρ οἱ γεωργοὶ, διὰ τὸ ἢ αἰγυπτίοις κλήρῳ μερίζειν τὴν αὐτῶν γεωργίαν. Κληροῦχος, γεωργός. Κληροῦχοι. κληροῦχοι ἐκαλοῦντο, οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις ἃς ἐλάμβανον, κληρούχους ἐκάλεσαν διανεμοῦντες. Κληροῦχος, ὁ δεσπότης, καὶ ὁ γεωργός. Κλήρων, μερίδων.

Κληρώσω, μερίσω. Κληρωτὰς λέγει Δημοσθένης, τὰς κληρωτικὰς ἀρχάς. Κληστάδας, τὰς θύρας τῆς σκηνῆς.

Κλησίδιον, σίναπι. Κλῆσιν, τὴν μαρτυρίαν λέγει Δημοσθένης ἐν τοῖς κατ' Ἀφόβου. καὶ κλῆσιν, λέγει ὁ αὐτὸς ἐν ταῖς κατ' Ἀφόβου, τὴν ἐν ταῖς δίκαις εἰσαγωγήν. καλοῦνται γὰρ εἰς τὰ δικαστήρια. κλήσεις δὲ τῶν δικῶν τῇ λ' φασὶ γίνεσθαι, ὅπως ὁ κληθεὶς εἰς τὴν δίκην ἔχῃ τὴν τριακοστὴν ἡμέραν εἰς τὸ σκέψασθαι περὶ αὐτῆς, καὶ μὴ ἀπροσκέπτως ζημιωθῇ. κλῆσις μὲν ἐστὶν, ἡ εἰς ἕν τῶν δικαστηρίων. πρόσκλησις δὲ, ἡ εἰς ἄρχοντα πρόσοδος. Κλῆσον, ἀντὶ τοῦ κλεῖσον παρὰ τῷ κωμικῷ, ἐκ τοῦ κλείω, κατὰ συναίρεσιν κλῆσον. Κλητεύω, καλεῖσθαι διασκευήν. Κλητῆρας, μαρτυρίας. Κλητὴ, νομή. Κλητῆρα, τὸν καλοῦντα, ἐν φρουροῖς. Κλητὴ, ἡ καλουμένη καὶ ὁ ἐξοχωτάτη. ὡς τὸ, αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα. κλητὴ δὲ, κλεινή. ἡ ἐνδοξος, δίφθογγον. κλιτὴ δὲ, ἡ κλινομένη ἰῶτα. Κλητῆρες, οἱ καλοῦντες εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα. καὶ κλητεῦσαι δ' ἔστι, τὸ κλητῆρα γενέσθαι. ὡς ἰστέος ἐν τῷ κατὰ Κλεομέδοντος. λέγεται δὲ κλητεύεσθαι καὶ ἐκκλητεύεσθαι, ἐπὶ τῶν μαρτύρων, ὅταν μὴ ὑπακούωσι πρὸς τὴν μαρτυρίαν ἐν τοῖς δικαστηρίοις. καὶ ἦν ἐπιτίμιον κατ' αὐτῶν δραχμαὶ χίλιαι, ὡς ἰστέος ἐν τῷ ὑπὲρ τίθωνος ἀπολογίου. Κλῆτος, τὸ πλῆθος. κλῖτος δὲ, τὸ μέρος καὶ κλίμα, καὶ κλίματα, τὰ μέρη, ἰῶτα. καὶ κλῆτος διὰ τοῦ η, σημαίνει τὴν ἔλευσιν καὶ τὴν συνέλευσιν.

Κλῆτος, δόξα. Κλυτὸς, ὁ καλούμενος, ὡς μὴ ὁ αὐθαίρετος ἐλθών. Κλητικὰς, καὶ κλητικίας, ἔπεσιν οἱ ἀττικοὶ ἐκφέρουσιν. οἷον, ὦ οὗτος, ὦ φίλος, κλῆσις λεῖται φέρουσι πρόσφωνα. Κλητικὰς ἐκφέρομεν, ἀντὶ εὐθειῶν, τῶν ἀξιώσεων. οἷον νεφεληγερέτα Ζεὺς, ἀντὶ τοῦ νεφεληγερέτης. Κλητορεῖ, κλήτορες. Κλητήρ, καλούμενον, κλῆσιν. Κλήτωρ, κῆρυξ, ἄγγελος, ὑπηρέτης, μάρτυς. Κλητόμενον, κλοπιμαῖον, τὸ ἀπὸ κλοπῆς πρᾶγμα. Κλητώμενον, ὁ βασιλικὸς δέξα, ἢ τράπεζα. Κλίβανος, φοῦρνος, ἢ καμινός. Κλίδια, τάραχος. Κλιθῆναι, ἀνακλιθῆναι, ἀνακλῖναι. Κλίμακα καὶ κλιμακωτὸν λέγουσιν οἱ παλαιοί. ἕτεροι δὲ ἐπαναδιπλῶσιν. γίνεται δὲ σχῆμα κλιμακωτὸν, ὅταν τὸ λῆγον τῆς φθανούσης ἐννοίας, ἀρχὴ γίνεται τῆς ἑτέρας. οἷον ὡς εἴ τις εἴποι, ὁ βασιλεὺς ἀγαθός. ὁ ἀγαθὸς, ἀγαθὰ ποιεῖ. ὁ ἀγαθὰ ποιῶν, εὐεργετεῖ. ὁ εὐεργετῶν, θεὸν μιμεῖται. τοιοῦτον δὲ, τὸ ὕφασμα μὲν ἔλυσε Διὸς, ζεὺς δὲ τῷ Ἑρμῇ, Ἑρμῆς δὲ, καὶ τὰ ἑξῆς. Κλιμακίδες, ὁ δερματινὸς δίφρος. Κλίμακες, πάλης εἶδος. Κλίμα, τόπος. Κλίμακες, ξύλα ὀρθά. Κλιμάζω. δίναρχος, ὅταν εὖ κλιμάξῃ, καὶ παράγει τὸ σῶμα, ἀντὶ τοῦ παρακλίνῃ, καὶ τρέπῃ. μήποτε δὲ δεῖ γράφειν κλιμάζει, ἀντὶ τοῦ θλίβει καὶ βιάζεται. Κλιμακισμὸς, πάλαισμα ποιόν. ὡς διακλιμακίζεις, τὸ διακαλαίζεις. Κλίμαξ, ἡ σκάλα, ἢ εἶδος παλαίσματος. Κλιμακίζω, τὸ ἀνατρέχω. Κλιμακίδωσαν, κλίμακα ἔχουσαν ὑψηλήν. Κλιμακίσαι, πάλαισμα ποιόν. Κλιμακτῆρες, οἱ τῆς κλίμακος βαθμοί.

Κλίμακα,

ἀρπαζόμενοι παῖδες. Κλεινὸς, ὡραῖος, ἔνδοξος, ὀνομαστός.

Κλείοιμι, ἄδοιμι. Κλείομαι, ἐπικαλοῦμαι. Κλείουσαι, ὑμνοῦσαι. Κλεισίον, πυλῶν, ὅπου ζεύγνυσιν ἢ τεῖχος εἰς καλεῖν. Κλείσιος, κόσμος τις τοῦ καλουμένου γείσου.

Κλεῖθρον, κλειδίον. [illegible]

[illegible]

καλείσθαι, καὶ κλῆρος. [illegible] Κλίνη, ὀφθαλμὸν, [illegible] Κλισμὸν, [illegible] Κλίνω, τὸ κλίνομαι, [illegible]

Κλαύθμον, [illegible] Κλαυθμὸς, [illegible]

[illegible]

Κλαζομένιοι, οὕτω κωμῳδοῦνται, δοκοῦσι γὰρ ἐπικεχωρικέναι προστιθᾶν. Κλαζομένιος. οὗτος Ἡρακλείδης, ὁ κλαζομένιός τε καὶ ὁ βαιὸς καλούμενος. Κλαζομένια, καὶ κλαζομεναὶ, πόλις. Κλαζομενίοις, ἀντὶ τοῦ εἰπεῖν τορεύομαι εἰς ἀγῶνα, τορεύομαι σὺν ἀγῶνι φασὶν. ὡς καὶ ἐπὶ λέφυρον, σὺν πατρίδι βαίνω, ἀντὶ τοῦ εἰς τὴν πατρίδα πορεύομαι. Κλαζόντων, κραυγαζόντων. Κλάζειν, βοᾶν, διασχίζειν, καίειν, ἢ κελεύειν, ἀντὶ τοῦ σημαίνειν διὰ ψόφου τὴν πορείαν. Κλαιήσει, κλαύσεται. Κλαυθμύρισμα, ἀμβαβαίνως. Κλαίω, κλαίω λέγουσιν ἀθηναῖοι. οὕτω δὲ καὶ τὸ καίει καίω, αἰεὶ ἀεὶ, αἰετὸς ἀετός. αἰολεῖς δὲ τὸ παλαιὸς καὶ ἀχαιὸς καὶ ἑταῖρος, παλαὸς καὶ ἀχαὸς καὶ ἑταῖρος. ἴωνες δὲ σὺν ἀττικοῖς τὸ χρύσεος ἀργύρεος χάλκεος, καὶ τὰ ὅμοια χρυσοῦς φασὶ καὶ ἀργύρεος καὶ χάλκεος. ὡς δὲ οἱ αἰολεῖς πολλάκις ἐν ταῖς διφθόγγοις οὐκ ἀποβάλλουσιν, ἀλλὰ ἀρκοῦνται μόνῃ διαστάσει, ὡς ἐν τῷ ἀγριάδας αἰγιάδας ἀργίος, ἐξ ὧν τὸ ἀγριάδας αἰγιάδας ἄργιος. δηλοῦσι καὶ αὐτοὶ οἱ παλαιοί. Κλαιὸν, τὸ κατόν. καὶ κλαΐς, μοχλός. Κλαίω, διχῶς παράγωγόν ἐστιν ἐκ τοῦ κλῶ, τὸ κλαίω. διακλᾶται γὰρ ἡ φωνὴ τῶν ἀνθρώπων διὰ τοῦ κλαίειν, καὶ ἡ ψυχὴ ἐστιν ἢ τὸ κλᾶσθαι παρέχουσα. ἢ ἀπὸ τοῦ κλῶ, κλαίω, τοῦ σημαίνοντος τὸ καλῶ. εἰώθασι γὰρ οἱ ἄνθρωποι καλεῖν τοὺς ἀποθανόντας ἐν τῷ κλαίειν καὶ θρηνεῖν. ἢ ἐκ τοῦ καλῶ, κλαίω, καθ' ὑπερβίβασιν. εἰώθασι γὰρ οἱ κλαίοντες ἀνακαλεῖσθαι τοὺς τεθνεῶτας, τὸ παθητικὸν κλαίομαι. αἴτιον τῆς τῶν παθητικῶν ῥημάτων γενέσεως, ἡ τῶν ἐνεργητικῶν πλαγίων μετάβασις, εἰκότως, καὶ τὰ παθητικὰ ἄρα τῶν προειρημένων ἐνεργητικῶν τοῦ κλαίω καὶ θρηνῶ καὶ τῶν ὁμοίων ὑφίστανται. Κλαίω, κλαύσω. καὶ καίω, καύσω. διά τι ἐπλεόνασε τὸ υ ἐπὶ τοῦ μέλλοντος τοῦ κλαίω καὶ καίω. ἐπὶ δὲ τοῦ παλαίω παλαίσω, καὶ πταίω πταίσω, καὶ παίω παίσω, οὐκ ἐπλεόνασε τὸ υ. ἐπειδὴ ἐφ' ὧν οἱ ἀθηναῖοι τὸ ι ἀποβάλλουσι κατὰ τὸν ἐνεστῶτα, ἐπὶ τούτων ὁ μέλλων πλεονάζει τὸ υ. καὶ ἐπειδὴ ἐπὶ τοῦ καίω καὶ τοῦ κλαίω ἀποβάλλουσι τὸ ι, καὶ λέγουσι κλάω καὶ κάω, τότε χάριν πλεονάζει κατὰ τὸν μέλλοντα τὸ υ. Κλαίεσθαι, δηλοῖ καὶ τοῖς ὑπερκοῖς ῥήμασι προσέρχεσθαι τὴν θα ἐπέκτασιν. Κλαμαρὰν, κλαδαρὰν, ἀσθενῆ. Κλαμμὶς, ἀναδενδράς. Κλαμοῦσαι, βοῶσαι, καλέσαι. Κλᾶν, κάμπτειν, ἀποδίζειν, τέμνειν ἀμπέλους, ὅπερ ἡμεῖς κλαδεύειν. Κλᾶν τὰς ἀμπέλους, οὐχὶ κλαδεύειν. Κλᾶν, ὀνοματοποιεῖται, καθὰ καὶ τὸ θλᾶν, καὶ τὸ θραύειν, καὶ ὅσα τοιαῦτα. Κλανία, φύλλα βραχίονος.

Κλάξαι, κλεῖσαι. Κλαξῶ, ἀντὶ τοῦ κλείσω λέγουσι δωριεῖς. Θεόκριτος, τὰν αὐλὰν ἀπέκλαξον. Κλάσιος, κλάσσος, δωρικῶς. Κλαπάζειν, χενίζειν. Κλαρεγοῦ, ἐλαφροῦ ἑκατέρᾳ. στολαί. Κλάραι, φοινὶξ τὸ δένδρον. Κλάροι, αἱ ἐπὶ ἐλάφους ἐσχάραι. Κλαρία, κληρία, κλάμματα, ἀμπελόφυλλα, ἢ χωρίον, κλῆροι. Κλᾶσαι, τὰ φύλλα. Κλάρον, ἀμπελόφυτον, καὶ ἐπίθετον ἀπόλλωνος. Κλάδοι, κλάδοι, δοῦλοι. Κλαρά, φύλλα. Κλάρος, πλησίον κολοφῶνος, ἱερὰ ἀπόλλωνος, καὶ χρηστήριον τοῦ θεοῦ, ἀπὸ μαντοῦς τῆς τειρεσίου θυγατρὸς καθιδρυμένον. ἢ ἀπὸ κλάρου τινὸς ἥρωος, ὡς Θεόπομπος. Νίκανδρος δέ φησιν ὅτι κατὰ κλῆρον ὁ ἀπόλλων ἔλαχε τὴν πόλιν, καὶ ἀπὸ τοῦ κλήρου οὕτως αὐτὴν ὀνομάζεσθαι. οἱ δὲ τὴν βοιωτίδα γεγραφότες φασὶν, ὅτι ὑπὸ τῶν ἐπιγόνων ἀκροθίνιον ἐπέμφθη. μαντὼ ἡ τειρεσίου θυγάτηρ εἰς δελφοὺς πεμφθεῖσα, καὶ κατὰ χρησμὸν ἀπόλλωνος ἐξερχομένη, περιέπεσε ῥακίῳ διὰ λέβητος ὕψει, μαχαίρᾳ τὸ γένος. καὶ γαμηθεῖσα αὐτῷ, τοῦτο γὰρ περιεῖχε τὸ λόγιον, γαμεῖσθαι ᾧ ἂν συναντήσειεν, συνεκπλεῖν ἐκείνῳ εἰς κολοφῶνα, κἀκεῖ δυσθυμήσασα, ἐδάκρυσε διὰ τὴν τῆς πατρίδος πόρθησιν. διόπερ ὀνομάσθη κλάρος, ἀπὸ τῶν δακρύων. συγγενὲς γὰρ διὰ τὸ δ τὸ ρ, ὡς ὑφηλοί, ἀντὶ τοῦ ὑφηροί, λέγεσθαι δὲ καὶ κρήνην ἀναβλῦσαι ἀπὸ τῶν δακρύων μαντοῦς κατὰ κλάρον, καὶ μαντεῖον ἐκεῖ ἀπόλλωνος αὐτὴν κατασκευάσαι. οἱ δὲ κλάρον φασὶ κληθῆναι, διὰ τὸ κληρώσασθαι ἐκεῖ σπονδὰς καὶ ὅρκια. ὁ δὲ ῥήτωρ οὕτως ὠνομάσθαι, διὰ τὴν πολυχρονιότητα καὶ παλαιομυθίαν. Κλαρῶται, εἵλωτες. Κλάθιον, κλεῖθρον. Κλασιβώλακα, τὸ τὰς βώλους διαιροῦντα, χαλκὸν ἀροτρήτην κλασιβώλακα σιδήρεον.

Κλάσις, ἐπὶ ὑδάτων, ἢ τοιούτων ἐστίν. καὶ τὸ κλᾶν, ἐπὶ φυτῶν. θραύειν δὲ καὶ συντρίβειν, ἐπὶ ξηρῶν. ἔτι δὲ συντρίβειν κυρίως, τὸ εἰς χοῦν λεπτύνειν. Κλάσματα, συντρίμματα, θρύμματα. Κλάσμα, τὸ ἀκρωτήριον λέγουσιν ἴωνες. Κλασάσας, οἱ μὲν κλονήσας, καὶ διασείσας, οἱ δὲ κραυγάσας. βέλτιον δὲ κλάσας, ἀπὸ μεταφορᾶς τῶν τεμνομένων κλημάτων. ἄλλως ἐκ ῥιζῶν ἀνατρέψας, ὅθεν κλασίκοπον, τὸ δρέπανον, ᾧ ἐκκαθαίρουσι καὶ ξύλα καὶ κλήματα ἐν ταῖς ἀμπέλοις. Κλασάσας, κατάξας, καλαίσας, κατακαυχήσας, ὑποτάξας, κλονήσας. Κλασίκοπον, δρέπανον τὸ τῆς ἀμπέλου. Κλάσας, ἀμπελουργός. Κλαυθμὸν, λαμπρυνάμενος τὰς ὄψεις.

Κλαυσῶ, κλαίω, μέλλων κλαύσω, παρὰ τοῖς κοινοῖς ἐν χρόνῳ. ἀττικοὶ κλαίσω λέγουσι, διαλύοντες τῆς διφθόγγου, καὶ τροπῇ τοῦ ι εἰς η. εἶτα τοῦ η εἰς α, καὶ προσγεγραμμένου τοῦ ι, κλαισῶ δωρικῶς. δωριεῖς δὲ καὶ κλαίξω εἶναι παρ' αὐτοῖς, ἐπὶ τούτου σημαινομένου. ἀφ' οὗ μέλλων δωρικὸς κλαίξω, καὶ τροπῇ τοῦ η εἰς α, καὶ προσγεγραμμένου τοῦ ι, κλαίξω, κλαξῶ, ἀφ' οὗ κλάξ καὶ κλαΐς. Κλαυθμὸν γυναικεῖον φράζει. Ὅμηρος, ἣ κλαῖε δ' ἄρ' ἐν λέκτροισι καθεζομένη μαλακοῖσιν, ἕως κλαίουσα κορέσσατο ὃν κατὰ θυμόν. Κλαυθμὸς, παρὰ τὸ κλαίω κλαύσω κλαυσμὸς καὶ κλαυθμὸς, ἢ παρὰ τὸ κλῶ, τὸ κλαίω. κλῶνται γὰρ αἱ φωναὶ τῶν θρηνούντων. Κλαυθμυριζομένων, κλαιόντων. Κλαυμακισάμενον, κλαύσαντα. ταραντῖνοι. Κλαυμαρεῖται, κλαίει, ἢ καίει. Κλαυστὰρ, κυρίως τὸ ὑγρὸν αὐτομάτως τὸ θύμον. Κλαῦσιν, ἀγῶνα, ἄθλος τι. Κλαυστὰρ, στάσιμον φωνήν. Κλάω, καὶ τὸ πλέω, καὶ ὅσα τὰς ἐπιτάσεις συζυγίας ἐστὶν ἐπὶ τοῦ μέλλοντος λαμβάνουσι τὸ υ, οἷον κλαύσω πλεύσω καύσω.

Κλέα, τὰς ἀνδραγαθίας. κλέος γὰρ ἡ δόξα καὶ ἡ φήμη καὶ ὁ λόγος, βοηθήματα, ῥήματα. παρὰ τὸ κλέεσθαι, ὅ ἐστιν ἀκούεσθαι. Κλειαστὸν, ὀνομαστόν. Κλειαστὴρ, ὀνομαστὴρ, ἐνδόξων. Κλεαρὶς, φυλή. Κληηδὼν, ἤγουν φήμη, ἢ καὶ κλεηδὼν καὶ κληδὼν, ἡ τῆς χρείας ὑπὲρ εὐχῆς, μάντευμα τοῦ μέλλοντος. καὶ διὰ τοῦτο καὶ φήμη ὀνομάζεται σιωπῶς, ἡ δὲ αὐτὴ καὶ σῆμα, ὡς μέλλον τι σημαίνουσα, καθὰ καὶ δηλοῖ τὸ ἔπος φαῖν σῆμα, τουτέστι σημεῖον. ἀναλόγως διὰ τὸ ὀδυσσεῖ καὶ τοιοῦτον μὲν ἡ κληδών. ἡ δὲ βροντὴ, τέρας κατὰ τὴν ἐξήγησιν τῆς χρείας, οὐ μὴν σῆμα, κατὰ τὴν δηλουμένην φήμην. ἔτι δὲ τέρας αὐτὸ, ὡς δίχα νέφους γεγονός. παρὰ φύσιν γὰρ παρ' Ὁμήρῳ ἐν ὀδυσσείας υ. Κληηδὼν, ἀπὸ τοῦ κλέω τὸ φημίζω, καθ' ὃ ἀπὸ τοῦ κλέξω δυσσύλλαβον, ὁ κλεηδών. οἱ δὲ καὶ τροπῇ κατ' ἐπέκτασιν ἡ κλεηδὼν ἐν τῇ ἀρχούσῃ, γίνεται κληηδών. Κλεηνίσος, ὁ μικρὸς, ὁ ὑπηρέτης βαλανέως. Κλεῖδα, ὑποδήματος εἶδος. κρῆτες. Κλεῖδες, ἀκρατεῖς. κύπριοι. Κλεῖθρα, μοχλοὶ, ἀσφάλειαι, πύλαι.

Κλείθροις, κλειδώμασι. Κλεηδόνα, κληδόνα, φήμην, δόξαν. Κλεῖ, ἐπαινεῖ, ὑμνεῖ. Κλείζω, δοξάζω. Κλευάζειν, παλαίειν, σκιλίζειν, ἀπατᾶν. Κλεύμασι, χωρίον εὐβοίας. Κλειμακτὴρ, κλίμαξ, βαθμὸς, ἢ χωρίον.

Κλείμαξ, καὶ κλειμακισμὸς, παλαισμα ποιόν. Κλείματα, ὑποδήματα. Κλεῖν, κλεῖδα. λέγειν, ἐνιφημίζειν.

Κλεῖνος, ἔνδοξος. Κλεῖοι, οἱ εἰς τὰ παιδικὰ ἐπὶ κάλλει ἁρπα-

ὀπώρας. Κίγρον, ὁ καρπός. Κίσσα, ἡ κίσσα, τῶν πτηνῶν ὄρνεον παραπλησίαν ἔχει τὴν φωνὴν, καὶ τὴν τῶν γενῶν διαλέκτων, τὴν τῶν ἀνθρώπων δύναται μιμεῖσθαι διάλεκτον, οἷον κισσᾶν καὶ ἐκκισσᾶν, καὶ τὰ ὅμοια. Κισσαί, πτύγεναι.

Κισσᾶν, ἐπιχεῖσθαι, ἐπὶ τῶν γυναικῶν ἐπιθυμιῶν. Κίσσαλος, μυρρίνη. Κισσάνδαλον, ἡ ἀρκεύθα. Κίσσανθος, ὁ κυανοῦς γίγαντος. Κίσσαρις, διάδημα, ὃ φοροῦσιν οἱ κύπριοι. οἱ δὲ τὰ διαδήματα φοροῦντες, κίσσαρεις λέγονται. Κίσσιον, ὁ αἰγίθαλος. [illegible] Κισσὸν, καλόν. [illegible] Κίσσυβα, τὰ κελύφη τῶν καρπῶν. Κισσῶ, καλῶ, χαρῶ, ἀγαθῶ. Κισύμια, [illegible]. Κίτυρα, πόλις. [illegible] Κιφὸς, μανικός. Κισσῶ, ἐπιθυμῶ, ἀπὸ τῶν ἐγκύων λεγομένων γυναικῶν, καὶ ἐπιθυμουσῶν ἐσθίειν. εἴρηται δὲ ἀπὸ τοῦ ὀρνέου τῆς κίσσης, ὅπερ ἐπιθυμητικῶς ἔχον, τῶν ἀκροδρύων ταχέως διαφθείρεται, ἐξ ὧν ἂν ἐσθίει, καὶ πάλιν ἑτέρων ἐπιθυμεῖ, καὶ [illegible] μεταβαίνει εἰς ἕκαστον τῶν δένδρων. Κιχάνειν, εὑρίσκειν, καταλαμβάνειν, εἰσπηδᾶν. Κιχάνω, ἀπὸ τοῦ κίω, τὸ πορεύομαι καὶ περιπατῶ, πλεονασμῷ τοῦ χ, γίνεται κίχω βαρύτονον, καὶ περισπώμενον κιχῶ, καὶ παράγωγον εἰς μι κίχημι. ὅθεν τὸ ὁμοίως μὲν βασιλέων κιχείη, εὐκτικὸν δευτέρου ἀορίστου, ἀντὶ τοῦ καταλάβοι. [illegible] κιχείη. γίνεται καὶ κιχῶ κιχείω, ὡς βρέμω βρεμείω, ἐκ τοῦ κιχῶ, παράγωγον κιχείω. τὰ διὰ τοῦ χω ῥήματα, μὴ ἔχοντα ὀνόματα ἀντιπαρακείμενα, οἱ μὲν βαρύνονται, διὰ τοῦ ε ψιλοῦσθαι. μὴ ἔχοντα ὀνόματα [illegible], διὰ τὸ λείχω τὸ καταλείχω. ὡς τὸ, καὶ τὴν χεῖρα ἔλειχεν. ἐξ οὗ καὶ λειχὸς, ὁ λαίμαργος, καὶ τραπεζολειχός. τὸ δὲ περισπᾶται, διὰ τοῦ ι ψιλοῦσθαι, κιχῶ, ἐξ οὗ τὸ [illegible] χεῦμα. καὶ αἶγα ὁμοίως καὶ διχῶ. ἐξ οὗ, διχάσαι [illegible]. σεσημείωται δύο, βληχῶ, ὃ [illegible] φωνὴ τῶν προβάτων. καὶ τὸ ἠχῶ, ἐξ οὗ ἤχησαν. ἐν δὲ τοῖς βαρυτόνοις, τὸ ὀλίχω. Κιχεῖν, κιχάνειν, ἀπὸ τοῦ κίω, τὸ πορεύομαι καὶ περιπατῶ. πλεονασμῷ τοῦ χ γίνεται κίχω βαρύτονον, καὶ περισπώμενον κιχῶ, καὶ παράγωγον εἰς μι κίχημι. ὅθεν τὸ ὁμοίως μὲν βασιλέων κιχείη, εὐκτικὸν δευτέρου ἀορίστου, ἀντὶ τοῦ καταλάβοι, ἐκ τοῦ κιχῶ παράγωγον. Κιχεῖν, κιχῆσαι, καταλαμβάνειν, εὑρεῖν, ἐγγίσαι. Κιχεὶς, καταλαβών. Κιχεῖτε, ἀττικὸν τὸ πάθος. ἐκ κιχῶ, κίχημι, ἐκίχην παρατατικὸς, ὁ μετοχὴ κιχεὶς κιχέντος, τὸ εὐκτικὸν κιχείην, κιχείη μεν κιχείημεν, κιχείητε κιχεῖτε, κιχείησαν κιχεῖεν. Κιχῆλαι, αἱ κίχλαι τὰ ὄρνεα. Κιχήμεναι, ἐκ τοῦ κίχημι, ὁ κιχαίνω, ἀφ᾽ οὗ τὸ κιχάνω, ὡς οἰδαίνω, οἰδάνω. Κιχῆναι, κιχῆσθαι, λαβεῖν. Κιχῆναι, ἤγουν καταλαβεῖν, ὡς ἀπὸ τοῦ κιχαίνω, ὁ κίχημι. Κιχήσατο, εὗρε, κατέλαβε. Κιχήσεσθαι, καταλήψεσθαι. Κιχήτην, ἐκ τοῦ κιχήσαιτην συγκέκοπται. [illegible] δὲ διὰ διφθόγγου τὴν τῆς λέξεως ταύτης ἔγραψαν παραλήγουσαν, κατὰ τὸ [illegible], καὶ τὰ ὅμοια. Κίχησις, ἡ λῆψις.

Κιχηὺς, ὡς ὁ ἐμβαλλόμενος ὁ λιβανωτὸς. [illegible] Κίχλα, [illegible], καὶ ὀμίχλα. οἱ λέγοντες ἁμαρτάνουσιν. δέον λέγειν διὰ τοῦ η, τρίχλη καὶ κίχλη καὶ ὀμίχλη. οὐδὲν γὰρ ὄνομα θηλυκὸν τῷ λ παραληγόμενον εἰς α, ἀλλ᾽ εἰς η, ὥσπερ πύλη πύλης, κραμβύλη κραμβύλης, ἀρβύλη ἀρβύλης, οὕτως ἐροῦμεν καὶ ταῦτα. Κίλλα, ζῶον πτηνόν. Κίχλαι, εἶδος στρουθῶν, [illegible] δὲ πρὸς τροφὴν ἐκ τῶν ἄλλων πτηνῶν περισπούδαστοι εἶναι μᾶλλον. Κίχλας καὶ πελείας εἰπεῖν τὰς [illegible], Ὅμηρος ἐν τῷ χ᾽ τῆς ὀδυσσείας. τὸ μὲν ἴσως διὰ τὴν κιχλισμὸν τῶν γελώντων, οὓς ἐργάζεσθαι εὐφροσύνην ἀνάλογος παρέχουσι. ὅτι καὶ ἡ τοῖς ὀλολύεως [illegible]. τὸ δὲ, διὰ τὸ [illegible]. [illegible] γὰρ αἱ περιστεραί, ὧν τὸ παντότροφον διὰ τὸ ἀεὶ μιγνύσθαι. ὅτι δὲ τὰς κίχλας, κιχήλας τρισυλλάβως ἔλεγον οἱ [illegible], καὶ ὡς ἐκ τῆς αὐτῆς φωνῆς κιχλίζειν, καὶ κιχλισμὸς ἐπὶ γυναικείου γέλωτος, οὐκ ἄλλοθεν ἦν. φύσις δὲ τῶν κιχλῶν, οὐ μόνον παρὰ τῷ κωμικῷ, ἀλλὰ καὶ παρὰ Ἐπιχάρμῳ, ἐν τῷ τὰς ἐλαιοφιλοφάγους κιχήλας, ὃ κεῖται παρὰ τῷ Δειπνοσοφιστῇ, ὡς καὶ συρακουσίων λέξιν τὰς κιχήλας λέγει, ὡς διαλέκτῳ καὶ αὐτῶν [illegible]. κανονίζει δὲ ὁ αὐτὸς ῥήτωρ, καὶ ὅτι ἀττικοὶ κίχλην διὰ τοῦ η λέγουσι, καὶ ὁ λόγος οὕτως ἔχει. τὰ γὰρ εἰς λα λήγοντα θηλυκὰ πρὸ τοῦ λ ἕτερον λ ἔχει, σκύλλα, σίλλα, κόλλα, βδέλλα, ἅμιλλα, [illegible]. τὰ δὲ εἰς η, οἷον ἔτι, ὀμίχλη, χύτλη, οὕτω καὶ κίχλη, ἥ τε ὄρνις καὶ ἰχθὺς, [illegible] αὐτὸς, ὥσπερ ὁ κόσσυφος μελανόπτερος, ἀρέσκεται τῷ τοιούτῳ κανόνι καὶ Ἡρωδιανός. Κιχήλας, κίχλας πλεονασμῷ τοῦ η. οἷον κρεαντρίδια κιχηλῶν. Κίχλη, ἰχθὺς θαλάσσιος καὶ ὄρνις. Κιχλίσκουσι, γελῶσι, μειδιῶσιν.

Κιχλοβῶτις, [illegible]. Κιχλισμὸς, γέλως σφοδρός.

Κιχλίζειν, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ λιπαροὺς ὄρνεας τρώγειν. κίχλας ἐσθίειν, ἢ ἀτάκτως γελᾶν καὶ ἀμέτρως.

Κιχλίζειν, λέγεται τὸ [illegible] καὶ [illegible]. Κιχλισμὸς, μικρὸς γέλως, ἢ πολὺς καὶ ἄκοσμος. Κιχώριον, βοτάνη. λέγει δὲ τὸ ἀγριοντύβιον. Κιχῶ, τὸ φθονίζω. Κιχέσσι, [illegible]. Κιχυβεῖν, [illegible]. Κίχω, τὸ καταλαμβάνω, καὶ κιχείω ποιητικῶς, τὸ αὐτό. Κιχῶσι, τὰ [illegible]. Κιχώαι, λαχανίδια ἄγρια. Κίψα, [illegible]. Κίω, τὸ πορεύομαι γὰρ τοῦ ι. ἀπὸ τοῦ ἴω. κείω δὲ, διὰ τῆς ει διφθόγγου τὸ καίω. Κίων, τὸ κιόνιον. Κίων, ὁ λίθος, ἀπὸ τοῦ κίειν, καὶ ἀνιέναι εἰς ὕψος. κίων ὁ στύλος, καὶ τὸ ἐν τῷ στόματι, ὃ καλεῖται σταφυλή. κίων, ἰλθεῖν, βαδίζειν, πορεύεσθαι.

Κίων, ἀρσενικῶς· ἐν τῷ ἕστηκε μὲν ἦσαν πρὸς κίονα μακρὸν ἐρείσας, κοινότερον. ἄλλως μέντοι θηλυκῶς προσήχθη, ἐν τῷ ἕστηκε ἱστὸν φέρων πρὸς κίονα μακρήν. Κίων, ἀρσενικῶς. παρὰ δὲ τοῖς Ἴωσιν, ἡ κίων θηλυκῶς, καὶ πολλὰ ἕτερα ἀρσενικῶς γραφόμενα, θηλυκῶς οὗτοι προφέρουσι.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Λ.

Κλαγγὴ, πλεονασμὸν ἔχει συνήθη τοῦ γ πρὸς ὄγκον φωνῆς. ὡς καὶ ἐπ᾽ ἄλλων προδεδήλωται. φύσει μὲν γὰρ κλαγὴ ὡς ἐρυγή. ἐπενθέσει δὲ τοῦ γ κλαγγὴ, κατὰ τὸ κλάζω ἔκλαξα ἔκλαγξα. κλαγγὴν σὺν λέγει Ὅμηρος, τὴν ἐξ ἴσων βοήν. οὐ μόνον ἐπὶ συῶν, ἀλλὰ καὶ τῶν κυνῶν. Κλαδαλὴν, μετὰ ἤχου, ἢ μετὰ κραυγῆς. Κλάγξειν, κλάγξαι, φθέγξασθαι. Κλάγξαντες, κράξαντες. Κλαδὸς, γάλα. [illegible] Κλαδᾶν ἄμπελους λέγει, ἀλλὰ μὴ κλαδεύειν. Κλάδιον, κλάδον, ῥάβδον. Κλάδας, ἀντὶ τοῦ κλείδας, λέγουσι δωριεῖς. Κλαδί, σείω, κινῶ. Κλαδαρόμματοι, [illegible] τὰ ὄμματα.

Κλαδαρῶν, κλάδων. Κλαδαρόρυγχος, τροχίλου εἶδος.

Κλαδάγοι, στίχοι. Κλαδάραχοι, σφαγμοί. Κλάδες, [illegible]. Κλαδεύειν, [illegible]. Κλαδεῖ, λοιδορεῖ, φθίνεται. Κλάδος, ὄζος. Κλάδος, παρὰ τὸ καλὸν εἶδος ἔχειν. Κλάδεσιν, μεταπλασμὸς ἀντὶ τοῦ κλάδοις, ἀπὸ εὐθείας τοῦ κλάδος, ὡς τὸ τέκος. Κλάειν ἀττικῶς, κλαίειν κοινῶς, ὁμοίως κλάουσι, καὶ κλαίουσι. Κλάειν, [illegible].

Κλάειν ἴωσι, καταφρονοῦσι, παρ᾽ οὐδὲν λογίζονται. Κλάειν σε μακρὰ κελεύειν, τὸ μὲν εἶδος ἀρχαῖον ἀττικὸν τῆς συνθέσεως, ὡς χαίρειν σε λέγω, καὶ οἰμώζειν μακρά. Κλάζειν, ἡ κλαγὴ, οὐκ ἐπὶ μόνων ὀρνέων, ἢ τόξου, ἢ [illegible], ἀλλὰ καὶ ἐπ᾽ ἄλλων λέγεται. οἷον καὶ ἐπὶ συῶν. ὅτι δὲ ἡ ἀμβροσία, καὶ ἡ ἀμφασία, ἢ τὸ ἄμβροτον, ἢ τὸ χίμπτειν, ἢ τὸ ῥόμφος, ὁ κόμπος, ὁ κομψὸς, ἢ τὸ κατακαμπτῶν, καὶ ἄλλα, πλεονασμὸν ἔπαθον τοῦ γ, διὰ σημειότητα φωνῆς. ὡς καὶ ἔκλαγξαν, καὶ τὸ [illegible], καὶ τὸ λίλοχα, καὶ ἄγγελος, καὶ τὸ [illegible], σαφές ἐστιν. Κλάζειν λέγομεν ἀετοὺς, κλαγγάζειν δὲ γέρανους.

Κιλλὸν, εἶδος τριχώματος φαιοῦ. Κιλλὸς, ὄνος καὶ ὁ ἐπὶ τῆς πομπῆς ὑπὸ κυπρίων. Κίλλυρος, συκοφάντης. Κίμαι, χηλαὶ κύκνου. Κιμβὸς, χηλὸς μεγάλου. Κίμβερα, τόνος. Κιμβάζειν, στρατεύεσθαι. Κίμβαρ, τράπεζα. κίμβαξ γὰρ ὁ ἄπειρος. Κιμβίσιον ἐν Λύδοις, εἶδος ἱματίου. Κιμβομικὸν, χιτωνίσκιον εἶδος πολυτελοῦς, ὃ λέγεται σακός.

Κιμβεύειν, ὀλιγωρεῖν. Κιμβεκία, πανουργία, ἐμπαιγμός.

Κίμβος, ποταμός. Κιμβεία, σμικρία, μικρολογία.

Κίμβικα, σφῆκας, ἢ μελίσσας, ἢ μικρολογίαν, ἢ λιτοτροφίαν. ὅθεν καὶ κίμβιξ, ὁ λίαν μικρολόγος περὶ χρήματα. Κίμβρος, ὁ λαιός. Κίμβιξ, ὁ φιλοχρήματος. Κίμβος, νοῦς, φρόνησις. Κιμιλισμὸς, βραχεῖα συνεχὴς κίνησις, ἀπὸ τοῦ κιμίδου τοῦ ζώου, παρὰ τῷ Ἐπικράτει. Κιμμέριοι, ἔθνος βορειότατον. Κιμμέριοι, κατὰ μὲν Ὅμηρον περὶ τὴν Λυκίαν ᾤκισαν. κατὰ δὲ Περιηγητὴν, κιμμέριοι ναίουσιν ὑπὸ ψυχρῷ πόδα ταύρου. Κιμμερὶς, θεὰ ἡ μήτηρ τῶν θεῶν. Κιμμερίους, φησὶν Ἡρακλείδης ὁ ποντικὸς ὑπονοεῖται τὸ πρότερον εἶναι τοὺς κιμμερίους. ἐπεὶ γὰρ οἱ τοιοῦτοι ἐν χειμῶνι εἰσὶν, ἔνιοι δὲ κιμμερίους. κίμμερον γὰρ λέγουσι, τὴν ὁμίχλην, καὶ σκοτεινὸν ἔθνος κιμμέριοι. Κίμμυρος, μικρολόγος, ἢ μακρολόγος. Κιμφαντος, ἐρίσαντος, καρίξαντος. Κιμωλία, ἡ λευκὴ γῆ.

Κίμων, ὄνομα κύριον. Κίμωσις, φίμωσις. Κιμώσεις, φιμώσεις. Κιμώνια, ἱερεῖα, ἔνθα ὀχεμόνοι περιετέμνοντο.

Κιμώνικα, λείψανα. καὶ κιμώνιον, ἱερὸν τοῦ κίμωνος.

Κεντρίνης, φωνή, γένος τι ζώου. Κέντρον, πλεονασμὸν ἔχει τοῦ ρ, ὁμοίως σίφων σιφρός(?) ... ἐπεὶ εὕρηται διὰ τοῦ ρ, τέρπω τερπνός, σέβω σεπτός. Κεντρόταχος, ὁ μαχήτης, ἢ ὁ ἡνίοχος, παρὰ τὸ κεντεῖν τοὺς ἵππους. Κέντρον λέγεται, ᾧ ἐπέρχονται ἵπποι, παρὰ τὸ κεντεῖν, ἀφ' οὗ καὶ κέντρα ἵππων. δοκεῖ δὲ κέντρον εἶναι ἄλλως τὸ ἁπλῶς κεντοῦν, ὡς καὶ βούκεντρον, καὶ τὸ περὶ πτέρναν σιδήριον ᾧ νύσσονται ἵπποι. διὸ καὶ τρυγὼν θαλάσσιος κέντρον λέγεται, καὶ σκορπίος δὲ καὶ σφηκὸς καὶ λέοντος καὶ ἑτέρων. τοιοῦτο δὲ κέντρον παρέχομεν καὶ οἱ κεντρωνάδες, οἵ τι ῥαπτόμενοι, καὶ οἱ γραφόμενοι. ἔτι δὲ καὶ τὸ ἐγκεντρίζειν, ἐπὶ φυτῶν. ἐν ᾧ ἐγκεντρίζειν ἐστὶ, τὸ ἐν κεντήματι ἐμβάλλειν φυτοῦ ἕτερον κλαδίον πρὸς ἕνωσιν φυτοῦ. καὶ κέντρον ξεστὸν μὲν, ὅπερ ὥσπερ παρακεντοῦνται διάφοροι χροιαὶ ὑφασμάτων. χροιὰς δὲ, ᾧ παρατίθενται τοιοῦτο παρακεντισμάτων λίθου μέρος ποικίλματος, καὶ οὐχ ἄλλοθεν ἄλλα. ὅπως καὶ τὰ κλωσθέντα ἀμφιρόαιστα, τοῦτ' ἐστὶν οἱ ἀμφικεντρωτοί. οἷς ὅμοιοι γίνονται ἂν καὶ ἐξ ἑτέρων ποικιλτῶν. ἀλλὰ δὲ πως καὶ ἐκ πεζολογιῶν, ἔοικεν συνειδέναι(?) εἶναι οἱ μὴ παρόντες ῥυπαροὶ οἰκίας, καὶ ὡς εἰπεῖν λογοσυλλεκταὶ ὄντες, καὶ διὰ ὅλου ἀνθολογοῦντες ἐν ἐγκωμίοις. ἰστέον, ὅτι κυρίως κέντρον τὸ ξίφος ἐστί. διὸ καὶ τοσοῦτον παρ' Ὁμήρῳ κέντρον καὶ μάστιξ. ἐκ τοῦ ξίφους γὰρ ἔτι κεντεῖν ἡ μάστιξ. ὡς καὶ ὁ μαστίγιος, καὶ τὰ στιγμὰ, οἷς καὶ τὸ βαλεῖν ὀκνεῖται, ἀπὸ τοῦ βάλλειν, ὅπερ ἐστὶ κεντεῖν καὶ ξίφος. Κέντρων, φασὶ δὲ κλέπτας, ὅτι βασανιζομένοις αὐτοῖς κέντρα προσφέρουσι. ἢ κέντρων ἐστὶ χαλινὸς καὶ ῥαπτός. καθὸ καὶ τοὺς ποιητὰς κεντρωνοποιοὺς καλοῦμεν, τοὺς τὰς κέντρας ῥάπτοντας. κέντρων δέ ἐστι τὸ ἐπιτεταμένον τοῖς ὄνοις ἐκ πολλῶν καὶ διαφόρων συρραφὲν, καὶ ἐπίσαγμα τῶν ἵππων. ἄλλως. οἱ ἐκ τῶν ἄλλων συνυφασμένοι ἐπὶ πλατεῖ λίνῳ τοῖς ὑποζυγίοις ῥαπτόμενα, καλοῦνται κέντρωνες. οἱ δὲ τὴν ποικίλην ἀκούουσιν, οἱονεὶ κεντρωτὸς, ὁ κεκεντρωμένος καὶ ῥαπτός. Κέντρωνες κυρίως λέγονται, τὰ ἐκ διαφόρων χροιῶν συνερραμμένα εἰς ἕν, οἷς ὁμοιοῦνται πως τὰ ἀμφιρόαιστα. οἱ γὰρ ἀοιδοὶ τοῦ Ὁμήρου ποίησιν συνέρραπτον αὐτῷ, οἷον τὰ εἰς ἓν ὅσα ἀλάμιτα. ἢ καὶ ἄλλως, διότι κατὰ μέρος φασὶ τῆς ποιήσεως διαλελυμένης, ὡς συμφῶσαν ποίησιν ἐποίουν οἱ ἀοιδοὶ, καὶ τὰ ἐξ ἑκατέρας ὁμοῦ βίβλου συρράπτοντες, ὡς ἐβούλοντο, ῥαψῳδοὶ τοῦτον προσηγορεύθησαν. τῆς δὲ ποιήσεως ῥάψεως παράδειγμα σαφὲς, καὶ οἱ κέντρωνες, τουτέστι τὰ λεγόμενα ἀμφιρόαιστα. Κεντυρίων, ἑκατόνταρχος, ὅς τις ταγματάρχης ἑκατοντάδος. κέντυρ γὰρ παρὰ ῥωμαίοις, τὰ ἑκατόν. Κέντωρος, τοὺς ἵππους κεντοῦντος.

Κενεῦ, εἶον βλάβην καὶ ἐλάττωσιν ὑπομείνῃ. Κενεοῦ, ματαίου ἀσυμφανοῦ. Κενῶν φίλους, τυφλῶν. Κενότερος, ἐλαφρότερος, κουφότερος. τὸ κενώσιμον τῆς ἰατρικῆς καὶ τὸ ἐξοχετευτικόν. Κενοῦσα τοῦ πλούτου, ἀντὶ τοῦ κενὴν ποιῶ. ἀκεραίους, τὰς παλίνσπαστους ἐξεκένωσεν. Κενῶσαι, ἐντλῆσαι. ἔτι δὲ καὶ ἀντὶ τοῦ τέξαι. Κεινῶσι, κινῶσι, λαγόσι. Κέσιν, ὑπάρχει. Κέοιν, ἀμφότως καὶ τὸ ὑποτακτικὸν ἐὰν κίωμαι, ἐὰν κίῃ, ἐὰν κίηται. Κέονται, ἀντὶ τοῦ κεῖνται, παρὰ Θεοκρίτῳ. Κέπφοι, οἱ κοῦφοι, ἀπὸ τῶν ὀρνέων. ὅθεν καὶ τοὺς ἐλαφροὺς ταῖς φρεσὶ, κέπφους καλοῦμεν.

Κέπφος, εἶδος ζώου. οὗ μέμνηται καὶ Νίκανδρος, καὶ Ἄρατος, καὶ Καλλίμαχος. ἐκ δὲ τῆς θαλάσσης ζῆν αὐτὴν λέγουσιν, ἐσθίοντα τὴν ἀφρόν. εἶναι δὲ αὐτὴν πολὺν μὲν ἐν τοῖς πτεροῖς, ὀλίγον δὲ ἐν τοῖς κρέασι, καὶ κεκρατῆσθαι ῥᾳδίως. ὅθεν γενέσθαι τὴν παροιμίαν κέπφος ἁλίσκεται, ἐπὶ τῶν ἀπαγγελλομένων μὲν μεγάλα, μικρὸν δὲ ἄξιον τῆς ἐπαγγελίας ποιούντων.

Κέπφος, θαλάσσιον ὄρνεον λαρῶδες, ὅπερ ἀφρῷ θηρῶσιν οἱ παῖδες τῶν ἁλιέων. Κέπφον, εὐτελῆ ἐστι καὶ λάρον φασὶν ὄρνεον. ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν. τοῦτο βουλόμενοι οἱ τῶν ἁλιέων παῖδες χειροῦσθαι, ῥίπτουσιν τὸ πρῶτον πόῤῥωθεν ἀφρόν. εἶτα ἐγγύτατα φέρουσι τοῦτο ἐν ταῖς χερσὶν, καὶ οὕτω κατὰ μικρὸν ἀπατῶντες εὐχερῶς ἀγρεύουσι τὸν ἐμπεσόντα εἰς τὰς χεῖρας αὐτῶν. εἴληπται οὖν εἰς παροιμίαν ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν καὶ ἀνοήτων. καλεῖται δὲ κοινῶς λάρος. Κεπφωθεὶς, ἀντὶ τοῦ ἐξαπατηθείς. κέπφος γὰρ, εἶδος ὀρνέου κούφου. καὶ κεπφωθεὶς, ἐκκαθεὶς, ἐρῶσι ἐλεγχόμενος. Κέρα, κέρατα, τρίχες. Κεραία, ἡ κεφαλὴ κατὰ γλῶσσαν, ὅθεν καὶ κέρατα. Κέρα ἀγλαὲ, οἱ μὲν ἀντὶ τοῦ τόξοις ἀγλαϊζόμενε. ἵνα λέγῃ κέρατα τοὺς πήχεις τοῦ τόξου, ἐπειδὴ εἰσὶν συμβεβλημένα κέρατα. οἱ δὲ φασὶ τὸ κέρα ἀγλαὲ, ἀντὶ τοῦ καλλύνει τὴν τρίχα. καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ἐπὶ ἀπάτῃ παρθένων. Κεραβάτης, ὁ τὰ ἀκρωτήρια τῶν ὀρῶν, τουτέστι τὰς κορυφὰς βαίνων, οἱονεὶ ὁ ὀρειβάτης. κέρατα γὰρ καλοῦσι πάντα τὰ ἄκρα. ὥς φησι Πίνδαρος ὑψικέρατα πέτραν, ἀντὶ τοῦ ὑψηλὴν ἀκρωτήριον. Κεραΐζω, ὑφῶ, παρθενοπίπα, ἤγουν κακῶν ἐπὶ τοῖς παρθένοις ὑποκεῖσθαι. ἕτεροι φασὶν, ὡς κέρας ἐστὶν ἐμπλοκὴ τῶν τριχῶν, καθὰ παρὰ ἀθηναίοις ὁ κρώβυλος, ὡς τῶν εὐγενῶν καὶ ἰθαγενῶν ἦν δεῖγμα. Ἡρωδιανὸς δὲ λέγει, ὅτι κέρας ἐπὶ τριχὸς μάλιστα ἐπὶ βοῶν, καὶ ἄλλων θηρίων λέγεται. καὶ ἕτεροι σπανίως φασὶν ἐπὶ τριχὸς ἀνθρώπου τὸ κέρας

πίεσθαι, ὡς φίλτρον δι᾽ ὕδωρ. Κεκρόφαται, ἰωνικῶς, ἀρόφαται, μᾶλλον ἐρόφω, παρακείμενος κέκροφα, παθητικὸς κέκρεμμαι, [illegible]. Κερκύραλος, [illegible]. Κεκρυφάλασιν, [illegible]. [illegible]

[illegible]

ἢ τὰ νέφη μελαίνων, [illegible]. Κελαινεφὴς [illegible]

[illegible]

Χ 3 [illegible]

[illegible]

τὸ τέξον πολλοὺς ἀπεσῦσε κεκαδέσθαι, τουτέστι στερέσθαι τῆς ψυχῆς. Κεκαδησόμεθα, λυπησόμεθα, φροντιοῦμεν, ἀπὸ τοῦ ἀνάξω ἀκαδῶ, διαλύσει τοῦ ξ εἰς σ καὶ δ, καὶ ἀποβολῇ τοῦ σ, καὶ κατὰ ἀφαίρεσιν, χαδῶ χαδέσω χαδέσομαι, καὶ διπλασιασμῷ κεχαδήσομαι, καὶ τροπῇ τοῦ χ εἰς κ. Κεκαδησόμεθα, τουτέστι καδησόμεθα, φροντιοῦμεν, γίνεται ἀπὸ καδῶ καδέσω, τὸ φροντίζω κατὰ χρόνον μετ' ὀλίγον μέλλοντα. ἐξ οὗ καὶ ἀκηδέσαι, τὸ ἀφροντιστῆσαι. καὶ ἀκηδέως, τὸ ἀφροντίστως, καθ' ἕτερον μέλλοντα. ἐστὶ γὰρ οὐ μόνον καδῶ καδέσω, ἀλλὰ καὶ καδέσω. ἐξ οὗ καὶ κηδεμὼν καὶ κηδεστής. προσκεῖσθαι δὲ τὸ ν περὶ ἐκείνους ἐστιν τὸ κηδέω, ἐξ οὗ ἐκπεσόντος τοῦ ε τὸ κηδεύω, ἐπὶ τοῦ θάπτειν. ὅθεν καὶ κηδεστὴς γίνεται, καὶ τοῦ γαμβρεύειν. καθὸ ἔφη Αἰσχύλος, ὡς τὸ κηδεύειν καθ' ἑαυτὴν ἀπεσύσε μακρᾶ. ὁ δὲ ἀκηδία, οὐκ ἂν εἴη ἄλλον, εἴτε ἀπὸ τοῦ καδῶ περισπωμένου, εἴτε ἀπὸ βαρυτόνου τοῦ κάδω γίνεται, κατὰ σύνθεσιν τοῦ φροντίζειν δηλοῦντος. Κεκάδοντο. χάζω, ὁ μέλλων χάσω ἔχασα, δεύτερος ἀόριστος ἔχαδον, ἐχαδόμην μέσος, καὶ τροπῇ τοῦ χ εἰς κ, καὶ ἀναδιπλασιασμῷ κέκαδον κεκαδόμην. Κεκάδοντο, ταραχθέντες ἐσκορπίζοντο καὶ ἔφευγον.

Κεκάδοντο, ἐκ τοῦ χάζω τὸ ὑποχωρῶ, ἐστὶ μέσος δεύτερος ἀόριστος. οὗ τὸ μὲν κοινὸν, ἐχάδοντο. τὸ δὲ ἰωνικὸν τροπῇ τοῦ δασέος εἰς ψιλὸν, καὶ συνήθει ἀναδιπλασιασμῷ, κεκάδοντο. ὅμοιόν ἐστι τῷ πεπίθοντο, ἀπὸ τοῦ ἐπυχόμην δευτέρου ἀορίστου.

Κεκαδὼν, ὃ ἐστι σημαίνει ἀορίστου δευτέρου, ἐκ τοῦ χάζω χάσω, ἔχασα ἔχαδον, καὶ ἰωνικῶς κεκαδὼν, ὡς τὸ λελαχὼν καὶ λελαβών. Κεκαδὼν ψυχῆς καὶ θυμοῦ, ὃ ἐστι στερήσας, μᾶλλον δὲ ὑποχωρῆσαι ποιήσας, ἐκ παραλλήλου ταυτὸ δηλοῖ ὁ θυμὸς καὶ ἡ ψυχή. κεκαδὼν, ὅμοιον μὲν κατὰ λόγον, χρόνου δέ ἐστιν ἀορίστου δευτέρου, ἐκ τοῦ χάζω ἔχαδον χαδὼν, καὶ ἰωνικῶς κεκαδὼν, ὡς λελαβών. Κεκαλυσμένος, κεκρυμμένος. Κεκαλαμευθαμένοι, καλάμῃ γεγονότες. Κεκάλακον, καλὸν γέγονεν, ἢ ἐκάλλυνεν. Κεκαλυμμένον, ἐπὶ γῆς ἐκπεπληκός. Κεκάμω. κάμνω ἐστὶν, ἔκαμνον παρατατικὸς, καμοῦμαι μέλλων, κεκάμηκα παρακείμενος, ἔκαμον δεύτερος ἀόριστος, ἀφ' οὗ καὶ ὑποτακτικὸν κάμω, καὶ κατὰ ἀναδιπλασιασμὸν κεκάμω, ὡς λελάχω. Κεκάμωσιν, ἀντὶ τοῦ κάμωσι λέγουσιν ἰωνικῶς. Κεκάρθαι, ἐκ τοῦ κείρω. τὰ ἀπαρέμφατα ὡς ἐπὶ ἔχοντα πρὸ τοῦ θ ἀμετάβολον, παροξύνεται. οἷον ἐσπάρθαι. Κεκαρμένον, περικεκομμένον, ὁ κεκοσμημένον.

Κεκάρωται, τεθέλξεται, καὶ ἐπίεικεν. Κεκάσθαι, ὅ ἐστι κεκοσμῆσθαι, παρ' Ὁμήρῳ. Κεκασμένος. κάζω κάσω, κέκακα, κέκασμαι, κεκασμένος. Κεκασμένον, κεκοσμημένον. κάζω γὰρ, τὸ καλλωπίζω. Κεκασμένος, κεκαλλωπισμένος, ἀπὸ τοῦ καίζω, τὸ κοσμῶ. Κεκασμένοι, κεκοσμημένοι, δεδοξασμένοι, τεθαυμασμένοι. Κέκασσαι, Ὅμηρος ἐν τ', μετὰ δμωῇσι κέκασσαι, ἤγουν ὃν ἔχεις ἐν ταῖς ἀμφιπόλοις ὑπερφέροντος ἐκείνων. κεκάσθαι, κατεσκευάσθαι, κεκοσμῆσθαι.

Κεκαταπεπλασμένος εἶναι συνέδλωσιν, τουτέστι μὴ ἔχειν ὑγιῆ. Κέκασται, κεκόσμηται, κατεσκεύασται, ἐκράτει, ὑπερεῖχε, ὑπῆρξε, τετακται, πέποιθε, δεδόξασται. Κεκαφηότα, ὃ ἐστιν ἐκπεπνευκότα, ἔχει κέπφος ἡ κάπφω πρωτότυπον. ἐξ οὗ καὶ κέπφος καὶ κάπφα, καὶ καταπτομένη τοῖς περὶ αὐτὴν ἀλόγοις, ἐκεῖθεν παρακείμενος κέκαφα, ὃς ἀναβὰς εἰς ἐνεστῶτα γίνεται καφῶ καφήσω, οὗ μετοχὴ ἰωνικὴ διὰ τοῦ η κεκαφηὼς, τὸ κεκαφηότα μόνον δίχα τοῦ κακῶς ἐπιρρήματος. ἐστὶ γὰρ εἰπεῖν κεκαφηότα, τὸν ἁπλῶς πνέοντα. κακῶς δὲ κεκαφηότα, τὸν δυσπνοοῦντα, ὡς καὶ τὸ ἐκπνεῦσαι. ἔστι δὲ ἐκ τοῦ καπῶ καπήσω ὥσπερ περισπωμένως, ἐξ οὗ ἰωνικῶς κεκαπηὼς, καὶ μεταθέσει τοῦ ψιλοῦ εἰς δασὺ κεκαφηώς. Κεκαφηότα θυμὸν, καφῶ καφῶ-

σω, τὸ ἐκπνέω, ἐκ τοῦ καίω κάψω κέκαφα, ὅθεν καὶ κάπη, ἡ φάτνη. καὶ κάπος, τὸ πνεῦμα. ἐξ οὗ καὶ κῆπος, ὁ ὑπὸ ἀνέμων φασὶ καταπνεόμενος. Κεκέδασε, ἀντὶ τοῦ διεσκόρπισε, παρὰ τῷ Ἀπολλωνίῳ. Κεκαΐη, κεκαΐε. Κεκατρωμένοι, ἐκαρμένοι. Κεκάρωται, κεχλεύασται. Κέκαυται, κέκαυσται.

Κέκει, φροντίζει, ἀλγεῖ. Κεκαλίνδηται, μεμίανται.

Κεκηνὼς, ἀργυρεὺς. ἐρημῶν. Κεκηρωμένη, κεκαυμένη.

Κεκηρῶς, βοᾷ. Κέκηφε, τέθνηκε. Κεκιβδηλευμένοις, κακούργοις, κεκαπηλευμένοις. Κεκίνηται, κινῶ κινήσω κεκίνηκα κεκίνημαι κεκίνησαι κεκίνηται, καὶ ἰωνικῶς κεκινέαται κεκινέαται. Κεκιβδήλευται, διαβέβληται, κατέγνωσται, ἀποδεδοκίμασται, νοθεύεται. Κέκιλος, ἰχνευόμενος. Κέκκαδον, οἱ πλεῖστοι λέγουσι τὸν πυρῆνα τοῦ στροβίλου. Διοσκορίδης δὲ τὸν κέδρον κόκκον εἶναί φησι, παρὰ τοῖς Ἱπποκράτει. Κεκλασμένον, γράφεται διὰ τοῦ δ ἀπὸ μετοχῆς τοῦ κλασθεὶς, ὡς γραφεὶς. ὥσπερ οὖν γεγραμμένον, οὕτω κεκλασμένον ἔφη Ἀριστοφάνης. Κεκλαγξω καὶ κεκλαγξομαι, ἀντὶ τοῦ κλαγξω ἐπὶ τῶν κυνῶν. Κεκλασμένοι, προσβεβηκότες.

Κέκλασε, ἐσφάλη. Κεκλασμένον, ἀντὶ τοῦ κεκλασμένον, κεκλαδευμένον. Κεκλαυμένην, ἀντὶ τοῦ κεκλαυμένην. ἐστὶ δὲ ἐπιθετικόν. Κέκλαυσμαι καὶ κέκλαυμαι, λέγεται διαιρέσεως ἐν τῷ αὐτῷ, καὶ ὑπὸ τῶν ὀρθῶν συγκλείεται.

Κεκλήσται, ἐκ τοῦ κλείζω, τὸ δοξάζω, μέλλων κλείσω, ὁ παρακείμενος κέκλεικα, ὁ παθητικὸς κέκλεισμαι, σαι, ται.

Κέκλεο, ἐκαλέσθω. Κεκλεῖ, κλεῖ, κλεῖε, κέκληται.

Κεκλήατο, συγκεκλημένοι ἦσαν. Κέκλετο, παρατατικός, ἀπὸ τοῦ κέλετο πλεονασμῷ τοῦ κ. καὶ ἐκέκλετο, ἀντὶ τοῦ ἐκέλευσεν, ἀπὸ τοῦ κέλω ἐκέλετο καὶ ἐκέκλετο. Κεκληγὼς, λέγεται τὸ ῥῆμα ἢ κλάζω, ὁ μέσος παρακείμενος κέκλαγα καὶ κέκληγα. Κεκληγὼς, κεκραγὼς, βοῶν. Κεκλήγοντες, ἀντὶ τοῦ κεκληγότες. καὶ εὔκηλος, ἀντὶ τοῦ ἕκηλος. καὶ αὐτὰρ, ἀντὶ τοῦ ἀτὰρ, τὸ πλεονάζειν ἐν ἔθει τῶν Αἰολέων ἐστίν. Κεκλήσεσθε φίλοι κεκλήσεσθε ὕπνου. οἱ μὲν λέγουσι συνδοθὲν παρακείμενον παραπληρωματικὸν τὸ κα. οἱ δὲ ῥῆμα. καί ἐστι ῥῆμα, μέλλοντος μέσου ἀπὸ κεκλήσομαι κεκλήσεσθε. Κέκληκα, ἐκ τοῦ κελῶ, καὶ συγκοπῇ κλέω κλῶ, ὁ μέλλων κλήσω ἔχουσα, ὁ παρακείμενος κέκληκα, οὗ κεκάλεκα. Κεκλίαται, κεῖνται.

Κεκλίαται. ἰστέον ὅτι οἱ κατ' Ἰωνας διαλέκτους παρακείμενοι, τὴν α μόνον προσλαμβάνουσι κατὰ τὸ γ' πρόσωπον τῶν ἑνικῶν, καὶ εἰ μὲν μακρᾷ παραλήγει, τηροῦσιν συστέλλει, καὶ οὕτω τὸ ἐκτὸς ἐκβιβάζει. οἷον ἱδρύω ἵδρυται ἱδρύαται, οὕτω καὶ ἀπὸ τοῦ κλίνω κέκλιται κεκλίαται, κατὰ συστολὴν τῆς ει διφθόγγου, οἷον αἱ ἀλλὶ κεκλίαται. Κεκλιμένοι, σανίδες, αἱ πάλαι αἱ συγκεκλεισμέναι. οἱ ἀνάπαλιν ἔχουσιν αἱ ἀναπεπταμέναι. Κεκλιμένοι, ἀντὶ τοῦ κεκαλυμμένοι, κεκρυμμένοι. ἀπὸ τοῦ κλείω, τὸ ἀσφαλίζω κατὰ συστολὴν τῆς ι. Κεκλιμένος, ἀντὶ τοῦ παρακείμενος, ὡς καὶ ἐν τῷ λίμνῃ κεκλιμένος κηφισίδι, ἢ ἀντὶ τοῦ ἐστηριγμένος. Κεκλιμένος, περιεχόμενος. Κεκλόμενος, παρακελευόμενος. Κέκλον, ἐκάλεσον. Κέκλοφα, κλέπτω κλέψω, κέκλεφα κοινῶς, κέκλοφα ἀττικῶς. πότε σημειοῦνται οἱ ἀττικοὶ ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν βαρυτόνων ἰδίους παρακειμένους, ὅταν τὸ ῥῆμα δισύλλαβον καὶ παραλήγηται ὁ κοινὸς παρακείμενος τῷ ε, τότε τρέπουσι τὸ ε εἰς ο μικρόν. οἷον τρέφω τρέψω τέτροφα κοινῶς, τέτροφα ἀττικῶς. ὁμοίως καὶ ἐν τῷ λέγω καὶ πλέκω καὶ τῶν ἄλλων. Κεκλοφέναι, κλέψαι, ὑφελέσθαι. Κεκλυμμένον, ἀποκεκλεισμένον. Κέκλυτε, ἀκούσατε. κλῦμι, ὁ παρατατικὸς ἔκλυν, ἡ μετοχὴ κλὺς κλύντος, τὸ προστακτικὸν κλῦθι. τὸ δεύτερον τῶν πληθυντικῶν κλῦτε, καὶ κατὰ ἀναδιπλασιασμὸν κέκλυτε. Κέ-

γίνεται δὲ φασὶν ἀπὸ τοῦ χέω. ἴσως καὶ παρὰ τὸ κεάσαι, ὡς τὸ δεινὸν τε ξύλα πολλὰ κεάσσαι. λέγεται δὲ καὶ σὺν τῷ σ σκεδάζω, καὶ δίχα τοῦ σ κεδάζω. καθ' ὁμοιότητα τοῦ μικρὸς σμικρὸς, σῦς ὗς. Κεδᾶται, σκεδαίονται. Κέδματα, τὰ χρόνια ἀλγήματα λέγει ὁ Ἱπποκράτης γράφει δὲ καὶ ὁ τελλὸς χρόνια δὲ ἀλγήματα, τὰ κέδματα τυγχάνει. Κεδνὴ, ἡ σεμνὴ καὶ ἐπιμελὴς, ἀπὸ τοῦ κήδω κεδνὴ, καὶ συνεχῶς καὶ συγκοπῇ κεδνή. οὕτω καὶ φίλοι κεδνότατοι ἐν ἰλιάδι, οἳ καὶ κήδιστοι λέγονται, καὶ οὐ μόνον ἀμφίπολος κεδνὴ, ἀλλὰ καὶ γυνὴ, καὶ καδνὴ ἀλόχιος. Κεδνὸς, σεμνὸς, σώφρων, φρόνιμος, κεδνότατος. κεδνὰ βουλεύματα. ἐκ ῥήμα κῶ, τὸ νοῶ. ὁ μέλλων κήσω. καὶ ῥηματικὸν ὄνομα κεῖδος, ὡς τέρπω τερπνὸς, καὶ κατὰ συγκοπὴν κεδνός. ἢ κεδανὸς ὡς ἄρ, οὐ ἄν ὡς κήδοιτο.

Κεδνότατοι, οἱ ἄξιοι μελήσεως. διὸ τὸ καὶ φίλτατοι εἶναι κατὰ τὴν ποιητικὴν, ἐκ τοῦ κήδομαι. οἱ δ' αὐτοὶ ὁμοίως καὶ κήδιστοι.

Κέδραι, ξηραί, σίσαμα. Κεδρέλαιον, τὸ πῦρ, ἢ λευκὸν τὰ χρέα. Κεδρίδιον, ὁ καρπὸς τῆς κέδρου. Κέδρον, ξύλον. Κέδρει, λέπτρα ὑφίσματα καὶ ὀλίγα. Κέδρον, ἀπλικοὶ σύλβιος, λαίνον. Κέδρος, ῥάβδος, καρπὸς, λάρναξ, ἢ λέπτρον ἄκαρπον. Κέδρεια, τὰ ἔκπυρα.

Κέδρος, ἀρσενικῶς μὲν τὸ λέπτρον, θηλυκῶς δὲ, ὁ καρπός. παρὰ τὸ κεῖσθαι κέδρος. κέδρος, παρὰ τὸ κέντρος. κατηγόρηται γὰρ ἐπὶ, ἢ παρὰ τὸ κεκεῖσθαι ῥαδίως. Κεδρωτὰ, οἱ κεδρωτοί.

Κεδρεία, ὄνομα πόλεως. Κεκρὸς, κηρός. Κέκροψ, ἐλάσσων. Κεθμωνὸς, φυλασσός. Κεῖα, καθάρματα. Κεαί, μεικοί, διὰ διφθόγγου ἔχει τὸ ἀρχαῖον, ὡς ἀπὸ τοῦ κέω κῶ, τὸ παράγωγον τὸ καίω διὰ διφθόγγου. Κείαστο, καίοντο.

Κείατο γέγονεν παρὰ φίλτατοι, ἢ ἀλέχειτιν, ἤγουν ἐπεὶ εἴρηκεν ὁ ποιητὴς, ἀντὶ τοῦ κεῖντο παρὰ φίλτατοι τῆς οἰκίας, ἢ τῆς ἀλέχειτιν, ὅπου ἐκεῖ ἴσασιν. Κεῖε, τέθνηκεν. Κεῖθεν, ἐκ τοῦ ἐκεῖθεν ἐκεῖνος, καὶ κατὰ συγκοπὴν ἐκεῖθεν καὶ κεῖθεν, ἢ ἐκ τοῦ κεῖνος κεῖνον, ὡς λόφος λοφόθεν. οὐδὲν τῆς ταῦτα λέγεται ἐπὶ ῥήματα τῷ ει διφθόγγῳ παραλήγει, χωρὶς τούτων. Κεῖθι, ἐκεῖσε, εἰς ἐκεῖνον τὸν τόπον. Κεκλίνο, συνακεκλιμένος. Κεῖμαι, κεῖσθαι, ἐκείμην παρατατικὸς, ἀπαρέμφατον κεῖσθαι, καὶ τὸ προστακτικὸν κεῖσο. διαλελυμένον ἔχει τὸ ἐνεστὼς αὐτῷ, κείμην κεῖσο κεῖσο. οὕτως καὶ τὸ ὑποτακτικὸν, ἐὰν κέωμαι ἐὰν κέῃ ἐὰν κέηται. καὶ διὰ τοῦτο παραπλησίως, τὴν αὐτὴν ἀκολουθίαν ἔχει. Κεῖμαι, ἐκ τοῦ κέομαι κεῖμαι, τὰ δύο εἰς ἓν τὸ ει δίφθογγον. Καμόντας, κατακειμένους, ἢ κεκαμμένους.

Κειμήλια, τὰ κείμενα, ὅ ἐστι τὰ παρ' ἡμῖν ἀκίνητα. Κειμήλια κεῖται, ἁπλικὸν ἐστιν, ὡς τὰ ἄλλα ὡσαύτως, δῆλον ὡς ἐκ τοῦ κεῖσθαι παρῆκται τὸ κειμήλιον. τὸ δὲ χαλκὸς χρυσός τε, οἷον ἐστὶ ταῦτα τῶν κειμηλίων. Κειμήλια, τὰ ἀπόθετα πράγματα.

Κειμήλια φησὶν Ὅμηρος, τὰ κείμενα, ὅ ἐστι τὰ παρ' ἡμῖν ἀκίνητα, πρόβατα δὲ ... ἐπειδὴ ἡμεῖς φαμὲν αὐτοκίνητα, τὰ διὰ τοῦ προβαίνοντα. ἐξ οὗ ἰδίως κατὰ ... προβατα. Κεῖνα φυλάσσων παρ' Ὁμήρῳ ἐν τῷ γ' τῆς ὀδυσσείας, ἤγουν τὰ πράγματα. οὐ ... τὴν σὴν καὶ ἡμετέραν. Κεῖνα, ἐκεῖνα, κενά. Κειναῖσι, ματαίαις, κεναῖς.

Κεινὸν, ἀντὶ τοῦ κενὸν, ἰωνικῶς. Κεῖνος, ἀντὶ τοῦ ἐκεῖνος.

Κεῖο, εὐκτικός. κείω γὰρ τὸ κοιμῶμαι. Κεῖον πῦρ ἐστὶ μεταφορικὸν, ὅ ἐστι καῦσον, ἀπὸ τοῦ κείω, πλεονασμῷ τοῦ ι. Κεῖσ' ὄχεα, ὅταν κεῖνο ἅρμα ᾖ. Κειοντες, κοιμησόμενοι. Κεῖος, σημαίνει τὴν πολίτην τοῦ κίω. κίως δὲ νῆσος ἐστὶν, ὁ νῆσος ἀπὸ τοῦ κίω τοῦ ἀπόλλωνος. Κεῖρα, γυνὴ, ἢ ἡλικία. Κεῖρε λέων παρ' Ὁμήρῳ ἐν τῷ λ' τῆς ἰλιάδος, ἀντὶ τοῦ εἰς κόρον ἤσθιεν. ὁ δὲ κόρος ἐκ τοῦ κορέσαι κόρον γίνεται. διὸ ἐπήγαγεν, τὸ ἐπὶ κορέσαντο φόνους. ἐκ τούτου καὶ ἀφαιρεῖν, ἐπεὶ ἐπὶ τὸ ἄλλον, ἢ ἐπὶ τοῦ λέοντος εἴρηται. Κείρειν, σημαίνει λέξις τῷ πικρῷ, ἐπεὶ σημαίνει τὸ εἰς κόρον δαπανᾶν. Κείρειν παρ' Ὁμήρῳ, τὴν κόρον ποιεῖν. καὶ τὸ πῦρ, ὃ δηλοῖ τὴν ἐπασσαρέξειν μαίνεσθαι.

Κείρειν, ἐπὶ τραχὺ ἢ αἰσχύνειν ἢ τιλμῶν. Κείρειν, κείρειν, ἀπὸ τοῦ αἴρειν καὶ ἀποκόπτειν τὰς τρίχας. Κειριᾶσαι κύπελον ἐπὶ παισὶς, πλατὺ ἱμάτιον ἐν καὶ τὰς πάλαι. ἐν καὶ αὐτὸ δὲ ἔκκειται ἐκλαβεῖς, καθὰ καὶ τὸ τίλλειν παλαιοὺς κεφαλὰς περὶ χέρ, καὶ ἀφροδισίους διδάσκειν. Κειρίαιμος γάμεσιν χειρῶν, παροιμία ἐστὶ, ὁ λίθοις ἐμοῦσι τὰς κλίνας. λουσαμένοις δ' ἂν χαμαὶ λαχὼν πάντη καρίαν ἔχειν. Κειρίαι, οἱ ἐπιφυλαὶ λοιμοί. Καρία, ἡ ἐπαγγελία. Κειαδεῖν, ὁ ἐμὸς φυλάξ ἐπισκοπεῖο. Κειρίαι, κειραί. Κειρίδια, κειρία ὄρνια. Κειῶν, ἐπὶ λαβὸς ὄρνιθος. Κεῖος, ἔρνεον ἴτρα φασὶ, οἱ δὲ ἀλκυόνα. Κείρομαι ἐκεῖνος, ἐκείρομεν παρατατικὸς, κειροῦμαι μέλλων μέσος ἀόριστος, ἐκειράμην ἄδεος μέσος, ἐκάρην ἐπὶ δευτέρου παθητικοῦ, ἐπειδὴ ἐπὶ προβάτων. Κειροντες, ἔρειαι παρ' Ὁμήρῳ, καὶ ἐπὶ τοῦ ὁπλίσεως ἰδιαίτερον. ἔδει γὰρ ὁ ἀὴρ ὁ ἐπιστάμενος παραγγέλλειν. Κεῖρε λέων, τοῦτο ἐπὶ κόρον λέγεται. ἐπὶ δὲ ὄρνεον. ὁ δὲ ἀντίγειος τοῦ ἀλκυόνος τοὺς ἀρχαίους κειρύλους φασίν. Κεῖσε, ἐκεῖ, εἰς ἐκεῖνον τὸν τόπον. Κεῖσθαι, τὸ ἐναντίον ἔχει ἵστασθαι. Κεῖσθαι, λαμβάνεται καὶ ἐπὶ τοῦ τεθάφθαι, οἷον ἐνθάδε μὲν αὐτὸς κεῖται. νοεῖται δὲ καὶ ἐπὶ τοῦ τεθνηκέναι, οἷον κεῖται πάτροκλος. σημαίνει δὲ καὶ τὸ παρὸν ἐρρῖφθαι, οἷον κεῖται παρὰ νηυσὶ τυχεῖν. λέγεται δὲ καὶ ἐπὶ τοῦ ἀποκεῖσθαι, οἷον κεῖται παρὰ μνηστῆρι. ὁλίγῳ. εἴρηται δὲ καὶ ἀντὶ τοῦ ἐστὶν, οἷον θεῶν ἐν γούνασι κεῖται. σημαίνει δὲ καὶ τὸ πεπλῆσθαι κατὰ τοὺς παλαιοὺς, ὡς τὸ κεῖται ἐν παλίῳ κείμενος ἐργαλείῳ ἔχειν ἔθος μάλιστα ἀπελεύσει, ἄνω ἄλλο φρονεῖν, καὶ μὴ ὥν πάντες. Κεισιβλελομένην, καρποί. Κείσομαι, τεθήσομαι. Κεισὸς, βοτάνης εἶδος.

Κείσκα, κίσσα. λαλαιὸς. Κείσομαι καὶ κεκοίμημαι, ἀπὸ τοῦ κείσομαι λέγεται λαμπάς. Κεισοφόρα, ...

Κεῖται, ἐπίκειται κεφαλῇ πίλον. σχίζεται δὲ ξίφος.

Κεῖται, ἀντὶ τοῦ ἀπόκειται, ἀντὶ τοῦ κατεβέβλητο, ἀντὶ τοῦ ἵσταται, καὶ ἀντὶ τοῦ πεφόνευται. κεῖται, παρ' Ὁμήρῳ κεῖται σὺν ἀγλαΐαις. Κεῖται ἐν θαλάμῳ παρ' Ὁμήρῳ ἐν τῷ ... τῆς ἰλιάδος, καθὰ κεῖται ἄγαλμα. κειμήλιον εἶναι δηλοῖ καὶ τὴν τοιαύτην ἐλέφαντα, ταύτην δὲ ἐπὶ ... ἱερὸν. Κεῖται, ... ἐπὶ καινοῦ τίθεται τοῦτο ἢ θανάτῳ ἢ ... Κεῖν, πύλαι. Κείω, σημαίνει τὸ καίω. Κεκάδων, κεκάδων.

Κείων, τὸ κοιμησόμενος. Κεκάδοιτο, κεκάρηθαι.

Κείων παρ' Ὁμήρῳ, ἀντὶ τοῦ κίων πῦρ κατὰ τοὺς παλαιοὺς, καὶ γράφεται διὰ τοῦ ι, πρωτότυπον ὂν τοῦ εἶμι καὶ κίω, διὰ διφθόγγου γράφεται. ὁ μᾶλλον ἀντὶ τοῦ χίων. κίω γὰρ πρωτότυπον, ἐξ οὗ τὸ κιάθειν, καὶ τὸ κίσσα, καὶ τὸ κίσσος, καὶ ὅσα τοιαῦτα. ἐξ αὐτοῦ δὲ τὸ κίω, ἐπειδὴ σὺν τῷ ι, καθ' ὁμοιότητα τοῦ πλέω πλείω. καὶ κίω κείω, τὸ κοιμῶ σὺν εἶναι. Κεκαδῆσαι, ὅ ἐστι στερῆσαι. γίνεται ἐκ τοῦ χάζω χάδω, καὶ καθ' ἀναδιπλασιασμὸν κεχάδω, ἵνα κεκαδήσω, τὸ ἀναχωρῆσαι ... χάζεσθαι, ποιήσει ὑποχωρῆσαι. Κεκαδησόμεθα, διαδεχθησόμεθα, χωρισθησόμεθα. Κεκαδεῖν, χωρίσαι, στερῆσαι, σκεδάσαι. Κεκαδήσει ψυχῆς, ὅ ἐστι στερήσει. γίνεται δὲ οὕτω. ἐκ ῥήματος χῶ πρωτότυπον ἄρρενον, ἐξ οὗ ῥῆμα παράγωγον χάζω, ὡς φρῶ φράζω, ῥῶ ῥάζω, ἐξ οὗ ἰσχύει γίνεσθαι τὸ, τε ῥαθέσθαι, καὶ τὸ ἐρράδαται. τοῦτο τοῦ χάζω ἀνέστειλε ὁ δεύτερος ἀόριστος ἐποιητικὸς ἔχαδον, ὅθεν λέγεται μέλλων. ἐξ οὗ ἀναγωγικὸς ποιητικὸς ὁ ... ἐπί ἐσάδεται, τὸ καλῶ κεκαδήσω, καὶ κατὰ ἀναδιπλασιασμὸν κεκαδήσω. ἐπὶ ἢ κεκαδήσει, τὸ ἀναχωρῆσαι ἵνα χάζεσθαι, ποιήσει ὑποχωρῆσαι. οὕτως εὗρον καὶ παρ' Ὁμήρῳ ἐν φ τῆς ὀδυσσείας,

τὸ τόξον

Καύματος ἐλαδίμου, τοῦ θερμοτάτη, ἰδρυσίμου.

Καυνάκαι, στρώματα, ἢ ἐπιβόλαια ἐστρωμένα. Καυνάκας, χλαῖναι παχεῖαι ἀλεειναί, παρὰ τὸ ἀλεαίνεσθαι. ὁ δὲ Γαλαμώδης φησί, καυνάκας εἶναι περσικὸν ἱμάτιον, ἔχον ἐκ τοῦ ἑτέρου μέρους μαλλούς. ἄλλως καυνάκης, εἶδος ἱματίου, ὅπερ καὶ περσίδα καλοῦσιν. οἱ δέ, στρῶμα ἐπιστρωματίδα, ὅπερ ἐοικὸς μονόχου στρώματι. σάγμα δέ, ἡ θήκη τοῦ ὅπλου. Καυνάκιον, στρῶμα. Καύνιος ἔρως, ἐν Καύνῳ ὠμάθη, καὶ ὁ σφοδρός. Καυνός, καυνός, σκληρός, κλῆρος, καὶ πόλις Ῥόδου.

Καυρός, κακός. Καῦρος, ὁ κενὸς ταῖς φρεσίν, οἱονεὶ αὖρός τις ὤν, καὶ πλεονασμῷ τοῦ κ καῦρος. τὸν γὰρ κατὰ τὸν ἐλαφρόν, καῦρον ἐπονομάζουσι. βέλτιον δὲ διὰ τοῦ γ γαῦρον λέγειν, ὅ ἐστιν ὁ σφοδρὸς καὶ ὑπερήφανος, παρὰ τὸ ἐν γῇ αἴρεσθαι. Καύσαλος, ὁ πυρσός. Καυσία, εἴρηται μὲν κατ' ἀντίφρασιν, παρὰ τὸ ἐλαύνειν τὸ καῦμα. καὶ γὰρ ἡ καυσία ἔοικε διὰ τὸ πρὸς τὸ καῦμα εἶναι ἐπιτήδειον. ἔστι γὰρ κάλυμμα κεφαλῆς. Καυσία, εἶδος πίλου βαρβαρικοῦ ἐπὶ τῆς κεφαλῆς.

Καυσὸς, ὁ μέλαινα, καὶ ὑπέρυθρος. Καυσηρὰ μάχη, μεταφορικῶς τῆς καύσεως ἡ ὁρμὴ καὶ πυρώδης, κατὰ τὸ μεταχειρίζεσθαι πυρός. διὸ καὶ δαΐοπτις καὶ δαΐς ἡ αὐτή. καὶ δήϊος πόλεμος, ἀπὸ τοῦ δαίω τὸ καίω. Καυσηρός, ἀπὸ τοῦ καίω καύσω κέκαυμαι κέκαυσαι καυσηρός, κατὰ τροπὴν διαιρέσεως τοῦ υ εἰς τὴν αι δίφθογγον. Καυσηρᾶς, καυστικῆς, θερμῆς, ξηρᾶς, φρυκτῆς, διαπύρου. Καῦσις, ἡ ἔκφυσις τῶν λαχάνων, περὶ ἀφανιζόμενοι, καὶ χόρτος. τὸ δ' αὐτὸ καὶ ἀμφίκαυσις, καὶ ἐπώνυμον δήμητρος. κρατῖνος δὲ ἐπὶ τοῦ μορίου ἔταξεν αὐτό, καλεῖται δὲ καὶ σῦκα καὶ στόμα. Καύστειρος, καυτικός. Καύστων καὶ ὁ αἴθων, διὰ τοῦ ω μεγάλου κλίνεται. ἐπεὶ δὲ οὐκ ἐκ μετοχῶν εἰς ὀνόματα μετέπεσεν, καὶ τὴν διὰ τοῦ ο τὸ κλεινῶν ἀπέβαλον κλίσιν, εἰς τὴν φυσικὴν ἔκτασιν μετέπεσον. Καύστωρ, θερμός. Καύτινα, καὶ εἰς τυκίον. Καυτὴρ, θυσία τις οὕτω καλουμένη, καὶ ἐσχάρα, καὶ θυσία, ἵνα καίουσιν. Καυχᾶ, οἱ Δωριεῖς ξηρὸν ἐπὶ τῆς αὐτῆς ἐννοίας αὐχεῖν λέγουσιν. Καυχαλὶς, φλύκταινα. Καυχᾶσθαι, κομπάζειν. σημαίνει δὲ ἡ λέξις πλείονα. ἐπὶ καυχήσεως μέν, ὡς νῦν. ἐπὶ δ' εὐχῆς, ὡς ἐν ἐκείνοις, αὐδ' ὑπέλαβον ἀγαθά. ἐπὶ δὲ ὀργῆς, ὡς ἐν τῷ ἀπειλεῖ ἐκεῖνος ἐναντίβιον πολεμίζων ἐνθάδ' ἐλεύσεσθαι. Καυχῶ, τῆς δευτέρας συζυγίας. τὸ δὲ αὐχῶ, τῆς πρώτης. Καυχώμενος, μεγαληγορῶν.

Καφά, λουτήρ. λεβήτιον. Καφάζειν, γελᾶν. Καφάζοι, καχάζοι, γελᾷ. Καφὰρ, κεφαλή. Καφάσιος, μῦς.

Κἀφελεῖν τὰ δείματα, ἤγουν καὶ ἀφελεῖν τοὺς φόβους.

Καῖρος, τὸ πνεῦμα. ὅθεν καὶ κῆχος, ὁ περιπνεόμενος τόπος. Καφηρεὺς, ἔχει μὲν καὶ εὔβοια πρὸς τῇ ἔξω θαλάσσῃ καφηρέα. καφηρεὺς δὲ λέγεται τόπος θαλάσσιος πρὸς τοῖς αἰγιαλοῖς τραχὺς καὶ τετραγώνους, σπηλαίοις διειλημμένος, καὶ ἕρμασι καὶ χοιράσι, καὶ τὰ πρὸς ἀπόβασιν ἀπρόσιτος, ὅτε κυματώσεις περιβεβρυχώμενος, καὶ πρὸς τοῖς ἄλλοις κακοῖς ἔτι δὲ διηνεκέσι τοῖς ἀνέμοις κατεσπαρμένος, ὡς ὁ παρ' Ὁμήρῳ προβλὴς σκόπελος, τὸν οὔποτε κύματα λείπει παντοίων ἀνέμων. καφηρεὺς ὢν καὶ αὐτός. καὶ ἴσως εἴρηται ἀπὸ τοῦ καταπνεῖσθαι ἀπαύστως. κάπος γάρ, τὸ πνεῦμα. Κάχαας, δαπάνης, καὶ σπλάγγνον, καὶ χυδαλὶς τὸ κεροκόσμιον, ἢ χαρίζεσθαι μὴ δεόμενον, ἢ συγκύχας. Κάχεζον, ἀντὶ τοῦ ἀπαιτεῖ.

Καχεξία καὶ καχεκτοῦντες, κακῶς τὴν ἕξιν διατεθειμένοι, ἀσθενοῦντες. Καχίλα, ἄνθη. κύπειρος. Καχλάζει, καχλάζει, ἀθρόως γελᾷ, ταράττεται. γίγνεται δὲ ἀπὸ τῶν κυμάτων, ἐπαίρεσθαι, φλεγμαίνει, βράζει. Καχλαίνει, ἐκ θορύβου ταράσσει. Καχλακάς, λίθακας ἐν τοῖς ὕδασιν.

Καχληκος, τοῦ κόχλου. Καχλὶς, συμβολή. Καχλάζει, καχχάζει. Καχυδρίας, ὁ ἐκ κακοῦ ὕδατος ἄρτος, ὃν παξαμᾶν λέγομεν. Κάχρυς, ἀντὶ τοῦ κριθὰς πεφρυγμένας, λέγει Ἀριστοφάνης ἐν ταῖς νεφέλαις. καταχρηστικῶς δὲ καὶ πάντα τὰ πεφρυγμένα, καὶ βοτάνη ποιά, καὶ τῆς πιτύος ἡ βλάστησις. λέγονται καὶ πυροὶ ξηροί. Κάχρυς, ῥίζα τῆς λιβανωτίδος. ὅταν δὲ θηλυκῶς εἴπῃ τὰς κάχρυας, τὰς πεφρυγμένας κριθὰς λέγει, παρὰ τὸ ἐπικαίεσθαι. Καχύδων, ἀναίρετα, ἀπείρατα. Καχυποπτεῖσθαι, ἀντὶ τοῦ κακὰ ὑπονοεῖν κεῖται, παρὰ τῷ Ἀριστοφάνει. Κάψα, κίστη, ἢ θήκη. Καψάκιον, γλωσσόκομον. Καψάμενος, ἐλάττωμα ἵππου. Καψιδρώκιον, εἶδος χιτωνίσκου. Καψικάπηλος, ὁ μετὰ τῶν τὰ ἄλφιτα μὴ διδόντων ἀλόμενος. Καψοί, οἱ τοῖχοι.

ΤΟ Κ ΜΕΤΑ ΤΟΥ Ε.

Κέαζε, διασχίζε, ἢ κλᾶ. Κέαθι, βοηθοί. Κέαρ, ἡ ψυχή. καὶ κῆρ, κατὰ κρᾶσιν. ἡ γενικὴ κέαρος, καὶ κατὰ κρᾶσιν κῆρος. ἡ κὴρ τῆς κηρός, ἐπὶ τῆς θανασίμου μοίρας. Κέαρ εὐφράνθην, ὅθεν Ἀριστοφάνης τὴν καρδίαν εἶπε κέαρ. ἀνωτέρω γὰρ τὴν καρδίαν φησίν, ὡς τὸ δ' ἐς δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν. Κέαρα, σίδηρα τεκτονικά, ἢ σχιδακά, ἢ ἀξίνη. Κέαρος, ὄρτυξ. Κεάσαι καὶ ἐπὶ ξύλα κεασάντων, ἐν ὀδυσσείᾳ κεῖται, λέγει καὶ κεφαλὴ βληθεὶς λίθῳ, ἂν δίχα πᾶσα κεάσθη, ἤγουν ἐκλάσθη, ἐσχίσθη. θέμα τὸ κεῶ κεάσω, ἢ κεάζω. ὅθεν καὶ κέαφος, ἡ κεαζομένη ῥάβδος, πλεονάσαντος τοῦ α. Κέασι, συνέτριψε, διέσχισεν.

Κεάσματα, κλάσματα, ῥήγματα, διεῤῥηγματα. Κέαται, ἀντὶ κεῖται. δῆλον ὡς ἰωνικὸν ἐστι, καθὰ καὶ διαλέκτου παρ' Ἡροδότῳ, ἀντὶ τοῦ διάκειται, ἢ ἐκ τοῦ κεῖμαι κεῖσαι κεῖται καὶ κέαται, ἢ ἐκ τοῦ κεῖται τρίτου προσώπου τῶν ἰωνικῶν, διαλύσει τῆς διφθόγγου ἰωνικῶς εἰς ε καὶ α, κεῖται καὶ κέαται, ὡς τέτευχαι τετεύχαται. Κέατο ἰωνικόν ἐστι. τὸ μὲν γὰρ κοινὸν ἔκειτο, τὸ δὲ ἰωνικὸν ἐκέατο. καὶ ἀφαιρέσει κέατο ἀπὸ τοῦ τρίτου τῶν ἰωνικῶν, ὥσπερ ἐτεύχατο ἐπεποίηντο. οὐ μόνον δὲ προστίθεται τὸ α, ἀλλὰ καὶ ἡ παραλήγουσα συστέλλεται, χωρὶς τῶν εὐκτικῶν τὸ τυπτοίατο καὶ τῶν ὁμοίων. Κεβαλὴ, κεφαλὴ κύαξ. Κέβλη, ἡ κεφαλὴ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ φ εἰς β, γίγνεται κέβλη. Κεβλήπυρις, ὁ ὀρίγανος. Κέβλος, κεφαλή, κύων. Κεβρήνη καὶ κεβρὴν, πόλις τῆς τρωάδος κωμαίων ἄποικος. Κεβρίονης, ὄρνεόν ἐστι φησὶν Ἀριστοφάνης τὴν κεβρίονην. ἔπαιξε δὲ ὡσεὶ ἔλεγεν, ὦ θεοὶ συμπλακεῖεν τὸ πόλισμα. ἐπιτηδείως δὲ τὸν πορφυρίωνα παρέβαλεν, ὅτι ὄρνις, καὶ ὅτι εἷς τῶν γιγάντων ὁμοίως τῷ κεβριόνῃ, ὃν ἐχειρώσατο ἡ ἀφροδίτη. ἐπίτηδες δὲ τὸν θεομάχον ἐμνήσθη, ἐπεὶ καὶ αὐτοὶ θεομαχήσουσιν. Κέγκλαος, εἶδος ὀρνέου θαλασσίου.

Κέγχεται, τέτρωται. Κεγχοῦσθαι, τιτρώσκεσθαι, τετρῶσθαι.

Κέγχω, ἐπιλάκκει. Κεγχραμὶς, τὸ ἔσω τοῦ σύκου σπερμάτιον. Κεγχραμιδοπώλης, τραγηματοπώλης. Κεγχρεαί, ὄνομα τόπου. Κεγχρεῶν, σπερμάτων ὁμοίων κέγχρῳ.

Κέγχρος, ὁ καρπός. Κεγχρίας, τριόρχης. Κεγχριμίδες, τὰ σύκου καὶ τῶν ἐλαιῶν οἱ πυρῆνες. Κεγχρίνα, τὸ ἐκ κέγχρου ἕψημα. Κεγχρίνη, εἶδος ὄφεως, καὶ ὁ ὄφις, καὶ ὁ κεγχρίτης ὁμοίως, ὃν ἔνιοι λυκόσπορον καὶ κεγχρίνην ὀνομάζουσιν. ὅτι δὲ ταῦτα εἴδη ὄφεων ἐστι, Νίκανδρος λέγει. Κεγχρίνης, εἶδος ὄρνιθος, ὃ λέγεται μαλ' ὅλως διψᾶν, ἢ εἶδος ὄφεως. Κεγχρὶς, ὀρνέου εἶδος. Κέγχρος, εἶδος βοτάνης, καὶ σπερμάτιον μελίνῃ ἐμφερές. Κεγχρώμασι, ταῖς περιφερείαις καὶ τοῖς κατατρήμασιν. Κεδάζω, σκορπίζω, ἐξ οὗ τὸ διεδάσε. πρωτότυπον τὸ κεδῶ, οὗ παράγωγον καὶ τὸ κεδαίω

γίνεται

θρυλοῦντος. Καθμηλοσκολίον, ὑπερχείριον, παρὰ τοῦ Σωκράτει. Καθμόσαι, ἀπὸ κοινοῦ τοῦ θεῖν καθμόσαι, ἢ ὀμόσαι. Κατ' ὄναρ, οὐ γνήσιον λέγειν, ἀλλ' ὄναρ καὶ κατὰ τοὺς ὕπνους καὶ ἐνύπνιον. κατ' ὄναρ δὲ Πολέμων ὁ ἱστορικὸς [illegible] Δημοσθένους τοῦ ῥήτορος εἰκόνα χαλκῆν ἐν Ἀσκληπιοῦ τῷ ἐν [illegible] μουσείῳ ἀνατεθεῖς, ἐπιγράφειν ἐπίγραμμα τόνδε. Δημοσθένης παιανιεὺς Πολέμων κατ' ὄναρ, ἀλογιμωτάτου τοῦ κατ' ὄναρ [illegible]. ὥσπερ γὰρ καθ' ὕπαρ οὐ λέγεσθαι, ἀλλ' ὕπαρ, οὕτως οὐδὲ κατ' ὄναρ, ἀλλ' ἐνύπνιον ἰδών, ἢ ὀνειρώξας. οὕτως ἄρα μέγιστον ἦν ὀνομάτων γνῶσις, ὅπου γε δὴ καὶ τὰ ἄκρα τῶν [illegible] πταίοντα ὁρᾶται, Φρύνιχος. Κατηπέζει, ἀποπρήθει, ἀκολουθεῖ. Κατηπέζων, διώκων. Κατόπιν, ἀντὶ τοῦ ὄπισθεν. Ἀριστοφάνης, ὅς ἂν ἀκολουθῶ κατόπιν ἀνθρώπου τυφλοῦ. λευκιανὸς, κατόπιν δὲ ἠκολούθει. Κατόπιν, ἑορτῆς ἥκομεν, οἷον μετὰ τοῦ. Κατέσπασαν, κατέσκαψαν. Κατοπτεύω, ἐποπτεύω, ἐπιβλέπω, ἢ καθορῶ. Κατόπτης, ἐπιτηρητής. Κάτοπτον, κάτωπτον, ἢ φανερὸν, ἢ ἔναργυ. Κάτοπτα, ὁρατά.

Κατοπτρίζεσθαι, ἐν αἰσθήσει φαντάζεσθαι, ἢ ὁρᾶν. Κάτοπτρον, ὁ κοινῶς λεγόμενος καθρέπτης. ἔσοπτρον δὲ, τὸ κοινῶς φανάριον.

Κατοργᾶν, ὑπερακμάζειν. Κατοργῶν, πεπληρωμένος.

Κατορθῶ, τὸ ἀνδραγαθῶ. καὶ κατόρθωμα, ἡ ἀνδραγαθία.

Κατόρθωμα δέ ἐστι πρᾶξις ἀκόλουθος ὀρθῷ λόγῳ, ἢ νόμου πρόσταγμα. Κατορθῶσαι, ἐπὶ πολέμου καὶ τῶν τοιούτων. Κατορθὰν, ἡ ἀγορά. Κατόρρα, ἡ κατάρα, βωμὸς ἐπίλυτος.

Κατορρωδεῖ, φοβεῖται. Κατορύξουσι, ταφῶσι. Κατορύττει, ἀντὶ τοῦ κρύπτει. Κατορχάς, [illegible]. Κατορχοῦνται, σκιρτῶσιν [illegible]. Κατορχούμενος, καταπαίζων. Κατορύσσεται, κατακρύπτεται. Κατ' ὄσσων, κατ' ὀφθαλμῶν.

Κατοτέλης, [illegible] ὑπὸ τῶν οἰκούντων. Καταλάλα, παρὰ τοῦ Ἀπολλωνίου [illegible]. καταλαλὰ καλεῖται παρὰ τὸ ἄλσος. Σοφοκλῆς ἐν Ναυπλίῳ, [illegible] καταλάλα. καταλάλα τὴν [illegible] καὶ [illegible]. βάλλον δὲ τὴν κατάλυτρον, ἢ [illegible], καὶ συνεχῶς ἔχοντα ἄνεμον. Κατ' οὐρὰν, κατόπισθεν.

Κατουρίζεις, οἱ [illegible] πάντα καλὸν [illegible], ἢ μὴ [illegible].

Κατοφρυούμενος, μεγαλοφρονῶν. Κάτοχα, τὰ τυγχάνοντα κατεχόμενον. Κατόχιμοι, κατεχόμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων. Κάτοχος, ὁ ἐνθουσιῶν. κατοχὴ ἐπιληψίας, ἐπιληψία ἐπὶ σώματος. ὅθεν καὶ ἐπίληπτος, ὅπερ γίνεσθαι ἀπὸ νόσου. τὸ δὲ κάτοχος ἀπὸ τοῦ θεῖα ἢ θεοῦ. ὅθεν καὶ τοὺς προφήτας κατόχους εἶπον, ὑπὸ τοῦ θείου κατεχομένους. Κατράγοντες, οἱ βόσκοι. Δαλκαιῶν. Κατρεὺς, ὄρνις ποιός. Κάτρεον, [illegible].

Κατρὸς, κακός. Κάττης, κάττα, ὁ κατοικίδιος αἴλουρος.

Κατύω, εἰσχωρίζω, συῤῥάπτω. Κατύσσεσθαι, ἀπολύεσθαι ἐκ τῶν κατυμάτων. Κατύεσθαι, ἀντὶ τοῦ συντίθεσθαι, ῥάπτεσθαι.

Κάττυμα, ἀπάτη, δόλος. Καττύματα λέγονται, οἱ μικροὶ ἱμάντες οἱ ἐπὶ τοὺς κώπας ἐῤῥιμμένοι. καὶ παρακαττύομαι, ἐκ συλλογῆς εὐτρεπίζομαι, παρὰ τοῦ Ἀριστοφάνει. Καττὺν, ἐπίτευγμα δερματίου. Καττύω, κατασκευάζω, καὶ τὸ ὑπόδημα ῥάπτω, ἢ τοιοῦτό τι. καττύσσεσθαι, ἀπολύεσθαι ἐκ τῶν καττυμάτων. καττύεσθαι, συντίθεσθαι καὶ ῥάπτεσθαι. Καττύματα, τὰ ἄκρα δέρματα καὶ εἰς μικρὰ τετμημένα. Κάτω ἐστὶν, ἔλθον κάτω, καὶ κάτω εἰμί. πάντα ἐπιῤῥήματα ἀπὸ προθέσεως ἀρχόμενα, διὰ τοῦ ω μεγάλου γράφεται. οἷον ἀνὰ ἄνω, κατὰ κάτω, εἰς εἴσω, ἐξ ἔξω, καὶ πρὸς πρόσω. ὁμοίως καὶ τὰ ἀπὸ ἐπιῤῥημάτων γινόμενα διὰ τοῦ ω εἰσίν, οἷον ἐγγὺς ἐγγυτέρω, ἔξω ἐξωτέρω, κάτω κατωτέρω, κατωτάτω καὶ κατώτατος. Κατώγειον, ἐπὶ θηλυκοῦ ἢ ἀρσενικοῦ διὰ τοῦ ι ψιλοῦ ἢ ω μεγάλου, ὁ ἀνώγεως καὶ ὁ ἀνώγεως καὶ τὸ ἀνώγειον καὶ κατώγειον. κατώγειον δὲ λέγουσιν οἱ κοινοί. Κατώλυνος, λαμπροί. Καταβάλλοντος, καταβάλλοντος. Κατωδαίμονος, ἀπαγγελόμενος. Κατωκάρα, ἐπὶ κεφαλὰς ἐκάθισας. Κατωκάρα, κατωφερῶς. ἔστι τὸ ἐπὶ τῆς κεφαλῆς πίπτειν, κατωκάρα ἀττικῶς φασίν. Κατωκάρα, κατὰ κορυφήν, οὕτως οἱ ἀττικοὶ φασὶν λέγουσι. Κατωλολύξαν, ἀντὶ τοῦ κατέκλωσαν εἰς οἴκημα, ἀπαλείψασαν. Κατωλιγώρησαν, ἐπεκατέφυγον, καὶ ἀντὶ τοῦ κατεφρόνησαν.

Κατώλισθον, κατέπεσον. Κατώλεσα, κατέφαγον. Κατωμαδὸν ἔλασεν ἵππους παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀναπειθόμενος ἐπὶ ὤμων τὴν μάστιγα. ὤμων δὲ ἢ τῶν ἑαυτοῦ ἢ τῶν ἵππων. καὶ κατωμάδιον δίσκον, ὃν ὡς εἰκὸς ἐπὶ τὰ ὀπίσω τις ἀφίησιν.

Κατωμαδὸν, κατὰ τῶν ὤμων. Κατωμιαῖος, ὁ ἀπὸ τῶν ὤμων ῥίπτων ἐπὶ τὴν γῆν ἵππος. Κατωμογίον, κατωμοφόρον, κατεῖφε σου. Κατωμοδείαν, τὸ μεθ' ὅρκου βεβαιοῦσιν, οἷον εἰ πᾶν τὸ σκῆπτρον. Κατωνάκη, ἱμάτιον ἔχον ἐκ τῶν κάτω μερῶν. τοιοῦτος [illegible] διφθέρα περιῤῥαμμένον. σημαίνει καὶ δουλικὸν καὶ ἀνελεύθερον χιτῶνα. Κατωνάκας, δουλικὸς καὶ ἀνελεύθερος χιτών. Κατωνάκη, τὸν χοῖρον ἀποτιλλαίνειν τὰς δούλας φασί. Κατωπιάσαι, καταφῶσαι. Κατωραΐζεσθαι, σημαίνεσθαι. Κατωρὲς, κάτω ῥίπτων. Κατωρυγῶσιν, ταφῶσιν. Κατώρυχα, κατορωρυγμένα. Κατωρυχίας λίθοι, οἱ κατορωρυγμένοι, ὅπερ οὐ τεθεμελιωμένοι. ἢ τὸ μὲν κατωρύσσεται, τὸ δὲ ὑποφαίνεσθαι. γονῆ δὲ οἱ ἕλληνες διὰ τὸ μέγεθος. Κατωρχήσαντο, ἐνέπαιξαν, κατεχόρευσαν. Κατώτερα μέρη τῆς γῆς, τὸν θάνατον λέγει ὁ Ἀπόστολος. Κατωφερὰς, ὅτι βαρύνεσθαι, ἐκλείπειν. ὅτι δὲ περισπᾶται, [illegible]. Ἴωνες δὲ ἀπὸ τοῦ καταφαγεῖν τὸ ὄνομα πεποιήκασι. Κατωφερὴς, ὁ κάτω φερόμενος. Κατωτίδας, ἅς οἱ νομεῖς κατὰ τῶν ὤμων φοροῦσι δέρματα. Κατωχαιος, ὁ κάτοχος τοῦ τυγχάνοντος κουρίως. Κατώχεσθε, πολλά, ἐπιπέδοντα. Κατώχοντο, κατέβαινον, κατῄεσαν. Καυάζοντα, αὐχεῖν ἀγάζοντα. Καυαλίον, ἡ καυαλὶς ὑπὸ αἰολέων, τὸ ὄνος, ὁ κατακαλάζον, καυρὸν, ξηρὸν, θερμόν. Καυαλὸς, μωρολόγος. Καυαξ, λάρος. Καυάζαι, συντρῖψαι. Καυαρὸν, κακὸν, πονηρόν.

Καυᾶς, εἶδος πλοίου κερότος, ἔτι μέγιστοι αἱ χρείαι τοῦ. Καυθαλος, ὁ μαλακός. Καυκαλίας, ὄρος ποιός.

Καυκαλίς, βοτάνη τις ὁμοία κορίῳ, καὶ ἔρως. Καυκίον, ἀμφίκιον, καὶ ἄγριον λάχανον. Καυλίον, ὁ κατανάλωτος εἶδος ἰχθύος, καὶ τῶν κυνῶν μέρος. Καυκίον, παρ' ἡμῖν. κόλαξ δὲ, παρὰ Σφοῖς. Καύκωνες ἔθνος παφλαγονικὸν ἔθνος, καὶ περὶ τούτων ὁ Γεωγράφος πολλὰ λέγει. Καύλαξ, ὁ λάρος, διὰ τὸ ἀλληγορεῖν. καυὼ γὰρ ἡ τροφή. Καυλὸν λέγει Ὅμηρος τὸ καθειμένον ξύλον εἰς τὴν ἐπιδορατίδα, ὅπερ εἰς τὸ κοῖλον αὐτῆς ὡς τὸ ἐν καυλῷ ἔχει δολιχὸν δόρυ. Καυλὸς, τὸ ἄκρον ξύλον, ὃ ἐπιτίθεσθαι τῇ αἰχμῇ. Καυλὸς δόρατος, ὁ τοῦ σιδήρου τῆς ἐπιδορατίδος ἐκείμενος. ὡς εἶπεν τὸ δόρυ παρὰ καυλὸν ὄπισθεν τῆς αἰχμῆς. καὶ ἀλλαχοῦ παρὰ τοῦ ποιητῇ, ὡς τὸ ἀμφὶ δὲ καυλὸν φάσγανον ἐῤῥαίσθη. ὥς τε οὐκ αἰχμῆς μόνον καυλὸς, ἀλλὰ καὶ ξίφους. καὶ εἴη ἂν τοιοῦτος καυλὸς τὸ κατὰ τὴν λαβὴν τοῦ ξίφους ἐπίμηκες καὶ στενὸν, ἤτοι κάτω τοῦ ξίφους, ἀφ' οὗ καὶ καυκίον αὐτὸ παρονομάζεσθαι. Καυλὸς, ἡ μὲν ῥίζα τῆς πόας ταύτης σίλφιον ἰδίως ὀνομάζεσθαι. ἔστι καὶ καυλὸς τις τόπος παρὰ τοῦ Ἱπποκράτει. Καυλῷ, τοῦ ἄκρου τοῦ δόρατος.

Καυλωνία, χώρα. Καυλωνία, ἐκ τοῦ αὐλωνία κατὰ πλεονασμὸν τοῦ κ, σημαίνει δὲ τὸ αὐχεῖν ἐπὶ χρυσοῖς πράγμασι. αὐσίφρον δὲ ἐπὶ φαύλοις κέχρηται, ὡς τῇ ἀκρίωσι αἰσχύνεσθαι.

Καῦμα, τὸ κεκαυμένον ἆσμα, ἡ θέρμη, ἡ πύρωσις. Καυματία, καυμαλεόντιον. ἢ καυμαλάκιον διὰ τὸ πρὸς τὸ καῦμα ἐπιτήδειον. ἐν ἐπιγράμμασι κανονίζη, ἵνα παρειὰν [illegible] σωμάτων ὅπλον, καὶ σκέπας ἐν πολέμῳ, καὶ κόρυς ἐν πολέμῳ.

Καύματος

ος φύσει, καὶ κατηγορῶ τὸν ἀδικίαν. Κατηγορῶ, οὐ μόνον ἐπὶ κακοῦ, ἀλλὰ καὶ ἐπὶ καλοῦ τάττε. Φιλόστρατος εὐμουσίαν κατηγορεῖ τοῦ ἀνδρός, ἤγουν ἐπαίνει αὐτοῦ ἀγορεύει. ἐνταῦθα γὰρ ὁ κατὰ ἐπαίνου γίνεται δηλοῖ, εὕρηται ἅπαξ καθολικῶς κατηγορεῖσθαι, ἀντὶ τοῦ κατηγορῶ. ἰστέον, ὅτι τίθεται ἐπὶ κακοῦ ἡ κατά, δηλοῖ καὶ πρόθεσις ἐπὶ ὀνόματος, οἷον τὸν ἔπαινον τὸν κατ' αὐτοῦ. οὐ γὰρ τὸν ἔπαινον δηλοῦται ἡ δύναμις τῆς κατά.

Κάτηδα, κατέβεβρωμένα. Κατῄδεσαν αὐτήν, αἰσχυνθῆναι ἐποίησαν αὐτήν. Κατῄδεσα, αἰσχυνθῆναι ἐποίησα. Κατηλιψ ... ος, ἀντὶ τοῦ κατὰ τοῦ ἐμπαρολόγος, ἐφλεγμένος. Κατηθαλωμένη, πεφρυγμένη. Κατηθαλωμένον, ἢ καυθῆναι λελεσμένον, ἢ τὸ καταλαμπόμενον ὑπὸ τοῦ ἡλίου. τὰ γὰρ ὑπερέχοντα τῶν σωμάτων πρώτως καταθάλπονται. Κατηθοίκω, καθωμιληκότων. Κατηθλημένον, ἐγγεγυμνασμένον. Κατήκιζον, ὕβριζον, ἔσειον. Κατηκισμένους, βασανισθέντας, ἠκισμένους. Κατηκίζετο, ἐβασάνιζεν, ἐμάστιζεν.

Κατήκισσε, ἀντὶ τοῦ κακῶς ἔπαθεν, ἐκ μεταφορᾶς τῶν αἰσχυνομένων σωμάτων. ἡ δεινῶς καὶ ἀσπαλίως ἔχει τῆς προτέρας καταστάσεως, παρ' Ὁμήρῳ. Κατήκει, ἀκροατὰ ὑμῖν ἐστίν. Κατήκοος, τῆς λυπηρᾶς ψυχῆς κατήκοος. Καταλαζονεύεσθαι, κατακαίρειν αὐτοῦ. Κατηλίτους, ἐπέχει.

Κατηλίσσετο, φροντίδας ἐπίθετο. Κατήλθον ἐνίοτε, παρ' Ὁμήρῳ ἐν τῷ τῆς ὀδυσσείας, ἢ ἀντὶ τοῦ ἐπιδημεῖσθαι ὁμολογοῦ, ἢ ἀντὶ τοῦ ἁπλῶς ἦλθον. ἀττικοὶ μέν τι καὶ τὴν φυγάδα εἰς τὴν πατρίδα κατελθεῖν λέγουσιν, ἐπεὶ ἡ πατρὶς ἐπάνω εἶναι τῆς λιμένος ἐστί. Κατῆλιψ, μεσόδμη, μεσότοιχον, δοκὸς ὑπὸ ὃ βαστάζοντος τὴν ὀροφήν. οἱ δὲ ἐκρίωμα τὸ ἐν τῷ οἴκῳ, ὃ καὶ βίλιον. Κατηλοημένη, συντετριμμένη. Κατηλοίησαν, κατεστήριξαν. Καταλυσίς, ἡ κάθοδος καὶ ἡ ἐπάνοδος. Καταλυσιν, κατάλυσις, πόρνη. Καταλυκοῦν, κρατηθείς. Καταμαξευμένος, τετριμμένος. Καταμαξευμένα, κοινά, καταπεπατημένα, τετριμμένα, γεγυμνασμένα. Κατημύσσον, κατέξυον, κατεσπάραξαν. Καταμιλὺς, κατάκοπος. Κατημίλυκος, ἀντὶ τοῦ ἠμέλυκος. Κατήμυσαν, ἐκοίμησαν, τὰς λύχνους κατεκλίνησαν, παρὰ τῷ Ἀπολλωνίῳ.

Κατημύχθη, ἐσπαράχθη. Κατήνεγκε, κατήνεγκαν.

Κατηνασσομένα, ἀπολωλότα, ἐκλελαρμένα, ἐσχυλαμένα. Σοφοκλῆς, αἰχμὴ μαστιγοφόρῳ. Κατηνοῦν, ἠδοῦν. Κατηναρίζετο, κατηναρίσατο. Κατηνέγκα, κατενήνοχα.

Κατηνεχθησαν, παρεκαλέσαν. Κατηνυσαν, ἐτέλεσαν. Κατηνεσαν, κατηνεγκαν. ἔχει τὸ ι. ἐκ γὰρ τοῦ κατακαινοῦ κατακαινοῦς κατακαινοῦ. Κατηπίδον, κατηπιάζοντο. Κατοργισθέντος, καταγνωσθέντος. Κατοργανίσαι, ἀνόργανον εἶναι.

Κατηργημένος, κατεπαυσμένος, κατεστημένος. Κατῆρε, κατέπλευσεν. Κατηργημένος, πελιδνός, κατεπηγμένος.

Κατήρεα, κατέβαλεν. κυρίως γὰρ σημαίνει, τὸ καταβαλεῖν, παρεταλικῶς ὥρισεν ὥραις, ὥρισαν ὥρας, ὥρει καὶ κατήρει, κατελάμβανε, παρὰ τὸ αἱρῶ τὸ λαμβάνω μιμόμενον, ὃ σημαίνει τὸ καταλαμβάνω. μὴ διὰ τοῦ αἴρω αἱρεῖται. Κατηρίδον, παρωξύνθη.

Κατηρείκετο, κατηχίζοντο. Κατήρειψαν, ἀπώλεσαν.

Κατηρεφὴς, κατηρεφομένη ἐν ἐρήμῳ. Κατηρεφία, κατεσκευασμένα. Κατηρεφὶς, οὐ μόνον τὸ ὑψηλὸν ἁπλῶς, ἀλλὰ καὶ τὸ καλόχαρι δίκην ὀρόφου, ὅτι ἐπικὸς ὀρόφῳ. Κατηρέφθη, τουτέστι πυκνῶς ἐσκεπάσθη. Κατήρια, κρεμαμένη.

Κατήρεισε, κατήρισεν, κίρνησεν. Κατῆρξε, συνέκλεισε. Κατηρομαίνει, μεγαλοφρονεῖ. Κατήρεισε, ἐφύτευσε, ἐγέννησε. Κατηρράχθη, ἐπέσε, πεπλάσθη.

Κατήρτισε, καθαίρων, σωφρονεῖ, παρὰ τῷ Ἱπποκράτει.

Κατηρτισμένα, τέλεια. καὶ ὁ Ἀπόστολος, σκεύη ὀργῆς κατηρτισμένα. Κατηρτίσω, ἐτελείωσας. Κατηρτυκέναι ... ἐπιτρεπόμενα, ἢ ὅλων ἀφελόν ἐστιν. Κατηρεφέα, καὶ βρίθουσαι καὶ κατηρεφέουσαι ἄμπελοι. λέγει δὲ τὰς χρυσᾶς ἀμπέλους, παρ' ὅσον οὐκ ἐκλελοιπόν. Κατήρυγον, κατηκλυσμένον καὶ κατεχόμενον. Κατῆσαι, κατακλεῖσαι, καθομιλῆσαι. Κατησαλτίω, κατεκελευσάτω, καθωμιλησάτω. Κατῆξον τὸν λόγον, ἐκ τοῦ ἄλλου. Κατηύχοντο, κατηρῶντο. Κατηφέες, κατεδάκρυσεν διὰ τὴν λύπην. Κατηφῆσαι, ἀντὶ τοῦ δυσανασχετῆσαι. Κατήφεια, κατηφία, συννοίας, ἔνδειας, αἰσχύνη, αἰδὼς, ἄνοια, καὶ κατήφεια, σκυθρωπότης. Κατηφὴς, ὁ ὑπὸ αἰσχύνης κάτω νεύων τοὺς ὀφθαλμοὺς, ἤγουν ὁ αἰσχυνόμενος. παρὰ τὸ φῶ, τὸ φαίνω γίνεται παράγωγον, φάω φάος, καὶ ἐν συνθέσει μετὰ τῆς κατὰ προθέσεως γίνεται κατηφὰς, καὶ ἐν συγκοπῇ κατηφὴς, ὁ ἔχων κάτω τὰ φάη, ἤγουν τοὺς ὀφθαλμούς. Κατήφιον, ἐκ τοῦ κατηφῶ κατηφιῶ. τὸ μὲν κατηφιᾶν, κοινόν. ὅμοιον δὲ καὶ τὸ μαλῶ μαλιῶ καὶ μαλιῶ. δῆλον δὲ, ὅτι ταυτὸν τὸ ἀκάχονται καὶ τὸ κατήφησαν. Κατηφιᾶν, ἐκ τοῦ κατηφιῶ, τὸ λυποῦμαι.

Κατηφίη, αἰσχύνη, συννότης. Κατηφόνες, παρ' Ὁμήρῳ ἐν τῷ ω τῆς ἰλιάδος. οἷον, αὐτόχρημα κατήφειαι. θηλυκὴ γὰρ ἡ προσηγορία κατὰ τὸν Ἀρίσταρχον. διασαφητικὸν δίχως ἐστὶ τὸν τοῦ κακὰ τέκνα. καὶ ἄλλως δὲ κατηφόνες, καθ' ὃν φόνος ἐφίσιος. ἵνα ᾖ τὸ μὲν πρῶτον ἀναλόγως τῇ κατηφείᾳ, ὧν εἶναι χρὴ κάτω τὰ φάη ἐπιστρεφόμενον τὸ βλέπεσθαι. τὸ δὲ δεύτερον, ὡς ἐκ τοῦ φῶ, τὸ φονεύω. ἵνα εἴπῃ κατηφόνες, οἱ φόνῳ κατάξιοι. καὶ κατηφόνες, αὐτοὶ, ἢ ἀναισχυντοι. Κατηχήθησαν, ἐδιδάχθησαν. Κατήχθη, ἐς τὴν πατρίδα ἐπανῆκε.

Κατηχθισμένος, βεβδελυγμένος. Κατηχίζον, ἐνουθέτουν, ἐπετίμων. Κατηχίσω, εἰκολομήσω. Κατηχθίζετο, ἐμισεῖτο. Κατηχούμενος, διδασκόμενος. Κατηχῶν αἰτιατικῇ, προσφερόμενος, πληθυντικῶς. καὶ κατηχῶ δὲ, ἀντὶ τοῦ ἠχῶ γενικῇ.

Κάτθανεν, ἀντὶ τοῦ κατέθανεν. ὀφείλοντα διὰ δύο γράφεσθαι λαβεῖν, οἷον κάθθανεν. ὅμως δὲ ἀνέσεσι χρὴ αὐτὸς συμφώνου ψιλοῦ γράφεσθαι, ἵνα μὴ εὑρεθῇ ἐν ἑλληνικῇ λέξει δασεῖας διπλασιασμός. Κάτθεμεν, θεῖναι. Κάτθεο, κατάθου.

Κατακαλλόμεναι, συνδεδεμέναι πάλιν τῷ Ἱπποκράτει.

Καθίσαι, τὸ κατέρχεσθαι. καθίει μὲν ὁ βασιλεὺς ἐφ' ἑσπέραν. καθιᾶσι δὲ, τὸ χαλᾶσι κυρίως τῶν ὑγρῶν. οἷον καθιᾶσι τὴν ὁρμιὰν ἢ ἄγκυραν, ὡς ἀπὸ τοῦ καθίημι. καθίημι δὲ δύο σημαίνει. ὧν τὸ μὲν λαμβάνεται ἐπὶ ἐνεδρεῖας, οἷον καθῆκα λόχον, ὡς καὶ Ξενοφῶν. καὶ βαρβαρικὸν μὲν ῥῆμα συνεθές, τὴν σφαγίαν δὲ καθίστατο τοῦ λοχιτῶν τὴν ὠμότατην. ὅτι ὑποβαλὼν, καὶ εἰς δέλτον καθίσας. Κάθθε, διώρυξ. Κατ' ἰδίαν, ἰδίως. Κατ' ἰητρεῖον, τὰ κατὰ χειρουργίαν, παρὰ τῷ Ἱπποκράτει. Καθιστηρία, ἡ ἐπὶ καθόδῳ θυσία. Καθιδλόνθη, κατεμνηστεύσατο. Καθιδρῶ, κατορθῶ. Καθιδρύσαντες, περικαλύψαντες. Καθίεμεν, κατωρχήμεθα. Κατινές, ἐθίσει. Καθιχωμένος, κεκρατημένος. κατεχόμενος δὲ, ὁ ἄξιος αἰσχύνης, ἢ. Καθιχνεύθη, ἐξηράνθη, ἐλεπτύνθη.

Κατ' ἴχνος, κατὰ πόδας. Καθίδρυσε, ἐθρήνησεν. Κατιόντη, ἐρρύθμησε. Κατισβεσμένον, κατερρυπωμένον. Κατισχνῶσθαι, κατάχαλκα σκεύη. Κατ' οἶκον, κατὰ τὸν οἶκον. Κατοικτίζειν, οἰκτροτέρως ἐλεεῖν, ἐλέους τυχεῖν ἀξιοῦσθαι. Κατοιμώξαντες, στενάξαντες. Κατοιμώξας, κατακομψάμενος. Κατονοῦσθαι, καταφρονεῖσθαι. Κατοκνεῖ, ὁ νομίζων ἑαυτὸν μέγαν καὶ φρονῶν καὶ ὑπερηφανευόμενος. Κατονοῦσι, κατόψει. Κατοιχομένων, ἀπελθόντων, τεθνεώτων. Κατοκωχὴ, κατοχή. Κατοκώχιμος, κάτοχος ἰσχυρός. Κατ' ὀλίγον, κατὰ μικρόν. Κατολοφυρόμενοι, θρηνοῦντες.

μενον, κεκλεισμένα. Καταλῆφθαι, προκαταλελῆφθαι.

Κατέλοχε, κατέλεξε. Καταλυσιᾶσθαι, αἰδούμενον σπᾶσθαι. Καταλυσιασμένην, ὁ μὲν Δωρόθεος κατηρτισμένην. ἕτεροι δὲ συγκλεῖσθαι τὴν αἶγα ἐκ τοῦ εἰλεῖν καὶ σπᾶσθαι.

Κατείλυτο, εἰσεδέδυτο. Καταλυτήριον, καταβλέφαρον. Καταλωβησάμενος, καταλελωβημένος. Κατημένων ἐλθών, μακροσκελῶς ἠμφιεσμένον ἐν αὐτῷ. Κατείπον, φησὶ δὲ πάντα εἶπεν κατείπον, Ἰωνικῶς, ἀντὶ τοῦ καταλιπεῖν, ἀπὸ τοῦ ἴω ἰοῦ καὶ ἴτω. Κατεῖπε ῥητικῇ, κατηγόρησεν. Κατειπὼν, διαβαλών. Κατείργω, ἐκώλυον.

Κατειργαζόμενος, ἐκώλυον, καταγωνιζόμενος. Κατειργμένος, ἐγκεκλεισμένος. Κατείρα, ὥσπερ, πέλτη. Κατείρουσιν, καθέρπουσιν διαβιβάζειν. Κατειρωνεύεσθαι, ὑποκρίνεσθαι, διαλύεσθαι, μεγαλοφρονεῖ. Καθεῖσαι, κατέρχεσθαι. Κατεῖσθαι, ἐξεῖναι. Κατεκαμάρωσαν, κατεσόβησαν. Κατέκαυσαν, ἀνεῖλον, ἔφθειραν. Κατεκαλλώπιζε, ἐκόσμει, ἐλαμπρύνετο. Κατεκαῦθε, ὀπτικόν. κατεκάη, ἑλληνικόν. Κατεκείνο, κατὰ κεῖνον. Κατ᾽ ἐκεῖνο καιροῦ. καὶ ἐγὼ μὲν φυλάττεσθαι παραινῶ οὕτω χρῆσθαι. ἀλλ᾽ ὅτι Θουκυδίδης εἴρηκε, ὀκνεῖν ὡς χρῆσθαι, χρῆσθαι μὲν, σὺν δὲ τῷ ἄρθρῳ. παρὰ μὲν γὰρ ἄλλῳ τῶν δοκίμων οὐχ εὗρον. ἡγοῦμαι δὲ καὶ Θουκυδίδην ἐν τῇ μὴ τοῦ ἄρθρου εἰρηκέναι, κατ᾽ ἐκεῖνο τοῦ καιροῦ. Κατεκεμάζοντο, συνέθραυον. Κατέκλασε, συγχέω ἤλειψεν.

Κατεκέλευσε, κατεσπάραξε. Κατεκλάσθησαν, ἀπεῖλον.

Κατεκλείσθη, κατεκέκλειστο, κατακεκλεισμένους εἶχεν.

Κατεκλίθη, ἐκλίθη. Κατεκλάσθη φίλον ἦτορ, μεταφορικῶς ἀπὸ τοῦ ξύλου, ὅλως κλασθέντα, ἃ κατακεκλασμένα φέρονται τοῦ ὁμοίως ἔχειν. Κατεκλάσθης ἐς λάρνακα, παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ κατεκλείσθης, ἀπὸ τοῦ κλείω. Κατεκλίνομεν, ἀντὶ τοῦ ἀνεκλίνομεν. Κατεκνίσαμεν, κατέξεσεν. Κατέκνισε, ἀντὶ τοῦ ἔτεμε, ἐτάραξε, παρὰ τῷ Ἀριστοφάνει. Κατεκόλπωσαν, ἐφενάκισαν. Κατέκτεινεν, κατεσφάξατο. Κατέκτα, συνέλλει τὴν λέγουσαν κατὰ τοὺς παλαιοὺς, ὡς μὴ ὀρθοτέραν συντηρίαν, ἀλλὰ ἀποκοπὴν ἐκ τοῦ ἔκτανε, ἢ κατέκτανε. ἐπὶ μὲν κατέχομεν, δοκεῖ δὲ αὐτὸ αἰολικὸν εἶναι, ὡς ἀπὸ τοῦ κατακτὰς κατακτάντος, ἢ μᾶλλον ἀποκοπὴν πάσχειν ἐκ τοῦ ἔκτανον τρίτου προσώπου. Κατέκτανθεν, ἐκ τοῦ ἐκτάνθην ἐκτανθῶ, ὁ παθητικὸς ἀόριστος ἐκτάνθην, ὡς ἐφάνθην ἐκ τοῦ φαίνω, τὸ τρίτον τῶν πληθυντικῶν ἐκτάνθησαν, κατὰ συγκοπὴν ἔκταν- θεν, καὶ μετὰ τῆς κατὰ κατέκτανθεν. Κατέλαβεν, ἐπέλαβεν, ἐπέσχε τῆς ὁρμῆς. Κατελάσας, συνωσάμενος, ἀπὸ τῆς ἀλόγων φυγῆς. Κατελόγει, καταλέξαι. Κατελοχῶσαι, καταλέξαι, καταλέξαι. Κατέλιπεν, κατεκλίνετο. Κατελείβοντο, κατημείβοντο. Κατέλεξαν, κατεκοιμήθησαν. Κατέλεξαν, ἀντὶ τοῦ ἠρίθμησαν. δοκεῖ γάρ ποτε μὲν ἐν χρήσει παρὰ τοῖς παλαιοῖς εἶναι τὸ λέξαι, ἀντὶ τοῦ εἰπεῖν. Κατέλεξαν, ἀντὶ τοῦ ἐμέτρησαν. Κατελέγετο, ἐλέγετο, συνέταττε. Κατέλευσαν, κατέβαλον λίθοις, ἐλιθοβόλησαν. Κατέλεξε, κατέπαυσε. Κατελθεῖν, οὐ μόνον τὸ ἁπλῶς κάτω που ἐλθεῖν, ἀλλὰ καὶ τὸ εἰς λιμένα ἐλθεῖν. ὥσπερ καὶ καταβῆναι, καὶ καταπλεῦσαι, καὶ προσορμισθῆναι, καὶ κατᾶραι, τὸ ἐλλιμενίσαι λέγεται. τὸ μὲν τὸ ἐξᾶραι τοῦ λιμένος, ἀνελθεῖν, καὶ ἀναβῆναι, καὶ ἀναπλεῦσαι, καὶ ἀναχθῆναι, λέγεται. Κατέλυσεν, ἔμεινεν εἰς τὸ καταγώγιον.

Κατ᾽ ἐμέ, Δικαιογενὲς ἤτοι κατ᾽ ἐμέ, ἀντὶ τοῦ ὅσον κατὰ τὴν ἐμὴν δύναμιν. καὶ κατ᾽ ἐμέ, ἀντὶ τοῦ ἐπ᾽ ἐμοῦ, ἤγουν ἐπὶ ταῖς ἡμέραις μου. Κατέμαρψε, κατέλαβεν, ἢ κατέβαλεν.

Κατ᾽ ἐμαυτὸν, κατὰ τὴν ἐμὴν δύναμιν. Καταμεγαλαυχήσαντες, μεγάλως ἐπαυχήσαντες. Κατέμαρπτε, κατελαμβάνετο. Κατεμαλάκισεν, ἀδύνατος ἐγένετο. Κατεμέ-

ζετο χθονίων, ἀντὶ τοῦ συνέξεσε ταῖς θηξὶ, κατὰ μίμησιν τῶν ἀμώντων. Κατεμυκτήριζον, ἐχλεύαζον. Κατέναντι, ἐναντίον. Κατενάρκησα, ἐβάρυνα. Κατένασσε, ἤγουν κατῴκισε, ἤγουν οἰκίζειν ἐποίησε. Κατενεῖκαι, κατήνεγκε. Κατενώπιον, ἔρχονται. Κατενηνεγμένος, κατέφαγεν, ἐπίελα- σεν, ἐβόσκησε. Κατένευσε σφωΐ, παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείᾳ ο΄, ἀντὶ τοῦ σημεῖον ἐλευθέρως δίδωσι τῇ κατανεύσει τῆς κεφαλῆς. νῦν δὲ καὶ διανεύειν λέγεται, καὶ μάλιστα διὰ ὀφθαλμῶν. Κατενώσθησαν, κατέχθη. Κατενώχει, συνουσία- ζεν. Κατενόρθου, ἐπέκτεινεν. Κατενώπιον. εἶναι τὸ τρίχω- ρον καὶ μετὰ τῆς ἐν προθέσεως εἶναι, καὶ κατὰ μετάθεσιν ἐνώπιον, ὁ μέλλων ἔσομαι, ὁ παρακείμενος ἦκα, ὁ μέσος ἥνεσα, καὶ ἀπὸ τούτου ἐνώπια, ον, ιον, ἤγουν ἐπίστεχεν. Κατενόπλιον, εἶδος ῥυθμοῦ, πρὸς ὃν ὠρχοῦντο ἐνόπλιοι τὰ ὅπλα. ἔστι δὲ ὁ ἐν ἐμμελείᾳ. ὁ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας ἐστὶν ὃ ἔχει ῥυθμὸν ἐκ τρισυλλάβων ἀναπαιστικὸν, ὃς λέγεται πάντας τοὺς δισυλλάβους πόδας. εἰ δὲ ἐνόπλιον τὸν ἀμφίμακρον, ὃς καὶ κρητικὸς καλεῖται, ἀπὸ τῆς κυρίως ἀναγομένης μίλους. τούτῳ γὰρ τῷ μέτρῳ προσορχοῦντο ἐνόπλιοι τὰ ὅπλα. καλεῖται δὲ ἐνόπλιον κατὰ δάκτυλον. Κατ᾽ ἔντευξιν, κατ᾽ ἐντυχίαν.

Κατενόησαν, ἐλογίσαντο. Κατεντακτικὸν, κατεντεταγμένον. καὶ κατεντακτικὸς, κατήγορος. Κατενταχθέντα, κατατυχθέντα. Κατένεσον, βαρύναν. Κατ᾽ ἐνῶπα, κατὰ πρόσωπον. ἰωνικὴ γὰρ ἡ πρόθεσις, ὃν τρόπον τὴν ἰωνικὴν ἰδέαν μεταπλάσας, οὕτω καὶ τὴν ἰωνικὴν ἐνῶπα. Κατ᾽ ἐνῶπα, ἄλλοι καὶ πλείονες προσπαροξύνουσιν, οἷς καὶ δεῖν πείθεσθαί φασιν Ἀπίων καὶ Ἡρόδωρος. ἡ δὲ συγκοπὴ τότε ἀπὸ τοῦ ἐνώπια, ὡς κυρία μῦρα, ἐντία οἶνα. εἰ δὲ ταῦτα προσπαροξύνονται ἐκ τῶν ἁπλῶν, ἀφ᾽ ἐκείνου προπαροξύνει ἡ σύνθεσις, ἀναδιδομένου τοῦ τόνου. ὡς ἐν τῷ κατάντικρυ, οὕτω καὶ ἐν τῷ κατένωπα. Ἀρίσταρχος δὲ ἐνῶπα φησὶν, ὡς κατὰ δῶμα. καὶ ἔστι βεβαιῶσαι καὶ αὐτῷ κατὰ τοὺς παλαιοὺς οὕτως. ἔστιν ἰωνικὴ ἡ πρόθεσις, ὡς τὸ κακὸν φράζουσαν ἐνωπῇ. οὗ αἰτιολογικὴ ἐνωπὴν, ὥσπερ ἰωνικὴν ἰδέαν, οὕτω μεταπλασμῷ ἐνωπὴν ἐνῶπα. Κατεξανίστη, ἀνέστη. Κατεξαμαρίζοντος, καταδικαζόμενος. Κατεξαναστάντες τοῦ μέλλοντος, προμηθῶς βουλευσάμενοι. Κατεξανίσταται, κατεπαίρεται. Κατ᾽ ἔξω λιθάσαι, ἔξω τῶν ὅρων.

Κατεπαλαίσθαι, καταπαλαισθῆναι. Κατεπάλλετο πρὸς αὐτὴν, εἰκάζει Δημόδοκος. Κατεπάδω, γοητεύω, πραΰνω.

Κατεπαλμένος, κατηγωνισμένος, καταπεπαλαισμένος. Κατεπάλμενος, ἐφορμήσας, καθαλλόμενος. Κατέπαλτο, καθήλατο.

Κατεπάζων, κατεπείγων. Κατεπείγει, κατασπουδάζει.

Κατέπεφνε, κατέσφαξε, κατεφόνευσε. Κατεπιφρόντικα παρὰ τῷ Ἀριστοφάνει, εἰς τοὺς φροντιστὰς ἐπάλλοντο. ὡς εἰ ἔλεγε καταπεφρόνηκα, ἢ εἰς τὴν παίδευσιν καταδεδαπάνηκα.

Κατεπίε, κατὰ τὸ ἐμπροσθεν τῶν θυρῶν μέρος. Κατεπιάσθη, ἐλυπήθη. Κατεπίμπρασαν, κατέκαιον. Κατεπίστευσαν, πίστιν ἔχουσαν. καὶ τὰ τέκνα αὐτῶν κατεπίστευσαν, καὶ ἀπέκτειναν καταπιστευθέντα. Κατεπισφάλεται, κατατρέχει.

Κατεπλάγη, κατεσκλήρυνεν. Κατέπλευσαν, καθείλαν, κατεπλάτυνον, κατέπλευσε, κατευθύνεσθαι, ἀπέπλευσεν, ἀπεπλάνησεν. Κατεπλάγη. πλαγῆναι μὲν φασὶν ἐπὶ σώματος, καταπλαγῆναι δὲ ἐπὶ ψυχῆς. ὥσπερ καὶ ἐκπλαγῆναι, οἷον ἐραστὴν μὲν ἐκπλαγείς, παρ᾽ Εὐριπίδῃ. ὅθεν καὶ ἔκπλαγος, καὶ κατὰ μετάθεσιν ἔκπαγλος, ὁ ἐκπλήττων δυνάμει. Κατεπόθησαν, κατεποντίσθησαν, κατέποθον. Κατεπτωχευμένον, ἐχθρὸν τέρας. πτωχὸς γὰρ ὁ μετὰ βλακείας ἐπερχόμενος, ὁ δόλος καὶ προσαίτης, καὶ μηδὲν μετὰ λογισμοῦ ποιῶν. Κατεπτόηνται, φοβηθέντες. Κατεπέλεγχον, συνεκάλεσαν. Κατε- πλεύσας,

δαμέντος χαλινῷ, οὕτω καὶ κατάχρυσος, καὶ κατάργυρος.

Καταχέει, κακολογεῖ. Κατὰ χεῖρα, ἕτοιμα, εὔχρηστα, ἢ ὁ τῶν πρὸς χεῖρα, καὶ εἰς πολλὰ χρήσιμος οἰκέτης. Καταχείρας, εὐκόλως. Κατὰ χειρὸς ὕδωρ ἐδέξατο, λέγει. οὐ κατὰ χειρῶν. Καταχειροτονία, ἔθος ἦν Ἀθήνησι κατὰ τῶν ἀρχόντων, καὶ κατὰ τῶν συκοφαντῶν, προβολὰς ἐν τῷ δήμῳ τίθεσθαι. εἰ δέ τις καταχειροτονηθείη, οὗτος εἰσήγετο εἰς τὸ δικαστήριον. ἔστι δὲ πολλάκις τοὔνομα, παρὰ τῷ Δημοσθένει ἐν τῷ κατὰ Μειδίου, καὶ Ὑπερείδης ἐν τῷ ὑπὲρ Χαιρεφίλου περὶ τοῦ ταρίχους. Δείναρχος δέ, περὶ τῆς καταχειροτονίας, καὶ Θεόφραστος ἐν δ΄ τῶν νόμων. Κατάχει τύλαιον ἐν τῷ χαλκίῳ. Ἀριστοφάνης, ἀντὶ τοῦ εἰς τὸν ὀμφαλὸν τῆς ἀσπίδος, ἵνα λαμπρότερος γίνηται. Καταχῇ, καταχέασιν, κατάγελως.

Καταχήνη, καταγελάσει, μυκτηρίσει, ἐξουθενίσει, καὶ ὑπὸ Ἀριστοφάνει παλαμίῳ ἐμφερὲς ζῷον ἀπὸ τῆς ἀκροχειλίας προβαλλόμενον, ὅπως τὰ πρὸς βασκανίαν. Κατὰ χθονὸς ὄμματα πήξας, ἀττικὸν ἦθος. ὡς καὶ τὸ τὰ κατὰ γῆς ὁ θεὸς οὐκ ἀγνοεῖ. χύσις δὲ συνεσταλμένως τίθεται παρ᾽ ἄλλοις καὶ παρὰ τῷ κωμικῷ, τὸ δὲ πῆξαι κατὰ γῆς τὰς ὄψεις, ὡς οἷα μαθόντα ἐμφερόμενος, διὰ χλευασμὸν καὶ ἵστασθαι ὑπολάμψον. Κατάχθονος, ὁ λιχνός, ὁ τρόφιμος. Καταχθόνιος, κατὰ γῆς, ἢ ὁ ἅδης. Καταχλιδάζω σε. γενικῇ δέ, καταχλιδάζοντες δὲ τῶν παρακλητικῶν λόγων οἱ ἀσώτως. Καταχρεμφόμενος, καταπτύων. Κατάχρησις, ἐπαγωγὴ εἰς μαρτυρίαν.

Καταχρᾶται, κακῶς χρῆται. Καταχρήσασθαι, ἀρκέσαι. Κατάχρησις ἐστι, λέξις μετενηνεγμένη ἀπὸ τοῦ πρώτου καὶ κυρίως ὀνομασθέντος ἐφ᾽ ἕτερον ἀκατονόμαστον. ἐκ τούτου συνηθείας λεγομένη, καὶ μὴ ὂν κυρίως, ὡς γόνυ καλάμου, καὶ ὀφθαλμὸς ἀμπέλου, καὶ χεῖλος κεραμίου, καὶ τράχηλος. κυρίως γὰρ ταῦτα ἐπὶ ἀνθρώπου λέγεται. ἢ πάλιν, ὑπάλειψις κυρίως μὲν ἀνθρὸς ἀπεκόσμημα. καταχρηστικῶς δέ, καὶ γυναικός. ἢ πάλιν, ὅταν τις ἐπὶ ποταμοῦ ἰχθύας ἀγρεύοντα, ἁλιέα εἴπῃ. κυρίως δὲ ἁλιεὺς, ὁ ἐπὶ τῆς θαλάσσης λέγεται. ἅλς γάρ, ἡ θάλασσα. ὁμοίως καὶ τὸ ψηφίζειν, κυρίως μὲν τὸ ταῖς ψήφοις ἀριθμεῖν. καταχρηστικῶς δέ, καὶ τὸ δακτύλοις. Διαφέρει δὲ τῆς μεταφορᾶς ἡ κατάχρησις. ὅτι ἡ μὲν μεταφορά, ἀπὸ τοῦ κατονομαζομένου ἐπὶ κατονομαζόμενον λέγεται. ἡ δὲ κατάχρησις, ἀπὸ κατονομαζομένου ἐπὶ ἀκατονόμαστον. Καταχρυσοῦσαι, καταλιθοῦσαι. Καταχρῶμαι τῆς λέξεως, ἀττικοὶ τῇ λέξει. Κατάχυσις, ὁμοίως. Καταχύσματα, τὰ καταχεόμενα ὄσπρια ἐπὶ τῶν νεωνήτων καὶ τῶν ὁμοίων. Κατάχυσμα, ζωμόν, παρὰ τὸ χέεσθαι. ἐλέγετο δὲ μὴ διὰ λελουμένον. ἄλλως, οὐδὲν πλέον, ἢ κατάχυσμα, ὅς τι ἄν τύχῃ, καὶ τὰ καταχύσματα λέγεσθαι. Καταχύσματα σύγκειται ἀπὸ φοινίκων, καλλύβων, τραγημάτων, ἰσχάδων, καὶ καρύων, ἅπερ ἥρπαζον οἱ σύνδουλοι. κυρίως δὲ ἐλέγοντο, ὅταν δούλους ἠγόραζον. ἔθεον γὰρ αὐτοὺς ἐπὶ τὴν ἑστίαν, καὶ κατέχεον, κατὰ τῆς κεφαλῆς κατέχεον κάλλυβα, καὶ ἰσχάδας, καὶ φοίνικας, καὶ τραγήματα ἄλλα, καὶ τραγήματα, καὶ οἱ σύνδουλοι ταῦτα ἥρπαζον. ἐλέγοντο οὖν ταῦτα καταχύσματα. Κατὰ χώραν μένειν, Ἀριστοφάνης οὐχὶ κατὰ χώραν μενεῖς, οὐκ ἐπὶ τῆς μονῆς, καὶ ἡσυχίαν χάσκεις ἐν ἐπιτόπῳ. Καταψαίρουσι, κινοῦνται. Καταψεφεῖ, κατασκοτίζει. ψεφὰς γὰρ τὸ σκότος, παρὰ τὸ ψεφάσθαι τὸ μελαμαίνεσθαι, καὶ οἷον σκότος περιτεθῆναι τοῖς λεγομένοις τὸ καταψεφεῖν. ἔσθ᾽ ὅτε δὲ καὶ τὸ φροντίζειν οὕτω λέγουσιν. Καταψηφίζεσθαι, κατακρίνεσθαι.

Καταψηφίζομαί σου ζημίαν, καταψηφίζεσθαι, κατακρίνω.

Καταψήσας, τῇ χειρὶ ὁμαλίσας. Καταψήχειν, ὁ πρίμνα, καλλύνειν καὶ ἐρεθίζειν. Καταψήχων, καλλύνων, ἀνατρίβων. Καταψιλοῦσθαι, ψιλὸν γενέσθαι. Καταψήχω, τρίβω καὶ ὁμαλίζω. Καταψῶν, καταψαίρων, ὥσπερ τὸν ῥύπον καταψῶντες ταῖς χερσὶν ὁμαλίζομεν. Κατεαγίσαι ἢ κατεαγῆναι, οὐ δὲ κατεάξαι, βάρβαρον γάρ. κατέαγα τῆς κεφαλῆς ἀττικοὶ λέγουσιν, οὐ τὴν κεφαλήν, ἤγουν κατὰ τῆς κεφαλῆς τὴν πληγὴν ἐδεξάμην. Διονύσιος, κατέαγα τὸ κρανίον.

Κατεάγει καὶ κατεαγότα, κεκλασμένα. Κατεαγότος. ἐ- χει θέμα ἄγω, τὸ κλῶ, παρακείμενος ἦχα, ὁ μέσος ἦγα, καὶ ἐν διαλύσει ἔαγα, ὅθεν μετοχὴ ὁ ἐαγώς, καὶ τὰ ἐξ αὐτοῦ κατεαγός. ὁμοίως ἐλλειπτικῶς ἀττικῶς, ἀντὶ τοῦ μέρος τοῦ κρανίου.

Κατεαγώς, καταβλαβείς. Κατεάθη, κατεκλάσθη, κατεβλάβη, ἐτρίβη. Κατέαξαν, κατέκλασαν. Κατεάσω, κατακυμανθείς. Κατέβαινον, ἀντὶ τοῦ κατεβαίνετον ἐφράσθη, ἀντὶ τοῦ κατέβαινον, κατὰ ἀνάληψιν. Κατέβαινε, κατέβλεψεν. Κατεβαυκάλισε, κατεκοίμισε. Κατέβαψεν, κατέλαβεν. Κατεβίβασε, κατῆλθεν. Κατεβόα, κατηγόρει, ἐμέμφετο. Κατεβρέχθησαν, κατέπιον. Κατεβρίθησαν, ἐμελλήσαν. Κατεγγυᾶν, παραδιδόναι. Κατεγέλασεν, ἐχλεύασεν, ἐμυκτήρισεν. Κατ᾽ ἔγκλησιν, κατὰ μέμψιν, κατὰ ἔγκλημα. Κατεδήδοκε, κατεφλυάρησε, κατεπράγη, ἐκ διαφθορᾶς, διάβολα. Κατεγνωκότων, ἐπιγνωσθέντος. Κατεγλωττισμένην, πολλαῖς γλώτταις μεμιγμένην. Κατέγνωσαν. ἀντὶ τοῦ καταγνόντων αἰδοῖον. κατέγνωσαν δὲ ἐπὶ καταγνώσεως, γενικῇ.

Καταγνωσμένος, καταγεγραμμένος. Κατεγνωκέναι, ἀντὶ τοῦ παρωμένος εἶναι καὶ μαλακός, ἀπὸ τοῦ εἰς γόνυ κλίνειν.

Κατ᾽ ἐγὼ ἐγράμμην, ἀντὶ τοῦ ἔπειτα ἐγὼ μετὰ ταῦτα ἐγήγερμαι ἐπὶ τῶν φωλευόντων. Κατεγείρασιν, ἀπέτασαν, κατεμεθύσθησαν. Κατέγραψεν, κατεῖρξεν. Κατεγυμνάσθη, ἐπὶ γυμνασίαν ἀνέλυσεν. Κατεδάη, κατεκάη.

Κατεδαπάνη, κατεδάη μετὰ συγκρίσεως. Κατεδάρθανε, καταχωμάσθαι. Κατέδαρθε, ἐκάθευδεν, ὕπνωσεν.

Κατ᾽ ἐδάφους, ἐπὶ γῆς. Κατεδαίσατο, κατέφαγεν, κατανάλωσεν. Κατέδει, ἐδίσμα. Κατέδουσι, κατέβρωσαν, κατέφαγον. καὶ ὅτε μὲν ἀθρόως διαστᾶσθαι καὶ γραφῆν, ὅτε δὲ τὸ κατεσθίειν. Κατεδηδεσμένον, καταβεβρωμένον. Κατεδήδοκεν, καταβέβρωκε. Κατεδηδοκώς. ἔδω, τὸ ἐσθίω, καὶ ἐδῶ ἐδῶ, μέλλων ἐδέσω, ὁ παρακείμενος ἔδηκα, καὶ ἀττικῶς ἐδήδοκα, καὶ ἡ μετοχὴ ἐδηδοκώς, καὶ κατεδηδοκώς. Κατεδημαγώγησε, κατεστρατήγησε, καὶ ἦρξε τοῦ δήμου. Κατεδίκασεν, κατέκρινεν.

Κατεσταλμένος, κατεσταλμένος. Κατεσίγησεν, ἐσιώπησεν. Κατέσχε, κυρίως ἐπὶ ὑγρῶν. οἷον ὕδατα καὶ τῶν ποταμῶν. Κατέστω εἰς λόγους, ἀντὶ τοῦ ὁμιλείτω. καὶ κατέστω εἰς ἀπολογίαν, ἀντὶ τοῦ ἀπολογησάσθω. Κατέστησαν ἕτερον, καὶ κατέστησαν παλαιῶς. Λουκιανός, οἱ γε αὐτοὺς τοὺς ἄλλους ἀντὶ θεῶν κατέστησαν. Κατεστάθη, ἀρχῇ τιμῆς ἀπὸ ἀλλήλων, ἀπολαύων, κατεσκεύασεν. Κατέσταλκεν, ἐσώρευσεν. Κατεστηριγμένον, πεποικιλμένον. Κατέστρεψε, πεποίηκεν. Κατεστρέφοντο, κατέστρεψαν, ἐστράφη. Κατεστρέψαντο, κατέστρεψαν. καὶ κατεστρέφοντο, ἐκολάσθη. Κατεστρατήγησαν, κατέστρεψαν πολεμικῶς. Κατέσυρε, κατεσύρησεν.

Κατέσυρον, κατεπλάγησαν, ἐμίσησαν. Κατέσχαζεν, ἐφοβεῖτο, ἀπὸ τοῦ σκύζω. Κατεσφιγμένον, περισχόμενον.

Κατεσχέθη, κατεσχέθησαν. Κατεσφραγίσθη, ἀπεκλείσθη, ἐσφραγίσθη. Κατεσχίσθαι λέγεται συντελεῖσθαι, ἀπὸ τῆς μεταφορᾶς τοῦ κατεσχίσθαι. Κατέσχισαν, τὸ καλέσασθαι καὶ ἐρα-

πίσθαι, καὶ ἀπολείπεσθαι παλαιῶς. Κατέσχημαι, κατέσχημαι δὲ βάρβαρον. τὸ γὰρ ἀμφίχειν ἔχω, ἀπὸ χέω χῶ, οὕτως καὶ κατέσχημένος, καὶ συνέσχημένος, καὶ ἀνέχομαι, καὶ περιέσχημένος. Λουκιανός, ὑπὸ ταλαιπώρου συγκατάλου περιεσχημένος. Κατεσχημένοις, κατέχεσθαι. Κατεσχηματισμένος, πεπαλαιωμένος. Κατέσχε, κατέλαβε, περιέσχεν. Κατέσχεν, προσωρμίσθησαν. Κατέσχετον, κατεκωλύθησαν. Κατέσχυσε, κατέσεισε. Κατέτειναν, ἀπελαύνων. Κατέτεινε, σφοδρῶς ἐτάθη, διέτεινε πρὸς πόρον. Κατέτεμε, ἐνέτεμε, ἐλαύνειν, ἐλαύνει. Κατετέθη, ἐσφάγη. Κατεστρατευσάμενος, ἐξαιρούμενος. Κατετίθει, κατέθηκε. Κατετρίβησαν, διετρίβησαν. Κατετρίβη, ἐφθάρη. Κατέτριψε, ἐκ ταῖς ὁδοῖς τῷ χρόνῳ. Καταπλήσσειν. Κατετρόπωσεν, ἔτρεψεν. Κατέτρεψεν, ἐπιτετηδευμένως, κατεκόπτοντο. Κατέτυχεν, ἐπέτυχεν. Κατεψηφίσαντο, κατέστρεψαν μέλλων τηρεῖν, ἐκ τοῦ ψήφου, ὁ ὀστράκων ἐν ταῖς ψηφίσεσιν, καὶ κατέψηφον. Καταψηφίζειν, κατάρα. Κατεψηφίσαντο, κατέθεντο, εἰς ἡσυχίαν ἦγε. Κατεψηφίσαντο, καταβαλὼν, καταβαλλόμενον.

Κατευθύνειν, κατευθυνόμενον. Κατευθυνόμενον, κατευθυνομένων. Κατευνάζω, κατακοιμίζω. Κατευνασθεὶς, ἰατρευθεὶς. Κατευνάσθη, κατεστάθη. Κατευνάσαι, τὸ καταπραΰναι. Κατευνάσαι, κατακοιμίσαι. Κατευνάσαιμι, λιχθεῖσα, ἐν καὶ κοιμήσαιμι, κατὰ τὸ κοιμηθείη μοι ῥινὸς ὅσσε. ἐπὶ δὲ καὶ λέξαιμι κατὰ ἔλιψε Διὸς νοῦν.

Κατευρύνθη, μεγαλύνθη, πλατύνθη. Κατευρίσκει, εὑρίσκει. Κατευχερῶς, εὐχερῶς, ῥᾳδίως. Κατεύχεσθαι, θεοφορεῖσθαι. Κατευχέτο, παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ εὔχετο, καὶ ἐπηύχετο. Κατευφραίνοντα, μιθύοντα. Κατεχθαίρεται, κατεχθαίρων. Κατέχομαι, τὸ καταρῶμαι, παρ᾽ Ἡροδότῳ δέ, τὸ ἐπευχόμενος εὐχόμενος ἐν τῇ πρώτῃ, πᾶσι πρὸς ἃ κατευχέσθαι γίνεσθαι. Κατεφοίτησαν, κατεβίβασαν. Κατεφύγγανον, κατέφυγον. Κατέφυγε, κατέφυγεν. Κατεφώρασεν, ἤλεγχεν. Κατέχειν, λαμβάνειν ἄρα τῷ τελειωθῆναι χάριν κατέχειν, ἀντὶ τοῦ διὰ παντὸς τοῦ σώματος περιέσχετο, καὶ ἐπὶ κατακρατεῖν ὁ ἀὴρ, ὡς ἐπὶ ὑγροῦ περιεχομένου ῥευστόν, διὸ τὸ χάλαστρος τοῦ ἀέρος ἐμφανίζει, ὡς β᾽ τῆς ὀδυσσείας. Κατέχειν λέγεται, τὸ σφοδρῶς ἐρωτᾶν, καὶ φυλάσσειν, αἰτιατικῇ συντάσσεται, καὶ ἔχει τὸ ἐναντίον ἀπολύειν. Κατέχω, κατέχειν, εἰργω.

Κατεχορεύσαμεν αὐτοῦ, ἀντὶ τοῦ κατεφρονήσαμεν αὐτοῦ.

Κατεχλεύασεν, χλεύαις ἐπόλισεν. Κατεχλεύαζε, ὅ, βαρέως. Κατεψάλαισεν, ὑπείληψεν, ἐψηλάφησεν. Κατεψεύσατο, ἐπέχεεν. Κατεψήφισαν, ἀπέστειλαν, κατέλυσαν. Κατέψα, τῇ χειρὶ ὡμαλίζει. Κατεψηφίσαντο, κατέκριναν, κατέλυσαν. Κατηβολήσας, περιοδικαῖς ἀρχαῖς παροξυσμῶν, παρὰ τῷ Ἱπποκράτει. Κατηγάσατο, κατεγήρασεν.

Κατηγλαϊσμένα, κατακεκοσμημένα. Κατηγορία, λόγος λέγων τι κατά τινος, ἢ τι ἀπό τινος. Κατηγορηθέντα, κατειπόντα. Κατηγορίαν ἔχω, ἀντὶ τοῦ κατηγοροῦμαι.

Κατηγορία δὲ πᾶσα περί οἷον λέξιν πράγματος ὁ σημαίνω ἔμφασις, οἷον ὁ θεὸς ἀγαθὸς φύσει, ὁ διάβολος πονηρὸς, δῆλος ὁ ἀλώπηξ. κατηγορίαι δὲ λέγονται, ἐπειδὴ περὶ τῶν λίαν γινωσκομένων τινῶν διαλαμβάνει. ταῦτα γὰρ κατὰ τῶν μερικῶν μὲν κατηγοροῦνται, οὐδενὶ δὲ ὑποκεῖνται.

Κατηγορῶ ἀεὶ γενικῆς εἰς αἰτιατικὴν, οἷον κατηγορῶ σου ἀμαθίαν. Κατηγορῶ, τὸ κατά τινος λέγω. καὶ κατηγορῶ, τὸ φάσκω παρὰ φιλοσόφοις, γενικῇ συντάσσεται. κατηγορῶ, τὸ παιδεύω, αἰτιατικῇ. ὡς τὸ κατηγορεῖ σου ἡ ἔλλειψις μειρακίων. κατηγορεῖν, τὸ κατά τινος ἀγορεύειν, οἷον κατηγορῶ σου

μενον, κυκλωθέντα. Καταλῆφθαι, προκαταλαμβάνεσθαι.

Κατέλεγε, κατέλεξε. Καταλουσθῆναι, λουόμενον σωθῆναι. Καταλυσιτεμισθῶ, ὁ μὲν Ἀνάκρεων κατηρτεμισθὼ. ἐργαζομένους δὲ συγκλεισθαι τὴν λέξιν ἐκ τοῦ λύειν καὶ σωθῆναι.

Κατέλυσε, κεκάλυπται. Καταλωπίζειν, καταβλέφαρίζειν. Καταλωτισμένος, καταλιθοσωμένος. Καταμίνον ἦλθε, μεταφορικῶς ἀμφιβαλόμενον ἐν αἰσχῷ. Κατείνυον, ἔοικε δὲ πάντα εἰκὼν κατείνυον, ἐκτεταμένος, ἀντὶ τοῦ κατεκαλύπτον, ἀπὸ τοῦ ἕω ἕσσω καὶ εἵνω. Κατεῖπε φωνῇ, κατηγόρευσεν. Κατειπεῖν, διαβαλεῖν. Κατείργω, ἐκώλυον.

Κατειργασμένος, ἐκώλυσε, κατηγωνισμένος. Κατειργμένος, ἐγκεκλεισμένος. Κατεῖρξε, ἀνεῖλε, πάλιν. Κατείρωκεν, καθὸ διαβέβληκεν. Κατειρωνεύεσθαι, ὑποκρίνεσθαι, διαμωκᾶσθαι, μεγαλοφρονεῖ. Κάτεισι, κατέρχεται. Κατεκαύθη, ἐφθάρη. Κατεκομπάζοντο, κατευβρίζειν. Κατέκταν, ἀπέκτειναν, ἐφόνευσαν. Κατεκάλλυνεν, ἐκόσμησεν, ἐλαμπρύνετο. Κατεκείθεν, ἐκεῖθεν. κατεκεῖ, ἐκεῖ. Κατεκείνα, κατεκεῖνα. Κατ' ἐκεῖνο καιροῦ. καὶ ἐγὼ μὲν φυλάττεσθαι παραινῶ οὕτω χρῆσθαι. ἀλλ' ὅτι Θουκυδίδης εἴρηκε, θαρρῶν ἂν χρῷτο, χρῆσθαι μὲν, νῦν δὲ ὑπὸ ἀργίᾳ. παρὰ μὲν γὰρ ἄλλῳ τῶν δοκίμων οὐχ εὗρον. ἡγοῦμαι δὲ καὶ Θουκυδίδην ἐν τῇ γ' μὴ τοῦ ἄρθρου σημαίνειν, κατ' ἐκεῖνο τοῦ καιροῦ. Κατεκωμώδησαν, συνέθραυσαν. Κατέκλασε, συνέκλασεν ἔκλυσεν.

Κατεκλάσθη, κατεστράφη. Κατεκλείσθη, ἀπέθανε.

Κατεκλαῖεν, κατεκαίκλασε, κατακεκλασμένους εἶχεν.

Κατεκλίθη, ἐκοιμήθη. Κατεκλύσθη φίλον ἦτορ, μεθ' ὃ τοῦ ξύλου, ὃ ἔστι πτισάνη, ἃ κατακλώμενα φέρονται τοῦ ὄντος ἔχειν. Κατεκλαίσθης ἐς λάρνακα, παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ κατεκλείσθης, ἀπὸ τοῦ κλείω. Κατεκλινόμην, ἀντὶ τοῦ ἀνεκλινόμην. Κατεκόλαψεν, κατέξυσεν. Κατέκρινας, ἀντὶ τοῦ ἐτίμας, ψῆφον, παρὰ τῷ Ἀριστοφάνει. Κατεκόσμησαν, ἐφονεύσαν. Κατέκτεινεν, κατεστράφησαν. Κατέκτα, συστέλλει τὴν λέγουσαν κατὰ τοὺς παλαιούς, ὡς μὴ ὀρθότερον συνεζεῦχθαι, ἀλλὰ ἀπαιτεῖν ἐκ τοῦ ἔκτανε, ἢ κατέκτανε. ὅτι μὲν κατεχομένων, δοκεῖ δὲ αὐτὸ αἰολικὸν εἶναι, ὡς ἀπὸ τοῦ ἐκτεινείας κατεκτάνεσθαι, ἢ μᾶλλον δωρικῶν παθεῖν ἐκ τοῦ ἐκτανον τρίτου προσώπου. Κατέκτανθεν, ἐκ τοῦ ἐκτείνω ἐκτενῶ, ὁ παθητικὸς ἀόριστος ἐκτάθην, ὡς ἐφάνθην ἐκ τοῦ φαίνω, τὸ τρίτον τῶν πληθυντικῶν ἐκτάθημεν, κατὰ συγκοπὴν ἔκτανθεν, καὶ μετὰ τῆς κατὰ κατέκτανθεν. Κατέλαβεν, ἐπίλαβεν, ἐπέσχε τὴν ὁρμήν. Κατελάσας, συνωθήσας, ἀπὸ τοῦ ἐλάω ἐλῶ. Κατελάσαι, καταπαῦσαι. Κατελέγξασθαι, καταλέγξαι, καταλῦσαι. Κατέλειπε, κατελιμπάνετο. Κατελείβοντο, κατεμαραίνοντο. Κατελείψαντο, κατελιμπάνοντο. Κατέλεξαν, ἀντὶ τοῦ ἠριθμήσαντο. δοκεῖ γὰρ ἐν μὲν χρήσει παρὰ τῷ ποιητῇ εἶναι τὸ λέξαι, ἀντὶ τοῦ εἰπεῖν. Κατέλεξαν, ἀντὶ τοῦ ἠρίθμησαν. Κατέλευσε, ἐλίθευσε, συνέτριψε. Κατέλευσαν, κατέβαλον λίθοις, ἐλιθοβόλησαν. Κατέλεξε, κατέπαυσε. Κατελθεῖν, οὐ μόνον τὸ ἁπλῶς κάτω που ἐλθεῖν, ἀλλὰ καὶ τὸ εἰς λιμένα ἐλθεῖν. ὥσπερ καὶ καταβῆναι, καὶ καταπλεῦσαι, καὶ καταχθῆναι, καὶ καταῖραι, τὸ ἐλλιμενίσαι λέγεται. τὸ μὲν τοι ἀπαίρειν τοῦ λιμένος, ἀνάγειν, καὶ ἀναβῆναι, καὶ ἀναπλεῦσαι, καὶ ἀναχθῆναι, λέγεται. Κατέλυον, ἀπέσπων εἰς τὸ δημόσιον.

Κατ' ἐμέ, διπλῶς νοητέον κατ' ἐμέ, ἀντὶ τοῦ ὅσον κατὰ τὴν ἐμὴν δύναμιν. καὶ κατ' ἐμέ, ἀντὶ τοῦ ἐπ' ἐμοῦ, ἤγουν ἐπὶ ταῖς ἡμέραις μου. Κατέμαρψε, κατέλαβεν, ἢ κατέβαλεν.

Κατ' ἐμαυτόν, κατὰ τὴν ἐμὴν δύναμιν. Κατεμεγαλαυχήσαντο, μεγάλως ἐκαυχήσατο. Κατεμάρπτε, κατελαμβάνετο. Κατεμελέτησαν, ἐλύττησεν ἐπλήρωσαν. Κατεμέμφοντο, ἀντὶ τοῦ συνῆψε ταῖς ὁρμαῖς, κατὰ μίμησιν τῶν ἀμυνόντων. Κατεμωκῶντο, ἐχλεύαζον. Κατέναντι, ἐναντίον. Κατενάρκησα, ἐβάρυνα. Κατένασσε, ἤγουν κατῴκισεν, ἤγουν οἰκίζειν ἐποίησεν. Κατένευσε, κατένευσε. Κατενίκησαν, ἤρχοντο. Κατενεμήθη, κατέφαγεν, ὑπαλλαγὴ, ἐβοσκήθη. Κατένωτα στιχῇ, καθ' Ὅμηρον ὁ ὀλυμπιονίκης, ἀντὶ τοῦ σημεῖον ἐλεύσεως δίδωσι τῇ κατανεύσει τῆς κεφαλῆς. νῦν δὲ καὶ διανεύειν λέγεται, καὶ μάλιστα διὰ ὀφθαλμῶν. Κατενεχθέντα, κατήχθη. Κατενώπιον, συνουσίαζειν. Κατενέγκας, ἐπίστευσεν. Κατενώσατε. ἐκ τοῦ τρίχου, καὶ μετὰ τῆς ἐν προθέσεως ἐνεῶ, καὶ κατὰ μετάθεσιν ἐνώω, ὁ μέλλων ἐνώσω, ὁ παρακείμενος ἤνωκα, ὁ μέσος ἤνωσα, καὶ ἐπιτοπῶ· ἐνώσατε, ἔσωσαν, ἤγουν ἐπέτυχον. Κατενόπλιον, εἶδος ῥυθμοῦ, πρὸς ὃν ὀρχοῦντο ἔχοντες τὰ ὅπλα. ἔστι δὲ ὁ ἐν ἐμμελείᾳ. ὁ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας ἴσον δὲ ἔχει ῥυθμὸν ἐκ τρισυλλάβου ἀναπαιστικόν, ὅς λέγεται παίονος τοὺς διεσυλλάβους πόδας. εἰ δὲ ἐνόπλιον τὸν ἀμφίμακρον, ὃς καὶ κρητικὸς καλεῖται, ἀπὸ τῆς πυρρίχης ἀναγομένου μέλους. τούτῳ γὰρ τῷ μέτρῳ προσορχοῦντο ἔχοντες τὰ ὅπλα. καλεῖται δὲ ἐνόπλιον κατὰ δακτύλον. Κατ' ἐντεῦξιν, κατ' ἐντυχίαν.

Κατενόησαν, ἐλυχνίσαντο. Κατεντευκτικῶν, κατεντυχανόντων. καὶ κατεντευκτὴς, κατήγορος. Κατεντεχθέντα, κατεντυχηθέντα. Κατένεκον, βαρεῖαν. Κατ' ἐνῶπα, κατὰ πρόσθεσιν. ἐνωπὴ γάρ ἡ πρόσοψις, ὃν τρόπον τὴν ἐνωπὴν ἐνῶπα μεταπλάσαντες, οὕτω καὶ τὴν ἐνωπὴν ἐνῶπα. Κατ' ἐνῶπα, λαοῖσιν καὶ πλείονας προσπορεύεσθαι, εἰς καὶ δεῖν πείθεσθαί φασιν Ἀπίων καὶ Ἡρόδωρος. ἡ δὲ συγκοπὴ τότε ἀπὸ τοῦ ἐνώπια, ὡς μυρία μύρα, σιτία σῖτα. εἰ δὲ ταῦτα προσκεχρημένα τῶν ἁπλῶν, ἀφ' ἐκείνου προσπορεύεται ἡ σύνθεσις, ἀναδιπλουμένου τοῦ τόνου. ὡς ἐν τῷ κατενώπια, οὕτω καὶ ἐν τῷ κατένωπα. Ἀρίσταρχος δὲ ἐνῶπα φησίν, ὡς κατὰ δῶμα. καὶ ἔστι βεβαιοῦσθαι καὶ αὐτὸ κατὰ τοὺς παλαιοὺς οὕτως. ἔστιν ἐνωπὴ ἡ πρόσοψις, ὡς τὸ κακὸν φέρουσαν ἐνωπῇ. οὗ αἰτιατικὴ ἐνωπήν. ὥσπερ ἐνωπὴν ἐνῶπα, οὕτω μεταπλασμῷ ἐνωπὴν ἐνῶπα. Κατεξανίστατο, διεδίω. Κατεξαμαρτάνοντος, καταδικάζοντος. Κατεξανάστασις τοῦ μέλλοντος, προμηθῶς βουλευσάμενοι. Κατεξανίσταται, κατεπαίρεται. Κατεξουσίαν, ἔξω τῶν ὅρων.

Κατεπαιδεύεσθαι, καταισχύνεσθαι. Κατεπαίδευσε πρὸς αὐτὴν, αἱμύλως διεμιλοῦντο. Κατεπάλαι, γενναίως ἐνεργεῖ.

Κατεπάλαισε, κατηγωνίσατο, κατεπάλαισεν. Κατεπάλμενος, ἐφορμήσας, καθαλλόμενος. Κατέπαλτο, καθήλατο.

Κατεπάτησεν, κατεπάτησεν. Κατέπειγε, κατασπεύδει.

Κατέπεφνε, κατέσφαξε, κατεφόνευσε. Κατεπιφρόνηκα παρὰ τῷ Ἀριστοφάνει, εἰς τοὺς φρονίμους ὑπαλλαγὴ. ὡς εἰ ἔλεγε καταπεφρόνηκα, ἢ εἰς τὴν παίδευσιν καταδεδαπάνηκα.

Κατεπίω, κατὰ τὸ ἐμπροσθεν τῶν θυρῶν μέρος. Κατεπιαίνετο, ἐλιπαίνετο. Κατεπίμπρασαν, κατέκαιον. Κατεπίεσαν, πίεσιν ἔχουσαν. καὶ τὰ τέκνα αὐτῶν κατεπίεσαν, καὶ ἀπέκτειναν καταπατηθέντα. Κατεπιφράττει, καταστρέφει.

Κατεπλάγη, κατεπλήγησαν. Κατέπλευσεν, καθῆλθεν, κατεσκάφθησαν, κατέπλευσαν, καὶ κατεσφράγισαν, ἀπέπλευσαν, ἀπεπλέυσαν. Κατεπλάγη. πλήττεσθαι μέν φασιν ἐπὶ σώματος, καταπλήττεσθαι δὲ ἐπὶ ψυχῆς. ὥσπερ ἐκπλήττεσθαι, οἷον ἐγὼ δὲ ἐμὸν ἐκπλαγείς, παρ' Εὐριπίδῃ. ὅθεν καὶ ἔκπλαγος, καὶ κατὰ μετάθεσιν ἔκπαγλος, ὁ ἐκπλήττειν δυνάμενος. Κατέπληξε, κατεπτοήθη, κατέπεσεν. Κατεπλήξατο, ἐκφοβήσαντο. ἐκπληκτικὸς γὰρ ὁ μετὰ βλακείας ἐκπεπληγμένος, ὁ λάλος καὶ πρακτικὸς, καὶ μηδὲν μετὰ λογισμοῦ ποιῶν. Κατεπλήχθησαν, προφοβεῖσθαι. Κατεπλήχθη, συνεστάλησαν. Κατεπλήττοντο,

Δημήτριος χαλκὸν, οὕτω καὶ κατάχρυσος, καὶ κατάργυρος.

Καταχέω, κακολογεῖ. Κατὰ χεῖρα, ἕτοιμα, εὐχερῆ, ἢ ὁ τῶν πρὸς χεῖρα, καὶ εἰς πολλὰ χρήσιμος οἰκέτης. Καταχεῖρας, εὐκόλως. Κατὰ χειρὸς ὕδωρ ἐλάβομεν λέγει. οὐ κατὰ χειρῶν. Καταχειροτονία, ἔθος ἦν Ἀθήνησι κατὰ τῶν ἀρχόντων, καὶ κατὰ τῶν συκοφαντῶν, προβολὰς ἐν τῷ δήμῳ τίθεσθαι. εἰ δέ τις καταχειροτονηθείη, οὗτος εἰσήγετο εἰς τὸ δικαστήριον. ἔστι δὲ πολλάκις τοὔνομα, παρὰ τῷ Δημοσθένει ἐν τῷ κατὰ Μειδίου, καὶ Ὑπερείδης ἐν τῷ κατὰ Χαριδήμου περὶ τοῦ περιέχους. Δείναρχος δὲ, περὶ τῆς καταχειροτονίας. καὶ Θεόφραστος ἐν λ΄ τῶν νόμων. Κατάχεα τύλακον ἐν τῷ χαλκιδικῷ Δικαιοφάνης, ἀντὶ τοῦ εἰς τὴν ὀμφαλὸν τῆς ἀσπίδος, ἵνα λαμπρότερος γίνεται. Καταχὴ, καταχάρμωσις, κατάγελως.

Καταχήνη, καταγελάσει, μυκτηρίσει, ἐξουθενίσει, καὶ ὑπὸ Πεισιστράτου καλαμίνα ἐμφερὴς ζῷον ἐν τῆς ἀκροπόλεως προβεβλημένον, ὥσπερ τὰ πρὸς βασκανίαν. Κατὰ χθονὸς ὄμματα πήξας, ἀττικὸν ἐστιν. ὡς καὶ τὸ τὰ κατὰ γῆς ὁ θεὸς οὐκ ἀγνοεῖ. χθονὸς δὲ συντάξεως τιᾶς ἄλλοις καὶ παρὰ τῷ ἀμιαιῷ, τὸ δὲ πῆξαι κατὰ γῆς τὰς ὄψεις, ὡς οἷα ποθοῦντα ἐμφερίμως, εἰς χυδαισμὸν καὶ ἵστασθαι ὑπολάμπον. Καταχθονὸς, ὁ λιπαρὸς, ὁ τρόφιμος. Καταχθόνιος, κατὰ γῆς, ἢ ὁ ἅδης. Καταχλιδάζω σε. γενικῇ δὲ, καταχλιδάζοντος δὲ τῶν παρακλητικῶν λόγων οἱ πρεσβύτεροι. Καταχραμψάμενος, κατακλίνας. Κατάχρεως, ἐπαγγελῶν εἰς μαρτυρίαν.

Καταχρᾶται, κακῶς χρᾶται. Καταχρίσει, ἀρνεῖσαι. Κατάχρησίς ἐστι, λέξις μετενηνεγμένη ἐκ τοῦ πρώτου καὶ κυρίως ὀνομασθέντος ἐφ᾽ ἕτερον ἀκατονόμαστον. ἐκ λίθου συγκείμενον λεγόμενον, καὶ μὴ ὂν κυρίως, ὡς γόνυ καλάμου, καὶ ὀφθαλμὸς ἀμπέλου, καὶ χεῖλος κεραμίου, καὶ τράχηλος. κυρίως γὰρ ταῦτα ἐπὶ ἀνθρώπου λέγεται. ἢ πάλιν, ἀνδριὰς κυρίως μὲν ἀνδρὸς ἀπεικόνισμα. καταχρηστικῶς δὲ, καὶ γυναικός. ἢ πάλιν, ὅταν τις τὸν ἐν ποταμῷ ἰχθύας ἀγρεύοντα, ἁλιέα εἴπῃ. κυρίως δὲ ἁλιεὺς, ὁ ἐπὶ τῆς θαλάσσης λέγεται. ἅλς γὰρ, ἡ θάλασσα. ὁμοίως καὶ τὸ ψηφίζειν, κυρίως μὲν τὸ ταῖς ψήφοις ἀριθμεῖν. καταχρηστικῶς δὲ, καὶ τὸ δακτύλοις. διαφέρει δὲ τῆς μεταφορᾶς ἡ κατάχρησις. ὅτι ἡ μὲν μεταφορὰ, ἀπὸ τοῦ κατονομαζομένου ἐπὶ κατονομαζόμενον λέγεται. ἡ δὲ κατάχρησις, ἀπὸ κατονομαζομένου ἐπὶ ἀκατονόμαστον. Καταχρυσοῦσαι, καταλιθοῦσαι. Καταχρῶμαι τῆς λέξεως, ἀττικοὶ τῇ λέξει. Κατάχυσις, ἀφ. Καταχύματα, τὰ καταχεόμενα ὕδατα ἐπὶ τῶν λουτρῶν καὶ τῶν ὁμοίων. Κατάχυσμα, ζωμὸν, παρὰ τὸ χεῖσθαι. δηλοῖ δὲ καὶ ἄλλο διδασκόμενον. ἄλλως, οὐδὲν πλέον, ἢ κατάχυσμα, ὅς τι ἐν φύσει, καὶ τὰ καταχύσματα λέγεσθαι. Καταχύσματα σύγκειται ἐκ φοινίκων, καλλύβων, τρωγαλίων, ἰσχάδων, καὶ καρύων, ἅπερ ἥρπαζον οἱ σύνδουλοι. κυρίως δὲ ἐλέγετο, ὅταν δούλους ἠγόραζον. ἔφερον γὰρ αὐτοὺς ἐπὶ τὴν ἑστίαν, καὶ καθίζοντες, κατὰ τῆς κεφαλῆς κατέχεον κάλλυβα, καὶ ἰσχάδας, καὶ φοίνικας, καὶ τρωγάλια ἄλλα, καὶ τραγήματα, καὶ οἱ σύνδουλοι ταῦτα ἥρπαζον. ἔλεγον οὖν ταῦτα καταχύσματα. Κατὰ χώραν μένειν, Δικαιοφάνης οὐχὶ κατὰ χώραν μονῆς, οὐκ ἐπὶ τόπου μονῆς, καὶ ἡσυχίαν χρόνους ἐν ἐπιπέδοις. Καταψαίρουσι, κινοῦνται. Καταψοφεῖ, κατασοφίζει. ψοφὸς γὰρ ὁ σκότος, παρὰ τὸ ψεφᾶσθαι τὸ μεταμελεῖσθαι, καὶ οἷον σκότος περιθεῖναι τοῖς λεγομένοις τὸ καταψοφεῖν. ἔθ᾽ ὅτε δὲ καὶ τὸ φροντίζειν οὕτω λέγουσιν. Καταψηφίζεσθαι, κατακρίνεσθαι.

Καταψηφίζομαί σου ζημίαν, καταψηφίζεσθαι, κατακρίνειν.

Καταψήσας, τῇ χειρὶ ὁμαλίσας. Καταψύχων, ὁ ἠρέμα κολακεύων καὶ κρατῶν. Καταψήχων, κολακεύων, ἀσυχῇ τρίβων. Καταφιλιάζεσθαι, φίλον γενέσθαι. Καταψήχω, τρίβω, καὶ ὁμαλίζω. Καταψῶν, καταψαίρων, ὥσπερ πῶλον καταψῶντες ταῖς χερσὶν ὁμαλίζομεν. Κατεάγῆναι οὐ κατεαγῆναι, οὐδὲ κατεάξαι, βάρβαρον γάρ. κατέαγα τῆς κεφαλῆς ἀττικοὶ λέγουσιν, οὐ τὴν κεφαλὴν, ἤγουν κατὰ τῆς κεφαλῆς τὴν πληγὴν ἐδεξάμην. Δωρικῶς, κατέαγε τὸ κρανίον.

Κατεάγω καὶ κατεαγότα, κεκλασμένα. Κατεαγότος. ἔχω εἶμα ἄγω, τῷ κλῶ, παρακείμενος ἦχα, ὁ μέσος ἦγα. καὶ ἐν διαλύσει ἔαγα, ἀφ᾽ οὗ μετοχὴ ὁ ἐαγώς, καὶ τὸ ἐξ αὐτοῦ κατεαγὼς. ὁμοίως ἐλλειπτικῶς ἀττικῶς, ἀντὶ τοῦ μέρος τοῦ κρανίου.

Κατεαγὼς, καταβλάψας. Κατεάγη, κατεκλάσθη, κατεβλάβη, ἐτέθη. Κατέαξεν, κατέκλασεν. Κατεάσει, κατακοιμηθείς. Κατέβαινεν ὑπερῷα, κατέτρεχεν ἐργάτης, ἀντὶ τοῦ ὑπερῴων, κατὰ ἀναπτύξιν. Κατέβαινε, κατέλαφον. Κατεβαυκάλισε, κατεκοίμισε. Κατέβαψεν, κατέλαβεν. Κατεβάσατο, εἴσηλθεν. Κατεβόα, κατηγόρει, ἐμέμφετο. Κατεβρέχθεσαν, κατέπιον. Κατεβρίθησαν, ἐμέλλησαν. Κατεγγυᾶν, παραδεδόναι. Κατεγέρασεν, ἐγηροτρίβασεν. Κατέγκλεισεν, κατὰ μέμψιν, κατὰ ἔγκλημα. Κατεγλώττιζε, κατεφλυάρει, κατετρύφα, ἐλοιδόρει, κατέβαλλε. Κατεγνωσμὸν, ἐπεγνωσμένος. Κατεδηλωμένον, πολλαῖς δηλώσεσι μεμιγμένον. Κατέστησαν. ἀντὶ τοῦ κατέστησαν αἰτιολογικῶς. κατέστησαν δὲ ἐπὶ καταστάσεως, γενικῇ.

Κατεσπασμένος, κατακεχρυσωμένος. Κατεσπούδασται, ἀντὶ τοῦ παραμένος εἶναι καὶ μαλακῶς, ἐκ τοῦ εἰς γόνυ πίπτειν.

Κατ᾽ ἐγὼ ἐξεγγύησα, ἀντὶ τοῦ ἔπειτα ἐγὼ μετὰ ταῦτα ἐξεγγύησα ἐπὶ τῶν ψαλλομένων. Κατεδείπνησαν, ἐπέτεινον, κατεμαθήτευσαν. Κατέγραψαν, κατέθεντο. Κατεγυμνάσατο, ἐπὶ γυμνασίαν ἀνάλωσεν. Κατελάα, κατελάσαι.

Κατέλασεν, κατέθηκε μετὰ στεναγμοῦ. Καταδόξασθαι, κατακοιμᾶσθαι. Κατεδάρθη, ἐκαθεύδησεν, ὕπνωσεν.

Κατ᾽ ἐλαφους, ἐπὶ γῆς. Κατεδαίσαντο, κατέφαγον, ἐδαπάνησαν. Κατέδει, ἔδεσμα. Κατέδουσι, κατέβρωσαν, κατέφαγον. καὶ ὅτε μὲν ἀθρόως δαπανᾶσθαι καὶ τροφὴν, ὅτε δὲ τὸ καταφαγεῖν. Κατεδηδεσμένον, καταβεβρωμένον. Κατεδήδοκεν, καταβέβρωκε. Κατεδηδοκὼς. ἔδω, τὸ ἐσθίω, καὶ ἐδέω ἐδῶ, μέλλων ἐδέσω, ὁ παρακείμενος ἤδεκα, καὶ ἀττικῶς ἐδήδοκα, καὶ ἡ μετοχὴ ἐδηδοκὼς, καὶ κατεδηδοκώς. Κατεδημαγώγησαν, κατηγωνίσαντο, καὶ ἦρξαν τοῦ δήμου. Κατεδίωκεν, κατέκτεινεν.

Κατέδεσεν, κατεδέσμευσεν, κατέχωσε. Κατεδίκασαν, κατέκριναν, κατεδίκασαν. Κατεδικάσθη, ἀντὶ τοῦ κατεκρίθη. Κατεδουλοῦντο, κατεκράτησαν. Κατεδόξαζον, ἐπεδόξαζον, ἐνόμιζον. Κατέδραμεν, ἐπέδραμε. Κατεθρό-νισαν, κατεκάθισαν, κατεῖδον. Κατέθεε, κατέτρεχε, κατεπεσέσθη. Κατέθεον, καταθεῖον. Κατεθύμουν, ἐνόμιζον ὥσπερ χαρμὸν ἐνεφρόνουν τὸ τέλος. Κατεῖδε, κατέτρεχε.

Κατείδον, ἐξεπέρθησαν, ἐλείζοντο. Κατειδέναι, ἐξιδεῖν.

Κατειλήφασιν, ἐλαύνοντες. Κατείδον, κατεκέλευσεν.

Κατειλῆσθαι, κατακλεῖσθαι. Κατείληφαν, περιέπλασαν.

Κατείβειν, διαφθείρειν, κατέρρει. καὶ παρὰ Ἀπολλωνίῳ, ἀντὶ τοῦ κατέβαινεν. Κατειβόμενον, διαφθειρόμενον, καταρρέον. Κατεῖπεν μέσος παρακείμενος οὕτως, εἴσω τὸ πορεύσομαι, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶα εἶσι εἶμι, ἀφ᾽ οὗ καὶ τὸ ἦα καὶ ἦειν, εἰς ὑπερσυντέλικον κατ᾽ ἔκτασιν ἀττικόν. Κατεικῶς, ἐπιεικῶς.

Κατεικέναι, τὸ ὁμοῖον καὶ αὐτεξούσιον. Κατείλε, κατέλαβεν, ἐπιτέλεσεν. Κατείλεα, τὰ ἐσώτερα οἰκήματα ἐρωθρώπων. Κατειλεῖν, κατέχειν, καταβάλλειν. Κατειληφότας, συγχέοντας, καταβλαβέντας. Κατειλημμένον, κατεσχημένον.

ρᾶς. Κατὰ χολῆς, ἀντὶ τοῦ μόλις, ἢ ἀφορμῆς. Καταχομίζειν καθ᾽ αὑτῆς ἐκ φαεινοῦ, παρ᾽ Ὁμήρῳ, ἀναλογίαν ἔχει πρὸς τὸ ἀνασχομένη, ὃ δηλοῖ τὸ ἀνατείνουσα. εἶτα δ᾽ ἂν καταχέεσθαι ἑαυτῷ, τὸ προκαλύψασθαι τὴν παρειάν, κατὰ τὴν πεπλανημένην ἐν ὀδυσσείᾳ χρήσιν ὄντα παραπλησίαν ἐρύθημα. ἵνα ὥσπερ τὸ ἀνασχεῖν ἄλλην ἀντίκειται πρὸς τὸ καταχεῖν, οὕτω καὶ ἀνασχέσθαι ἐρύθημα, ἐπὶ ἀνακαλύψαι καὶ οἷον ἀνακάλυμμα προσώπου, ἀνακειμένως ἔχει πρὸς τὸ καταχέεσθαι, ἤγουν ὑπὸ ζόφου κρύψαι. Καταχῶμεν, οὐ καταχῶμεν, ἐπειδὴ πᾶς ὑποτακτικὸς ἀόριστος μονοσύλλαβος εἰς ω λήγων, ἔχων τὴν μετοχὴν εἰς σ ἐξύτονον, τὸν αὐτὸν τόνον καὶ ἐν τῷ συνδέσμῳ φυλάττει, βῶ ἀναβῶ, τῶ καταβῶ, δῶ ἀναδῶ. εἰ δὲ μὴ εἰς σ ὀξύτονον ἔχει τὴν μετοχήν, μεταπίπτει τὸν τόνον ἐν τῷ συνδέσμῳ, οἷον χῶ κατάχω, καὶ κατάχωμεν καὶ προχῶμεν. χῶν γὰρ ἦν ἡ μετοχή. Κατὰ τάξιν, κατὰ κόσμον. Κατὰ ταυτόν, ἀντὶ τοῦ ἅμα. Κατ᾽ αὐτό, οἷον ὁμονοοῦντες. Καταταχῆσαι, προφθάσαι. Κατεταχήσαμεν, τὸ ταχὺ ὑπερβαλεῖν. Κατατεταχυσμένοι, κατεπειγόμενοι. Καταπλήττειν, θαυμάζειν, δειλιάζειν, ἐκπλήττεσθαι. Κατατείνουσαν, μακρότητα παρέχουσαν.

Κατατίλματα, παρὰ Ἡροδότῳ τὰ ἀναλύματα, καὶ τὰ σπαράγματα τῶν ἐν ὀρχαῖς, καὶ τὸ συντελεῖν εἰς τάγμα. Κατὰ τεθνεώτων παίδων. εἴπω ἂν μὴ παρέλκον τὸ κατὰ τεθνεώτων, ἀλλὰ ὡς πρὸς διαφέρεσθαι παίδων ζώντων. οἷον δ᾽ ἂν ποιοῦσι, οἱ ἐν ταλαιπωρίαις βιοῦντες. ὅμοιοι καὶ οἱ κατὰ τρίτην τὴν δικαστῇ παρατεινομένου κίνδυνον. οἱ δὲ ζῶντες μὲν λογίζοιντ᾽ ἂν εἰς τὸ κοινόν, διὰ τὸ μὴ καλῶς ζῆν. μὴ ζῶντες δέ, καλοῖντ᾽ ἂν οἱ γνησίως τεθνεῶτες. νῦν δὲ καὶ εἰς πάντας τοὺς ἐν κακοπαθείᾳ τὸν βίον διάγοντας, παραλαμβάνεσθαι. συντελεῖ δὲ ἐνταῦθα καὶ προσκεῖται τὸ ἰδίᾳ καὶ παρὰ περιτιθέασι. Κατατιμῶσι τοῖς ἐκκλησίαις κατηλόματα. κατηλόματα δέ εἰσι δέρματα ἰσχυρὰ καὶ σκληρά, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν ὑποβάλλονται. Καταπάττω, τὸ καταλέγω, καὶ κατασπῶ, καὶ ἐγγράφω. οἷον τοῖς ἀγαθοῖς φίλοις δὲ κατατάττω. καταταττόμενοι δὲ παθητικῶς, τὸ ἐν τάξει γίνομαι. Κατατεθνεῶτες, ἐκπεπληγμένοι. Κατατεθηπώς, δειλιάσας. Κατατείνω, ἐπὶ κατεργάζεσθαι, καὶ πιέζει, καὶ κατατρίβει. οἷον κατατείνει ὁ νόσος τὸν ἄνθρωπον. καὶ κατατείνει πληγαῖς καὶ μάστιξι τὸν δεῖνα, καὶ εἰς τὸ μῆκος ἐκτείνει. οἷον κατατείνει λόγον. κατατείνει, καὶ τὸ σπεύδει καὶ τρέχει. ὡς τὸ κατατείνει δρόμον ἐπὶ λιμένα. Κατατομή, καθήμενος κάτω ὑπὸ τῇ κατατομῇ. Φιλόχορος δὲ ἐν ς΄, οὕτως Αἰσχραῖος Ἀναγυράσιος ἀνέθηκε τὴν ὑπὲρ τοῦ θεάτρου τρίποδα κατασκευάσας, νικήσας τὸ πρότερον ἔτει χορηγῶν παισί, καὶ ἐπίγραψεν ἐπὶ τὴν κατατομὴν τῆς πέτρας. Καταλλάσσω τὸν ἱκετεύων, ἤγουν ἀσεβῶς διάκειται περὶ τὰ τῆς Ἑκάτης ἀγάλματα, ἤγουν κατὰ τῶν ἀγαλμάτων τῆς Ἑκάτης κόπρον ἐκκρίνει διαρρήγνυται, πτέρδει ὑγρῶς.

Κατατετίλθαι, ἐκπεπλεῦσθαι. Κατατίθεσθαι, συνθέσθαι.

Κατὰ τετράδα, κατὰ τὸ δέρμα, κατὰ τὴν τάξιν, ἢ κατὰ τὸ πρόσχημα. Κατατρίχιον, λεπτόν. Κατὰ τὸ καρτερόν, ἀντὶ τοῦ ὀχυρῶς καὶ καρτερῶς. Κατατρίχει, ἐπὶ ἐμψύχου, γενικῇ. ἐπὶ ἀψύχου, αἰτιατικῇ. ὡς ἐπὶ τὸ πλεῖστον, εὕρηται δὲ καὶ γενικῇ. Καταπραχθέντων, λοιδορουμένων, ὑβρισθέντων. Κατατρίψειν, καταδαπανήσειν, χρονίσειν. Κατάτρεψον, κάτω στρέψον δέ, τὸ ἐναντίον. Καταστροφή, καταφυγή. Κατατρυφῶ, καταπαιζω. Κατατρίχων, ἔλαττον πτίζων.

Κατατρύχω δύρεις καὶ ἰδελῶ, οὐ ζημιῶ ἁπλῶς, ἀλλὰ κατατρύχω. ἐκ τοῦ τρῶ δὲ ὠνοματοπεποιημένον, ἐξ οὗ καὶ τὸ τρύγω, καὶ τὸ τρύω, καὶ τρυπῶ παραγωγὰς γίγνεται, καὶ τρύχω ἀναλόγως τῷ ψῶ ψύχω. Κατατρύχω οὖν ἐμέ, ἤγουν δαπανῶ, καὶ φθείρω. Θεόκριτος, τίς σε κατατρύχει. Κατατρύχομαι, καταπονοῦμαι. Κατατέτταγμαι παθητικῶς, τὸ ἐν τάξει γίνομαι. ὡσαύτως, καὶ τὸ διατέτταγμαι. Κατατυχεῖν, ἐπιτυχεῖν. Καταυαίνει καὶ αὐαίνει. καταυαίνει, ξηραίνει. αὔω γὰρ τὸ ξηραίνω, ψιλοῦται. καταυαίνει δέ, ἀντὶ τοῦ λαμπρύνει. Καταυγάσας, φωτίσας. Κατάυλον, καταυλούμενον, ἀνακεκλεισμένον. Καταυλούμενοι, αἰτιατικῇ χλευαζόμενοι. Καταῦσαι, καταυλῆσαι, καταλῦσαι. Καταυσής, κατακλυσθείς.

Κατ᾽ αὐτόν, ὅμοιον αὐτῷ. Καταυχμόν, ὃν δὲ τὸ φρούριον τὸ καταυχμεῖ τῆς ὑφηγήσεως ἁλωτὸν τοῖς πολεμίοις.

Καταφάγα, κατεσθίε. Καταφαγεῖν, πολλάκις κεῖται παρὰ τῷ Ἀριστοφάνει, καὶ τοῖς ἄλλοις ἐμφατικῶς ἡ κατά, ὥσπερ καὶ τὸ ἐμφαγεῖν. Καταφανῆ, ἢ ἀποφανῆ, ἐν τῷ ἀξίωμα.

Κατὰ φάλαρα, κατὰ μέτωπον. Καταφάναι, καταφῆσαι. Κατάφασις, λέξις, ἤγουν κατηγορία περί τινος λεγομένη. οἷον ὁ ποταμὸς ἀνέρχεται, ὁ ἄρχων εἰσέρχεται. ἡ κατάφασις ἐστὶ λόγος τινὸς ἀποφαντικὸς κατά τινος. οἷον Σωκράτης φιλόσοφός ἐστι, καὶ ἰδοὺ ἐπὶ τοῦ Σωκράτους τὴν φιλοσοφίαν κατηγόρησεν. πᾶσα δὲ κατάφασις, ἢ ἀλήθειαν ἢ ψεῦδος σημαίνει, οἷον Σωκράτης φιλόσοφός ἐστι, καὶ ἰδοὺ ἀλήθεια. εἰ δὲ Σωκράτους ἰδιώτης, ἐστὶ ψεῦδος. οὐδὲν δὲ ἕτερόν ἐστιν ἡ ἀπόφασις, εἰ μὴ κατάφασις μετὰ τῆς οὐ ἀρνήσεως. οἷον Σωκράτης φιλόσοφος οὐκ ἔστι. Κατάφασις, πρόσρησις διὰ συγκαταθέσεως.

Καταφάσκει, προλέγει, ἐκπέμπει. Καταφαυλίζει, διαπτύει. Καταφατισμένα, κατανενομένα, κυρίως δὲ τὸ ἐκ προκαταλήψεως. Καταφέρειν, ἀφ᾽ οὗ καταφορά, ἡ κατηγορία. Καταφερής, ἐπὶ τῶν πρὸς ἀφροδίσια ἀκολάστων λέγουσιν οἱ παλαιοί. ὁμοίως οὕτω τῶν δεσίμων χωμάτων.

Καταφθίσας, ἀπορήσας, ἀναλώσας. Καταφθορά, ἡ παντελὴς ἀπώλεια. διαφθορὰ δέ, ὅταν ἄλλη οὐσία δι᾽ ἑτέραν ἀφανίζεται. ὥσπερ τὸ σῶμα ὑπὸ σκωλήκων. Καταφιλοσοφοῦντες, διὰ τῆς σοφίας νικήσαντες. Καταφλῦσαι, κατακλύσαι. Καταφλυαροῦσι, ψεύδονται. Καταφοιτᾶσαι, κατιδεῖν, παραγενέσθαι. Καταφορεῖν, ὑποφέρειν. Καταφορικός, ἐκείνων πλέων. Καταφορικώς, σφοδρός. Καταφράζεσθαι, ἀντὶ τοῦ φράζεσθαι καὶ σκέπτεσθαι. Ἡσίοδος, ὑμεῖς δὲ καταφράζεσθαι καὶ αὐτοὶ τήνδε δίκην. Κατάφρακτος, παρὰ τῷ μεθ᾽ Ὅμηρον, ἀπὸ τοῦ φράττω. Καταφράκτοις ψυχαῖς, ταῖς ἐκβεβαιωμέναις, καὶ μὴ τὸ μέλλον εἰδυίαις. ἴσον ἀλκιμώτεραι, καὶ εἶδε πολεμικοῦ ὡς καταφράκτω. Καταφρένα, κατὰ διάνοιαν. Κατὰ φρήτρας, κατὰ φρατρίας. Καταφρονέοντα, τὸν ἐν ἔτει αἰσθανόμενον, ἐν τῷ μείζονι ὑπερβολῇ, παρὰ τῷ Ἱπποκράτει. Καταφρονῶν, καταβουλευόμενος. Καταφρόνησιν, ὑπερφρόνησιν, ἤγουν τὴν ἀφροσύνην. Καταφρονῶ, ἀλογῶ, ἀτιμάζω, ὑπερορῶ. ὡς ἐπὶ τὸ πλεῖστον μὲν γενικῇ συντάσσεται. ἔστι δὲ ὅτε καὶ αἰτιατικῇ. Θουκυδίδης, καταφρονοῦντες ἐπιόντας ἐκ τῶν ἔργων τῇ ἄλλῃ διώκεσθαι, καταφρονοῦντες τοῦ πράγματος. Καταφρύγει, ἀντὶ τοῦ καίει. Ἀριστοφάνης, καὶ καταφρύγει βάλλων ὑμᾶς. Καταφρύγει ὁ ξηραντὸς λέγεται, ὅτι πολλάκις ὁ ξηραντὸς ἀψάμενος οὐκ ἀνάπτει, ἀλλὰ περιφλέγει μόνον. ἢ καταφρύγει, κατακαίει. περιφλέγει, περικαίει ἐντελῶς. Καταφρύγουσι, καταξηραίνει. Καταφυγήν, γεννηθείς. Καταφυλαδόν, κατὰ ἔθνη. Καταφύξαι, κατασβέσαι. Καταφύσις, τὸ κυρίως ὀνομάζομενον ἐν τῷ γένει συνεκτικὸν τῆς οὐσίας. Κατάφυτος, σύνδενδρος τόπος. Καταφωνεῖ, ταράσσει. Καταφωράθη, κατηλέγχθη. Καταφωρᾶν, ἐλέγχειν, ἐρευνᾶν, ἐπιζητεῖν. Καταφωρᾶν, ἐλεγχόμενον, φανερόν, ὑπεύθυνον, ἢ καταφανὲς γενόμενον.

Κατάφωρος, φανερός. Καταχαλῶ, καταβρέχω. Κατάχαλκος πόλις, ἡ κατάχαλκος ἀνήρ, πεποιημένη χαλκοῦ, ἢ ὅπλοις

ῥάξαι, καταρύξαι, καταβαλεῖν, ἢ κατασκάψαι. Κατάκρας, ἀντὶ τοῦ κατὰ κράτος. ἀπὸ τοῦ ἀκὴ, ἡ ὀξύτης, ἀκὰ καὶ ἄκρα πλεονασμῷ τοῦ ρ. Καταρᾶσθαι, ἀρᾶσθαι θεοῖς. Κατάρατος, κατάρας ἄξιος. Καταῤῥαψῳδῆσαι, φλυαρῆσαι.

Καταράσσειν, καταρίπτειν. Καταραδιουργοῦντος, κατακτυποῦντος. Καταρβύλοις, χλαίναις ποδήρεσιν ὥς τε καὶ ἐπὶ τὰς ἀρβύλας χαλᾶσθαι. Σοφοκλῆς Τρωΐλῳ. Καταργήσει, λύσει, παύσει. Καταργῶ, τὸ ἀποπαύω, καὶ πληρῶ. καταργεῖται δὲ ὁ νόμος, ἀντὶ τοῦ ἀπρακτεῖ. γίνεται ἐκ τῆς κατὰ προθέσεως, καὶ τοῦ ἀργῶ. Κατάρδειν, εὐφραίνειν, ποτίζειν. Καταρδευχεῖν ἀποχύσαι, καὶ καταβρέχειν. Καταρέζειν, ἐπὶ τὸ ῥέζειν, ἤγουν ποιεῖν πρᾶγμα εἰκαῖον, καὶ αὐτὸ τῇ χειρί. ἔχει δὲ καὶ καταψᾶν, καὶ ἅπτεσθαι ἠρέμα κολακευτικῶς. ἰστέον δὲ, ὡς τὸ πράττειν ἀσυνθέτως λέγεται ῥέζειν, ὡς τὸ τίς νῦν τοιάδ' ἔρεξε, καὶ ὡσεὶ κακὸν ῥέζουσαν ἐνιπῇ. τὸ δ' αὐτὸ καὶ ἔρξω, κατὰ μετάθεσιν, ἐξ οὗ τὸ ἔρξον, ὅπως ἐθέλεις. τὸ δὲ καταψᾶν συνθέτως καταρέζειν. καὶ ἐν συνηθείᾳ δέ ἐστι καῤῥέζειν, ὅθεν καῤῥέζουσα. Κατὰ ῥῖθος, ὡς ἐπὶ καλὸν ἄμειψε κατὰ ῥῖθος ἀφρογένεια, ἀντὶ τοῦ ἰσοπρόσωπον, ἔξω. Καταῤῥεῖ ὁ λειμὼν, καὶ ἡ χλόη καὶ τὰ φύλλα καὶ ὁ καρπός. Καταρίκτας, ὁρμητικός. Καταῤῥεπής, ἑτεροῤῥεπής, ἑτεροκλινής. Καταρεῖσθαι, κατακλύειν. Καταῤῥικνάζονται, συστρέφονται. Κατασμῶν, ὀρθῶν, λευκῶν, παρὰ Καλλιμάχῳ τὴν χάλαζαν.

Κατάρξασθαι τοῦ ἱερείου, τῶν τριχῶν ἀποσπάσαι.

Καταροίζομαι, ῥυματίζομαι. Κατὰ ῥοῦν, κατὰ τρόπον, καθ' εὐθεῖαν. Κατὰ ῥόον, παροιμίαν φασὶ τὴν λέγουσαν, φέρεσθαί τι κατὰ ῥοῦν, ἤγουν εὐτυχῶς πλεῖν, ἢ ὅτι τάχα. ποιοῦντα γάρ τι καὶ τὸ ἔνθα καὶ ἔνθα κατὰ ῥοῦν φέρεσθαι, ᾧ ὅμοιον καὶ τὸ ἀνὰ πέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα. Καῤῥακτὴ, ὄρνεον ἁρπακτικόν. Καταῤῥάκτας, ὀχετὸς, ῥύαξ. καὶ ὁ αὐτός. Σοφοκλῆς Λαοκόωντι, καὶ τὰς ἁρπυίας, ἐν φινεῖ. Καταῤῥάκται, πέτραι ἐν τῷ Ἰστρῳ ποταμῷ. Καταῤῥέξαι, καταθῦσαι.

Καταῤῥαπίζεις, τοργὴν ἐν τῷ περὶ θυσιῶν. Καταῤῥαίνειν, κατακλᾶσθαι. Καταῤῥεῖν, ἀναλίσκεσθαι. Καταῤῥέοντες, ἀντὶ τοῦ ἀθρόως ἐπερχόμενοι, ἡ μεταφορὰ ἀπὸ τῶν ποταμίων ῥευμάτων. καὶ Ὅμηρος, πολλὰ ἐπέῤῥειν ἔθνεα πεζῶν.

Καταῤῥήσεις, καταλύσεις. Καταῤῥήκτων, ἐπικρατῶν, ἐπιφορῶν. Κατάῤῥους, τὸ ἀπὸ τῆς κεφαλῆς καταφερόμενον ῥεῦμα ἐπὶ τῶν μυκτήρων. ὃ καλοῦσιν οἱ ἰατροὶ κατάσταγμον, ἢ τὴν διαῤῥοίαν, ἢ τὸ δυσεντέριον. Καταῤῥυτα, ὀρλιδοῦμα. Καταῤῥυθμίσαι, ἀπαρτίσαι. Κατάρτιον, κατάλοιπον. Καταρτίζω, ἁρμόζω. ἐκ τοῦ ἀρτιῶ ἀρτίζω. καὶ καταρτίζω, τελειῶ. Καταρτύσειν, παρασκευάσειν, εὐτρεπίσειν.

Καταροβλάσαι, κατεσθίων, ῥοφήσαι. Καταρυῆναι, κατακλυσθῆναι. Καταρυθμίζεσθαι, καταδύνεσθαι, κατοικίζεσθαι.

Κατάρχος, ἀσφαλὴς, τέλειος. Καταρύγια, γῆν ἐστὶ φυτείαν ἀμπέλων ἐπιτηδείας. Καταρῶμαι, ἀρῶμαι, κατεύχομαι. Κατὰ σαυτὸν, ἐπὶ σοῦ, κατὰ σε, ὅμοιός σοι.

Κατασείειν, τυρβάζειν. Κατασεῖσαι, καταβαλεῖν.

Κατασίνεσθαι, καταβλάπτειν. Κατασίσαι, σβέσαι.

Κατασεσεισμένα, κατασεισμένα. Κατασημαίνεσθαι, κατασημειοῦσθαι. Κατασίνεσθαι, καταβλάπτεσθαι. Κατασκαφὴς, κατεσκαμμένος. Κατασκάφιλος, κατασχὼν τοὺς φίλους. Κατασκάψαι, κατερεῖψαι. Κατασκεδάσαι, καταχέαι. Κατασκελλεῖν, κατασκελετεύειν, τὴν σάρκα κατασφακελίζειν. Κατασκευάζω, τὸ ἐργάζομαι, καὶ ποιῶ. λέγεται δὲ ἐπὶ τῶν ποικίλως συνεσκευασμένων. καὶ ὄνομα ἐκ τούτου κατασκευὴ, ἡ ἐνέργεια τῶν κατασκευαζόντων, καὶ τὸ ἔργον τὸ κατασκευασθέν. λέγεται δὲ κατασκευὴ, τὸ ῥητορικὸν προγύμνασμα, ᾧ ἐναντίον ἡ ἀνασκευή. καὶ κατασκευὴ, ἡ αἰτία ἐπὶ λόγου.

Κατασκευάζω, καταρτύομαι, ἑτοιμάζομαι. Κατασκευάζω, ἐπὶ τῶν τεχνιτῶν, τὸ δημιουργῶ. καὶ κατασκευὴ, ᾧ ἐναντίον ἀνασκευάζω. Κατασκευάζει, ὁ αὐτουργὸς τὴν οἰκίαν. κατασκευάζεται δὲ ὁ ἐπὶ τῆς κατασκευῆς ταῦτα τὰ ἀναλώματα διδοὺς, τουτέστιν ἢ καὶ τὸ οἰκοδομὴ, καὶ οἰκοδομεῖσθαι.

Κατασκῆψαι, κατασκοπεῦσαι. Κατασκήψαντος, ἐμπεσόντος. Κατασκιάζεται, διασκορπίζεται. Κατάσκιος, πάντοθεν σκιὰν ἔχων. Κατασκοπεῖ, κατασκοπεύοντος, ἐπιβουλεύει. ὃ Λάκων ἐξηγεῖται, λοχᾷ, λοχεῖ. Κατασμύξαι, μαράναι, καῦσαι, ἐμπρῆσαι. Κατασοβεῖται, καταδιώκεται. καὶ κατασοβεῖται, καταδιωχθήσεται. Κατασοφισάμεθα, τεχνασάμεθα, μηχανὴν ἐπὶ κακῷ εὕρομεν. Κατασπᾷ, ἕλκει καθέλκει. Κατασπᾶν, χαλᾶν, ἢ σιαλίζειν ἑτέρου ἐσθίοντος, ἢ παρὰ δεῖπνον διαλεγόμενον κατασπᾶν τὸ σίαλον.

Κατασπαταλᾷ, τρυφᾷ. Κατασπέρχων, κατασπεύδων.

Κατασπείρω, τὸ φυτεύω, γεννῶ. Κατασπεισάμενος, ἐκσπεισάμενος, κατασπεισάμενος. Κατασπουδάσαντα, αὐτοῦ βουληθέντα, ἐχθρὰ βουλευσάμενον. Κατασπιλάζων, μολύνων. Κατ' ἀσπίδα, ἐπ' ἀσπίδα. Κατασπιλωθῆναι, καταπλάσαι. Κατασπόλαδος, φαῦλος. Κατασπονδῶ, μετὰ συνθήκας καὶ σπονδὰς πολεμίων ποιοῦμαι ταῦτα, ἐλέχθη κατασπονδῶ, εἶδε λιβάνου τοῦ ὄρους καταφαίνειν. Κατασπορὸς, καθαίρεσις. Κατασταθείς, κατ' ὀρθὸν, κατ' ἐπανόρθωσιν. Καταστὰς εἰς ἀπολογίαν, ἀντὶ τοῦ ἐλθών. καὶ καταστὰς, προβληθεὶς, προχειρισθείς. ὁ δὲ ἐφιστάμενος τοῖς πάντων καταστὰς, ἐλεῖν ὤλε. Κατάστασις, ἡ ἐπίδειξις, ἡ συστάσις, ὁ ὁμολογία, ὁ κόσμος, ὁ εἶδος. Καταστάτης. Σοφοκλῆς, ἀφ' ἀρχῆς ἔλευσιν καὶ καταστάτην δόμων. ἀντὶ τοῦ εἰσηγητήν.

Κατάστελλε, ἀντὶ τοῦ καταστεγάζε. Καταστέλλω, περιστέλλω. Καταστέλξαι, κατασιγῆσαι τὴν βοήν. Κατὰ στεφάνας, ὄρους, ἐξοχὰς, ἀκρωρείας. στεφάνη γὰρ εἶδος κόσμου περὶ τὴν κεφαλὴν, ἢ περικεφαλαίας. ὡς Ὅμηρος, χαλκεῖοι δὲ στεφάνης εὐχάλκου. Καταστῇ κατάστασιν, ἐν Εὐλίφῳ Ἀριστοφάνης. Κατάστημα, κατάστασις. παρὰ τῷ Ἱπποκράτει.

Κατάστημα, σχῆμα, στάσις, ὁρμή. Καταστήσονται, ἀποδείξουσιν. Καταστομίσας, ἀποτεμεῖν, ἐν οἷς πρώην λεγόμεθα, ἀπόπεμψον, κατάστιχον. ἢ καταστρωσαμένη, κατέσχε πάσιν ἔχοντα, ἀπέπεμψα, καθισαμένα. Καταστηρίζων, βεβαιῶν, κατασφραγίζων. παρ' ὅσον τῶν ἀταξίαν τὰ ὀνόματα περιέχον, ἐπιζημίων. Κατάστικτον, ποικίλον, καὶ στίγματα ἔχον αὐτοῦ κατάστικτον ἔχον. Καταστίλβει, καταγάζει, καταλάμπει. Κατὰ στίχους, κατὰ τάξεις. Κατὰ στολὴν, ἢ στολή. Κατὰ στόμα, κατὰ πρόσωπον, κατὰ τὴν ἀρχήν. Καταστομίς, μέρος τι τοῦ αὐλοῦ, τὸ ἐνόλβιον. Καταστοχάζεσθαι, κατὰ σκοποῦ βάλλειν, κατὰ σκοποῦ βλέπειν. Καταστοχῶν, περιβολήν. Καταστρέφω, σφαλλεῖν. Καταστρέφομαι παρ' ἄλλον, καὶ καταστρέφομαι τὴν Λιβύην. Ἡρόδοτος, ἅ τε Λυδίων τε καταστρεφομένων γῆν πολλήν. Καταστροφὴ, τέλος. Καταστροφῆς, ὀλεθρίου. Καταστρώματα, τῆς νεὼς μέρος, ἀφ' οὗ ἐστῶτες ναυμαχοῦσιν. Κατασῦραι, κατασύρειν, συλλέξαι, μιῶσαι.

Κατασφίλου, καταξήρου. Κατάσφαλον, κατάξηρον. καὶ ἡμεῖς δὲ τὰς ἀναβάσεις χώρας καὶ σκληρὰς, σφαλὰς καλοῦμεν. Κατὰ συναίρεσιν, κατὰ συναίρεσιν. Κατὰ συνοδικὸν, κατὰ κοινωνίαν, κατὰ σύμπραξιν. Κατασυρέντες καταστέψαι, ἑλκύσαι βαθύν. Κατὰ σφᾶς, καθ' ἑαυτούς.

Κατασφάκελοι, καθῆλονται. Καταχέσαι, καταβρέξαι, καταχέειν, ἢ ἀμυχὰς ποιῆσαι. Καταχεῖν, καταπραΰνειν, κατανικᾶν. Κατάχρεω, εὐθυπότακτον, καὶ οἱ καταχύοντες χρεῶν.

μένος. Καταικτὸ καὶ καταιχμὸν, αἰτιακή. Καταπευκὲς, πευκίνον. ἄλλως τὸ ἀταλάλαλον εἶναι, καὶ σύλληψη καταπαύεις τὶς ἐζετουμένος. Καταπερδλεῦν, καταφρονεῖν, ἐκ τοῦ πέρδω, τὸ βδέω. Καταπαλαίω, ἀντὶ τοῦ πληρώσω, φαίνεται παρὰ τῷ Λυκόφρονι. Καταπείγων ἐργαζέσθαι τὸ δέλος. Καταπορευτῶν, τόπους βαθεῖς περαζοντα, καὶ ἡ λαγμένη βαθεῖς. Καταπείροντος, καταλέσαντος. Κατὰ πέλλαν, κατὰ τοῦ γάλακτος ἀγγεῖα. Καταπελτάζοντας, καταπειράζουσι καταπολεμήσουσι. πέλτη γὰρ εἶδος μηχανῆς, ἀφ' ἧς ἀκόντια καὶ ἄλλα ἴσα πίμπουσιν. ἢ καταφρονοῦνται. πέλτη γὰρ ἀσπὶς μικρὰ, μὴ ἔχουσα ἱμάντα. Καταπεμπαζομένα, καθειμένα. Καταπίμπειν λέγεται κυρίως, ἐκ τῶν ὑπὲρ κομιζομένων εἰς κόσμον. οἷον τὸ θεῖον ἐπ' εὐφροσύνῃ τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους, καταπέμπει τοῦ δέους τῶν ψυχῶν. σημεῖον εἶναί φασι τῶν ὑψηλοτέρων ψυχῶν ἐπ' αὐτὸ τὸν καταπεμφθῆναι, αἰτιατικῇ συντάσσεται. Καταπέμπειν λέγεται, καὶ τὸ ἔγγραφα προστάγματα πέμπειν τοῖς ὑπηκόοις, τοῖς ὑπὸ χεῖρα, καὶ μακρὰν οὖσι, καὶ ἀπολαμβάνουσι, δοτικῇ συντάσσεται. Καταπέπονθα, κατέργασμαι. Καταπεπολτωμένα, καταπεπιεσμένα. Καταπεπληγὼς, καταπεπληχώς.

Καταπεπτωκότες, καθαπτόμενοι. Καταπέπληγα, ἀπὸ τοῦ πλήσσω, τὸ μετὰ φόβου κεῖμαι. καὶ ἀπὸ τοῦ πλῶ, πτωσσομένου τοῦ μεγάλου εἰς ἡ εἰς παρακείμενον, ἀποβολῇ τοῦ π. Καταπεπληγὼς δὲ λέγεται τὶς ὑπὸ λιμοῦ ὁ τὰς σάρκας κοιλανθεὶς, καὶ ῥυσσωθείς. Καταπέπτωκεν, ἐπλύθη. Καταπέφθα, ἐσπαρκῶτα. Καταπεφρικότος, δεδιότος. Καταπήγνυσιν, ἀντὶ τοῦ κλείεται. Καταπίνω, καταδαπανήσει, ἡ μεταφορὰ ἀπὸ τῶν ἐν γαστρὶ περιπεπτομένων σιτίων. Καταπίπτειν, ἀντὶ τοῦ φοβούμενος. Καταπίπτει, καταράττει, καταβάλλει. Καταπεφρικα, εἰς τὰς φρεναῖς ἐσαλλόμενος, εἰς τῶν παίδων καταδεδαπάνηκα. Καταπίψαι, καταπραΰναι, ἢ ἐν αὐτῷ κατασχεῖν, μεταφορικῶς ἀπὸ τῶν πεσσομένων σιτίων. Καταπέψῃ, μετωνύμως ἀπὸ τῶν σιτίων τῶν μετὰ βρῶσιν ἱκανῶς κατασχεθέντων ἔσω ἄχρι καὶ πέψεως. παράγεται δὲ ἀπὸ τοῦ πέπτω, σημαινομένου τοῦ ἕψω. ἔστι καὶ πέττω διὰ τῶν δύο ττ. Καταπέψει, πέπτω σημαίνει ἀπλῶς, πέσσω δὲ κοινῶς, ἐντεῦθεν παρατατικὸς καὶ ἔπεσσον, πέψω μέλλων ἐπιρρηματικὸς, ἀπὸ τοῦ πέπτω ἀόριστον, πέψαιμι, εις, ει, τὸ εὐκτικόν. Καταπεύκη, τὰ πεύκινα ξύλα ἐν τοῖς ὕλεσιν. Καταπηδῆσαι τοῦ ἅρματος, καθ' ἵππων ἀλλέσθαι χαμᾶζε φησὶν Ὅμηρος.

Καταπιμελώσαι, καταβλάψαι. Κατὰ πῆχυν ἐπιδίδει.

Καταπίει, καταπίνει. Καταπίμπρασθαι, κατακαίεσθαι κατὰ Πίνδαρον. Καταπίονα, λιπαρά. Καταπλαγέντα, θαυμάζοντα. Καταπλασσῶν, καταπλάσσω διαμαρτών. Καταπλάσμα, τὸ φαρμάκων τὰ μὲν ὑγρὰ καταπλαστά, τὰ δὲ χυτά, τὰ δὲ ὑγρά. ἔνιοι δὲ προσπαροξύνουσι, κατάπλασσα λέγοντες. ἔστιν οὖν πλαστὸν, τὸ πλασσόμενον. πλαστὸν, τὸ πλαττόμενον, ὃ καὶ κατάπλαστον λέγεται. καὶ πιστὸν, τὸ πινόμενον. Καταπλεκεῖσι, συμπλακεῖσι, περιπεπλεγμένοις. Κατάπληξ, καταπεπληγώς. Καταπλάσσω, μολύνω. Καταπλῆγος, καταπεπληχότος. Κατάπληξ, ὁ συνεχῶς πεπληγμένος. Κατάπληξίς ἐστι φόβος ἐκ μεγάλης φαντασίας. Καταπλεκμένων, τὸ βῶμα καταπλέκειν λέγουσι, τὸ σὺν καταδῆσαι μετέωρον ἀπὸ τῶν ἀνεμιζομένων καὶ τοῖς ἱστοῖς κατατεταγμένων οὕτως φασὶ κατακρατουμένους. Καταπλήσσει, καταταράσσει, φοβερίζει, καταπλήττει. Καταπλήττομαι, τὸ φοβοῦμαι. Καταπλεῖν, ὁ εἰς τὸν λιμένα ἐλθεῖν, ἀνάπαλιν τὸ ἀνάπλευσιν, ὡς τοῦ ἐνδοτέρου ὄντος καὶ ἀνωτέρου ὑποκειμένου. διὸ καὶ ὁ ποιητὴς λέγει εἰς Τροίαν ἀναβήσομαι, ἤγουν διὰ θαλάσσης ἐπὶ ἀνάπλευσιν. ὅτι δὲ καὶ τὴν φυγάδα εἰς τὴν πατρίδα ἔλευσιν, κατέλευσιν λέγεται, δῆλον παρὰ τοῖς μεθ' Ὅμηρον ἀττικίζουσι. λέγεται δὲ αὐτὸ κατὰ ἀντικαταλλαγὴν, ἐπειδὴ οἷα λιμὴν καὶ ἐκείνοις ἡ πατρὶς ὑποδέχεται κινδυνεύουσι θαλάσσῃ. Κατάπολλα, πολλάκις, κατὰ τάξιν. Καταπονεῖ, καταναλώσει. Καταποντόω, τὸ καθ' ὑπερβολὴν καὶ ὑπὲρ χεῖρα ἐμφορούμενος, γενικῇ συντάσσεται. λέγεται δὲ ὥσπερ τὸ χῶμαι, καὶ καταχῶμαι, καὶ ἀναλίσκω, καὶ καταναλίσκω. Καταπολεμῶ, νικῶ. Καταπονουμένους, πειραζομένους. Καταποντίζω, καταλύω, βυθίζω, κλύζω. Καταποντωθῆναι, κινδυνεῦσαι. Καταπροθῆναι, ἀντὶ τοῦ καταποντισθῆναι, τῶν ἀττικῶν διὰ τοῦ. Καταπορευθέντων, ἱκανὸν τυχόντων τῶν φυγάδων. Καταπόρθμευσιν, ἐκεῖνοι θάλασσαν. Καταπόρων, πλεονάκις. Καταπότης, λάρυγξ. Καταπραεῖς, κατωφερεῖς. Καταπραΰνας, ἡμεροποιήσας, σιωπήσας. Καταπραϋνόμενος, καταδεικνύμενος. Καταπρηνὴς, κατὰ πρόσωπον ἐπὶ σῶμα κατωφερής. Καταπροΐεσθαι, ἀντὶ τοῦ καταπροδοῦναι, ἀπὸ τοῦ ἵημι, ὁ παθητικὸς παρακείμενος εἶμαι, ὁ ἀόριστος ἕθην. ὁ μέσος δεύτερος ἧκα, τὸ ἀπαρέμφατον ἕσθαι καὶ προέσθαι καὶ καταπροέσθαι. Καταπροδοῦ, κατακαυσῶ, κελεύσαντος κύρου, ἵνα καταπροδοῦ ξύλον. Καταπροΐσσεσθαι, καταπροδιδῶσιν.

Καταπροΐξεσθαι, καταφρονῆσαι, καταπροδώσει. καὶ καταπροΐξῃ, τουτέστιν οὐ μὴ καταφρονήσεις. Καταπροΐξεσθαι, οὐκ ὀρθῶς διαιροῦσι, δέον καταπροΐξεσθαι. Κατὰ πρεσβείαν, κατὰ πρεσβυγονίαν, ὅπερ τὸ κατὰ ἡλικίαν. Καταπροΐξασθαι, ἐκ τοῦ ἴκω, τὸ ἔρχομαι, μέλλων ἴξω, ὁ μέσος ἀόριστος ἰξάμην ἴξω ἴξαν, ἴξασθαι καὶ προΐξασθαι καὶ καταπροΐξασθαι. Καταπροΐξάμενος, καταφρονήσας, καὶ οὐκ εὐλαβηθείς. προῖκα δὲ αὐτὸ σημαίνει. Καταπροΐξεις, καταφρονήσεις, ἢ δωρεὰν γελάσεις. Καταπροΐξεσθαι, ἤγουν κατάδικος ἀπαχθήσονται, καὶ καταφρονήσουσι. Καταπροΐξεσθαι, ἀντὶ τοῦ προῖκα ἀπελεύσεσθαι λέγουσι. Καταπροΐξῃ μου, καταφρονήσεις, παρὰ τὸ προῖκα δωρεὰν ἐπιχαλᾷ μοι, καταγελάσεις μου χωρὶς ζημίας. προῖκα γὰρ ἔλεγον τὴν ζημίαν, καὶ ἀπαχοῦ, οὔτοι μὰ τὸν θεὸν σὺ καταπροΐξῃ λέγοντος ταυτί. ἢ πρὸ δὲ, ἀντὶ τῆς χαρᾶς, προϊκνεῖσθαι. ἔνιοι δὲ ἀπὸ τοῦ ἵξεσθαι, ὅ ἐστι δωρεὰν ἕνα λαβεῖν. οἱ γὰρ διὰ ἰὼ ἐγὼ ἔλει λαβεῖν ὁμοίως καταπροΐξεσθαι. Ἀρχίλοχος. τὸ δ' ἐκεῖνος οὐ καταπροΐξεται, καὶ ἀπαχοῦ προτείνω χεῖρα, καὶ προΐεσομαι. Κατὰ πρόκλησιν, κατὰ χόλον, κατὰ προσωπολεψίαν. Κατὰ πρόσκλησιν, καθ' ὑπερβολὴν, ἢ ὑπερημερίαν. Κατὰ προτμησιν, κατὰ τὸν ὀμφαλόν.

Κατὰ πρωτῆρας, ἡλικίας ὄνομα οἱ πρωτῆρες παρὰ Λακεδαιμονίοις. Καταπτάμενος, οὐ κατέπτη. Καταπτήξας πρὸς γῆν, τὸ διὰ δέος κατακύψαι, ὥς καὶ εἰς τὴν δαδιέτακεν περὶ σφιτέρῃ κεφαλῇ. Καταπτήσσει, δειλιᾷ, φοβεῖται, συστέλλεται. Καταπτήττω, συγκέκλεισται ἐκ δύο καταπτῆξαι τὴν, καθὼ τὸ ἐσχάτην. Ὅμηρος τὸ δ' ἵπποι δείσαντε καταπτήτην. Καταπτύω, ἐμπτυστικῶς χρῆται. καὶ μετὰ γενικῆς συντάσσεται. Καταπτύουσιν ὄλους, καὶ καταπτύοντες ἐμπτύουσιν, ἀλλήλων τῶν δοκίμων. Καταπύγονες, ἀσελγεῖς, ἀσελγεῖς. Καταπυγοσύνη, πορνεία ἡ μαλακία.

Καταπυγονέστερον, μαλακώτερον, πορνικώτερον. Καταπυγῶ, κατασελγαίνω. Καταπυγὼν, ὁ μέσος δάκτυλος, ὁ κατωφερής. Κατὰ πύστιν, νῦν ται διὰ τὸ κατὰ πίστιν ἐγχώριοι. κατὰ πόσιν, κατὰ φήμην. Κατὰ πόλιν, κατὰ πόλιν. Καταπτήσσει, φοβεῖται, δειλιᾷ, ταπεινοῦται.

Καταπτύστον, εὐτελὲς, μισητόν. Καταπτύει, ἀπέπλευσε, κατέπλευσε. Καταπτύεται, ἐρωτᾶται. Κατὰ ῥάβδον ὑφαίνει, κατέρραψε ἕλκυσιν, ἢ κατὰ στίχον διῆλθεν. Κατα-

ἕω, ἤγουν καταλιπεῖν τὴν τάξιν. βούλομαι καὶ μᾶλλον καθελόντα, ἤγουν ἀναλῦσαι. Καταλύω βίον, ἀντὶ τοῦ ἀποθνήσκω. καταλύσαι τὴν τυραννίδα, καὶ καταλύσαι ἐν πανδοχείῳ. Καταμαλάσσοντα, καταπραΰνοντα. Καταμαλάττειν καὶ καταμαλθάσσειν, αἰτιατικῇ. Καταμαλθάσσειν, καταπραΰνειν.

Καὶ ἁμαξιτὸν, τὴν κατημαξευμένην ὁδὸν, καθ' ἣν αἱ ἅμαξαι διέρχονται. Καταμάρψαι, καταλαβεῖν. Καταμεμφόμενον, γενικῇ, ἤγουν καταφρονοῦντα. Καταμαίνει, καταβάλει, ἐπεὶ ἀρξάμενοι, οὐχὶ λῆξαι, ἢ τὸ παλαιὸν ἄγαν λάχανα ἐκπιάσαι. Καταμιαίνεται, ἀποπλύνει κατὰ μέρος. Καταμέμφομαι, γενικῇ συντάσσεται. οἷον καταμέμφομαί σου, ἤγουν κατά σου μέμφομαι. ὅταν ἔχῃ ἡ κατὰ πρόθεσις μείζονα ἔμφασιν, αἰτιατικῇ συντάσσεται. Συνέσιος καθ' ἑαυτὸν γοῦν ἐκ ἀμφιβόλου καὶ δῆλον, ἀλλὰ καταμέμφειν τὴν ἀκαιρίαν τῆς συμφορᾶς. Καταμηλῶσαι, λέγεται τὸ μηλῇ καθιέναι ὑπὸ τοῦ ἰατροῦ εἰς τὸν λαιμόν. ὡς ποιοῦσι καὶ οἱ ἐμοῦντες τὸν δάκτυλον καθιέντες εἰς τὸν λαιμόν. Καταμηλῶσαι, μηλοῦσι καλοῦσιν οἱ ἰατροὶ, τὸ μηλὴν καθιέναι. ἦν δὲ καὶ παροιμία τις ἐπὶ τῶν τὰ ἄδηλα τεκμαιρομένων. λέγεται δὲ καταμηλοῦν, καὶ τὸ βαλανεῖα, ὅταν πίνων ἐμεῖν. Καταμηρίσαι, κατανείμαι τὰ μερίδια ἑαυτῷ. Καταμηχανώμενος, ἐπιβουλεύων, ἐπιχειρῶν. Καταμήσας, καθάπαξ. Καταμίξας, ἐκθύμως, ἐπιστάς. ἀπὸ γὰρ τὸ σπαρτίον, ἐπιστάμενοι. καὶ ἀμητοῦντες, οἱ θερισταί. Καταμικρύνειν, κατασμικρύνειν, ζητεῖν.

Καταμαγγὶς, παρακμῇ σώματος. Καταμανεῖ, κατεσθίει, καταθίει. μικρὸν γὰρ, τὸ ἐσθίειν. Κατὰ μικρὸν, κατὰ βραχύ. Καταμισθοφορῆσαι, εἰς μισθὸν ἀναλῶσαι, μισθὸν διδόναι ἐν τῇ ἐκκλησίᾳ, καὶ τοῖς δικαστηρίοις τὸν ἡλιαστικὸν, καὶ τὸν ἐκκλησιαστικόν. Κατὰ μέτρον, ἀντὶ τοῦ λιτῶς, τροπικῶς. Θουκυδίδης, κατὰ μέτρον τὰ πράγματα ἐκλογίζομαι. Κατὰ μέσον, κατὰ τὸν πόλεμον. Κατὰ μοῖραν, κατὰ τὸ πρέπον, κατὰ τρόπον, κατὰ καιρὸν, ἢ νόμον. Κατὰ μοῖραν εἰπεῖν, τοῖς προσηκόντως. Καταμόνας, τὰς μισθώσεις τῶν ἐργατῶν εἰς χρόνον. Καταμόνας, ἐπίρρημα ποιόν. οἱ δὲ λέγουσι, μοναδικόν. γίνεται δὲ ἐκ τῆς κατὰ προθέσεως καὶ τοῦ μόνος.

Καταμόνας, ἀντὶ τοῦ κεχωρισμένως. Καταμύουσι, κλείονται. Κατάμυσον, κατάκουψον, καταμύσαι ὑμῖν ἐπ' ὀλίγον οὐκ ἐφιᾶσι. Καταμφωτί, εἶδός ἐστιν οὕτω καλούμενον.

Καταμωκᾶσθαι, καταγελᾶν. Καταμωκώμενος, χλευαζόμενος. Καταναύσας, καθεὶς ἕνεκα τοῦ ζητοῦσαι [illegible] ἐλέξεις. ἀπὸ τοῦ μαστεύειν, ὥσπερ καὶ τὸ καταπυματούμενος, παρὰ τῷ Ἱπποκράτει. Κατὰ νοῦ, κατὰ νοῦν. Καταναρκῶσαι, καταπαλαίειν. Καταναλίσκω, καταμαλακίσαι. Κατὰ νόμον, κατὰ τάξιν. εἴρηται δὲ ἀπὸ τῆς παροιμίας, κατὰ νόμον τὰ ἔρημα. Κατανεύεσθαι, ἤγουν ἀνεῖσθαι, ἀλλοῦσθαι, τελεσθῆναι. ἐκ τοῦ ἄνω, τὸ ἀνεῖναι. Κατανοσφισμοῦνται, καταναλίσκονται, παρὰ τῷ Ἱπποκράτει. Καταναπτὸς, ὁ κατωφερὴς καὶ πόρνος. εἴρηται, ἢ παρὰ τὸ καταχεῖσθαι ἐπὶ παντὶ, ἢ ὁ τοῦ καταπαυθῆναι ἄξιος, διὰ τὴν ἀσέλγειαν αὐτοῦ. Καταναυτίζεσθαι, καλλωπίζεσθαι ἢ καυχᾶσθαι. Κατανεκλώσκων, ἐσθίων, δαπανῶν. Καταναξάντων, εἰς τὰ ἔσω ἀναχωρησάντων. Καταναρκήσαντες, καταλαβόντες. Κατανενυγμένα, ἀμυχὰς ἔχοντα. Κατανενευκότα, κατανεύοντα, θεῷ, ὄντα. Κατανεῦσαι τῇ κεφαλῇ τὸν Δία, μέγιστον ἦν γέρας, ἦν τέλος πράξεων. διὸ καὶ φησιν ἐκεῖνος, ὅτι οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλὸν, οὐδ' ἀτελεύτητον, ὅτι κεφαλῇ κατανεύσω. ὁ δὲ λόγος οἰκεῖος ἐνδόξῳ προσώπῳ, μεγάλα ὑπισχνουμένῳ. εὐτελεῖ οὐ προσήκει ὁ λόγος ἅπας, τριῶν ὄντων, δι' ἃ ὡς οὐ ποιεῖ τὸ ὑπισχνούμενον, ὅτι οὐκ ἔστιν ἀξιόπιστος, ἢ μεταμελεῖται ἀλλὰ ἀπατηλὸς μὴ ὢν ἐξ ἀπο-

κης ἐστὶ τῆς εὐτελείας ὁ λόγος τῆς ὑποσχέσεως, ἐπεὶ οὐδὲ παλινάγρετος, ὃ ἐστιν ἐκ μεταμελείας ἀναλαμβανόμενος. ἀτελεύτητος δὲ καὶ ἀνεξέλεγκτος ἐστι, ἤγουν ἀτελής. ἐὰν μέγα ἢ τὸ ὑποσχόμενον, καὶ μὴ τελεσθῇ, ἀναλαμβάνειν τῶν δὲ κατανεύω, εἰκὸς ταῦτα πάντα πρόεισι. δηλοῖ δὲ ὁ λόγος, δεῖν εἶναι τοὺς ἐν γεραιότητι ἐμμένειν ταῖς ὑποσχέσεσιν, ἐφ' αἷς κατανεύσαιεν, τίμιον γὰρ ἡ κεφαλὴ, καὶ οὔτε τὴν αὐτῆς δὲ κατάνευσιν ἀπατητικὴν, οὔτε τοὺς λόγους ψεύδεσθαι, οἷς τῶν βασιλικῶν δογμάτων ἡ ἔλλειψις καθίσταται. Κατανεύσει, νεύσει. Κατανεφρακῶσαι, καταπιάσαι, κατασχεῖν. Κατανήνασθαι, ὃ ἐπώνυμον ἦν ὅ, ἐξωθεῖν ἀθλούντων, ὁ τὰ κάτω τοῦ πέπλου τῆς ἀθηνᾶς ῥυπαινόμενα ἀποπλύνων. Κατανίψασθαι, καταφθείρεσθαι, καταχιονίζεσθαι. Κατανοήσας συνιεὶς, καὶ ἰδὼν κατενόησε μου συνιών. Κατανομιστεῖσαν ῥυμοτομίαν ἐργαζόμενος. Καταντᾶν, καταβαίνειν. Κατὰ νῶτον, τοῖς πολεμίοις, ὁ ἀπ' ὄπισθεν γίνεται, κατὰ νῶτον οἱ ἐκ τῶν ἐναντίων. Καταντικρὺ, κατευθὺ. Καταντικρὺ, ἐπὶ τὰ ἔμπροσθεν. Καταντίον, ἔχει τὸ ἐναντιωμάτων, ὥσπερ κατωφερὴς καὶ ἀνωφερὴς, ὁδὸς καταντὴς, ἤγουν κατωφερὴς, καὶ ἀνάντης ὁδὸς, ἤγουν ἀνωφερής. Καταντήσαι, λαχεῖν, κληρῶσαι. Καταντλήσαντας, φθονήσαντας. Κατάντησιν, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ σου, δηλοῖ τὸ ἀντικρὺ φανῆναι ἀνδρώπου. πλεονασμὸν δὲ τοῦ σ ἔχει ὁμοίως τῷ τεκμηρίων, διὰ τὸ καλλιφωνότερον. ἄλλως γὰρ οὐκ ἐπιχωρίως ἔχει τὸ σ, ὡς δηλοῖ καὶ τὸ ἐνάντιος ἐναντιωθὲν, ἐπὶ τὸ ἀντίθετος. Κατ' ἄντυσιν, κατ' ἐναντίον. Κατ' ἀμφιβολίαν, κατ' ἀντίβλεψιν. Κατ' ἀντικρὺ, ἐναντίον. Καταντιάσαν, ἐναντίως, ἐξεναντίας. Καταντιώσει, κατορθώσει. Καταντλοῦμαι τὰς ἀτὰς, καταντλεῖ δὲ τὰ ὦτα. Καταντυγὴς, ἀπαθὴς, μεθυστικός. καὶ καταντυγεῖ, ἀντὶ τοῦ στυγνοῦ. Καταντυγὴς, ἀνδροχέστατον. Καταντυγεῖ, ἡσυχάζει, λυπεῖται. Κατάνυξις, ἡσυχία, ἢ λύπη. Κατανύσσων, κατασκελετεύων.

Κατανύσαι, συντελέσαι. Κατανωτιζόμενος, ἀντὶ τοῦ κατὰ νώτου φέρων. Καταξαίνοντες, κατέξαινον, ἐμαστίγωσαν, ἐξέτεινον, κατεξάνθη. Καταξαίνειν λίθοις, αἱμάσσειν παρὰ τῷ Ἀριστοφάνει. Καταξαινόμενοι, ῥαπιζόμενοι χλευαῖς. Καταξαίνειν, κατατρίβειν. Καταξανεῖ, καταπατήσει, βασανίσει.

Κατ' ἀξίαν, κατὰ δόξαν. Κατάξιος, ἐκ τοῦ καταξαίνειν, καὶ τὸ χλαῖναν ξαντικὴν λέγομεν. Σοφοκλῆς δὲ ξαίσματα. τὸ δὲ ξαίνειν ἀπὸ τῆς ἐνεργείας τῆς χειρὸς, ξαντὴν ἔλεγον. καὶ ξάντριαν, κλώθειν, στρέφειν, νήθειν, ἐρέαν κατακεκλεῖσθαι καὶ ῥαβδίζειν. Πλάτων δὲ ἐρίζειν παλαί, τὴν ἐργασίαν. τὸν δὲ νῆμα, σῶμα, καὶ τὸ ἔργον τοῦ σώματος, τὸ νῆμα, ἐργασίαν τὸ ἀργαλεῖον τοῦτο. ὁ δὲ κωμικὸς Πλάτων ἔφη, ἐκ λύκους σάκος ἐστί. ἐκαλεῖτο δὲ τὰ νήματα Ἡρόδοτος. Κατεῖδον δὲ ἐν Ἀταλάντῃ, ὀργανικώτερον τὶ λέγων ἰσοῦ τραχικώτερον, ἄγνωστος, σφέδλυξ, κλυσμὸς. οὕτω δὲ καὶ τὴν περιστροφὴν τοῦ λίνου Σισυφίδας ὠνόμασεν, λίνου κλωστῆρα περιφέρει λαβὼν πῖνον ἀγαθόν μοι καὶ πλεῖστα, ἵνα ἀγαθὸν ἀναθείη, ἢ πλείους αἰσχύνεται οἱ κωμικοί. φαίνεται δ' ἂν καὶ μέτρῳ, καὶ μεταβάλλειν, τὸ μετιέναι. καὶ παλίμφατος, ὡς Κρατῖνος ἔφη. καὶ ἐν πλείοσι, τὸ πλεονάζειν. φιλόδοξος δὲ αὐτὸ εὕρηκε. Καταξόρες, οἱ ἄνθρωποι, οἱ μὴ ἔχοντες λαβάς.

Καταξιοῦντες, ἡμᾶς ἀξιοῦντες. Καταξόμενα, κατακλώμενα. Κατὰ ξυμφορὰν, κατὰ δυστυχίαν. Καταπαγῆ, κατάπαγε. Καταπαίζει, παίζει, ἐμπαίζεται. Καταπάλλειν, καταπαλαίσας. Καταπάλτης, βέλος, πολεμικὸν ὄργανον, καὶ τὸ ἀφιέμενον βέλος. Κατὰ πάντα, ὑπὲρ πάντα. Καταπάλλειν, ἀθρόως, ἢ ἀθροῦν. Καταπάσσειν, καταπαιπάλειν. Καταπαυσώμενος, κατάπαυσις, παύσεις, καταπαυσάμενος.

Κατακτάμεναι, ἀποκτεῖναι. Κατακτανέεσθαι, ἐκτάω, ἐκτῶ, ἔκτανον, ὁ δεύτερος ἀόριστος ἔκτανον, ὁ μέλλων ἐκτανῶ, ἐκτανοῦμαι ἐκτανεῖ ἐκτανεῖται, τὸ ἀπαρέμφατον ἐκτανεῖσθαι, καὶ διαλύσει τῆς διφθόγγου εἰς δύο ε ἐκτανέεσθαι, καὶ κατακτανέεσθαι.

Κατακρήμνισθεν, ἀπὸ μεταφορᾶς τῶν ὑψηλῶν πετρῶν, αἳ ὑπὸ τοῦ ὕδατος καλυπτόμεναι, τοῖς ἀπείρως προσπελάζουσι τὸν ὄλεθρον ἐπιφέρουσι. Κατακτυπούμενα, κατακτυπούμενα.

Καταλάτρα, ἱεροργός. Κατακλυσμός, ὁ κατακλυσμός, ὅταν τὸ χωρίον ἐλίξαν τῶν ἄλλων προσκατακλύσῃς. Κατακυριεῦσαι, κατακρατῆσαι. Κατακυρωθείς, κατακριθείς. Καταλαζονεύσασθαι, θρασῦναι. Κατὰ λαλεῖν, κατὰ λέξιν. Καταλαλεῖ, καταγελᾶ. Καταλαμπάς, ἡ καταλαμψις, καὶ αὐτὸ τὸ χωρίον, καὶ ἐμεσουράνει. Καταλαβείς, παλαιὸς. Καταλαβέσθαι, κατανοήσασθαι, φυλάξασθαι, ἀφελέσθαι. Καταλαγιασθείς, εἰς ὀλιγὰς κατισχυθείς. Καταλαγιάσασα, καθυβρίσα. Καταλαζονεύσασθαι, κατακαυχήσασθαι, καυχήσασθαι. Καταλείπεται, ἐξάγεται, ὁ ἐκλείπων τὰ δημόσια. Καταλακιζων, κατηχεῖσθαι, ἢ τελείως βοᾶν. Καταλαλεῖν, τὸ εἰς ἀπόντα τινὰ ἴσως βλασφημεῖν. Καταλαλιᾶν, καταλογεῖσθαι, λυπεῖσθαι. Καταλαμβάνω, λέγεται τὸ φθάνω, καὶ τὸ ἔχω, αἰτιατικῇ. καὶ καταλαμβάνω, ἐστὶ τὸ τὸν φθάνω, καὶ τὸ κατέχω. καταλαμβάνομαι δὲ ἐγὼ, ἐπὶ παθόντος. Καταλάμπεσθαι, τὴν ἰδίαν ὄψιν δηλοῖ. Καταλαπιδεύσαι, ἀποκτεῖναι, καταλιθῶσαι, κατατροπώσαι, ἢ κατακλάσαι. Καταλγύνεσθαι, λυπεῖσθαι. Καταλεαίνει, καταψηφίζει, καταλεαίνουσα.

Καταλεάνας, κατατρίψας, ὁμαλίσας. Κατάλεγε, τὰ προπερισπώμενα βραχυκατάληκτα, ὡς ἐπὶ πολὺ ἀναβιβάζει τὸν τόνον, οἷον λέγε κατάλεγε, στεῖρε κατάστειρε, οὕτω καὶ τὸ ἧσο κάθησο. τὸ μὲν τῇ ἀρχαίᾳ κάθησο, ἀντὶ τοῦ ἡσυχάζοντος ἐκάθου, προσεξέφερε. διότι τὰ τροχαϊκὰ περισπώμενα, φυλάττει τὴν περισπωμένην, καὶ ἐπὶ πλεῖστον καὶ μετὰ συνθέσεως, οἷον ἦγε κατῆγε, τὸ ἐν περισπωμένῳ, ἔχε κατέχε, εἶλε παρεῖλε, εὗλε κατεῖλε. οὕτως οὖν καὶ ἧσο κάθησο. ἣν μὲν τῇ μεταθέσει εἰς βραχὺ τοῦ τροχαίου ὁ ἀρχαῖος, τότε δὴ καὶ ὁ τόνος ἐν τῇ συνθέσει ἀναβιβάζεσθαι, ὡς δηλοῖ τὸ κατάλεγε, ἔτι δὲ καὶ κάτεχε, καὶ ὅσα ἄλλα τούτοις ὅμοια. τὸ δὲ ὡς ἐπὶ πλεῖστον πρόκειται διὰ τὸ καθὼς, διὰ τὸ οἶδα σύνοιδα, οἶδα κάτοιδα, καὶ εἴ τι τοιοῦτον. οἱ δὲ παλαιοὶ φασι, καὶ ἔτι τὸ κάθησο προσεξέφερεν, ὡς ἀπὸ τοῦ ἧσο δοκεῖ, ὅπερ ἐστὶ ἧσο καὶ κάθησο. Καταλέγειν, τὸ ἀπαριθμεῖσθαι. τὶ δεῖ τοὺς παλαιοὺς καταλέγειν, ἢ ποιητὰς, ἢ ῥήτορας. καὶ λογίζεσθαι, κατάλεγε πολλοὺς κατὰ τοὺς ἐκείνους. καὶ τὸ τάττειν, καὶ ἐγγράφειν. οἷον κατελέγη τὴν ἀξίαν εἰς τὸν τῶν ῥητόρων κατάλογον, συντάξασθαι καὶ ἀπὸ δουλείας εἰς αἰτιατικήν. Καταληφθείς, καταλειφθείς. Καταλέγεσθαι, ὀδύρεσθαι τὸν τεθνεῶτα. Καταλεγέσθω, κατατασσέσθω. Καταλείβω, καταστάζω. Καταλείβω, καταλύω. Καταλείμματα, ὑπόλειμμα, μέρος. Καταλείπειν, ἀντὶ τοῦ παντελῶς ἐᾶσαι, ὥστε μὴ ὑποστρέψαι αὖθις. Καταλείπω, καταλείψω, καταλέλοιπα, κατέλιπον, καταλείπομαι, καταλέλειμμαι, κατελείφθην, καταλειφθήσομαι, καταλελείψομαι. Καταλειφθείητο, ὑστερηθείητο. Καταλεῖναι, καταμίξαι. Καταλέξαι, καταριθμῆσαι. Καταλευγαλέα, κάθυγρος, καταλελειμμένη. Καταλεύει, λιθοβολεῖ. Καταλεῦσαι, ἐγκλεῖσαι, λιθοβολῆσαι.

Καταλευσθῆναι, λιθωθῆναι. Καταλευόμενοι, εἰς τὰ μέταλλα βαλλόμενοι. Καταλεύσιμον, τὸν ἄξιον τοῦ καταλευσθῆναι. Καταλήξομαι, ἤγουν ἀγορεύσω. τὸ ῥῆμα μὲν τοῦ λέγειν, οἶδεν ὁ ποιητὴς, τὸ δὲ ἐξ αὐτοῦ ὄνομα τὸ λεχος οὐκ οἶδεν, ἀλλὰ μῦθον ἀεὶ τὸν λόγον φησίν. οὐκ ἀληθὲς τοῦτο, ὅτι οἶδεν τὸν λόγον ἐν α΄ τῆς ὀδυσσείας. Καταλῆξαι, καὶ ἀπηχοῦ ἀτραχίως κα-ταλῆξω, παύσειν ἀπαγγελῶ. Καταλήγει, παύεται. Καταλήζεσθαι, διαρπάζειν. Καταληϊσάμενος, λαφυραγωγήσας, κατασκευάσας. Καταληκτικὸν, μέτρον ἐστὶ τὸ λειπόμενον συλλαβῇ πρὸς ἀπαρτισμὸν, οἷον τὸ ἰώ μοι, ἢ τὸ ἰώ φεῦ. ταῦτα γὰρ μονόμετρά ἐστι καταληκτικά, διὰ τὸ ἔχειν ὅλον πόδα, καὶ μίαν συλλαβὴν, ἡμιπόδιον, λείπεσθαι δὲ μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν. Καταλήξομεν, καταπαύσομεν. Κατάληξις, παραχώρησις. Κατάληψιν, τὴν γνῶσιν καὶ αἴσθησιν καὶ τὴν τέχνην λέγουσιν. οὕτω δὲ ὁριζόμεθα τὴν τέχνην, οἷον σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένων, καὶ τὰ ἑξῆς. κατάληψιν εἰώθασιν οἱ μουσικοὶ λέγειν, ἐπειδὰν πλήξαντες τοῖς δακτύλοις, ἢ τῷ πλήκτρῳ τὰς χορδὰς καταλάβωσι, καὶ ἀποτείνωσι τὸν φθόγγον.

Κατάληψίς ἐστι συγκατάθεσις καταληπτικῆς φαντασίας, ἢ ἕξις καὶ συγκατάθεσις τῆς διανοίας. Καταλιανθέντες, καταπραϋνθέντες. Καταλιθοῦν, τὸ λίθοις βάλλειν. ἀπὸ δὲ τούτου καὶ μάλιστα ἵνα καταλιθοῦσι, καὶ ἑτέροις ἐστί. Καταλιμπάνω σε, ἀφίημί σε. Καταλιπαίνειν, λιπαροτροφεῖν. Καταλίπωμεν, αὐθυπότακτον. Καταλιφ, μεθόδευμα. Καταλλαγὴν, τὴν ἀντὶ ἔχθρας διδομένην δωρεάν. Καταλλαγή, εἰρήνη, φιλία. Καταλλαγεὶς, δωρὸς ἀναπαύων, μεταλλαγὼν, κατάλλαγμα. Καταλλάττειν καὶ διαλλάττειν, τὸ εἰς φιλίαν συνάγειν ἑκάς. καταλλάττεσθαι καὶ διαλλάττεσθαι, τὸ εἰς φιλίαν συνάγεσθαι. πλὴν τὸ μὲν διαλλάττεσθαι, τὸ καὶ χωρίζεσθαι. ὅθεν καὶ διαλλακτὴς μέν ἐστι, καταλλακτὴς δὲ οὔ.

Κατάλληλον, ἁρμόδιον, ὁμαλόν. Κατ' ἀμοιβάδας, κατὰ τὰς ἀμοιβαίας, ἢ κέρματι ὄντας. Κατάλληλος, ἁρμόζων.

Καταλλήλως, ἁρμοδίως, ἀκολούθως, ἁρμοζόντως. Καταλογάδην, τὰ πεζῷ λόγῳ γραφόμενα. Καταλογίζεσθαι, καταλαλεῖν, καταγωνίζεσθαι, καταβραβεύεσθαι. Καταλογιεῖται, καταμεμψεῖται. Καταλογεὺς, ὁ συγγραφεὺς, ὁ συγγράφων κατ' ὄνομα. Καταλογισμὸς, τάξις. Καταλογή, τὸ τὰ ὀνόματα καὶ ὑπὸ μέλος λέγειν. Καταλογισμῷ, ἀριθμῷ.

Κατάλογον, ἀριθμὸν. Κατάλογος, λέγεται ἡ ἀπαρίθμησις καὶ ὁ ψῆφος. κατάλογος, καὶ αὐτὰ τὰ ὀνόματα. κατάλογος, καὶ ἡ τάξις καὶ ὁ χορὸς, ὡς καὶ παρ' Ἰουλιανῷ, πρὶν προσγραφῆναι τοῦ καταλόγου. Καταλοῦσαι. Ἀριστοφάνης, καταλοῦσαί μου τὸν βίον, καταναλίσκεις τῶν περιουσιῶν. τὸ δὲ καταλοῦσαι καταναλίσκεις εἰς λουτρά. ἄλλως, ἀφειδῶς ἀναλίσκεις μου τὸν βίον, ἐκ μεταφορᾶς ἐκ τῶν ἐκχεομένων ὑδάτων ἐν τοῖς βαλανείοις, ἢ ἐν τρυφαῖς. ὡς καὶ τοῦ βαλανείου ὄντος τρυφῶντος. ἐπεὶ ἔθος ἦν μετὰ τὴν ἐκκομιδὴν τοῦ νεκροῦ λοῦσθαι τοὺς κατ' οἶκον, καθαρμοῦ χάριν. Καταλούς, λυσεία. Καταλοφάδεια, κατὰ τοῦ τραχήλου. Καταλοχίσαι, εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ.

Καταλογίζεσθαι, διαμαρτύρεσθαι, τρίβεσθαι. Καταλύει τις εἰς πανδοχεῖον, ἀπὸ μεταφορᾶς τῶν καταιρόντων ἀπὸ πλόου εἰς λιμένα ταύτῃ. Καταλύει τις τὸν βίον, καὶ ἀναλύει, ἤγουν διαιρεῖ εἰς τὰ ἐξ ὧν συνετέθη. ἢ ἀντὶ τοῦ εἰς τὸ πρῶτον ἀναστροφὴν δηλοῖ, ὡς ἐπανελθεῖν. Καταλύειν, ἀπὸ τοῦ ξενοδοχεῖσθαι λαμβάνουσιν. ἐκ τούτου λέγεται τὸ κατάλυμα, ἐν ᾧ δηλαδὴ τὰ ὑποζύγια, ἢ τὰ φορτία λύονται. Καταλύειν τὸν δῆμον, ἀντὶ τοῦ βλάπτειν. Κατάλυμα, οἴκημα, καταγώγιον. Καταλύομαι ἐγὼ ὑπό τινος. καταλύομαι τὸν δεῖνα, ἤγουν καταλύω. καὶ καταλύω, ἀντὶ τοῦ ἀφανίζω τόδε τὸ πρᾶγμα. Καταλῦσαι, ἀπολαῦσαι, εὐωχηθῆναι. Καταλύσας, καταστρέψας, ἀφανίσας, ἢ εὐωχηθείς. Κατάλυσις, ἡ οἰκία. Καταλύτης, ξένος, παροδίτης, καθαιρέτης. Καταλύσωμεν, ἀντὶ τοῦ ἀποζεύξομεν. καὶ καταλύειν φυλακὴν, παρὰ τῷ Ἀριστοφάνει. οὕτω λέγουσι τὸ ἐπιτροπεύειν ἐπὶ τῆς φυλακῆς. φυλακὴν καταλύειν νυκτερι-

Καταιϰόλλησα, ϰατέαξεν. Καταιϑαλωμένα, ϰατεϰαυσμένα. Καταιϑαλώσω, ϰαταπρήσω, ϰαταϰαύσω. Καταίϑομαι, φλέγομαι. Καταίϑοψ ὄμβρος, ὁ ϰαταιϑύσσων. φαίνεται δὲ ϰαὶ ϰαταίϑαλος ϰαταφλεγόμενος ἢ ἀναξύων. Καταιϑυσσω, συγϰεχυμένα. Καταινέσαντος, συγϰαταϑεμένου. τοῦ δὲ ϰαταινέσαντος τὴν γῆν εἶναι, ϰατέδειν ὑποϰατάϑεσϑαι. Καταινέσαι, συγϰαταϑέσϑαι. Καταΐξ, ϰατάσεισις, ὁρμή. Καταΐσσει, ϰατέχει, λοξάζειν, ἐλαύνειν, ἐπιβάλλειν, ἐπιέναι ϰατ' ἐρέτην. Καταιονοῦσι, βρέχουσιν, ἀντλοῦσιν, ἀλείφουσιν.

Καταίρειν, τὸ εἰς λιμένα τὰς ναῦς ϰατάγεσϑαι, ἢ μὴ αἴρειν, ϰαὶ ἀπαίρειν. ϰυρίως μὲν ἐπὶ τοῦ αἰρόντων τὰ ἱστία, ϰαὶ μεταβαλομένων, ἢ ἀπὸ τῆς ἀποβλημάτων. ϰαταχρηστιϰῶς δὲ, ϰαὶ ἐφ' ἑτέρου ἐπαίρειν, ϰαὶ τὸ ἀναπείϑειν, ϰαὶ ὑφαίρειν, ϰαὶ ὑφαιρεῖσϑαι.

Καταίρειν, ἀντὶ τοῦ ἀναχωρεῖν, ἀποπλεῖν, ἀπὸ τοῦ συμβαίνοντος. συμβαίνει γὰρ ἀποπλεύσας τὰς ναῦς ἐπαίρειν τὰ ἱστία.

Καταιρούμενος, ὡς δὲ φεύγων ϰαταλαμβάνεται ὑπὸ ἀνδρὸς προσίας, ϰαὶ ὡς ϰαταιρούμενος ὑπ' αὐτοῦ ἔμελλε συγϰαταϑέσϑαι. ἀπὸ τοῦ αἱρῶ. Ἡρόδοτος. Καταίρουσιν, ϰαταλείπουσιν. Καταίροντος, ϰαταπλέοντος. Καταίρω, τὸ ϰαταίρω ϰυρίως, ϰαὶ εἰς ὅρμον ἔρχομαι. ϰυρίως ἐπὶ νεὼς τασσόμενον. ὡς Ἀριστείδης. ἐπιβάτης τοῦ νότου, εἰς Δῆλον ϰαταίρει. Χωῖος, εἰς δὲ τὴν ἑταιρίαν ἄλλοι ϰατῆραν. Κατ' αἶσαν, οὐ μοῖραν δηλοῦν, οὐ δὲ τὸ ϰοινῶς λεγόμενον αἴσιον. ἐξ οὗ ϰαὶ τὸ αἰσυμνᾶν, ϰαὶ ὁ αἰσυμνήτης, ἀντὶ τὸ πρέπον ϰαὶ ἀληϑὲς, ἤ τι τοιοῦτον. Καταίσια, ϰαταίσιμα, ὅϑεν ϰαὶ ϰαταισίμους ἐπιφημιζόμενοι λέγουσι τὰς ἐπ' ἀρχαίου μαντείας. Καταιτιῶμαι, μέμφομαι. Καταισχύνω, αἰτιολογῆ συντελέσϑαι, οἷον οὐ ϰαταισχύνω σε ὦ πάτερ, παρὰ Λουϰιανῷ. Κατῶρυξ, εἶδος περιϰεφαλαίας, οὐ μόνον ἄλλα πῶς ὁ τιάρα, ἀλλὰ ϰαὶ χϑαμαλὴ, ὡς μὴ ἔχοντος λόφον, ἤτοι τρίχωσιν. διὸ ϰαὶ ϰατῶρυξ ϰαλεῖται, παρὰ τὸ ϰάτω τετύχϑαι.

Κατὰ ϰαίριον, τὸ ἀφ' ὕψους εἰς βάϑος ἀπόλειμμα. Κατὰ ἀντίον, ἐξεναντίας. Καταϰαίειν, ϰαταφλέγειν. Καταϰαίνειν, ἀναιρεῖν, φονεύειν. Καταϰαινιῶ, ἀποϰτενῶ. Καταϰαίνων, ἀναιρῶν, πλήττων. τῇ μὲν ϰαταϰαίνειν ἐν χερσί, τοὺς δὲ πλήττειν, τῇ δὲ φοβήσας. ϰαὶ Ξενοφῶν, τῇ μὲν ϰαταϰαινόντων, τῇ δὲ ϰαταδιώξαντος. Καταϰαίριον, εἰς ϰαίριον τόπον.

Καταϰαίεσϑαι, ϰατέχειν, ϰαὶ τὸ ἀποχεῖσϑαι. Κατὰ ϰαιρὸν, ϰατὰ τὸν εὔϰαιρον ϰαὶ προσήϰοντα ϰαιρὸν ϰαὶ χρόνον. οὕτως ὁ Ἀπόστολος, ϰατὰ ϰαιρὸν ὑπὲρ ἀσεβῶν ἀπέϑανεν. Καταϰαλεῖν, ϰαταϰοσμεῖν. Καταϰαλλύνεται, ϰαταϰοσμεῖται, ϰαταφαιδρύνεται. Καταϰαλύπτειν, ϰαταϰρύπτειν. Καταϰαλῶν, ἐπιμελῶς ἐξετάζων. Κατὰ ϰανόνα, ϰατὰ ϰανόνα.

Κατάϰανε, ἀπέϰτεινεν. Καταϰάνειον, φίλτρον. Καταϰάπτειν, ἐπιτάττειν. Κατάϰαρπος, πλούσιος. Καταϰαρφεῖ, ἀφανίζει, ξηραίνει. Καταϰάρψας, ϰαταφλέξας.

Καταϰᾶσαι, ϰαϰοδαιμονεῖν. ϰαὶ αἱ διὰ τὰ ϰτίσματα ὑπὸ ϰαὶ χϑόνος ἐπ' οἰϰίας μένουσαι, ἢ ἄξιαι ϰαϰοῦσϑαι. Κατάϰαυλος, ϰαταφϑείς, ἢ ἀξία τοῦ ϰαταϰαυϑῆναι. ἢ ὅτι ϰαῦλον, τὸ σπέρμα τοῦ ἀνϑὸς, ὅϑεν ϰαὶ ϰασίγνητος. Καταϰαχάσαι, ῥῆξαι. ἐπεὶ αἱ ϰαϑαὶ φροντίζουσαι ῥήγνυνται. ἕτερος δὲ συνταράξαι, ϰαταχέαι.

Καταϰείμην, φαίνεται ϰαὶ διὰ τοῦ ι ψιλοῦ εἶναι τὸ ϰαίω τὸ ἐπὶ τοῦ πυρὸς, παρὰ τοῖς παλαιοῖς. ἐξ οὗ ϰαὶ ϰαταϰείομεν αὐτὴν, ἢ νεϰροὺς ϰείομεν, ἐϰ τοῦ ϰίω ϰῶ, τὸ πρωτότυπον. ἐξ οὗ παράγωγον τὸ ἕτερον ϰαίω, διὰ τῆς αι διφϑόγγου. ὡς ϰλῶ ϰλαίω, λῶ λαίω, ἐξ οὗ τὸ λελαίω. Καταϰεῖσϑαι, ἐπὶ νοσούντων. ὅπου δὲ ϰαὶ ϰοινῶς λέγεται. ὡς ϰαὶ Ἀριστοφάνης, οἱ δὲ ϰαταϰείμενοι παρ' αὐτὸν, πῶς δοϰεῖς τὸν πλοῦτον ἠσπάζοντο. λέγεται ϰαὶ ἐπὶ τοῦ ἐσπευσμένου ἀττιϰῶς, ὁμοίως τῷ ἀνάϰειται. Καταϰεϰλεῖσϑαι, ϰαὶ ϰαταϰεῖσϑαι, ἐπὶ τραπέζης. ἀναϰεῖσϑαι δὲ, ἐπὶ ἀνδριάντων. Καταϰεντῆσαι, παρὰ Ἀριστοφάνει ἡρωδικῶς λαλόσταμα, παρασημαίνεται ἐν τῷ ϰέντρῳ, ἐν τοῖς ὁ ϰεντισμός. Καταϰέλαδον, ἀντὶ τοῦ σιωπῶν ϰαρφεῖν. Καταϰεντεῖ, ἐντρέσαι. Καταϰερματί- ζει, εἰς πολλὰ ἀναλίσϰει, διατέμνει, ἢ λεπτύνει, ἢ μερίζει.

Καταϰερτομοῦντος, χλευαζοντες, φλυαροῦντες, σαυνίζοντος. Καταϰερχνοῦται, τραχύνεται διὰ τὴν σιϰλότητα. ἔστιν δὲ ϰερχνῶσαι, τὸ ϰαταξῆσαι, ϰαὶ οἷον τραχῦναι. ϰαὶ ϰέρχνος ϰερχνώσας, ϰαὶ ὥσπερ αὐχμός. Καταϰηλούμενος, ϰαταϰαυχώμενος. Καταϰηλῆσαι, ψῆξαι, ψοφῆσαι, σαλεῦσαι. Καταϰηλέω, ϰατεδίλαγα. Καταϰηλούμενοι, ἐξαπατούμενοι, ϰαταϑελγόμενοι. Καταϰηλοῦσαν αἰγιαλοί, ϑέλγουσαν, ἐϰπλήττουσαν. Καταϰηλήσας, ϰαταβλάψας. Καταϰηρίσασϑαι, προσποιεῖσϑαι.

Κατὰ ϰόϰϰου, ἢ ϰαταϰάϰαου, ϰαταϰέλευσμα, ϰατελασμός.

Καταϰιγϰλίζω, συμβάλλω. Κατάϰλασις, ἐϰ τοῦ ϰλάω, ἀπὸ τοῦ ἐγϰεϰλεῖσϑαι μέχρι αὐτῆς τὰ ὄντα. ϰαὶ οἱ μὲν τοῦ σώματος ϰαταϰλείδας, εἴρηται διὰ τὸ ἐπιϰαμπεῖς εἶναι, ϰαὶ ἐοιϰέναι τοῖς τῶν ϑυρῶν ϰλεισίν. ἐπὶ δὲ τοῦ ἐρχομένου, ὅτι ἐπ' αὐτοῖς ἐξάμενοι, τὸ σῶμα ἔϰλασεν. ϰαὶ ϰαταϰλεὶς ϰαταϰλεῖδος, ὁ τοῦ τραχήλου. Καταϰεϰλεισμένοι, ἐν ϰαιρῷ ἑταῖροι ἰσόπεδοι. Καταϰλαυσία, ὁ τοῦ μαζῶνος εἰ δὲ ὁ πρᾶγμα ἐπιϰρίνοι, ϰαταϰλαυσίας ἐπαινετοῦ ἐν ἀγροῖς οἰϰούντων. Καταϰλεῖνος, ϰλειόν. ϰαταϰλειδεὺς, ἀτιϰόν. Καταϰλινὴς, ἐπὶ ϰλίνης ἀνασϰίμενος, ϰαὶ μαλαϰιζόμενος. Κατάϰλισις, ἡ συντριβή. ϰαὶ ϰαταϰλίνεσϑαι ἡ οἰϰία, ἤτοι ϰατασϰήνη. ἀνάϰλισις δὲ, ἡ ἀνάπαυσις. ϰαὶ ἀναϰλίνεται, ἐπὶ ἀναπαύσεως. ϰλίσις δὲ ἁπλῶς ἐπὶ ϑανάτου σημαίνεις, ϰαϑολιϰὴν ἔχει. Κατάϰλιτα, ϰλίνας, ϑρόνους εἰς ἀνάϰλισιν ἐπιτηδείους. Κατάϰλειστος, τελευταῖος. Κατάϰλυξις, ϰαταϰλύζεσϑαι ποιῶν, ὁ ἔτι γέμων ὄλεϑρος. Καταϰλωσϑὲν, ϰαὶ ϰαταϰλωσϑεῖς τι βαρεῖαι, αἳ ἐπιϰλώϑουσι τὴν μοῖραν, παρὰ τὸ ϰλώϑειν. νῦν δὲ παρὰ τὸ ϰάτω ϰαϑέλϰειν ἢ τοῦ νήματος ὁλϰῆς. ϰλώϑειν γὰρ, τὸ νήϑειν. ὅϑεν ϰαὶ ϰλώϑας, παρὰ τὴν ϰλώϑω μέλλουσα. ϰαὶ ϰλωστήρ. Καταϰνηϑίζειν, ϰαταξεσϑεῖσϑαι ὡς ὑγιὲς μέρος.

Κατὰ ϰνῆστιν, ϰατὰ τὴν ῥάχιν. ἣν μὰ ἔτι ϰνᾶσϑαι ῥάδιον.

Καταϰνῆστις, τυροϰνῆστις. Κατὰ ϰοιλίας ϰεῖσϑαι, οἱ γεωργοὶ λέγουσιν. οἱ γὰρ παλαιοὶ ὑπάγειν τὴν γαστέρα λέγουσιν.

Καταϰοιμίζω, ϰατευφραίνω. Καταϰολάϰευσα, ϰαταϰηρομοῦντα. Καταϰονά, διαφϑορά. Καταϰόπρια, τὰ τῆς ἀϰρᾶς τοῦ χολοῦ διαχωρήματα. Καταϰόρϑιων, τοῦ ϰόρου τῶν σπῖϑα, παρὰ τῷ Ἱπποϰράτει. Καταϰορὴς, ὀχληρὸς, ὁ ἔχων ϰόρον ἰδίαν, σιτίοις ϰαὶ ποτῷ ϰαταϰορὴς. ϰαὶ συνουσία ἐπιπληρούμενος. Καταϰορμάσαι, ϰαταϰόψαι. Καταϰόρω, ἀπλήστως.

Κατὰ ϰόσμον, ϰατὰ τρόπον, ἐν τάξει, ϰατὰ τὸ δέον, ϰατὰ τὸ ϰαϑῆϰον. Καταϰράζουσι, ϰαταϑορυβοῦσιν, παρὰ τῷ Ἀριστοφάνει. ἰδίως δὲ ἐπὶ ὀρνίϑων τὸ ϰράζειν, ἀντὶ τοῦ ϰρώζειν. ἄλλως οἱ ἄλλοι ῥήτορες ϰράζουσιν ϰαὶ ϑορυβοῦσι. Κατ' ἄϰρας ἐν λόφων, τὸ ἐξ ὑψηλοῦ ϰαὶ τὸ ὑψηλότερον. ϰαὶ ϰατάϰρας, ἐπίῤῥημα δηλοῦν, παντελῶς. Καταϰρατήσαντες, νιϰήσαντες. Καταϰράτος, ϰατὰ πολλὴν ἐξουσίαν. Καταϰραταιῶς, ἰσχυρῶς. Καταϰρεῖσϑαι, ϰατάϰειται. Κατὰ ϰρατὸς, ϰατὰ ϰεφαλῆς.

Καταϰρημνίζειν, ϰαταϰρημνίζων. Κατ' ἄϰρας, ϰατὰ ϰορυφῆς, ϰατὰ ϰράτος. Κατάϰρας. Ὅμηρος, ὡς εἰ ἅπασα Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο ϰατάϰρης. τουτέστιν, ὡς ἐὰν ἡ πᾶσα Τροία πυρὶ ϰαίοιτο ὅλη, ἵνα ἡ μέρος ὃν λέγει τὸ ϰαταϰρατὲς ἡ ϰατὰ τῆς ἀϰροπόλεως, ἐν ᾧ ϰεῖται λέγοι μέρος. Καταϰρεϰαλῦσαι, ϰαταλαλῆσαι. ἐπεὶ ϰαὶ αἱ ἀϰρίδες ϰαλάμινοι εἰσί. ἢ ϰατασιγῆσαι, ἐπεὶ ϰαὶ αἱ ἀϰρίδες ἀναφύονται γῆς ϰαὶ λόφοι εἰσίν, ἢ ϰαταγελάσαι. Κατάϰρισμα, ϰατάϰρισις, ϰαταδίϰη. Κατάϰριτος, ϰατάδιϰος. Καταϰροτεῖ, ἄγαν ἐπαινεῖ. Καταϰρούειν, ϰατασχίζειν, παρὰ τῷ Ἱπποϰράτει.

Κατα-

ταρεγγῦς, ἀνακυπέλλος, διξώσιμος. Καταγώγιον, τὸ κατάλυμα, τὸ οἴκημα. Καταγωγὶς, ἱμάτιον ποιὸν περὶ τοῦ χιτῶν γυναικεῖον, καὶ σκεῦος ποτηριακὸν, καὶ πρόσωπον, καὶ παραπλήσια. Καταγωνίζεσθαι, νικᾷν. Καταλαίαργα λείβεις, καταπαίουσας, καταλαίαργον κλαίεις. Καταλακτυλικὸς, παρὰ τῷ Ἀριστοφάνει ἐν ἱππεῦσιν, ἀντὶ τοῦ συνεσταλμένος κατὰ τοῦ δακτύλου τοῦ πρωκτοῦ. Καταλαπήτη, πρωτότυπον ἐστὶ τοῦ δαρδάπτειν, ὡς καὶ τὸ μαίρειν τοῦ μαρμαίρειν. ἐκ τοῦ δάπτειν, καὶ ὁ δάκτυλος, καὶ δαπάνη παρὰ λυκόφρονι, αἱ δαπάναι μάχαι. γίνεται δὲ τὸ δάπτειν, ἐκ τοῦ δῶ δαίω, ὡς ῥῶ ῥαίω, καὶ βάβαίω. Καταδαρδάπτουσι, κατεσθίουσιν. Καταδαρθέντα, κατακοιμηθέντα, καὶ καταδαρθεῖν, κατακοιμηθῆναι. κυρίως δὲ καταδαρθεῖν, τὸ ἐν δέρμασι κοιμηθῆναι, οἱ ἀττικοὶ παρεξίασι, καταδαρθεῖν λέγοντες. Καταδάκτυλον, εἶδος ὀρχήματος, ὃ γυμνοπαιδικὸν, ἢ ῥυθμοῦ καὶ προβήματος, τὸ κατὰ δάκτυλον, ὃ ὠρχοῦντο οἱ ἀθλοῦντες πρὸ τοῦ νόμου. Καταδέξαι, καταδαπανῆσαι. Καταδεία, ἰσχνή. Καταδειλιᾶν, ἀντὶ τοῦ πεφαρμακευθῆναι, καὶ δειλιᾶν φαρμάκοις. Καταδέδεται, καταβέβρωται, καταμεμίανται. Καταδειδίσσεσθαι, καταφοβεῖσθαι. Καταδέδορκα, κατεῖδον. Καταδείσαντες, τεταπεινωμένοι. Καταδεῖ, συνδεῖ. Καταδείσας, φοβηθείς. Καταδείσῃ, καταδειλιᾶται, φοβεῖται. Κατὰ δ' ἔσσυτο, ἐμίσησε. Κατὰ δὲ φρένα ἤγαγεν, ἐμίσησεν, κατεφρόνησεν. Καταδημαγωγοῦσι τὸν δῆμον, ἀντὶ τοῦ καταδημαγωγῆσαι. Καταδημοβοροῦσι, καταφαγεῖν. Κατα δημοβορῆσαι, ἀντὶ τοῦ καταναλῶσαι. Καταδημομηδίζειν, μηδίσαι δῆμον. Καταδήμους δικαστὰς. Δημοσθένης ἐν τῷ κατὰ ἀριστοκράτους, περὶ τῶν κατὰ δήμους δικαστῶν. ὡς πρότερον μὲν ἦσαν λ', εἶτα κατὰ δήμους περιιόντες ἐδίκαζον, εἶτα ἐγένοντο μ'. εἴρηκεν Ἀριστοτέλης ἐν τῇ πολιτείᾳ. Κατὰ δ' ἦνορ, καταλάμβανον. Καταδιαιτᾶν, καταψηφίζεσθαι, καταπαραδοῦναι φωναῖς. Κατὰ δ' ἄρα πολλῶν, κατὰ διαλλαγὴν φασὶν, ἀντὶ τοῦ καθαρὰ. Καταδείσας, φοβηθείς. Καταδουλώσαντος, καταδαμάσαντος, πορθήσαντος, προδούσαντος, καταφανίσαντος. Καταδικάζειν, καταδικάσαι, κατακρινεῖ. Κατὰ δίκην, κατ' ἐπάξιον. Κατὰ διαίρεσιν, κατὰ χωρισμόν. Καταδικασθῆναι, καταψηφισθῆναι. Καταδικάζει, καταχαρίζεται. Καταδικάζω καὶ κατακρίνω, τὸ κατακαδάλλω ἀπὸ τοῦ κρίσιν, καταδικάζω σοῦ θάνατον. καὶ καταδικάζω, καταψηφίζομαι, ἀποψηφίζομαι, κατακρίνω, καταδιαιτῶ. Καταδιακεόμενος, ἀντὶ τοῦ κακῶς, ὡς καταδιακειμένων ἀλώσεως. Καταδίκη, κατάκρισις. Κατάδικος, κατακεκριμένος. Καταδιχμᾶσαι, καταχεῖν. Καταδίφιον, εἶδος χειμῶνος. Καταδοξάσαι, καταψηφίσαι. Κατάδοξος, ὁ κατὰ αὐτὸν. Δοξάζω γὰρ, ὁ λεπτὸς, ἢ ὁ καταφρόνητος. Καταδαρθεῖν, κοιμηθῆναι. καταδαρθεῖν ἐν κλίνῃ, ἤγουν κοιμηθῆναι. Καταδαφεῖσι, καὶ ἀκτηθεῖσι. Καταδερμῶ, δέρματι. Καταδουλοῦν, ἀνδραποδίζειν. Καταδουλωθῆναι, ὑποτυπωθῆναι, ὑποφοιτηθῆναι, ὑπηρετεῖν, ταχὺ ἔχειν, ταυτόν. Καταδρύπτῃ, κατακρύπτῃ, καταβαλεῖν. Καταδύεσθαι, λάθρα ὑπεισιέναι. Καταδυναστεία, βία. Καταδύνοντα, κρύπτοντα. Καταδύντος, βυθισθέντος. Καταδύς, καταφυγεὶς, κατακαλυφθείς. Καταδύσει, ἐνδυθεῖσα. Καταδύσαντος, τὰς ναῦς περὶ τὴν Λίμνην, καὶ ἐπὶ τοῦ πρώτου, οὐχὶ δὲ ἐπὶ τοῦ βαπτίσαντος. Καταδύσεις, φωλεούς, καταδύσεις, σπήλαια. Καταδυσωπῆσαι, παρακαλέσαι. Καταείμενον ὕλῃ, τουτέστι κεκαλυμμένον δένδρεσι, ἤγουν δασύ. ἀπὸ τοῦ ἕω, τὸ ἐνδύω. ἐξ οὗ ἕννυμι, ἀφ' οὗ εἵμην, τὸ σημαίνω, καὶ πλεονασμῷ τοῦ ι εἵνυμι, ὡς τὸ ὀρεξί, δένδρον καταείμενον. Καταείμενος ἰδμός, καταρρύμενος, ἢ κατακεκαλυμμένος, ἢ κεκαλυμμένος φυσὶς, παρὰ τῷ Ἀπολλωνίῳ. Καταείνυον, ἀντὶ τοῦ κατεκάλυπτον, ἀπὸ τοῦ ἕω τοῦ σημαίνοντος τὸ πληρῶ. κατὰ δὲ τὸ εἶναι τὸ ἐνδύομαι. ἕω, ἕνυμι, ὃ καὶ εἵνυμι λέγεται. ὁ παρατατικὸς εἵνυον, καὶ κατείνυον. καὶ ἄλλως, καταείνυον γίνεται ἀπὸ τοῦ ἕω, τὸ ἐνδύω, καὶ οὕτω καλύπτω. καὶ πλεονασμῷ τοῦ ι καὶ τοῦ ν εἵνω, καὶ παραλόγως εἰνύω. ἐξ οὗ παρατατικὸς εἵνυον, καὶ κατείνυον. ἔστι δὲ εἰπεῖν προσλαβεῖν τὸ ι πρὸς Αἰολεῖς τοῦ ἐνδύω, ἀφ' οὗ τὸ ἀμφιεννύω, καὶ τὰ ἑξῆς. Καταεῖσθαι, κατεῖχετο, καθώρμησε, κατῆλθε. Καταείσατο γαίῃ, κατῆλθε καὶ κατεπλήγη εἰς τὴν γῆν, ἢ κατεφάνη. Καταευνάσω, κατακοιμηθείς.

Καταζεῦξαι, κατακλεῖσαι. Καταζήνασι, κατεξήρανεν.

Καταζῶσαι, ἱμάντος οἱ τὰ σκεύη τοῖς ἵπποις καταζωννύντος. Κατὰ ἦθος, κατὰ συνήθειαν. Καταηνεῖ, καταπνεῖ σαι. Καταθαλεῖ, καταδεδάληται. Καταθεῖν, κατατρέχειν.

Κατὰ θεῖον εἰς ἀγορὰν, Ἀριστοφάνης ἐπὶ τῶν ἐξαίφνης γινομένων, τουτέστιν εὐκαίρως ἐπιφαινομένων, κατὰ θεῖον ἔλεγον.

Καταθεῖν, κατατρέχειν. Καταθέλγω, ἐξαπατῶσαι.

Καταθέμενος, ἀποβαλόντας. Καταθέσθαι τῶν ὤμων, ἐν λυπεῖσθαι τῶν ὤμων. Καταθελγεὶς, λιχθεὶς, λαληθείς. Κατα θελγόμενα, καταπραϋνόμενα. Καταθεῖον, βλέπειν. Καταθεώμενοι, καθορῶντες. Καταθῆσαι, καταπαῦσαι, καταλῆξαι. Καταθεῶν, βλέπειν. Καταθῆξαι, παροξῦναι. Κατα θλῖψαι, καταγνώσθη, νικῆσαι. Καταθοινᾶσθαι, κατοφαγεῖν. θοίνη γὰρ, ἡ εὐωχία. Καταθοινήθητες, καταφαγόντες.

Καταθορυβοῦντες, κατακλημοῦσιν. Καταθρῆξαι, καταθρυμεῖν. Καταθρῆσαι, κατασκηνῶσαι, κατανοῆσαι, καλῶς ἰδεῖν.

Καταθρώσκοντες ἐπίτευκτο, ἐν ἑνὶ μέρει λόγου, κατὰ τὸ βοῶν ἐπιβολέος ἀνὴρ, καὶ καταθεατικῶν ἀνθρώπων, καὶ ὅσα τοιαῦτα. Κα ταθρύπτωμεν, θεωρήσωμεν, σκοπήσωμεν. Καταθέν θεμέλιον, ἀντὶ τοῦ τὸ ἱμάτιον, ἁπλῶς καταβαλόν. Κατάθου τὸ βέλος, κατάθου θεμέλιον, κατάθου τὰργύριον. κατὰ τοῦ θεῖς, καὶ ἴσχε, καὶ ἔπαυσε, ὁμοίως καταβαλοῦ. Καταθρώσκοντα, κατακλιθέντα.

Καταθύμιον, κατὰ νοῦν. Καταθύμιος, θελητὸς ἴσως, ἢ ἥτις ἐν ἐνθυμήσει καὶ κατὰ διάνοιαν. Καταθύμιος παρὰ τῷ ποιητῇ, ὁ κατὰ ψυχὴν λαμβανόμενος, ὁ ἐπιθύμιος. παρὰ δὲ τοῖς ὕστερον, ὁ ἐν ψυχῇ ὢν, καὶ ὡς εἰπεῖν θυμήρης. οὗ ἀνάπαλιν, ἀκαταθύμιος. Καταθύεσθαι, μαντεύεσθαι. Καταθῦμαι, ἀναπαύομαι, ἀπολύομαι. Καταθύσομαι ἄνθρα, παρὰ Θεοκρίτῳ, ἤγουν κατασπεισω ἐν πυρὶ καύσω τὰ ἐπὶ τῶν σπεισθέντα φάρμακα. ὥσπερ τὸ λίβειν, λέγεται μὲν καὶ ἀντὶ τοῦ σπένδειν, λέγεται καὶ ἀντὶ τοῦ χεῖν ἁπλῶς. οὕτω καὶ τὸ θύειν λέγεται μὲν ἀντὶ τοῦ τῶν καρπῶν ἀπάρχεσθαι, κατὰ τὴν τῶν παλαιῶν χρῆσιν. οὔτι οὐκ ἐπὶ τοῦ σφάττειν νῦν εἰπεῖν, ὡς οἱ νεώτεροι, ἀλλ' ἐπὶ τοῦ ἀπάρχεσθαι τῶν καρπῶν. τὸ ἔρδειν δὲ λέγουσι, καὶ ῥέζειν ἐπὶ τοῦ σφαγίων. λέγεται δὲ καὶ ἀντὶ τοῦ καίειν ἁπλῶς, καὶ ἐν πυρὶ ἐπιθύσαι τι. καθὸ λέγεται ἐνταῦθα, ἵνα καταθύσωμαι, ὅ ἐστι πῶν ἀντὶ τοῦ ἀποτακήσω, ὡς ἐν τῷ ἵνα εἴδομεν ἄμφω, παρ' Ὁμήρῳ.

Κατ' αἶαν, κατὰ τὴν γῆν. Καταιβάτης ζεὺς, παρὰ τῷ Ἀριστοφάνει λέγεται ζεὺς, διὰ τὸ καταιβάζειν κεραυνοὺς, ἢ ἀπὸ τοῦ καταβαίνειν διὰ ἔρωτα τῶν γυναικῶν. παίζει δὲ τὸν Δία καταβάτην καλῶν. Καταβολὴ, ἡ περιοδικὴ νόσος. Καταιγίζων, καταιγίδων. Κατ' αἶγας ἀγρίας, παροιμία λεγομένη ἐπὶ κατάρας. κατ' αἶγας ἀγρίας τρέψειαν τὰ κακά. Καταιγίζω, αἰτιατικὴ τὸ βρέχω. Καταιγίς, καταιγίδος. Καταιγὶς, ἐπιφορὰ ἀνέμου σφοδρά. λέγεται δὲ καὶ ἡ τοῦ ἀνέμου ζάλη.

Κατ' αἰγίλοπος, κατὰ τὰς ὑψηλὰς, καὶ ἃς αἶγες ἀπολείπονται.

Καταιθίοπα, ἢ ξίφος, αἰθαλοῦς παρακαλέσαι. Καταιθαλοῦ, κατακαύσω. Καταιγιαλεῖν, ἀπὸ τοῦ καταιγιαλεῖν, ἢ εἰς τὸ ἠπειρωθῆναι ὁρμᾶσθαι καὶ αἰγιαλόσσαι προσκατειγιαλῶν αἰγιαλοὺς ἁλὸς ἠλθόν.

ἐκκλίνει. ὅτι αἰτιατικῇ συντάσσεται, ὥσπερ δηλοῖ καὶ ἐν ἄλλοις πράγμασι, καὶ κίνησιν ἐνίοτε. σημαίνει δὲ καὶ ἐν τῇ συνθέσει, καὶ πλεῖστα ἐμφαίνει. οἷον κατέφαγε, καθαίρεσιν λέγει καὶ καταβολὴν. οἷον καταβάλλω, καθαιρῶ. Καταναφίζομαι, καὶ καταβαίνω, γενικῇ. Κατὰ πρόθεσις, γενικῇ καὶ αἰτιατικῇ. γενικῇ μὲν, ἐπὶ καταφορᾶς καὶ κατηγορίας, κατὰ Αἰσχίνου λόγος. αἰτιατικῇ δὲ, δηλοῖ τὸ παραβαλλόμενον καὶ ὅμοιον. οἷον καθ' Ὅμηρον, καὶ κατὰ νοῦν προχωρεῖ. ἢ τὸ περί ἐστι καὶ ἐν ἄλλοις, καθ' ὅλον ταῦτα ἐποίησε, καὶ ἔμενον κατὰ χώραν. ἢ χρόνον, ὁ καθ' ἡμᾶς γενόμενος ἀνὴρ ἐλλόγιμος. Κατὰ, αἱ δισύλλαβοι προθέσεις, ὅταν μετὰ τὰ ὀνόματα τίθενται, ἢ τόνους ἀναβιβάζουσιν, ὡς τὸ Μαίρονος πάτα, καὶ ἀνθρώπων μέτα. πλὴν τῆς διὰ τῆς μὴ συντασσομένης τῇ τοῦ Διὸς αἰτιατικῇ. καὶ τοῦτο ἐναντίαι ποιοῦσιν. εἰ δὲ πέζῃ γράφονται, μόνην τὴν περὶ μετὰ τὸ ὄνομα τάττουσιν. καὶ ἔτι ἀναστρεφόμεναι μὲν μετὰ τὰς προθέσεις ἐνίοτε εἴρηται. οἱ δ' ἄλλως γράφονται σύλλαβοι, ἀλλ' ἐν τῷ μεταξὺ τοῦ κώλου ταύτην τιθέασι. τὴν μὲν τὸ πρὸς μόνην περὶ στιγμῆς γράφουσιν, ὡς τὸ μικρὸν ἐστι πρός.

Κατάβα, σὺ κατάβηθι. Ἀριστοφάνης ἐν Βατράχοις. κατάβα κατάβηθι. γίνεται ἐκ τοῦ βίβημι, ὁ μέλλων βήσω, ὁ δεύτερος ἀόριστος ἔβην, ἡ μετοχὴ ὁ βὰς τοῦ βάντος, καὶ τὸ προστακτικὸν βῆθι, ὡς στῆθι, καὶ τροπῇ τοῦ η εἰς α καὶ ἀποκοπῇ τοῦ θι, καὶ μετὰ τῆς κατὰ προθέσεως, κατάβα. ἐστὶ γὰρ ὁ τοιοῦτος ἀποκοπὴ Δωρικὸν ἰδίωμα. καὶ ἡ τροπὴ τοῦ η εἰς α Δωρικῶς γίνεται. λέγεται καὶ κατάβηθι, ὡς Ἀριστοφάνης. Καταβαίνω τὸ ὑψηλὸν, καὶ καταβαίνει τὸν οἶκον, ὡς καὶ παρ' Ὁμήρῳ. καὶ ἐφαλλόμενος ἐξ ἀφόρων καταβῆναι, ἐπὶ τὰς κλίμακας μακρὰν. καὶ βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα. Καταβαίνεσθαι, λαβεῖν ἐκεῖ. Καταβάλλειν, τὸ κατατίθεσθαι μισθὸν, καὶ ἀντὶ τοῦ καταρρίπτειν, καὶ ἀντὶ τοῦ φθείρειν, καὶ ἐπὶ πανουργίαν τὴν πόλιν ῥίπτειν. Καταβάλλειν, κατορύξαι δεῖ. ὁ δὲ συγκαταλύειν, τινὲς τὸ καταβαλεῖν. καὶ καταβάλλεσθαι δὲ, καὶ καταβολὴ, ἐπὶ καταβολῆς σπερμάτων ἀπολύσεως. Καταβάλλω τις τὸν πολέμιον, καὶ καταβάλλω τὰ σπέρματα, καὶ καταβάλλω τὸ χρέος, καὶ καταβάλλω θεμέλιον. Καταβάλλω τις ἄλλο καταφρονῶν, καταβάλλομαι δὲ θεμέλιον, ἢ ἀρχὴν, ἢ σπόρον, ἢ χρέος, ἢ φόρον, ἢ τίμημα. Καταβάλλεται δὲ καὶ τὸ ἀργύριον αὐτοῦ. βαλλόμενα καὶ τὰ ἔργα λέγεται, ἢ καταβάλλεσθαι, ἐπὶ κακῶς. Καταβάλλω, ἐρείσω, κείρω. Καταβαλεῖς, πολλῶν βαλῶν βολὰς δεξάμενος. Καταβάπτει, καταρυθραίνει ἐρυθρῷ βάμματι, ἢ χρώζει. Καταβάτης, ὁ ἀπὸ τοῦ ἅρματος ἀποβάτης. Καταβεβλακευμένως, βραδέως καὶ τρυφερῶς. βλὰξ γὰρ ὁ μαλθακὸς καὶ ἐν ὑποκρίσει τὸ σῶμα. καὶ βλακεία, ἡ μεθ' ὑποψίας ὁμιλία. Καταβιβάζοντες, καταπαύοντες. Καταβλακεύουσιν, καταλιγωροῦσι παρὰ τῷ Ἱπποκράτει. Καταβλίθει, καταπίνει. Καταβλέπω, εἰς τὴν γῆν. ἀναβλέπω, εἰς τὸν οὐρανόν. ἀντιβλέπω, τῷ ἡλίῳ. Καταβὺς, καταδὺς.

Κατάβλημα, περίβλημα ἐξ ἐπιμελείας, ἵνα τοῦ συνέχειν τὰ ὑποκείμενα, παρὰ τῷ Ἱπποκράτει. Καταβλώσκοντες, κατερχόμενοι καταμολίσκοντας, τὸ β ἀντὶ τοῦ μ. συγγενὲς γὰρ τὸ β τῷ μ. ὥσπερ καὶ ὁ ψωμὸς, βλωμὸς, ἀπὸ τοῦ βλώσκειν διὰ τοῦ λαιμοῦ, ὃ ἐστι κατέρχεσθαι. καὶ πίειν βλωθρὴν Ὅμηρος, τὴν ἄχρι τοῦ αἰθέρος μολίσκουσαν. Καταβοάλλειν, καλλύνειν.

Καταβοᾷ, κατακράζει. Καταβοὴ, μέμψις, κατηγορία.

Καταβολὴ, καινούργησις ἐκ καταβολῆς, ποιήσαντα πάντα τὸν κόσμον. Καταβολὴ, θυσία, τελετή. Κατὰ βοῦς ἐστάθη, ἐτύχθη κατὰ βοός. Καταβόσκονται, τρέφονται, νέμονται, δαπανῶσιν. Καταβόστρυχος, ταῖς θριξὶ κεκαλυμμένος.

Καταβόστρυχος, κομῶν τοῖς βοστρύχοις. τὸ γὰρ κατὰ πλῆθος ἐμφαντικὸν ἐστιν. Καταβουκολεῖ, καταγελᾷ. Καταβοῶ, τὸ καταβρανθάζω, γενικῇ. Καταβραβευέτω, παραλογιζέσθω, ἢ κατακρινέτω. Καταβραχὺ, κατ' ὀλίγον. Καταβρίξας, κατακοιμηθείς. Καταβρόξειεν, ἀντὶ τοῦ καταπίνοι. παρὰ τὸ βρόχθον, ὃ ἐστι λαιμός. ὅθεν καὶ καταβροχθίζειν, τὸ καταπίνειν.

Καταβρεχθείς, ἐπιβραχείς, καταπιών. λέγεται δὲ ἐπὶ τῶν ἀθρόως καὶ ἀπλήστως ἐμφορούντων. Καταβρώσεται, καταφάγεται, ἀπὸ τοῦ βιβρώσκω ἐσχηματισθέν. Καταβεβυθισμένος, πεπιεσμένος. Καταγαγεῖν, καταφθεῖρειν. Κατάγαιον, οἴκημα. καὶ κατάγειον, ὑπὸ γῆν. αἱ δ' οἰκίαι ὅσαι κατάγειοι.

Καταγγελία, κατηγορήματα, καταλογὴ παρὰ τῷ Ἱπποκράτει. Καταγγέλλεται, κηρύττεται. Κατάγω, τὸ εἰς λιμένα ναῦν ἐνορμίσαι, αἰτιατικῇ συντάσσεται. οἷον Σιμωνίδης, ἐπεὶ Θετταλοὶ τὰς ναῦς κατάγοντες, ἐνέτυχον ἀρχαίοις ἀλλοκλεῖ γράφεσθαι. ἀφ' οὗ ὄνομα καταγωγὴ, ὁ προσορμισμὸς ἐπὶ τὸν λιμένα. Κατάγειν, τὸ καταβιβάζειν, κυρίως ἀπὸ φυγῆς καὶ ὑπερορίας εἰς τὴν πατρίδα. Κατάγειν τὰ πλοῖα, ἀντὶ τοῦ λιμενίζεσθαι. Κατάγελως, ὀνειδισμὸς, ἐξουθένωσις. Καταγέλων, δαψιλῶς ἔχων. Καταγηράσας, τῷ γήρᾳ καταβληθείς. Καταγῶνται, οἱ θαλαττεύοντες ἢ πλανῶνται. οἰκοῦσι δὲ ἔξω τῆς πόλεως.

Καταγιγαρτίσαι, συσκευάσαι. ἢ ἀντὶ τοῦ κατὰ τῶν γεωργικῶν γιγάρτων βαλεῖν, καὶ καταμερίσαι. Καταγίνεσθαι, καταλύειν. Καταγελῶ, γενικῇ. Ἀριστοφάνης, μῶν σὺ καταγελᾷς ἐμοῦ. Κατάγελως, ὁ πολὺς κατὰ τινος γέλως. Καταγινώσκω, ἐπὶ κατηγορίας. καὶ καταγινώσκω σου ἁμαρτίαν.

Καταγινώσκω σου τὴν ἀπάτην, καὶ καταγινώσκω ἐπὶ τοῖς πεπραγμένοις. ποτὲ μὲν γενικῇ, ποτὲ δὲ αἰτιατικῇ. Καταγλωσσῶσαι, καταναλῶσαι. Καταγλωττίσματα, εἶδος φιλήματος.

Καταγλωττίζειν, ἐλασφημεῖν, καὶ τὰ ἀκόλαστα καὶ ἐπίθετα φιλήματα. Καταγλωττίζεσθαι, χαρίεσθαι ἐκ τῆς γλώττης. παρὰ γέγονε καὶ ὁ ἐγγλωττοτυπεῖν, ἤγουν ἀπὸ γλώσσης διαπονεῖσθαι. ἔτι δὲ καὶ ὁ γλωσσοποιὸς, ἐντὸς τῇ γλώσσῃ ποιεῖ καὶ ἐπιπροσβολῇ χρώμενος. διὸ τὸ κομψολογεῖν ἀπεκάλεσεν. ὁ δ' αὐτὸς φησὶ καὶ κρότημα ἔλεγεν, καὶ κρόταλον, καὶ λάλον, καὶ τρίμμα, καὶ σαρκασμοὺς ἔφασεν, καὶ πολυκρόταλον, καὶ τρίβωνα, ὥσπερ ἐμφαίνει καὶ Ἀριστοφάνης, ὅσον τρίβων θαλασσῶν γίνεται τὴν φωνὴν οὕτως ἔχουσα. Καταγλωττισμάτων, αἰσχρῶν φιλημάτων περιφραστικόν. εἶδος αἰσχροῦ φιλήματος τὸ καταγλώττισμα. κυρίως δὲ λέγεται, ὅταν ἐν καιρῷ τῆς συνουσίας, ὁ ἀνὴρ τὴν γλῶτταν εἰς τὸ στόμα τῆς γυναικὸς ἐμβάλλῃ. Καταγλωττίσματα, περίεργα φιλήματα, κατασπάσματα, τὸ περιλαλοῦντα. ἢ εἶδος φιλήματος περιεργότερον τὸ καταγλώττισμα, ὃ καλοῦσι. Κάταγμα, ἔριον κατάσπασμα, ὁ ῥῆγμα. Καταγνῶναι, κατέαξεν, κατακλᾶν, συντρίβειν, ἀπὸ τοῦ ἄγνυμι.

Καταγνὺς τὸ σκέλος, κάλλιον λέγειν ἢ συντρίψας. Καταγνῶναι, ἐπιγνῶναι, μέμψασθαι. Καταγνῶναι καὶ γνῶναι, τὸ διαφέρειν φασίν. ὅτι τὸ μὲν καταγνῶναι, ἴδιον ἐπὶ διαβολῆς καὶ κατηγορίας λέγουσιν Ἀθηναῖοι. γνῶναι δὲ, χωρὶς τῆς κατὰ προθέσεως, τὸ μαθεῖν. καταγνοὺς οὖν, ἀντὶ καταμαθὼν καὶ συνιδών. Καταγνώσεσθε, καταγνώσετε, καταδικάσεσθε.

Κατάγνωσις, ἡ κατὰ γνῶσιν λαβοῦσα τὴν Δημοσθένους. Καταγοητεύων, ἀπατῶν. Κατάγονται, καταλύουσι, καὶ ἐν αὐτῷ κατάγονται. καὶ ῥεῖον τυχόντες ἐπανῆλθον. Καταγορεύει, καταλαλεῖ, κατηγορεῖ. Κατάγραπτος, ποικίλος. Καταγραφὴ, καὶ ἡμεῖς λέγομεν ἐν ζωγραφίᾳ, κατάγραφον, καὶ καταγραφή. Καταγράφων, προμαθούμενος, προγράφων. Καταγρεῖ, καθαιρεῖ, καταλαμβάνει.

Κατάγραπτος, ποικίλος. Καταγυιοῖ, εἰς ἔσχατον ἀγρυπνίας ἢ ἀσθενείας ἄγει, παρὰ τῷ Ἱπποκράτει. Κατάγω, ποιῶ, κυλίω. Καταγωγὴ, παρὰ Ἡροδότῳ πανδοχεῖον. Κα-

κεχαραγμένους ἔχοντα τοὺς ὀδόντας, τουτέστι στρογγύλους, καὶ ὀξεῖς, καὶ ἐναλλάσσοντας ἀλλήλοις, ὡς λύκος, κύων, πάρδαλις. εἴρηται δὲ παρὰ τὸ χαράσσω ῥῆμα, ὅπερ ἐν συνθέσει μετὰ τοῦ ὀδοὺς γίνεται χαρόδους, καὶ κατὰ ἀναδιπλασιασμὸν καρχαρόδους ἢ καρχαρόδοντες. ἀμφόδοντα δὲ λέγεται ζῷα, ὅσα οὐκ ἐστερημένα ἔχει τοὺς ὀδόντας στρογγύλους καὶ ὀξεῖς, ἀλλὰ παχεῖς καὶ πλατεῖς, ὡς ἄνθρωπος, ἵππος, καὶ τὰ ὅμοια. χαυλιόδοντα δὲ, ἃ ἔχει τοὺς ὀδόντας ὑπερφυεῖς, ὡς ἐλέφας, σῦς, ἀσπάλαξ. Καρχαρὸν, τραχὺ, ἢ ὀξύ. Καρχηδὼν, πόλις γειτνιῶσα Ἰταλοῖς ἐν ἄφροις. Καρχήματα, θέλγητρα. Καρχήδαλος, ὀφθαλμῶν. Καρχήσιον, τὸ ἐπ' ἄκρῳ τοῦ ἱστοῦ τοῦ ἐν τοῖς πλοίοις τραχήλιον, παρὰ τὸ ἐπικρατεῖν. Καρχήσιον, εἶδος ποτηρίου, καὶ τὸ ἐπικείμενον τοῦ κώπης ξύλον, καὶ ἐργαλεῖον τεκτονικὸν διατρητικόν. Κάρχνη, ἀργυρᾶ. Καρχῶλαι, τραχύ. Κάρφεται ξηραίνεται, συντήκεται. ἐκ τοῦ κάρφω, ἀφ' οὗ καὶ τὸ κάρφος. κάρφεται δὲ κυρίως ἐπὶ τοῦ γέροντος, ὡς δηλοῖ τὸ ἀμφὶ δὲ δέρμα πᾶσι μέλεσσι παλαιοῦ θῆκε γέροντος. ταυτὸν γὰρ εἶπεν, κάρψε μὲν χρόα, καὶ δέρμα γέροντος εἶπεν. ὀνοματοποιεῖται δὲ τὸ κάρφω. ἐξ οὗ καὶ καρφαλέον, τὸ ξηρόν. λοιπὸν δὲ τοῦ κάρφω μέσος παρακείμενος εἶναι κέκαρφα, καὶ ἐξ αὐτοῦ καρπός. Καρβαλὶς τῶν κεφαλῶν, στολὰς, ἢ βαρβαρὰς, ἢ σκεπαστικάς.

Κὰς, ἐνίοτε ἀντὶ τοῦ ἐκεῖ. οἱ δὲ δέρμα. Κάσος, οἰκία, καλύβη, σκηνὴ, παρὰ ῥωμαίοις. Κασαλβὰς, ἡ πόρνη, ἀφ' οὗ ἐστί. αἱ γὰρ πόρναι καλοῦσι μὲν, οὐκ ἔχουσι δὲ ἐραστὰς. καὶ ἐκβοῶσι δὲ τὰ ὄντα, ἵνα οἱ ἄλλοι λάβωσι, παρὰ τὸ καλεῖν καὶ ἐκβοᾶν. Κασαλβάζειν, ἀκεφάλως λοιδορεῖσθαι. ἔστι δὲ ὄνομα ἑταίρας. τὴν δὲ ἑταίραν, ἐκ τοῦ δεικνύειν λοιδορεῖσθαι. πρὸς δὲ τὸ ῥηθὲν, ὑπὸ τοῦ ἑτέρου κασαλβάσω, ὁ στρατηγὸς ἀντέθεικεν, καὶ νικῶν τὰ ἄθλα. ἐκεῖνο δὲ στρατηγὸς ἀθηναίων. ἄλλως κασαλβάδας, ἑταίρας εἶναι, αἱ εἰς ἐπὶ τὸ οἴκημα εἰσίασιν, ἐπὶ μισθῷ παρέχουσι τοῖς βουλομένοις. κασαλβάδας δὲ εἴρηται, ἀφ' οὗ σημαίνει. καλοῦσι μὲν οὐκ ἔχουσι δὲ ἐραστὰς, ἐκβοῶσι δὲ τὰ ὄντα, ἵνα ἄλλοι λάβωσι. Κασάλβη, λέγεται παρὰ τὸ καλεῖν ἀνθρώπους ἔχειν τὰ ἔνδον. αἰολικῶς δὲ γράφεται, διὰ δύο σσ. ἀλεξάνδρα δὲ, ἡ παρὰ τὸ ἀλέξαι καὶ ἀμύνειν τῶν ἀνδρῶν συγκείμενον. ἢ παρὰ τὸ ἀλέξειν καὶ βοηθεῖν τοῖς ἀνδράσιν, ὅτε τοῖς ἀνθρώποις διὰ τῶν χρησμῶν. Κασαρτίας, ἀνδράς. λάκωνες.

Κάσβηνα, τοὺς ὀφθαλμοὺς ἀνέλαμψε. Κασαύρα καὶ κασωρὶς, πόρνη. Κασαυρίοις. ἀκεφάλως ἐν κασαυρίοις λέγων, ἀντὶ τοῦ ἐν πορνείοις. Κασῆς, καθέδρα. Κασιλατίσαι, καθέσαι. λάκωνες. Κασίρα, κεκμήκη. Κασίρανον, κάθελε. λάκωνες. Κασθανία, πόλις θετταλίας. Κασία, φλοιός ἐστι λεπτότατος καὶ εὔοσμος, ξυλώδης κάρφεσι παρατεινομένη. Κασία, εἶδος μύρου. γίνεται δὲ παρὰ τὸ κάζω, τὸ κοσμῶ, ὁ μέλλων κάσω, ἐξ αὐτοῦ κασία, ὁ κοσμοῦσα διὰ τῆς εὐοσμίας τοὺς αἰσθομένους. Κασίγνητος καὶ ὁμόγνητος ταυτόν. γενικὴ δὲ ὁμοῦ λέξις ὁ κασίγνητος. εἰδικὴ δὲ, ὁ ὁμόγνητος, λεχθεῖσα πρὸς διαστολὴν τοῦ ἑτέρου. ἔτι δὲ ὁ γνήσιος ὁ ὁμόγνητος, ὁ ἐκ τῆς αὐτῆς μητρὸς τοῦ ἀδελφοῦ. ἢ δὲ γράφεται ἀδελφὴ ἡ ἀρχὴ ἐκ τοῦ ὁμοῦ, ἀπὸ δελφύος. ἄλλως, λέγεται τὸ σ πρὸ τοῦ ι οὕτω πάσχει, εἰ μὴ κατὰ ἀναφορὰν ἐκτείνεται. σημειούμενον τὸ ἁπλοῦν καὶ διπλοῦν καὶ τῶν παρ' αὐτὸ ἀναφορικὰ δὲ εἶναι τὸ ὁποῖος ὁπόσος ὁπηλίκος, καὶ τὰ τοιαῦτα. παραλείπματα δὲ τοῦ κανόνος, ὀπίσθιον ὀπὶ ὀπώρα ὀπηδεῖν, παρὰ τὸ ἕπω τὸ ἀκολουθεῖν. οὕτως Ἀπίων καὶ Ἡρόδωρος. τὸ λέγειν ὡς ὁ συγκοπὴν ἐδέξατο αὐτὸ, οὐ πάνυ ἀσφαλές. οὐ γὰρ τὸ δεινὸν διὰ τοῦτο ἐπελθεῖν, ἀλλ' ἔστιν ὃ μένειν δασυνόμενον, εἰ καὶ τὸ ἐνίκησεν ἔχειν. Κασιοβόρος, ἐν κασίᾳ γινόμενος σκώληξ. Κάσιοι, οἱ ἐκ τῆς αὐτῆς ἀγέλης, ἀδελφοί τε καὶ ἀνεψιοί. καὶ ἐπὶ θαλάμων οὕτως ἔλεγον λάκωνες, καὶ κυνηγίδας ἐλάφη. Κάσις, ἀλικιώτης. Κασίσαλος, χωρὶς σταλίου.

Κάσιον, ὄρος πρὸς τῷ εὐφράτῃ. καὶ κάσιος, ζεύς. Κασαλίζειν, γαγγαλίζειν. Κάσμακα, κασσύματα. Κασκαδάλιξ, ὁ γαδουλίς. Κασνὸς, ὁ μικρὸς δάκτυλος. Κάσμορος, λύσιμος. Κάσος, νόσος περὶ κάρα. Κασσίλαι, νεφέλαι. Κασσίτερα ὄρη, καὶ κασσίτεραι πόλεις. ἔστιν ἐκεῖ ὁ λαμπρὸς ἐν τῷ ἐμβολαῖς τοῦ ὠκεανοῦ. καὶ τὸ μὲν ἀνδριάντα μέλος, κασσίτεροι καλοῦνται. τὸ δὲ λοιπὸν, ὀρεινὰ θάλασσα. περιοικεῖται δὲ βαρβάροις ἰνδοῖς. Κασσίτερον πέλαγος, κατὰ τὸ ὠκεανοῦ. παρ' ᾧ καὶ εἶδος κασσιτέρου, ὅμοιον πέρδικος. Κασσιτίδες, ἐν ταῖς τοῦ ἀκρόλιθος. ἀκεφάλως, κασσίτεροι ἀπίεναι κατέστρεφον. Κασσιτέρου λίθου, οἱ κασσίτεροι εἶχον ἀσήμαντα δόρατα, τετορνευμένα λίθῳ κασσιτέρῳ. ὃν ὀξύτατόν τέ φασι τρῶσαι, καὶ ἴσον ἰὸν ἐμποιεῖν τῷ τραύματι ὀλέθριον. Κασσολίω, καταστρέφω. Κάσα καὶ κασωρὶς, ἡ πόρνη. Κάσαι, κοπίδες τῶν πλοκάμων ἀγκιστρῶν.

Κασσανδλάριον, ἱκτῖνος. Κασσάνδρα, ἀλεξάνδρα ἐν λακεδαιμονίᾳ. Κάσης, ἀμφιτάπης, καὶ ψιλωτά. Κάσσα, καὶ θέα. Κάσσω, κοσμῶ. Κασὸν, ἱμάτιον παχὺ, καὶ τραχὺ περιβόλαιον. Κασσία, ὄνομα πόλεως. σημαίνει δὲ καὶ κόσμον ὄνομα θυγατρὸς τοῦ ἰὼβ. ἔστι δὲ καὶ εἶδος ἀρωματικοῦ, καὶ Δαβὶδ, σμύρνα καὶ στακτὴ καὶ κασσία. Κασσιέπεια, ἱστορεῖ Σοφοκλῆς ὁ τῆς τραγῳδίας ποιητὴς ἐν ἀνδρομέδᾳ, ἐρίσασαν περὶ κάλλους ταῖς νηρηΐσιν, εἰσελθεῖν εἰς τὸ σύμπλεγμα καὶ ποσειδῶνα, καὶ διαφθεῖραι τὴν χώραν τὸ κῆτος, δι' ὃν προέκειτο τῷ κήτει ἡ θυγάτηρ ἀνδρομέδα. Κασσιόπεια, ἡ καλλίστη, ἢ ὄνομα κόσμου. Κασσίτερος δέ φασι, παρὰ τὸ θᾶττον τείρεσθαι. καὶ ἄλλως δὲ κασσίτερός ἐστι, πρὸς διαστολὴν τοῦ ἐν τῇ ἀνδοῦ σιδήρου χαλκοῦ. διὸ καὶ ἀναλογεῖ ὑστέρως κασσίτερον γράφειν διὰ τοῦ ι, ὅπερ διὰ τοῦ ῡ. δῆλον δὲ, ὡς καὶ ἀττικῶς λέγεται καττίτερος. Κάσυμα, δέρμα. Κασύας, ὄρχιλος. περσιστί.

Κασύτας, συνακτὸν βοτάνιον. Κασωρὶς, ἡ κατωρχῆς, ἡ πόρνη. καὶ κασωρεύουσα, τὸ πορνεύουσα. Κασταλία, κρήνη ἐν τῇ καλουμένῃ δάφνῃ, ἐν ᾗ ἔλεγον περισπεύειν τὸν ἀπόλλωνα, καὶ χρησμολογεῖν. αὔρας καὶ πνοὰς ἐκ τοῦ ὕδατος ἀναδιδομένας. ἐξ ὧν οἱ περὶ τῶν πηγῶν ἔλεγον, ἅπερ οἱ δαίμονες ἔλεγον.

Κασταλία, κρήνη ἐν πυθῶνι. Καστανία, πόλις μαγνησίας.

Κάστανα, διὸς βάλανοι, εὔβοια, κάρυα. Κάστελος, ὄνομα τόπου ἄνω φέροντος καὶ κάτω φέροντος, καὶ μερίζοντος τὸ ὕδωρ. ἔστι δὲ καὶ πόλις. Κάστον, ξύλον. ἀθαμᾶνες. Καστόρασι, εἶδος ἐκ κυνῶν. Καστορίδων κυνῶν, ὅτι τὰς καστορίδας ὑλακτὰς κυνῶν εἶπε. Καστόρειον μέλος, τὸ τοῦ κάστορος τοῦ ζώου. Καστόριον, εἶδος βαφῆς ἀπὸ τῆς ἀσχύλης. Κάστρον κατὰ ῥωμαίους, παρεμβολὴ ἀσφαλής. Καστρευτικὸς, κατασκευαστικός. Καστρῆσαι, ἐκτεμεῖν, ἐκτέμνειν. Κάστρωμα, περίστρωμα, κλίνεις. Κάστωρ σημαίνει δύο. ὄνομα κύριον, ὡς τὸ κάστορά θ' ἱππόδαμον. καὶ γίνεται παρὰ τὸ κάζω, τὸ κοσμῶ. σημαίνει καὶ τὸ ζῷον, καὶ γίνεται παρὰ τὸ γαστὴρ, γάστωρ, καὶ κάστωρ. ὑπογάστριον γὰρ τὸ ζῷον, καὶ χελῶνα ὅλον κοιλία. Κασυλὸς, ὄνομα κύριον. Κασφυράσθαι, κατασπεῖραι. Κάχιν, κατέχειν. Κάχεθεν, ἄτε κατέχειν. ὤφειλεν μὲν συγκοπῆναι τρέψαι τὸ τ εἰς τὸ ἐπαγόμενον σίγμα. οὐκ ἔχει δὲ, διότι οἱ ἐδίδασκον τρὸ συμφώνου κείμενον διπλοῦσθαι τὸ σ, ἀλλὰ πρὸ φωνήεντος, ὡς δηλοῖ σίκυος καὶ σίδηρος, καὶ κατὰ διάλεκτον τὸ κασσυλίαν. Κασυλάβα, οἱ μὲν πόλις, οἱ δὲ κώμη. Αἰσχύλος ἱερείαις. Κασωρὶς, πόρνη. Κασωρεῖον, πορνεῖον. Κάτα, καὶ εἶτα. Κατὰ ἀγυιὰς, κατὰ ἀμφόδους. Κατὰ, ὅτε σημαίνει τὸ ἐκεῖσε, μετὰ γενικῆς συντάσσεται, οἷον κατὰ ψάμμου ἀθύρουσι τὰ παιδία, καὶ κατὰ γῆς ἵεται. ὁμοίως μετὰ γενικῆς συντασσομένη, λόγον ἐπιφέρει λοιπὸν ὕβρεως καὶ κατηγορίας, ὥσπερ ἐναντίον.

τὰ σπέρματα, καὶ γόνατα, ὀβελίσκους ἔχοντα. Καρκία, κλονία. Καρκίζεσθαι, προσβάλλεσθαι. Καρκίζουσι, σκιρτῶσιν, εὔκαρπα ποιοῦσιν. Καρκίζω, τοὺς καρποὺς συνάγω. Καρπιά, δένδρα καρπὸν ἔχοντα. Καρποβόλον, τὸ ἰσοβόλον ἀργύριον. Καρπομανὴς, ὡς κόρον ἐξυβρίζοντος, Σοφοκλῆς Ἡρακλεῖ. Καρπὸς, ὁ τῶν δένδρων. ὅθεν καὶ ἄκαρπα δένδρα, ὧν ὁ καρπὸς οὐκ ἔστι βρῶσις τοῖς ἀνθρώποις. καὶ κάρπιμα, τὸ ἐναντίον. καὶ εὔκαρπα τὰ εὐφοροῦντα περὶ τοὺς καρπούς. καὶ εὔκαρπος γῆ ὁμοίως. καρπὸς, τὸ μεταξὺ τῶν δακτύλων τῆς χειρὸς καὶ τοῦ πήχεως. καρπὸς, ὁ τῶν φυτῶν. καὶ ἀπὸ τούτου ἐστὶ ἀρχὴ, ὁ τρέφει. ἀφ' ὧν ἐγκαρπίζω, τὸ καρποὺς συνάγω. καὶ καρποῦμαι Διὸς ἢ πλοῦτον, ἡ κτῆσιν. καὶ παρὰ Λουκιανῷ, τὰ ὑπὸ τῶν ἄλλων ποιούμενα καρποῦται, ἤγουν ἐσθίει καὶ ἀπολαύει. καρπὸς, καὶ πέρας τοῦ πήχεως, ἤγουν τῆς ὠλένης, τὸ πρὸς τῇ χειρί, τὸ πρὸς τὸν ἀγκῶνα. ἀφ' οὗ ἐπικάρπιοι κόσμοι. καρπὸς, παρὰ τὸ κάρφω, τὸ ξηραίνω, γίνεται ἰωνικῇ τροπῇ τοῦ Δωρίως εἰς ψιλόν. ὡς Δαλαλὰ κικαστὴς ἤδη κάρφεσθαι, μηκέτι αἰξόμενος ὑγροῦ ἐπιρροῇ. ἀμφώνυμος δὲ ἡ λέξις. καρπὸς γὰρ καὶ μέρος, ἔτι ἄρθρον χειρὸς, μεταξὺ βραχίονος καὶ θέναρος. ἀφ' οὗ παράγεται τὸ μετακάρπιον. καρπὸς δὲ, ὁ πρὸς ἄμητον ἐπιμεμημένος στάχυς. σημαίνει καὶ τὸ κοῖλον τῆς χειρὸς, ὡς τὸ αὐτοῖ χεὶρ ἐπὶ καρπῷ. ὅθεν καὶ ὁ τῆς χειρὸς ξηρὸς τόπος καὶ ἄναρθρος, καρπὸς λέγεται. καρπὸς καὶ περικάρπιον διαφέρει. καρπὸς μὲν γάρ ἐστι κυρίως οἱ κεγχραμίδες τοῦ σύκου καὶ τῶν ἐλαιῶν οἱ πυρῆνες. περικάρπιον δὲ τὸ περικεχυμένον τούτοις ὑγρόν. Καρποῦ δίκη, τοῦ βλαβέντος καρποὺς δίκας ἐκτίειν. Καρποῦμαι δόξαν, ἢ πλοῦτον. καὶ παρὰ Λουκιανῷ, τὰ ὑπὸ τῶν ἄλλων καρπούμενα. καὶ καρποῦται, ἤγουν ἐσθίει. καρπίζουσι, καρποφοροῦσι. Καρποφορῆσαι, προσφέρει. Καρπύρια, ξύλων ξηρῶν κοπαί. Καρπῶ, καρπιεῦμαι. Καρπωθέντα, τὰ ἐπὶ βωμοῦ καθαγισθέντα. Κάρπωμα, θυσία, προσφορὰ, κέρδος, γένος, σπέρμα, δῶρα. Καρπωμένη, καρπῷ πλήθουσα. Κάρπωσις, θυσία ἀφροδίτης ἐν Ἀμαθοῦντι. Καῤῥαβὰξ, καιρίως.

Κάῤῥαξεν, κάφισε κράζειν. Καῤῥίζοντος, καταψῶντος, καταψηφίζοντος. Καῤῥίσαι, καταῤῥάξαι, πρᾶξαι, κατατῆσαι.

Κάῤῥον, βέλτιον. Καῤῥέον, κατὰ τὸ ῥεῦμα, κατὰ τὸν ῥόον. Καῤῥὸς, φυτὸν, ἢ καιρὸν, κρεῖττον, ἢ ἰσχυρόν. Κάρσιον, πλάγιον. Κάρτα, ἀντὶ τοῦ λίαν λέγουσιν οἱ Ἴωνες. κάρτα, καὶ ἐπὶ ἀφροδίτης. Καρταίπους, κρατεῖν. Κάρταλον, τὸ πλεκτὸν ἀγγεῖον, ἐν τοῖς ὀψαρτυτικοῖς κλωβός. Καρτάζεσθαι, καρτύνεσθαι, διισχυρίζεσθαι, καὶ διαμάχεσθαι. Κάρτει, ἰσχύϊ. Καρτεμάλλων, οἱ γεργίνοι. κρατεῖν. Καρτερὰ ἔργα, ἤγουν βίαια, παρ' Ὁμήρῳ. Καρτερία, ἐπιμονή. ἔστι δὲ καὶ διάθεσις ἐμμενετικὴ πόνοις. καὶ ὑπομονὴ λύπης, ἕνεκα τοῦ καλοῦ.

Καρτεροὶ, παρ' Ὁμήρῳ ἐν ὀ τῆς Ὀδυσσείας, ἀλλ' ὑμεῖς καρτεροὶ αἰεὶ, τουτέστι δεσπόται καὶ ἐγκρατεῖς. ὡς καὶ Ἀρχίλοχος, ἐσθίει καρτερὸς μελαγχόλου, ὅπερ μάρχων. Καρτερὸς, ὁ ἐγκρατής. καρτερὸς, καὶ ὁ δυνάμενος ἱκανὸς κρατεῖν. Καρτερώνυχας, ἰσχυροὺς ὄνυχας ἔχοντας. Κάρτη, εἶδος ἱματίου, παρὰ Ἰὼβ ἐν πίστει καὶ Λακάτῳ περὶ ὁμοιοτήτων. καὶ κάρτη, τῶν βοῶν κρατεῖν. καὶ τὴν οἰκίαν, οἱ αὐτοὶ, ὁ πάνυ. Κάρτιστοι, ἰσχυροὶ, κράτιστοι, δυνατοὶ, ἔνδοξοι. Καρτοὶ, κεχαρισμένοι.

Καρτυμαλλὶς, χλευαστικῶς. Καρτύνεσθαι, ἀσφαλίζεσθαι, διισχυρίζεσθαι. Καρύαι, λέγουσι τὰς ἀμυγδάλους καὶ κασάνους, καὶ τόπους ἀρτέμιδος, καὶ ἑορτὴ καρύα. Καρύα, τὸ δένδρον. κάρυον δὲ, ὁ καρπός. Καρύανδα, πόλις καρίας.

Καρυατέα, θυσία. Λάκωνες. Καρυάτις, ἑορτὴ ἀρτέμιδος. καὶ ἱερόν. Καρυβαρῶν, τὴν κεφαλὴν βαρυνόμενος.

Καρυβορῶν, τὸ ὑπὸ ἤχου καὶ βοῆς τὴν κεφαλὴν ἀλγεῖν. καὶ ἰλιγγιᾶν. Καρύκη, λύδιον ἔδεσμα, ἐξ αἵματος συγκείμενον παρὰ τοῖς ἰατροῖς. Κάρυλλοι, καρύλλιδες. Καρύματα, κάρυα. Λάκωνες. Καρυκάζειν, ταράττειν. Καρυκεία, ἡ ἀλλοίωσις τῶν ζωμῶν. Καρυκευμένων, ἀρτυμένων. καὶ καρυκοειδὲς, ὁ λίαν ὀξὺ, γλυκύτερον. καρύκη γὰρ, ἔδεσμα λύδιον ἐκ πολλῶν ἡδυσμάτων συγκείμενον, καὶ αἵματος. ἐστὶ δὲ εἶδος ὑποτρίμματος, ἐκ πλειόνων ἀρτυμάτων συντιθέμενον. καρυκεύειν δὲ, τὸ ποικίλλειν. Καρύκη, ἔδεσμα ἐν πολυτελέσι συνουσίαις συγκείμενον. ἐγὼ δὲ δι' αἵματος καὶ ἀρτυμάτων ποιοῦσιν. ὁ δὲ Δίδυμος, λύδιον βρῶμά φησιν ἐκ πλειόνων. ἐγὼ δὲ οἶμαι καρύκην αὐτὸ λέγειν, ὅτι μέλαν ἐστί. φασὶ γὰρ ἐν τῷ κωμικῷ λέγων εἶτα, καρύκινον καρυοβαφές. καὶ κάρυκος ῥόος, ὁ μέλανος ῥόος. οὐκ οὖν ἐκ τούτου οἶμαι λέγειν καρύκην.

Καρυκίαις, μαγγανεύμασιν, ἀρτύμασι, ταραχαῖς. Καρυκοποιεῖν, ποικίλην ποικιλίαν ῥημάτων τὴν λέξιν. τέλειος δὲ τῇ λέξει, ὡς μάγειρος ἐγένετο, Ἀριστοφάνης. Καρυκίλαια, ἣν νῦν μοσχολαχάνην καλοῦσιν. Καρυμνόν, μέλαν. Κάρυξ, κῆρυξ, ἢ κάπηλος. Καρύσιοι, κοραγαιοι.

Καρυστῖναι, εἰκασίαι. Λάκωνες. Κάρυστος, ὑπὸ τοῦ ἔχου φασὶ καλεῖται. ἢ ὅς ἐστιν ὄρος μέγιστον τῶν ἐν Εὐβοίᾳ, ἐξ οὗ καὶ ἡ Εὔβοια ὠνομάσθη ποτέ. ἐκαλεῖτο δὲ ὄχη, ἢ διὰ τὸ ἰσχυρὸν, ἐξ οὗ καὶ τὸ ὄχα ἐπίῤῥημα. ἢ κατὰ τοὺς παλαιοὺς, ἀπὸ τοῦ ἐπὶ ἐχόντων, ἤτοι μίξεως Διὸς καὶ Ἥρας. ἢ διὰ τὴν αὐτόθι τῶν προβάτων ὄχειαν ἤδη καὶ τροφήν. ὀχεῖα γὰρ τὴν τροφὴν ὄχην λέγεσθαι ἐρρέθη, εἰς διασολὴν τῆς ὀρεινῆς ὄχας. γίνεται δὲ ἀπὸ τῆς ὀργίας ὄχης, καὶ ἡ εὐωχία κατ' ἔκτασιν, ὡς τὸ σπλάγχνον τὸ σῶμα. ἑκὰς δὲ καὶ ἄλλως τὴν εὐωχίαν γίνεσθαί φασιν, ἀπὸ τοῦ ἔχειν τοὺς συνιόντας εἰς εὐφροσύνην, ἤγουν τοῦ θείου, καὶ εἰς ἀλλήλους ἑαυτοὺς καθιέναι. λέγεται δέ φασιν ἡ ὄχη καὶ ὀρεινὸς ὁ ὄχος. ἐκαλεῖτο δὲ ὁ Κάρυστος καὶ αἰγαία, ἀπὸ τοῦ αἰγαίου διελάσσου. ἀφ' οὗ καὶ πέλαγος αἰγαῖον. ἔν ᾗ καὶ τὸ λατόμιον τὸ μαρμάρων καρυστίων, κατὰ τὴν Ἱστορίαν περὶ αὐτῶν, ἐν ᾧ ἱερὸν Ἀπόλλωνος μαρμαρίνου. καὶ λίθος δέ φασι περὶ αὐτὴν φύεται, ἡ ξαινομένη καὶ ὑφαινομένη, ὡς τὰ χειρόμακτρα ποιεῖν. ἃ ῥυπωθέντα καὶ εἰς φλόγα βληθέντα ἀποκαθαίρεσθαι ὥσπερ τοῦ λίνου, παραπλησίως τῇ πλύσει. ἐκτίσθαι δέ φασι, κάρυστος ὠνομάσθη χίων. παρὰ τὴν περὶ τὸ μυρτῷον πέλαγος πλεῖον, ἐκλήθη δὲ ἀπὸ Καρύστου ἤγουν χείρωνος, ἐξ οὗ καὶ χερσονήσου ποτὲ ὠνομάσθη. Καρύτινος οἶνος, καὶ ἄλλος λίθος. Καρφαλίζεσθαι, εὐφραίνεσθαι. Καρφαλέος, ξηρὸς ξηρός. Καρύϊνον, πλακοῦς ἔχων κάρυα. Καρφαμάσια, ἐν οἷς θερίζουσι τοὺς ξηροὺς ἀσταχύας. Καρφαλέον ἄϋσεν, ἤγουν ξηρὸν, καὶ τὸ φθόγγον αὐτὸν ἄϋσεν. Κάρφει αἰτιολογῇ συντάσσεται, ξηραίνει, παρ' Ἡσιόδῳ. Κάρφιος, σκωρία, ἄσημος χόρτος.

Κάρφη, ξύλα λεπτὰ καὶ ξηρά. Κάρφων, φρυγών. Κάρφη, ὁ ξηρὸς καὶ λεπτὸς χόρτος. Καρφεῖον, προβάτων εἶδος.

Καρφίμενος, ξηραινόμενος. Κάρφος, ἄχυρον, χόρτος, κεραία ξύλου λεπτοῦ. Κάρφος, ξύλον ξηρόν. καὶ καρφαλέον, ξηρόν. Καρφύνει, φρύγει ῥόδινα. Καρφύνεσθαι, ξηραίνεσθαι, φθείρεσθαι. Καρφυλαί, αἱ ἐκ τῶν ξηρῶν ξύλων γινόμεναι κοῖται, Εὐπολίδης οἶμαι. Καρφύραι, κοιναὶ δόμοι.

Κάρφυροι, ποικοί. Κάρχαι, καρχῖναι, ὄχλοι, στιχαδοί.

Καρχαλέοι, οἱονεὶ καρχαλέοι, ὅ ἐστι κατάξηροι τὸ ἀπὸ τὴν γλῶσσαν, καὶ τὰ λοιπὰ τοῦ σώματος. Καρχαρίας, ὁ θαλάσσιος κύων, καὶ ἰχθύος εἶδος. Καρχαρόδοντα, τραχεῖς ὀδόντας ἔχοντα. καρχαρόδοντα δὲ, ὅσα τραχυόδοντες καὶ ἐναλλάσσοντας τοὺς ὀδόντας ἔχουσι, λέων, κύων, πάρδαλις, ὕαινα, καὶ ἰχθύων γένος, ὃ καρχαρίαν τινές. Κάρχαροι, οἱ ἔχοντες ὀδόντας, τραχεῖς τε καὶ ὀξεῖς. Καρχαρόδους, τὰ φύσει κα-

καρχαρ-

Καρηνόφιν, κορυφὰς, κεφαλὰς, ἀκρωτήρια. Κάρηνον, καὶ ἀττικῶς κάρα ἄκλιτον. κατὰ τὸ κρῖ, καὶ τὸ δῶμα δῶ ἡ ἀττικὴ ἐκ τοῦ κρίμνον καὶ δῶμα. παρὰ δὲ Σοφοκλεῖ, καὶ τὸ κρᾶτα εὑρίσκεται. καινότερον δὲ τὸ ῥηθὲν κάρηνον, καίρανον ἐν συστολῇ γέγονεν, εἶτα συγκοπὴν τὸ κράνιον παράγεται. οὐ προϋπάρχον τὸ κράνον δηλοῖ, ὡς δῆλον ἐκ τῶν συνθέτων, ὀλίκρανον, καὶ ἐπίκρανον, ὅπερ ἐπὶ κεφαλὴν κεῖται. καὶ κατ᾿ Εὐριπίδην κρήδεμνον εἰπόντα ἐπίκρανον κεφαλῆς. ἐντεῦθεν δὲ καὶ τὸ κρανίον, καὶ τὸ κρανίσκον. Καρβανὸς, ἰδιωτικόν. Καρκαιὸς, πόλις καὶ ποταμός. Κάρα, οἱ μὲν συγκοπῆναί φασιν, ἀπὸ καρήατος καρήατος καρᾶτα. οἱ δὲ ἀρσενικῶς κλίνουσιν ἐκ τοῦ κάρης κάρητος, ὡς δάρης δάρητος. Κάρητος. τῶν εἰς αρ οὐδετέρων, τὰ μὲν ὑπὲρ δύο συλλαβὰς, ἅπαντα διὰ τοῦ τος κλίνεται, ὡσαὰρ ὀνίατος. οὕτως οὖν καὶ κάρηαρ καρήατος, καὶ κατὰ συγκοπὴν κάρατος. τῶν δὲ δισυλλάβων, τὰ μὲν φύσει μακρὰ, διὰ τοῦ τος κλίνεται, οἷον ἧπαρ ἥπατος. τὰ δὲ βραχέα, ἢ θέσει μακρᾷ παραλήγοντα, διὰ τοῦ ρος κλίνονται, οἷον ἔδαρ εἴδαρος, ὕπαρ ὕπαρος. σημαίνει δὲ τὸ ἀληθὲς ἐνύπνιον, τὴν λεγομένην ὀπτασίαν. ἔαρ ἔαρος, καὶ κατὰ κρᾶσιν ἦρος, κέαρ κέαρος καὶ κῆρος, ἄλκαρ ἄλκαρος, ὃ σημαίνει τὴν βοήθειαν. σεσημείωται τὸ φρέαρ φρέατος, καὶ στέαρ στέατος, ὅτι βραχεῖ παραλήγον, διὰ τοῦ τος ἐκλίθη. λέγει δὲ Ἡρωδιανὸς, τὰ εἰς αρ δισύλλαβα παραλήγοντα τῷ ω, ἄκλιτα εἶναι, οἷον μῶμαρ, σημαίνει δὲ τὸν μῶμον. βῶμαρ, σημαίνει δὲ τὸν μέγαν, νῶκαρ, σημαίνει δὲ τὴν νάρκωσιν τῆς ψυχῆς. Καρακαρίτας, ὁ χυδαῖος οἶνος, καὶ μὴ ἀνθοσμίας. Κάρδαμα, τόπος τίς. Καρθμοὶ, κινήσεις. Καρθμὸς, ὁ σεισμός. Καρία, τόπος τὶς, καὶ ἡ κεφαλὴ κατὰ γλῶσσαν, ὅθεν καὶ κάρα.

Καρικίζειν, βαρβαρίζειν. Καρικὰ μέλη. ἐλέγετο καὶ Καρικὸς ῥυθμὸς, ἐκ τροχαίου καὶ ἰάμβου συγκείμενος.

Καρικὸν, ἀστεῖος, καὶ ἄμπελος. Καρικὸν, εὐτελὲς, μικρόν. δηλοῖ δὲ καὶ ἀφροδίσιον σχῆμα αἰσχρόν. Καρικὸν θῦμα, ἐπὶ τῶν ἀτίμων ἢ ἀβρωτα μέλη θυόντων. οἱ γὰρ Κᾶρες κύνα θύουσιν, κύναλκιος. Καρικὸς, ποταμὸς, καὶ τόπος Λακωνικῆς. Καρικῇ τράγει, ὡς εὐτελῶν ὄντων, Σοφοκλῆς ἐν Λακαίναις. εἰ μὴ ἄρα ὑπὸ συγχέων τῆς ἰδιαίας. Καρικοῦ πλείω, κα[illegible] χύματα, λέγεται δὲ ἀπὸ τῶν ἀσελγῶν σχῆμα καρικόν.

Καρικοὶ ἔρες, τοὺς ἐν μισθοφόρων μοίρᾳ. ἢ μισθοφόροις, διὰ τὸ τοὺς Κᾶρας πρώτους μισθοφόρους γενέσθαι. Καρῖναι, θρηνῳδοὶ μουσικαὶ, αἱ τοὺς νεκροὺς τῷ θρήνῳ παραπέμπουσαι πρὸς τὰς ταφὰς καὶ τὰ κήδη. παρελαμβάνοντο δὲ αἱ ἀπὸ Καρίας γυναῖκες. Καρίνα, γυνή. Καρίον, σύνθεσις σπονδείων, παρὰ τοῖς ἱστορικοῖς. Καρὶς, παρὰ τὸ σκαίρω, σκαρὶς, καὶ καρὶς. ἢ παρὰ τὸ κάρα, καρὶς. καὶ γὰρ ὅλη ἡ καρὶς, σχεδὸν κεφαλή ἐστι. Καρῖται, ἱππεῖς πειραταὶ. κάρβο. Καρκάρους, ἀστατοῦσι. Κὰρ μεγάλη, ἀκρίς. Καρκαίρω, ψοφεῖ. Κάρκαρον, ἐκ τοῦ καρκαίρω. καρκαίρω δὲ, ἐκ τοῦ καίρω, κατὰ διπλασιασμόν. ἔνθεν καὶ τὸ κάρκαιρε δὲ γαῖα, οἷον ἐν κινήσει καὶ ταραχῇ ἡ γῆ ἐγένετο, διὰ τὸ πλῆθος τῶν στρατευμάτων αὐτὴν στοιβίζειν. Καρκαίρω, ἠχῶ, ἐν τοῖς ψαμμοκοσμογράφοις.

Καρκαίρω, τοξίζω. Κάρκαρα, ὅπλα ὁ δεῖπνο καὶ τὰ σκεύη τῷ ἔθει, καὶ πέτρα παρὰ Σιμωνίδῃ. ἔνιοι τὰς κάνθους.

Καρκαρὶς, ξύλον ἢ φρυγάνων φορτίον, ἢ δεσμή. Κάρκαροι, τραχεῖς, καὶ δεσμοί. Κάρκαρα, λίθος ὁ πρὸς τὰ ἀμπέλιαν βεβαιούσιν διὰ τῶν χειρῶν, καὶ κύρτωμα. Καρκίνος, τὸ τῶν κεραίων ἀγγεῖον, καὶ ὑποδήματα κοῖλα, καὶ δεσμὸς [illegible], καὶ τῷ χαλκουργῷ, ἢ εἶδος ζώου καὶ ἄστρον. καρκίνος δὲ, καὶ ὁ πυρὸς ἐπὶ συνεχοῦς [illegible] καρκίνος [illegible] ἐν ἄγροις [illegible] ὥραν, ὅτι μόνος

ἡρακλεῖ τῶν ἄλλων συμμαχούντων, ὅτι τὴν ὕδραν ἀνήρει, ἐκ τῆς λίμνης ἐκπηδήσας, ἔδακεν αὐτοῦ τὸν πόδα, καθὰ φησι Πανύασις ἐν ἡρακλείᾳ, θυμωθεὶς ὁ ἡρακλῆς δοκεῖ τῷ ποδὶ συνθλάσαι αὐτόν, ὅθεν μεγάλης τιμῆς τέτυχεν, καταλεγόμενος ἐν τοῖς ιβ΄ ζῳδίοις. Καρκινοῦται, ὅταν ῥιζοῦται ὁ σῖτος, καὶ σκληρυνθῇ. Καρμω, λάμω. Κάρμηλος, ὄρος ἐν τῇ φοινίκῃ, καὶ καρμήλιον. Καρμητὶς, πόλις οὕτω καλουμένη. Κάρμορον, τὸ μεμορημένον. Καρμανταλεα, ἑορτὴ ῥωμαϊκή. Κάρνεια, ἑορτὴ ἀπόλλωνος καρνείου, ἀπὸ κάρνου τινός. οὗτος δὲ ὁ κάρνος μάντις ὢν, εἵπετο τοῖς ἡρακλείδαις ἄσημα τοῖς μαντευόμενος, ὃν ἕνα ἐκπρεπὴς εἷς τῶν ἡρακλειδῶν, ἱππότης τοὔνομα, λόγχῃ βαλὼν ἀπέκτεινε, διὸ ὁ λοιμὸς ἐγένετο ἐν τῇ πελοποννήσῳ, καὶ ἀπελθόντες ἔλαβον χρησμὸν ἐξ ἀπόλλωνος, κάρνειον τιμῆσαι ἀπόλλωνα. καὶ τοῦτο ποιήσαντες ἐπαύσαντο τοῦ λοιμοῦ. ταύτην οὖν τὴν ἑορτὴν, καὶ οὗτοι οἱ μετοικήσαντες ἐκ πελοποννήσου εἰς ἑτέρας πόλεις, διὰ τὸν λοιμὸν ἐπετέλουν. ἄλλως. κάρνεια, ἑορτὴ δωρικὴ τελουμένη καρνείῳ ἀπόλλωνι κατὰ τὴν πελοπόννησον, ἀπὸ κάρνου μάντεως, ὃς εἵπετο τοῖς ἡρακλείδαις. ἀπ᾿ αὐτοῦ δὲ κάρνειον ἀπόλλωνα προσαγορεύουσιν. ἡ δὲ ἱστορία παρὰ Θεοπόμπῳ, ὅτι τὸν αὐτὸν καὶ δία καὶ ἀπόλλωνα καλοῦσιν ἀργεῖοι, διὰ τὸ τὸν κάρνον ἡγεῖσθαι τοῦ στρατοῦ, ὃν οἱ ἡρακλεῖδαι ἀπέκτειναν ἀπερχόμενοι εἰς πελοπόννησον, ὑπολαβόντες κατάσκοπον εἶναι τοῦ στρατεύματος, ὃν ὕστερον ἐτίμησαν ὑπὸ λοιμοῦ φθειρόμενοι. ἄλλως. Πραξίλλας μὲν ἀπὸ καρνείου φησὶν ὀνομάσθαι, τοῦ Διὸς καὶ Εὐρώπης υἱοῦ, ὃς ἦν ἐρώμενος τοῦ ἀπόλλωνος. Ἀλκμὰν δὲ, ἀπὸ καρνέου τινὸς τρωϊκοῦ. Δημήτριος δὲ ἀπὸ τοῦ κράνου, ὃ ἐστι τελέσαι. φησὶ γὰρ, ὡς ὁ μενέλαος στρατεύσασθαι εἰς ἴλιον, ηὔξατο τιμῆσαι αὐτὸν ἐὰν κρατήσῃ. ἄλλως. κάρνεια, ἑορτὴ τοῦ Διός, καρνεῖα ὀνομαζόμενα. παρ᾿ ἄλλοις δὲ τελεῖται, διὰ τὸ τὸν δούρειον ἵππον ἐκ κρανείου εἶναι ξύλου. Καρνεᾶται, οἱ ἄγαμοι. κεκληρωμένοι δὲ, ἐπὶ τὴν τοῦ καρνείου λειτουργίαν. πέντε δὲ ἀφ᾿ ἑκάστης ἐπὶ τετραετίαν ἐλειτούργουν. Κάρνη, ζημία. Καρνεασσόπολις, λόχος ὁ πρὸς τῷ [illegible] οὕτως ἐκαλεῖτο. Καρνεῖος, ἐπίθετον ἀπόλλωνος. ἴσως ἀπὸ καρνέου τοῦ Διὸς καὶ Εὐρώπης υἱοῦ. Κάρνον, τὴν σάλπιγγα γαλάται. Κάρνος, φθεὶρ, βόσκημα, πρόβατον.

Καρνόπας, ἱππικός πῶς. Καρνοπλέσιον, κίβδηλος, [illegible] τὸ κάρνον ἔχουσι. Κάρος, σκότωσις, ἡ ἐξ οἰνοποσίας ἐγγινομένη μέθη. καὶ παραφορὰ, παρὰ τὸ κάρα βλάπτειν. σημαίνει δὲ, καὶ τὴν θανατηφόρον μοῖραν, ἀπὸ τοῦ κὴρ κηρὸς, συστολῇ τοῦ η κάρος, διὰ τοῦ κὴρ τὸ η εἰς α τρέπεται, καὶ οὐκ εἰς ε, ὥσπερ φρὴν φρενός. ὅτε οὐκ ἔστι ὁ κάρος κατὰ ἀνάλογον κλίσιν, ἀλλὰ συστολῇ ποιητικῇ. Κάρς, κόρις. οἱ δὲ σκορπίος, βόσκημα, ἐγκέφαλος ὤν. ἢ κηρὸς, ἢ φθορά. Καρπὸς, ὕδρα, ἀρτίδες. Κάρον, τὸ ἐπὶ τὴν κεφαλὴν πλασσόμενον κάρον.

Καρῦα, κάρυα. Λάκωνες. Καρυάτιδος, [illegible].

Καρῦσθαι, ὠνεῖσθαι. Καρύχος, εὔχειρος, εὔκηλος. Καρυστιος τὸν μάρτυρα, παρὰ λακεδαιμονίοις. καρυαῖος δὲ λάγων, κατ᾿ ἄλλων [illegible]. διὰ γὰρ τὸ μὴ εἶναι λαγωοὺς ἐν τῇ χώρᾳ, ἐπιγέγονεν αὐτοῖς, καὶ πολλοὶ ἐγίνοντο, ὥστε τὸν τε σῖτον αὐτῶν, καὶ τὰς ἀμπέλους ὑπ᾿ αὐτῶν βλάπτεσθαι. ὁ γοῦν Ἀρχίλοχος παρὰ ταύτην τὴν παροιμίαν ἔφη, καρπάθιος τὸν μάρτυρα. Κάρπαθος, πόλις ῥόδου καὶ νῆσος ἐπὶ τοῦ [illegible], πλησίον τῆς κῶ. παρὰ δὲ Ὅμηρος εἴρηται, κράπαθον δὲ ταύτην καὶ κῶν. ἄλλοι πλησίον κρήτης αὐτὴν εἶναι λέγουσι. Καρπαία, εἶδος ὀρχήσεως.

Καρπαλίμως, ταχέως. Καρπάλιον, κάρπωμα. Καρπαθῆναι, σκορπισθῆναι. Καρπαῖνοι, κηρῖναι. Καρπάλιον, ἀγγεῖον ὑπόδημα μονόδερμον. Καρπὸν, πλῆθος. Κάρπαια, ὄρχησις μακεδονική. Κάρπασον, καθαίρεται. Κάρπο, τὰ ἀνίερα.

φοινὸν τὸ ἐκείνου τῆς καρδίας ἦν, καὶ εἰς ἰσόθεον ἄγον.

Κανοῖαι ὀρθοὶ καὶ προσεσταλμένοι τὰς γνάθους, παρὰ τῷ Ἱπποκράτει. Κάνεον, οὕτως ἐκαλεῖτο ἡ οἰκία ποτὲ παρ' Ἀθηναίοις, ἐὰν πλείονα τυγχάνῃ πήχεων ἢ εἴκοσι ἢ ἀπηρτισμένη. εἶχον δὲ, τὸ μὴ κατὰ τὸ κοινὸν ἔθος ὀνομαζόμενον ἀπὸ ἀνατολῆς ἐπὶ δεξιὰ ἀνατετραμμένον. σπήλαιον δὲ, τὸ ἀπὸ τῶν ἔνδον ἀνατετραμμένον ἐπὶ τὰ ἔξω. Κανοῦν, εἰς ὃ φέρονται ἱεροργικαὶ μάχαιραι. σημαίνει κυρίως τὰς μαχαίρας. οἱονεὶ τὸ καίνειν ἔχον κείμενον, ὃ ἐστι κτείνειν, ἀπὸ τῶν γινομένων ἐν ταῖς θυσίαις σφαγῶν.

Κάνωβος, ὄνομα κύριον, καὶ ὄνομα πόλεως. Κανωνίς, ἐργαλεῖον καλλιγραφικὸν, ἐν ἐπιγράμματι. Κάνωπος, τόπος ἐν Ἀλεξανδρείᾳ. Κάξ αὐτοῦ, καὶ ἐξ αὐτοῦ. Κάξηῦρε, ἀντὶ τοῦ καὶ ἐξηῦρε, ἤγουν ἐπενόησε.

Κάξίστασθαι, ἀντὶ τοῦ καὶ ἐξίστασθαι, ἤγουν ἀποχωρεῖν καὶ πόῤῥω γενέσθαι. Ἀριστοφάνης, μὴ ἐξίστασθαι τοῖς ἡμετέροις χοροῖσιν. Καπάνιοι, οἱ στενοχωρίζοντες, οἱ καλούμενοι διαλείποντες, οἱ ἐν τῷ λαιμῷ τοῖς στενώμασι πίμποντες. Καπάναι, ἐπίπεδοι, φάτναι. Καπανευτὰς, ἐπιλαλητάς. Καπανίζει, ἐμπηλατεῖ. Κάπαι, τεῖχος κενά. Καπάνα, ἀγγεῖον ξύλινον. Καπανικώτερα, ἀπὸ τῆς φάτνης χορτασικώτερα. ἴσως δὲ ἀντὶ τοῦ μείζονα. ἐκαλεῖτο γὰρ ἀπήνας λέγουσιν. Κάπαι διπλοῦν, ἀντὶ τοῦ ἐπανόν, γράφε καὶ κάπαια. καπανολοχία, κρίττα, καὶ ἐκπαλαίων. Καπανώσαμεν, ἐφράξαμεν, ἐπληρώσαμεν. πεπλήρωται γὰρ, ἢ σημειοῦται. Καπαργιῶσαι, μαντεύσασθαι. Κάπαιον, μεμβρὶς ἢ φάτνιον. Κάππασα, κατεκόψασα. πλήσιον. Κάπαιον, καθαρὸν παρὰ Αἰολῦν.

Κάπεθα, ἐκείνων τροφή. Καπεμβαρίζειν, ὁ ἐμπεβάζειν. Κάπεσθαι, ἐκαθίσθην. Καπέτις, χοῖνιξ.

Κάπετος, ἀποσκάπτειν, φλέψεις ἀργυρίου οὔσας κατὰ τοὺς παλαιοὺς, ὧν ἡ χρῆσις καὶ παρὰ Σοφοκλεῖ, κοίλου ὑπόντι καλάθου. Κάπετος, τάφρος, ὄρυξ, ὄρυγμα, βόθρος, οἱ δὲ σκαφεῖον. Κάπεχω, παρὰ τῷ Ἀριστοφάνει τὸ αἷμα προσέχω. καὶ Ὅμηρος, ὄφρ' ἀσάμενος προταμὼν καὶ οἶνον ἐπιχεῦεν. Καπετώλιον, κεφαλὴ τῆς πόλεως. ἢ ὅτι ἐκεῖσε μέλλοντες κτίσαι, εὗρον κεφαλὴν νεόσφακτον. καλοῦσι γὰρ παρὰ ῥωμαίοις ἡ κεφαλή. Κάπη, ἡ φάτνη, παρὰ τὸ κάπτω, τὸ χανδὸν ἐσθίω. ὅθεν καὶ τὸ ἐσέκαψε παρὰ τῷ κωμικῷ. ἀφ' οὗ ἔγκαπος, ὁ ψωμὸς, ἤτοι βλωμός. οἱ δὲ χυδαῖοι τὸ νεοῦν κάπτω, χάπτω φασί.

Κάπηθεν, καὶ κάπισθεν. Κάπηλα, ἡ πρωτόπολις, ἀγορὰ παρὰ ταραντίνοις. Καπηλεῖον, ἐμπορεῖον, καὶ καπηλεῖον. Καπηλεύουσιν, ἀγοράζουσιν, ἢ πιπράσκουσι.

Καπηλεύω, αἰτιατικῇ συντάσσεται. ὅθεν καπηλεία ἡ ἐμπορία. καὶ καπηλεῖον. καὶ καπηλικῶς, ἀντὶ τοῦ πανουργικῶς. Καπήλη, ὅπου οἱ ἀνθρωπῖται κάθηνται, πωλοῦσι, καὶ ἐν ᾗ πωλεῖται τὰ χοινία. καὶ τὸ ἐν τῇ πρύμνῃ κοίλωμα, ἵνα οἱ ναῦται πάντα ἀποτίθενται. Καπηλικῶς, πανουργικῶς. ἐπεὶ οἱ κάπηλοι χρίειν καὶ ἀναπνεῖν τὰ ἱμάτια εἰώθασι. καὶ τὸν οἶνον δὲ καπηλεύουσι, συμμιγνῦντες αὐτῷ σαπρόν. Καπηλὶς, παρὰ τὸ καπύειν τὸν πηλόν. πηλὸς δὲ ὁ οἶνος. ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἄμπηλος οὖσα, ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. Κάπηλος, ὁ μεταβολεὺς, καὶ οἰνοπώλης. παρὰ τὸ χέειν τὸν πηλὸν, ἤγουν τὸν οἶνον, ἢ παρὰ τὸ καπύειν τὸν πηλόν. Καπηλοδύτης, ὁ ἐν τῷ καπηλείῳ ἐρχόμενος. Καπήλτια, γυναικεῖα ἱμάτια.

Κάπιεν, ἀντὶ τοῦ καὶ ἔπιεν. Κάπηξ, ξύλον τὸ ἐν τῇ πρύμνῃ τῆς νηὸς ὑπερέχον. Καπίθαι, εἶδος πλακοῦντος, τὰ παρ' ἡμῖν καπύρια. Καπιτίων, κεφαλοβοτάνιον. Καπίτιοι, οἱ πρῶτοι τῆς κυρίας.

Καπιτὸν, παράβλεμμα ἀλόγων. Κάπια, τὰ σκόροδα, κρομμύα. Καπίθη, ἀγγεῖον χωροῦν ἀττικὰς κοτύλας δύο. Κάπικείμενος, ἀντὶ τοῦ τέλεον κεῖσαι, παρὰ τῷ Ἀριστοφάνει. Κάπιδώσειν μοι δοκῶ τὸ χρῆμα μᾶλλον, ἀντὶ τοῦ προσθήσειν σχήσειν. Καπίστριον, ἡ τοῦ ἵππου φορβεία. καλοῦσι γὰρ ῥωμαϊκῶς ἡ κεφαλὴ, καὶ ἐξ αὐτοῦ καπίστριον. Καπίων, ἑκατοντάρχου τάγματος ὄνομα. Καπιχωρίους, σκωπτικὸς καὶ φλυαρώς. ἐπιχώρων γὰρ ἦν αὐτοῖς τοῖς ἀθηναίοις, τὸ σκώπτειν καὶ παίζειν, ἐκ πολλῆς εἰδήσεως τοῦ ἐλληνισμοῦ. Κάπνη, ἡ καπνοδόχη. ἔστι δὲ συνθετικὰ ἐπὶ τῶν μαγειρείων, δι' οὗ ὁ καπνὸς ἔξεισιν, καὶ εἶδος ἀμπέλου ξηρότατον, καὶ λαμπρότατον οἶνον ποιούσης, ὁμοίως καπνῷ ποιοῦντα διάχρυσα. ταύτης καπνίαν οἶνον ἐν Βενεβέντῳ τῆς Ἰταλίας γίνεσθαί φασι. καὶ καπνία, ἡ ἄμπελος. Καπνίας οἶνος, ὃς γίνεται ἐν Βενεβέντῳ τῆς Ἰταλίας. καὶ καπνία ἄμπελος, ἡ μέλαινα. Καπνίας ποιητὴς, ὁ μηδὲν λαμπρὸν γράφων.

Καπνίζω, ἐκ τοῦ καπνὸς, τοῦτο παρὰ τὸ καίω καὶ τὸ πνοή. κυρίως γὰρ καπνὸς λέγεται ἡ ἐκ τῆς καιομένης πνοῆς, ὅθεν καὶ καπνίζω. σημαίνει καὶ τὸ θύω, ὡς δηλοῖ Ὅμηρος, ἐν τῷ κάπνισσάν τε κατὰ κλισίας. ἐκ τοῦ καπνίζω δὲ, καπνιστὰ κρέα παρὰ τῷ Δειπνοσοφιστῇ. Κάπνισσαν, ἀντὶ τοῦ πῦρ ἀνῆψαν, ἐπὶ θυσίᾳ τὸ γὰρ ἐπὶ ἀναγκαίῳ δείπνῳ πρὸ τῆς μάχης, ἐκ τοῦ παρακολουθοῦντος ῥηθέν. ἐπακολουθεῖ γὰρ τῷ τῶν ξύλων καπνός. πέφρασται οὖν ἐκ τοῦ πορρωτέρου, τὸ μὲν τοι ἐγγύτερον παρ' Εὐριπίδῃ ἐν τῷ πῦρ ἀνάψουσι θεοῖς. δύναται δὲ εἶναι τὸ ἐκάπνισσαν, καὶ ἀντὶ τοῦ ἔθυσαν, ἵνα λέγῃ ὅτι θύσαντες, εἶτα ἐδείπνησαν. Καπνοκορυνάζεσθαι, σκιρτᾶν παρὰ Ἐπιχάρμῳ.

Καπνὸς, ἀναθυμίασις ξηρὰ, θερμὸς, ἢ ἀτμὸς δυσώδης ἀπὸ τῆς τοῦ πυρὸς ἀναφορᾶς ἐκ τῶν ὑποτυφομένων ἀναπεμπόμενος. Καπνωτὰ, πνέοντα.

Καπνοῦ σκιὰ, ἐπὶ τῶν λίαν ἰσχνῶν. Καπνωμένων, ἐκπιεζομένων. Κάππεις, ἐκπέσῃς. Κάπος, ἡ συνεχὴς ἀναπνοή. Κάπος, τὸ πνεῦμα. Κάπος, ψυχὴ πνεῦμα, καὶ ὁ τοῦ φοίνικος κλάδος, ἐν ᾧ κίνηται ὁ καρπὸς, καὶ ἡ πρώτη ἔκφυσις. Καπποσυκάζεις, παρὰ τῷ Ἀριστοφάνει συκοφαντεῖς. ἐχρήσατο δὲ τῷ ὀνόματι, ἀφ' οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις τὰ σῦκα ἦν, καὶ εἴ τις δηλώσειε κλέπτων, ἐκολάζετο. φαίνειν δὲ ἔλεγον, τὸ κατηγορεῖν. ἄλλως, συκάζειν τὸ ἀποθλίβειν τὰ σῦκα ἢ ὠμὰ ἢ πέπειρα. Κάππυρισα, ἀντὶ τοῦ καὶ ἐπυρίασα ἀπολείψω, ἐκ τοῦ φαίνω.

Κάπυλος, φάρυγξ. Καπυρὸν, ποικίλον.

Καρατάτια, γυναικεῖα ἱμάτια. Κάππεσε, κατῆλθεν.

Κάππεδίον, κατὰ τὸ πεδίον. Κάππεσεν, ἀντὶ τοῦ κατέπεσεν. καὶ δὲ, ἀντὶ τοῦ κατὰ δέ. καὶ κάββαλεν, ἀντὶ τοῦ κατέβαλεν, αἰολεῖς συγκόπτουσι τὰ τέλη τῶν ὀνομάτων, διπλασιάζοντες τὰ ἄφωνα. Κάππαρις, ὅτι ἡ πολλὴ καὶ καλὴ ἐν Κάμπῳ φύεται, οὐχ οὕτως ἐν κρημνοῖς. εἴη ἂν οὖν κάμπαρις, καὶ μεταβολῇ τοῦ μ εἰς π, κάππαρις, οὕτως Ὦρος ὁ μιλήσιος. Κάπρα, αἲξ τρώγλη.

Κάπραινα, ἡ καταφερὴς, ἀπὸ τῶν κάπρων. Καπρᾶν, κυρίως τὸ ὀργᾶσθαι κάπρου ἐπὶ ὀργῆς καὶ ταυρᾶν φασὶ, τὸ ταύρου ἐφίεσθαι ἐπὶ βοῶν. Κάπρος, ἀκολασίας.

Καπρίαι, αἱ ἐντὸς τῶν περιγραμμάτων τῆς φύσεως.

Καπρία, εἶδος ὀρχήσεως ἐνόπλου. Καπρίσκος, ἰχθύς.

ἐπισύρω τὰ ἔχιδνα κάμπτος ... Καμπὴ, ἡ καμπτομένη καὶ κεκαμμένη. καὶ καμπὰς φασὶν τόπον, ὡς κλάσιν ποταμοῦ ... χωρίων. λέγεται δὲ ξυλάκαρον. Καμπισίζημα, ἐμοὶ καμπικοῦτος, παρὰ Ἐπιχάρμῳ. Κάμπος, ἱπποδρόμος. Σικελοί. Καμπυλίνη, ἐλαίου εἶδος. Λάκωνες. Καμπυλόχοιος, ἀρότης. Κάμπτει, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ καταβάλλει, ἱδρύει. Κάμπτειν γόνυ, ἐπὶ τοῦ καθεσθῆναι λέγεται, πρὸς διαφορὰν τοῦ ἵστασθαι. οἱ δὲ μεθ' Ὅμηρον, ἐπὶ ἱκεσίας καὶ προσκυνήσεως τίθενται, λέγοντες τὸ πῦρ καὶ ... γονυκλίνειν.

Κάμπτω. ἀλλὰς ἔκαμπτεν, ... ἐλύγιζέ τε καὶ ἔστρεφε. Κάμπτου σε, αἰτιατικῇ, ἀντὶ τοῦ μαλακίζου τὴν ψυχήν σου. Καμπύλα τόξα, πρόχειρ ... πληθυντικῷ πληθύνεσθαι, κατὰ καὶ τὸ ἅρματα, καὶ ὄχεα. ὅθεν καὶ Εὐριπίδης λαβὼν φασὶν ὀχήματα, ἤγουν ἅρμα. καμπύλα δὲ κυκλοτερῆ, πάντα τὰ τόξα. οὕτω δὲ καὶ ἀγκύλα. καὶ ῥαιβὰ δὲ, ὡς παρὰ Λυκόφρονι, καὶ σκολιὰ, καὶ παλίντονα. νῦν δὲ δοκεῖ, παρὰ τῷ Ἡροδότῳ σκίμπον ἔχων. λέγων δὲ, ὅτι τόξα παλίντονα ἀράβιοι εἶχον, δέδωκεν ὑποστίγμη, ὡς οἱ τῶν τόξων ἁπλῶς παλίντονον ὄντων, ἀλλὰ εἰς τὸ πλάτος ἀπὸ ... ῥαιβούμενον, καὶ οἷον καμαρούμενον. Καμπυλίζειν, κάμπτειν, καὶ στρέφειν. Κάμψα, θήκη, γλωσσοκομεῖον. Καμψινίζειν, βαρβαρίζειν. Καμψία, κανᾶ, κανίσκια, κανάβια κινητικὰ, ὡς γύργαθοι, ἢ ὑπολάμματα ...

Καμψὸν, καμπύλον. Καμῶ, ἐργάζομαι. Κανάβινος νερὸς, ᾧ χρῶνται οἱ ἀνδριαντοποιοὶ πρὸς πλάσιν. Κάναβοι, τὰ ξύλα, περὶ ἃ τὸν πηλὸν οἱ πλάσται τὸν κηρὸν ἐπιθέασιν. ὅθεν καὶ οἱ λεπτοὶ καὶ ἄσαρκοι κάναβοι λέγονται. Κανάδοκα, χείλη βέλους. Λάκωνες. Κάναθοι, σιαγόνες, γνάθοι. Κάναθρα, ἁμάξια, ἡ ἅμαξα πλέγματα ἔχουσα, ἐφ' ὧν πομπεύουσιν αἱ παρθένοι, ὅταν εἰς τὸ τῆς Ἑλένης ἀπίωσιν. ἔνιοι δὲ ἔχειν εἴδωλα ἐλάφων ἢ γρυπῶν. Κανακὶς, σπαθικὸν θυμίαμα, ὃ ... ἔχει δύναμιν, ὥστε ἐξικμάζειν πάντα τὰ περιττά. ἔστι δὲ φυτὸν ... ὅμοιον, ἐξ οὗ αἱ θρᾷσσαι ἱμάτια ποιοῦσιν. Ἡρόδοτος ... μα θερμαίνουσιν. Κάναχις, ῥόθος. Καναάζειν, ταράξαι.

Κὰν, μετὰ ὑποτακτικοῦ ὀφείλει τίθεσθαι, καὶ μετὰ ὁριστικοῦ. ὡς τὸ, κἂν δεῖ με ἀποθανεῖν, καὶ κἂν ἐπὶ σμικρὸν χρόνον ἀναβλέψας, ἀντὶ τοῦ καὶ ἐάν. Κὰν, μετὰ σφοδροῦ τόνου, καὶ μετὰ εὐκτικοῦ, καὶ μετὰ ὁριστικοῦ παρῳχημένου, καὶ ἀπαρεμφάτου. Ἀριστοφάνης ἐν νεφέλαις, κἂν προσκαταθείην τοῦ ὡς τὸ ἱμάτιον τριώβολον. Σοφοκλῆς ἐν Αἴαντι, κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ.

Κανασταῖα, κοιλὰ ... ἀγγεῖα. Κανάστρα, ... Μακεδονίας καὶ Θράκης, οὗ πλησίον ᾤκουν οἱ γίγαντες. Κάναστρον, ὄστρακον, τρυβλίον, κανοῦν. Καναχὴ, κτύπος. καὶ καναχίζειν, ἀπὸ τοῦ κανὸν ἠχεῖν. Καναχηδὰ, ἠχητικῶς. Καναχίζω, οἰμώζω. Καναχίζειν, ψοφεῖν, φωνεῖν, ὑποκρούειν. Καναχίζειν, ἠχεῖν, ἐκ τοῦ κανάχω καναχήσω, ἐξ οὗ καναχηδόν. καὶ ἡ καναχὴ, ἡ βοή. Καναχοσανδῆ, ἀντὶ τοῦ λαμπρῶς ... χρυσός γὰρ, ὁ πρῶτα θρὶξ καὶ λευκὸν, ... ἀκμάσει καὶ ἥβησε. Κανδάκη, ἡ τῶν αἰθιόπων βασίλισσα. Κάνδαλοι, κοιλώματα, βάθρα, κοιλόβαθρα. Κάνδαρος, ἄνθραξ. Κανδαύλας, Ἑρμῆς, ἢ Ἡρακλῆς. Κανδαύλης, ἐπίθετον ἄρεος, παρὰ τὸ κνίζειν καὶ δαίειν. Κανδοφόρος, μελανειμονοῦντος. Κάνδοχα, κόλα. Λάκωνες. Κάνδυλος, βρῶμα διὰ μέλιτος καὶ γάλακτος σκευαζόμενον. ὡς καὶ ἀβυρτάκη, ... βρῶμα, καὶ ἔστιν ἐν τῷ ἀκροάσει. Κανδυτάνες, ἢ κανδύλαι, ἱματιοθῆκαι, ὅπου τὰ ... ἱμάτια ἔβαλλον. Κάνδυλος, κάπηλος, λευκός. Κάνδυς, χιτὼν περσικός. ... δὲ τὴν κάνδυν, καὶ τὰς ἀναξυρίδας ἐξελκύσαντες, καὶ τὸν πῖλον ἀφελόντες. Κανεῖν, κτείνειν, ἀποκτείνειν. ὅθεν τὸ κανοῦν, ἀπὸ τῶν κανείνων ἱερείων. Κάνεον,

κανοῦς, μαζίον, κανισκίοις. Κάνεον, τὸ κανίσκιον καὶ κάνειον, ὁμοίως. Κάνης, ὁ ψίαθος, καὶ κλίνεται κάνητος. Κανηφόροι, ἐν ταῖς πομπαῖς αἱ ἐν ἀξιώματι παρθένοι κανηφόρουν, ὥσπερ καὶ ἐν τοῖς παναθηναίοις. οὐ πάντως δὲ ἱερὸν κανηφορεῖν. Κανηφόρος, ὁμφορὸς τῶν νυμφῶν, ὁ τὸ κανοῦν φέρων. Κανθάλλει, ἀντὶ τοῦ ἐκβάλλει. Κανθαρίζειν, λέγουσιν οἱ ἀττικοὶ τὸ τρίχαρμ. Κάνθαροι αἶγες, μεγάλοι ἐν τῆς αἴτνης. Κανθάκος, ἀκπίδου εἶδος. Κανθαρίς, ζωΰφιον, ... ἰχθύς, ἢ ζωΰφιον λυμαντικὸν σίτου, ἀμπέλου, καὶ κέκτωρ.

Κάνθαρος, παρὰ τὸ ὕδος, ὁ κόπρος, καὶ τὸ ἀρχεῖν, τὸ ὁρμῶ. Κάνθαρος, ποταμίου εἶδος, ... καὶ ... ἰχθύς. καὶ πλοίου εἶδος, ἢ ὁ δακτύλιος τῶν ἰχθύων.

Ἰκμαίοιο Διὸς, ἕνεκα τῆς ἰκμάδος. ἐν τῇ Κῷ δὲ ἱερὸν ἵδρυται Διὸς ἰκμαίου, ὅ ἐστι Δίψης, ἐπεὶ αἴτιος γίνεται τῆς πνοῆς τῶν ἀνέμων. Ἰκμαλέος, λιπαρός. Ἰκμαλέω, ὑγρῷ, σφριγῶ. Ἰκμῶν, λικμῶν, σῖτον καθαίρων. Ἰκμάς, ἡ ὑγρασία, παρὰ τὸ ἴκω ἰκμάς. ὅθεν καὶ ἴκμενον οὖρον, παρὰ τὸ ἱκνεῖσθαι, ἢ παρὰ τὴν ἰκμάδα. Ἰκμάζω, ἐφορμήσω. Ἰκμασία, ὁ ἔνδροσος ἀὴρ, ὑγρασία. Ἴκμενον οὖρον, ἢ τὸν ὑγρὸν λέγει παρὰ τὴν ἰκμάδα, ὃ καὶ τοῖς παλαιοῖς ἄριστον. ἢ τὸν φορὸν, καὶ εἰς τὸ ἱκνεῖσθαι ἐπιτήδειον, ὡς οἱονεὶ ἱκόμενον. οὖρον δὲ τὸν εὐδιεινὸν, ὡς δὴ αὐτοῦ ὀρούειν, ὅ ἐστιν ὁρμᾶν τὴν ναῦν. ἀφ' οὗ καὶ ὁ ἐξούριος πλοῦς, ἤγουν ὁ ἐκ πνοῆς εὐδιεινῆς, ὃ καὶ πλευσίμως λέγεται ἐξ οὐρίου, ἤγουν ἐξ εὐθετῶν πνευμάτων. ἐκ δὲ τοῦ καὶ οὐρίσαι, τὸ ἀποκαταστῆναι εἰς οἶκον, ὥς φασιν οἱ παλαιοί. καὶ καθουρίζειν ῥῆμα τραγικόν. ὁ μὲν δὲ οὐρὸς ἄλλο δηλοῖ ὀξυτόνως. Ἴκμενος, οἱ φιλοῦνται, ἀπὸ τῆς ἰκμάδος, οἱ δὲ λαμβάνονται παρὰ τὸ ἱκέσθαι, ὡς οἱονεὶ ἱκόμενός τις ὤν, ἤγουν ἐπιτήδειος εἰς τὸ ἱκέσθαι. ὅθεν ... εἰπεῖν, ὁ τοιοῦτος ἄνεμος πλωσιμώτατος, οὐ πρὸς ἀμυδρότατα εἰρηκέναι καὶ ἄριστον πλοΐμωτατον, ὥσπερ καὶ πάλιν πρὸς τοῦτο εἴρηται ὁ φυσικώτατος. Ἴκμα, φυτόν τι γινόμενον παρὰ τὸν Ὀρχομενόν. Ἰκμάνοιο, ἱκνοῖο, ἱκνοῖο. Ἰκνὰ, τροφεία, διακόνια. Ἰκνῖος, τροφεὺς, ῥόδιος. Ἱκνεῖσθαι, ἱκνουμένους. Ἱκνεῖται, ἔρχεται, καθήκεται, πρέπει, δεῖται, ἱκετεύει. Ἱκνοῦμαι, σημαίνει τὸ παρακαλῶ. ἱκετεύω, καὶ ἱκνοῦμαι χωρὶς τῆς προθέσεως, τὸ παρακαλῶ. οἷον ἱκνοῦμαί σε δεῖξαι, ἢ σύ. μετὰ δὲ τῆς προθέσεως, οἷον ἀφικνοῦμαι, ἀφικνούμενος, ἀφίξομαι, ἐὰν ἀφίκωμαι, ἀντὶ τοῦ παραγίνομαι ἢ παραγινόμενος, ἐλεύσομαι, ἐὰν ἔλθω. ὡσαύτως καὶ τὸ ἱκνοῦμαι, καθικνοῦμαι σοῦ τῶν γονάτων. Ἱκνουμένως, προσηκόντως. Ἵκνον, ἴκνιον, σημεῖον. Ἵκοιτο, φθάσοι, παραγένοιτο. Ἱκόμενον, παραγινόμενον.

Ἱκόμην παρὰ ποιηταῖς, ἀφικόμην παρὰ τοῖς λογογράφοις.

Ἰκόνιον, ὄνομα πόλεως Λυκαονίας. Ἵκοντο, ὑπεχώρουν, παραχωροῦντο. Ἵκοιτο, παραγίνοιτο. Ἰκέσιν, ἱκεσίαν. Ἴκτ, ἰκεί. Ἴκρια, προσηλωμένους τινὰς, ὡς δέρματα καὶ κατακρώματα. οἱ δὲ τὰ κατὰ πρῶραν καὶ πρύμναν σανιδώματα, ὅπερ καὶ κάστρον, ἤγουν τὰς κατὰ πρῶραν σανίδας. ἄλλοι δὲ ἴκρια φασὶ, τὰ ἐξέχοντα τῶν νεῶν ξύλα. ὅτι δὲ ἴκριον λέγεται καὶ ἐπὶ ἱστοῦ, ἐν Ὀδυσσείᾳ κεῖται. ἔνθα καὶ ἐπίκριον τὸ κέρας τοῦ ἱστοῦ, ὃ καὶ ὕστερον κεραιάτιον λέγεται, ἀπὸ ἐκείνου μὲν ἀπὸ τοῦ ἐν ὑψηλῷ εἶναι. τὰ δὲ σανιδώματα τὰ ἴκρια, παρὰ τὸ ἱκνῶ, καθ' ὃ ἱκνοῦνται οἱ ἐν ταῖς ναυσί. Ἰκρίον, τὸ ὀρθὸν ξύλον, ἢ ὁ σταυρὸς, ἢ ὁ φοῦρκα, ἢ σανιδώματα τῆς νεὼς, καὶ τὰ τῶν θεάτρων. ἃ ἐξήπτετο ταῖς ἐκκλησίαις. ἐπὶ ξύλων γὰρ ἐκάθηντο, πρὶν γένηται τὸ θέατρον. ξύλα γὰρ ἐδέσμευον, καὶ οὕτως ἐθεώρουν. ταῦτα ἴκρια λέγουσιν. εἴρηται δὲ παρὰ τὸ εἰς ὕψος ἱκεῖν, οἷον ἱκέσθαι ἵνα ὦσι. ἢ διὰ τὸ αὐτῶν ἱκνεῖσθαι καὶ ἀναβαίνειν. Ἰκρίον, οἱ μὲν μέρος τοῦ ἱστοῦ λέγουσι. βέλτιον δὲ νοεῖν ἰκρίον, τὴν καλουμένην κεραίαν.

ἐν τῇ ἀγορᾷ, ἀκροπόρια λέγονται. λέγεται δὲ ἴκρια καὶ τὰ σανιδώματα, οἷς οἱ ναύκληροι χρῶνται. ἐχρῶντο δὲ τοῖς πασσάλοις, ὡς ἐκ σανιδωμάτων. ἢ τοὺς καλουμένους τροχοὺς, οἷς τὰ χοιρία δεσμοῦσι. Ἰκτᾶ, ἴκτα, ὅλον. Ἰκταίνοντο, ἠδάνοντο. Ἴκταρ τοῦ φελλοῦ, ἴκταρ ἐστὶ τὸ σπέρμα. Ἴκταρ, ἐγγύς, ἐκ τοῦ ἴκω. Ἴκταρ, πλησίον, ἐγγύς. Ἰκτία, ἀκόλουθος. Ἰκταρογγὺς, παρὰ τοῖς Ἀττικοῖς. ἐστὶ δὲ τὸ γυναικεῖον αἰδοῖον παρὰ τῷ Ἱπποκράτει. Ἴκτερος, νόσημα. ὃς ἐφίλει τοῖς ὀφθαλμοῖς ... Ἰκτερῶν, ἰκτερικός. ὅτι δὲ ἀντὶ τοῦ ἰκτέρου ἐλάλουν. Ἴκτερος, αἰγίτος, χλωρός, ἰχθῦς. οἱ δὲ, ἰκτίν. Ἰκτίδες, εἶδος ζώου, ὡς οἱ Λάκωνες, ἢ ἴκτιδος. ἔστι δὲ ἰχθυοφάγον. Ἰκτιδέα, τὸ ὑπὸ αἰδοῖον δέρμα. Ἴκτινος, οὗ φανέντος καλῶς γίνεται, ὥς φασιν ὡσαύτως καὶ πορευθῆναι, εἰς τὸν ἀντιφαίνουσιν ἐξελθεῖν, καὶ ἀνακάμπτεσθαι, κἀντεῦθεν τοὺς ἰκτινίδας ὑγιαίνειν. Ἰκτινώθημεν, ἰκετεύθημεν. Ἰκτίνος φωνῆς αἰχμαλώτους. Ἰκτίνα σημαίνει τὴν λεγομένην λούκαν, παρὰ τὸ ἱκνοῦμαι. Πλάτων δὲ στρατηγὸν ἴκτινος λέγει, ὡς παρὰ Ἀριστοφάνει ἴκτινα παντόφθαλμον ὄρνιθα τρέφων. Ἴκτινος, εἶδος ὄρνιθος ἁρπακτικοῦ, ἐν ἔαρι φαινόμενον. Ἴκτις, ὥς φασιν οἱ ὑπομνηματισταί, ἐστὶ ζῷον ὅμοιον κυνιδίῳ μάλιστα, ὀρνιθοφάγον, τῆς γαλῆς ἐλαττόνον, ὅσον τὸ αἰδοῖον ὀστοῦν, καὶ ἰᾶται στραγγουριῶντας. τὸν δὲ Ὅμηρον ἀφελεῖν φασὶ τὴν ἴκτιν, ἔνθα εἶπεν ἰκτιδέην κυνέην. ἐστὶ δὲ ἐν τῇ ἰκτιδέῃ, ἀμφίβολον ἐστὶν, εἴτε μετὰ συναλοιφῆς τῆς προθέσεως φατέον ἰκτιδέην τετραφάλαρον, εἴτε χωρὶς ἰκτιδέην ἀσυναλείφως, καὶ πανοῦργον τὴν ἴκτιν τὸ ζῷον ἱστοροῦσι, καὶ μεῖζον μὲν γαλῆς καὶ λευκότερον, ἄλλο δὲ παραπλήσιον. οἱ δὲ, ἀγρίαν λέγουσιν εἶναι γαλῆν. καὶ ἄλλοι ἄλλως λέγουσι, καὶ πλείω. Ἴκω, ἔλθω. Ἴκω, καταλαμβάνω. Ἴκω, τὸ ἔρχομαι παρὰ τοῖς παλαιοῖς, καὶ τοῖς μὲν ἄλλοις ... ποιηταῖς. καὶ ἵκω, ἥκω. καὶ ἥκω ... παρὰ δὲ τοῖς Ἀττικοῖς, ἥκω τὸ ἔρχομαι, ἀλλ' οὐ τό.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Λ.

Ἰλάγματα, ἱμάτια. Ἰλαγογικῶς, ταλαιπώρως, μετὰ τάξεως. Ἰλαδαὶ, οἱ δεσμοί. Ἰλαδὸν, ἤγουν κατὰ ἴλας, ὅ ἐστι φαλαγγηδόν. συστροφὰς γὰρ πλείους δηλοῖ, ἐν τῷ βοτρυδὸν καὶ τῷ ἰλαδὸν. καὶ ποιητὸς ἄμφω εἰπεῖν ἐπιρρήματα. τάχα δὲ καὶ τὸ ὅλως, καὶ ἀθροισμένως. δηλοῖ δὲ καὶ τὸ ὅλον.

Ἰλαδὸν, ἐν ἀθρόοις κατὰ τάξιν, σημαίνει καὶ τὸ λαοῦ, παρὰ τὸ ἴλη, ὃ σημαίνει τὴν ἄθροισιν, γίνεται ἰλαδὸν, ἤτοι ὁμοῦ. Ἰλαδὸν, ἀθρόως κατ' ἀξίαν, κατὰ σύνταγμα ἰσοριθμούμενον. Ἰλάειρα, συλλύουσα. Ἰλαθι, ἵλεως γενοῦ. ἰλαθὸς, παραχρῆμα τρέφει. Ἰλαίνετο, ἐξωμοιώθη, ἐξιλάσκετο λιταῖς.

Ἵλαον, ἵλεων, εὐμενῆ. Ἰλάονται, ἱλάσκονται. Ἴλαος, ἱλαρός. Ἴλαος καρπὸς, ἵλεως ἀπείρως, ὁ εὐμενής. Ἱλαπινάζω, εὐωχοῦμαι. Ἱλαπίνας, θυσίας, ἑορτὰς, εὐωχίας.

Ἴλαρ, ἀσφάλεια, κώλυμα, φυλακή. Ἱλαρὸς, εὔχαρις, ἀστεῖος, ἡδύς. Ἱλαρότερος, εὐπροσωπότερος. Ἴλας, ἀγέλας, ἢ τάξεις. καὶ ἰλάρχας, ταξιάρχας. ἴλη γὰρ ἡ συστροφὴ καὶ τάξις ὄχλου ἱππικοῦ. Ἰλάς, τὸ χωρίον. καὶ ἰλάσι, τοῖς δεσμοῖς. Ἱλασάμενος, ἐξιλασάμενος, παρὰ τὸ παθητικὸν τὸ ἱλῶ ἱλᾷς ἱλᾷ, μέλλων ἱλάσω, ἀόριστος ἵλασα. καὶ ἱλασάμην, ἱλασάμενος, πλεονασμῷ τοῦ σ ἱλασάμενος. Ἰλάσθητι, ἐκ τοῦ ἱλῶ ἱλῶμαι, ἐξ οὗ τὸ ἱλάσθητι, ἵλεώς μοι γίνου. Ἱλάσκεσθαι, ἐξιλεοῦσθαι, ἐκ τοῦ ἱλῶ ἱλάσω, ἱλάσκω ἱλάσκομαι. Ἱλάσκονται, κατὰ τὸν αὐτὸν ἱλάσκονται τρόπον. ἢ ἐν κύκλῳ πλανῶνται. Ἱλαστήριον, τὸ ἐξιλαστήριον. Ἱλασμὸς, ὁ λύτρον, πραότης, συγχώρησις, εἶτα διαλλαγή. Ἱλάσσεται, ἐξιλεοῦται.

Ἱλαστήριον

ἀντὶ τοῦ ἱκετηρίοις. καὶ ἱκετεία, καὶ ἱκεσία, ἡ παράκλησις. καὶ ἵκριον, τὸ ὀρθὸν ξύλον. καὶ ἵκαρος, κύριον. καὶ ἱκάνιον, πόλις. καὶ ἵκω, τὸ ἔρχομαι παρὰ τοῖς παλαιοῖς, καὶ τοῖς μὴ διαλέκτῳ χρωμένοις ποιηταῖς. καὶ ἵκομαι, ἐπὶ παθητικοῦ. παρὰ δὲ τοῖς ἀττικοῖς, ἥκω μὲν τὸ ἔρχομαι, διὰ τοῦ η, ὃ δὴ καὶ ἐπιπαράκειται. ἀφικνοῦμαι δὲ, ἐπὶ παθητικοῦ, ὅ ἐστι μετὰ τῆς προθέσεως ἀπὶ, καὶ διὰ τοῦ ι. καὶ ἴκλος, ὄνομα κύριον. καὶ ἴκος, ὄνομα νῆσου. καὶ ἴσιον, τὸ ἐν τῷ [illegible] πῦρον. καὶ ἴταλος, κύριον. καὶ ἰφ ινὸς, ἡ δύναμις. καὶ ἴνω, κύριον. καὶ ἴξαλος παρὰ ποιηταῖς, ὁ τέλειος. καὶ ἴξις, ἡ ὀσφύς. καὶ ἰξιῶδες, εἶδος σκώληκος. καὶ ἰξίον ἰξίονος, κύριον. καὶ ἰξὸς, δι' οὗ τὰ στρουθία ἀγρεύουσιν. ἀφ' οὗ ἰξευτὴς, ὥσπερ ὑφαντὴς. καὶ ἰξευτικὰ. καὶ ἰπνὸς, τὸ μαγειρεῖον, ἢ κάμινος. καὶ ἶρος, ὄνομα κύριον, ἐν Ὁμήρῳ κεῖται, καὶ ἀπὸ τοῦ εἴρω ὃ λέγω παράγεται. καὶ ἶρις, ἡ ἐν οὐρανῷ τόξον. καὶ ἴχω, ἀντὶ τοῦ ἴχω. καὶ ἰσχαλέα καὶ ἰσχάλια, τὰ ξηρὰ σῦκα. καὶ ἰσχία, αἱ μετὰ τὴν ὀσφὺν ἑκατέρωθεν ὀστώδεις προβολαί. καὶ ἰσχναίνω, ἀντὶ τοῦ κατασκελετός εἰμι, ἤγουν ξηρός. καὶ ἰσχὺς, ἡ δύναμις. καὶ ἰσχύω, τὸ δύναμαι. καὶ ἴσον καὶ ἴσος, κύριον. καὶ ἰσόω ἰσῶ, τὸ ἴσον ποιῶ. καὶ ἰσοῦμαι, ἀντὶ τοῦ ἴσος γίνομαι. καὶ ἴτυς, ἡ περιφέρεια τοῦ ἅρματος, καὶ ὄνομα κύριον. καὶ ἴτυλος, κύριον. καὶ ἰταμὸς, ὁ ἀναίσχυντος καὶ ἄγριος. καὶ ἰταμότης, ἡ ἀγριότης. καὶ ἶφι ἀνάσσειν, ἀντὶ τοῦ βίᾳ, καὶ ἐν ἰσχύϊ. καὶ ἴφθιμος, ὁ ἀνδρεῖος. καὶ ἰχὼρ ἰχῶρος, τὸ σαρκὸς ὑγρόν. καὶ ἰψ ἰπὸς, εἶδος σκώληκος.

Ἴθυντηρ, κυβερνήτης, χαλινός, πηδάλιον, ὁδηγός, ὁρμαστής. καὶ τὸ εὐθὺ ποιοῦν, κανονίζον, καὶ ἰσότητα παρέχον. Ἰθυντήριος, ἐπ' εὐθείας ἐγένοντο. Ἰθυπτίωνα, ὃ φέρουσιν οἱ μάντεις σκῆπτρον ἀπὸ δάφνης. Ἰθύντατα, ὀρθότατα, δικαιότατα. Ἰθύντατα παρ' Ὁμήρῳ, ὡς ἐκ τοῦ ἰθὺς ἔχει τὸ ἀμετάβολον. ἄλλως γὰρ ἐκ τοῦ ἰθὺς ἰθύτατα ὤφειλεν εἶναι, καθ' ὁμοιότητα τοῦ εὐθὺς εὐθύτατος, καὶ τῶν ὁμοίων. Ἰθὺν, Ὅμηρος ἐν τῇ ὀδυσσείᾳ, γυναικῶν γνώμην ἰθὺν, ἤγουν τὴν κατὰ ψυχὴν διάνοιαν ὁρμήν. Ἰθύσειεν, ἐπ' εὐθεῖαν ὁρμήσειεν. Ἰθυφάλλους, τὴν ἐπ' εὐθείας τεταμένην κατ' αἰδοῖον. καὶ ὀρθόβουλον, κατ' εὐθὺ φρονοῦντα. Ἰθὺς, τὸ σκληρὸν τοῦ ἄξονος [illegible] τριβόμενον. Ἰθὺς φέρε χάλκεον ἔγχος, ἀντὶ τοῦ ἰθυτενὲς, μετὰ χαλκοῦ, ἤτοι μετὰ ὅπλου ἦλθε, καὶ οἷον ἀντίκρυς τοῦ πολεμίου ἐπῆλθε. Ἰθὺς φρονεῖν. παρ' Ὁμήρῳ κεῖται τὸ ἰθὺς εἰπεῖν ἀντὶ φρονεῖν, καὶ προθυμεῖσθαι εἰς ἀνδρείαν μάχην. ὁ γὰρ μὴ φρονῶν ἰθὺς, ὃ ἔστιν ἀνδρεῖος καὶ πρὸς ἰθὺ, ἱκανὸς ἐν πλαγίᾳ, ἐκκλίνων τρέπεται. Ἰθὺς τετράφθαι, ἰθὺ δεῖ τοῦ, ἰθὺς μάχεσθαι, καὶ ἀρμόσασθαι, καὶ τὸ ἰθὺς βῆναι. καὶ ταῦτα παρὰ τῷ ποιητῇ, ἰθὺν. Ὅμηρος πρὸς ξεῖνον εἰπεῖν ἀπ' ἰθὺν, ἤγουν κατὰ ψυχὴν ἐνωπῶν ἐπ' εὐθείας. Ἴθυσαν, ἐπ' εὐθείας ὥρμησαν.

Ἰθυντὴρ, εὐθυντής. Ἰθυτενὲς, εἰς εὐθεῖαν τεταμένον.

Ἰθύφαλλοι, οἱ ἱερεῖς Διονύσου, καὶ ἀκολουθοῦντες τῷ φαλλῷ γυναικείαν στολὴν ἔχοντες. λέγεται δὲ φαλλὸς, τὸ ἐντεταμένον αἰδοῖον. καὶ ᾄσματα δὲ καλεῖται, ἃ ἐπὶ τῷ ἱσταμένῳ φαλλῷ ᾄδουσι μετ' ὀρχήσεως. ἰθύφαλλοι, οἱ εἰς τοὺς μηροὺς μόνον, ἀλλὰ καὶ ἐν τοῖς τραχήλοις ἐπ' εὐθείας δεσμούμενοι ἐξ ἐρυθρῶν δερμάτων, εἴρηται ἐκ τοῦ περιφαλλοῦ. Ἰθύω, ἐπιβάλλομαι. Ἰθώμη, Ἰταλικά. καλεῖται καὶ θαῦμα, κατὰ τὴν ἀναγραφὴν τῶν ἐθνικῶν, ἀποβολῇ φασι τοῦ ι καὶ τροπῇ τοῦ ω εἰς τὴν ε δίφθογγον. ἔστι δὲ καὶ Μακεδονικὴ Ἰθώμη, ἐθνικὸν Ἰθωμαῖος καὶ Ἰθωμάτης. τὸ δὲ τεχνογράφοι ἐκφέρεται, διὰ τὴν Ἰθώμην ὁμωνύμως τῇ Μακεδονικῇ λεγομένην, οἱ φασὶ δεῖν οὕτως ἐκφέρειν, ὑπὸ τῶν πρώτων συλλαβῶν ὑφαιρεῖν. νῦν δέ φασιν ἐκμεταπλασθῆναι. Ἰθὺρ, πυγαλαγαρός, καὶ τροφεύς. ἄλλοι δὲ ἀλλάττει. καὶ πόλις Θεσσαλίας.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Κ.

Ἰκα ἰ τὸ βραχὺ ἀεὶ τὸ μακρὸν περιτὴ, οἷον τῷ ὄφει καὶ ἔφι. Ἰκάζει, κοχέει, ἀναλαμβάνει. Ἵκανε, παρεγίνετο, κατελάμβανεν, ἤρχετο, ἀφίκετο. Ἱκάνει, λάβῃ, παραγίνεται. Ἱκανῶν, ἀρκούντων, πολλῶν. Ἱκάνομαι, ἱκετεύω, ἀφικνοῦμαι. Ἱκανὸν, διαρκὲς, δόκιμον. Ἱκανοῖς λέγει Ἀριστοφάνης, ἀντὶ τοῦ ἀρκούντως. ὁ γὰρ ἱκανὸν, ὅ ἐστι παραγινόμενος, ἤρκεσε πρὸς τὴν ὁδόν. Ἱκανότης, ἰσχὺς, δύναμις. Ἱκανοῦν, ἢ ἱκανοῦν, ἐπιθυμῶν. Ἱκάνω ποιητικῶς, τὸ καταλαμβάνω. γίνεται ἀπὸ τοῦ ἵκω. καὶ ἱκανὸς, ἀντὶ τοῦ ἀρκετός.

Ἱκάνω, ἀεὶ παρὰ τῷ ποιητῇ ἐκτείνει τὴν παραλήγουσαν. τὸ δὲ ἱκανότατος ἀπὸ τοῦ ἱκάνω γινόμενον, ἀμφιβάλλει ἔχειν, εἴτε διὰ τοῦ α μεγάλου γραφόμενον, ὅπερ καὶ μάλιστα τοῖς πλείοσιν ἔδοξεν, εἴτε διὰ τοῦ ο μικροῦ. Ἱκάνω, σημαίνει τὸ ἱκετεύω. ἡμεῖς ἱκανόμεν τὰ σὰ γούνατα. σημαίνει καὶ τὸ παραγίνομαι, καὶ τὸ καταλαμβάνω ποιητικῶς. Ἱκανώτερα, ἀπειρότερος ἱκανῶς λέγεται. Ἱκανῶς, ἀρκούντως. Ἵκαρος καὶ Ἰκάριος, κύριον, παρὰ τὸ ἱκάζω πρὸς ἐμαίρω. Ἱκαριεὺς, δῆμος φυλῆς τῆς αἰγηΐδος. Ἵκαρ, πάνυ, ἐγγύς. καὶ παρ' ὀλίγον τοῦ ἐφικνεῖσθαι. ἰκάριος πόντος, μέρος τι τοῦ αἰγαίου, τούτῳ καὶ τούτῳ μάλιστα κυμαινόμενος, ἔνθα ὡς ὁ περιηγητὴς ἱστορεῖ, μεγάλα ἐγείρονται κύματα. Ἰκάριος δὲ ἡ ἀπὸ τοῦ ἰκάρου τοῦ θρυλλουμένου υἱοῦ Δαιδάλου, ὃς αὐτόθι καταπεσὼν ἀπεπνίγη, καὶ ἀφῆκε τῷ πόντῳ τὴν ἐξ αὐτοῦ κλῆσιν. ἡ ἀπό τινος νήσου Ἰκαρίας αὐτόθι οὔσης, ἐνταῦθα ἀρίστην τοιοῦτον εἰπεῖν. δὲ κατὰ τὸν γεωγράφον παράκειται τῇ Σάμῳ νῆσος Ἰκαρία, ἀφ' ἧς τὸ Ἰκάριον πέλαγος, αὐτὴ δὲ ἐπώνυμος Ἰκάρου παιδὸς Δαιδάλου, ὃς αὐτόθι κατηνέχθη. Ἰκαθεὶς ἢ εἰκαθεὶς, ὁμοιωθείς. Ἵκελε ἢ εἴκελε, εἰκόνα. Ἵκατο, ἐλάβετο.

Ἵκεν, ἐληλυθέναι. Ἴκελος, ὁ ὅμοιος, τὸ ἁπλοῦν τοῦ ι. εἴκελος δὲ καὶ ἐπιείκελος τὰ σύνθετα, διφθόγγου. Ἷκεν οὐρανὸν, ἀντὶ τοῦ κατελάμβανεν, ἀεὶ διὰ τοῦ ι παρὰ τῷ ποιητῇ γραφόμενον, ἀπὸ τοῦ ἵκω, ἐξ οὗ καὶ τὸ ἱκάνω, καὶ ἱκνῶ. δῆλον δὲ, ὡς πρὸ τοῦ ἐν τῷ ι γραφόμενον ἵκω, τοῦ παρὰ τοῖς ἄλλοις διὰ τοῦ η. ἐφ' οἷς γίνεται σύμβασις τοῖς κριτικοῖς, ἵνα μὴ ἀμφιμάχωνται γράφεσθαι τοῦ ἵκω τὰ μὲν ἐνεργητικὰ διὰ τοῦ η, τὰ δὲ παθητικὰ διὰ τοῦ ι. καὶ οὕτω φυλάσσονται παρὰ τοῖς μεθ' Ὅμηρον ἄμφω αἱ γραφαί. δύναται δὲ καὶ ἄλλως τὸ οὐρανὸν ἵκει νοεῖσθαι, κατὰ προθέσεως ἔλλειψιν, ἀντὶ τοῦ εἰς οὐρανὸν εἶρχεν. [illegible] περὶ κατεστρόφον συντάξεως. [illegible] περὶ [illegible]. καὶ ἡ ἀπλεονασμὸς ἔστιν. ἢ κατὰ ἀναστροφὴν κεῖται ἡ πρόθεσις, ἵνα ᾖ περικλειομένη τῷ κακοῦ. Ἰκινὰς, ὀρχηστής. Ἰκιοβολίας, ματαιολογίας. Ἱκέσθαι, παραγενέσθαι, ἱκετεῦσαι. Ἱκέσθαι καὶ ἀφικέσθαι διαφέρει. ἱκέσθαι μὲν γάρ ἐστι, τὸ ἐλθεῖν. ἀφικέσθαι δὲ, τὸ ἐπανελθεῖν. Ἱκέσθην, παρεγένοντο. Ἱκεσίας, προσβαίνας. ἱκετηρίας, παρακλήσεις. Ἱκεσία, καὶ τοῦτο ἀδόκιμον. ἱκετεία δὲ, φρύνιχος. Ἱκεσία, ἡ ἱκέτευσις.

Ἱκέσιος, ἱκετικὸς. καὶ ἀντὶ τοῦ ἱκετήσιος. Ἱκέται, παρακλήτορες. Ἱκετάονα ὄζον ἄρεος λέγει Ὅμηρος, ὃς καὶ τὸν πρίαμον σύμμαχον, καὶ τὸν ἀγορὰν ἐπιτάξιον. οὐχ ὡς νῦν, ἀλλ' ὡς πάλαι τοὺς ἱκέτας τιθέντων. Ἱκετεία, ἣν ποιεῖται τις διὰ λόγων. Ἱκέτευσεν, μετωκίσθη, ἱκέτης ἐγένετο. Ἱκετεύω, τὸ παρακαλῶ, ὅθεν ἱκετεύω καὶ πρὸς ὀλίγον ἀφικνοῦμαι. ὅθεν ἱκέτης ὁ παρακλήτωρ, καὶ ἱκετεία. Ἱκετηρία, ὁ θαλλὸς τῆς ἐλαίας. Ἱκετηρία, παράκλησις, ἣν οἱ δεόμενοι κατατιθέασιν, ἢ μετὰ χεῖρας ἔχουσιν. Ἱκετηρία ἐστὶ, κλάδος ἐλαίας ἐρίῳ περιπεπλεγμένος. οἱ γὰρ ἱκετεύοντες, ἐλαίας κατεῖχον κλάδον. Ἱκέτης, ὁ λιτανεύων παρακαλῶν, καὶ δεόμενος περὶ τινος ἐντυγχάνων.

Ἱκέτοις, πρέσβυς. Ἱκέτης, μέση λέξις. λέγεται γὰρ καὶ

χλανισκίδιον ἐπέῤῥαψα. Ἀριστοφάνης ἐν αὐτῷ καλούμενοι. Ἰήϊε, οἷον ἐγκωμιαστικὸν ἐπίθετόν ἐστι κεκληγυῖα. ἰήϊον οὖν τὸ κακὸν ἐφύμνιον ἔπλετο φοίβῳ ἰήϊε, ὅτι φασὶν ἐπέξηνεν τὸν δράκοντα, ἀναφωνοῦν ἵει ἵει βέλος. ἀφ᾽ οὗ τὸ ἐφύμνιον τοῦτο ἐγένετο ἰὲ παιὰν. ἢ διὰ χοροῦ ἀγόμενον. ἰήϊος δὲ καὶ ὁ ἀπόλλων λέγεται, ὡς μὲν Δοῦρις, διὰ τὸ ἀγκάλαις βαστάζοντα τὴν λητὼ ἐπικαλέσασθαι ἰητοῦ, ἰὲ παιὰν. ἔστιν οὖν τὸ ἰήϊος ἐπίθετον ἀπόλλωνος, ὁ ῥήτωρ, ἀπὸ τοῦ ἵεμαι, παρὰ τὴν ἕσιν τῶν βελῶν, ἤτοι τὴν ἄφεσιν. τινὲς δὲ ψιλοῦσιν, ἀπὸ τοῦ ἰάσεως αἴτιος ὁ θεός. τὸ δὲ ἰὴ φοῖβε, κατὰ ἀποβολὴν τοῦ τ γέγονεν. ἐκεῖνος γὰρ ἐστὶ τῷ ἡλίῳ, διὰ πανταχοῦ ἰέναι τὰς ἀκτῖνας, ὥς φασιν ἰὴ φοῖβε. Ἀρίσταρχος δασύνει, ἐπεὶ παρὰ τὸ ἵημι ἐγένετο. ἀπὸ γὰρ τῆς ἕσεως τῶν βελῶν ἐκλήθη οὕτως. οἱ δὲ ψιλοῦσιν, ἀπὸ τῆς ἰάσεως. ἄμεινον δὲ ψιλοῦσθαι. τὸ γὰρ ι πρὸ φωνήεντος ψιλοῦται. ἰήϊος λέγεται ὁ τοξότης, παρὰ τὴν ἄφεσιν τῶν βελῶν. Ἰήϊος, ὁ ῥήτωρ, ὁ ἀπόλλων. ὡς ἰὴ φοῖβε. Ἰηίων, τῶν μετ᾽ οἰχῆς γινομένων, ἢ τῶν λοιμικῶν. Ἴηλα, ἀλεγεινά. Ἴηλα, ἰάσιμα. καὶ ἰῆλαι, ἐπιλαμψαι, ἢ καταπαλαῖσαι. Ἰηλεμίσαι, θρηνῆσαι. καὶ ἰηλεμίσθαι, τεθρηνῆσθαι. Ἰηλινός, προγονικῶν, μέλαν. Ἰήλεμον, ἀντὶ τοῦ θρῆνος, εἴρηται ἀπὸ ἰηλέμου τῆς μούσης παιδός. Ἰήλλω, ἐπιβάλλω. Ἵημι, τὸ ἀπέστειλα. Ἵει, ἐπέβαλεν, ἐξέβαλεν, ἔπεμψεν, ἔγραψεν, ἐπέμψεν. Ἱέμενος ἐστὶ ψιλούμενον, σημαίνει τὸ προθυμοῦμαι. Ἵημι δασυνόμενον, σημαίνει τὸ πέμπω. καὶ ἀφίημι τὸ πέμπω, καὶ μετὰ τῶν ἄλλων προθέσεων. ἀφίεμαι δὲ παθητικῶς, καὶ μεθίεμαι, τὸ ἀπολύομαι, ἢ ἐφίεμαι, τὸ ἐπιθυμῶ, γενικῇ. Ἵημι, τὸ πέμπω, τοῦ δὲ τρίτου τῶν πληθυντικῶν ἱᾶσι, καὶ ἰᾶσι καὶ συνιᾶσι, προϊᾶσι, καθιᾶσι, μεθιᾶσι, παριᾶσι, ἐφιᾶσι, ἀφιᾶσι, καὶ ὑφιᾶσι. Ἰῆναι, διαχέαι, εὐφρᾶναι. Ἴκους, καμάθους, ἢ κατὰ τὸν τόκον, ἐν ᾧ ἴκουσι φωνὰς διὰ τοὺς πόνους καὶ τὰς ὠδῖνας αἱ τίκτουσαι. τινὲς δὲ τοὺς θρηνητικοὺς τινὰς ἀπὸ τοῦ ἰηλέμου. Σοφοκλῆς οἰδίποδι τυράννῳ. Ἰὴ παιὰν, ὁ ἀπόλλων λέγεται, ἤτοι διὰ τὸ πέμπειν τὰ βέλη, ἢ διὰ ἰάσεως ὁ θεὸς αἴτιος. Ἴεσαι πρὸς δόμον ὑψηλόν, ἀντὶ τοῦ πορεύεται. ἀπὸ τοῦ ἴω τὸ πορεύομαι, καὶ ψιλοῦται. Ἵεσι δασυνόμενον, σημαίνει τὸ πέμπει. οἷον, ὅς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησι. καὶ Ἀριστοφάνης, τοῦτον γὰρ κρατεῖν δεῖ φανερῶς ὁ ζεὺς ἵησι. καὶ Ὅμηρος, κεῖνον μὲν ἐάσομεν ἠέρι ἑσσάμενον, ἀπόλλων ἢ παραγίνεται. Ἵησιν, ἀφίησιν χεῖρον τὰ βέλη. Ἵησιν, ἀπέλθῃ. Ἰθύς, τὸ τοῦ χιτῶνος ὄνομα, παρὰ τὸ ἰέναι εἰς τὸ σῶμα. Ἰατήρ, ἐκ τοῦ ἰῶ ἰῶμαι ἰατήρ, ὁ ἰώμενος.

Ἰητῆρα. οἱ μεθ᾽ Ὅμηρον ἰατρόν λέγουσι. καὶ ἔτι οὐ μόνον κατὰ γένος ἀρσενικὸν ἰατρός, ἀλλὰ καὶ θηλυκῶς. φασὶ γοῦν Αἰλιος Διονύσιος ἰατρὸν γυναῖκα. Ἄλεξις ἰάτρειαν. ἡ δὲ ἰατρίνη, οὐχ ἑλληνικὸν φασὶν εἶναι. παρὰ δὲ τοῖς τεχνικοῖς κεῖται. καὶ ἔτι ὁ μὲν Φρύνιχος οὐχ ἑλληνικὴν λέξιν τὴν ἰατρίνην εἶναί φησιν. Ἀλέξανδρος δὲ ὁ κωμικὸς πρὸς ἀκρίβειαν λαλῶν, μὴ ἐπιτείνων ὡς ἀλλ᾽ αὐτὴν λέγει. Ἰατορίη, ἰατρική. Ἰήτης, τοξότης, ἑκηβόλος. Ἰατρὸς ἰκανὸς, παρ᾽ Ὁμήρῳ ἐν ὀδυσσείᾳ εὑρίσκομεν τῶν αἰγυπτίων, ὡς τοιοῦτον ὄντων. ἰατρὸς ἐκ τοῦ ἰασάμενος ἰατικοῦ γίνεται, οὕτω καὶ ἐκ τοῦ ἀκεῖσθαι ἰάσασθαι ἰατρός. Ἰκὼν, πόλις.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Θ.

Ἴθα, ἡ θάλασσα τῶν ὑδάτων φύσις, καὶ ὀρθὰ, μακρὰ, κενὰ, δικαία. Ἰθαγενής, παρὰ ἰωσι οἱ γνήσιοι παῖδες, ἰθαγενεῖς, ἤγουν ἐγχώριοι. Ἰθαγενέσι, γνησίοις τέκνοις, καὶ καθαροῖς. Ἰθαίνειν, εὐφραίνειν, θερμαίνειν. Ἰθάκη ἐκλήθη ἀπὸ ἰθάκου ἥρωος. οὗ καὶ Ὅμηρος μέμνηται. ἔστι δὲ καὶ συρίας πόλις ἰθάκη, τὸ ἰθακήσιον μετὰ τοῦ ἰθακήσιος, ἀλλὰ καὶ ἰθακος, ὡς φα-

σὶν ἐμοὶ φίλου τῷ οἴκῳ ἦν ὁ κύνος. Ἰθακὸς καὶ τὸ προσθεν πεποίηται, ἤγουν περιλαόν. Ἰθακη, χωρία. Ἰθαρ, εὐθέως, ταχέως. Ἰθαρῶς, ταχέως, ἱλαρῶς, καλῶς, καθαρῶς, κουφῶς, ἀνυγρῶς, ταχίως. Ἰθάς, ὁ τῶν τιτάνων κῆρυξ προμηθεύς. τινὲς ἰθαξ.

Ἰθεία, εὐθεῖα, ὀρθὴ, δίκαιοι. Ἴθεια, ὁμαλά, δίκαιοι. Ἰθέως, ὀρθῶς. Ἰθι, εὐφρονος. Ἴθι, τὸ μὲν ἐστὶ ῥῆμα, συντασσεται μετὰ μόνου μέλλοντος, οἷον ἴθι νῦν τὸ δὴ εἰ, ἐπί ῥῆμα παρακελευσματικὸν, ὥσπερ τὸ ἄγε, συντάσσεται μετὰ προστακτικοῦ. οἷον, ἴθι φράσον, ἴθι εἰπὲ τόδε. Ἴθι, ἀντὶ τοῦ ἄπιθι, καὶ ἔρχου, ἀντὶ τοῦ ἀπέρχου. καὶ ἐλθὼν ἀντὶ τοῦ ἀπελθών. τὰ δὲ ἁπλᾶ ἀντὶ συνθέτων ῥήματα ἐκλείποντα προθέσεσιν ἀφωμοιωμένα εἶναι. Ἴθι, ὡς ἐπὶ τὸ πλεῖστον μὲν ἐπὶ παρακαλεῖν, ἀντὶ τοῦ ἐλθέ. εὑρίσκεται δὲ καὶ ἐπὶ ὁρισμοῦ, ἀντὶ τοῦ ἔρχου.

Ἴθι, ἀντὶ τοῦ ἐλθέ, πρῶτον, καὶ παραγγέλλον, γίνεται ἀπὸ τοῦ εἶμι. θέσει ὁ παρατατικὸς ᾖν, ἡ μετοχὴ ἰὼν ἰόντος, ὁ προστακτικὸν ἴθι, καὶ τροπῇ τοῦ ε εἰς ι ἴθι. ὁ ἀπὸ τοῦ ἴω ἀόριστος δεύτερος, καὶ τούτου ἴθι. Ἴθι, τὸ ἄγε, καὶ φέρε. τοῖσι μὲν ῥήματα εἰσὶ προστακτικὰ, τοῖσι δὲ ἐπιρρήματα παρακελευσματικά. Ἰθμὸς, ὁ δρόμος, καὶ μηρὸς. Ἰθμαίνων, ἀθμαίνων. Ἴθματα σηλιάσιν ὅμοια. ἔγουν κατὰ κινήματα ποσὶν βαδίζουσιν, ὡς τὰ ἴχνη ἀφανῆ εἶναι. ἐκπορεύσιν οἱ παλαιοὶ, καὶ οἱ κατὰ λόγον τῆς μονάδος διαιρούμενα. τὸ δὲ ἴθμα οἱ οἶμαι φράζεσθαι, ἐκ τοῦ εἶμι γίνεται, πλεονασμῷ τοῦ θ, ὡς ἐν τῷ κωθμὸς, καὶ παρὰ Καλλιμάχῳ Δυρυθμός. τὸ μὲν δὲ διὰ τοῦ ἴσμα, ὁ καὶ διαστημα, ἴθυμα δηλοῖ παρὰ Ἀνακρέοντι, ἀπὸ τοῦ ἴξω γενόμενον. Ἰθματα, κινήματα, διαβήματα, ὁρμάς. Ἰθμῶν, πλησιάζον, παρὰ τὸ ἰθύνειν, ὁ αἰγιαλὸς. Ἴθμα, ἢ τὸ μηλιαίου ἐρείδουσα κρηπῖδος.

Ἴθορος παροιμιώδης, ἐκ τῶν παρακελευσμένων. Ἰθρις, ὁ ἐκτομίας εὐνοῦχος, ἀπὸ τοῦ θρίζω, θρίσω, θρὶς καὶ θρις, καὶ πλεονασμῷ τοῦ ι ἴθρις. Ἰθυγενὲς, εἰς εὐθὺ τετα τεταμένον.

Ἰθυδίκην, ἰθεῖαν ἰθυδίκην φασὶν Ὅμηρος. τὸ δὲ εὐθυδικία δῆλον ὡς ἀντίκειται ἡ ἀδικία, κακοδικία τις οὖσα.

Ἰθὺ καὶ ἰθὺς, σημαίνει τὸ ἐπ᾽ εὐθεῖαν. παρὰ τὸ ἴω γίνεται ἰθὺς, ἰθεῖα. καὶ ἰθεῖα δίκαια, ἐπ᾽ εὐθεῖαν ὀρθῶς. Ἰθὺ κείμενον, τὸ ἰθὺ παραλλὸς, καὶ ὀρθὸν λέγεται. Ἴθυμβος, γελαστικὸς, καὶ τὸ σκῶμμα, ἀπὸ τῶν ἰθύμβων, ἅτινα ποιήματα ἦν ἐπὶ χλεύῃ καὶ γέλωτι συγκείμενα. καὶ ὁ δὲ μακρά, καὶ ποιητικός.

Ἰθὺν, εὐθὺν, φρόνησιν, τρόπον, ὁρμήν, βούλησιν, διάνοιαν.

Ἰθύνειν, ἐμφαντικὸς ἡ λέξις. Ἰθύνειν ἡ ἰθύειν, ὀρεύειν ὁρμᾶν. ἐν ἄλλῳ χρόνῳ ἰθύειν, δίχα τοῦ ν. Ἰθύειν ἵππους εἰς πόλεμον. καὶ ἰθὺς μαιμῶν, ἤγουν ὁρμῶν, ταυτὸν παρὰ τῷ ποιητῇ. Ἰθύνει αἰτιατικῇ, δοτικῇ, κατευθύνει, ὀρθοῖ. Ἰθύειν οὐ μόνον ταθμὸς, ἀλλὰ καὶ πανταχοῦ. δηλοῖ τὸ, παλάμῃσιν ἐπεὶ ἴθυνε. δηλοῖ εἰς ὀρθὸν πλοῦν ἀπευθύνω, ἐν ὀδυσσείᾳ παρ᾽ Ὁμήρῳ. Ἰθύνει, ἀπορθοῖ, ὀρθοῖ, δικαιοῖ. εὐθύνει, κυβερνᾷ. Ἰθυνομένων, καὶ εὐθυπορούμενον, κατασχαζόμενον. Ἰθύνω, τὸ εὐθύνω, ἤγουν κατ᾽ εὐθεῖαν ἄγω. ἰθυντὴρ ποιητικῶς, ὁ κυβερνήτης. ἰθύνει αἰολικὰ καὶ δωρικὰ συνέβαινεν. οἷον ἐλαύνει καὶ μάστιξι τοὺς ἵππους ἰθύνομεν. Ἰθύνω, τὸ εὐθύνω, ἤγουν τὸ κατ᾽ εὐθεῖαν ἄγω. καὶ ἰθ. φυλάσσει τὰ ἐπισταμένα σκεύη αἱ Λοΐα, ἃ οἱ ἀλλοι διὰ τοῦ γράφει σχηματίζειν. καὶ ἰθυντὴρ ποιητικῶς ὁ κυβερνήτης. ἐν ἰθάκῃ ὄνομα τόπος. ἐν ἰθυντὸς ὁ ναύκληρος. ἐν ἴθι ἀντὶ τοῦ ἐλθέ, ἀντὶ τοῦ ἄγε, ἐπιρρηματικῶς. καὶ ἰθαγενὴς, ὁ γνήσιος. καὶ ἰκανῶς ποιητικῶς, τὸ καταλαμβάνω. καὶ ἰκανῶς ἀντὶ τοῦ ἀρκετός. καὶ ἱκανότατος ἐπὶ ὑπερθετικοῦ. καὶ ἱκνοῦμαι ποιητικῶς τὸ παραγίνομαι, μετὰ δὲ τῆς ἀπὸ προθέσεως ἀφικνοῦμαι, τὸ ἔρχομαι, παρὰ τοῖς κοινοῖς. ἱκετεύω, τὸ παρακαλῶ. καὶ ἱκετηρία παρ᾽ ἄλλοις, τὸ μετὰ κλάδου ἐλαίου ἐστεμμένον τίμημα ἱκετικόν. ἀφ᾽ οὗ παρὰ Σοφοκλεῖ τὸ ἱκετηρίοις κλάδοισιν.

ὀλιγίον, ἀντὶ τοῦ ἱερὸν κεῖται παρ' Ἡσιόδῳ, ὡς χάλκειον ὕπνον, ἀντὶ τοῦ χαλκοῦν. Ἱερὸν δίφρον, τὸν ἀχιλλέως ἱερὸν νικητάς, ὅς καὶ αὐτὸν τὸν ἀχιλλέα, ἃ καὶ διὰ τοὺς ἵππους, οἱ θεοῦ ὑπόκειντο εἶναι. Ἱερὸν ἦμαρ, κατὰ Πορφύριον τὸ μέχρι μεσημβρίας, διὰ τὰς τηνικαῦτα θυσίας. δύναται δὲ καὶ ἡ ὅλη τοιαύτη ἡμέρα, καθὰ καὶ Ἡσίοδος, τὰς τοιαύτας λέγει μακάρων εἶναι. εἰ δὲ ἱερὸν κνέφας φησὶν ὁ Ὅμηρος, πολλῷ πλέον θεῖον τὸ ἦμαρ διὰ πολλὰ κεῖται. Ἱερὸν ἦμαρ, λέγει Ὅμηρος τὸ πρὸς μεσημβρίαν, ἐν ᾧ ἔθυον ὡς τὰ πολλά. τὸ καὶ μεσημβρινὸν τοῖς κατοιχομένοις ἐπίσημον εἰς χοάς. οἴδιν δὲ κωλύει τοῦτο καὶ ἦμαρ ἱερὸν. καὶ τὴν ὅλην ἡμέραν, διά τε τὸ ἐστολὰς, καὶ διὰ τὸ κατ' αὐτὴν μάλιστα ἐμφανῶς τὰ ἱερὰ ἐκτελεῖσθαι ἐργάζεσθαι, ὁ δὲ θεοφιλὴς ἐστὶν ἱερὸς εἶναι τὴν ἡμέραν ποιεῖ. εἰ δὲ καὶ καθ' Ἡσίοδον μακάρων εἰσὶ νύκτες ἱεραὶ, εἰ ἂν ἄρα αὗται καὶ αἱ ἡμέραι, δι' ὧν ἱεραὶ καὶ αὗται. Ἱερὸν ἰχθὺν, καταλείκως λέγει, ὧν Ἀπολλόδωρος τὴν ἀνθίαν οἷα σημαντικὸν ὄντα, τὸ ἄθυρον εἶναι τὴν θάλασσαν. ἐπεὶ ὅπου ἀνθίας, ἐκεῖ οὐκ ἔστι θηρίον θαλάσσιον. ᾧ σημείῳ χρώμενοι, καταδύονται ἀδεῶς οἱ σπογγεῖς, καὶ τὸν ἰχθὺν διὰ τοῦτο καλοῦσιν ἱερὸν, ἱστοροῦντες καὶ ἄπεσον εἶναι αὐτὸν ἐν χωρίοις. καὶ εἰς ταυτὸν ἄγουσι τὸν ἀνθίαν καὶ καλλίχθυν καὶ καλλιώνυμον, ὃ καὶ ἔλλοπα, ὅπερ ἀντιλέγεται. ἄλλος δέ τις φησι, πιστὸς ἱεροὺς ἰχθύας τοὺς δελφῖνας λέγει. Θεόκριτος δὲ ἐν βερενίκῃ ἄλλο τι βούλεται, εἰπὼν ἱερὸν ἰχθὺν, ὃν λεῦκον ἢ φαῦκον καλέουσι, ὁ γὰρ ἱερώτατος ἄλλων. ἔτι φασὶ δὲ τὸν χρύσοφρυν, ἱερὸν φασὶν ἰχθὺν, ὡς καὶ Καλλίμαχος ἐν γαλατείᾳ εἰπὼν, χρύσειον ἐν ὀφρύσιν ἱερὸν ἰχθύν. ἄλλοι δὲ τὸν πομπίλον, ὡς Τιμαχίδας φησὶν, πομπίλος ἱεροὶ ἰχθῦς, ὡς οἷα σωτῆρες τὸν πολεμούμενον, [illegible] τὴν καλλιχθύν. ἄλλοι δὲ ἱερὸν φασὶν ἰχθὺν, μέγαν, καὶ ἀσινῆ θεῖα, οὐκ ἄπυρον, οἷς κρατοῦσι κατὰ θάλασσαν ἱερώμενον, ὃ ἐστὶν ἀνακείμενον, ὡς καὶ βοῦν ἱερὸν τὸν ἀπόλλωνος, ἢ μέγαν καὶ ἄπυρον. καὶ ἱερὸν μένος ἀλκινόου, διὰ τὸ φιλόξενον δηλαδὴ καὶ βασιλικὸν καὶ πάντα πρέποντος μέγα. οἱ δὲ [illegible] ἱερὸν συνήθως ἰχθὺν, τὸν εἴμενον κατὰ ῥοῦν. εἰσὶ δὲ, οἱ λιθὸν μεταχειρίζονται. εἰ δὲ τὸ ἱερὸν οὐκ ἀεὶ ἐπ' ἀγαθοῦ καὶ εὐφήμως λαμβάνεται, δηλοῖ καὶ ὁ εἰπὼν, ὥσπερ ὀφίδιον μικρὸν, ὃ καλοῦσί τινες ἱερὸν, ἐπεὶ οἱ πάνυ μεγάλοι ὄφεις φεύγουσι. Ἱερὸν ὄρος, πολλὰ τοῦ Ἀπόλλωνος. ὄρος οὕτω καλούμενον τὸ καθῆκον εἰς τὴν εὔξεινον πόντον, μέμνηται δὲ αὐτοῦ καὶ Κτησίας ἐν τῷ α' περιπλῳ, καὶ Σωσίβιος ἐν τῷ δ' τῶν περὶ τοὺς λεγομένους μακροβίους. ἀκριβέστερον δὲ ὁ Ἀγάθων ἐν τῷ τῶν πέντε περίπλῳ, ὅς περ ἐπίχειρα καλίας εἶναι φησι τοὺς τραπεζοῦντος. ὁ δὲ Εἰρηναῖος μεσημβρινὸν φησὶ παρ' αὐτοῖς ἱστορεῖν ἐν α' περὶ σκυθῶν ἀγοράν. ὁ γὰρ Μνησίμαχος ἐν τῇ εὐρώπῃ μέμνηται κειμένως τῆς σκυθικῆς. ὁ δὲ Ἀπολλώνιος, καὶ οἱ προειρημένοι, περὶ τῆς Ἀσίας διαλέγονται, ἔτι καὶ ἄλλο ἱερὸν ὄρος θρᾴκης. Ἱερὸν στρατὸν λέγει Ὅμηρος ἐν ὀδυσσείᾳ, τὸν ἑλληνικὸν, ὡς ὑπὲρ ἀρετῆς βλυσπιδόντα τὸν λεγόμενον ἱερὸν πόλεμον. Ἱερὸς πόλεμος ἐγένετο ἀθηναίοις πρὸς βοιωτοὺς, βουλομένοις ἀφελέσθαι φωκέων τὸ μαντεῖον. νικήσαντες δὲ, φωκεῦσι πάλιν ἀπέδωκαν. ὁ Φιλόχορος ἐν τῇ δ'. δύο δὲ πόλεμοι γεγόνασι, ὁ τότε, καὶ ὁπότε φωκεῦσιν ἐπέθεντο λακεδαιμόνιοι. ἐν ἑκατέρῳ δὲ τῶν ὑπομνημάτων ταῦτα λέγεται. ἱερὸν πόλεμον λέγει, καθὸ πρὸς θεοὺς ἐστίν. ἅμα δὲ τὸ ἱεροῦ πολέμου μνημονεύει γενομένου ἀθηναίοις πρὸς φωκέας. ὑπὲρ τοῦ ἐν δελφοῖς ἱεροῦ. καλεῖται δὲ ἱερὸς, ὅτι περὶ τοῦ ἐν δελφοῖς ἱεροῦ ἐγένετο. Ἱερὸς ῥοῦς, ὁ τοῦ ἀλφειοῦ, ἢ ὅτι ἔχει τι ἱεροπρεπὲς, καὶ αὐτὸς ἀλφοὺς ἰᾶσθαι. ἢ ἐν τῷ καθόλου, διὰ τὸν τοῦ ὕδατος ἀρετήν. δι' ἣν καὶ ὁ κυριακὸς ἅπασαν τὸ ὕδωρ φησί, δῆλον ὅτι ἵνα τὸ σημεῖον, ἐκεῖ ἐστι πολὺ καὶ τὸ ἱερὸν ἐπίφημ ταῦτα. πίχειν τοῦ ἱερά, δι' ἃ ἱερὰ, καὶ ἱερὸς ἰχθὺς, καὶ ἱερὸν ὁ-δοῖπ. ὁ μόνος ἱερὸς ὄφις πλοῦτον ἔχει φρίκας, ὑπὸ συμπότατος. Ἱερὸς, ὁ εὐσεβής. Ἱερουργικὸς θεῖον, οὐχ ὁ τῇ ἀξίᾳ ἱερωμένος, ἀλλ' ὁ γεγηραιὼς καὶ τῇ σεμνότητι κεκοσμημένος. Ἱεροποιοί, κληρωτοὶ ἄρχοντές εἰσι δέκα τὸν ἀριθμὸν, οἱ τά τε μαντεύματα ἱεροθυτοῦσι, κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι μετὰ τοῦ μάντεως, καὶ θυσίας τὰς νομιζομένας ἐπιτελοῦσι, καὶ τὰς πεντετηρίδας ἁπάσας διοικοῦσι, πλὴν παναθηναίων. ταῦτα δὲ Ἀριστοτέλης ἱστορεῖ ἐν τῇ ἀθηναίων πολιτείᾳ, Δημοσθένης ἐν φιλιππικῶν τετάρτῳ. Ἱεροσολυμῖται, τῶν. Ἱερόσυλος, κλέπτης τῶν ἱερῶν. Ἱερόσυλος καὶ ἱεροσυλία ἐν συνθέσει, ἐκ τοῦ συλῶ τὸ κλέπτω, ἐξ οὗ κλέπτης μὲν θεῖ καὶ φὼρ ἁπλῶς, καὶ λῃστὴς βιαστικῶς, λωποδύτης μὲν δὲ ἐν συνθέσει γράφεται. Ἱεροσχοποί, ἱερεῖς. Ἱερουργῶν, θύων, ἁγιάζων. Ἱερουργοῦντα, προσφέροντα θυσίαν. Ἱερουσαλὴμ σαλὴμ ἐλέγετο πρότερον ἡ πόλις. ἐλθὼν δὲ ὁ χριστὸς εἰς αὐτὴν, ἐκλήθη ἱερουσαλήμ. Ἱεροφάντης, μυσταγωγὸς θείων, λέγεται ὁ τὰ μυστήρια δεικνύων. Ἱεροφώνων, μεγαλοφώνων. τὸ γὰρ μέγα, ἱερὸν ἔλεγον οἱ παλαιοί. Ἱερῷ, θείῳ, ἤγουν μεγάλῳ. ἱερώτατος, θειότατος, ἅγιος. Ἱερώνυμος, παρὰ τῷ Ἀριστοφάνει μελῶν ποιητὴς καὶ τραγῳδοποιός. ἐπώμαλος καὶ ἀνοικονόμητος, διὰ τὸ ἄγαν ἐμπαθεῖς γράφειν ὑποθέσεις, καὶ φοβεροῖς προσωπείοις χρῆσθαι. Ἱερώσατο, καθιέρωσεν ἀνέθηκε. Ἱερῶσθαι, ἱερῶ ἱερώσω σημαίνει τὸ ἱερεὺς γενέσθαι. Ἱερώσυνα, τὰ εἰωθότα δίδοσθαι ἐξαίρετα τοῖς ἱερεῦσιν. Ἱερώματα, θυσίαι θεῖαι, ἐκπομπαί. Ἱερωμένη, ἱερατεύουσα. Ἱεσα, γέγονεν ἐμβολὴ καθ' ὑπόκρισιν. Ἵεσαν, ἐπεμπον. τὸ εἶμι σημαίνει, ὁ παρατατικὸς ἦειν, ὁ τρίτον τῶν πληθυντικῶν ἤεσαν, ἀντὶ τοῦ ἐπορεύθησαν. Ἰεῖσα, βαδίζουσα. Ἱέσθω, πεισθεμεύσθω, ἐπορεύοντο. Ἱερεύω, κατὰ νόμον ὀργιαζέτω, καὶ θυέτω. ὀργιάζουσι δὲ οἱ θεοί. Ἵεσαι, πειθομένη, ὁρμώνται, ὁρμᾷ. Ἵετο, τὸ ἐβάλλετο, παρὰ τὸ ἵημι, τὸ σημαῖνον τὸ προθυμοῦμαι, ἢ τὸ πέμπω. ὁ παθητικὸς ἵεμαι, ὁ παρατατικὸς ἱέμην ἵετο ἤει, ὁ τρίτον τῶν πληθυντικῶν ἤεσαν, ἐπορεύοντο. Ἱέτης, πατέρας, ἱερεῦσιν. ἢ τοὺς ἀρχίους δαίμονας.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Ζ.

Ἰζάνω. τὸ κάθημαι, καὶ κάθημαι ἐπὶ δίφρου, ἀφ' οὗ προσιζάνω τὸ προσκαθῆσθαι. καὶ συνιζάνω, τὸ συγκαθέζομαι, καὶ συνάγεσθαι. ἀφ' οὗ συνίζησις, ὅταν τὰ ἐγκλιμένα συνάγηται ἐν μέτροις ἃ τοιούτοις κεῖν. Ἵζει, καθίζει. ἵζω ποιητικῶς τὸ καθίζω. ἶζα καθίζω, ἷζον καθίζει. Ἵζ' ἐπ' ἀμφοτέρας πόλιας. ἀμφιβολικώτερόν ἐστι παρὰ τῷ ποιητῇ τὸ μοχλάζω, ὃ ἐστι κλάται, ὃ πάχει καὶ ὁ καθίζων. Ἴζελα, ἀγαθὴ τύχη, μακεδόνες. Ἴζελος, ὁ θαλάττιος σκορπίος. Ἵζεν, ἐκάθιζεν. Ἵζευ καὶ ἵζεο, ἀντὶ τοῦ καθίζου, χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ ἵζου, δωρικῶς ἵζευ, καὶ ἵζεο ἰωνικῶς. Ἰζηματίας, ἄνεμος, καὶ ὁ κεραυνὸς, ὁ εἶδος σεισμοῦ. Ἵζησαν, καθίσαν. Ἰζίνας, οἰκοῖ, ὄρνιθες, περδίκες, λίβυες, τρίχλαι. Ἰζοῦσα, βαδίζουσα. Ἵζομεν, ἴωμεν, καὶ ὑπομένομεν. Ἵζω, τὸ κάθημαι. Ὅμηρος, ἵζοντα δ' αὐτόθι φριξεν. Ἴζω, καθίζω. Ἰζώς, χῶμα ὀρχήστου.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Η.

Ἰη, ἐπὶ μέλλοντος, ἀντὶ τοῦ ἔλθοι. Ἰὴ ἰὴ, παρὰ τῷ Ἀριστοφάνει τὸ μῆκος σημαῖνον. τινὲς φασὶν ἐπίφθεγμα δὲ ἐστι καταφρονοῦντος. Ἰῇ μιῇ, μιᾷ φωνῇ. καὶ ἴῃ, ἀντὶ τοῦ ἔλθοι, ἐπὶ μέλλοντος. Ἰηγορέω, ἐκαγορεύομαι. λάκωνες. Ἰηδόνες, εὐφροσύναι, ἐπιθυμίαι, χαραί. Ἰηθεῖσα, ἰδοῦσα, πληρούμενη καὶ ἀπορεῦσα. Ἰηθος, ἱερὸς, ἄγαμος. Ἰήθω,

[illegible] φιλοφρονεῖσθαι. ἵεμαι, ἱεμένω. [illegible] τόπιν ἐνθάδε ἵεμαι. ἵεν, αἱ φιλοῦνται, ἀντὶ τοῦ [illegible] λέγεται, [illegible] ἰὸν [illegible] ἀντὶ τοῦ [illegible], ἀπὸ τοῦ [illegible], ὡς καὶ τὸ βλαστὸς [illegible] βλαστὴν. ἵεσαι, [illegible] ἀπὸ τοῦ πρώτου [illegible] τῶν πληθυντικῶν, [illegible] τῆς [illegible], οἷον ἱέμεν ἵεναι, [illegible] τίθεμεν τιθέναι [illegible]. [illegible] ἱέμεναι, καὶ [illegible] ἵεμεν. [illegible] ἀντὶ τοῦ [illegible]. [illegible] γὰρ ἡ πρώτη [illegible] τῶν [illegible].

ἱεπὰ, [illegible]. ἵεσται, ὁρμῶσιν. οἱ δὲ [illegible] τέλιον [illegible]. ἵεσθε, [illegible]. Ὅμηρος [illegible] καὶ [illegible]. καὶ ἵεσθε, ἀφίεσθε.

ἵεσο, [illegible], ἀπὸ τοῦ ἵημι τὸ ἐπιθυμῶ, [illegible] ὁ ἐπιθυμῶν. καὶ [illegible], ἐπὶ μὲν τοῦ [illegible], ἐπὶ δὲ τοῦ [illegible], φιλοῦνται. ἴε, [illegible] ὁ παρατατικὸς ἰὸν, ἴες, ἴε. [illegible] [illegible] γίνεσθαι φασίν. [illegible], οὕτω καλούμενα. [illegible] τὰς πανηγύρεις. ἱερὰ, [illegible] ἐν τοῖς ὑπομνήμασι περὶ τῶν [illegible] ἱερῶν, φησὶ κατὰ [illegible] [illegible] καλεῖται [illegible] [illegible] [illegible]. ὁ δὲ αὐτὸς φησὶν ἐν [illegible] [illegible] ὑπάρχουσι, [illegible] δύο [illegible]. [illegible] [illegible]. ἱερά, καλά. [illegible]

[illegible]

χριματιστικοί, [illegible], πλατυώνυχοι, γεωργικοί, τεχνῶν τε χ[illegible]. [illegible]

[illegible]

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Ξ.

[illegible]

καὶ ἴχνια, οὕτω καὶ ἰχθύς. Ἴγνωτε, ἐνόησατε. Ἴδα, μάλχα. Ἰδαία, ἡ Δειδάμεια ἀπὸ τῆς Ἴδης. Ἰδαῖοι, καὶ Δάκτυλοι, καὶ Κουρῆτες, καὶ Κορύβαντες, οἱ αὐτοί εἰσι. Ἰδαῖον, ἄντρον ἐν Κρήτῃ. Ἰδαῖος, ψυχρός. ἐγὼ δὲ πρὸς τὰ θερμὰ ταῦθ' ὑπερβολῇ τοὺς δακτύλους δή που δ' ἰδαίους ἔχω.

Ἰδαῖος, ἐπιθετικῶς οὕτως ἐλέγετο Ζεύς, ἀπὸ Ἴδης τοῦ ὄρους Φρυγιακοῦ. καὶ κύριον ὄνομα τοῦ Τρώων κήρυκος, καὶ τοῦ Δάρητος τοῦ ἱερέως, τοῦ Ἡφαίστου υἱοῦ. Ἰδάλιμον, ἱδρῶδες. καὶ ἰδάλιμος, ὁ ἱδρώς. καὶ ἰδάλιμον, τὸ καυστικόν. Ἰδάλιμος, ἱδρωτικός. Ἰδάλλεται, φαίνεται. Ἰδάλτα, ἴδια ἐστί. Ἰδ' ἀμφὶ πῦρ, πανδημία ἐπὶ τάχους, ἅμ' ἔπος, ἅμ' ἔργον. Ἰδάνη, στρυφνή, εὐπρεπής. Ἰδανόν, εὐειδές. καὶ τὸ ὀλόσχοινον, καὶ ἀχίλλειον ῥίζιον. Ἴδη, βρῶμα. Ἰδάρνας, ὁ Ἰκάριος. οἱ δέ, βάρβαρον. οἱ δέ, μάντεως ὄνομα. οἱ δέ, πόλιν τῆς Καρίας εἶναι Ἰδάρνην. καὶ ἀπὸ ταύτης τοὺς μάντεις λέγεσθαι. Ἴδας, εἶδος, καὶ πάντα τὰ ὑψηλά, καὶ ὄνομα κύριον, καὶ ὁ μάγος. Ἴδε, ἐπίρρημα δεικτικόν. Θεόκριτος, ἴδ' αὖ πάλιν ἄλλο ποιήσει. Ἴδε, ἀντὶ τοῦ καί, ῥῆμα τὸ ἰδέ. Ἴδε, βλέψον. ἰδέ, σύνδεσμος. ἴδε δέ, ἀντὶ τοῦ ἰδιάζον, δίφθογγον. Ἴδε, ἀντὶ τοῦ ἰδού, ἰδιάζον. Ἰδέα, ἡ μορφή. καὶ ἀπὸ τούτου ἰδέαι, αἱ ὁδοί, καὶ οἱ τρόποι. καὶ παρὰ Πλάτωνι ἰδέαι, οἱ τύποι. καὶ παρὰ τοῖς ῥήτορσιν, ἰδέαι αἱ μορφαί, εἶδος τοῦ λόγου. Ἰδέαι, μουσικαί, ἐν τοῖς ῥυθμοῖς. Ἰδέαν, τὰς θεωρίας διὰ τοῦ ι. καὶ ἰδέαν, τὴν ἰδέαν ὁ Πλάτων καὶ εἶδος ὀνομάζει, καὶ γένος, καὶ παράδειγμα, καὶ ἀρχήν, καὶ αἴτια. ἰδέα δὲ λέγεται, ὁ χαρακτήρ. Ἰδεατός, καλὸς ἀνήρ, ὁ καλός. Ἰδίειν, ἱδροῦν, κοπιᾶν. Ἰδέειν, ἀπαρέμφατον ἀορίστου δευτέρου, καὶ μέλλοντος δευτέρου. οἱ Ἴωνες ἐπὶ τοῦ ις τῶν ἀπαρεμφάτων πλεονασμῷ διὰ τοῦ ε προφέρουσιν. οἷον θανέειν, θανεῖν. Ἴδη, τὸ ἱδρῶσαι. ἡ εὐθεῖα τὸ ἴδος. καὶ ἴδη, σημαίνει δὲ τὸ ὄρος, παρ' Ἡσιόδῳ. Ἰδυίῃσιν, πραπίδεσσι, δῆλον ὅτι διὰ τοῦ ι γράφεται, οὐχ ὡς μετοχὴ μέν τι, ἀλλ' ὡς ὄνομα μετοχικόν. ἐξ οὗ καὶ ἴδυιες, ἢ ἴδμονας, μάρτυράς φασιν οἱ παλαιοί.

Ἰδυίῃσιν, ὅτι ὀφεῖλον διὰ διφθόγγου ἔχειν ἀναλόγως τῶν ἀρχαίων. ὡς ἀπὸ τοῦ εἰδὼς εἰδότος μετοχῆς, ὅμως διὰ τοῦ ι γράφεται, οὐχ ὡς μετοχή, ἀλλ' ὡς μετοχικὸν ὄνομα. ὅθεν καὶ ἴδυιες οἱ παλαιοὶ τοὺς μάρτυρας ἔλεγον. Ἰδεῖν, τὸ δὲ ἰδεῖν τὸ νοῆσαι λέγουσιν. Ὅμηρος ἐπὶ τοῦ ἰδεῖν οὐχ ἁπλῶς, εἴ γε τοὺς ὁρᾶν, ὥσπερ καὶ ἀκούειν, ἀλλὰ διότι ἔστι νοῆσαι ποτὲ καὶ δίχα τοῦ ἰδεῖν, ὁπηνίκα τι καὶ τὸ ἐξ ἀκοῆς μαθεῖν. Ἰδεῖν, βλέψαι. Ἴδεν, ἀόριστος δεύτερος, ἐξ οὗ καὶ τὸ ἰδεῖν ἀπαρέμφατον, καὶ ἰδὼν μετοχή. Ἰδηνοί, οἱ σύμμαχοι. Ἰδίρως, ὁ ἄνευ τοῦ ἰδίειν ἱδρῶν. Ἰδίεσθαι, ἱδρῶσαι, ἰδίειν. Ἰδίεσιν, ἰδίοισιν.

Ἰδιχθύς, ἢ εἰδιχθύς, ἀηδής, ἀθυμής. Ἰδίω, γνώσομαι. Ἰδίων, φαινόμενος, ἢ εἶδος αὐτοῦ. Ἴδη, κατὰ διάλεκτον, οὐ μόνον ἡ Τρωική, ἀλλὰ πᾶν ὄρος. ἐξ οὗ τὰ κάτωθεν ἐπὶ ἴδῃς. ὡς καὶ ἄχυλος, πᾶν ὕλην. ὁμοίως καὶ ὠκεανός. ἴσως οὖν καὶ Ἴδη Κρητική, ὅτι μέχρι καὶ νῦν τοὔνομα. Ἴδα δὲ Δωρικώτερον. οὕτω δὲ καὶ τὸ φυτὸν ὁ αἴγειρος, φυλάσσει τὴν κλῆσιν, ἐν οἷς περὶ πόδα ἄκρον καὶ ἡ ἐπὶ τοῖσιν. Ἴδη, οὐ μόνον ὄνομα ὄρους, ὡς πολλαχοῦ ἐστιν εὑρεῖν, ἀλλὰ καὶ κατὰ τοὺς παλαιούς, ἴδην καὶ τὴν τοῦ ξύλου ὕλην, Ἴωνές φασιν. ὕλη δέ ποτε καὶ Ἀττικοί. Ἴδη, ὄρος Τρωάδος καὶ Κρήτης. ἐν δὲ τούτῳ καὶ πᾶν ὄρος οἱ ποιηταί φασιν ἴδην. ὁμοίως καὶ ῥίον ἀκρωτήριον, οὗ κατ' ἀναλογίαν κεῖται τὸ ἀντίῤῥιον. ἐκ δὲ τοῦ, πᾶν ἀκρωτήριον οἱ ποιηταί φασιν ῥίον. Ἴδημα, ὅραμα. Ἰδήμων, ἔμπειρος, γνωστικός. Ἴδη, πᾶν ὄρος φασὶν ὑψηλόν, ὡς ἐκ μέρους. καὶ κατ' ἐξοχὴν ἐστί. καὶ ὕλην δὲ ὁμοίως, ἅπαν δένδρον, ὥσπερ δρῦς καὶ ὁ δρυμών. Ἰδήρατος, καλός, ὡραῖος. Ἴδητε, παρ' Ὁμήρῳ οὐ μόνον θέαν δηλοῖ, ἀλλὰ καὶ νόησιν, ὥσπερ καὶ νοῦς ἀκούει. Ἰδία, λέγουσιν Ἀττικοί, ἀντὶ τοῦ εἰπεῖν ἰδιάζε. ἰδίᾳ βούλομαί σοι προσφωνεῖν. Ἰδίᾳ ἐπίρρημα, ἀντὶ τοῦ κατὰ μόνας. καὶ ἰδίως, ἀντὶ τοῦ μεμονωμένως, ἢ κεχωρισμένως. καὶ ἰδίαν, ἀντὶ τοῦ ἰδιωτικήν. ἐλέγετο δὲ τὸ ἴδιον, καὶ ἰδιωτικόν, καὶ χωρίς. Ἴδια πράττειν, ἴδια πράττε, καὶ τὰ ἴδια πράττειν, μὴ λέγε. ἀλλὰ τὰ ἐμαυτοῦ πράττω, καὶ τὰ σαυτοῦ πράττε, καὶ τὰ ἑαυτοῦ πραττέτω. οὕτω γὰρ οἱ Ἀττικοὶ λέγουσι. Ἰδιάζεσθαι, χωρίζεσθαι, μόνῳ προσφωνεῖν. Ἰδιάζον, κατ' ἰδίαν ὁμιλοῦν.

Ἴδεσθαι, ὑποτακτικὸν παθητικὸν μέσου ἀορίστου δευτέρου. οἱ Ἴωνες ἐκβάλλουσι τὸ ι τοῦ τρίτου, τὸ δεύτερον ἐκτείνουσι. ὡς τὸ κάλεσαι, καλέσαι. ἴδεσαι, ἴδεαι. Ἰδιαίτατα, κατὰ μόνας. καὶ ἰδιαίτατος, ὁ μοναχός. καὶ ὁ ἴδιος ὑπεροπτικός.

Ἰδιαίτερον, ἰδιαίτερον. Ἰδιάσαι, κατ' ἰδίαν ὁμιλῆσαι. Ἰδίᾳ ἅττα, ἴδια ἐστί. Ἴδιον, ἱδροῦν, κοπιᾶν. καὶ ἴδιος, κάματος, ἱδρώς. ἰδίω, τὸ ἱδρῶ. ἴδιον, ὡς ἐνδέχεται ὅλως.

Ἴδιος, ἱδρώσας. Ἀριστοφάνης, μή μοι σβαρὰς χώρει, πρὶν ἂν ἰδίῃς, τουτέστιν ἱδρώσῃς. Ἰδικόν, ἰδικόν ἐστι τὸ ἀνθρώπου ἡ οὐσία, ἤγουν ἡ φύσις. καὶ ἡ ὑπόστασις, ἤγουν τὸ ἄτομον. Ἰδικῶς, μεμονωμένως. Ἰδιοτάτως, ἰδίως. Ἰδιόκτητον, ἰδιόῤῥυθμον. Ἴδιον, παρ' Ὁμήρῳ ἐν υ τῆς Ὀδυσσείας, ἴδιον ἱδρῶτα, ἐγώ, ὡς ἔοικεν, ἤγουν εἰς τοῦτον ἔλαβον. ἐκ τοῦ ἴδιον, ὃ δηλοῖ τὸ ἱδρῶ. καὶ ἴδος λέγεται ὁ ἱδρώς, ἀφ' οὗ ἰδάλιμος.

Ἴδιον δὲ τὸ μιᾷ φύσει ἁρμόζον. καὶ ἀντιστρέφον πρὸς τὸ ὑποκείμενον, ὥσπερ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἐπὶ ἀνθρώπου. καὶ ἐπὶ τοῦ ἵππου, τὸ χρεμετιστικόν. καὶ τοῦτο παρὰ τοῖς φιλοσόφοις ὁ λόγος, τὸ παντὶ καὶ μόνῳ καὶ ἀεὶ ὑπάρχον. ὅπερ ἴδιον ἰδιαίτατα καλοῦσιν. ἴδιον τοῦ ἀνθρώπου κυρίως τὸ σώζεσθαι ἐκ τοῦ τῆς ἀθανάτου φύσεως, ἐν ἄλλῳ διὰ ταπεινώσεως γνωριζόμενον. ἴδιον ἐστι ζῶντος ἐμψύχου, τὸ κινεῖσθαι, τὸ αἰσθάνεσθαι, τῶν λοιπῶν ὑπερτερεῖσθαι καὶ ἰδίως ὑψοῦσθαι τῷ προσώπῳ.

Ἰδιόξενος, ὁ μὴ δημοσίᾳ προσκείμενος πόλει τινί, ἀλλ' ἰδίᾳ τινὶ τῶν πολιτῶν. Ἰδιοποιοῦμαι, ὑποβάλλομαι, νοσφίζομαι, σφετερίζω, ἐγκολπίζομαι. Ἰδιοπραγεῖν, τὰ ἴδια πράσσειν, ἡσυχάζειν. Ἰδιόῤῥυθμον, ἰδιότακτον. Ἰδιοσυστάτους, καθ' ὑπόστασιν ἰδίαν. Ἰδιοτελῶν, τὸ τὰ ἴδια πράττειν.

Ἰδιώτης, λέγεται καὶ ἐπὶ ἀρχῆς, ὁ μὴ μέτοχον δηλαδὴ ταύτης, ᾧ ἐστιν ἀντίκειται ὁ ἄρχων, ἢ ὁ βασιλεύς. λέγεται καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. καὶ γὰρ ὁ μὴ μέτοχον λόγου, ἰδιώτης λέγεται. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. καὶ ἰδιώτης ἡ συγγένεια. καὶ κλίνεται ἰδιώτου. καὶ ἰδιωτεία. Ἰδιωτικῶς, ἀφρονεστέρως. Ἰδίουσα, ἱδρῶσα. Ἴδισμα, λόγισμα. Ἰδίω, τὸ κοπιῶ. ἀφ' οὗ ἴδος ὁ κόπος. καὶ ἰδίω ἱδρῶ. Ἰδίωμα, ὑποστατικόν, ἐστὶ τὸ ἀφοριστικὸν τοῦ κοινοῦ τῆς φύσεως γνώρισμα, ἢ τὸ χαρακτηρίζον τινὰς ἀνθρώπους, ἢ τὸ πρὸς ἕτερον ἐμφερές, καθ' ὃ ἐπὶ δηλοῦν τὸ συγκαινιζόμενον πρᾶγμα. Ἰδιώματα, τῆς ἀγγελικῆς φύσεως παρὰ τὴν ἀνθρωπίνην, τὸ ἀθάνατον, τὸ ἀόρατον, τὸ ἀπαθές, ἤγουν τὸ ἀσώματον, ὡς πρὸς τὸ σῶμα, ἃ ἐστιν ἰδέσθαι παρὰ τὸ δημιουργηθέντα θεοῦ. ἰδιώματα τῆς ἀνθρωπίνης φύσεως, τὰ χωρίζοντα αὐτὴν τῶν λοιπῶν εἰδῶν. λέγω δὲ τῶν ἀλόγων, τὸ λογικόν, τὸ διανοητικόν, τὸ τῆς ψυχῆς ἀΐδιον, τὸ αὐτεξούσιον, τὸ ἐρωτηματικὸν πρὸς θεὸν καὶ ἀγγέλους, τὸ τῆς τροφῆς ἐνδεές, τὸ περιληπτόν, τὸ βαρὺ τοῦ σώματος. εἰσὶ δὲ ἰδιώματα φυσικά, ἃ προεῖπον. καὶ εἰσὶ καὶ ὑποστατικά, οἷον ἀσπρότης, σιμότης, μελανότης, γρυπότης, ἀβρότης, καὶ τὰ ὅμοια. ἅπερ οὐκ ἐν πᾶσιν ἀνθρώποις ὁμοίως εὑρίσκονται. οὐ γὰρ πάντες σιμοί, οὐ πάντες φαλακροί. διόπερ καὶ ἐστὶν ὑπόστασιν εἶναι λέγουσι τὴν συνθήκην, τὴν ἰδιάζουσαν τῶν χαρακτηριστικῶν ἰδιωμάτων. παντὶ δὲ γένει ὁμοίως εὑρίσκονται, οἷον πάντες ἄνθρωποι βροτοί, ὁμοίως θνητοί, λογικοί, ἀναστατικοί.

περι-

ὁ δὲ Ἀδριανὸς ἱστορεῖ, ὅτι Ἰασίων ἀδελφὸς ἀντίον ἢ Δαρδάνου, πρόγονος Πριάμου, ἐκ Δήμητρος καὶ κόρης παῖς γενόμενος, εἴς τι σπήλαιον ἦλθε, καὶ πολλὴν ἄλλην γῆν ἐπλανήθη, τὰ ἐκείνης ὄργια διδάσκων. διὸ λόγον ἔχει, ὡς Δήμητρι αὐτὸν μιγῆναι. Ἰάσκειν, ἄγειν. Ἰάσκων, ἀφιλόμενος. Ἴασον ἄργος λέγει ὁ ποιητὴς τὴν Πελοπόννησον, ἀπὸ Ἰάσου βασιλέως [illegible], ὥσπερ τὸ αὐτὸ καὶ ἄργος πανελλήνιον ἄργος. δῆλον δὲ καὶ ὅτι κατὰ πολυωνυμίαν λέγομεν καὶ ἵππιον ἐκλήθη τὸ αὐτό, καὶ ἀπίδανον, καὶ ἄργος ἀχαιϊκόν. ἰδίως μέν τι καὶ ἡ λακωνικὴ ἀχαιϊκὸν ἄργος ἐκλήθη. Ἴασπις, λίθος πολυτελής. Ἰασσεῖν, θεραπεύεσθαι, διάκονον. Ἰασί, ἰάδες. Ἰασώ, παρὰ τὸ ἰᾶσθαι. φησὶ δὲ Ἀριστοφάνης καὶ Ἀμφιαράου θυγατέρα εἶναι Ἰασώ. Ἴαται, ἀντὶ τοῦ ἰατρός. ἰατρὸς βραχὺ τὸ ι παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ, τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει. Ἰατταταιὰξ ἐπίρρημα, ἀντὶ τοῦ φεῦ. Ἰάμβων, ἰάμβλιχος. Ἰαμβεῖς, καὶ ἰαμβρεῖς, ἐκπώματα κάπρα. Ἰατταταιὰξ, χελιαστικόν, δηλοῖ ὁμοίως καὶ ἰατταταί. Ἴατρα, μισθοὶ θεραπείας.

Ἰατρεία, νόσου καὶ κακῶν ἀπαλλαγή. Ἰατρική ἐστι, κατὰ μὲν Ἱπποκράτην, πρόσθεσις καὶ ἀφαίρεσις. πρόσθεσις μὲν τῶν ἐλλειπόντων, ἀφαίρεσις δὲ τῶν πλεοναζόντων. κατὰ δὲ Γαληνόν, ἐπιστήμη ὑγιεινῶν καὶ νοσερῶν καὶ οὐδετέρων. κατὰ δὲ τοὺς ἐμπειρικούς, τήρησις καὶ μνήμη τῶν πολλάκις καὶ ὡσαύτως ὀφθέντων. κατὰ δὲ τοὺς μεθοδικούς, γνῶσις φαινομένων κοινοτήτων συμφώνων τῷ τῆς ἰατρικῆς τέλει. κατὰ δὲ Ἀριστοτέλην, φιλοσοφία σωμάτων. Ἰατρεύω, ἰῶμαι, θεραπεύω. ἰατρεύω σὺ φαρμάκοις, πάντα ῥήματα καὶ μεταβατικὰ καὶ ἀμετάβατα, ὧν αἱ ἐνέργειαι ὀργανικαὶ εἰσὶ γίνονται, ἐὰν περὶ ᾗ τὰ ὄργανα ἔχωσιν ἐν τῇ συντάξει, δοτικῇ ταῦτα ἔχουσι προσφερόμενα. μεταβατικὰ μέν, οἷον βλέπω σε ὀφθαλμοῖς, τύπτω σε τῇ χειρὶ καὶ τῇ ῥάβδῳ. ἀμετάβατα δέ, οἷον ἀγάλλομαι τῇ ψυχῇ, ἀστράπτω πυρί, μισθὸν οἶον. Ἰατροί, νῦν φασὶ δὲ τοὺς καλοῦντας καὶ περὶ ἰατρείαν θεράποντας. Ἰατρός, ἀπὸ ἰατρικῆς. καὶ ὁμοίως, ἰατρεία, ἴασις, ἰᾶσθαι, ἰάσασθαι, καὶ ἰατρεῦσαι, ἰατρεύσασθαι, ἰάμενος, ἰάσιμος, ἀνίατος, ἰάματα, καὶ μισθὸς ἰατρεία, καὶ τὸ ἐργαστήριον ἰατρεῖον, θεραπεύειν, θεραπεία, ἀκεῖσθαι, ἐξακεῖσθαι. ὡς Ὅμηρος ἐπεὶ καὶ παιώνια φάρμακα. καὶ ἐξακεσάμενος, ἐπιμέλεια, κομιδή, νοσηλεία, νοσηλεῦσαι, ἐκνοσηλεῦσαι, νοσοκομῆσαι, ἀρρωστεῖν, ἀρρώστημα, ἀρρωστία, ὑγίεια, ὑγιαίνειν, ὑγιής, δίαιτα, διαιτᾶσθαι, ὑγιάζεσθαι. τάχα δ' ἂν ἰατρῷ προσήκει, καὶ κρίσιμος ἡμέρα.

Ἰατροὶ ἱκανοί. λέγει Ἀριστοφάνης, ὅτι καὶ ἰατροὶ περὶ ἀέρων καὶ ὑδάτων συνέγραψαν. ὕδατα δὲ νῦν καὶ αἱ νεφέλαι. σύνταγμα δέ ἐστιν Ἱπποκράτους περὶ ἀέρων τόπων καὶ ὑδάτων.

Ἰαῦ, θρηνητικὸν ἐπίρρημα. Ἰαῦ, μίμημά ἐστι στεναγμοῦ, παρὰ τῷ Ἀριστοφάνει. Ἰαυθμοί, αἱ κοιμήσεις, παρὰ τὸ ἰαύειν. λέγεται καὶ ἐπιαύων, οὐδ' ἐπιαύειν εἴσω μεγάροιο γέραι τεθραμμένος. Ἰαύειν, ποτὲ μὲν ἐπὶ ὕπνου καὶ ἀνακλίσεως τίθεται δηλοῖ, οἷον τῷ περιεῖναι τέρπεσθαι, ἤγουν παρακειμένου. ὡς ἐπὶ πολὺ δὲ ἡ λέξις ἐπὶ διατριβῆς, ὅπερ ἀργίαν λέγεται. ἦτοι καὶ ἀνιαρὸς ὁ μακρὸς χρόνος, καὶ πολλὰς ἔχων διατριβάς. διὸ καὶ νύκτας ἀΰπνους, ἀντὶ τοῦ διατριβὰς ποιοῦσι ἐν τούτῳ. καὶ τὸ νύκτας οὐκ ἀΰπνους ἴαυον, ἀντὶ τοῦ διῆγον, διατρίβειν. πῶς γὰρ ἔστι τὸν ἄυπνον νύκτας ἰαύειν, ἤγουν κοιμᾶσθαι.

Ἴαυον, ἐν α' τῆς ὀδυσσείας, γενικῶς τὴν περὶ τὸ διατρίβειν δηλοῖ. δέξαιτο δ' ἂν καὶ τὸ κοιμᾶσθαι νῦν, ὡς ἐκ μέρους εἶναι διαλεκτικόν. Ἴαυος, κοίτη, ἀπὸ τοῦ ἰαύειν. Ἰαυχεῖν, ἀντὶ τοῦ ἰαχεῖν λέγουσιν αἰολεῖς. Ἰαύω, τὸ ἐνεργητικὸν ἀμετάβατον. Ἰαύων, κοιμώμενος, διάγων, διατρίβων. Ἰαφθείς, φθαρείς. Ἰαφθεῖσα, ἀπολαύειν, πόνειν, φθαρεῖσα.

Ἰαχεῖν, ἠχεῖν, ἀχεῖν, ψοφεῖν. Ἰάχειν, θαλπειν, θερ-

μαίνειν. Ἰαχή, ἐπὶ πολέμου. ἐπὶ μὲν τι θαλάσσης, τὸ ἠχεῖν. ὅθεν καὶ θάλασσα ἠχήεσσα. τὸ δὲ ἰαχή, καὶ βοή, λέγεται ἐν τῷ μείζων δὲ ἡ παρὰ τοῖσι βοή. Ἰαχήματα, ᾠδαὶ διονυσιακαί, ἢ κορυβαντικὸν ἰαχήματα χαλκᾶ ῥόπτρων. ἰαχήματα δὲ κραυγαί. Ἰαχέουσα, θρηνοῦσα. Ἰαχεῖν, ὑπελινωδεῖν. Ἰαχῶ, τὸ βοῶ, ἐκ δὲ ἰαχή. Ἰάψαι, καὶ τὸ προϊάψαι, βλάβην ἐν ᾅδη. Ἰάψαι, ἐπιβαλεῖν. ὁ ἰάψας, ἐπιβάλλης. ἡ συλλαβὴ ἀμὴν ὀρχήματος αὐγῆς. ὅθεν δ' ἂν ξυνὸν ἰάψας, χοροχαλῆς. καὶ ἰάχαι, φθεῖραι. Ἴαψεν, ἔβλαψεν, ὅλεσεν, ὤλεσεν. ὁ θέμα ἰάπτω, ὁ μέλλων ἰάψω. Ἴαψεν, καὶ τὸ ἐπέμψεν σημαίνει ἁπλῶς, καὶ μετὰ βλάβης. Ἰάψεται, νικήσει, βλάψει.

Ἰαώ, ἡ σωτηρία παρ' ἑβραίοις. Ἰαωλκός, ἀπὸ Ἰαωλκοῦ φασιν, ἢ τοῦ ἀμύρου, ἀφ' οὗ ἀμυρικὸν πεδίον ἐν λαρίσσῃ. ὡρίσθαι δέ ἐστι ἡ προσπελαβὴς ἰωλκός.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Β.

Ἴβα, σιώπα. Ἰβανοί, ἀντλοί. Ἰβανατρίς, χερνίβιον ἱερατικόν. Ἴβανα, κάδος ἀντλητικός. Ἴβανον, κάδον, κανθίον, χαλκίον. Ἰβαρβιον, χαλινόν, ἀναπέτασον.

Ἴβην, Θρᾷν. Ἴβηκα, τὸ πρότερον κρῦπτο. οἱ δὲ βῆκα. Ἴβηνοι, Θρᾷκοι, ἔθνος σκυθικόν, κιβωτοί. οὖθυμοι νοσοί. Ἴβηλος πλασμενός. Ἶβηρ, χωρικὸν ἐν ἐθνικόν, ἀφ' οὗ καὶ Ἴβηρος.

Ἴβηρ, ἐθνικόν ἐστι. ἡ παραγωγὴ οὐκ ἔχει. τινὲς δὲ παράγουσιν αὐτὸ ἀπὸ τοῦ ἵμερος, ὃ σημαίνει τὴν ἐπιθυμίαν. καὶ ἰβηρία χώρα. Ἰβηκτήρ, ὁ παρὰ λέρναις ἴβηλος ἐκβατικὸν συνώνυμος, ἐπειδὴ ἄλλον οὕτω καλεῖται. Ἴβιβος, καταπεσμός. Ἴβινος, αἰτός. Ἴβις, ὄρνεον αἰγυπτιακόν. καὶ κλίνεται ἴβιδος, ἡ αἰολικὴ δὲ ἴβιδος. Ἰβρίκαλοι, χοῖροι.

Ἴβροι, τινὲς τὸ βοᾶν. οἱ δὲ τὸ πλάσσειν δὲ λυδῶν. Ἰβυκῖνον, ἔνος εὐφημοῦντα. ἶβυ γάρ, ἡ εὐφημία. Ἴβυχα, σωτῆρας. ἢ σωρὸς πυρῶν. Ἴβυς, τυπτέα, βοᾷ. Ἰβυκειον, ψωτίδιον.

Ἴβυκοι, ἐναντία τοῖς κορινθίοις ποιοῦσιν, ἤγουν ἀποτακτικοῖς, ἀντὶ δεσποτικῶν χρώμενοι. ὡς τὸ λαμπρὸν κομφαίνεσιν, ἀντὶ τοῦ πεμφαίνω. Ἰβυκῶσαι, ἐπευφημῆσαι, βοῆσαι. Ἴβυκίσαντος, ἀπὸ γὰρ τοῦ ἶβυ παρῆκται ἡ λέξις. ἢ ἔστιν ἰωνικὸν ἐπίρρημα. καὶ δηλοῖ τὸ πολύ, καὶ μέγα. τινὲς δέ, τὸ βοᾶν. οἱ δέ, τύπτειν. οἱ δέ, εὐφημεῖν. οἱ δέ, συλᾶν. ἔστι δέ, καὶ ὄρνεον ἰωνικόν. Ἰβύκινον, μουσικὸν ὄργανον. Ἰβυκινεῖν, ὀλολύζειν, ἀπὸ ἰβύκου εὑρετοῦ, ἐξ οὗ καὶ ἰβύκινον, μουσικὸν ὄργανον. Ἴβυξ, ὀρνέου εἶδος, ἢ ἴβυς. Ἴβυς, εὐφημία, στῆμα. Ἴβῶν, εὐφημῶν, χαίρων.

ΤΟ Ι ΜΕΤΑ ΤΟΥ Γ ΚΑΙ Δ.

Ἴγα, σιώπα. Ἰγγια, εἷς. ψάφισι. Ἴγγι, ἐπὶ ἐπιθυμία, ἐπὶ ἐλκομένῃ. Ἴγγρος, ὁ ἐγκέφαλος.

Ἴγγυος, ἰωνικόν. καὶ ἴγγυος. Ἴγδη, ἄροτρον, ὁ πρωβαίαν, ὁ θυεία. καὶ ἴγδις, ἵνα μίσγομεν τὰ ἀρώματα. Ἴγδισμα, λύγισμα ὀρχηστικόν, ἐν ᾧ ἰλδιγίζον τὴν ὀσφὺν ἐμφερὲς τῷ διοδίνει. Ἰγλάδας, ὁ ἐπὶ μέρει γεωργὸς, ὁ ἐλαικός. Ἴγκρος, ἐγκέφαλος. Ἰγμαλέον, ὑγρόν, δίυγρον. Ἰγμίνος, ὁ ἰκτίν. Ἰγμῶ, βοῶ. Ἴγνητες, οὕτως ὠνομάζοντο οἱ μετὰ δὶς τειχίσαι ἐποικοῦντες τὴν ῥόδον.

Ἴγνυ, ἄροτρον. Ἰγνύα, ψυχή. ἢ τὸ τοῦ γόνατος ὄπισθεν μέρος. Ἰγνύα καὶ ἰγνύη, τὸ αὐτό, ἤγουν τὸ ἀγκυλούμενον.

Ἰγνύα, τὸ ἰγνύων, ἤτοι ὄπισθεν μέρος τοῦ γόνατος. ἰγνύα καὶ ἀγκύλη λέγεται. γίνεται δέ, παρὰ τὸ ἰκνεῖσθαι ἰγνύα τῆς οὔσης. ἐπὶ καμπτομένοις αὐτοῖς, ἰκνούμενα. οἱ δὲ φιλοῦσιν ἡ ἄρχουσα τῆς ἰγνύας, οὐ καμπήν. λέγεται γὰρ τὸ ἐκ τῶν ἀκτίνων προβαλλόμενον, καθὰ καὶ ἐν τῷ ἴχνει

καὶ

ἰαχαῖς, βοαῖς. ἰακὼρ, ὁ κλέορ ἀσήρ. ἰακλεῖ, [illegible] ἰάλεμοι, [illegible] ἰακχάζουσιν, λέγουσιν, φυλάττουσιν. Ἡρόδοτος. Ἴακχον, τὸν Διόνυσον, ἢ μίαν ἡμέραν τῶν μυστηρίων, ἐν ᾗ τὸν ἴακχον ἐξάγουσι. καὶ ἡ ᾠδὴ, ἣν οἱ μεμυημένοι ᾄδουσι, καὶ ἥρως ἐν τῇ [illegible], καὶ ἄγαλμα. [illegible] ἰάκυβος, [illegible] εὑρίσκονται [illegible] φωνήεντος, οὐκ ἐν διφθόγγῳ δὲ, ὡς ἐν τοῖς ἄνω. [illegible] οἱ λατῖνοι σημεῖον, ὅμοιόν πως τῇ [illegible], [illegible] φωνήεντος, ὅπως ἂν [illegible] καὶ [illegible] ἐπ' αὐτῷ. [illegible] εἰς δύναμιν τοῦ συμφώνου, ὥσπερ παρὰ τοῖς λατίνοις [illegible] καὶ δῆλον [illegible] ὀνόματι [illegible] ἐκφερόμενον τετρασύλλαβον [illegible] [illegible] ἀντὶ συμφώνου [illegible] ἰάκυβος, [illegible] καὶ ἰάλεμος [illegible] ἰάλλω [illegible] ἰάλεμοι, θρῆνοι, ὀρφανοὶ, [illegible] [illegible] [illegible] ἴαλμος [illegible] καὶ [illegible] καὶ ἰάλεμος [illegible]

[illegible]

Ἰάλλω [illegible] ἰάμβη [illegible] ἴαμβος [illegible] ἰαμβίζειν, τὸ ὑβρίζειν [illegible]

[illegible]

ἰάνθη, εὐφράνθη, ἐχάρη, [illegible] ἰάνθην, [illegible] Ἀρχέθη, [illegible] Χαλκῷ [illegible] [illegible] ἰάνθη [illegible] ἴαν [illegible] ἴανα, τὰ βαλλάντια, [illegible]

Ἴωνα, [illegible] Σοφοκλῆς [illegible] [illegible] βάρβαροι τῶν Ἑλλήνων [illegible] βάρβαρον [illegible] ὄνομα γυναικός. [illegible] ἰάονες, πάντας τοὺς Ἕλληνας οἱ βάρβαροι ἐκάλουν. [illegible] Ὅμηρος ἰάονες ἑλκεχίτωνες λέγει. [illegible]

[illegible]

Ἴασος [illegible] Σοφοκλῆς. [illegible] Ἡσίοδος [illegible]

χυτικαλεῖς ὄντα. ἔστι δὲ ὁ θὼς ζῷον ἄλκιμον καὶ ἄγριον. Θού, θᾶττον ἀπὸ τοῦ θῶ φῶ φωνή. φῶ ζωή, φῶ φωτὶ καὶ ἥρωϊ κατὰ πρόσληψιν συλλαβῆς, οὕτω καὶ θῶ, θωὸς ἡ καταλειπομένη ζημία, ἣν ὁ μὴ πάσχων αὐθέως λέγεται, ὁ ὅπερ μὲν προπαροξύνουσι τὸ παλαιὸν, ἵνα ᾖ, ὥσπερ φωνὴ ἄφωνος, οὕτω καὶ θωὴ ἄθωος. ἕτεροι δὲ προπερισπῶσι, ὡς καὶ ἡ συνήθεια κρατεῖ κατὰ συγκοπὴν τοῦ ἀθώου λόγος, ὅς ἐστιν ὁ ἐν τοῖς ἄθωος ἔστι λαμβάνεται, οὐ ὁ τόνος ἀνάλογος. ὡς ὁ μίνως μινῶος, ἥρως ἥρωος, οὕτως ἄθως ἄθῶος. Θωκέονται, θακέειν, τούτεστι. Θώθ, ὁ Ἑρμῆς. Θωκεῖ, κάθηται, ὁμιλεῖ. Θώκιον, ὄνομα τόπου. Θῶκος, ὁ θρόνος, παρὰ τὸ θῶ ῥῆμα, ὃ σημαίνει κατὰ ἀντίφρασιν τὸ ἑδραῖον. μᾶλλον θέσιν, γίνεται θῶκος ὁ τὸ θέσιν ἡμᾶς ἐπέχουσα καθέδρα. τὸ δὲ θῶ γέγονε παρὰ τὸ θοῶ, ἀφ' οὗ τὸ θοάζω, ὡς βοῶ βοάζω. ἢ πάντα θοῶς τὴν ἑδραίους ἡμᾶς ποιοῦσαν. ἢ ἀπὸ τοῦ θῶ. τὸ δὲ θοὸν δηλοῖ τὸ ἑδραῖον, καὶ ἀσφαλὲς, καὶ ἰσχυρόν. Θῶμα, θαῦμα. Θωμὰς, ἄβυσσος, ὁ δίδυμος. Θωμένους, θοινωμένους, εὐωχουμένους. Θωμῖσαι, συμμίξαι, συνταγέν.

Θώμιγγες, δεσμοὶ, ὁρμιαὶ, χοινία, χορδαὶ, σπαρτία λεπτά. Θώμιγξ, τὸ λεπτὸν χοινίον. Θώμιγξ, τοῦ φελλοῦ θώμιγξ, σπάρτος καταβαίνει, ἐκβαίνει ἄνεμος λέγ. Θωμίζειν, τὸ ἐπὶ σχοινίου ἐρεθίζειν, καὶ μαστίζειν. Θωμίσαι, νύξαι, διώκειν. Θωμιχθεὶς, μαστιχθείς. Θώμισον, κατὰ συγκοπὴν ἀττικὴν οὕτω γίνεται, ἀπὸ τοῦ τὸ ἥμισον, ὡς θάτερον, ἀπὸ τοῦ τὸ ἕτερον, καὶ θοιμάτιον, ἀπὸ τοῦ τὸ ἱμάτιον. Θωμοὶ, οἱ τοῦ σπόρου τῶν σπερμάτων σωροὶ, ἢ σωροὶ ξύλων. Θωμὸς, ὁ σωρὸς ἀχύρων, ὁ κορμός. Θῶνται, θοινῶνται, εὐωχοῦνται, κορεννῦνται. Θῶΐζε, λίμνη. Θῶνος ἰχθύδιον, ἢ θύννος θύννος κατὰ τοὺς παλαιοὺς, καὶ ὁ συγκοπῇ θῶνος. ἢ μᾶλλον θῶνις θῶνος. καὶ κατὰ συγκοπὴν θῶνος, φασὶ δὲ αὐτὸν βασιλέα εἶναι ὃς κατὰ κάνωβον πολὺς εἶναι. Θῶξαι, μαθεῖν, πληρῶσαι, ἱκανῶς βοῆσαι. Θωὸς, ὄρνις ποιός. Θῶπα, κόλακα, ἱέρτιον τε καὶ θοῦον θῶπα ἰσχυρὸν ὑμνοῦσι. Θωπεία, ἡ κολακεία. Θωπεύω αὐτὸν, τὸ κολακεύω. Θωπεύσαι κολακεῦσαι, ἀπατῆσαι. Θῶπες, οἱ μετὰ ψεύδους καὶ θαυμασμοῦ προσφερόμενοι ἐπὶ κολακείᾳ λόγοι, θῶπας τε καὶ ἀπατηλοὺς προσποιοῦ λέγων. ἡ αἰτία, θὼψ θωπός. Θωπικῶς, κολακευτικῶς.

Θωρὴξ, σκέπη, θώρακος. Θωράκιον, τὸ τεῖχος. Θωρακίσας, προμαχῶσι, θωρακίσας, ἡ λοχαγίας. μέχρι μὲν τούτου ὑπολαβεῖν θωρακίοις ἠρέμεν. Θωρακοποιία, θωρακοποιός, θώραξ. Θωρακοφόρος, τεθωρακισμένος, ἡμιθωράκιον. Θωρακωθὴν, ὁπλιτῶν. Θώραξ, ὅπλον σκέπον τὴν τοῦ ἡμετέρου σώματος θώρακα. Θώραξ, χιτὼν σιδηροῦς, περὶ τὸ τοῦ θώρακος μέρος, ὁ χόρτος. θώραξ, τὸ στῆθος, παρὰ τὸ θεῖον ὁρᾶν, ὅτι τὸ φυλάσσον τὸ διανοητικόν, ὅπερ ἐν ἡμῖν θεῖον. ἢ παρὰ τὸ θορῶ, τὸ πηδῶ. πηδώσης γὰρ τῆς καρδίας, ἀπὸ ταύτης κινοῦνται καὶ τὰ λοιπὰ μέλη. γράφεται καὶ θώρηξ. Θώραξ λέγεται ὅτε αὐχένος τοῦ σώματος ἕως ἰσχίων ὅλον. Θωρήσσειν, δεῖ ἐπὶ ὁπλισμοῦ φησιν Ὅμηρος. οἱ δὲ μετ' αὐτὸν καὶ ἐπὶ μέθης τὴν λέξιν τιθέασιν. ὅθεν καὶ θώρηξις κατὰ τοὺς παλαιοὺς, οἰνοποσία, καὶ θωρακοποσία. ἴσως δὲ καὶ αὐτὸ διὰ τὸ μάχεσθαι τοὺς μεθύοντας. Θωρήσσεσθαι, θωρήσσω, θωρήξασθαι, θωρηχθείς. καὶ θωρηχθῆναι, τὸ καθοπλισθῆναι, θωρηχθῆναι, τὸ μεθυσθῆναι. καὶ θωρήσσεται. καὶ ἀκροθώρηκας, τοὺς ἀκρομεθύσους ἐκάλουν. λέγεται δὲ τὸ λίαν καὶ ἀναλογίαν, ὡς τεθωρακισθῆναι, οἷον τὸν θώρακα πληρῶσαι. θώραξ γὰρ τὸ στῆθος. διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος, θωρήσσειν λέγουσι τὸ μεθύειν. Θωρῆσαι, καθοπλίσαι. Θωρίσσειν, παρὰ τοῖς Ἀπολλοφάνει ἀντὶ τοῦ ἐπιεῖν, παρὰ τοὺς θώρακα πίμπλασθαι τῷ οἴνῳ, θωρήσσεσθαι ἔλεγον καὶ πίνειν ἄδην ἐν θωρακίοις ἀλλὰ καὶ τὸ ὑγρὸν λέγεται οἶνον. Θώρακος, οἶνος πότης. ὅθεν ὁ μέθυ, πολλὰ τὸν ἱππολεμάτην. Θώρακος γυλιός, περιφραστικῶς τὸ θώρακα. λέγει δὲ τὸ κοῖλον τοῦ θώρακος. ἢ τὸ κύτος. γύαλον γὰρ λέγεται τὸ κοίλωμα. Θωρηκτάων. οὗτος τελείως ἦν. Θωρηχθεὶς, ὁπλισθείς. Θωρῆξαι, ἀπὸ τοῦ θωρήσσομαι, ταυτὸν τῷ κορύσσομαι, τῷ δηλοῦντι τὸ ὁπλίζομαι, καὶ τὸ ὑφοῦμαι. εἰσὶν ἀμφότερα ποιητικά. ὁπλίζομαι δὲ κοινὸν, ὃ γίνεται ἀπὸ τοῦ ὅπλον. Θωρήσσομαι ἐγὼ, θωρήσσω ἔτερον, θωρήσσω καὶ τὸ καθοπλίσω. Θὼς, ὁ λυκοπάνθηρος. καὶ κλίνεται θωός. ταχὺς γάρ ἐστι, καίπερ βραχυσκελὴς ὤν. Θῶσθαι, λέγουσιν οἱ δωριεῖς τὸ εὐωχεῖσθαι, ἀπὸ τοῦ θῶ τὸ εὐωχοῦμαι. Θὼς, εἶδος θηρίου λύκῳ ὅμοιον. Θώσθη, εὐωχηθῆναι, μεθυσθῆναι. Θῶσθαι, δαίσασθαι. Θωτάζει, ἐμπαίζει, χλευάζει.

Θωύτη, κινεῖται, θωυτᾶται, τρέχει. Θωϋκτὴρ, ὑλακτικός. ὡς ἄλλος τις κύων θωϋκτήρ. Θωῦξας, κυρίως συρίξας, παρὰ τὸ ἀνακράζειν καταρασάμενος. Θώϋσαν, τὸ θορυβοῦσαν φωνῇ χρῆσθαι. Θωΰσσοντα, ὑλακτοῦντα. καὶ θωΰξειν, ἀντὶ τοῦ ἐβόησεν. καὶ θωϋκτὴρ κύων, ὁ ὑλακτικός. Θωΰσσων, ἤγουν βοῶν, ὡς παρὰ Εὐριπίδῃ, πάλιν θωΰσσων. Θωχθεὶς, θωραχθεὶς, μεθυσθείς. Θὼψ, ὁ κόλαξ. θωπεύω. θωπεία, ἡ κολακεία. Θώων παρ' ἡμῖν σημαίνει, ὡς ἀπὸ Διοσθένους γενικῆς ὀξυτόνου σχηματιζόμενον. θὼς δὲ θωὸς θώων, καθάπερ καὶ τρώων, δμώων, λάων, δάλων, πάντων. ἔστι δὲ ζῷον θηρίον, ὡς λύκος.

Θωύτης, ὄνομα κήρυκος. ὡς ἐν ἄγε δὲ θωύτα θεόφρασι αὐτὰ καλεῖν. ὁ δὲ τρόπος ἐτυμολογίας ἐστίν. ὡς τοῦ θωύτου ἐκ τοῦ θεῖον κληρωθέντος, ἐπειδὴ οἰκεῖον κήρυκι ἔχομεν διὰ τὸ τάχος ὡς τὸ εὐρυβάτης, διὰ τὴν βοὴν. καὶ τὸ ἠπύτης, ὁ ἠπύτης, παρὰ τὸ ἠπύειν.

Τέλος τοῦ θ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ι

ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ ΑΥΤΟ ΜΕΤΑ ΤΟΥ Α.

Ἰῶτα τὸ στοιχεῖον, ψιλὸν καὶ γράμμα. Ἰ καὶ ἄ τις ἐμμελεστέρα ἐρωτᾷ. οἷον τῆς ἐρίνος αἰσφίς. Ἴα, δασυνόμενον τὸ ἄλφα καὶ ὀξυνόμενον, τὴν θεὸν σημαίνει καθ' Ἑβραίους. Ἴα, ἡ μία. καὶ ὁ φωνὴ, καὶ μόνη, καὶ αὕτη, καὶ βοή. καὶ τὰ ἄνθη τὰ πορφυροειδῆ, ἡ βίλα. Ἴα, τὰ μυρίπνοα ἄνθη. Ἴαβιν, ὡς τὸ ἰαβὶν ἐν τῷ χειμάῤῥῳ τοῦ κισσὼν. Ἰάδες, καθόλου. Ἴαλμον, ἰάλμενος, ἦν δὲ σάλμος. οὗτος καὶ ὁ φρυνοῦς Δούλη ἦν. ἣν ἑταίραν γενομένην, θράσων τὸ γένος, χάραξος ὁ ἀδελφὸς Σαπφοῦς ἔλαβε γυναῖκα, καὶ ἐξ αὐτῆς γεννᾷ. καὶ ἐστὶν ἐν τῷ αἰσώπου σάμιος. Ἴαδος, γεβλός. Ἰαθεὺς, εἶδος βοτάνης. Ἴαζει, προσαγίζει. Ἰαξάρτης, ὁ ταναΐς ποταμός. Ἰάζειν, ἰσθμοῦ. Ἴαπυρ, ἰχύς. Ἰάργης, ὄνομα ἔθνους. Ἰανθῖναι, διαπρεπῶς ἐπὶ ἑκατέρως, καλῶς, κῶσι. Ἰασμὸς, κοίτη, ὕπνος. καὶ ὅπου τὰ ἔντιμα κοιμᾶται, καὶ αὐλός. οἱ δὲ αὐθμός. Ἴαθος, πρόθυμος. Ἰαίνειν, εὐφραίνειν. Ἰαίνεσθαι, εὐφραίνεσθαι, διαχεῖσθαι, καὶ ἰαινόμενοι. Ἰάναι, χολοῦται, ἐκθερμαίνεται, λύπη ἐστὶ τὸ ἦτορ. Φρύνιχος αἰγιπποσίοις.

Ἰαίνει ὕδωρ, ἀντὶ τοῦ ἐχλίαινε, ἐθέρμαινε. καὶ ἔστι τοῦ κυρίως ἰαίνεσθαι. τὸ μὴ ἐν ῥέον ὕδωρ, ἐκτασις ἐστὶ κατὰ τὸ ἰαίνεσθαι. αὐτοῦ δὲ ἐπιτατικώτερον τὸ παφλάζειν, ἡ καὶ καχλάζειν. Ἰαίνετο κῆρ, ἀντὶ τοῦ διεχεῖτο, καὶ ἐπὶ τῆς ψυχικῆς διαχύσεως, σημαίνει καὶ τὸ ἐθερμαίνετο. ὡς καὶ τὸ, ἰαίνετο δὲ ὕδωρ. Ἰαίνω, ἀλλαχῇ συντάσσεται, ὡς παρὰ Θεοκρίτῳ, οἷον τὸ δὲ μάλα θυμὸν ἰαίνει, ἤγουν εὐφραίνει. Ἰαμβεῖος, μικρός.

Ἰαλαῖος

τ ἑρμοῦ. ἢ παρὰ τὸ θέω καὶ τὸ αἴρω, θύραρος καὶ θύρα. Θυρωρὸς, ὁ τῶν πυλῶν φύλαξ. Θυράγματα, ἀφοδεύματα. Θύραζε, ἀντὶ τοῦ ἁπλῶς ἔξω. ὥσπερ καὶ ἐκτὸς ἐκ θαλάττης γίνεται θύραζε, ὅ ἐστιν ἔξω. Θύραθεν, ἀντὶ τοῦ ἔξωθεν, ἐγγύς. Θύραζε, εἰς τὰς θύρας. θύρασι, ἐν τῇ θύρᾳ. θύραζε, εἰς τὴν θύραν. Θυραία, ἀγοραία, ξένη, καὶ ἡ μεταξὺ δύο οἰκιῶν θύρα. Θύραι οὐρανοῦ, ἡ ἄνωθεν χορηγία. Δαβίδ, καὶ θύρας οὐρανοῦ ἀνέῳξε, μεταφορικῶς ἀπὸ τῶν ταμιείων. Θυραῖος, ἀντὶ τοῦ ἐκτὸς, καὶ δηλοῖ τάσιν, θύραζε, ἀντὶ τοῦ εἰς τὸ ἔξω. καὶ δηλοῖ κίνησιν ἔνδοθεν εἰς τὰ ἔξω. θύραθεν, ἀντὶ τοῦ ἔξωθεν, καὶ δηλοῖ κίνησιν ἀπὸ τῶν ἐκτὸς εἰς τὰ ἔξω. θυραῖος, ὁ ἐκτὸς τῆς θύρας, ᾧ ἐναντίον τὸ ἔναυλος. ὡς παρὰ Σοφοκλεῖ ἔναυλος ἢ θυραῖος. οἷον ἐντὸς ἢ ἐκτός. θυραῖος, ξένος. Θύραν, τὴν τύχην ἐχούσης. Θυράζειν, ἔξω τῆς θύρας διατρίψαι. Θύρας ἀνέῳξεν, ἀντὶ τοῦ [illegible]

[illegible]

ΤΟ Θ ΜΕΤΑ ΤΟΥ Ω.

Θῶ, θῶ οἱ Ἀττικοὶ λέγουσι. [illegible]

Ἐκλαγξαν, ἦχον ἐποίησαν· ἢ κλάγγω, ὡς σφίγγω. ἢ κλάζω, ὡς τὸ πλάζω. τὸ δὲ γ οὐδὲ ἔχει πλεονασμὸν ἐκ τοῦ δι᾽ εὐφωνίαν, ὡς καὶ τὸ ἐπλάγχθη. καὶ παλιμπλαγχθέντες, ἀπὸ τοῦ πλάζω καὶ αὐτὰ γίνονται. κυρία δὲ λέξις τὸ ἔκλαγξαν. καὶ ἐξ αὐτοῦ κλαγγὴ, καὶ λαμπρὸν ἡ κλαγγὴ τοῦ κρωγμοῦ. ὡς καὶ τὸ κλάζειν καὶ κλώζειν, τὸ κράζειν καὶ κρώζειν προσῳκείωται. διὸ κορώνη μὲν ἡ κόραξ κρώζειν λέγονται, διὰ τὸ τραχὺ τῆς τοῦ ζώου φωνῆς.

Ἐκλακισμὸς, χῶμα χορικὸν, ὀρχήσεως εἶδος. Ἐκλαμβάνειν, ἐκλαμβάνειν δικαστῶς. Ἐκλάργνας, νόθος. Ἐκλαχὼν, διαλαχών. Ἐκλεκτέος, ἐκτριβέας. Ἐκλέγειν, τὸ ἀπαιτεῖν φόρους. ἀφ᾽ οὗ καὶ φόρων ἐκλογεύς, ὁ φορολόγος.

Ἐκλεγόμενος, προκρίνων, προλαμβάνων. Ἐκλείγοντες, ἀπαιδεύτως. Ἐκλειπία, ὁ συγχώρησις. ἀδικον ἦν γὰρ τὴν ἐκλειπίαν. Ἐκλείποντα, δύνοντα. Ἐκλείψει, ὑστερεῖ, ἀπολεῖται.

Ἐκλεκτός ἐστιν, ὁ ἀπὸ πολλῶν. διὰ τὸ ἔχειν αὐτὴν ἐργασίαν, παρὰ τοὺς ἄλλους ἐκλελεγμένος. Ἐκλέλαθα. ἐστὶ λήθω, ὁ μέλλων λήσω, παρακείμενος λέλησα. γραπτέον δὲ τὸ η εἰς α βραχὺ, λέλαθα, καὶ ἐκλέλαθα. Ἐκλέλαθον κιθαρισύν, ἐξενήνοχεν ἀπὸ τοῦ ἐκλανθάνω. τοῦτο γὰρ ἀπολλῆς ἀφαίρεσις, καὶ λήθη κιθαρίσεως, ἀπὸ τοῦ κιθαρίζειν. καὶ ὅρα ὅτι ἐκλέλαθον κιθαρισύν συντακτέον. τὸ μέν ἐστι παθητικὸν, γενικῇ συντάσσεται. οἷον, ἐκλελάθοιτο γάμοιο, ἢ ἐκλελαθόμενος πάντων. Ἐκλελάθοντο ἄλλων, τὸ ἐκ τῆς λήθης ποιητικὸν. ὡς ἀπὸ τοῦ ἔλαχον λελάχω ἐποίησε, οὕτως ἀπὸ τοῦ ἔλαθον λελάθω. Ἐκλελοιπὼς, ἀποβέβληκεν, ἀπέφυγεν.

Ἐκλελαμμένον, ἐξηγαμμένον. Ἐκλελαπτισμένον, ἐκπεπτωκόσι. Ἐκλελισμένος, ἐξιστραμμένος. Ἔκλεο, πεφήμισμαι. ἔκω τὸ εἶμι, κλέω. ἀφ᾽ οὗ τὸ κλείζω, μέσος δὲ αὐτοῦ ἐστιν ἐν τοῖς ἐπιθετικοῖς. ἔκλεο ὡς ἔθεο θείω, τὸ τρέχω. οἷον θείων ἀπὸ ποιητῶν ἀπολλύει. οὕτω καὶ κλέω κλείω. Ἐκλιπὲς, ἐκπορεύεται.

Ἐκ λεχέων, ἐκ τῶν κοιτῶν. Ἐκλεῖψαι, ἐκλιπεῖσαι. Ἐκλείψας, παραλογισάμενος, ἀπατήσας. Ἐκληθονίζειν, ἐξαπατᾶν.

Ἐκληθαίνω, πρωτότυπον μέν ἐστι τὸ ἐκλανθάνω. ἐστι δὲ ὅμοιον πρὸς τὸ ψύλλον. ὡς καὶ τὸ ψύλλον, τὸ ποιεῖν ψύλλους. οὕτω καὶ ἐκληθαίνω, τὸ ποιεῖν λανθάνειν. Ἐκλῆθος, ἐγράφος.

Ἐκλήισαι, περιφήμισαι, ποίμισαι. παρὰ τῷ Ἀπολλωνίῳ.

Ἐκ λιμένος, ἐκ τῆς λίμνης. Ἐκλιπεῖν, διαλαμβάνειν.

Ἐκλιποβιότευ, ἐκλείπουσιν, ἐκέχυσαν. Ἐκλιποθάνατον, ἐχθισθῆ κλεροδοσίαν. Ἔκλησιν θέμεν. Ὅμηρος ἐν Ὀδυσσείᾳ. ὃ δὴ μάλιστα εἰρήνης αἴτιον, θέσθαι ἀρχαῖον. κατὰ τὸ, ὦ πάντα λάθει τῶν κακῶν, ὡς οἱ Θηβαῖοι. ἔκλησις δὲ, ἡ ἄγαν λήθη κατ᾽ ἐπίτασιν τῆς προθέσεως. Ἐκλήσατο, ἐκάλεσεν. Ἐκλιάναι, λεῖναι. Ἐκλιμίαν, ἀχορτασίαν. Ἔκλιναν, εἰς φυγὴν ἐτρέψαντο. Ἐκλινομάχην. ἀρχὴν τῆς μάχης Ὅμηρος, τὸ ἐπιφανεὶς ἔρεισαι νίκην, ἢ ὁ μέσοις ἐσφάλλει λέγει. ὡς ἐκ διαλαχὸς γενὴν, ἐνίοις ἄλλα δὲ παρασταθεῖσαν ἐπὶ τῆς δίκης μερῶν. ὥσπερ γὰρ τὸ ἄριστον. ἀφ᾽ οὗ καὶ ἐτερομάλιος δίκη, ἐν ἧ μὴ ἀμφότεροι ἀντίδικοι. ἢ ὁ ἕτερος, ὁ ἐπιβὰς τῆς δίκης οὐδείς. Ἐκλιπὲς, ἐποίεσε καὶ δίκα τοῦ. ἐκπεσόντος τοῦ μέτρου, τὴν τοῦ ἀπόλλυσιν κατὰ καινοτέραν γραφήν. σημαίνει δὲ τὸ παρεκκλίνειν. Ἐκλιποῦσι, λίαν πάνυ καλεῖ. Ἐκλίπει, ψέλιον, ἐκπεσεῖν. Ἐκλιπὼν, οἷα ἐλλείψας. ἀδόκιμον γάρ.

Ἐκλιπόντας, ὅτι εἰς κρίσιν ἄγειν, εἰ ἐπάναγκες ἐκμαρτυρεῖ. Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας ἀπολογίᾳ. Ἐκλιχμᾶσθαι, ἐξαρπάζειν, ἐκθλίβειν. Ἐκλογεῖς, οἱ ἐκλέγοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ. Λυσίας ἐν τῷ περὶ τῆς δημοσίων φόρων. οἱ γενόμενοι δὲ ἐκλογεῖς παρ᾽ ἡμῖν, οἷς χρῆσθαι ἐδόκει, γένηται εἶναι. Λυσίας ἐν τῷ πρὸς Ἀριστοφῶντα. νῦν δὲ πρὸς τοὺς ἐκλογέας τῆς φορᾶς, ἅπαντα ἀπεγραψάμεθα. Ἐκλογεῖον, ἢ ἐκλογεύς.

Ἐκλογέα, κατάλογον. λέγεται. Ἐκλογισάμενοι, ἀριθμήσαντες. καὶ ἐκλογιζόμενος τὴν γραφὴν, ἀντὶ τοῦ ἀριθμῶν, καὶ ἀντὶ τοῦ διανοούμενος. Ἔκλογον δὲ, τὸ μεταξὺ λόγων. Ἐκλόνησεν, ἐτάραξεν. Ἐκλόπιον, ἔφθειρον. Ἐκλούεσθαι, προσκλύζεσθαι, παρὰ τῷ Ἱπποκράτει. Ἐκλούσαιτο, ἐκνίψαιτο. Ἐκλοφωνίζειν, ἐμαντεύειν. ὁ ἀπὸ ἀκοῆς μαντείας δεχόμενος. Ἐκλύει, ἀντὶ τοῦ χαυνοῖ. ὅθεν ἔκλυσις, ἡ πάρεσις καὶ χαύνωσις λέγεται. καὶ ἐκλύει, ἀντὶ τοῦ ἐλευθεροῖ. ὅθεν ἔκλυσις, ἡ ἐλευθερία. Ἔκλυσιν, ἀπόλυσιν, ἐκβολήν. Ἔκλυον, ἀπάκουον. Ἐκλυρὸν, χλωρὸν, λίπαρον. ἢ νοτερὸν, ἰκμερὸν, ὑγρόν. Ἐκλύσθη, ἐκ τοῦ κλύζω, ἀρίστη λέξις. ἀφ᾽ ἧς καὶ ὁ κλύδων. Ἐκλύσθη θάλασσα, οἷον ἐκλυδωνίσθη. ἐκκλύζω, καὶ ἐκλύσθη. ἀπὸ τοῦ ἐκλῶ ἐκλύω, ἀποβάλλειν τὸ ι. ἀντὶ τοῦ συγγραφῇ κεῖται. Ἔκλυτος, ἔνδοξος, τίμιος.

Ἐκλύτρισθαι, ἐκλύτρωσις, κάλυμμα. Ἐκλώθειν, κλωσμὸν ἔλεγον τὸν γινόμενον ἐν τῷ στόματι ψόφον, ὃ πρὸς τὰς ἐκβολὰς ἐποίουν τῶν ἀκροαμάτων, ὧν οὐχ ἡδέως ἤκουον. Ἐκλώπασον, ἀντὶ τοῦ ἐκλέπισον. Ἐκλοπίζει, λωποδυτεῖ. Ἐκλωπίζεται, ἐξαποδύεται, Ἀχαιοὶ οἱ δίκαιοι. Ἐκλωπίζω, ἐκδέρω. Ἐκμαγεῖον, σφραγὶς, ἐκτύπωμα. ἐκ τοῦ μάσσω, γίνεται μαγεῖον, ὁ ἀπομασσόμενος πάντα τὰ τῆς μάγιδος διαλεκτικά. μαγεῖον καὶ ἐκμαγεῖον, ὡς διδάσκαλος διδασκαλεῖον, καὶ πανδοχεὺς πανδοχεῖον, ὁ ἰατρὸς ἰατρεῖον. Ἐκμαγειωθεὶς, ἐξομοιωθεὶς ἐκμάσσει.

Ἐκμαγεῦσαι, ἐκτυπῶσαι. Ἔκμαγμα, τὸ συνεστραμμένον φύραμα. καὶ τὸ ἱεροκόμμαγμα, παρὰ τῷ Ἱπποκράτει. Ἐκμαίνω, ἐκβακχεύω. καὶ ἐκμαίνω ἐκεῖνον, ἀντὶ τοῦ εἰς μανίαν ἐμβάλλω. ἐκμαίνομαι δὲ ἐγὼ, ἀντὶ τοῦ μανίαν ἔχω. Ἐκμαλθακῶσαι, ἐκμαλάξαι, χαυνῶσαι. Ἐκμανῶ, εἰς μανίαν ἐμπίπτω. Λυκιανὸς, πατέρος κατὰ παῖδων ἐξεμαίνετο. ἐκμανῶ δὲ, τὸ ἐκταράττω καὶ παροξύνω. ἔστι δὲ ποιητικόν. Ἐκμάξαι, ἐκθλῖψαι. παρὰ τῷ Ἱπποκράτει. Ἐκμαρτυρεῖν φασι, τὸ λέγειν οὐχ ἅπερ αὐτὸς οἶδεν, ἀλλ᾽ ἅπερ ἐξ ἑτέρων ἤκουσε λεγόντων. ὅθεν ἐκμαρτυρία. Ἐκμαρτυρία. ἐκμαρτυρία γεγραμμένη ἀναγινώσκεται, ὅταν τις τελευτήσας ἢ ἀποδημήσας. ἡ ἐκμαρτυρία, ὅταν τις παρὰ τοῦ ἰδόντος ἀκούσας, λέγει κατὰ τοῦ φαύλου μαρτυροῦντος ἐν δίκῃ, ὃ καὶ ἐπισκήψασθαι ψευδομαρτύριον ἔλεγον. μαρτυρία δὲ καλεῖται, ὅταν τις αὐτὸς ἰδὼν μαρτυρεῖ. ψευδομαρτύριον δὲ κατὰ ἰδόντων μὲν, καὶ μαρτυρήσαντος ὁμολογουμένων, ἐν δὲ τῷ καιρῷ τῶν μαρτυριῶν ἐκλειπόντων. ἐκμαρτυρία δὲ διαφέρει τῆς μαρτυρίας, ὅτι ἡ μὲν μαρτυρία τῶν παρόντων ἐστὶν, ἡ δ᾽ ἐκμαρτυρία τῶν ἀπόντων. Ἐκματεῖσθαι, ἀναζητεῖν, παρὰ τῷ Ἱπποκράτει. Ἐκμελίζεσθαι, κατακλᾶν. Ἐκμειλιχθεὶς, ἐξευμενισθείς.

Ἐκ μελάθρων, ἐξ οἴκων. Ἐκμελὲς, ἠμελημένον. Ἐκμελὴς, ἀνάρμοστος, ἄτακτος, ἄρυθμος. Ἐκμελίτης μαστιγίας. Ἀριστοφάνης ἐν Βατράχοις ὑπήλλαξεν ἀντὶ τοῦ, φαίνου ἐκμελίτης ἡρακλῆς. μεταμφιέσθαι γὰρ τὴν ἡρακλέους στολήν. καλεῖται δὲ ὁ ἐν Μελίτῃ Ἡρακλῆς, ἀλεξίκακος. Ἔκμηλος, ἀλλότριος. Ἐκ μέσων νυκτῶν λέγουσι, καὶ ἐκ μεσημβρίας. Ἐκ μεταβολῆς, ἤτοι ἐκ μεταμελείας. οἱ δὲ μετὰ ταῦτα ἐκμεταβολῆς, ὡς ἐκ Ὀλυμπίας. Ἐκμεταμορφοῦνται, μεταμορφίζονται.

Ἐκμηνίων, ὀργιζόμενος. Ἐκμηρυομένης, ἀναλυομένης. Λυκόφρων· ἐκμηρυομένης, καὶ μακρῶς τὰς ἀγκύρας, ἀντὶ τοῦ ἀναλυομένης. Ἐκμηρυσάμενος, ἐξελκύσας, ἐκτείνας.

Ἐκμοχθούμενος, κατασκευάζων. Ἐκμιαίνομαι, τὸ ἐκσπερματίζω. Ἐκμιαίνεται, ἀποκρίνει τὸ σπέρμα, παρὰ τῷ Ἱπποκράτει. Ἐκμιμούμενος, ὁμοιούμενος. Ἔκμισθοι, οἱ μισθὸν μὴ λαμβάνοντες. Ἔκμολεν, ἐξῆλθεν. Ἐκμόλῃ, ἐξέλθῃ. Ἐκμυζήσας, ἐκπιέσας, ἐκθλίψας. Ἐκμυκτηρεῖ, βλασφημεῖται. Ἐκμυκτηρισμὸς, χλευασμός. Ἐκνήφω, ἐξυπνῶ, ἐκνηφῶ. Ἐκνέας μόνον λέγει, οὐκ ἐκ νέας ἡλικίας, καὶ

C ἐκνέος,

ἐκέλευε, παρ' Ὁμήρῳ. Ἐκέλευσεν, διεκελεύσατο. Ἐκεῖ [illegible] ἐκεῖσε [illegible] ἐκεῖ τυγχάνω, ἐκεῖ εὑρίσκομαι.

Ἐκεῖ, τοπικὸν ἐπίρρημα [illegible] [illegible] ἐκεῖθεν [illegible] ἐκεῖνο, ἀντὶ τοῦ αὐτό [illegible] ἐκεῖθεν [illegible] διφθόγγῳ [illegible]

[illegible]

ἀντὶ τοῦ ἐξεδέμην, προέῤῥιψα. ἐκ τοῦ πλοίου δὲ ῥόμαιος καὶ τὸ ἐκβάλλειν, ἀντὶ ἀποβάλλειν. Ἔκβασιν, τὴν πλήρωσιν, τὴν παῦσιν. ἀλλὰ ταῦτα σὺν θεῷ παρασχοῦ, καὶ τὴν ἔκβασιν. Ἔκβασις, πέρας λοιπὸς ὑποθέσεως. ἢ ἐκβλάστησις. Ἐκβατάνων, πρωτευόντων. Ἐκβεβοημένος, πολλὰ μὲν τοῖς κοινοῖς πολλάκις λαμβάνεται καὶ αὐτὸ ἐπὶ καλοῦ, πολλὰ δὲ τοῖς ἀττικοῖς ἀεὶ ἐπὶ κακοῦ.

Ἐκβεβόλικεν, ἐξωρμήκει, ἠφάνισε τὸ βέλος. Ἐκβέλιον, ἐκ τοῦ βελῶν. Ἐκβῆναι ὄρος, καὶ ποταμὸν διαβῆναι. Ἐκβέβηται, προβέβηται, ἐκβαίνει. Ἐκβιασθῇ, ἐκβληθῇ, ἐκριφῇ. λέγεται δὲ καὶ ἐπὶ τοῦ ὑπὸ τῆς θαλάσσης ἐκριπτομένου. λέγεται δὲ ὁ ἐξωθεῖται ὑπὸ τῆς θαλάσσης. Ἐκβιβάζει, ἀνάγει, δοκιμάζει.

Ἐκβιβάζων, ἐξαγαγών. Ἐκβιοῦσι, θρηνεῖ μετὰ κραυγῆς.

Ἐκβλαβέστερον, λιποχθέστερον. Ἐκβλῆσαι, ἐκθλίψαι, ἐκπιέσαι. βλίζειν γὰρ τὸ τὰ κηρία ἐκθλίβειν. Ἐκβλιστὸς, ἐκθλιπτὸς. Ἐκβολαί, ἔνθα ὁ ποταμὸς μίγνυται τῇ θαλάσσῃ. παρὰ δὲ, ὅθεν ἄρχεται. Ἐκβολῆσαι, ἐκ ῥιζῶν ἀνασπάσαι.

Ἐκβολὴ σίτου, ὁ σπόρος. καὶ ἐκβολὴ λόγου, παρέκβασις, μετάβασις. Ἐκβολίζεται, εἰς βασιλέως ἐκβάλλεται. Ἐκβρώσκεται, διαβιβρώσκεται, ἐκβεβρωμένα. Ἐκβράσσειν, ἐπὶ τῆς θαλάσσης λέγεται. ὅταν κλύδωνος γενομένου ἡ θάλασσα ἐκρίψῃ, καὶ ἐξάγῃ τὰ τῆς πολυχρόνιας φορτία. ὅθεν ἐκβράσματα τὰ ναυάγια, ἤτοι τὰ τεθρασμένα καὶ ἀπερριμμένα ξύλα. Ἐκβρασθεῖσα, ἐκβληθεῖσα, ἀποῤῥιφεῖσα. Ἐκβρασθῆν, ἐκριφὲν. λέγεται δὲ ἐπὶ τῆς θαλάσσης ἐκρίπτομένων. Ἐκβρασμός, ἔκρυσις, σπάσις, θόρυβος, ταραχή. Ἐκβρύσαι, ἐκβάλλει, ἐκβράσσει. καὶ τὸ ἐκβρύει.

Ἐκβολάς, τοῦ χρυσοῦ. Ἐκγαμίζεσθαι, ὅταν εἰς ἕτερον γένος ἐκδιδῶται πενθερός, οἷον τις μὴ προσήκουσι, τοῦτο ἐκγαμίζεσθαι λέγεται. Ἐκγεγάμην, Ὅμηρος. εὔχεται ἐκγεγάμεν, ἀντὶ τοῦ γεγονέναι. Ἐκγεγονέναι, ἀντὶ τοῦ ἐγγεγενῆσθαι. ὡς τὸ ἐκγεγονέναι τὸ μεγαλοφρονεῖν παροικοῦντος, τὴν ἀλαζονείαν ἐκφαίνει.

Ἐκγελάσαι, ἴσως μὲν τὸ χαιλὸν γελάσαι δηλοῖ. ἴσως δὲ τὸ ἐξ ἐπιπολῆς, οἷα βλαπτομένης τῆς ψυχῆς. διὰ τὸ συνδεῖσθαι τὴν τελευταίαν. κατὰ τὸ, ἐκ δ' ἐγέλασσε πατὴρ, παρ' Ἡσιόδῳ. Ἐκγελαστὸς, ἀντὶ τοῦ λίαν γελαστὸς. κατὰ ἐπίτασιν τῆς ἐξ προθέσεως, ὁ οὐ μόνον κατὰ τοῦτον γελάσαι, ἀλλὰ καὶ ἐκφέρει τὸν γέλων. ἢ ἐπὶ τὸν ἐκθορόντα παρ' Ἡσιόδῳ, ἐκγελάσαι τὴν δία. τὸ μὲν τὸ γέλων ἐκθετον, ὑπερβολὴν δηλοῖ γέλωτος. ἠρεμαιότερον δὲ τὸ ἐσωθεν ὑπὸ γελῶντος. ὁ φανερὸν δὲ πάντα τὸ ἀνοίγειν γελῶντος.

Ἐκγελάσασθαι, ἐκχλευάσαι. Ἐκ γενετῆς παρ' Ὁμήρῳ, δηλοῖ ἐκ τῆς γενέσεως μέλλοντος ἀρχὴν γενέσθαι. Ὅμως δὲ χρυσὸς εἰς πᾶσαν χαρίν. γενέσθαι δὲ καὶ ὁ γενέτης, ἢ ἡ γένεσις, καὶ τὸ γενέσιον, ἢ τὸ σύνοικον αὐτοῖς γενέθλιον. Ἔκγονον παλαιὸς λέγει Ὅμηρος, τὴν ψυχὴν. διὰ τοῦ ε, οὗ τὸ ῥῆμα ἐκγενέσθαι. ὅς ἐστι, τὸ μὴ ἐκφῦναι γενέσθαι, ὁ σύνοικον καὶ τὸ ἐκγεγάμεν. τὴν δὲ ἔγγονον μετὰ τοῦ γ, ὡς γεννηθέντα. Ἔκγονος Ὅμηρος εἰ δὴ τοῦ ἐξ ἐγίνετο ῥῆμα, ἔκγονον ἐξ αὐτοῦ λέγει, τὴν ἔκγονος γένος, ὅς ἐστιν ἐξ ἀπόγονον. ἡ δὲ τοῦ ἔγγονος γραφή, τὴν υἱοῦ Ὁμηρόν ἐστιν. ἢ ἔκγονος, ὁ υἱός. ἔκγονος δὲ, ὁ υἱοῦ, ἢ θυγατρὸς υἱός. καὶ ἔγγονος, ὁ πάππου θυγατρὸς. κυρίως δὲ θυγατριδοῦς μὲν ὁ θυγατρὸς υἱός. ἢ θυγατριδοῦς, ὁ θυγάτηρ. Ἐκγρηγόρως, ἐξεφάνησαν. Ἐκδάξει, ἐκδάκει. Ἐκδ' ἄγχει, ἐξάγχει δέ. Ἐκδ' αὔων, ἀφαιρῶ δέ.

Ἐκδ' ἔσαν, ἐξέβησαν δέ. Ἐκδεδαπανῆσθαι, σῶμα λαοῦ γεγονέναι. Ἐκδεδιῃτημένος, ὁ ἀπελαθεὶς ἢ ἔξω διαίτης.

Ἐκδεδοιμένος λέγεται, ἐπὶ τῆς μάχης συνόδων. Ἐκδειλίως, δειλαίως, ἐνδόξως. Ἔκδεια, ἡ πεπερασμένη δεινὸς, ἢ ἡ ἐκβολὸς ἑαυτῆς τῶν χρημάτων. ἐνδεία δὲ ἀκόλουθος. Ἐκδειματοῦνται, ἐκφοβοῦνται. Ἐκδέρεται, ἐκδιωκόμενοι. Ἐκδ' ἔδορ, ἐξέδωκαν. Ἐκ δὲ καρδίας. ὧδε δῖα πόλις ἐν χερρονήσῳ, ὀνομάσθη δὲ ἐκ τοῦ ἁρπάσαι κεραίαν καρδίαν ἐπὶ θυσίᾳ, καὶ κομίσαι εἰς τὸν τόπον, ὅθεν ἡ πόλις ἐκτίσθη. Ἐκδεικνύει, ἐκ τοῦ γράμματος. Ἐκδέξαι, ἀντιμάχην. Ἐκδ' ἔρχεσθαι, ἀντὶ τοῦ παλαιοῦ ἐρρέθη ἀκροατικῶς. ὡς τὸ, οὐδὲ φίλον λόγον ἐκδ' ἐρεῖσθαι τοῦ τὰ πλείονα φρονεῖν. Ἐκδέχεν, διαδοχοῦ. παρὰ τῶν ἱππεύοντων. Ἐκδ' ὄνιας, τὰς ἀγκύρας σὺν λίθοις τὰς στιλοπὰς, παρὰ τὸ ἐκτείνειν τὴν ναῦν χαλωμένας εἰς τὸ ὕδωρ, καὶ τοῖς ἐκδέσθαι. τρία δὲ σημαίνει ὁ λόγος παρὰ τῷ ποιητῇ, τὴν κοίτην, ὡς ὅταν λέγῃ, εὐνῇ ἐνὶ μαλακῇ. τὴν ἄγκυραν, ὡς νῦν, ἐκδ' εὐνὰς ἔβαλον. τὴν διατριβὴν, ὡς τὸ, ὅθι φασὶ τυφωέος ἔμμεναι εὐνάς.

Ἐκδέχεσθαι, ἀντὶ τοῦ ἀπέρχεσθαι, ἀποτίλλειν. Ἐκδέχεται, προσδοκᾷ, ἐκδαμάνει. Ἐκδέχη, τὸ ἐκ, ὑπολαμβάνεις. Ἐκ δὲ χρυσοῖς ἕδρανοῖς. ἐξέδρα δὲ τοῦ ναοῦ καὶ χρυσοῖς. Ἐκδέδεται, ἐκμαστιχεύονται. Ἐκδ' ἔλθοι, ἐξέλθοι. Ἔκδηλος, φανερός, ἢ ὑπερέχων. Ἐκδημεῖ, ἀπεδημεῖ, ἀναχωρεῖ.

Ἔκδημος, οὐκ ἀπόδημος. ἢ ἐκδημεῖ, καὶ ἀποδημεῖ. Ἀριστοφάνης ἐν βατράχοις, ποῖ γῆς ἀποδημεῖς. Ἐκδῆσαι σανίδας ὀπίσθιν, ἐν ὀδυσσείᾳ ψ. ὁ σφοδρολογικῶς ἤρξατο, ὅτι ἀν κατὰ πρώτην προσάψαι. οὐ γὰρ μετὰ τὸ σανίδας ἐκδῆσαι, ποτὲ θύρας ἁρμόζονται ὁ μελανθεὺς, ἀλλὰ προθεὶς χεῖρας ἢ πόδας, καὶ στεφῆ ἐκδιδοὺς ἀποκυρῶσαι, καὶ οὕτως αἱ σανίδες ἐκδέονται. διὸ καὶ πρὸς ἑρμηνείαν καὶ σαφήνειαν προσέθηκε, τὸ ὄπισθεν χρονικῶς. ἐν τῷ σανίδας δὲ ἐκδῆσαι ὄπισθεν, ἤτοι μετὰ τὸ πάντα ὅσα γε ἐπὶ τῷ μελανθίῳ ποιῆσαι. διὸ καὶ πάντα ποιήσαντες οἱ λοιποὶ, θύραν ἐπίθεσαν φασίν. ἔχει δὲ διαφορὰν τὸ ἐπιθεῖναι θύρας, ἢ τὸ ἐκδῆσαι. τὸ μὲν γὰρ ἀντὶ τοῦ κλεῖσαι, ὡς ἔρεισεν, κεῖται, καὶ μὴ ἐάσαι ἀνακτηθῆναι. τὸ δὲ ἐκδῆσαι, καὶ δεσμὸν ἐκβαλέσθαι δηλοῖ. καὶ ἐπὶ τὸ σανίδας ἐκδῆσαι, ὡς ἐκ μέρους δηλοῦσθαι, καὶ τῷ ἐπιθεῖναι. οὐκ ἔστι γὰρ δεθῆναι θύραν, μὴ πρότερον κλεισθεῖσαν. δηλοῖ δὲ, ὅτι τοῦτο ἐν τοῖς σανίσιν εἶπεν καὶ θύρας, ἢ θύρα. οὕτω καὶ πρὸ ὀλίγων τὸ τέλος τελαμῶνος ἔκλινε, κολλητοῖς εὐξέσας σανίδεσι, τουτέστι θύραις. Ἐκδιαιτηθῆναι, διαιτηθῆναι, ἢ διαφθαρῆναι. Ἐκ διαίτης, τροφή. ὁ δὲ, τροφαῖς μαλακαῖς καὶ ἐκδιαιτώμενοι διαλυθεὶς ἱκανῶς. Ἐκ διαμέτρου, τὸ πλεῖστον ἀπέχον διαστῆναι, ὁ τὰ ἄκρα καὶ μάλιστα διεστηκότα. οἷον ὅταν ὁ ἥλιος ἐν τῷ ἀνατολικῷ ὁρίζοντι ὑπάρχῃ, καὶ ἡ σελήνη ἐν τῷ δυτικῷ.

Ἐκδιδόντα, ἐπιδιδόντα, ἐκφέροντα.

Ἐκδιδοῦν, φησὶν, λείψανον συντετηγμένον. Ἐκδιδόναι, κλῶσμα, ὁ σαμαρ. Ἐκδίδως, προδίδως. Ἐκδιέτασεν, ἀνακῶς διώκουσιν. Ἐκδικεῖσθαι, ἀντὶ τοῦ ἄδικον ἐκπράξαι, διὰ τὸ δικάζεσθαι. Ἐκδίκησις, ἀνταπόδοσις. Ἐκδικῶν, ἐπὶ δικαίου καὶ ἀδίκου λέγεται. Ἔκδικος, ὁ τῶν ἀλλοτρίων ἐκδικῶν. ἐκδικος καὶ ὁ ἔξω τοῦ δικαίου. Ἐκ διόθεν, ποιητικῶς, ὡς τὸ ἐξ οὐρανόθεν. ἐκ τοῦ Διὸς, ἤτοι τοῦ οὐρανοῦ. Ἔκδικος ἔκδοσις, τὸ παλαιὸν διάθεσμα, οἷον ἐξ ὅσοις. καὶ ἐκ Διὸς ἔλαττα, τὰ ἄμετρα. Ἐκ δίφρου βαλεῖν, ἀντὶ τοῦ ἐκβαλεῖν, ἐξωθεῖν, ἐκρίψαι. Ἔκδοτε, ταυτὸν ἐστι τῷ ἀπέδοτε, ὅπερ χρηστικῶς λέγεται. τοῦτο γὰρ, τὸ ἀπολαῦσαι. Ἐκδοτος, προδιδομένος, ἀποδεδομένος. Ἐκδοῦναι, ἐκδοῦναι.

Ἐκδοχεῖον, τὸ ταμιεῖον. χαίρει καὶ ταμεῖον. Ἐκδοχὴ, ἀναμονή, προσδοκία. Ἔκδρομον, ἐκδρομὴν.

Ἐκδύειν, ἐκδῦσαι. Ἐκδύναι, ἐκδυσαι, λυτικῶς. Ἐκδύσεσθαι, ἐξέρχεσθαι. Ἐκ δυοῖν, ἐκ δύο, ἢ ἐκ δυοῖν ἄλλα βαλεῖν. ταῦτα εἰρηται ἐπὶ τῶν δύο τύπους ἢ ἄλλου πάθους οὐκ ὄψει δεηθέντων, οὐδὲ εἰδείρειας εἰδότων τὰς αἰτίας. Ἐκδύων, λαμβάνων, ἐκκλέψων. Ἐκδύεσθαι, καὶ ἀπεκδύεσθαι, ταυτὸν ἐστιν.

Ἐκδύω καὶ ἀπεκδύω, ταυτόν. πάντως καὶ ἀπεκδύεσθαι, καὶ ἐκδύεσθαι. Ἐκδ' ὦν, ἐξίων δέ. Ἐκέασεν, ἀντὶ τοῦ διέσχισεν. ἴσως δὲ καὶ τὸ ἐκέδασεν ἐκ τούτου γίνεται, πλεονασμῷ τοῦ δ. ἐκ γὰρ τῶν ταυτὸν τὸ ἐκέασεν, καὶ τὸ ἐκέδασεν.

καὶ ἑκάτης νῆσος. Λυκόφρων κατὰ μυσαίχμας, πρὸ τῆς δήλου κεῖται λεοντόδρομον, ὅπερ νῦν κοινῶς καλεῖται ψαμμιτοῦχα. ὡς Φανόδημος, Δηλιακῶν. ψαμμιτοῦχον δὲ ἐκλήθη· φησὶν ὁ Σημὸς, ἐν τῇ πρώτῃ, διὰ τὸ τοὺς ψαμμακοσίους ἐκμάθεν τὴν θεόν. ψάμματα δὲ εἴδη, ψαιστῶν τις ἰδέα. Ἑκατόγχειρ, Βριάρεως, καὶ αἰγαίων, τῷ ὄνομα. ἡ δ' ἱστορία, λέγομεν ἑκατὸν εἶναι αἰγαίωνα περὶ τὴν ἄσιαν. ἐξ οὗ παγαὶ ἑκατὸν ἀναπηδῶσιν, ἔτι ἐνθάδε. ἢ αὐτὸ τοῦτο ἑκατὸν καὶ τὰ ἐκεῖ πεδία λαμαίνουσι, τὴν τοῦ ἑκατόγχειρος μυθολογίαν παρέγαγον. φασὶ γὰρ ἐκ τῆς Ἀρριανοῦ ἱστορίας, ὅτι Βριάρεως γῆς καὶ οὐρανοῦ παῖς θαλασσοκρατήσας, ὁρμητηρίῳ ἐχρήσατο τῇ Εὐβοίᾳ τῇ νήσῳ. κἀκεῖθεν ὁρμώμενος, κατεστρέψατο τὰς Κυκλάδας. ὃς καὶ αἰγαίων ὠνόμασται ὑπὸ τῶν ἀνθρώπων. οὕτω δὲ καὶ σιτίων πολλαχοῦ λέγεται ὑπὸ αἰγαίῳ πελάγει, ὡς ἱστορίαν. σῆμα δὲ αὐτοῦ δείκνυσθαι κατὰ τὴν Φρυγίαν παρὰ ποταμὸν, οὐ πόρρω θαλάσσης, λόφον ἕνα, καὶ τοῦτον καλεῖσθαι αἰγαίωνος. καὶ ἀπὸ τοῦ λόφου ὄντα, πίδακας ἐκδιδόναι ἑκατόν. καὶ ταύτας καλεῖσθαι παλάμας Βριάρεω. ἴσον οὖν περὶ ἑκατὸν, φασὶν τὴν τοιαύτην ὁ μῦθος, οὕτω καὶ αἰγαίωνα ἑκατόγχειρον ἔπλασεν. καὶ ἔστι καθ' ἱστορίαν ἐκεῖνο μὲν περιουσίας ἀρχικῆς σύμβολον, καὶ τοῦ πολλὰ δύνασθαι τὴν τοιαύτην φράσιν. ὅσον δὲ τὸ πολλὰ στόμια αἴτημα ἐστιν. ὅθεν καὶ ὁ πολυμήχανος ἀρχιμήδης, μετὰ περιβολὴν πολλὰ βέλη ἀφιεὶς, ἑκατόγχειρ πρὸς τῶν βαλλομένων ἐκλήθη. καὶ ἄλλως δὲ φράσαι, ἵνα ᾖ ἑκατόγχειρ, ὁ πολύχειρ, ὁ πράσσων, ὁ πλήθει στρατοῦ, ὁ μηχαναῖς. τὸ δὲ ἑκατόγχειρον ἄν γενικὴ εἴη τοῦ ἑκατόγχειρος. οὗτος ὁ Βριάρεως φίλα φρονεῖ τῷ πατρί, ὅτε τῷ Κρόνῳ ἐπῆν κατὰ τὴν Ἀρριανοῦ, ὁ ποσειδῶνι κατὰ λέξιν. Ἑκάτη, τῆς ἀπόλλωνος τῆς μακρόθεν βάλλοντος, τῆς ὁμοίου. ἐκ τοῦ ἑκὰς, ἑκατος, ἑκάτη. Ἑκατομβαιὼν, ὄνομα μηνός. ὡς πῶς δὲ ἐν τῆς ἑμφανοῦς φασιν, ἀπὸ τοῦ πλείστας τούτου ἐν τῷ μηνὶ θύεσθαι ἑκατόμβας κεκλῆσθαι. Ἑκατόμβη οὐχ ἡ ἁπλῶς θυσία, ἀλλ' ἡ πλατύλος. ἡ ἐξ ἑκατὸν δηλονότι κυρίως βοῶν. ὃν δὴ καὶ βούταν φόνον κατὰ τὴν τραγῳδίαν, ὀρθῶς εἴποι τις ἄν. ἐνίαυτοι καὶ ἡ παρὰ Ἡροδότῳ τότε κληθεῖσα, εὐχὰ τῆς τῶν θυγατρὸς μεταπέρας, καὶ τοὺς πολλάκις. καθὰ καὶ χιλιόμβη, ἡ ἀπὸ χιλίων. καταχρηστικῶς μέν τι καὶ ἡ ἐξ ἑκατὸν ζώων. ἢ ἀκριβέστερον εἰπεῖν, βουκομάτων τῶν βοῶν μέρος νεκροτάγοντος. ἢ ταῖς δὲ ἑκατόμβην ἀορίστως φασὶ τὴν ἐκ πολλῶν ζώων ἁπλῶς, οἷον τὴν ἑκατὸν ἀριθμὸν πολλάκις, καὶ ἐπὶ τοιούτω σημαινομένου ἐστὶ ἀκουστέον αἰσχυνομένως καὶ ἐν τῷ ἑκατόζυγος ναῦς, ἡ πολύζυγος, καὶ ἑκατὸν δὲ δούρατα ἐπέβας. καὶ ἑκατόγχειρ αἰγαίων, καὶ ἑκατόμπολις Κρήτη. σημειοῦσθαι ὅτι εἰ καὶ πολλὰ ζῶα ἐν τῇ ἑκατόμβῃ, καὶ ὅμως τὸ τοῦ βοὸς ὄνομα, διὰ τὸ τίμιον. Ἑκατόμβοιον, καὶ ἐννεάβοιον. ὥσπερ καὶ δωδεκάβοιον, καὶ εἰκοσάβοιον. καὶ ἐστι ζητῶν, εἰ μὲν ἐπὶ νομισμάτων ἀκούεται βοῶν εἰργασμένον τὸ νόμισμα, λέγεται διὰ τὸ ἐν αὐτῷ τοῦ βοὸς ἐκπαλαιοτέρων, κατὰ ἐκεῖνον τὸν χρόνον οἱ παλαιοὶ τὰ βιώσιμα τιθέασι. διὸ βόας ἑκατὸν τοκὸν, ἢ ἐννέα, ἢ δώδεκα, ἢ εἴκοσιν, ἢ ἁπλῶς πολὺ δὲ ὠνούμενοι ἐκτέοντα. Ἑκατόμβοιος, ὁ ἑκατὸν, ἤτοι πολλῶν βοῶν ἄξιος, τουτέστι ζώων. ἐκ γὰρ τοῦ βοῶν μέρος ἑνὸς, πάντα δηλοῖ τὰ τετράποδα. διὸ ἦν αἱ συναλλαγαὶ τοῖς παλαιοῖς. τίμιον δὲ ἐκείνοις μάλιστα ὁ βοῦς. διὸ ἐξ αὐτοῦ πολλὰ βιωτικὰ δηλοῦται συναλλάγματα. ὡς ἡ ἑκατόμβη, ὡς καὶ ἀλφεσίβοιαι παρθένοι, ὡς τεσσαράβοιον. ἢ δωδεκάβοιον, καὶ εἰκοσάβοιον. ἀπὸ δὲ τοῦ τοιούτου ζώου, ἐχάραττον ἐπὶ βοῶν καὶ τὰ νομίσματα. διὸ βοῦν ἐπετύπωσαν ἐν αὐτοῖς. καὶ μάλιστα οἱ Ἀθηναῖοι ἐκτίμων τὸ ζῶον. ἐντεῦθεν ἡ παροιμία, βοῦς ἐπὶ γλώττης· φέρει, ὅτε τὴν δῶρα λαβὼν σιωπᾷ.

Ἑκατόμβοιος, πλείστου ἄξιος νομισμάτων. βοῦς, ἀττικὸν νόμισμα παλαιόν. ἐλέγετο δὲ οὕτως, ὅτι βοῦν εἶχεν ἐντετυπωμένον. ἡ ἑκατόμπεδος, ὀνομαζομένη ἐκ τῆς Ἀθηνᾶς νεὼς ἑκατὸν, ἐκ πάσης πλευρᾶς. διὰ τοῦτο γὰρ καὶ ὠνόμασται. καλοῦσι γὰρ αὐτὸν ἑκατόμπεδον. ἡ ἑκατόμπολον, τὸ θέατρον, ἤγουν ἑκατὸν ποδῶν. Ἑκατόμπολις Κρήτη, ἐν τῷ καταλόγῳ λεγομένη, ἐνενήκοντα πόλεις ἐν τῇ ὀδυσσείᾳ ποιεῖται. καὶ οἱ μὲν φασιν, ὅτι ἀληθῶς ἑκατόμπολις ἦν κατὰ τὴν ἱστορίαν. λεῦκος δὲ, οὗ καὶ ὁ Λυκόφρων μέμνηται, δέκα πόλεις ἐπόρθησεν ἀναστήσας, καὶ ἐπώνυμος τῷ ἰδομενεῖ. ὅθεν ἐν τῇ ὀδυσσείᾳ ἐνενήκοντα πόλεις ἔχειν ἡ Κρήτη λέγεται. ἄλλοι δὲ εἶπον, ὅτι ἑκατόμπολιν ὁ ποιητὴς τὴν Κρήτην εἰπὼν, ἀφ' ἑαυτοῦ εἶπεν. ἤγουν τὸ ἐπὶ τῶν ἀμφοῖν ἐν αἷς αὐτὸς περιῆν. ἐπὶ μέν τι τῶν τρωικῶν ἐνενήκοντα ἦσαν. Ἀλκαμένης δέ φασιν ἑκατὸν ἄργους ἔκλεισε τὰς δέκα. ἢ καὶ ἄλλως εἰπεῖν, μετὰ τὰ τρωικὰ ἐκτισθείσας δέκα, ὡς ἱστορεῖ Ἔφορος. ὥστε κατὰ ταῦτα πρὸ μὲν τοῦ Ὁμήρου ἐνενήκοντα ἦσαν, εἴτε λεύκου πολιορκήσαντος τὰς δέκα, εἴτε καὶ ἄλλως πῶς. ἐπὶ δὲ τοῦ Ὁμήρου ἑκατόν. ἱστορεῖται δὲ καὶ ναυκρατοῦσί ποτε οἱ Κρῆτες. ὥστε ἡ παροιμία εἰς τοὺς προσποιουμένους ἀγνοεῖν, ἃ ἀκριβῶς ἐπίστανται, ὁ Κρὴς τὴν θάλασσαν. ἐπειδὴ ὁ τοιοῦτος νοεῖ μὲν, ὑποκρίνεται δὲ ἀγνοεῖν. ἴσα λέγει ἡ παροιμία, ὅτι ὁ Κρὴς ἀγνοεῖ τὴν θάλασσαν. εἰρωνικοῦ λαληθέντος τοῦ λόγου. ἔπαχον δὲ καὶ κακίρωσιν, οὓς καὶ ἐν νόμῳ εἶχον. ὡς δὲ καὶ πανοῦργοι οἱ Κρῆτες, καὶ χείρους, ἅπερ οἱ κατὰ φθόνον, ἑτέρα παροιμία δηλοῖ, ἡ λέγουσα, πρὸς Κρῆτα κρητίζεις. ἤγουν πρὸς οὐκ ἀπάνουργον ἄνθρωπον τοὺς δόλους ῥάπτεις. Ἑκατοντάρχας ἐκκυλίζων, ἀπολλῶν, ἀναιρῶν. ἐκ μεταφορᾶς τῶν τὰ λάχανα ἀνασπώντων. Ἑκατόστομον, πολὺ, μέγα. Ἑκατόγχειρον, κυρίως μὲν τὸ μυθικόν. ἢ ἑκατόπηχυν διὰ τὸ μέγεθος, ἢ ἑκατὸν χεῖρας ἔχοντα. Ἑκατὸν ὁ ἀριθμὸς, παρὰ τὸ ἔχω ἑκατὸν, καὶ ἑκατόν. ὡς γὰρ οἱ ἐπὶ πέρας ὁδοῦ ἐρχόμενοι ἐπέχονται, οὕτω καὶ οἱ ἐπὶ πέρας ἀριθμοῦ ἐρχόμενοι ἐπέχονται. ἢ παρὰ τὸ ἥκειν καὶ φέρειν δέκατον ἀριθμὸν, ἢ ἀπὸ τοῦ ἑκάς. Ἑκατόγυιος, ἑκατὸν ἐκβέβηκε ἔχων. Ἑκατονκάρανοι, ἑκατὸν καὶ ἐπιζήμιον πραττόμενοι. Ἑκατος ὁ ἥλιος, ἐκ τοῦ ἑκὰς ἑκατος. εὐτελῶς ὀνομασθεὶς ἀπὸ τοῦ ἑκάστου. Ἑκατοπαῖος τόκος, ὁ ταιζόμενος εἰς δώδεκα νομίσματα. τὰ ἑκατὸν νομίσματα.

Ἑκατοστὸς ὁ ἀριθμὸς, ὡς χιλιοστὸς, συγγίνεται. Ἑκάχιν, ὑπεκύησεν. Ἐκβεβαλὼς, ἐκβαλοῦσα. Σοφοκλῆς ἐν ἀντιφωρίδαις. Ἐκβαίνει, ἀντὶ τοῦ εἰς τέλος ἔρχεται, καὶ ἀντὶ τοῦ συμβαίνει. οἷον ἐξέβη μοι πεπλῆσθαι δύσκολον δαίμονος. καὶ ἀντὶ τοῦ ἀποβαίνει ἀπὸ νεώς. Ἀριστοφάνης. οἷον, ἐκβαίνει, ἀπόδος τὸν ναῦλον. καὶ ἐκβαίνει, ἀντὶ τοῦ ἐξέρχεται, μετὰ γενικῆς συντάσσεται. οἷον, ἐκβαίνει τοῦ νεὼς καὶ ἀπόδος τὸν ναῦλον. Ἐκβακτηρίας ἀρτίμως, ἐν σίφων. Ἐκβακχεύει, ἐκπλάσσει, ἢ ἀνέμως ἑορτάζει. Ἐκβακχευθεὶς, ἐκμανείς. Ἐκβολεῖν λέγουσιν ἰδίως, τὸ κροῦσαι ταῖς ναυσίν. Ἐκβάλλω, καὶ ἐκδίδωσιν ὁ ποταμὸς εἰς τὴν θάλασσαν καὶ ἐξίησιν, οὐκ εἰσβάλλει, οὐδὲ εἰσδίδωσιν, οὐδὲ εἰσίησι. ἡ ἐκβάλλει ὁ ποταμὸς εἰς θάλασσαν, ἤγουν ἐξάγει καὶ ἀποφέρεται, ὃν κατασύρει συρφετόν. ἐξ αὐτοῦ δὲ καὶ ὁ ἔκβλητος παρ' Εὐριπίδῃ. καὶ ὁ ἐπὶ ὀξέος ἀκρωτηρίου ἔκβολος, ἔσωθεν καὶ τὸ ὑπὲρ ἀκμῆς ῥόθιον, ὁ τρικύμιος παλαντεύει κῦμα τοῖς περὶ φωθεῖν βλέπουσιν. ὡς καὶ ἔμβολος λέγεται, καθ' ὁμοιότητα τοῦ ἐμβόλου τῆς νεώς. Ἐκβάλλεται, ὁ ἔνδον ὢν ἐκκλείεται, ὁ μὴ εἰσελθεῖν συγχωρούμενος. Ἐκβάλλω, ἐκβαλῶ, ἐκβέβληκα. ἐκβάλλομαι, ἐκβαλοῦμαι, ἐκβέβλημαι, ἐξεβλήθην. καὶ ἐκβάλλω, τὸ ἐξάγω, ἐξαιροῦμαι, ἀναιρῶ, περιαιρῶ, ἐκπίπτω, ἐκφέρω, ἐκκρούω. καὶ ἐκβάλλω, τὸ ἀποστέλλομαι, καὶ ἐκπέμπω, καὶ ἐξορίζω, μετὰ αἰτιατικῆς. ἡ ἐκβάλλω, τὸ ἀποκρίνω. οἷον ἐκβάλλω ἐκ τοῦ κλήρου. μετὰ αἰτιατικῆς καὶ γενικῆς συντάσσεται. Ἀριστοφάνης, σὺ πρῶτον ἐκβαλεῖς ἐκ τῆς ὁδοῦ, καὶ ἐκβάλλω, ἐκβαλῶ, ἐξέβαλον. ἐκβέβληκα. ἐκβέβλημαι, ἐκβληθήσομαι, ἐκβέβλημαι, ἐξεβλήθην. Ἔκβολον ἴχνος,

ἀντὶ

[illegible]

[illegible]

[illegible]

ΤΟ Ε, ΜΕΤΑ ΤΟΥ Κ.

[illegible]

ἡ λέξις. ἐν ἐνίοις δὲ ἀντιγράφοις, εἰσί φρενὶ γέγραπται. ... τοῦ. λέξεως ... ἔστι δὲ καὶ ἡ μεταφορὰς ἐναλλὴν.

Εἴσας, εἰς ἴσον ἰκέσαι μεμψιμοίρους, ... εἴσας. [illegible]

[illegible]

[illegible]

[illegible]

προπαροξυτόνως, καὶ πλεονασμῷ τοῦ ι, εἰρέσθαι, ὡς ζητεῖσθαι.

Εἰρέσθαι προπαροξυτόνως, ἐκ τοῦ ἔρω ἔρομαι εἴρομαι, εἰρόμην εἴρετο εἴρεται. τὸ ἀπαρέμφατον εἰρέσθαι, ὡς λελέσθαι. Εἴρυσθαι θεοῦ δίκην, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, ἀντὶ τοῦ φυλάξασθαι, ...

[illegible]

πληρούμενος. ἐφόρουν δὲ παῖδες τὰ ὡραῖα πάντα. ἵστατο δὲ αὕτη πρὸ τῶν θυρῶν, κατὰ τὸ παλαιὸν χρηστήριον. οἱ μὲν γάρ φασιν, ὡς λιμοῦ πάλιν τῶν γῆν κατασχόντος, ὁ θεὸς εἶπε πρὸς εἰρεσιώνην, ὑπὲρ ἁπάντων θῦσαι θυσίαν Ἀθηναίοις. οὗ ἕνεκα χαριστήρια πάντες ὅθεν ἐκτίμησαν Ἀθήναζε, τῶν καρπῶν τὰς ἀπαρχάς.

Ἄλλως. Εἰρεσιώνη, ὥς λέγει Παυσανίας, θαλλὸς ἐλαίας ἐστεμμένος ἐρίῳ, προσηρτημένους ἔχων διαφόρους ἐκ τῶν καρπῶν. τοῦτον ἐκφέρει παῖς ἀμφιθαλὴς, καὶ τίθησι πρὸ θυρῶν τοῦ Ἀπόλλωνος ἱεροῦ, ἐν τοῖς Πυανεψίοις. λέγεται γάρ φασι, Θησέα ὅτε εἰς Κρήτην ἔπλει, προσχόντα Δήλῳ διὰ χειμῶνα, εὔξασθαι Ἀπόλλωνι κατασκέψασθαι κλάδοις ἐλαίας, εἰ τὸν μινώταυρον κτείνας σωθῇ, καὶ θυσίαν. ὁ γοῦν ἐκστρατείαν ταύτην καταστέψας, ἐξῆσαι λέγεται χύτρας ἀθάρας καὶ ἔτνους. καὶ βωμὸν ἱδρύσασθαι, διὸ καὶ Πυανέψια λέγεσθαι, οἷον κυανέψια, διὰ τὸ κυάμους πρότερον τοὺς κυάμους καλεῖσθαι. ἄγον δὲ καὶ ὅτι ταῦτα, καὶ ἐπὶ ἀποτροπῇ λιμοῦ, ᾖδον δὲ παῖδες οὕτω. Εἰρεσιώνη σῦκα φέρει, καὶ πίονας ἄρτους, Καὶ μέλιτος κοτύλην καὶ ἔλαιον ἐπιψήσασθαι, Καὶ κύλικα εὔζωρον, ἵνα μεθύουσα καθεύδῃ. μετὰ δὲ τὴν ἑορτὴν ἐξενεχθῶσι τιθέασι παρὰ τὰς θύρας. Κράτης δέ φησιν, ἀφορίας ποτὲ κατασχούσης Ἀθήνας, θαλλὸν φασι καταστέψαντας ἐρίοις, ἱκετηρίαν ἀναθέσθαι Ἀπόλλωνι. ἄλλως δὲ λέγεται, καὶ ὅτι σύμμα λαβὸν, ἢ φοινικοῦν ἀπήρτων τοῦ θαλλοῦ. ἢ ὅτι προτίθεν ἱκεσία τῷ Ἀπόλλωνι, οὗ ἦν ἱερεῖς οἱ περὶ Θησέα σωθέντες λεχθῶσι. καὶ ὅτι καταχύσματα καὶ κύλικα οἴνου κεκραμένου καταχέοντες αὐτῆς, ἐπῇδον τῶν φθινόντων ᾠδήν. Εἴρει. ἔρομαι κοινῶς, τὸ ἐρωτῶ. εἴρομαι, ποιητικῶς κατὰ πλεονασμὸν τοῦ ι. ἀπὸ μὲν τοῦ ἔρομαι, ἐρόμην, δεύτερος ἀόριστος διὰ τοῦ ο. ἀπὸ δὲ τοῦ εἴρομαι, εἰρόμην παρατατικὸς, διὰ τῆς ει διφθόγγου, ἐν σημασίᾳ ἀορίστου, κατὰ τὴν ποιητικὴν συνήθειαν. Εἴρω, σημαίνει τὸ ἐπαρύτω. ὡς τὸ, εἶρεν δ' αὐτὰ ἔπειτα βοῶν ἀγαθὸς Μενέλαος. σημαίνει καὶ τὸ λέγειν, εἴρεν Δεύτερον αὖτις. καὶ πληθυντικῶς εἶρον, ἀντὶ τοῦ ἔλεγον. εἴρουν δὲ καὶ διέπλεκον. Εἰρήσεται, λεχθήσεται. εἴρω δὲ τὸ λέγω, οὗ ὁ μέλλων ἐρῶ. Ἡσίοδος, ἐν τῇ θεογονίᾳ.

Εἴρη, ἡ ἐκ τῶν ἄλσεων γενομένη ταῖς περιλαμπὲς χρόα. τὸ καλούμενον τόξον. Εἴρη, ἐρώτησις, φήμη, κληδὼν. Εἰρέθισται, ἐρίζεται. Εἴρηκα, ἔλεξα, εἶπον. ἐκ τοῦ ἐρῶ ἐρήσω, εἴρηκα.

Εἴρηκα, ἀντὶ τοῦ ἔλεξα, κατονίζεται οὕτω. ῥῶ τὸ λέγω, ὁ μέλλων ῥήσω, ὁ παρακείμενος ῥέρηκα. καὶ ἐκβολῇ τοῦ πρώτου ρ, ἔρηκα. καὶ πλεονασμῷ τοῦ ι, εἴρηκα. ὁ ὑπερσυντέλικος, εἰρήκειν, εις, ει.

Εἰράκεν, εἰρήκει λέγουσιν Ἴωνες ἀπὸ τοῦ εἰρήκεια. ὥσπερ ἤδεια ᾔδει. ὁμοίως δὲ εἰσόκειν εἰσήκει, ὡς ἀπὸ τοῦ εἰσήκεια. ὅμως τὰ τούτων πρόσωπα φέρε, κατώτερον σὺν τῷ ι προϊὸν ἀπὸ τοῦ εἰράκην, εἰσόκην. καθὰ τὸ ἤσκην ἔρια καλὰ, ἀπὸ τοῦ ἴσκην. θεσσαλοὶ δὲ λέγουσι καὶ παρὰ τοῦ κωμικοῦ, ὃ ἦσαν ὁ δεῖνα, ἀντὶ τοῦ ᾖδειν. Εἰρηκὼς, εἰπών. Εἰρημένον, λελεγμένον, εἰρημένον πινύς ἅπαντα ὡς λέγει. ἀττικῶς, ἀντὶ τοῦ εἰρημένα ἔρχεσθαι, οὐ περὶ φαύλου πράγματος, ἀντὶ τοῦ εὐτελοῦς. Εἰρημένος, ὁ λεγόμενος, διὰ διφθόγγου καὶ ἔστι θέμα ῥῶ τὸ λέγω, ὁ μέλλων ῥήσω, ὁ αὐτὸς παρακείμενος ῥέρηκα. καὶ ἐκβολῇ τοῦ πρώτου ρ ἔρηκα. καὶ πλεονασμῷ τοῦ ι εἴρηκα. ὁ παθητικὸς εἴρημαι, καὶ ἡ μετοχὴ εἰρημένος. Εἰρήν, ὄνομα ἡλικίας, παρὰ τὸ ἔρειν τὸ λέγειν, ὁ ἤδη λέγων καὶ δημηγορῶν. καὶ γὰρ τὰς ἐκκλησίας εἴρας προσηγόρευον. οἱ μὲν παρὰ τὸ εἴρω, τὸ λέγω, διὰ διφθόγγου. οἱ δὲ ἀπὸ τῆς ἱερᾶς εἶναι, διὰ τοῦ ἰῶτα. Εἰρηνάρχει, κρατεῖ. Εἰρηναῖον, εἰρηνικόν. Εἰρηναῖος, διαλλακτήριος. Εἰρηνεύομεν, εἰρηνικῶς διάγομεν. Εἰρήνη, ἡ ἀγάπη, ἡ πρὸς τὸ ὁμόφυλον γινομένη διάθεσις. ἢ ἡ πρὸς τοὺς πολεμοῦντας ἐχθροὺς ἡσυχία. παρὰ τὸ εἴρω τὸ λέγω. ἢ παρὰ τὸ εἴρειν ἡμᾶς ἐν αὐτῇ, ὅ ἐστι συμπλέκειν. Εἰρηνοποιὸς, ὁ τὴν εἰρήνην ἐν ἄλλοις κατασκευάζων.

οὐκ ἂν δὲ δὶς ἐπιβουλεύσειεν, ὃ μὴ αὐτὸς ἔχει. κυρίως δὲ εἰρηνοποιὸς, ὁ τὴν ἐναντίαν στάσιν τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ τὸν ἐμφύλιον τοῦ φθόνου πόλεμον, εἰς εἰρηνικὴν ἄγων. Εἴρησαν, εἶξαν. Εἰρήσθω, λεγέσθω. Εἰρήσονται, λελέξονται, μετ' ὀλίγον μέλλων. ἐκ τοῦ εἴρημαι, εἴρησαι, παρακείμενον. Εἴρησιν, εἰσφθάρη. Εἰρήσομαι, ἐρωτήσω. Εἴρηται, ἀντὶ τοῦ λέλεκται. καὶ εἴρεται, ἐρώτησεν. Εἰρητὴς, αἴτιος. Εἴρια, μαλλία. εἴρια τε ῥαδινὰ λέγεται. καὶ εἰροκόμος, ὁ τὸ μαλλὸν ἐπιμελητής. καὶ εἰροπόκος, ὁ τὰ ἔρια ποιῶν καὶ ἐργαζόμενος.

Εἴρκται, ἑάλωκε, κεκώλυται. Εἱρκτὴ, ἀσφάλεια. καὶ εἱρκτὴ, ἡ φυλακὴ, παρὰ τὸ ἕρκος. Εἱρμολόγιον, βιβλίον τι. ἢ εἱρμὸς, ὁ καθ' εἱρμόν. Εἱρμὸς, παρὰ τὸ εἴρω, τὸ συμπλέκω. εἱρμὸς δὲ, καὶ εἶρξαι, κωλῦσαι, κατακλεῖσαι, συγκλεῖσαι. Εἶρξαν, ἐκώλυσαν, ἀόριστος πρῶτος ἐκ τοῦ εἴργω. Εἶρξας ἔνδον, παρὰ τῷ Ἀριστοφάνει, ἀπεκλείσατε. δασέως δὲ εἷρξας ἀττικοί. τὸ μέν τι παρὰ τῷ Ὁμήρῳ, ἐρχθεὶς ἐν μεγάλῳ ποταμῷ, ψιλῶς. τὸ δὲ ἔρξας, δασέως ἀναγινώσκομεν, ὅταν τὸ πρᾶξαι δηλοῖ. Ἡ μὲν ἂψ ὡς ἔρξασ' ἀπεβήσατο δῖα θεάων. τὸ δὲ ἐπὶ τοῦ εἱρκτῆς, δασέως ἀττικῶς. Εἰροκόμος. τὸ ἔρος πλεονασμῷ τοῦ ι, γίνεται εἶρος. ὡς τὸ, ἰοδνεφὲς εἶρος ἔχουσα. σημαίνει δὲ τὸ ἔριον, γίνεται ἐκ τοῦ ἔρω, τὸ κάμνω. Εἰροκομῶ, ἐριουργῶ, ἐπιμελῶ. Εἰρόμενος. Ὅμηρος, ὅς κατὰ μέ φασιν εἰρόμενος, ὅ ἐστιν ἐρωτῶν. Εἴροντο, λέγοντες, ἠρώτων. Εἰροπόκος, μαλλοὺς πλέκων, ἢ κτενίζων. παρὰ τὸ ἔριον, καὶ τὸ πέκω τὸ κτενίζω, γίνεται ἐροπόκος, καὶ εἰροπόκος. εἴρηται δὲ παρὰ τὸ πέκειν, ὅ ἐστι ξαίνειν. Εἰροπόνος, ὁ περὶ τὰ ἔρια πονῶν. Εἰρόποκος ὄϊς λέγει Ὅμηρος, καθ' ὑπεροχὴν πρὸς τὰ ἄλλα ζῶα. οὐδὲν γὰρ ἄλλο ζῶον οὕτω πέπαται εἰς εἶρος, ἤγουν ἔριον. ὁ καὶ αἶγες περὶ τὰς χώρας ἔχουσιν ἐν ἑτέραις θρίξιν φέρουσαι, οἱ μὲν ἐριοφοροῦσαι. ὅτι δὲ διαφέρουσιν θρὶξ καὶ ἔριον, οὐκ ἔστιν ἀμφισβητεῖν, παρά γε ὄϊς προσθεμένοις ὀρθολεκτεῖν. ἐκεῖνο δὲ, ὡς τὸ μὴ ἐριοφορεῖν παροιμία ἐξήνεγκε, τὸ, εἰς ὄνου πόκας, ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνοσιοτελῶν. ἣν παραλαβὼν ὁ κωμικὸς, ὅνου πόκας παίζων πλάττει, ὡς οἷόν τε χωρίον ἐν ἄδου. Εἶρος, πρωτότυπον ἐπὶ τοῦ ἐρίου, ὡς τειχίον. θηρίον, ὡς ἴχνιον. καὶ εἶρος, ἔριον πτωχόν. Εἰρῶντα, ἐρωτῶντα. Εἴρωμεν, τὸ ἔρχειν κυρίως ἐπὶ τοῦ ὄφεως, καὶ σκωλήκων, καὶ ἑτέρων ἀπόδων ζώων λέγεται. ἐνίοτε δὲ, καὶ ἐπὶ τοῦ βαδίζειν λέγεται. Εἶρπον, μετὰ χολῆς ἐβάδιζον. Εἰρύαται, εἰρύσμαι ἐνεστὼς. εἰρύσομαι μέλλων, εἴρυμαι παρακείμενος, τὸ τρίτον τῶν πληθυντικῶν εἴρυνται, καὶ ἰωνικῶς εἰρύαται. καὶ εἰρύαται, φυλάττουσιν. εἰρύω εἴρυμι. τὸ παθητικὸν εἴρυμαι, τὸ τρίτον εἴρυνται. καὶ ἰωνικῶς εἰρύαται. ἢ εἰρύομαι ἐνεστὼς, εἰρύσομαι μέλλων, εἴρυμαι παρακείμενος, τὸ τρίτον τῶν πληθυντικῶν εἴρυνται, καὶ ἰωνικῶς εἰρύαται. Εἰρύατο νῆες, πεπτάσιν εἱλκυσμέναι ἦσαν.

Εἰρύεσθαι, τὸ φυλάττειν. ἀπὸ τοῦ ἐρύω, πλεονασμῷ τοῦ ι. ὥσπερ καὶ ἑῶ, καὶ ἐρωτῶ, εἰρωτῶ. Εἰρύοντο, ἐφυλάσσοντο. Εἰρυόμεθα, φυλάττομεν. Εἴρυον, εἷλκον, καὶ εἰρύσαντο. Εἰρύσσασθαι, ἐρύομαι τὸ φυλάσσω. καὶ πλεονασμῷ τοῦ ι εἰρύομαι, εἰρύσομαι μέλλων, εἰρυσάμην ἀόριστος. ἀφ' οὗ τὸ εἰρύσασθαι, καὶ κατὰ πλεονασμὸν τοῦ σ εἰρύσσασθαι. Εἰρύσσασθαι, τὸ φυλάξασθαι, κατὰ ἐπένθεσιν τοῦ ι. τὸ μέν τι ἁπλοῦν, ἐρύσασθαί ἐστιν. Ὅμηρος ἐν Ὀδυσσείας π. μὴ δὲ φρεσὶν εἰρύσσαιτο. τουτέστι, μὴ σὺ φυλάξαι καὶ κρύψαι κατὰ νοῦν. Εἰρύσαιμι, γνοίην. ἢ ἐρύσασθαι, γνῶναι.

Εἰρυσσαίμεθα, εἱλκυσόμην. Εἰρύσσω, ἐφύλαξας. Εἰρύσσαντο, εἵλκυσαν, ἔλαβον. ὃς ἔχαιρεν ἐπὶ ταῖς ἐπικούροις φλυαρίαις, ἢ ἐξ ἐκείνων κακὰ εἰρύσσατο δέος, ἀθεός τε καὶ ἀκόλαστος εἶναι. Εἴρυσαν, ἀντὶ τοῦ μεθελκύσας, ἢ θ καλεῖται παρ' Ὁμήρῳ. Εἴρυσαν, εἵλκυσαν. Εἰρῦσθαι, σημαίνει τὸ φυλάξαι. ἐκ τοῦ ἔρυμι τὸ παθητικὸν ἔρυμαι. καὶ τὸ ἀπαρέμφατον ἔρυσθαι, προ-

πλεοναςμῷ, εἴκοσι. καὶ πλεονασμῷ τοῦ σ εἴκοσι, καὶ εἴξασιν.

Εἶξε δὲ, ὑπεχώρησε. δὲ ὑπείξειν, ὑπεῖκε. Εἷο, σημαίνει τὸ ἑαυτοῦ. ἔστι γὰρ ἐμοῦ, σοῦ, οὗ. ἐν αὗται αἱ γενικαὶ οὔσαι ποτὲ δύο σύμφωνα ἔχουσι μακρὰ ἢ βραχέα. ἀλλὰ τὸ μὲν ἓν μακρὸν, τὸ δὲ ἕτερον βραχὺ, οἷον πιεμίδλω, παλαίδλω, ὁμαινοιο. τούτου χάριν ἐπλεόνασεν τὸ ι ποιητικῶς, καὶ γίνεται σεῖο, μεῖο, εἷο. Εἷο, ἐκ τοῦ οὗ. καθάπερ ἐκ τοῦ σοῦ, σεῖο. καὶ ἐκ τοῦ ἐμοῦ, ἐμεῖο. Εἶοι, ὅτρίων τὰ καθάρσια. Εἰοίατο, ἀδύνατο. Εἶπα, ἀόριστος πρῶτος. φυλάττει τὸ σύμφωνον τοῦ ἐνεστῶτος μέλλοντος, οἷον τέψω ἔτυψα, λέξω ἔλεξα, πείσω ἔπεισα. οὕτω καὶ οἱ λοιποὶ χωρὶς τοῦ εἶπα, ἤνεγκα, ἔδωκα, ἔθηκα, ἧκα, ἔχεα, ἔσσευα. οὗτοι οὐ φυλάττουσι τὸ σύμφωνον τοῦ μέλλοντος. Εἰπάλιον, ἐπείπομεν. Εἴπασαν. ἔστιν τὸ λέγω. ὁ μέλλων ἔψω, ὁ ἀόριστος εἶπα, ἡ μετοχὴ εἴπας. καὶ τὸ εὐκτικὸν εἴπαιμι, εἴπαις, εἴπαι. καὶ ἀττικῇ προσθέσει, εἰπαίη. ἡ προσθέσει τοῦ σ τὸ δεύτερον πρόσωπον. καὶ φωνῇ τοῦ σ εἰς ε, τὸ πρῶτον γίνεται γοῦν ἐξ αὐτοῦ εἰπαίην, τὸ πληθυντικὸν εἰπαίημεν, τὸ τρίτον εἰπαίησαν, καὶ συγκοπῇ εἴπαισαν. Εἴπας ἔπος, ἀττικῶς ῥηθέν. ὡς γὰρ ἔλεξας λόγον, καὶ ὕπνωσας ὕπνον, οὕτω καὶ εἶπας ἔπος. Εἴπατε, λέξατε. Εἰπὲ, ἐλθὲ, εὑρὲ, ὀξύνεται. καὶ λαβὲ ἀττικῶς. Εἶπε. τὰ τροχαϊκὰ ῥήματα περισπώμενα, ἐν τῇ συνθέσει οὐκ ἀναβιβάζει τοὺς τόνους. οἷον, εἰπὲ κατείπερ, ἐλθὲ κατέλθε. πλὴν τοῦ οἶδα, σύνοιδα, καὶ σύνοιδα. τὰ δὲ ὀνόματα τὰ τροχαϊκὰ ἢ περισπώμενα, τὸ ἐναντίον πάσχουσιν ἐν τῇ συνθέσει. οἷον δοῦλος, σύνδουλος. ὁμοίως καὶ τὰ παροξύτονα. οἷον πλούσιος, ὑπερπλούσιος. καὶ τὰ ἄλλα ὁμοίως. Εἴπομεν, εἴπομεν. Εἴπερ, ὑπάρχων, εἴπερ ποτ' ἀνδρώπων ἦν. λείπει τὸ ὑπάρχων. Εἴπερ ἐκ πόλιος γε κάγὼ, ἐς ξύλον ἐπαγγέλλεται. Ἀριστοφάνης, ὥσπερ ἔλεγεν, εἴπερ ἐξ ἀνδρώπων εἰμὶ κἀγώ. σημαίνει γὰρ τοὺς ναῦς. καὶ τὰς μὲν παλαιὰς καλεῖ γραίας. τὰς δὲ μὴ πλευσάσας, παρθένους. διὰ ψυχρῶν δὲ τὸ ψυχρὸν παρέβαλε, πάνυ χαριέντως.

Εἴπερ ἴσθι, ὡς ἄλλοι ἴσως. Εἴπω γὰρ, ἔπω γάρ. Εἴπωσιν, εἶπον, εἴπω, ἠκολούθει. Εἴπως, εἰδοπέπαυθον. Εἴπωθα, ἀντὶ τοῦ εἴπως. αἱ προθέσεις τῶν συλλαβῶν τῶν αἰολέων εἰσίν. Εἴπωσι, ἀντὶ τοῦ λέξει, ὃ συντάσσεται δοτικῇ. καὶ εἴπωσι, ἀντὶ τοῦ ὀνομάσεις, συντάσσεται αἰτιατικῇ. Ἀριστείδης, τί σ' ἂν εἴπωσι τὸ φρέαρ τὸ ἱερόν. Εἴπωσι τὰ τρία παρὰ τῇ αὐλῇ. ὡς ἐπὶ θάνατον ἀγομένοις, ἐξὸν οἴνου καὶ οἴνου πληρωθέντι, φιάλας λέγειν ἃ βούλοιντο. μεθ' ἃ φιμωθέντες, ἀπήγοντο τὴν πρὸς θάνατον. τὸ δὲ τόπον ἄρχεον καλούμενον, αὐλὴ ἐκαλεῖτο. Εἰπόμην, ἠκολούθουν. Εἰπὸν, ῥῆμα προστακτικόν. τὸ θέμα ἔπω, τὸ λέγω. ὁ πρῶτος ἀόριστος, εἶπα. καὶ ἔστι σεσημειωμένον. ὁ δεύτερος, εἶπον. τὸ δεύτερον, εἰπέ. τὸ προστακτικὸν, εἰπὸν εἰπάτω. Εἶπον καὶ ἦλθον, διὰ τί ἂν βαρυτόνων ὄντα θέματος, φύσει μακρᾷ παραλήγεται, ἐπειδὴ ταῦτα λόγῳ ἀρχούσης, ἐφύλαξαν τὴν μακράν. καὶ γὰρ δισύλλαβα ὄντα, τὴν αὐτὴν ἔχουσιν ἄρχουσαν καὶ παραλήγουσαν. καὶ διὰ τί οὐκ ἀποβάλλει τὸ ι ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι, καὶ ἐν ταῖς μετοχαῖς. διὰ τοῦτο ὁ εἰπὼν μετοχὴ, οὐκ ἀποβάλλει τὸ ι, καὶ γίνεται ἰπὼν, ἵνα μὴ συνεμπέσῃ τῇ ἰπὼν μετοχῇ, σημαινούσῃ τὸ ὑπάρχων. Εἶπον, καὶ εἶπα, φασὶν Αἴλιος Διονύσιος. ὅτι ἀμφότερα παρ' ἀττικοῖς. μᾶλλον δὲ τὸ πρῶτον. καὶ τὰ προστακτικὰ δὲ ἀμφοτέρως εἰπὲ καὶ εἰπὸν ὀξυτόνως. καὶ αἱ μετοχαὶ ὁ εἰπὼν, καὶ ὁ εἴπας. ἴσον δὲ, ὅτι καθάπερ εἶπον καὶ εἶπα, καὶ ἤνεγκα καὶ ἤνεγκον. Εἶπον ὁ εἰπὼν, καὶ ἧκον ὁ ἥκων παρὰ βεβαιῶν τὸν κανόνα. ὅτι οἱ ἀόριστοι, ἐπὶ τῆς μετοχῆς τὴν αὔξησιν αὐτῶν ἀποβάλλειν ὀφείλουσιν, οἷον ἦλθεν ἐλθὼν, εἶδον ἰδών.

Εἶπον μέν ἐστι, καὶ λέγω ἐστι. καὶ ἀντεῖπόν ἐστι, καὶ ἀντιλέγω ἐστι. λέγω δέ σε κακῶς, καὶ ἀντεῖπόν σε κακῶς. μετὰ τῶν ἀπαρεμφάτων αἰτιατικῇ συντάσσονται. Εἰ, πορεύου. καὶ εἰ, ὑπάρχεις. Εἶπας, πατὴρ, καὶ πᾶν βάρος. Εἶπεν ἰδού. περιπλαεῦρτι λαχεῖν, καὶ ἐπὶ διορθώσει τοῦ, πατὴρ δέ μοι εἴην, εἶτα φθαρεὶς ὀλέθρῳ λυγρῷ, ἀλλ' ἦν ποτέ. καὶ εἴπερ οὗτος ἔχων, παρ' Ὁμήρῳ ἐν δευτέρῳ ῥαψῳδίας, ἀντὶ τοῦ ὅπως ἂν κρατοίη. σύνδεσμος ἀντὶ συνδέσμου, διαπορητικὸς ἀντὶ βεβαιωτικοῦ. καὶ τὸ αἴκε πως, ὁμοίως ἔχει, ἐν τῷ, ἀλλ' ἄγετ' αἴκε πως θωρήξομεν υἷας Ἀχαιῶν. Εἴπον, ἠκολούθουν. Εἴρ, λαῖλαψ, ἢ λαμπάδων, ἢ ὄνομα ποταμοῦ. Εἴρα, συνάψαι, συρράψαι. Εἰραφιώτης, ὁ Διόνυσος. παρὰ τὸ ἐρράφθαι ἐν τῷ τοῦ Διὸς μηρῷ. ἢ παρὰ τὸ ἐρρίφθαι, ὃ σημαίνει τὸ ἀφανισθῆναι, γίνεται ἐραφιώτης καὶ εἰραφιώτης. ἢ παρὰ τὸ ἔριφος εἰραφιώτης. ὑπὸ γὰρ ἐρίφων φασὶν αὐτὸν ἀνατραφῆναι. Εἰράων προπάροιθεν, ὑλακτεῖν μὲν ἀντὶ τοῦ ἐκκλησιῶν, ἤγουν τόπων ἐν οἷς ἐκκλησιάζουσι. καὶ ἔστι τῶν τῶν ἀγορῶν. Εἰργαθεν, διεῖργον. ἐκώλυον, ἔπραξαν, διεῖλον. Εἰργάσατο, ἐποίησαν, ἔπραξαν. Εἴργεσθαι, κωλύεσθαι.

Εἴργμαι, εἰργάσθην. Εἶργε, φυλάττε, χώριζε. Εἴργω, τὸ κωλύω, ψιλοῦται. εἱργμὸς δὲ, τὸ εἰς εἱρκτὴν ἐμβάλλειν, ἤγουν εἰς δεσμωτήριον, δασύνεται. ἐξ οὗ τὸ καθειργμένος. ἀπείργω μὲν, τὸ βελόμενον ἀφαιρεῖσθαι ἐργου κωλύω. ἀπείργω, τὸ ἀφαιρούμενον ἐκ τοῦ ἔργου καὶ ἀντίβαντα ἀπωθεῖσθαι. Εἴργω σε τοῦδε, καὶ εἴργω σε τόδε, ἀντὶ τοῦ κωλύω. καὶ εἴργω ἐστι τόδε, οἷον ἀπέχεσθαι. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις, εἴργειν τεκούσῃ μητρὶ, πόλεμον δόρυ. εἴργω σε τρίβας, καὶ ἀπὸ τοῦ πορεύεσθαι. καὶ ἀπὸ γῆς, καὶ κωλύω. καὶ ἀπέχουσι τῆς μάχης, καὶ εἴργω σε μάχεσθαι. εἴργω σε τοῦ ἐγχειρήματος, κωλύω σε τοῦ ἔργου, παύω σε τοῦ τολμήματος.

Εἴρε, εἶπε. Εἰρεαι, ἐρωτᾷς, λέγεις, σύρεις, ἐρεῖς. Εἰρεσίλη, εἰς ἐρίβολος. Εἰρεσώνη, ὀρθοβάτα, ὁ πρωτεύς. Εἰρεῖς, πείγεις. Εἴρειν, τὸ ἀγγέλλειν. ὅθεν ἶρος. Εἴρει, λέγει, πλέκει. Εἰρεῖσθαι, λεγέσθαι. ἐκ τοῦ εἴρω, τὸ λέγω. Εἱρμὸς κατὰ τοὺς παλαιοὺς, αἰχμαλωσία, δουλεία, παρὰ τὸ ἐρῶν εἴρειν. οἱ γὰρ ἐν δουλείᾳ, καὶ τοῦ λέγειν εἴργονται μὴ παρρησιαζόμενοι. καὶ εἱρμὸς, ἡ δουλεία. ἢ ὁ κύδασμος, παρὰ τὸ τὴν ἔραν τὴν γῆν, ὁ περὶ τὴν γῆν δουλεία. ἢ παρὰ τὸ ἔριον, ἔριος. καὶ κατὰ ἀναδιπλασιασμὸν, ἔρερος. καὶ πλεονασμῷ τοῦ ι, εἴρερος. ἢ παρὰ τὸ εἴρω, τὸ κατασεισθῶ, εἴρερος. καὶ ἀποβολῇ τοῦ ι, ἔρερος. Εἰρεσία, κωπηλασία. παρὰ τὸ ἐρέτης ἐρεσία, καὶ εἰρεσία. Εἰρέσιον, πόλις Βοιωτίας. Εἰρεσιώνη κλάδος ἐλαίας, ἐρίοις περιπεπλεγμένος, ἢ ἀναδεδεμένος. ἐξήρτων δὲ αὐτοῦ ὡραῖα πάντα ἀκρόδρυα. πρὸ δὲ τῶν θυρῶν ἵστασαν αὐτὴν, ἐπ' ἔτος καὶ νῦν. ποιοῦσι δὲ τοῦτο κατὰ τὸ παλαιὸν χρηστήριον. οἱ μὲν γάρ φασιν ὅτι λιμοῦ, οἱ δὲ ὅτι καὶ λοιμοῦ τὴν πᾶσαν κατασχόντος οἰκουμένην, χρώμενον τινα ἂν τρόπον παύσειε τὸ δεινὸν, τὴν λύσιν ταύτην ὁ πύθιος ἐμαντεύσατο. εἰ πρὸ τῆς εἰρεσιώνης ὑπὲρ ἁπάντων ἀθηναῖοι θύσουσι. θυσάντων οὖν τῶν ἀθηναίων, τὸ δεινὸν ἐπαύσατο. καὶ οὕτως ὥσπερ χαριστήριον οἱ πανταχόθεν τοῖς ἀθηναίοις ἐξέπεμπον, τῶν καρπῶν ἁπάντων τὰς ἀπαρχάς. ὅτι δὴ καὶ βάριν φασὶ τὸν ὑποβολέα ἰδόντα εὐωρὸν, εἰς τὴν Ἑλλάδα ἀπελθεῖν θεωροῦσαι. καὶ οὕτω συγγράψαι τοὺς χρησμοὺς, οὓς νῦν προσαγορευομένους βάριδας.

Ἄλλως. Πυανεψίοις καὶ θαργηλίοις ἑλικῆ κατέστασαν ἑορτάζουσιν ἀθηναῖοι. φέρουσι δὲ οἱ παῖδες τούτους θαλλοὺς ἐρίοις περιειλημμένους, ὅθεν εἰρεσιῶναι λέγονται. καὶ τίνας πρὸ τῶν θυρῶν κρεμῶσιν. ἐξαρτῶσι δὲ τῶν θαλλῶν αἱ ὧραι. ἡ εἰρεσιώνη, θαλλὸς ἐλαίας, ὁ κατὰ ἔτος καὶ διὰ φοινικοῦ ἐξ ἐρίων συμπεπλεγμένος, ἔχων ἄρτον ἐξηρτημένον, καὶ κοτύλην. ἔστι γὰρ μέτρον, ὃ νῦν καλοῦμεν ἡμίξεστον. καὶ σῦκα, καὶ πάντα τὰ ἀγαθά. ταύτην δὲ τὴν εἰρεσιώνην πρὸ τῶν οἰκημάτων τίθεντι οἱ ἀθηναῖοι, καὶ κατ' ἔτος ἔλκεσθαι. εἰώθει δὲ παῖς ἀμφιθαλλὴς ἀμφ' αὐτῇ ταῦτα λέγειν. Εἰρεσιώνη σῦκα φέρει, καὶ πίονας ἄρτους. Καὶ μέλι ἐν κοτύλῃ, καὶ ἔλαιον ἀποψήσασθαι. Καὶ κύλικ' εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ. Ἄλλως. Εἰρεσιώνη, κλάδος ἦν ἐλαίας ἐρίοις περιπεπλεγμένος

[illegible]

καὶ ἀμιγὲς ἑτέρου. ἢ τὴν καθαρὰν καὶ λαμπρὰν ἔχοντα τὴν ψυχήν. παρὰ τὸ εἵλη ἡ θερμασία, καὶ τὸ κρίνω, ὁ ἐν τῇ εἵλῃ κεκριμένος, κατὰ πλεονασμὸν τοῦ ι. οὐ δοκεῖ δὲ ὁ Φιλόπονος συντεθεῖσθαι. εἰ γὰρ παρὰ τὸ εἵλη γέγονεν, ὤφειλεν ἢ τρέψαι τὸ η εἰς ο, καὶ γενέσθαι εἱλοκρινής, ἢ φυλάξαι τὸ η καὶ γενέσθαι εἱληκρινής. τὰ γὰρ εἰς η λήγοντα θηλυκά, τετραχῶς συντίθεται. ἢ γὰρ φυλάττει τὸ αὐτὸ τέλος, ὁπότε καὶ τὸ αὐτὸ γένος φυλάττει, οἷον μάχη, ἀνδρομάχη. ἢ φυλάττει τὸ αὐτὸ τέλος, καὶ προσλαμβάνει τὸ ς, ὡς γνώμη, μετάγνωμος (?). ἢ τρέπουσι τὸ τέλος εἰς ος, ὡς μάχη, πρόμαχος. ἢ τρέπουσι τὸ τέλος εἰς ον, ὡς πύλη, δίπυλον. ἢ καὶ ἄλλως. τὰ δὲ εἰς η λήγοντα θηλυκά, ἐν τῇ συνθέσει ἢ φυλάττει τὸ η, ὡς τὸ γῆ γηπόνος, βοὴ βοηθός. ἢ τρέπουσιν αὐτὸ εἰς ο, ὡς νύμφη νυμφόβολος, λιμὴν λιμενοῦχος (?). εἵλη οὖν εἱλοκρινής, καὶ τροπῇ τοῦ ο εἰς ι, εἰλικρινής. Εἱλικοειδές, ἢ εἰλικοειδές, τὸ κυκλοειδές, ἢ ὁμαλόν.

Εἱλίνδειν, ἀντὶ τοῦ ἡσυχάζειν. Εἱλίξουσι, στρέψουσιν. Εἵλιον, περίφραγμα (?). Εἱλίποδας βοῦς, οἱ τοὺς πόδας κατὰ τὴν πορείαν εἱλίσσοντες. Πανσανίας δὲ λέγει καὶ γυναῖκας εἱλίποδας.

Εἱλιπόδης, ὁ ἐν τῷ ἕλκειν τοὺς πόδας ἔχων. Εἱλισπόταστος, στρόφος. Εἱλίσσω, τὸ στρέφω, καὶ περιφέρω, αἰολικῇ συντάσσεται. Εἱλιτενής, ἄγρωστις. Θεόκριτος, ἡ ἐν τοῖς ἕλεσι γινομένη. Εἱλίχατο, ἰωνικῶς ἐκ τοῦ εἱλικτο. Εἱλίχθη, ἐστράφη.

Εἵλκειον, οὗ κοινότερον τὸ εἵλκον. ἀπὸ τρισυλλάβου ἐνεστῶτος παρήχθη τοῦ ἑλκύω. Εἵλκεν, ἔσυρεν. Εἵλκον, ἔσυρον, καὶ εἱλκύσθη. Εἱλκτής, αἴτιος. Εἶλλε, εἶργε, κώλυε. Εἱλλόμενον, εἰργόμενον. Αἰσχύλος Βασσάραις. Εἵλομεν, ἐστρέψαμεν. Εἰλόμενον, συμπλακέντα, συγκλειόμενον. Εἰλόμενον, ταυτόν ἐστι τῷ εἰλυμένον. λέγεται γάρ, ὥσπερ καὶ τὸ κρυόμενος, καὶ κρυόμενος (?), καὶ ἐπιμελόμενος ἐπιμελόμενος. καὶ εἰλόμενον, συμπεπλεγμένον, συνειλημμένον, ἢ συναθροισμένον, καὶ συστρεφόμενον ἐν πολέμῳ. Εἰλόμην, προῃρούμην, ἠθέλησα. Εἶλος, πᾶν τὸ ἐπιπίπτον βάρος, καὶ τὸ ἐν ταῖς πηγαῖς ἐπιπίπτον βόλον. Εἰλόμενος καὶ εἰλόμενος, συστρεφόμενος. ἀμφω ἐπὶ τῆς αὐτῆς ἐννοίας καὶ συντάξεως. οὕτως ἐπιμελούμενος καὶ ἐπιμελόμενος, καὶ κρυόμενος καὶ κρυούμενος. Εἰλοῦρος, οὐρία. Εἰλόωνται, ἀντὶ τοῦ κεκαλυμμένοι εἰσίν. ὡς ἀπὸ τοῦ εἰλόω, ἀφ᾽ οὗ καὶ τὸ ἐπιλύω. καὶ εἰλυός, ὁ φωλεός. τὸ μέν τι εἰλύω ἐκ τοῦ εἴλω γίνεται, κατὰ παραγωγήν. ἔοικε γάρ πως κρύψει ἡ εἴλυσις. Εἰλῦ, μέλαν. Εἰλύει, κινεῖται. Εἰλύειν, καὶ ἐπιλύειν, ἔχουσι προσθέσει τὸ ἐλύειν. ὅθεν μετοχὴ ὁ ἐλυσθείς. Εἴλυον, ἐκρύπτον. Εἰλύεται, εἵλεται, συστρέφεται, κρύπτεται, καλύπτεται, περιπατεῖ (?). Εἰλυθέντες, καλυψάμενοι. Εἰλυθμός, ἡ κατάλυσις. ἀπὸ τοῦ εἰλύω, τὸ ἐπικρύπτω. Εἰλυθμός, ἕλκος, τρόμος. Εἰλύϊος, θηρίον ἀπὸ φρυγάνων συμπλακέν, ᾧ χρῶνται πρὸς λίθους.

Εἴλυμα, παρὰ τὸ εἴλω εἰλύω εἰλύσω εἴλυμα, τὸ σκέπασμα, ἢ τὸ ἱμάτιον. Εἰλυμένοι χαλκῷ, ἀντὶ κεκαλυμμένοι. καὶ οὐκ ἀπὸ τοῦ εἱμένοι, καὶ ἐπιειμένοι. τοῦ εἰλυμένος πρωτότυπον εἰλῶ, ἐξ οὗ εἰλύω. ἀφ᾽ οὗ ἐν συνθέσει, τὸ ἐπιλύω. οὕτως ἐκ τοῦ καλῶ καλύω, ὅθεν τὸ καλύπτω. Εἰλυσμένω, ἐκρυπτόμενοι. Εἰλυός, φωλεός.

Εἰλυοὺς, τὰς καταδύσεις τῶν θηρίων λέγουσιν. Εἰλύσθαι, ἐλθεῖν (?). Εἰλυσπᾶν, συμπεσεῖν (?). Εἰλύς, εἰλύος, τὸ πολὺ ἰλύς τοῦ ποταμοῦ. Εἰλυσπᾶσθαι, τὸ ὁμοίως τῷ ὄφει καὶ τῷ σκώληκι κινεῖσθαι. καὶ εἰλυσπώμενα, τὰ παραπλησίως τοῖς ὄφεσι καὶ σκώληξι κινούμενα. Εἰλυσπώμενος, εἰλούμενος. Εἰλυσπάσται, περὶ τὴν αὐτὴν τόπον στρέφονται μετὰ κινήσεως. Εἰλύσαται, εἰλεῖται. Εἰλύσω, περιβαλῶ. καὶ εἰλύσω, ἐν ἰλύϊ κρύψω.

Εἰλῦται, ἤγουν κεκάλυπται, ἐκ τοῦ εἰλύαται κατὰ κρᾶσιν. διὸ καὶ προπερισπᾶται. Εἴλυτο, κατεδύετο, κατεκαλύπτετο. Εἰλυφάζων, τρεῖς παραγωγὰς ἔχει. ἀπὸ γὰρ τοῦ εἰλῶ γίνεται εἰλύω, ἐξ οὗ εἰλυφῶ, εἶτα εἰλυφάζω. λέξις αὕτη, περὶ λόγου ἀπρόσιτος, ἔστιν δέ, ὡς ἐν μὲν τῷ εἰλυφῶ, συστέλλεται τὸ υ. ἐν δὲ τῷ εἰλυφάζω, ἐκτείνεται. σημαίνει δὲ τὸ εἰλεῖν. Εἰλύφαζον, ἀπὸ τοῦ εἴλω ὁ λαμπρότης. καὶ τοῦ φῶ, τὸ λάμπω, διὸ ταυτοσημάτων λέξεων.

Εἰλυφάζω, παρὰ τὸ εἰλῶ, εἰλύω, εἰλυφάζω, τὸ συστρέφω καὶ εἰλῶ. Εἰλυφόων, κατὰ παραγωγὴν ὁ εἰλῶν καὶ στρέφων πανταχοῦ. ἢ κατὰ σύνθεσιν, ὁ ἐνταῦθα καὶ ἐκεῖ εἰλῶν, τὸ φαῖνον πῦρ. ἢ καὶ ἄλλως ὁ εἰλῶν, καὶ φαίνων ποιῶν. τοῦτο δὲ καὶ εἰλυφάζειν λέγεται. Εἰλυφόωσιν, εἰλοῦσι, συνάγουσιν. Εἰλῶ, τὸ συστρέφω. ὅθεν εἴλη, τὸ περίστροφον (?). Εἰλῶ, εἰλόμην, ἐλεξάμην.

Εἵλως, ὁ δοῦλος, καὶ καλεῖται εἵλωτος. καὶ τὸ ἔθνος εἵλωτες παρὰ Λακεδαιμονίοις οἱ νόθοι, καὶ οἱ ἐξ αἰχμαλώτων δοῦλοι γενόμενοι. ἀπὸ τοῦ Ἕλος. Ἕλος δέ ἐστι πόλις ἐν Πελοποννήσῳ. Εἱλωτεία, ἡ δουλεία. Εἱλωτεύειν, τὸ δουλεύειν. εἵλωτες γάρ εἰσιν, οἱ μὴ γνήσιοι δοῦλοι Λακεδαιμονίων, ἀλλὰ πρῶτον χειρωθέντες, τὸ Ἕλος τὴν πόλιν οἰκοῦντες, ὡς πολλοὶ μαρτυροῦσι, καὶ Ἑλλανικὸς ἐν τῇ πρώτῃ. Εἱλωτίς, ἡ δούλη. Εἷμα, τὸ ἱμάτιον, καὶ ὄνομα παρ᾽ αὐτοῦ. οἷον λαχείμων, μελανείμων, κακοείμων.

Εἱμαλλόν, εὐειμένων οἰκία (?). Εἶμαι, ἀντὶ τοῦ ἐνδέδυμαι, καὶ ἀντὶ τοῦ κάθημαι. ἀπὸ τοῦ ἕω ἀμελει, ἀφ᾽ οὗ εἷμα, τὸ ἱμάτιον. Εἵμαρμαι, ἐκ τοῦ μείρομαι, μέμαρμαι κοινῶς, καὶ εἵμαρμαι ἀττικῶς, εἵμαρται. καὶ πέπρωταί με κακοδαίμονα γενέσθαι, καί μοι κακοδαίμονι γενέσθαι. Εἱμαρμένη, καὶ πεπρωμένη, τὸ αὐτό, καὶ μοῖρα ὡσαύτως. ἐλάμβανον δὲ αὐτὰ ἐπὶ φυσικῆς καὶ καθολικῆς διοικήσεως ἐν τῷ κόσμῳ. τύχη δὲ, ἐπὶ τοῦ συμβαίνοντος καλοῦ ἢ κακοῦ, μηδενὸς βουλομένου περὶ αὐτοῦ. ἴσως δὲ τῶν Ἑλλήνων ἡ τύχη ἡ αὐτὴ ἐνόμιζον τῇ εἱμαρμένῃ. πρόνοια δὲ ἐπὶ θεοῦ, ἀπὸ τοῦ προορᾶσθαι. ἔστι δὲ τὸ εἱμαρμένη, ὄνομα μετοχικόν, οὐ μετοχή. ὥσπερ καὶ τὸ πεπρωμένη, καὶ τὸ ἄρχων, ἀλλὰ καὶ τὸ ἑκών, καὶ τὸ κρείσσων. καὶ ἔστιν ἐξήγησις τοῦ ἰδιώματος τοῦ ῥήματος. ὥσπερ ἔπαθον ταῦτα, τὸ μὲν εἱμαρμένη καὶ πεπρωμένη ἐπὶ καθολικὰ ὄντα, καὶ ὀφείλοντα πρὸς δοτικὴν συντάττεσθαι ὡς τὰ καθολικὰ ῥήματα, ταῦτα πρὸς γενικὴν λέγονται. ἡ εἱμαρμένη γὰρ τοῦ Διὸς λέγεται, καὶ ἡ πεπρωμένη τοῦ Διός. ὁ δὲ ἄρχων ἐπεὶ ὀφείλων ἐπίρρημα ἔχειν ὑποτασσόμενον, δηλοῦν τὴν ἀρχῆς τὴν ἐνέργειαν, ὥσπερ ἀπαιτεῖ τὸ ῥῆμα. οἷον, ἄρχει τις δικαίως. ἐν γὰρ τῷ ἄρχων δικαίως, τὸ δικαίως οὐ πρὸς τὸ ἄρχειν τείνει, ἀλλὰ πρὸς τὸν ἔχοντα τὴν ἀρχήν. ὅθεν ἐκεῖνο μὲν ἐπίρρημα ἔχει ὑποτασσόμενον, ὅτι καὶ μετοχή ἐστιν. ἐκεῖνο δὲ ὄνομα ἐπίθετον ὑποτασσόμενον ἔχει, ὅτι ἐξ ἀνάγκης ὄνομά ἐστιν. ὡς ἐν τῷ, ἄρχων τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής. τὸ δὲ ἑκὼν ἐπεὶ ὄφειλεν ἀπαρεμφάτῳ συντάττεσθαι, ὡς τὰ τοῖς θελήσεως πάντα ῥήματα, οἷον θέλω ἐσθίειν, τοῦτο οὐ δέχεται οὕτω συντάσσεσθαι. τὸ δὲ κρείσσων, ἐπεὶ ὄφειλεν μετὰ διαλύσεως εἶναι, ὡς τὸ κρατῶ, τοῦτο οὐ παραδέχεται. ἔστι δὲ κρείσσων, ὁ πολὺ θάλλων (?). Εἵματιν, ἱματίοις.

Εἵματα ἀγινεῖσθαι, ταυτὸν τῷ ἐσθῆτα φέρειν. καὶ εἵματα ἑσσάμενος, ἢ ὅτε ἐτυμολογίαν ἔχει. ἀπὸ τοῦ ἕω γὰρ τὸ εἷμα γίνεται, ἀπὸ δὲ τούτου τὸ ἱμάτιον. γράφεται δὲ διὰ διφθόγγου τὸ εἷμα. ἢ ἀπὸ τοῦ ἧμαι προσλήψει τοῦ ι. ὁ ὡς φυλάξαν τὴν τοῦ πρωτοτύπου παρακειμένου αὔξησιν, ὃ καὶ ἡ ἐγρήγορσις ἔχει. καὶ ἡ παρείθεσις (?), καὶ ἡ ἐπωπή (?), καὶ ἡ ἀνέκπληξις (?). Εἱμείρεται, ἐπιθυμεῖ. Εἱμείρονται (?), οἱ προθυμοῦ (?). Εἱμένοι κατὰ σῶμα ἀντὶ χαλκοῦ, ὅπερ ἐνδεδυμένοι, κεκαλυμμένοι. Εἰμέν, ῥῆμα πληθυντικὸν ἐνεστῶτος ἀπὸ ἑνικοῦ τοῦ ἐσμέν, καθ᾽ Ἡρακλείδην. φαίνεται, ὡς οὐδὲν ῥῆμα πληθυντικόν, ἐπὶ τοῦ πρώτου σύμφωνον ἔχει πρὸ τοῦ μ. ἀλλ᾽ ἀεὶ φωνῆεν. ὡς τύπτομεν λέγομεν, δίδομεν φησί, φαμὲν ἵσταμεν ἴσμεν, καὶ συγκοπῇ ἴσμεν, ἐξ οὗ τὸ ἴδμεν, οὕτω καὶ κατὰ τὸν λόγον, εἰμὶ εἰμέν. Δωριεῖς δὲ πλεονάζουσι τὸ ς, εἰκότως ἐσμέν. Ὅμηρος δὲ προστίθησι τὸ ι, ἵνα οὕτω φωνῆεν εἴη πρὸ τῆς μεν συλλαβῆς. Εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί, σχῆμα ἐλλειπτικὸν ἐνταῦθα. χωλεύει γὰρ ἡ σύνταξις. λείπει γάρ,

σιν. Εἰκοσολόγος, ὁ τὰ εἰκοσὰ ἐπὶ τῇ πρίσει συνάγων.

Εἰκοσός, ὀξύνεται τὰ εἰς σος λήγοντα ὑπὲρ δύο συλλαβὰς, ἔχοντα πρὸ τοῦ σ τὸ ο, τούτεστι λήγοντα εἰς σος τεταγμένα, ἐπὶ ἀριθμοῦ τασσόμενα, ὀξύνεται. οἷον, πολλοστός, εἰκοσός. Εἴκελα, ἐοικότα, ὅμοια. Συλλογιζόμενος ἐκ τοῦ εἰκότων τὰ συμβησόμενα. Ἢ εἰκότων, ἀντὶ τοῦ ὁμοίων. Συμπλάττων ἀπὸ τοῦ εἰκότων.

Εἰκοσι, ἀντὶ τοῦ εἴκοσι Δωρικῶς, ἢ εἴκατι. Εἰκονολογοῦσαι, ἐσχηματισμένως εἰπεῖν. Εἰκότων, ὁμοίων. Ὁ δ' εἰ δὲ τύχοι πρὸς ὅπλον τῶν προσιόντων ἐλαχιστεύων, συμπλάττων ἀπὸ τοῦ εἰκότων, τουτέστιν ἰσοδυναμῶν. καὶ παροιμία, εἰκότως Ἡρακλῆς, ἐπὶ τῶν ἀπονησαμένων πάντα τελούντων. Εἰκότως, πιθανῶς. Ἢ εἰκός, τὸ πρέπον, τὸ ἀκόλουθον, τὸ εὔλογον. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ τάχα. ἔστι δὲ μετοχὴ οὐδέτερον, ἀπὸ τοῦ εἴκω, εἰκώς, καὶ τὸ οὐδέτερον εἰκός. καὶ ἐκχώρησαν εἰς ἐπίρρημα οὕτως. Εἰκοῦς, εἰκόνος. Ἀριστοφάνης Νεφέλαις, τας εἰκοῦς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι. τοῦτό φασι διεχθαίρειν ἐπὶ τοῖς ἄλλοις ποιηταῖς. Εἰκὼν, ὅμοιον. παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ. ἐξ οὗ καὶ εἰκὼν, εἰκὼν ἐν συγκοπῇ, καὶ διαλύσεις εἰκόνα. Εἰκὼν, ὁ γίνεται ἀπὸ τοῦ εἴκω, τὸ ὁμοιῶ. παθὰ καὶ ἄλλα ὅμοια οὐκ ὤφειλε μὲν ἔχειν τὸ σύμφωνον τοῦ ἐνεστῶτος, ὡς τὸ ἐοικὼς, ὁ χρόνου μόνον παρακειμένου εἰσίν. ἔχει δὲ ὅμως αὐτὸ διὰ τὸ εὐφωνότερον, ὡς ἀπὸ ἐνεργητικοῦ παρακειμένου τοῦ εἶκα. ἔκ δὲ ἀναλογώτερον τὸ εἰκὼ, ὅθεν ἐκ τοῦ εἰκὸς, ἔτυμον ἐοικός. ὁ εἴπη πολλά τι ἐπὶ θέλοντος, καὶ ἄλλοις. Ἄλλως. Εἰκὼ εἰκὼ ἀπὸ τοῦ εἴκω, τὸ πρόσωπον ἔστιν, οὐκ ἔχεται ἀναλογίαν, ὥσπερ οὐδὲ τὸ εἰκός. φύλαττε δὲ ἀνάλογον, καὶ ὡς ἡ εἰκὼ, καὶ τὸ εἰκὸς, ὁ κρίνεται παρὰ τὸ φαίνεσθαι. ἀφ' ὧν ὁ Ἀττικῶς ἡ ἐοικυῖα, καὶ τὸ ἐοικός. οἱ δὲ, ἴσως ὡς ἀπὸ φρίσσω πέφρικα, καὶ τροπῇ τοῦ ε ἀπίως εἰς φιλὸν πεφρικῶς. οὕτω ἔοικα, εἶκα, καὶ κατὰ τροπὴν εἶκα. εἰκὼ μὲν οὕτως ὡς ἀπὸ διδασκαλίας ἐχόμενα, καὶ ὁ εἰκὼς, καὶ τὸ εἰκὸς, καὶ ταῦτα μὲν οὕτως ἐν δόγματι. Ἡρωδιανὸς δὲ προσέθηκε ῥῆμα τὸ εἴκω, παρὰ τὸ ἐξ αὐτοῦ φύσις παρακειμένου, ἐπὶ μὲν τοῦ ὑποχωρῶ καὶ γίνομαι, τὸ εἶκα. ἐπὶ δὲ τοῦ ὁμοιῶ, τὸ οἶκα, ἐξ οὗ τὸ ἔοικα. οὐ δὲ ὑποχωρητικῶς, ὥσπερ κατὰ ἐκτασιν. Εἴκω, τὸ ὑποχωρῶ, καὶ ὑποχωρῶ, καὶ ὑπεικω ὁμοίως, καὶ ὁμοιῶ τὰ ὁμοίως, διαλυομένου οὐ εἰκάζω. Εἰκὼς, τῶν εἰκότων, κατὰ συναίρεσιν. Εἰκὼν, ὁμοίωμα, παρὰ τὸ εἴκω τὸ ὁμοιῶ. εἴρηται, ὅτι φασὶν οἱ ἀκριβέστεροι τῶν ἰσοφυνῶν ὡς τὸ σῶμα καὶ ὁλιγώτερον, ὁμοιότερον ἐστι γλάφειν ἐπὶ τοῦ εἰκότος τοῦ πρώτου ἀπὸ τοῦ Χαοσοῦ. Εἶλα, θαλπωρ, πελάμη. Εἰλαδὸν, κατὰ συστροφὴν, ἀθρόως. Εἰλαπινάζω, τὸ εὐωχοῦμαι. καὶ εἰλαπιναστὴς, ὁ συμπότης. Εἰλαπίνη, εὐωχία, ἐκ τοῦ λάπτειν καὶ πίνειν γίνεται. ἔστι καὶ αὐτὸ πολυτελὲς, τὸ ὃ κατὰ εἶλας, ὡς οἱ παλαιοὶ γράφειν, τὸ ὁμοῦ εἰλυόμενοι πολλοὶ ἑστιῶν, χαίροντος διαλαλεῖ τῷ Διονυσίου. ἡ εἰλαπίνη, θυσία καὶ παράστασις λαμπροτέρα τῆς. καὶ εἰλαπιναστὰ, οἱ τοιαύτας μετέχοντες. ἔγνω δὲ ἐστιν ἡ ἀπὸ συμβολῶν συναγωγὴ ἡ ἐκλεξάμενη αὐτοῖς, καὶ δίαιτα, καὶ οἱ συνιόντες, ἔρανοι καὶ ἑστιῶνται. οἱ δὲ ποιηταὶ πολλάκις καὶ τὴν ὑπὸ Διονύσου ἑστίασιν ὅλον βίαιον ἐκάλουν. ὅς ἐν βίαιος, ἡ παρὰ τὸ θέον γίνεται, ἐκείνη συνάθει τοῦ ι, ὡς διάφον. ἐπιθέῳ τοῦ στόρ, ἔτι ἀτός. ἐξ οὗ καὶ ὁ εἰσιτος κατὰ προλείψασα. θεοῖς γὰρ ἔργαζον. ταῦτην δὲ εἰπεῖν σπείς, οἷον θεοσέβειας, ἀθεῖον τὴν βίαιον εἰσιώνδεις. πρὸς τοῦ ἀμείψαντος τοῦ σ, ὡς τὸ ἄφωνον. Εἶλαρ, ἀλέξημα, φυλακὴ, ἀσφάλεια, φραγμὸς, παρὰ τὸ εἴλειν καὶ ἔσω συγκλείειν. οὕτω καὶ κύματος εἶλαρ, τὸ περὶ τοὺς τοίχους τῆς νεὼς ἄνω πλέγμα. Εἰλάρχαι, ταξίαρχαι. Εἰλάω, στέλλω. ὁ συνέω, στάθει, συστατικὸν ἄρχω. Εἰλατίνης, τὰ λεπτόσωμον τὸ ἐλάτης τὴν ὕλην. Εἰλατίνοις, τοῖς ὄρεσιν. Εἰλάτινον, ὄρος. καὶ εἰλάτινον, τὸ φυτόν. Εἰλαρ, ἐπιλίξαρ, στέλλουσιν. εὐλάνειν.

Εἴλαι, ἄσλι, χαλινοί, λαιμαί, φιμοί, δέρια. Εἰλαλαμός, ὁ λαιμός. Εἶλαι, περιτρέφει. καὶ εἶλαι ἀντὶ τοῦ συνάθροισε, καὶ συνέκλεισε, καὶ εἰλομένων, συναθροιζομένων. Εἰλείθυιαι λέγονται, οἱ τόκοι, καὶ αἱ ἔφοροι τῶν τόκων θεαί. Εἴλειφα, ἐκ τοῦ λείβω, λείψω, λέλειφα κοινῶς, καὶ εἴλειφα ἀττικῶς. Εἰλεῖσθαι, καὶ κατείργονται, οὐ χρὴ λέγειν, ἀλλὰ διπλασιάζειν τὴν φωνὴν, ὥσπερ οἱ ἀθηναῖοι, ἀλλὰ κατείλλεσθαι καὶ κατείργονται λέγων. Εἰλέσθαι, ἰσόν ἐστιν ἐν τοῖς θνητοῖς ὑπὸ συγκλείσθαι. Εἴλεται, κρύπτεται, κακουργεῖ. Εἴλεται, ἀφαιρεῖται. Εἶλεν, ἐχειρώσατο, ἐπόρθησεν. Εἶλεν, ἀντὶ τοῦ κατέλαβεν. ὡς τὸ ζωὸν ἕλον. καὶ εἰλήλουθεν δὲ τὴν πόλιν, ἀντὶ τοῦ ἀπέλαβε. καὶ εἶλεν, ἀντὶ τοῦ ἀνεῖλε, φονικῶς· ἢ ἀντὶ τοῦ ἐφόνευσε. σημείωσαι δὲ, ὅτι τοῦ ἕλω, τοῦ λαμβάνω ὄχλου ῥήματος, μόνος ὁ εἶλον δεύτερος ἀόριστός ἐστιν ἐν χρήσει, καὶ τὸ ἀπαρέμφατον ἑλεῖν. ὃ μετὰ τῆς ἀνὰ προθέσεως σημαίνει τὸ φονεῦσαι. μετὰ δὲ τῆς παρὰ, τὸ ἀφελέσθαι. μετὰ τῆς ἀντὶ, τὸ ἀντὶ τοῦ ἄλλου προκρίνειν. μετὰ δὲ τῆς περὶ, τὸ ἐξ ἐπὶ πολλῆς ἀποσπογγίσαι. μετὰ τῆς ἀπὸ, τὸ ἀπὸ τοῦ παντὸς ἀφαιρεῖσθαι. μετὰ τῆς ὑπὸ, τὸ λαθραίως λαβεῖν. μετὰ τῆς ἐξ, τὸ ἐκβαλεῖν. καὶ μετὰ τῆς σὺν, τὸ ὁμοῦ λαβεῖν. Εἰλενία, πόλις. Εἶλεον ἐν σιτίοις, παρ' Ὁμήρῳ ὀλολυγία, τουτέστι, συνέκλειον αὐτὰς ἐν στενοχωρίᾳ τινὶ, ἕως οὕτως ἦν ἀλέξαι. εἰλεὸς γὰρ, ὅπερ δυσχερές ἐστιν ἀλέξαι.

Εἰλεόντες, συγκρατοῦντες. Εἰλεός, ἡ τοῦ ἐντέρου κατὰ λύσεις, καὶ πόνος. Εἰλεός, ἡ μαγειρικὴ τράπεζα. παρὰ τὸ ἴλεως γίνεται εἰλεὸς, καὶ πλεονασμῷ τοῦ ι εἰλεὸς. σημαίνει δὲ καὶ τὴν νόσον, οἶμαι, ὅτι ἀρσενικῶς ἐστιν ὁ εἰλεός. Εἰλεσίας, εἰλὸς καλ. μα.

Εἰλέτιον, τόπος. Εἰλέτι, ἐπεβάσατο. Εἰλέτις, βλάσφημος. Εἰλεῖν, τουτέστιν ἐλάσειν, ἐν ὑγρῷ ἐκ τοῦ εἰλεῖν, ὡς ἐπὶ πολὺ λέγεται. Εἴλεν, ἐθέλησεν. Εἰλεῖσι, συνήλωσε, συγκλείουσι. ῥῆμα παρὰ τὸ ἐκ τοῦ εἰλῶ. καὶ εἰλέουσιν ἄλλοι, ἔργοις ἕνα ἐτυμολογεῖον. παρὰ τὸ εἰλεῖν γὰρ ἐτυμολογεῖται ἡ εἴλη. Εἴλη, ἡ θερμασία, διὰ διφθόγγου γράφεται καὶ τὸ εἴλη ἡ συστροφή, διὰ διφθόγγου καὶ τὰ δύο. λέγεται δὲ εἶλαι, ἡ ἀπὸ ἑλιξ αὐτή, δασέως. εἰλαία δὲ τὸ λεκανάριον, καὶ ἐπὶ τοῦ ταγματος, καὶ τοῦ πλήθους συστροφή. σπειρῶν, καὶ εἶλαι, ἡ ὄχλος, ἐξ οὗ καὶ εἰλεὸς, ἡ κατάκλεισις. Εἰληδόν, συνεστραμμένως. Εἴλησε, ῥέουσα, ἐν ἡλίῳ θαλφθεῖσα. Εἰλεθερμένος, θερμανόμενος. τὸ ῥῆμα, εἰλεθῶ. Εἰληθερὴς, ἡλιαζόμενος. Εἰλεῖν, ἐστρέφετο. Εἰλεῖθι, ἴλαθι, γίνε. Εἰλήθῃ, δέ, ἵλαθι ἐστὶ μὲν τὰς θεὰς, ἱλασθῆναι δὲ λύσεως. ὁ ποιητὴς δὲ ἵλαθι, ἤγουν ἴλεως.

Εἴλησιν, ἐν ἡλίῳ θερμανθεῖν. Εἰλήλουθα, ἐκ τοῦ ἐλεύθω. ὁ μέσος παρακείμενος ἤλουθα, καὶ τὸ ἀττικὸν ἐλήλουθα, καὶ πλεονασμῷ τοῦ ι κατὰ τὴν ἀρχὴν, καὶ τοῦ ο βοιωτικῶς, εἰλήλουθα. ἐξ οὗ τὸ πρῶτον τοῦ πληθυντικοῦ, εἰληλούθαμεν. Εἰλήλουθμεν, ἐκ τοῦ ἐλεύθω. οὗ ὁ μέσος παρακείμενος ἤλουθα, ὁ ἀττικὸς ἐλήλουθα, καὶ ἰωνικῶς εἰλήλουθα, ἡ βοιωτικῶς εἰλήλουθα. οἱ δὲ βοιωτοὶ προστιθέασι τὸ ι. καὶ τὸ πρῶτον τοῦ πληθυντικοῦ, εἰληλούθαμεν, καὶ κατὰ συγκοπὴν καὶ ἀποβολὴν εἰλήλουθμεν. Εἴλημα, ἔνειλημα, περίβλημα, σκέπασμα.

Εἰλημμένον, συλληφθέντα. Εἰλησοί, ἴλιγγοι. Εἰλήσαν, συστρέψαι. Εἴλησις, ἔκκαυσις, ἡ συστροφή. καὶ εἰλησιῶν παρὰ τὸ ἕλη ἤτοι, τῶν ὑπὸ τοῦ ἡλίου ἐκκαιόντων. Εἰλήτιος χρόνος, ἐν καύματι. Εἴληφεν, ἔλαβεν, ἔληξεν. καὶ εἰλήφασιν ἡ παρὰ τὴν μοῖραν, ἐπὶ τῶν ἀξίως ἐληλυθότων. Εἰληφώς, λαβὼν ὄχυρον, ἀντὶ τοῦ λέγομεν τὸ λαμβάνω, ὁ μέλλων λήψω, ἄχρηστος. ἀντὶ τούτου λέγομεν, ἐν μέλλοντι λήψομαι. ὁ δὲ παρακείμενος λέληφα. καὶ ἀφαιρέσει τοῦ πρώτου λ, καὶ πλεονασμῷ τοῦ ι εἴληφα. καὶ ἡ μετοχὴ, ὁ εἰληφώς. καὶ ὁ παθητικὸς μετοχὴ, ὁ εἰλημμένος. Εἰλίχιν, εἴλιξιν. Εἰλιγγιῶν, σκοτοῦται, συστρέφεται.

Δῦναι, καταδῦναι, ἢ εἰς δόμον ἀπελθεῖν. ἐκ τοῦ δῦμι ὁ μονοσύλλαβος, δῦθι, τὸ ἀπαρέμφατον, δῦναι, καὶ δύμεναι. δεύτερος ἀόριστος, ἐκ τοῦ δῦμι, ἐνδέδυκα ἔδυν καὶ δῦ. Δύναμαι, ἰσχύω, ἔχω. μετὰ ἀπαρεμφάτου συντάσσεται, οἷον δύναμαι χρυσὸς γενέσθαι. συντάσσεται δὲ καὶ χωρὶς ἀπαρεμφάτου, οἷον μεγάλα παρὰ τῷ βασιλεῖ δύναται. Δύναμις, ἡ ἰσχύς, καὶ ἡ στρατιά. παρὰ τὸ δανύω, ἢ παρὰ τὸ δύνω, ὁ δύνουσα, καὶ περιέχουσα, ἢ διαμένουσα, τὸ ἀνθιστάμενον. λέγεται δέ, ἡ μὲν κατ' ἐπιτηδειότητα, ἡ δέ, καθ' ἕξιν. ἡ κατ' ἐπιτηδειότητα μέν, ὡς ὅταν εἴπωμεν, τὸ παιδίον δυνάμει γραμματικὸν εἶναι, καθ' ὃ ἔχει ἐπιτηδειότητα πρὸς τὸ γενέσθαι γραμματικόν. καθ' ἕξιν δέ, ὡς ὅταν εἴπωμεν, τὸν ἠρεμοῦντα γραμματικόν, δυνάμει γραμματικὸν εἶναι. καθ' ὃ εἰ καὶ μὴ κέχρηται τῇ τέχνῃ, γινώσκει αὐτήν. Δύνασαι, τὰ ἔχοντα ῥήματα τῶν ἐνεργητικῶν μετοχῶν τὸ περισπώμενον ἐν τῇ εἰς μι εἰς σ ὀξύτονον, τροπῇ τοῦ ι κατὰ τὸ τρίτον πρόσωπον τοῦ εἰς σ, ποιεῖ τὸ δεύτερον. οἷον τιθεῖσαι, τιθεῖσαι, ὅτι τιθεισικῶς. τίθεται τίθεσαι, ὅτι τιθείς. δύναται δύνασαι, ὅτι δυνάς. ἐπίσταται, ὅτι ἐπιστάς. Δυνάσθη, ἐκ τοῦ δυνάζω ὀξυτόνου ῥήματος. τοῦτο δὲ ἐκ τοῦ δύνω, ἀφ' οὗ καὶ τὸ δύναμι. οὗ παθητικόν, δύναμαι. ἐξ οὗ ὄνομα, δύναμις. Δυνάσθη οὖν, ἐκ τοῦ δυνάζω δυνάξω, δεδύνακα δεδύνασμαι, ἀόριστος ἐδυνάσθην, ὠνητικῶς δυνάσθη. Δυνάστης, ὁ τύραννος, καὶ ὁ βασιλεύς. καὶ δυναστεία, ἡ τυραννίς, καὶ ἡ βασιλεία. καὶ δυναστεύω, ὁμοίως. εὕρηται δὲ καὶ ἐπὶ βίου δυναστεία, οὐκ ἐν αὐθεντείᾳ. τὸ γὰρ αὐθεντεῖν, ἐπὶ φονέως οἱ παλαιοὶ ἔταττον. Δυναστεία, ἡ ἰσχύς. Δυναστεύω, τὸ ἄρχω, γενικῇ συν-

οὐδ' ὢν ὁ δράσων, ἀττικὸν ἀντὶ τοῦ δράσας. Δρασόμενοι, πράξοντες. Δρασσίων, τὰς θεραπαίνας, καὶ διακόνους. Δράσιον, κόφινον. Δρασὴρ, ὁ δουλικὸς, κατ' ἐπιβολήν. Δρασηρὰ, δραστικά. Δραστῆρας, μαγείρους, διακόνους. Δραστήριον, τὸ κόσμιον καὶ ὑπήκοον. Δραστήριος, ὁ περίεργος. καὶ δραστηρίοις, πρακτικωτάτοις. Δραστικὸς, πρακτικὸς, ἰσχυρὸς, δυνατός. Δράστις, ἡ βύσσος. ἢ οἱ ἐργαζόμενοι αὐτὴν, δραστεργοί.

Δρατὰ σώματα, ἐκ τοῦ δαρτά. ὡς καὶ τὸ κραδίη. ἢ τὸ ἔδρακον, ἐκ τοῦ ἔδαρκον. Δράχμα, τὴν τῆς σταφυλῆς βότρυν, ἢ τὰς φοινίκων βαλάνους. Δράχματα, συνθήματα. Δραχμὴ, σταθμὸς ὡρισμένος. ἢ τὸ συνάθροισμα τῶν ἓξ ὀβολῶν, ἢ τὸ ὄγδοον τῆς οὐγκίας, ἢ χρυσίου ὅλου νομίσματος, ὡς ἀργυρίου λόγον διδράχμου δίκα. Δρέγμονες, οἱ κοροί. Δρίμμα, βλέμμα. οἱ δὲ, κλάσμα. Δρεπανηφόρος, ξιφηφόρος. ἢ δρεπανηφόροι. ἢ δρεπάνη, ἡ φαλκία. διὰ τὸ ἐξ κατερέφεσθαι τὸ δρέπανον. Δρεπανίς, αὔγχος. Δρέπων, τρυγῶν, τέμνων. οἱ δρεπτῆρες, οἱ τρυγηταί.

Δρέπεται, θερίζεται, τρυγᾶται, ἀποθερίζεται. Δρέπομαι τὸ ἄνθιον, ποιητικῶς. καὶ γενικῇ κάλλιον, ἢ αἰτιατικῇ. τὸ δὲ ἐνθρυλλικὸν, κάλλιον ἄχρηστον. Δρεπόμενοι, λαμβάνοντες, ἀπολαύοντες, τρυγοῦντες. Δρεπτὰ, ἐκτεθλιμμένα. Δρεπτὸν, διαλυτικὸν ἀπολαυστικὸν, τρυγητικόν. καὶ ὅπως τό, τε ἁρπακτὸν, καὶ τὸ δρεπτὸν σημαίνεται παρὰ τὸ φίλημα. Δρεφθῆναι, ἀποδρεπανισθῆναι, τρυγηθῆναι. Δρέψαι, ἀφελεῖν, τρυγῆσαι, ἀποκόψαι. ὅθεν καὶ δρέπανον. Δρῆες, τρυφοί, μακεδόνες. Δρηδοί, φοβεῖται. Δρῆσαι, δρᾶσαι, δουλεῦσαι, διακονῆσαι. Δρηστῆρες, οἱ ὑπουργοῦντες ἢ διακονοῦντες. Δρησμοσύνη, θεραπείαν, ὑπηρεσίαν, οἱ θεράποντες. καὶ δρήστειρα τὸ θηλυκὸν, ἢ δρησμοσύνη. καθ' ὁμοιότητα τῆς πολεμοσύνης. Δρία. Ἡσίοδος, ἀνὰ δρία βησσήεντα φοιτῶν. ἤγουν, ἀνὰ τοὺς συνδένδρους τόπους.

Δριάοντα, χλωρά. Δριαλέν, ταχύ. Δριάωσιν, θάλλουσιν. Δριμαί, δρυμά τινα. Δρίλακες, βδέλλαι. ἧλοι.

Δρίμος, ψῦχος. Δριμεῖα, τὰ δριμύτατα. καὶ δριμεῖα, ἡ δριμύτης. καὶ δριμεῖα μάχη, ἡ ἰσχυρὰ, καὶ ἐπιστροφής. Δριμὺ, ὀξὺ, σφοδρὸν, θερμὸν, ταχύ. Δριμὺς, ὀξὺς, συνετικός. Δρίον, ὕλη, ὄρος, χόρτος. Δρὶς, δύναμις. Δρῖτα, πύελος, σκάφη, καὶ εἶδος ὀρχήσεως. Δριωδέντες, θεοὶ παρὰ λακεδαιμονίοις τιμώμενοι. Δρογγίλον, θρακικὸν χωρίον. Δημοσθένης φιλιππικοῖς. Δροιὸν, καλὸν, κρυπτόν. Δροίτη, ἡ πύελος. ὁ δὲ Αἰτωλός φησι τὴν σκάφην, ἐν ᾗ λούονται τὰ βρέφη. Ῥηθεῖσα δὲ, τὴν σορὸν, καὶ Αἰσχύλος. καὶ ἔστι παρὰ τὸ δέρω καὶ τὸ εἴδω τὴν θέσιν, τὸ δέρω τοὺς θανατωθέντας ἐκπέμπειν. ἢ ἐκ τοῦ δρῶ, εἰς ὃ εἰσὶν μένοντα, καὶ ὡς ὁ Αἰσχύλος τὸ σχῆμα. κατὰ τὴν Ἕρμιππον ὁδὸν, διὰ τοῦ ῑ γράφεται παρὰ τῶν ξυλίνων, καὶ ἴσως ὅτι μὲν σημαίνει τὴν πύελον, διὰ τοῦ ῑ. ὅτε δὲ τὴν σορὸν, διὰ τοῦ οι διφθόγγου.

Δρομάζεις, περιβλέπεις. Δρομάλλω, κατὰ δρόμον.

Δρομαῖος, λαγωὸς, ὁ ἐν δρόμοις ἁλισκόμενος. εὐναῖος δὲ, ὁ ἐν κοίτῃ. Δρομὰς, ἡ ἑταίρα. Δρομάσιν, φίλοις. Δρομιάφιον ἦμαρ, ἀμφιδρομία. ἔστι δὲ ἡμέρα ἑβδόμη ἀπὸ τῆς γεννήσεως. ἐν ᾗ τὸ βρέφος βαστάζοντες, περὶ τὴν ἑστίαν γυμνοὶ τρέχουσι. Δρόμοις, τοῖς γυμνασίοις. ὅτι δρόμοι τόποι ἦσαν, ὅπου ἔτρεχον οἱ νέοι. ἐκείνων οὖν τῶν ἐν τοῖς δρόμοις γυμνασίων ἀπόδρομοι, οἱ περίεργοι. Δρομοκήρυκες, οἱ λεγόμενοι ἡμεροδρόμοι. Αἰσχίνης. Δρομοκῆρυξ, ὁ ἐπὶ σπουδῆς πεμπόμενος, τὰς ἐπικηρυκείας κομίζων, ὁ ἡμεροδρόμος. Δρόμος, ἢ ἐπὶ τῶν ἀρχόντων, καὶ ἐπὶ τοῦ ἀποκεκομμένου τόπου τοῖς τρέχουσι. καὶ δρομικὸς, ὁ ἐπιτηδειότατα ἔχων εἰς τὸν δρόμον. καὶ δρομεὺς, ὁ ἐπιτηδεύων τὸν δρόμον, ἢ ὁ τελέως τρέχων. Δρόμος, ἡ ὀρχήστρα τοῦ διονυσιακοῦ θεάτρου, παρὰ ταραντίνοις. Δρόμων, ὁ μικρὸς καρκῖνος. Δροὸν, ἰσχυρόν. ἀργεῖοι. Δροπᾶ, δρέπε. Σοφοκλῆς παλαμήδει. Δρόπις, τρυγητός. Δροπίσκος, κάλαθος. Δρόσοι, ψεκάδες. Δροσερὰ, δροσιζόμενα καὶ ὅσα πλαδῶς. Δρόσος ἄλλο, καὶ ἔνδροσον ἄλλο. δρόσος μὲν γὰρ, ἡ ψεκάς. ἔνδροσον δὲ, σῶμά τι μετέχον δρόσου. τοιοῦτον καὶ ἐπὶ τῆς ὕλης καὶ τοῦ ἐνύλου. ἔνυλον γὰρ, φύσις ἄλλο μετέχουσα ὕλης, ὡς ἡ ψυχὴ μετέχουσα τοῦ σώματος. Δρόσος, ἀγρίως. κόσμιον. Δρούσα, ἡ ἀρχὴ ὑπὸ τυῤῥηνῶν. Δρυάζειν, φλοιζεῖν. Δρύοχοι, ξύλα τὰ βαστάζοντα τὴν τρόπιν τοῦ πλοίου. Δρυάσαι, κατακολυμβῆσαι. Δρυπταί, ἄλειπτοι, ψιλοί. Δρυαχαρνεῦ, δρύινε ἀχαρνεῦ, ἀναίσθητε. ἐκωμῳδοῦντο γὰρ οἱ ἀχαρνεῖς, ὡς ἄγριοι καὶ σκληροί. πολέμιοι δὲ, ὡς ῥᾳδίως δεχόμενοι τοὺς συγγράφους. θυελλαι, καὶ προσπάλλοι, ὡς διακονοί. Δρυὸς οἰνοχίτωνες, αἱ ἄμπελοι, διὰ τὸ τὸν οἶνον ἔχειν. καὶ ὁ χιτὼν δὲ, παρὰ τὸ κεχύσθαι ὠνόμασται. Δρύπτεται, κρύπτεται. Δρυΐδαι παρὰ γαλάταις οἱ φιλόσοφοι, ἢ συμμύσται. Δρύινος, ξύλινος. Δρυΐτης, βοτάνη τις. Δρυκάρπαι, τὸ πρὶν ὀπώραν λέγουσιν οἱ παλαιοί. λέγεται καὶ τὰ δρυὸς ἄκρα, ἤγουν ἀκρόδρυα.

Δρυμάζεις, κυρίως μὲν ἀνθεῖσαι. χρῆται δὲ καὶ ἐπὶ τοῦ συνόντα, καὶ προσομιλήσαντος. Δρύμας, ὁ ἀπόλλων παρὰ μιλησίοις. σφάγιον δὲ ὁ ποσειδῶν, παρὰ θυρίοις. Δρυμάξαι, ἀνθέσαι. καὶ δρυμάξαι, τὸ τῆλαι ξύλοις, ἢ τὸ τρίχαν. Δρυμίους, τοὺς κατὰ τὴν χώραν κακουργοῦντας. Δρυμὸς, ὁ σύνδενδρος τόπος. ὁ σύμφυτος, κλοιώδης, καὶ εὔφυλος. Δρυμὸς, πόλις ἐστὶ μεταξὺ βοιωτίας καὶ τῆς ἀττικῆς. Δημοσθένης, ἐν τῷ περὶ παραπρεσβείας. Δρυμὸς, ὀξὺς, συνετικός. παρὰ τὸ τὰς ῥῖνας μύειν.

Δρυοβαρῆ ἱμάτια, τὰ ὑπὸ τοῦ κελύφους τῆς δρυὸς βεβαμμένα.

Δρυόεντα, δρυώδη. Δρυοπαγῆ σέλμα, τὴν πλοῖον, Σοφοκλῆς. Δρύοπες, ἔθνος περὶ τὴν παρνασσὸν, ἄδικον, ὃ κατασολίμενον ἡρακλῆς, καὶ μετῴκισεν εἰς πελοπόννησον. ὠνομάσθησαν δὲ, ἀπὸ δρύοπος τοῦ λυκάονος, καὶ δίας τῆς λυκαονίας.

Δρυπεπὴς, ὁ πέπειρος καρπὸς τῶν δένδρων. ἢ ἡ ἐπὶ τοῦ δένδρου πεπανθεῖσα ἐλαία. Δρυὸς γένη εἰσὶ πέντε, φηγὸς, ἡμερὶς ἐτυμόδρυς, ἄμυλος, ἀλίφλοιος. ἄμυλον δὲ λέγεται, τὸ παρ' ἡμῖν λεγόμενον κατασατὸν. ὅπερ ἐστὶ τὸ γαλακτοῦδες τοῦ σίτου βεβρεγμένου καὶ σεσησμένου, καὶ ἀποτιθεμένου, εἶτα ὑπὸ ἡλίου ξηραινόμενον. ἡ δρυὸς πολυσωδίος ὕλης, τουτέστι δάσος. καὶ δρυὸς ὑψικόμοιο, τῆς ἐν δωδώνῃ μαντείας. Δρυοτόμος, ὑλοτόμος, λιθοτόμος. Δρύοψ, ὁ σκώψ τῶν παλαιῶν. Δρύοχοι κυρίως, πάσσαλοι, ἐφ' ὧν στοιχηδὸν διατιθεμένων, ἡ τρόπις ἵσταται τῶν κατασκευαζομένων πλοίων, διὰ ἰσότητα. ἢ πάσσαλοι, οἱ ἱστάμενοι κατασκευαζομένης νεώς. ὡς δηλονότι τῆς δὲ κατὰ δρύοχον ἐπαγγελίας, ὃ τινι γόμφοι δίοντες πλοίας, τοῦ ἱκανὸν τὸ πάθος. γίνονται δὲ δρύοχοι παρὰ τὸ τὴν δρῦν, ὃ ἐστι τὴν τρόπιν συνέχειν ἑκατέρωθεν. ἢ καὶ ἄλλως, παρὰ τὸ ξύλα συνεχῆ εἶναι τρόπεις. Σημείωσαι δὲ, ὅτι ταυτὸν μὲν δρῦς καὶ ξύλον. οὐ ταυτὸν δὲ ὅμως δρύοχοι καὶ ξύλοχοι. δρύοχοι μὲν γὰρ, ξύλα, ἐφ' ὧν ἡ τρόπις ἵσταται. ξύλοχοι δὲ, δασεῖς δένδρων ἐν ὄρει. Δρύοψ, ὄρνεον, διαφέρον τοῦ δρυοκολάπτου. Δρυπτεῖς, τὰς ἀπὸ δένδρων πεπτωκυίας ἐλαίας. Δρυφαλοῦ, παλαμητηροῦ, ὀροβατοῦ, ποικιλοῦ. Δρύπτειν κυρίως, ἐπὶ λεπισμοῦ δρυῶν, ὅτε ξύλον. καταχρηστικῶς δὲ, καὶ τὸ ἁπλῶς ξύειν. κυριολεκτεῖται δὲ μάλιστα ἐπὶ σαρκῶν, τὸ ἀμύσσειν. τὸ μὲν οὖν δρύπτειν, βαθύτερόν ἐστι τοῦ ἀμύσσειν. ἢ δρύπτειν, τὸ ξύειν, καὶ ἀπέχειν τῶν σαρκῶν τὸ δέρμα ἕνεκεν ὀλολυγμοῦ. φαίνεται δὲ διαφορεῖσθαι ἢ τινὶ τὸ γράμμα. δρύπτω τε γὰρ, καὶ δρύφω. ὡς εἰπεῖν δὲ ἐν ὅλον ἐστὶ παραπαιόμενον, τὸ δέδρυφα τὸ δρύφοι οὐκ ἄδηλόν ἐστι. οἱ γὰρ τῶν παθητικῶν ἀναδιπλασιασμοὶ οὐκ ἀφαιροῦνται ἐνεργῶς, εἰ μὴ ἄρα αἰολικῶς κατὰ τὸν δίγαμμον, ὃ μᾶλλον συγκινεῖσθαι δοκεῖ, οὐ μὴν παθεῖν ἀφαίρεσιν. Δρυπτίριε, βοτάνη τις ἰσοφθόης πέτρα.

δόρυ διαπέρσαι. Δορίκλυτος, ὁ κλυτὸς ἐγχεῖ, ὁ αὐτός. ἔστι δὲ, ὁ κατὰ μάχην ἔνδοξος. ἀπὸ μέρους τὸ δόρατος. Δορίκτητον, δοριάλωτον, αἰχμάλωτον. Δορίληπτος, αἰχμάλωτος.

Δούρειος ἵππος, ἀθλώσων ἐν ἀκροπόλει χαλκοῦς ἐστι. καὶ ἐξ αὐτοῦ ἐκκύπτουσι δόρατα. Δουρός. δόρυ δόρος, καὶ δουροῦς λέγομεν. καὶ δουράτεος, ἐκ τοῦ δούρατος, νηίας συντεταμένης.

Δοχὰς ἱερὰ, ἡ σὺν δόρατι ὁρμή. Δοὺς, παραχὼν, ὁ δεδωκώς. Δουσάρην, τὸν διόνυσον, ναβαταῖοι, ὥς φησιν ἰσίδωρος. Δοχεῖον, δοχὴ, σκεῦος ἐν θυλακῷ. Δοχὼ, ἀριθμόν. Δοχμαλὸν, χαμαίζηλον, ταπεινόν. Δόχμη, τὸ τετραδάκτυλον. Ἀρίσταρχος δὲ ὀξύνει, ὡς δηλοῖ καὶ ὁ κωμικὸς, ἐν τῷ οὐδὲ διαφυλάξαντι πλεῖον ἢ δύο δοχμά. ἐν μὲν δὲ φησί τις ἀκριβεστέροις ἀντιγράφοις, ὀξεῖα ἐπίκειται τῇ πρώτῃ συλλαβῇ κατὰ τὸ λόχμη, λόγχη, ὄχθη, ὄγκνη. ἕτερος δὲ ὡς λέγει καὶ αὐτὸς, ὅτι δοχμὴ, ὡς ὄχθη καὶ σάθμη, κατὰ Τρύφωνα, εἰ καὶ Ἀρίσταρχος ὀξύνων ἀξιοῖ. Παυσανίας δὲ εἰπὼν καὶ αὐτὸς, ὅτι δόχμη τὸ τετραδάκτυλον ἐκάλουν, κύριοι δὲ τῶν παλαιῶν. ἴσως δέ φησι διὰ τὸ πλαγιάζειν τῇ χειρὶ ἐν τῷ μετρεῖν. δόχμιον γὰρ, τὸ πλάγιον. ὡς προείπαμεν οὕτω, τὸ δόχμιος τὸ δόχμιον. Δοχμὴ, σπιθαμή. Ἀριστοφάνης, ἢ ὁ παλαιός. λέγει δὲ πρὸς Βυρσόδεψον, περὶ τοῦ δέρματος. Δοχμιακὸς, εἶδος μέτρου ἀντισπαστικοῦ. ἔστι δὲ πεντάμετρον ὑπερκατάληκτον, οἷον ἐγὼ δ' οὔτι σοί. ἔστι δὲ Εὐριπίδου φοινισσῶν, πολλὰ ῥυθμῶν ὀνόματα καὶ ἄλλα. αὐτὰρ δὲ καὶ τούτων, ἰαμβικὸς ἰαμβικά. δάκτυλος δακτυλικὸς, παίων, ἐπίτριτος. αὐτοὶ μὲν εἰσὶν ὀρθοὶ εἰσι ῥυθμοί. ἐν ἰσότητι γὰρ κεῖται. ἡ γὰρ μονὰς πρὸς δυάδα, ἡ δυὰς πρὸς τριάδα, ἡ τριὰς πρὸς τριάδα. ὁ φέας πλεονεκτεῖται μονάδος, ἐν τῷ δοχμιακῷ. τριὰς ἐστὶ πρὸς πεντάδα, ἡ δυὰς ἡ πλεονεκτοῦσα. οὗτος οὖν ὁ ῥυθμὸς, ἀπὸ ὀλίγου κεκλῆσθαι ὀρθός. ἐκλήθη τοίνυν δοχμιακὸς, ἐν ᾧ τὸ τοῦ ἀνισότητος μέτρον κατὰ τὴν εὐθεῖαν κρίνεται. καὶ τὸ μέτρον οὖν δοχμιακὸν, ὡς ἐμπίπτοντος ἐν αὐτῷ τοῦ ὀκτὼ χρόνου.

Δόχμιον, πλάγιον. Δοχμοκόρσαι, οἱ πλαγιοχαῖται.

Δοχμολόφοι, οἱ ἐπλαγίους τοὺς λόφους ἔχοντες. Δόχμος, παρὰ τὸ δέχω φασὶ γίνεται, ἵνα δηλοῖ τὸ εὐχώρητον. τοιοῦτοι δὲ ἐν τοῖς ὄχλοις οἱ εἰστάντες δόχμιοι. Δοχμὴ μὲν τι θηλυκῶς οἱ παλαιοὶ, ἤγουν τὸ τετραδάκτυλον φασὶ τῆς χειρὸς, ἀπὸ τοῦ δέχεσθαι καὶ αὐτό. ἔστι δὲ βαρύνεται ἡ δόχμη, ὁμοίως τῷ σάθμη, λάχμη, ὄχθη, ἀρχαίου δηλοῦται. Δοχοὶ, δοχειαλοιτῆρες.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Ρ.

Δραγμάζειν, κρύπτειν. Δραγμαλκατῶν, βρεμοῦντες. Δράγμα, ὅσον περιλαμβάνει τῇ ἀριστερᾷ χειρὶ ὁ θερίζων. Δράγματα, τὰ πληροῦντα τοὺς χαλκοὺς τῶν ἀριστερῶν, παρὰ τὸ δράττειν. ὅθεν καὶ δραχμὴ, ἡ πληροῦσα τὴν χεῖρα ἐν κέρματι ταμόλου δὲ, συνέστηκεν ἐκ δραγμάτων ἑκατὸν, ὅ ἐστι διακοσίων. Δράγματα, ἀπαρχαί. Δραγμεύοντες, ταῖς ἐντὸς τῆς ἐγκεφάλου καλύπτουσι. Δραγματεύοντες, ὅ ἐστι τὰ δράγματα συνδήσαντες, ποιν συνέρχονται φέρειν αὐτὰ τοῖς ἀμαλλοδέταις. δράγμα δέ ἐστιν, ὅσον ἂν δράξηταί τις τῇ δρακί. παρὰ τὸ δράσσω, ἐξ οὗ καὶ ἡ δραχμή. Δραγμὴ χαλαζῶσα, ἐπὶ διεφθορότος ἐγκεφάλου ἐγένετο δραχμή. ἐπεὶ δὲ ἐπέχει χάλαζα τότε ἀπὸ τοῦ αἵματος, δραγμὴν αὐτὴν χαλαζῶν ἐπέσκωπτον. Δραθεῖν, τὸ κοιμᾶσθαι. καταδαρθεῖν γὰρ, τὸ κοιμηθῆναι. καὶ δραθεῖν καθ' ὑπέρθεσιν, ἐκ τοῦ δρέθω δρέττω ἔδραθον. ὁ δεύτερος ἀόριστος ἔδραθον, ὁ μέλλων δραθῶ, τὸ ἀπαρέμφατον δραθεῖν, κυρίως τὸ ἐπὶ ὀφθαλμῶν κοιμᾶσθαι. Δράθω, καὶ δραθεῖν, τὸ ἀποτίθεσθαι τὸ δρᾶν, ὅ ἐστι βλέπειν. Δραίνειν, ἀντὶ τοῦ πράττειν. ὡς τὸ, ἀλλ' εἴτε δραίνεις, ἔτι δρᾷς, ἢ δύνασαι δρᾶν. ἐκ δὲ τοῦ ἀδρανὴς, ὁ μὴ δραίνειν δυνάμενος καὶ ἀδρανεία, ἡ ἀσθένεια τοῦ δρᾶν. οἱ δὲ παλαιοὶ, δραίνειν λέγουσι τὸ ἀγρυπνεῖν, ἤγουν ἄγρυπνον εἶναι, καὶ βλέπειν. δρῶ γὰρ, τὸ βλέπω. διὸ εἰπὼν ὁ ποιητὴς, εἴτι δραίνεις, ἐπάγει, ἐπεὶ οὐδὲ σέ γε ὕπνος ἱκάνει. Δραίνεις, δραστικῶς ἔχεις.

Δραιὸν, μακρὸν, πολλόν. Δραίνω, ἐκ τοῦ δρῶ. καθ' ὁμοιότητα τοῦ ῥῶ ῥαίνω. Δραιόμη, ὤφιλξα. Δράκαιναν, τὴν μάστιγα, τὴν ὑστριχίδα, ὁ Ἀριστοφάνης. Δρακάνιον, εἶδος κυλίκος.

Δρακοντίδης. πονηρὸς οὗτος, καὶ πλείστας καταδίκας ἐσχηκώς. Ἀριστοφάνης, ἐκφεύξεται Δρακοντίδης. ὁ Δρακοντίδης, εἷς τῶν τριάκοντα, τὸ Πανδίδος, καὶ Δρακοντίδης τὸν Κέκροπα. Ἀριστοφάνης, ἐπειδὴ τὰ κάτω δράκοντος εἶχε. Δράκυλος, Σοφοκλῆς τυμπανισταῖς. ἢ ὅτι συνέσκασι σκορπίος, ἢ ὅτι εἰς δράκοντα μετεμορφώθη. Δρακεῖν, ἰδεῖν, βλέψαι. Δράξ, ἐκ τῆς δρακός, πράξ. Δράκια, φύλλα, σικελοί. Δρακίος, ὄνομα κύριον. ἀπὸ τοῦ δράσσω, ἵν' ᾖ ὁ δραττόμενος, ὁ ἰσχυρός. ἢ παρὰ τὸ δρῶ, τὸ πράττω, ἵν' ᾖ ὁ πρακτικός. Δράκοντα, τὸ κηρύκειον. Σοφοκλῆς Φιλοκτήτῃ. Δρακὸς, τῆς παλάμης τῆς χειρός. Δράκων. ἐκ τοῦ δέρκω, τὸ βλέπω. οὗ δεύτερος ἀόριστος, ἔδρακον. γίνεται κατὰ μετάθεσιν τοῦ ρ. οἷα σμερδαλέος, καὶ τῇ ὄψει καταπληκτικός. καὶ δράκων, ὥσπερ ἀρνὸς ἀρνειός, φατὸς φατειός. Δράκων, ἐπιφανέστατος νομοθέτης, ὡς Αἰσχίνης. ἕτερος δ' ἐστὶ δράκων, οὗ Ἰσοκράτης ἐν τῷ πανηγυρικῷ μέμνηται. Δράλαια, λάμπα, κῶοι. Δρᾶμα, ποίημα, πρᾶγμα. ὡς καὶ δρᾶσαι, τὸ πρᾶξαι λέγεται. δρᾶμα, καὶ τὸ ὑπὸ τοῦ θεατρικοῦ μιμηλῶς γινόμενον, ὡς ἐν ὑποκρίσει. Δραματολόγος, ὁ τὰ δράματα συνάγων.

Δραματουργεῖν, πανουργεῖν, συντιθέναι, πράττειν. Δραματουργήματα, σύνθεμα. Δραμεῖν. δρέμω δραμῶ. ὁ δεύτερος ἀόριστος, ἔδραμον. ὁ μέλλων δεύτερος, δραμῶ, τὸ ἀπαρέμφατον, δραμεῖν. Δρᾶν, πράττειν, θύειν. Σοφοκλῆς ἐν Αἴαντι, Τί ποτε δρᾶν μέλλεις φρενί. Δρᾶσαι. ἔστι δρῶ τὸ πράττω, δρῶμι, καὶ δίδρωμι, καὶ δίδρημι. δρῶμι οὖν, δράσω, ὁ ἀόριστος ἔδρασα. ἡ μετοχὴ, δρὰς δράντος. τὸ ἀπαρέμφατον, δρᾶσαι. Δραστής, δραστικοί. ὅθεν καὶ ἀδρανεῖς. Δρᾶμα, ἔργον, πρᾶξις, ὄργανον, ἄγαλμα, κατασκεύασμα, δύναμις. Δράξ, δράκα, ἡ ἔνθεν τῇ χειρὶ, οἷον τι δράξασθαι καὶ περιλαβεῖν. παρὰ τὸ δράξαι μέλλοντα δράξ, ὡς θήσω θής.

Δράξαι, κρατῆσαι, καὶ ξύσαι τὸ γένειον. Δράξασθαι παιδείας, ἐπιλαβέσθαι παιδείας καὶ ἐπιστήμης. Δράξιν, ἡ λεγομένη σικελική. σημαίνει δὲ τοὺς κατ' ἀγορὰν τῶν ἀλφίτων, ἢ τῶν ἄλλων ὠνίων δραττομένους καὶ ἀρπάζοντας. οὓς Ἐρατοσθένης καπηλάλας καλεῖ. παρὰ οὖν τὸ δράττεσθαι. εἰς δὲ τὸ Διογένους, εὗρον τὸ δράξιν σημαίνειν, τὸν πυρτοβοσκόν. Δραπετίδας, εἶδος ὀρνέων. Δραπετεύειν, φεύγειν. Δραπέτης, ὁ ἀποδιδράσκων τῆς δουλείας, ὁ πιπράσκων, ὅ ἐστι φεύγων. δραπέτης, τὸ δρᾶ, μακρόν. καὶ δραπέτης κλῆρος, ὁ μετὰ πανουργίας γινόμενος. νῦν δὲ εἰρήσεται περὶ Κρεσφόντου, καὶ τῶν Ἀριστοδήμου παίδων. ὅτι πανοῦργος ὁ Κρεσφόντης, βῶλον ὑγρὰν εἰς τὴν ὑδρίαν ἐνέβαλε, κληρουμένων περὶ Μεσσήνης. Σοφοκλῆς, Οὐ δραπέτην τὸν κλῆρον ἐς μέσον καθεὶς, ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ' ὃς εὐλόφου κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν. Δραπετίνδα, ὄνομα παιδιᾶς. ἔστι δὲ ἡ μυίνδα καλουμένης τρόπος. λέγεται δὲ παρὰ τὸ τῶν παίδων ὁ μὲν ἕνα μύξ τοὺς ὀφθαλμοὺς βοῶν, τηροῦ, φυλάττου. οἱ δὲ ἄλλοι φεύγουσι, φυλασσόμενοι τὸ ἀγρευθῆναι. εἴρηται δὲ, παρὰ τὸ δραπετεύειν. Δράσαι, ποιῆσαι. καὶ δρᾶσαι, ποιῆσαι. Δράσειν, θύειν θυσίας, αἰολεῖς. Δρασείοντες, ἐνεργητικῶς ἔχοντες. Δρασείω, τὸ ἐπιθυμῶ δρᾶσαι τι. Εὐριπίδης, Τί δ' ἐπὶ τοῖσι παῖδ' ἐμοῦ δρασείετον; ἤγουν μέλλουσι δρᾶσαι. Δρασείων, δραστικῶς ἔχων. Δράσεις, σημαίνει τὴν πρᾶξιν, καὶ τὴν ὅρασιν. καὶ δρακεί, οἱ ὀφθαλμοί. Δρασκάζειν, ἀποδιδράσκειν. Δράσκαν, δρασμός.

Δράσκασις, ἡ διάδρασις, ἡ δραπέτευσις. Δρασμάτων, πανουργημάτων. Δρασμός, ἡ φυγή. Δράσειν, Ἀριστοφάνης

δαι εἶδος λέγει, ἢ τὸ λόχον εἶναι. Δόλοπα, κατάσκοπον, κατάσκοπον. Δολοπεύς, ἔθνος Θετταλικὸν ἐν ἐσχατιᾷ τῆς Φθίας. καὶ αὐτοὶ μὲν Δόλοπες, ἀπὸ ἑνὸς ὑπῆρχε Δόλοπος. Δολιοῖο μὲν, οἱ περὶ κέρινον. Δολοπεῦσαι, ἐπιβουλεῦσαι, ἐνεδρεῦσαι. Δολοπλοκίαν, τὰς τῶν λόγων πλοκάς. Δόλος ἐστὶν, ὁ ἕτερον μὲν τι περὶ ἑαυτοῦ προσποιούμενος, ἕτερον δὲ παρ᾽ ὃ προσποιεῖται, λόγῳ ἢ ἔργῳ ἐμφαίνων ἐκ κακοτεχνίας τῆς πρὸς τὸν πλησίον, ἢ τὸ ἔργον πράττεται. ὁ δόλος κακοτεχνία λαθραία ἐν προσποιήσει τῆς βελτίονος, ἐπὶ πλεῖστον προσφερομένη. ὁ δόλος, ὑπόκρισις ἤθους ἐπὶ βελτίονος ἔχων, ἄλλο μὲν λέγων, ἄλλο δὲ πράττων ἀναπείθων. ὁ δόλος, τὸ ἐπιτεχνᾶσθαι πρὸς ἐπιβουλὴν περὶ ἕτερον. οἷον, ὅταν τις πᾶσαν χώραν κατασχὼν, καὶ νῦν ὥσπερ δίκαιον τι προθεὶς, δι᾽ αὐτοῦ τὰς ἐπιβουλὰς κατασκευάζοιτο. παρὰ δὲ τῷ Ἀπόλλων Δόλος, ὁ ἐπὶ δόλῳ τῷ ἀδελφῷ ἐπιβουλεύων μηχανή. Δολοτροπία, ἐπὶ τῷ ἀπάτης συμφέρον δυνάμει. Δολοφρονεῖν, τὸν τῷ ὑποφθονεῖν. Δολοφρονέων, δόλια φρονῶν, ἀπατῶν. Δόλωνα, πλανηθεὶς μικρὰ ἱστία. Δελφοὶ, ὁ μέγας. Δόλωνες, τὰ μικρὰ ἱστία. καλοῦνται τὰ μεγάλα ἀρτέμονα, ὡς μικροῖς, ἃ δὴ δόλωνας καλοῦσιν, ἐπιθέσθαι τὰ αὐτὰς, προβαλόμενοι τοῦ παντὸς νόσου τοὺς ὀλίγους, ταύτας τοὺς δόλωνας ἐπαιρόμενος ἔπλει. οἱ δὲ ῥωμαῖοι πλοῖον γνόντες, καθεῖλον τοὺς δόλωνας. Δόλων ἄτε, παρ᾽ Ὁμήρῳ, ὁ ἐπὶ ἄτη, ἀπάτη. Δολῶσαι, ἀπατῆσαι. Δόμη, τὸ δεδομένον δῶρον, καὶ τρίχιον. Δόμην, ἀντὶ τοῦ δοῦναι, παραχώρησιν, πολλαχοῦ κεῖται. καὶ παρ᾽ Ἡσιόδῳ, ἐν τῷ, καὶ δόμην ὅσσον ἐμὲ ἐκεῖνο. μὲν προστακτικῶς ἐδέχθη, ἀντὶ τοῦ δός· ἀπὸ τοῦ δίδωμι, δόσις ἦλθεν, δοῦς δοτὸς. τὸ ἐπιτιμητὴρ δοῦναι, δόμεναι δωρεῶν. ὡς δεῖναι, δόμεναι, καὶ εἶναι ἔμμεναι, πλεονασμῷ ἐνίοτε μὲν. εἰώθασι γὰρ οἱ ποιηταὶ πρὸ τοῦ ἐν τῷ ἀπαρεμφάτῳ τῷ ἀορίστῳ προσαδειάζειν μὲν συλλαβὴν. ἐνί μὲν παραλήγεται τὸ ἀπαρέμφατον διὰ φωνήεντος ἀποβάλλουσι τὴν φωνήεντος τὰ ἄνω. εἰ δὲ διὰ φωνήεντος παραλήγεται, φυλάττουσιν αὐτό. εἶναι ἔμμεναι, δῦναι δύμεναι γράφουσι γράψαι, γεγράφθαι γεγράφεναι. Δομεῖν, οἰκοδομεῖν.

Δομῆς, οἰκοπέδου, θεμελίου. Δομή, τὸ σῶμα παρὰ Ἀνακρέοντι. Κάτω μεταπλασμὸς, ἀπὸ οἰκοδομῆς ὀνομασθεὶς. ἀπὸ γὰρ τοῦ δέμω, μεταπλασθὲν εἴρηται ἡ δομή. Δόμος, οἶκος, στῖλος, μορφὴ, τρίψις, σῶμα, οἰκοδομή, τρόπον κατασκευή. Δόμος, τὸ οἶκος. Δόμος, οἶκος, παρὰ τὸ δέμω τὸ οἰκοδομῶ. ὡς τὸ μονόμος, ὁ οἰκοδομητὸς οἶκος. Δόνακα, ὑπὸ λύγρον παρὰ τοῖς δόρασι κάλαμον ἀντὶ δόρατος ὑπετίθει. Δόνακες, εἶδος καλάμου. λέγοι καλαμῶσι τοῖς οἱ μετὰ Ὅμηρον καλοῦσι δονάκια. παρὰ τὸ ζῶον δονεῖσθαι, διὸ τὸ ποταμὸς πᾶς δονακοῖς. ἔτι δὲ οἱ δόνακες καλάμων ἀμφότεροι εἰσιν, ἐρέσσων δὲ ἀμφοτέροις. καὶ δονεῖσθαι ἐκ τοῦ νάματος μὲν ἐγγὺς γίνεσθαι, εἶδος δέ τι καλάμων. Δονακοῦν, τὴν διάχυσιν καλαμῶνα.

Δονεύματα, ἀναλήμματα, σαλεύματα. Δόναξ, ὁ εἶδος καλάμου. Δονακίαν, τὴν ἀπάλλουσαν, σαλεύουσαν. Δονεῖ, σαλεύει, κινεῖ, σοβεῖ, σαλεύεται. Δονεῖ ἐστιν ἐν τῷ σημαίνει τὸ κινεῖ. πλεονασμῷ τοῦ ν καὶ τροπῇ τοῦ ε εἰς ο, δονῶ· τὸ σοβεῖν, σημαίνει καὶ τὸ κινεῖν, σείειν, σαλεύειν. Δονούμενον, τὴν ὑπὸ τῶν δονεῖν ἰσοθενεῖται. Δόξα. παρὰ τὸ λέγω λέξω, λέξα, καὶ λόξα. ἢ παρὰ τὸ δοκῶ δοκέσω, δόκεσα, δοκέσα, καὶ φωνῇ τοῦ κ εἰς ξ, δόξα. ἢ παρὰ τὸ δοκεῖν βλέπειν, δοκεῖν καὶ δόξα. σημαίνει δὲ ζήλια, τὸ δόγμα, τὴν δόξαν, καὶ τὴν τιμήν. ἔτι δὲ δόξα, ὁ ἀπὸ τῶν πολλῶν ἔπαινος, καὶ ὁ δὲ ἀπὸ τῶν ἐνδόξων. ὁμοίως τιμὴ λέγεται ἐπὶ τῶν ἀξιωθέντων, καὶ ἐπὶ τόπους ἀξίωσις. ἕτερον δὲ, δόξα, ὑπόληψις. τὸ δὲ πάντων οὖν οὕτως διελόμενοι, ἐπὶ τῆς οἱ πάντα ἀπολαυστικά ἀντιλέγοντες. ἡ δόξα, ὑπόληψις, ἐπαινετικὴ, ὑπόληψις. ὁ τὸ λογικὸν, ἡ γνωστικὸν μέ-

ρος τῆς ψυχῆς. διαιρεῖται δὲ εἰς νοῦν, διάνοιαν, καὶ δόξαν.

Ἄλλως. Δόξα δὲ διττή, λογική τε καὶ ἄλογος. τὴν μὲν οὖν ἄλογον δόξαν εἶναι φασιν ἁπλῶς γνῶσιν καὶ πρόχειρον, ὡς ὅταν τις πρόφερη δόξαν ἀγνοῶν, ἀγνοῶν τὴν αὐτοῦ αἰτίαν. οἷον ἀθάνατον λέγων τὴν ψυχήν, καὶ μὴ διδοὺς ἀπολογικῶς αἰτίαν τῆς ἀθανασίας αὐτῆς. τὴν δὲ λογικὴν δόξαν, γνώμας εἶναι λέγουσι κατὰ ἀποτελέσματα τῆς διανοίας συνισταμένας, ὡς ὅταν τις λογισάμενος ᾖ, καὶ τὴν αἰτίαν αὐτοῦ ἐπιστημονικῶς ἀποδείδωσιν. οἷον προτίθεται τις δεῖξαι τὴν ψυχὴν ἀθάνατον. Δοξάζει, ἀμφιδοξεῖ, δισάζει, δικάζει. Δοξάζω, τὸ ὑπολαμβάνω. καὶ δοξάζω, τὸ τιμῶ. Δοξάσεις, εἴπη δεῖ λέγομεν ὑπὸ ἐνίων ὑπονοηθέν. Δόξαν, δοκήσας. Δοξάσαι, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ὑπονοῆσαι, εἰκάσαι. Δοξάσαι, εἰκάσαι.

Δοξαστικόν ἐστι, μέρος ψυχῆς τὸ αἰσθητικόν. Δόξῃ, ὑπολαμβάνει. Δοξοκοπεῖ, ἀντὶ τοῦ δόξης ἕνεκεν κοπιᾷ. Δοξοκοπία, κενοδοξία. Δοξολογοῦντες, ὑμνοῦντες. Δοξοῦσθαι, κατηγορεῖσθαι, φαντάζεσθαι. Δόξω, ἔδοξα, καὶ ἄλλα, ἀπὸ τοῦ δοκέω, δοκῶ, δοκεύω. Δοράζειν, κολάζειν, λογχάζειν. Δόρατον, κάμαξ ἐν ᾧ γλωσσὸν φέρουσιν οἱ ζευγηλάται ὑπὸ τῇ ἁμάξῃ. Δόρατα, τὰ ξύλα. δόρυ γὰρ, τὸ ἁπλῶς ξύλα. κλίνεται γὰρ τὸ δόρυ τοῦ δόρυος. καὶ κατὰ μετάθεσιν δορός, καὶ ἐκβολῇ τοῦ ο δορός. ἐστὶ δὲ καὶ ἑτέρα εὐθεῖα συνεσταλμένη, τὸ δόρας, καὶ κλίνεται τοῦ δόρατος. ἀφίεται οὖν ἡ εὐθεῖα αὐτοῦ, ὡς ἄχρηστος. καὶ λαμβάνεται ἡ γενικὴ, δόρυ δὲ ατος. ἡ δὲ ἐπὶ τῶν πληθυντικῶν, δόρατα. οὕτως ὕδωρ ὕδατος. ἐπὶ δὲ ὕδωρ ὕδωρος, καὶ ὕδας ὕδατος. καὶ κλίνεται ὡς ἔφαμεν. ἡ δόρατα, λέγε. κάρηνα καὶ δέρματα, μικρὸν δόρυ. Δοριαζόμενοι, δορὶ μαχόμενοι. Δορὶς, τὸ δέρμα, καὶ φορὰ ὅπερ. Δόρυ, καὶ δορὸς, ἀντὶ τοῦ δόρατα καὶ δοράτων. Δοριάλωτον, αἰχμάλωτον. Δορίληψ, μάχαιρα μαγειρικὴ, εἰ τὸ ἱερεῖα τὰ μαγειρικὰ ἐπιτελεῖσθαι. Δορίκτητος, αἰχμάλωτος, πλημμελῆ θεσις.

Δορίληπτον, κατηγορούμενον. Δορίλλος, τὸ γυναικεῖον αἰδοῖον, ἐφ᾽ ἧς τρυφὴν τοῦ δορίλλου. ἢ παρὰ τὸ δέρεσθαι, τὸ τυλιδόμενον τὰς θρίξας, καὶ οἷονεὶ ἐκδερόμενον. Δορκαλίδες, ὄργανόν ἐστι κολαστικόν, ἢ μάστιγες, ἀπὸ ἱμάντων δορκάδων.

Δόρκων, ὄνομα τόπου, καὶ ὁ ἔλαφος. Δορὸς, σκεῦος μαγειρικόν. Δορίσκος, χωρίον τῆς Θρᾴκης. Δημοσθένης ἐπὶ τὸ σφῶας, καὶ Ἡρόδοτος. Δορεὺς, δόρυ. Δορκάζων, περιβλέπων. Δόρκας, κόνιδος. Δόρκος, ἀκριβῶς, κρυπτός. Δορκάς, τὸ ἔλαφος γένημα. παρὰ τὸ δέρκω τὸ βλέπω, δορκὰς, καὶ δορκάς. ὀξυδερκὲς γὰρ τὸ ζῶον, καὶ εὐόμματον. Δόρξ, ὄνομα ζώου, ἔνθεν δορκάς. παρὰ τὸ δέρκω δέρξω, δέρξ, καὶ δόρξ. ὡς στόμα παρὰ τὸ στέφω, στόξ. εὐωνὶς γὰρ τὸ ζῶον. Δοροδέκτης, τὸ ὑποδεχόμενον τὴν οἰκίαν τὴν ὄροφον. Δοροί, ξύλινοι ἀρμάλιοι, κύρτεια, δέρματα, καὶ δορὰς, πυρέους, δέρματα. Δόρπα, ἀντὶ τοῦ δεῖπνα, μεταπλασμὸς ἐπαθεν, ἀπὸ τοῦ ἀρσενικοῦ γένους. δόρπος γάρ, καὶ δορπῆσαι, δειπνῆσαι. Δόρπηστος, ἡ πρώτη ὥρα ὥρα τῆς ἀπαρτίας ἡ δὲ τῆς νεώσεως, περὶ ἧς δὲ εἰ ζητεῖν καὶ πλατωνικὸν ἐν τῷ ἀπαντῆσαι. Δορπισμὸς, δείπνου ὥρα.

Δόρπον τί ἐστι, φανερῶς δεῖπνον Ὅμηρος λέγων. ὅμως δὲ ἄλλο κατὰ δέος, πόρισα δόρπον. ὁ Λητερὸς δεῖπνον. φησὶ γὰρ, μέγα δόρπον. Δόρπος, ὁ δεῖπνος, ἡ περὶ ἧς ἐστιν ἀρίστης. κυρίως ἡ ἐσπερινὴ τροφή, ἀπὸ τῶν δεῖπνον δείπνου. ὅτι ἐστὶ τῶν δειπνοῦν καθημένων ἐσθίειν. ἢ παρὰ τὸ δέρειν τῆς δὲ λεύσιν, ἢ παρὰ τὸ τοῖς ὄρεσι δέρειν, ἢ παρὰ τὸ ἔρχεσθαι ἡμᾶς εἰς τὸ δεῖπνον, ὅ ἐστι καθεύδειν. Δορσάνες, ὁ Ἡρακλῆς περὶ Ἰνδοῖς. Δόρυ, σημαίνει δύο. τὸ ξύλον, καὶ τὸ ἀκόντιον. τὸ ξύλον μὲν, ὡς παρ᾽ Ἡσιόδῳ, ξύλα τὴν δὲ δοῦρα ἄμαξα. καὶ Ὅμηρος, καὶ δὴ δοῦρα σέσηπε νεῶν. τὸ ἀκόντιον δὲ, ὡς τὸ, εὖ μέν τις δόρυ θηξάσθω, καὶ πάλιν, αἷμα κε-

λαινὸν

ὁ ἁλιεὺς ἰχθύας ἀγρεύων δέλεαρ, ὁ τριβάδιον τῆς ὁλβίας, ὁ τὸ κοχλιάριον. Δοίην, παθέχοιμι. ἐκ τοῦ δοίημι, τρίτον προσώπου τῶν ὑποτακτικῶν. οὐ συγκοπέντος, ἀποβολόντος τοῦ μ, τὸ δοίην γίνεται. Δοιὴ, τὸ ποσόν. ἀπὸ δὲ τοῦ δοίμι δοίησι οἱ Αἰολεῖς λέγουσι, δοίης δοίη. τὸ δὲ δώη, ὑποτακτικόν. τὸ γὰρ ἐὰν δῶ, οἱ ποιηταὶ δώω φασίν. ὥσπερ δῶ καὶ τὸ γνῶ. ἐξ οὗ καὶ τὸ δώῃ· ὡς δώῃ. καὶ μή τις οἰέσθω καὶ αὐτὸ εὐκτικὸν εἶναι. οὔτε γὰρ προσγεγραμμένον ἔχει ἐπὶ τοῦ δῶ τὸ ι, οὔτε μὴν τρῶτον πρόσωπον ἔχει δώην. ὅτι μὲν τὸ δώη, ὅπερ εὐκτικὸν οὐκ ἀμφιβάλλει, ἀλλ’ οὐδ’ ἐπὶ τῶν πληθυντικῶν, δώημεν δώητε δώησαν, ὡς δοίημεν δοίητε δοίησαν λέγεται. οὐ γὰρ ἂν οὕτως ἐγράφετο, εἴπερ τὸ δώη εὐκτικὸν ἦν. νῦν δὲ ὑποτακτικόν· πόθεν; ὅτι δώωμεν γράφεται, δώητε δώωσιν, ὡς γνώωμεν γνώητε γνώωσι. τὸ δὲ εὐκτικόν ἐστιν, ὡς εἴρηται, δοίημεν δοίητε δοίησαν.

Δοιάζουσιν, ἀμφιβάλλουσι, γνώμαις. Δοίημεν, παρέχοιμεν.

Δοίης, δώσεις. Δοῖμεν, ἀντὶ τοῦ δοίημεν. ὁμοίως δοῖεν, ἀντὶ τοῦ δοίησαν. καὶ δοῖτε, ἀντὶ τοῦ δοίητε. ἀττικὸν τὸ πάθος. καὶ γίνεται ἡ τοιαύτη συγκοπὴ ἐπὶ τοῦ πρώτου καὶ δευτέρου καὶ τρίτου προσώπου. ἔστι δὲ δοίημεν γενικὸν τοῦ δοίην, ἀποβληθέντος τοῦ η. ὅθεν καὶ τὸ γνοῖεν, καὶ εἶεν, καὶ τὰ τοιαῦτα. Δοιοί, οἱ δύο. ἀφ’ οὗ τὸ δοιάζω, τὸ ἀμφιβάλλω. ὁ ἐν τῇ διπλῇ γνώμῃ τίθεται.

Δοῖτρον, πύελον, σκάφην. Δοκάζει, περιμένει, ἐπιτηρεῖ, φυλάσσει, δοκεῖ, προσδοκᾷ. Δοκάλια, καλὰ, ἄριστα, ἀγαθά.

Δόκαι, ἐνέδραι, παρατηρήσεις. Δόκανα, τάφοι εἰσὶν ἐν Λακεδαιμονίᾳ. παρὰ τὸ δέχεσθαι τοὺς Τυνδαρίδας. Δοκάναι, αἱ σαλπιγγες, αἱ ἐστατικὰ λίνα, ἢ κάλαμοι. Δοκεύω, θέλω.

Δοκεῖς δωρικῶς, ἀντὶ τοῦ νομίζεις. Δοκεῖ, οἴεται, νομίζεται, ὑπολαμβάνεται. καὶ δοκεῖ δοῦλος εἶναι, πένητος ἀνθρώπου.

Δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ, πέμψαι πρέσβεις. Δοκεῖν, ἐοικέναι. Δοκεύειν, σημαίνει τὸ ἐπιτηρεῖν, φυλάσσεσθαι, προσδέχεσθαι. καὶ δόκησις, σκοπὴ, ἀπάντησις, ὑπόληψις. παρήγμενον ἀπὸ τοῦ δόκω βαρυτόνου. Δοκέω, ῶ. καὶ προσδοκέω, ῶ. εἰσὶ γὰρ ῥήματα ἐνεργείας συζυγίας ὄντα χωρὶς προθέσεως, εἰς ἑτέραν μεταβαίνοντα, ἐὰν προσλάβωσι πρόθεσιν. οἷον δοκέω, ῶ, προσδοκέω, ῶ, καὶ σκοπέω, ῶ, ἐπισκοπέω, ῶ. Δοκεῦ, ἀντὶ τοῦ δοκοῦ. ἐπαρξ δὲ ἑρμηνευτέος ἐν ἀρχαϊκοῖς. Δόκω, δόκησιν, δοχήν. Δοκέουσι, ὑπονοοῦσι, νομίζουσι, προσδοκῶσι, δοκιμάζουσι, σοχάζονται. Δόκησις ἀληθείας, περιφραστικῶς ἡ ἀλήθεια παρὰ Θουκυδίδῃ. ἡ δόκησις, σκοπὴ, ἀπάντησις, ὑπόληψις. Δοκησίσοφος, ἀντὶ τοῦ φρόνιμος. Δοκίδες, ἀστέρων ὀνόματα. ἢ δοκίδες, οἱ ἴσοι καὶ ἴσοι ἀριθμοὶ πλειστάκις. Δοκίδιον, δοκοῦν. Δοκιμάζω, κρίνω, ἐκκρίνω, βασανίζω, ἐκλέγω, διακωδωνίζω, πειρῶμαι. Δοκιμάζονται, δοκιμάζουσι.

Δοκιμασθεὶς, κρινεὶς, ἐξετασθείς. Δοκιμασθεὶς, ἀντὶ τοῦ εἰς ἄνδρας ἐγγραφείς. Δημοσθένης ἐν τῷ κατὰ ὀνήτορος. λέγεται δὲ ἐπὶ τῶν ἀρχόντων δοκιμασθῆναι, ὡς αὐτὸς ὁ ῥήτωρ ἐν τῷ πρὸς Εὐβουλίδην ἐφέσει δηλοῖ. ἐλέγετο δὲ καὶ ἐπὶ τῶν πολιτευομένων, ἐὰν μὴ δὲ ὑπάρχοντες ἀρχὴν εἶχον. ἐξετάζετο δὲ αὐτῶν ὁ βίος ἐκεῖνοι. ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου φησί. Λυκοῦργος δ’ ἐν τῷ περὶ τῆς διοικήσεως, τρεῖς δοκιμασίας κατὰ τὸν νόμον φησὶ γίνεσθαι. μίαν μὲν, ἣν οἱ ἐννέα ἄρχοντες δοκιμάζονται. ἑτέραν, ἣν οἱ ῥήτορες. τρίτην δὲ, ἣν οἱ στρατηγοί. λέγει μέν τι ἐν τῷ αὐτῷ λόγῳ, καὶ ἱππέων δοκιμασίαν. Δοκιμασία, ἡ ἐξέτασις τῶν ἀρχόντων. Δόκιμον, γνήσιον, τέλειον. Δοκιμαστὴν, δοκιμάζοντα. Δοκιμοῦμαι, δοκῶ, καὶ οἴομαι. Δοκοὶ, εἶδος ἀστέρων, ἐπισημασίαν τινὰ παρεχόντων θεωρεῖσθαι. Δοκοῖς, ἀντὶ τοῦ δοκοῖμι. τὸ ἀφαιρεῖν τὸ ι τῶν εὐκτικῶν, ἀττικόν ἐστι. Δόκος, βουλεύσεις, δόκησις, καὶ ἀγχόνη. δοκὸς δὲ κύριον εἶναι. καὶ ὕπατος μὲν κύριον, ὑπατὸς δὲ ὁ ὑψηλός. καὶ ἔλπις μὲν κύριον, ἐλπὶς δὲ τὸ κοινὸν θηλυκόν. καὶ ἴχος μὲν κύριον, ἰχὸς δὲ τὸ προσηγορικόν. καὶ λάος κύριον, λαὸς δὲ φυτόν. καὶ μάκαρ μὲν ἀκροτήριον σικελικὸν, μακρὸν δὲ τὸ εὐπίθετον. μελίνα μὲν χόρτος, μελινὴ δὲ ἡ περόνη. καὶ ὄρθος μὲν κύριον, καὶ κόλον, ὃν ἀπέκτεινεν Ἡρακλῆς. ὀρθὸς δὲ τὸ ἐπίθετον. καὶ ὅρμος μὲν λιμὴν, ὁρμὸς δὲ περιτραχήλιος κόσμος. καὶ πράσια μὲν πόλις πελοποννήσου, πρασιὰ δὲ χῶμα γεωργικόν. Δοκὸς, τὸ μέγα ξύλον. γίνεται δὲ δοκὸς παρὰ τὸ δέχεσθαι, ἐπειδὴ ἡ δεχομένη ἀλλήλων τὰ ἐπικείμενα, εἴτε κέραμοι ἐκεῖνα εἶεν, εἴτε λαμπάδες ὄροφοι, κατὰ τὴν τεχνικήν. εἴτε καὶ γῆ ὡς ἐπὶ δωμάτων. γίνεται παρώνυμον δὲ δοκοῦ, καὶ τὰ παρὰ τοῖς παλαιοῖς δόκανα, ὡς χρῆσις καὶ παρὰ Πλουτάρχῳ. ἐν Ἀριστοφάνει, Καὶ τῇ δοκῷ προσθεὶς τὸν ὅλμον ἂν μέγαν, ἐμβαλεῖν ἐκέλευσε τὴν δοκόν. τουτέστι, τὸν ἐνέβαιεν πρὸς τὴν θύραν. αὐτῇ δὲ τῇ δοκῷ, τὸν ὅλμον.

Δοκτιμένοις, δοκιμαζομένοις. Δοκοῦντα, ἀντὶ τοῦ ἀρέσκοντα. Δοκοῦντες, οἱ ἔνδοξοι. Δοκῶ, καὶ τὸ νομίζω, καὶ τὸ οἴομαι, τοῖς τρισὶ χρόνοις συντάσσονται. Θουκυδίδης ἐν τῇ ἑβδόμῃ, ἔδοξε τῷ δήμῳ πρότερον. Δοκῶ, τὸ φαίνομαι. καὶ ὑπολαμβάνω, θεωρῶ, τὸ τὰ θεῖα ὁρῶ. καὶ τὸ σκέπτομαι. ὁ, ὃ μὲν ἐπὶ σώματος, θεωρῶ δὲ ἐπὶ ψυχῆς. Δοκῶ μοι ἐς δέον ἐντετυχηκέναι. Δοκῶ σε χαίρειν, καὶ ἡγοῦμαι, καὶ νομίζω, καὶ λογίζομαι, καὶ ὑποθνάζω. Δόλιος, κίχω. Δολίχα, μακρονύς. Δόλιμ, ἀντὶ τοῦ δόλῳ. Δέλεατρον, κέρας γλισχρὸν ἔχον, ὃ ἀμάξαις χρῶνται εἰς τὴν ἄρσιν. Δολβοὶ, θύματα. οἱ δὲ, μετὰ πλακοῦντα. Δολβοῦς, ὑπούλους, δολίους. Δολίον, ἐδοθείη.

Δόλιος, κακοῦργος. Δολιόφρων, ἀπατεόφρων. Δολίφονον, κέκληται παρὰ τὸ δολοφονεῖν. Δολιχὰ, μακρὰ, τὰ λοι. Δόλιχος, τὸ ἱπποδρόμιον, ἀπὸ τοῦ κάμπτειν. κυρίως δὲ, ὁ ὀρθὸς δρόμος. Δολιχαύλους αἰγανέας, τὰς μακροὺς δόρυς. ἢ δολιχαύλους, τὰς μακροὺς αὐλοὺς ἐχούσας. αὐλὸς δὲ, τὸ κοῖλον τῆς ἐπιδορατίδος, εἰς ὃ ἐντίθεται τὸ ξύλον τὸ ἄκρον. αὐτὸ δὲ τὸ ξύλον, καυλός. αὐλὸς γὰρ τὸ σιδήρου τὸ κοῖλον. καὶ δολιχήρετμοι, μακρόκωποι, καὶ τὰ ὅμοια. Δολιχεγχέας, ἀπ’ εὐθείας ἐστὶ τῆς ὁ δολιχεγχής. διὸ καὶ παροξύνεται, ὡς τὸ εὐμελίας. Δολιχεύουσι, προσδεύουσιν, δόλιχος. Δολιχὴ ὀξυτόνως, ἡ μακρά. Δολίχη δὲ βαρυτόνως, ὄνομα πόλεως. ὥσπερ καὶ δολιχὸς, ὁ μακρὸς, δόλιχος δὲ προπαροξυτόνως, ὁ δρόμος. Δολιχοσκίοντες, καὶ μακροσκιάοντες ἄνδρας λέγει Ὅμηρος, ἀντὶ δολιχὰ ἔχοντας ἐρετμὰ, ἢ μᾶλλον ὡς εἰς δολιχὸν πλεῖν ἐξαρκοῦντας ἐν τῷ ἐρέσσειν. Δολιχοδείρων, μακροτραχήλων.

Δολιχὸν, μακρὸν, ἢ πολύ. ὡς τὸ, ἔχων δὲ δόρυ οἱ κατὰ τὴν ἐξ ἵππου μαχόμενον δολιχὸν, ἀλλ’ ὥστε μόνον ἡ ἐπιδορατὶς ὑπερέχειν εἰς ὕψος. Δολιχοσκὰ, μακρά. Δόλιχος, τὸ ἱππόδρομον. καὶ τὸ ὄνομα τοῦ δρόμου προπαροξυτόνως. δολιχὸς γὰρ, τὸ ἐπίθετον ὁ μακρὸς, ὀξυτόνως. ἔστι δὲ ὁ δόλιχος, εἰκοσιτέσσαρα κάλια. Δολιχόσκιον ἔγχος λέγει Ὅμηρος, ἢ τὸ μακρὸν, οὗ δολιχὴ ἡ σκιά. ἢ τὸ δολιχὸν κιὸν, ἢ εἰς δολιχὴν διάστημα κίειν δυνάμενον. ἢ τὸ εἰς μακρὸν πορευόμενον, πλεονασμῷ τοῦ σ. ὡς καὶ ἐν τῷ θεόσδοτος. ὁ ὅπερ δολιχὸν γίνεται, διὰ τὸ ἐν σκιᾷ χαράσσειν. ἢ οὗ ἡ σκιὰ δολιχὴ, ἵνα ἐκ τοῦ παρακολουθοῦντος δηλοῖ τὸ μακρόν. ὃ καὶ ἀμφισκίον Ὅμηρος καλεῖ. Δολόγχοι, εἶδος θρακικόν. ἀπὸ δολόγχου τοῦ κρόνου, καὶ θρᾴκης παιδός. Δολόεσσαν, τὴν καλυφθεῖσαν ἔλεγεν ὁ ποιητὴς, διὰ τὰς περὶ ἀθανασίας ψευδεῖς ὑποσχέσεις.

Δόλοι, κατάσκοποι. καὶ δόλοι, οἱ παραλογισμοὶ, καὶ στρατηγήματα. Δόλοισι κακοῖσι παρ’ Ὁμήρῳ, πρὸς διαφορὰν ἐστὶ δόλων ἑτέρων ἀγαθῶν, οἷς ἐπαινετῶς ἄλλος κοσμοῖτ. καθὰ καὶ ἐν ἄλλοις εὐφροσύνης ἐρατεινῆς, τῆς οὐ κακῆς. Δολομὴν, μακρὸν, λόγχη. Δολομῆτα, ὦ δόλια βουλευόμενε. τὰ εἰς τῆς βαθύτονα, τὸ η παραλήγομενα, ἐν εἰς α τὴν κλητικὴν ἔχοντα, προπερισπῶνται. πολῆτα, ἀγκυλομῆτα, πλὴν τοῦ ἀκάκητα. Δολόμηλες, δολιόβουλος. Δόλον ὕφαινεν, ἢ συνθεὶς ἢ τὸ κατὰ ῥάπτειν. φανερῶς δόλον

ἢ τὸ ἀνεφθάστην ὑγιῶναι τετύχαν, ἀντὶ τοῦ ἴσχον. ἔστι τὸ λαφύσσειν, ἀντὶ τοῦ ἐλάφυσσον. Διακεκριμένου, διακεχωρισμένον ἀπ' ἀλλήλων.

Διακεκριμένοι, διακεχωρισμένοι. Διωκόμενον, κατηγορούμενον. Διωκτέον τὸ καλόν, ἀντὶ τοῦ ἄξιον διώκεσθαι. καὶ διωκτέος, ὁ ἐχθρός. Διώκω, τὸ κατηγορῶ. φεύγω, τὸ κατηγοροῦμαι. καὶ διώκω τὸ πειθῶ, φεύγω τὸ μισῶ. ὡς ὁ Θεολόγος, φεύγεις διώκοντας ὑμᾶς. καὶ διώκω τὸ ἀκολουθῶ, καὶ ἐπελαύνω. ὡς τό, διώκω τὸν πολέμιον. καὶ φεύγω, τὸ εἰς ἐξορίαν ἀπέρχομαι. Ἄλλως. Διώκω λόγον, ἀντὶ τοῦ ἀκολουθῶ. καὶ διώκω τὸ καταλαβεῖν ἐπείγομαι, καὶ παρθένου ὡς τό, ξένος δὲ ἱερεὺς καὶ δίωξεν αὐτήν. καὶ συναπτέον αἰτιατικῇ. διώκω σε κλοπῆς, καὶ διώκω σε φόνου, ἤγουν κατηγορῶ. Διωλύγια πράγματα, τὰ μεγάλα καὶ χαλεπά, ὡς Πλάτων, ὁ Ἰωνικός. ἃ ταῖς ἐπὶ πολὺ διήκοντα. ἀπὸ ἀπωλείας [illegible], τῆς ἐξικνούσης αὐτῆς. Διωλυγίως, ἀντὶ τοῦ σκοτεινῶς, ἢ ἀντὶ τοῦ ἐπὶ πολὺ διηκούσης, παρὰ τῷ Ἀπολλωνίῳ. Διωλισθηκέναι, [illegible]. Διώμοσα, ὠμοσάμην, ὡς ἔθος τοῦ διώκειν. Διώμοσται, ὤμοσεν.

Διωμοσία, ὅρκος ἐστίν, ὃν ὤμνυον οἱ φεύγοντες ἢ οἱ διώκοντες, ἢ φεύγοντες. ἀμφότεροι γὰρ ὤμνυον, ἢ μὴν ἀληθῆ λέγειν.

Διώνη, πατρωνυμικόν, Διός, Διώνη. οὕτως ἐκάλουν, ὃ τὴν ἀφροδίτης μητέρα. ὡς γὰρ Ἀκρίσιος Ἀκρισιώνη, οὕτω Διὸς Διώνη. οἱ δὲ νεώτεροι τὴν ἀφροδίτην, οὐκ οἶδα μὲν ἄρα Ὅμηρος τὴν καθ' Ἡσίοδον, ἀλλὰ τὴν ἐκ Διὸς καὶ ἐκ μάλιστα γένεσιν αὐτῆς, καὶ ἀπ' ἐκείνου φιλομειδέα αὐτήν. Διώνη, οὐ τὴν ἀφροδίτης μητέρα λέγει ὁ ποιητὴς ἐν ἀρχῇ τῆς θεογονίας, ἀλλὰ μίαν τῶν ὠκεανίδων.

Διωνύσω παρ' Ὁμήρῳ, ἤγουν Διωνύσου. τὸ δὲ ῥῆμα, δίω, ἐξ οὗ τὸ δίεσθαι. τοῦτο μὲν λεγόμενον, σχηματίζεται τοῖς λογογράφοις. παντελῶς δὲ κατὰ τὸ ὦ, [illegible]. ἀπ' αὐτοῦ γὰρ τὸ διώκειν. καὶ δίεσθαι, διωχθείς, καὶ πεταθείς, παρὰ τῷ Ἀπολλωνίῳ.

Διώνυμος, περιβόητος, ὀνομαστός. Διώξομαι, κατηγορήσω. Διάλεκτος, Ἀττικοὶ τὰ ἐν ὀνόματι ἀντὶ τοῦ, Ἀριστοφάνης. Διώξομαι σε δειλίας. Διωρύξομεν, διορύξομεν. Διωρίαν, διαχωρισμόν, [illegible], διαχωρισμόν, ἐκάτω, διόρισμον ἀντὶ αὐτοῦ δὲ προθεσμίαν ἔγραψε. Διώρισαν, ἀντὶ τοῦ ὁρισμῷ ἐβεβαίωσαν. καὶ διώρισται, ἀντὶ τοῦ μετέστησεν. Εὐριπίδης, Καὶ τὰς ἀνάγκας αἱ νῦν διώρισαν. καὶ διωρίσθη, ἀντὶ τοῦ ἁπλῶς ἀπήγγειλαν. Σοφοκλῆς, Τοιαῦτα φημὶ μαντικοὶ διώρισαν. Δίωρον, ἄωρον. φασὶ οἱ δὲ, ἀνέμιον, διάζωσαν. Διώροφον οἴκημα, τὸ δύο ἔχον στέγας. Διώρυχος, διώρυγι, διώρυγα. οἱ γὰρ ἀρχαῖοι ταῦτα διὰ τοῦ χ λέγουσι, διώρυχος, διώρυχι, διώρυχα.

Διώρυξ, τάφρος. Διωσάμενοι, ἀπωσάμενοι, ἐκβαλόντες. Διῶσαι, ἐκτίναξαι. Διωσόμεθα, ἀπωσόμεθα, καὶ ἀποπεμψόμεθα. Διωσκάζουσιν, ἀποφοιτῶσι, τῆς ἀποσκαζοῦσι.

Διώτης, ἐργολάβος. Διωφέλλειν, διωρύσσειν.

Διώχνος, δίφρος ἅρματος, ὁ δύο ἔχων ἡνιόχους. Διωχθείς, τὸ θέμα διώκω. λέγεται δὲ κυρίως ἐπὶ δρόμου, ὅταν ὁ μὲν προτρέχει καταλαβεῖν, ὁ δὲ τρέχει ἐκφυγεῖν σπουδάζων. καὶ ἐν τούτῳ κατὰ μεταφοράν, ἐπὶ τοῦ κατηγοροῦντος καὶ κατηγορουμένου. λέγεται γὰρ τότε ὁ μὲν διώκων, ἤγουν κατηγορῶν. ὁ δέ, φεύγων, ἤγουν ὁ κατηγορούμενος. ἀλλ' ὡς δὲ σημασίαν καὶ τὸ διώκειν, καὶ τὸ φεύγειν. ἀπὸ αἰτιατικῆς πρὸς γενικὴν ἔχει σύνταξιν, προσυπακουομένου τοῦ ἕνεκα. οἷον διώκω σε τοῦδε, ἀντὶ τοῦ ἕνεκα τοῦδε. καὶ φεύγω φόνον, ἀντὶ τοῦ ἕνεκα φόνου. κατὰ τὸ λέγειν τὸ σημαινόμενον καὶ τὸ, ξένος δὲ ἱερεὺς καὶ δίωξεν αὐτήν, ἤγουν κατεδ.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Μ.

Δ Μαία, δαμαλίς. Δμωά, ὠκεανοῦ θυγάτηρ καὶ δάμαλος. Δμαθέντα, ὑποτάξαντα. Δμαθείς, δαμασθείς. Δμαθῶσι, κρατηθῶσι, [illegible], ὑποταγῶσι. Δμαθῆναι, ἀδάμαστος, ἐπὶ ἀμείλικτος, ἐπὶ ἀδάμαστος.

πείθειν, εἴξατο, πραΰνθητω, ἐπιεικὴς [illegible] ἀχιλλεύς. ἄλλου γάρ, τὸ ἀμείλικτον. Δμηθέντα, δαμασθέντα. πεισθέντα, πρᾶος καὶ ἐπιεικὴς γενέσθω. καὶ δμήτειρα, δαμάτειρα, ἡ δαμάτης.

Δμῆσις, ἡ δάμασις. Δμήτειρα, δαμαστική γῆ, γενέτειρα.

Δμητήρ, βαστήρ, ἀναγκαστήρ, οἰκοδομητήρ. Δμήτρα, δαμάτρα. Δμήτωρ, ὄνομα κύριον παρ' Ὁμήρῳ, ἐν ὄνυτι βασιλεύς. ἀλλὰ πρὸ τούτου κεῖνται, ὥσπερ κεῖται ἐν ἰλιάδι, [illegible]. τοῦτο δὲ μικρὸν ὄντος, δμήτωρ δοκεῖ βασιλεῦσαι. Δμώς, παρὰ τὸ δαμάζω, κατὰ συγκοπὴν δμώς, τὸ ἀνακρουσθὲν καὶ ὑποτασσόμενος. ἀδάμαστος γάρ, ὁ ὑποταγῆναι μὴ δυνάμενος. Δμῶες, οἱ οἰκέται, παρὰ τὴν δμήσεω μέλλοντα. ἀποβολῇ τοῦ ε δμῶς, καὶ πρὸ τοῦ ῑ εἰς ω δμώς. ὡς ῥέξω ῥεγμός, καὶ ῥωγμός. ἐστὶ ἡ δεδμημένος, καὶ ὑποτεταγμένος ἐστί, ὁ ἔργον ἔχων. Δμωαί, ἀναγκαῖοι. οἱ κατὰ ἀνάγκην δουλεύοντες, καὶ οὐ κατὰ προαίρεσιν. Δμωΐσι, δούλαις. Δμών, γυνή, μεγάλη. Δμώς, ὁ δοῦλος, καὶ δμωός. Δμώων, καὶ ἀμφιπόλων, διαφορά. δμῶες οἱ ἐργάται δοῦλοι. θεράποντες δὲ γίνονται, οἱ ἀμφίπολοι.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Ν.

Δ Νοπαλίξεις ῥάκια, ἀντὶ τοῦ ταῖς χερσὶν ἔξεις, ταῖς παλάμαις δονήσεις. ἢ δινήσεις, εἶτα συρράψεις. ὁ γὰρ ἄλλως, μεταχειριζόμενος καὶ καλύπτων, τὰ δὲ ἐκεῖνα τὰ μέρη τοῦ σώματος, τὰ γυμνὰ δηλαδή. διὰ τὸ δεῤῥωγότα εἶναι τὰ ῥάκια. καὶ ἔστι δνοπαλίζειν, ὡς εἰπεῖν, τὸ δονοπαλεῖν, ὁ δονοπαλαμίζειν. ἅπαξ δὲ ἡ λέξις ἐν ὀδυσσείᾳ εἴρηται. τοῦτο δὲ καὶ ἐν ἰλιάδι. ἐν ῥητορικῷ λεξικῷ γράφεται δνοπαλίζειν, τὸ κινεῖν, ταράσσειν, [illegible], σείειν. ἔστι δὲ ὅτι καὶ τὸ κτείνειν, καὶ πολεμεῖν. Δνόασιν, ὁ [illegible]. Δνοφία, σκοτεινή. Δνοφερὸν ὕδωρ, ἤτοι μέλαν. ἐξ ἐμπεσόντος γνόφος, τρεπομένου τοῦ γ εἰς δ συνήθως. πῶς ἐν χύμασι συνδέεται, τὸ μετὰ δονήσεως φερόμενον καὶ φέρεσθαι, ὃ ἦχε, ὡς ἔχουσι τοῖς παλαιοῖς, ὁποῖα τὰ κυλινδούμενα. Δνόφ, χειμῶνος εἶδος. βαθός.

ΤΟ Δ, ΜΕΤΑ ΤΟΥ Ο.

Δ Οάξω, ἀμφιδοάξω. Δοάσαι, ἔχει τὸ θέμα δοάζω. σημαίνει δὲ τὸ νομίσαι. Δοάσσατο, ἐδόκησεν κυρίως. ἢ κατὰ τοὺς παλαιούς, οὐ μόνον τὸ ἔδοξεν, ἐσήμαινεν. ὡς ἀπὸ τοῦ δοκῶ δοκάζω, κατὰ ἔλλειψιν τοῦ κ, ἀλλὰ καὶ ἀντὶ τοῦ ἠρίσθη, προσηρίσθη. ἔστι δέ φασι δοιάζεσθαι, τὸ δύο λόγων προκειμένων, ἐκλέγεσθαι θάτερον. ὡς ἐκ τοῦ δοιῶ δοιάζω, καὶ δοιάσσω. ἢ ἀπὸ τοῦ δοιάζω, ὁ μέλλων δοιάσω. ὁ μέσος παρὰ Ὁμήρῳ, ἐδοιασάμην, ἐδοιάσω, ἐδοιάσατο. καὶ πλεονασμῷ τοῦ σ αἰολικῶς, ἐδοιάσσατο. καὶ ἀφαιρέσει τοῦ ῑ ἰωνικῶς, καὶ ἐκβολῇ τοῦ ῑ, δοάσσατο, ὡς ἐκ τοῦ δοάζω. Δόγμα, ψήφισμα, πρόσταγμα. ὁ λόγμα ἐστίν, ὑπόληψις ἀληθείας κρατοῦσα, ἢ τὸ παρ' ἑωυτῷ ἰδίῳ, καὶ ὅπως οὕτως ἔχον. ἡ ζήτησις, ἀφανοῦς διάγνωσις. εἴρηται δέ, οὐ παρὰ τὸ δοκῶ δόκημα, καὶ κατὰ συγκοπὴν δόγμα, ἀλλὰ παρὰ τὸ δέω τὸ φρονῶ. ὁ μέλλων δόξω, δέδογμαι, δόγμα. Δογματίζω, θεολογεῖ, φυσιολογεῖ. δογματίζεσθαι, τὸ δόξαν λαβεῖν. ὡς τὸ νομοθετεῖν, τὸ νόμον τεθῆναι. δόγματα γὰρ ἑκατέρως καλεῖται τό, τε δοξαζόμενον, καὶ ἡ δόξα αὐτή. τούτων δὲ τὸ μὲν δοξαζόμενον πρότασίς ἐστιν. ἡ δὲ δόξα, ὑπόληψις. Δοθιῆν, σκληρὸν ἐμφύτευμα [illegible]. Δοθίων, φῦμα, φλυκταίνη μικρά. ἕλκος ἢ δοθίνα ὑποφυόμενον ἄρτι. Δ ἰα. ἐπίρρημα, ἀντὶ τοῦ διὰ ὅς. ἢ δοιά, δύο. Δοιαζόντων, [illegible]. Δοιαὶ δίκαι, βουλαὶ δύο. Δοιὰς δίκην, [illegible] δόλιον, ἐπὶ δοιάσατος [illegible]. Δοιάσαι, διστάσαι, βουλεύσασθαι. Δοῖλος, [illegible]. Δοιλυκταδὸς, ὁ τὰ κοχλίδια πωλῶν. Δοῖδυξ αὐτεῖ, παρὰ μικρὸν ἐπὶ τῶν λίαν μικρῶν. ἐπὶ τῶν αὐτῶν μόνον ἔστιν ὁ Χρύσιππος. ἐν ἐκείνῃ τῶν μικρῶν [illegible] ἡ πλοιμία. ὁ δὲ δοίδυξ μικρός, ἐπὶ καὶ προγγύλος. ὁ δοίδυξ,

ὁ ἀλετρία

Δίψακος, εἶδος βοτάνης. Διφᾶν, ζητεῖν, ψηλαφᾶν, ἐρευνᾶν. Δίφαξ, τὴν ὄφιν κρύπτει. καὶ δίψαξ, διψάσιον, διψὰς λεγόμενον. Διφθέρα, σημαντικὸν περιβόλαιον. Ἀττικοὶ δὲ λέγουσιν, ἣν νῦν ἱστάλην καλοῦμεν. ἔστι δὲ καὶ δέρματος.

Διφθεράλοιφος, γραμματοδιδάσκαλος, παρὰ Κυπρίοις.

Διφρεία, ἡ τοῦ ἅρματος περιφορὰ. καὶ διφρηλατῶν, ἁρματηλατῶν. Δίφορος, ἴφορος, κυματος. ὅτι διεστάλησαν ὑπὸ φιλοκάλῳ Ἰσοκράτει, τοὺς τῶν παιδευόντων μισθούς. Διφορουντὶς, ἃ παρὰ τῶν δικῶν τῶν διφόρων. ἢ ὅτι καὶ διφορείσιοι.

Διφοῦρα, γέφυρα. Λάκωνες. Διφρηγόι, ἵππων τραχειτῶν τῶν παρὰ πάρθοις ταγαί. Δίφρακες, κράββατος. Δίφραξ, κλιντὴρ, θρόνος γυναικεῖος. Διφρεῦσαι, διακαθίσαι. Διφρίαν, ἁρματηλασίαν. Διφρὶς, ὁ ἰσχαῖος καὶ καθήμενος ἀεὶ, οἷον ἀργός. Διφρίσκος, τὸ σκεῦος ἐν ᾧ ἐφιστᾶσθαι οἱ ἡνίοχοι ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ εἴπη, διὰ τὸ κοῦφος εἶναι καὶ μικροὺς τοὺς ἀγωνιστικούς. Δίφρον ποικίλον λέγει Ὅμηρος, ἐπεὶ διαποίκιλον ἐστὶ περικαλλής. Δίφρον, σέλλιον ἅρμα, ἢ καθιζήριον. ὁ διφροφόρος, ἢ ὁ σέλλιον βαστάζων. Ἀριστοφάνης, δίφρον διφροφόρος. ταῖς γὰρ κανηφόροις σελλίον καὶ δίφρον ἠκολούθει τις ἔχων. καὶ διφροφορημένης, φορείοις φερόμενοι. Δίφρος, τόπος τοῦ ἅρματος. λέγεται δὲ δίφρον, ὡς εἰ ἐστὶ δίφορος, καὶ τροπῇ ᾗ συγκοπῇ δίφρος. ἀπὸ αὐτοῦ δὲ ὡς κυριωτέρου μέρους, καὶ τὸ ὅλον ἅρμα δίφρος ἐλέγετο. Ὅμηρος δὲ ὑπὸ τῶν ὑμνητῶν δίφρον ποικίλον, ὅπερ θρόνον παρατίθεσθαι ἐκαθέζετο. καὶ ἡ Ἑλένη δὲ τῇ Ἀφροδίτῃ, δίφρον παρατίθησιν. ὥστε οὐκ ἄδηλον, ὅτι ἡ λέξις πολυσήμαντος. Δίφρος, τὰ δίφρα. ὁ φάκελος, τὰ φάκελα. ὁ λύχνος, τὰ λύχνα. ὁ χαλινὸς, τὰ χαλινά. ταῦτα τὰ ὀνόματα, καὶ ἄλλα πλείω, ἑνικῶς εἰσὶν ἀρσενικά. πληθυντικῶς δὲ οὐδέτερα. καλεῖται δὲ δίφρος, τὸ σκεῦος, ἐν ᾧ οἱ ἡνίοχοι ἐφιστάμενοι ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ, διφρίσκος λέγεται. Διφροφόρος, τὸ σέλλιον, ἢ ἡ τὸ καθιζήριον βαστάζουσα. Ἀριστοφάνης. Διφροφορημένης, ἐν φορείοις φερομένης.

Διφυῆ, τὴν δύο φύσεις ἔχοντα. Διφυὴς κέκροψ, ζητεῖ τὸν κέκροπα. λέγεται δὲ, ὅτι ἐν Ἀθήναις ὑπὸ αὐτοῦ πρῶτον ἤχθησαν γάμοι, καὶ ὑμέναιος. ὅθεν καὶ διφυῆ τὸν κέκροπα λέγεσθαι ὁ Χάραξ φησὶ, διότι τὸ νομίμως ἐκ δύο φύεσθαι διὰ τοῦτον ἐπέγνωσαν οἱ ἄνθρωποι, τῇ τοῦ γάμου εὑρέσει. οὐ παρώνυμον, ὥσπερ ὁ γαμήλιος λόγος, οὕτω καὶ μὴν Ἀττικὸς ὁ γαμηλίων, γάμοις ἀφωρισμένος. εἰς γαμηλίαν ἥρα ἐπιτελεῖται. καὶ πέμμα δὲ ἐν ᾧ, καλούμενον καὶ αὐτὸ γαμήλιον. ὡς δῆλον ἐκ τοῦ, τίθεται γαμήλιος. καὶ αὐλοὺς δὲ, ἐν γάμῳ Ἀθηναῖοι φασὶν εὗρον. ἢ ἐπωνόμασαν ἢ τῶν Ἀθηναίων πόλις. καὶ φοινικοῦν δὲ λόγος ἐν Ἀθήναις πρῶτον συνεῖναι, ἐπὶ ἀναῤῥεῖν ὑπὸ τοῦ ἐπιτελοῦντος. καὶ οἱ δικασταὶ δὲ Ἀθήνησι μισθὸν λαμβάνουσιν εἰς τριώβολον ἐκεῖνο. Δίφυον πατὴς, τὰ δύο μέρη, τὸ δίμοιρον. Διφῶ, σημαίνει τὸ ψηλαφῶ. Ὅμηρος Ἰλιάδος π', κύθια διφῶν, ζητῶν, ἐρευνῶν. καὶ διφῶ, τὸ τῇ χειρὶ ὑποβάλλω. Διφῶντες, διγλώσσε. Δίχα, ἀντὶ τοῦ χωρὶς, καὶ ἀντὶ τοῦ εἰς δύο μοίρας. τὸ δὲ δίχα, ἀντὶ τοῦ χωρὶς, καὶ ἄνευ τοῦ νεώτερον χρόνου. ἐστὶ παρὰ γὰρ τοῖς ἀρχαίοις τὸ δίχα, ἀντὶ τοῦ διχῆ ἐλάμβανον. ἐξ οὗ καὶ τὸ παρὰ τοῖς ὕστερον δίχα μεταλαγχάνεται. ἔτι δὲ τὰ τοιαῦτα κατὰ μεταπλασμὸν εἶχον ἔγραψαν τὸ α εἰς ω, προσίενται. καὶ δίχα λαλοῦσι, ἀνταλλάλα λαλοῦσι. Δίχαλον ζυγὸν, τὸ ἑκατέρωθεν κεκοιλασμένον. χηλαὶ γὰρ καὶ τὰ κύματα, ἔνθεν καὶ ἡ κιβωτὸς παρὰ τῷ ποιητῇ. Δίχανον, κεχωρισμένον. Διχανοῦντες, οἱ μεριμνῶντες, ἐκ τοῦ διχῆ. ὁπόσα συνεσταλμένα τῶν λέξεων, μετατίθεσι καὶ τὸν τόνον. καὶ βαρυτόνως λέγεται δίχα. ἐξ οὗ καὶ τὸ διανδιχα. οὕτω καὶ τὸ τριχῆ, τρίχα λέγεται. καὶ ὁμοίως τέτραχα, καὶ πένταχα. Διχῆ, διχῶς, διττῶς. Διχηλὰ ζῶα, βοῦς, ἔλαφος, δόρκων. οἷς συμβέβηκεν, ἐν τοῖς ἐπιθίοις ποσὶν ἀστραγάλους ἔχειν. Διχηλοῦν, τὸ δύο ὁπλὰς ἔχον. Διχθὰ, τριχθὰ, δωρίζουσιν ἢ τὸ ε ἐν τοῖς ἐπιῤῥήμασιν. ὡς καὶ ἐν τῷ ποῦ ποῖον. πικρότερα πίωσι, καὶ πλεονασμῷ πίεσθαι, πρὸς ἰσοδυναμίαν τοῦ πίνεσθαι. οὕτω δὲ καὶ ἐν τῷ μαλακὸς μαλθακὸς, καὶ χαμαλὴ χθαμαλή. Διχθαδίας, διττὰς, διπλᾶς. Διχόθεν, ἀπὸ τῶν δύο μερῶν. Διχόθυμος, διχόβουλος. Δίχολοι, διάφοροι, ἀχμὸς κατακλῖναι δίχολοι γυναικῶν. παρὰ τὸ δίχα. ἢ δίτροποι κατὰ μετάληψιν. χόλος γὰρ ἡ ὀργὴ, καὶ τρόπος. βακχυλίδης, ὀργαὶ μὲν ἀνθρώπων διακεκριμέναι μυρίαι. Διχομηνία, τοῦ μηνὸς τὸ ἥμισυ. καὶ διχομηνιαία, πεντεκαιδεκαταία τοῦ μηνὸς, ἢ τῆς σελήνης. Διχόμηνος, ἡ σελήνη. ἐπειδὴ ἐν τῇ πανσελήνῳ ὁ ὀλυμπιακὸς ἀγὼν ἤγεται, καὶ τῇ πεντεκαιδεκάτῃ γίνεται ἡ κρίσις. καὶ αὐτὰ εἰς δύο κατανεμῶν ζεται, εἴς τε τὴν αὔξησιν καὶ λῆξιν τοῦ φωτός. Πίνδαρος. Διχόνοις, ἀπόνων. Διχονία, ἀβουλομοσύνη, διχοστασία. Διχονοεῖν, διαπίξειν. Διχορεύειν, ἐν δύο χοροῖς ἄδειν.

Διχοστατεῖ, μάχεται, στασιάζει. Διχοτομία, ἀναίρεσις.

Διχοτομήματα, τμήματα. Δίψα, θηλυκοῦ γένους. τὸ δὲ δίψος, τὸ οὐδέτερον. Ὅμηρος δὲ δίψαν οἶδε. γίνεται δὲ παρὰ τὸ ἴπτω, τὸ βλάπτω, ὁ μέλλων ἴψω ἴψα καὶ δίψα, ἡ βλάπτουσα τὸ σῶμα. ἔτι δὲ ἐν διψίας παῖδος. Διψάκωρον, ταλαίπωρον.

Διψάρα, δέλτος. οἱ δὲ διφθέρα. Διψὰς, ἔχις, ὄφις. ὁ σημεῖον ἐν θυλακῇ, ἐπὶ τοῦ ἔχεος. ἡ διψὰς, ὄφις ἐστί. δηχθέντι δὲ ὑπὸ αὐτῆς δίψος ἄρρητον ἐγγίνεται, ὡς πίνοντα διαῤῥήγνυσθαι. ὅθεν καὶ ὄφις οὗτος ἐκλήθη διψάς. Διψῶν, οὐ διψᾶν, ἐν τῷ ἀναγνωσθέντι, Ἀττικῶς. Διψία, κόνις ξηρά. Δίψιον, βλαπτικόν. Δίψιον, ἢ πολυδίψιον ἄργος, Ἡσίοδος μὲν τὸ ἄνυδρον. Ἀρίσταρχος δὲ, τὸ πολυπόθητον. διψᾶν γὰρ, τὸ ἐπιποθεῖν, ἢ ὑπὸ διὸς βεβλαμμένον. ἴψαι γὰρ, τὸ βλάψαι. Διψοχία, ἀνυδρία. Διψῶ ἀμεταβάτως ἐπὶ δίψους, ἀντὶ τοῦ πιεῖν ἐφίεμαι, ἤγουν ἐπιθυμίαν ἔχω πιεῖν, καὶ ἀπὸ τούτου μεταφορικῶς ἐπὶ ἄλλων. καὶ συντάσσεται αἰτιατικῇ καὶ γενικῇ. αἰτιατικῇ μὲν, ὡς τὸ, ἐδίψησέ σε ἡ ψυχή μου, καὶ διψῶ τοὺς λόγους. γενικῇ δὲ, ὡς τὸ, οἶδ' ὅτι οὗτος ἢ θανάτου διψᾷς. Δίω, ὑπὸ τῶν ἐντίμων, ὑπὸ ἀγαθῶν, ὑπὸ εὐγενεστάτων. Διωβελία, ὀβολοὶ δύο. οὓς ὁ δῆμος καθήμενος ἐμισθοφόρει. Διώβολον, καὶ τριώβολον, καὶ ἡμιωβόλιον, ὁμοίως. Δίωγμα, θυσία τις Ἀθήνησιν, ἐν ἀποῤῥήτῳ τελουμένη ὑπὸ τῶν γυναικῶν, ἐν τοῖς θεσμοφορίοις. τὸ αὐτὸ, καὶ ἀπολίωγμα ὕστερον ἐκλήθη. Διωγκωμένον, πεφυσημένον. Διώδια, ἐρείσματα. Διωλυγία, ἐξογκωμένον. ὡς τὸ, ὅθεν ἐκ τῆς αὐτῆς ἀγορᾶς γεγόνασι, κάτω τὴν πόλιν τὴν δεξιὰν ἔχουσι διωλυγία. καὶ βάλλουσιν ἀθρόως τε, καὶ πολύ. καὶ διωλυγίως ὁμοίως.

Διωθεῖται, παθητικῶς Ἀττικοὶ προφέρονται. καὶ δηλοῖ τὸ διακρούεται, καὶ παραγκωνίζεται. ὃ παραπλήσιον τὸ παρωθεῖται, ἤδη παρορᾷ, καὶ περιφρονεῖ, καὶ ὑπερβαίνει. Διωθεῖτο, ἀπεστρέφετο. καὶ διωθούμενοι, ἀνατρεπόμενοι, ἐκβαλλόμενοι. Διωκάθειν, διώκειν. Δίωκε ἀρετὴν, ζῆλον, ἐπιτήδευε. Διώκειν ὁ δεῖνα τὸν δεῖνα, Ἀττικῶς. κοινῶς, κατηγορεῖ ὁ δεῖνα τοῦ δεῖνος. καὶ διώκειν, ἐστὶ τὸ ἁπλῶς κατὰ σπουδὴν ἐλαύνειν, ἢ εἰς ἀγορὰν ἄγειν, καὶ ἀντὶ τοῦ ἄγειν εἰς δικαστήριον, καὶ κατηγορεῖν. καὶ ἐπὶ τοῦ ἐπιθυμεῖν καὶ ὀρέγεσθαι. διώκειν γὰρ φαμὲν τὴν ἀρετὴν, καὶ ἐπὶ τοῦ διελθεῖν. Διώκειν ἐκ δόμων, ἀντὶ τοῦ ἐλαύνειν ἐκ τοῦ ἰδίου οἴκου. ὑπερβολικὴν σημασίαν ἔχουσιν τὸ ἐδίωκον. Διώκειν, ῥῆμα ἐστὶ παρὰ τῷ ποιητῇ τὸ τοῦ παρακειμένου δεδιωγμένον, ὡς ἂν λέγοι ἔχοντα παραλόγως. τοῦ καὶ τὸ ἀνάφαιον ἐκείνοις προσδέχονται. καὶ τὰ ἔγκατα καὶ μέλαν αἷμα λαφύσσων, οὐκ ἔστι μὲν οὖν Ἀττικῆς διωκτῆς σημασίας. ἀναχωροῦσιν γὰρ ἔχω πληθυντικῶν. τὸ γὰρ διώκειν, ἀντὶ τοῦ ἐλαύνειν κεῖται.

καὶ τὸ

σωθείς. Διόνυσος ὁ μυθικός, ὡς οἶον ἀνηγορεῖται. καὶ καθ' ἱστορίαν δὲ ποιός εἶναι, ἡ ἐφ' ἑκατέρας λέγεται. καὶ ὅτι διάφοροι Διόνυσοι, ἀναγκαῖόν ἐστι γνῶναι. Ἡρόδοτος δὲ λέγει, ὅτι ὁ τῆς καθ' Ἑλλάδα γλῶσσαν ὁ Διόνυσος. Δηλοῖ Διόνυσον πλάττει Ὅμηρος, καὶ θηλυνόμενον ὄντα. ὅθεν καὶ Διονῦς παρὰ τί. καθ' Ὅμηρον, ἡ γυναικεῖα καὶ θηλὺς ἰδέας, ἢ ἄλλο τι. Διονύσια ἀρχομένου τοῦ ἔτους. ἄρχεται δὲ ἡ πανήγυρις. Διόνυσος, ὃ μὲν Διόνυσον αὐτὸν καλοῦσι, διὰ τὸ ἔτι κέρατα γενόμενος, ἔνυξε τὸν Διὸς μηρόν. ὁ Διόνυσος, ὁ ἐκ τοῦ Διὸς γεννηθείς, καὶ ἐν Νύσῃ τραφείς.

Διόπαι, εἶδος ὀνείρων. ὥς φασιν ἐν Λεμάτων. Διοπετής, ἐξ οὐρανοῦ ἐρχόμενος. Διοπετὴς, ὑπὸ τοῦ Διὸς πληρούμενος.

Διοπεύειν, τὸ ἐπιμελεῖσθαι. Διοπεύω, κατασκοπῶ. ἀπὸ τοῦ ὄπτω. καὶ Διοπτῆρα, τὴν σκοπὴν. καὶ Διοπτεύων, ἐποπτεύων, ἐφορῶν, ἐπισκοπῶν. καὶ Διοπομπίας, τοὺς βασιλεῖς. Διοπλήκτα, ἐχειροπλάκτει. Διοπομπεῖσθαι, ἀποσκοπεῖσθαι, ἢ ἀποπεχείρησθαι, καὶ ἀποδιοπομπεῖσθαι. Διοπος, ὁ δίοπον ἢ ἐπόπτην. ὁ τῆς νεὼς ἐπιμελητής. καὶ Διόποι, οἱ βασιλεῖς, παρὰ τὸ διοπεῖν, ἢ διοπτεύειν. Διοπτεύσαν, ὁ διοπτεύων, κατασκοπεύσαν. Διοπτεύειν. Δημοσθένης ἐν τῷ κατὰ Λακρίτου. δὲ οὕτως λέγεται πῶς, ὁ δίοπον καὶ ἐποπτεύων τὰ κατὰ τὴν ναῦν. ὁ καθ' ἡμᾶς λεγόμενος ἐπιστάτης. Διόπτης, κατασκόπος. Διόπτρα, κατάσκοπον, οἰκονόμον. Διοπτὴρ, καὶ μηχανικὸν τὸ ὄργανον, δι' οὗ ἐσχέψατο τὸ ἐπίπεδον, ἡ Διόπτρα. Διοπτῆρες, οἱ κατάσκοποι, οἱ προφύλακες. Δίοπτρον, τὸ διαφανόμενον, πλὴν τοῦ ἔσω εἶναι. Διόπτρα, γεωμετρικὸν ὄργανον. καὶ σημεῖον ἐν θυλάκῳ. Διοργανώσεως, κατασκευῆς. Διορθοῦμαι, εὐθύνω. Διορθοῦν κυρίως, ἐπὶ δοράτων βολῆς. ἐπεὶ ὀρθοῦν δὲ, ἐπὶ λόγων. Διορθῶ, ἐπὶ τοῦ διαιτήματος. οἷον, διορθῶ τὸν λόγον, ὡς ἠμελημένον ὄντα, καὶ μὴ κατὰ τὸ προσῆκον τεθέντα. καὶ διορθῶ, τὸ ἐπ' εὐθεῖαν ἄγω. Διορίαν, προθυμίαν. ἐὰν δὲ διὰ τοῦ ω μεγάλου, καιρὸν σημαίνει. Διορίζω, διαιρῶ. Διορίσαι, ὁ καὶ ἐξορίσαι λέγουσι, τὸ φυγαδεῦσαι. Διορισμένα ἐστὶ, τὰ ἔχοντα μέρη κεχωρισμένα. ἢ πάλιν διορισμένον ἐστὶν, ἐφ' οὗ οὐκ ἔστι λαβεῖν κοινὸν ὅρον, πρὸς ὃν συνάπτει τὰ μόρια. Διορισμὸν, διαχωρισμόν. Δίορον, διασάφησις. Διορρα, δίσειγα. Διορύξα, τὸ διῆκον διακόψαι. Ἀριστοφάνης, τοὺς τοίχους διορύττειν. Δίος, ὅ ἐστιν ἔνδοξος, ἐπὶ ἀνθρώπων ὑπερεχόντων λέγεται. ἐκ τοῦ δῖος, καὶ δι' ἔρωτα δῖος. ὡς χῖος ὁ νοῦς, καὶ ἐξ αὐτοῦ χῖος, καὶ χῖος ἀνήρ. φέρουσι δὲ κατὰ τοὺς παλαιοὺς οἱ δῖοι τὰς ὑπεροχὰς οὕτως. οἷον Ἀχιλλεὺς δῖος, χάριν ἀνδρείας. ὁ Ὀδυσσεὺς, χάριν συνέσεως. ἀλέξανδρος, ἢ κάλλους χάριν, δῖοι. διὰ κάλλος. εὔμαιος, δι' εὐσέβειαν. θάλασσα, διὰ μέγεθος. Ἄλλως. Δῖος, σημαίνει δύο. τὸν ἔνδοξον, ὡς τὸ δῖος Ἀχιλλεὺς, καὶ δῖος ὁ Αἰνειὸς. τὸν μέγαν, ὡς τὸ, εἰς ἅλα δῖαν, ἄντην θαυμαστήν. τὸν ἀγαθὸν, ὡς ἐν Ὀδυσσείᾳ, τὸ δῖος συβώτης. τὸ δὲ ι. γίνεσθαι γάρ εἶναι διαφύλαξαι κτλ. θεῖος καὶ δῖος, διὰ διφθόγγου. Δῖος δὲ καὶ χῖος, διὰ τοῦ ἰῶτα. Διός, ἐκ τοῦ Δίς, εὐθεῖαν συστεμένος. τὸ δὶς γὰρ, συναιρεῖται τὸ Δὶς ἐπίρρημα ὄν. Διὸς ἐκπεπτωκότα, ἀντὶ τοῦ ἐξ ἀέρος. οὗ βέλη, κεραυνοὶ, χάλαζαι, καὶ τὰ τοιαῦτα. Διὸς ἄγγελοι, οἱ καὶ ἀνθρώπων ὡς τὸ γένος ἄγγελοι, ἤτοι καὶ ἀνδρῶν. Διὸς ἄστρον, φωνὴν ἀκουσθεῖσα. Διὸς αὐγὰς, τὰς ἡμέρας, τὸ φῶς. Διὸς βάλανοι. ἐν μικρῷ φορμίσιος, τὰς Διὸς βαλάνους, καὶ ἀμύγδαλα σημαίνοντα. τὰ κασάνα, ὥς φασι δὲ τινα λέγουσιν ἡρακλειωτικά.

Διὸς θᾶκοι, ἡ μαντεία. Διὸς βοῦς, ὁ τοῦ Διὸς ἄγγελος βοῦς, ὃ ἱερὸς. ἐστὶ δὲ ἑορτὴ μιλησίων. Διὸς θᾶκοι, καὶ πεσσοί. ὥς φασι ψῆφοι. φασὶ δὲ ἐν τῇ τοῦ Ἀθηναίων διαψηφίσει, ὅτε ἀμφισβήτει Ἀθηνᾶ καὶ Ποσειδῶν, τὴν Ἀθηνᾶν Διὸς διαθέσθαι πρὸς αὐτὸν τὴν ψῆφον ἐναγχιάν, καὶ ὑποχίδας ἀπὸ τότε τὸ τοῦ πολίτου ἱερὸν πρῶτον θύεσθαι ἐπὶ βωμοῦ. Διὸς ἐγκέφαλος, παροιμία, ἐπὶ Κλεάρχου φασὶν εἰρῆσθαι, οἷον ἐπὶ τῶν ἄγαν θείων. ὁ Διὸς ἐγκέφαλος, τὸ κάλλιστον βρῶμα. οὕτω λέγουσι Πέρσαι ἐπὶ τὸ λιπαρώτατον. ἡ βασιλέως ἐγκέφαλος. Διὸς μάστιξ, τὸ κεραυνός. Διοσδότης, ὑπὸ Διὸς διδόμενος. Διοσημεῖον, τεράστιον σημεῖον. Διοσημία, τὰ ἐκ τοῦ ἀέρος σημεῖα. Διοσημία ἐστὶν, ὁ παρὰ καιρὸν χειμών. Ἀριστοφάνης, διοσημία ἐστὶ, καὶ ψεκάς. βιβλία καὶ Διοσημία, θεομηνία. Διόσκορον, διαβαλεῖν, συνωνύμως ἡ ἔρασιν μεταβάλλεσθαι. τίθεται δὲ καὶ ἐπὶ τοῦ διαφθαρῆναι τὸ σῶμα, ἢ τὴν ψυχὴν, ἢ τὸ διαπαλαίσαι, ἢ τὸ διαφθεῖραι.

Διόσκουροι, ἐν τῇ λακωνικῇ φασὶν ἐπιφαίνεσθαι ἔχειν, φιλαδελφίας δὲ ὑπερβολὴν λέγειν πάντας. οὔτε γὰρ περὶ ἀρχῆς, οὔτε περὶ ἄλλης ἐρίζειν τινὸς ἤρισαν. μόνος δὲ αὐτῶν ζῶσι θάνατον βουλόμενος τὸν κοινωνόντα, διδόντες συνεχῶς, ὡς τὸ αὐτὸ ἀμφοτέρους ἐσομένους ἐν δὶς ἄμφοι. Διόσκουροι, οἱ Ἕλληνες ἀδελφοί, ζεῦξις καὶ Ἀμφίων, λευκόπωλοι καλούμενοι. ἢ ἀστέρες, οἱ τοῖς ναυτιλλομένοις φαινόμενοι, καὶ σημεῖον ἐν θυλάκῳ. Διοσκούριον, οὕτως ἔλεγον, οὗ τὸ ἱερὸν ἵδρυται. ὁ ἐφ' οὗ οἱ καθαιρόμενοι ἵσταντο ἐπὶ τῆς ἀρχῆς παιδί. ὥς φασι δὲ, τὸ μέγα καὶ τέλειον. ὁ δὲ Πολέμων, τὸ ἐκ τοῦ Διὸς τεθυμένον ἱερεῖον. Διότιμος, ὄνομα κύριον, ποιητοῦ Ἀθηναίου. Διοτρεφεῖς λέγει τοὺς βασιλεῖς, ὡς μαθητὰς τοῦ Διὸς, καὶ ὑπ' αὐτοῦ πεπαιδευμένους τὴν βασιλικὴν παιδείαν. τὸ τρέφειν γὰρ ἐνταῦθα, ταύτην λέγεται τὸ παιδεύειν, οὐκ ἔξω λόγου. τροφὴ γὰρ ἡ παιδεία τῇ ψυχῇ, ὡς τὰ βρώματα τοῦ παιδὸς, ἢ τοῦ σώματος. Διοτροφέων αἰζηῶν, τουτέστι τῶν βασιλικῶν ἀνδρῶν, οἷς διὰ πολλὰ πόλεις ὑπείκουσι. Διϊπολίεια, τὸ ἑορτή, τὸ Δίον λέγει περιφραστικῶς, τὸ ἐφ' ὑψηλοῦ ἀστικὸς ἱδρυμένον. κεῖται δὲ φασι τὸ Δίον τοῦτ', περὶ τὸ κύκλον τὸ ἰσέβειον ἀκρωτήριον. ὁ πολίτης αὐτοῦ, διὰ ὃς ἦν, ὥς φασι μακεδονικόν. φασὶ δίον, ἵνα καὶ ὁ ὀλυμπιακὸς ἀγὼν ἐτελεῖτο. καὶ ἄλλως δὲ καὶ λαμπάδας ὅτι τὸ Δίον καλοῦσι ἔχον, ὡς ὁ τὰ ἱερὰ ψηφίσματα ἀνθρώπων, ἀπόρροιαν καὶ κατὰ κοίλην συρίαν ἀλεξάνδρεια κτίσμα. ὡς ὁ δὲ λόγον τονετικὸν, ἐφ' ὃ καὶ ἐπιγράμματα. Νόμος τὸ Διονύδουν γλωσσῶν πόρον. ἀπ' αὐτοῦ ὃς Δάμας, παῖδας μὲν δίφας, αὐτὸ δὲ καὶ βοιωτοὶ ὁ δὲ γραμματεὺς λέγει, ὅτι τὸ Δίον ἐν τῷ ῥηθέντι ἀέρι. καὶ ἀθηναῖος δια ἄλλα αὐτόθι, κτίσμα ἀθηναίων. Διόφαντος, ὄνομα κύριον.

Διοχετεύειν, τὸ δι' αὐλῶν ὕδωρ κομίζειν. Διοχλεῖ, ἐνοχλεῖσθαι. Διοχλεῖ, ἐνοχλεῖ. Δίοψ, οἰκονόμος. Δίοψιν, κατασκοπὴν, ἢ δι' ὅλο ὄψιν γινομένην καὶ διαύγειαν.

Δίπαλτος, ἀμφοτέραις ταῖς χερσὶ πεπαλμένος, οἷον παραπλήσιος Σοφοκλῆς, ὡς δὲ σφὺς δίπαλτος ἂν με χειρὶ φονεύσει. καὶ δίπαλτα δοράτια. Δίπαπος, τοὺς διδύμους γεγεννημένους.

Δίπλακα μηδηδέλω, παρ' Ὁμήρῳ κατ' ἔλλειψιν λέγεται. δίπλακα γὰρ τὸ ἰσοργίαν, ἀντὶ τοῦ, ὅτι διπλοῦν. ὥς φασι δὲ, τὸ χλαῖναν δίπλακα φασὶ, μόνον τὴν δίπλακα τὴν μεγάλην, ὅπερ ἐστὶ διπλῆν ὀμφιέσασθαι. καὶ κεῖνο οὐ ταυτὴν χλαῖναν καὶ ἱστός. ἀλλὰ ἴσως γινομένην ἔστιν, ἢ ὅλον ὁ ἱστός. ὑφασμένον δὲ ὁ μέρος, ἢ πλαξ. μᾶλλον δὲ ὁ μὲν ἱστὸς τὸ ἐργαλεῖον δι' οὗ. ἡ δίπλαξ δέ ἐστιν, ὁ ἐξειργασμένον, ὡς ἐξῆλθε, ὑφάνας λέγω, ὅτι περὶ μέγαν ἱστὸν μεγάλην δίπλακα ὕφαινε. μαρμαρέην δὲ, λαμπρὰν. ἐκ τοῦ μαρμαίρω, ἐξ οὗ ὁ μάρμαρος λίθος. οὐ κυανέην μηδεμάρου, θαλερὴν μηδηδέλω. καὶ ἑτοιμῶς καὶ τὰ καὶ μηδέμαρέω. ἐστὶ δὲ καὶ θαλάσσης γαλανούσης ἐπὶ ὕλην μηδεμαρίῳ. Δίπλακα, ἐπίθετον γ'. σημαίνει δὲ διπλᾶ ὅλα, διπλοῦν ἱμάτιον. ὅ ἐστι, χλανίδα δίπλοχον, διπλοῦν. ἢ τὸ θεία, δίπλαξ. Διπλᾶ πᾶσαι, διπλᾶ πιέσαι. Διπλασιασμὸς συλλαβῶν, παρὰ ποιηταῖς. Διπλασιάζουσιν οἱ ποιηταὶ τὰ σύμφωνα, καὶ οὔτε πανταχοῦ, οὔτε πάντα. ἐν μὲν γὰρ δὶς ῥήματι τῆς ἀπὸ τοῦ ε, ἢ ο, ἢ ἐπὶ ἀρχῶν ἀρχομένοις ἀμεταβόλων, κατὰ τοὺς παλαιοὺς τὰ αὐτὰ παραλαμβάνειν λέγω, καὶ ἀορίστους τοὺς ἀπὸ τοῦ ε ἀρχομένους, τὰ καταρχὰς τοῦ ἐνεστῶτος διπλασιάζουσι σύμφωνα

Δημογέροντες, οἱ τοῦ δήμου ἐντιμότατοι. Δημοδίερος, ὁ χαμοτυπίας. Δημοδίκης, ἀστικός. Δημοσιώδης, δημώδης, ὀχλικῶς. Δημοθοίς, θεωρόν. Δημοθοίνια, ἡ τοῦ δήμου θυσία. Δημοθοινία, ἡ τοῦ δήμου εὐωχία, ἡ ἑορτία. Δημόκοινον, δημόσιον, βασανιστὴς πόρνος, καὶ δήμιος. Δημόκραστος, ἀσμένως. Δημοκρατεῖν, ἀντὶ τοῦ παίζειν. Δημοκράτειαν, τοὺς περὶ τὰ δημόσια ἀναστρέφοντας. Δημοκλείδας, ξένος καὶ μοιχός. τοιοῦτος καὶ ὁ δημοκλῆς. Δημοκώτης, ἀθρέαστος, ἀπολιάνων. Δημοκόμπος, δημηγόρος, δήμου ἐπικρατούμενος. Δημόκοινος, καὶ βασανιστὴς, καὶ δημόσιος, ὁ στρεβλῶν καὶ βασανίζων. ἔνιοι δέ φασι βασανιστὴν, τὸν ἐπιτρέποντα πρὸς τὴν βάσανον. Δημολάλους, περιβόητους. Δημὸν, λίπος ἢ ὄχλον.

Δῆμον ὀνείρων, ὡς ἐπὶ ἐμψύχων καὶ συμπαθειῶν εἶπεν ὅμηρος ἐν ὀδυσσείας ω. νύκτας ἡμῖν ἐκεῖθεν δῆθεν ἐπιφοιτώντων. εἰκεῖον δὲ καὶ αὐτοῖς αἱ δυσμαὶ, οὐ μὴν αἱ ἀνατολαί. διὰ γὰρ νυκτὸς, καὶ ἁπλῶς τὸ ὕπνῳ φαινομένοις, προσφυὴς καὶ τὸ σκοτώδης τοῦ τόπου. δοκεῖ δὲ ὁ μῦθος ἰδιάκτως γεγραφέναι, τάξιν κατὰ τὸν ὠκεανὸν τὴν λευκάδα πέτραν, μεθ᾽ ἣν τὰς ἡλίου πύλας,

εἶτα

πλοῦς, ἐπὶ τοῦ ἀσφαλῶς ἐκ προτέρων. καθάπερ οἱ διαμαρτόντες κατὰ τὴν προτέραν πλοῦν ἀσφαλῶς παρασκευάζονται κατὰ τὴν δευτέραν. μέμνηται δὲ ταύτης καὶ Δαμαστίλας ἐν τῷ δευτέρῳ τῶν ἀθηνῶν. Δευτέρων ἀμεινόνων, παροιμία ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, ὅταν αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καλὰ ὀφθῇ. καὶ ἐπὶ δευτέρα φανῶσι λέγοντες, δευτέρων ἀμεινόνων. Δεύω, τὸ βρέχω. ὡς τὸ, Δεῦον δὲ δάκρυσι κόλπους. σημαίνει δὲ καὶ τὸ ἐνδεοῦμαι. ὡς τὸ, ἐδεύησεν δὲ οἰήιον ἄκρον ἱκέσθαι. ἐκ τοῦ δέω τὸ χρῄζω, καὶ πλεονασμῷ τοῦ υ, δεύω. Δεφόμενοι, οἱ ταῖς χερσὶν ἀσελγαινόντες, ὧν ἡ ἀσέλγεια καὶ χειρουργία λέγεται.

Δεφόμενος, ἀντὶ τοῦ ἀποδέρων τὸ αἰδοῖον. Ἀριστοφάνης, οἱ γὰρ ἀπεψωλημένοι τοῦ αἰδοίου, οὐχ ὡς ἔφυσαν, ἀλλὰ ἀποδεδαρμένον κινοῦσιν, ἐκπορευόμενοι τῇ συνεχείᾳ τῆς κινήσεως, πρὸς τῇ τῆς γονῆς ἐκκρίσει. Δέχαται ἰωνικῶς, ἀντὶ τοῦ δέδεκται ἢ δέχεται, καὶ συγκοπῇ δέχαται. ἢ ἀφαιρέσει, ὡς δεδεγμένος, δέγμενος.

Δέχεσθαι, τὸ λαμβάνειν, καὶ ἀποδέχεσθαι. ὁ δέχεσθαι μύθους, τουτέστι χαίρειν ἐπὶ τῷ εὐφημεῖν καὶ εὐλογεῖν. Δέχθαι, ἀντὶ τοῦ δεδέχθαι ἰωνικῶς, ἐκ τοῦ δέδεκται ἤτοι προσδοκᾷ. ἢ δέχθαι, ἀντὶ τοῦ διαδέχθαι. ἔστι δὲ τῶν ἰώνων. παρ' αὐτοῖς γὰρ οὐδὲν ῥῆμα ἐπὶ τοῦ παρῳχημένου τὴν ἀρχὴν αὔξει. Δεχνύμενος, ἐκ τοῦ δέχω, δέχνω, δεχνύω, δέχνυμι, δέχνυμαι. ὁ δεχνύμενος, ὡς ὀρνύμενος, καὶ ἐχνύμενος. Δέγμενος, προσδεχόμενος.

Δέχομαι, ὁμολογῶ. καὶ δέχομαι ἁπλῶς, τὸ ἐρχόμενον εἰς ἐμὲ λαμβάνω. εἰσδέχομαι δὲ, ἐπὶ οἰκίας, ἢ λιμένος, ἢ τοιούτου τινός. ἢ δέχομαι ἁπλῶς, τὸ διδόμενόν μοι λαμβάνω. μετὰ δὲ προθέσεως, ἐνδέχεται, τὸ δυνατὸν γενέσθαι, ἤγουν ἐγχωρεῖ. κατὰ μεταφορὰν, ἀπὸ τοῦ δεκτικοῦ ἀγγείου, καὶ δυναμένου δέξασθαι. ἐκδέχομαι, τὸ ἀντὶ ἑτέρου δέχομαι. καὶ εἰσδέχεται οἰκία ἑτέρα, ἢ λιμὴν, ἢ τι τοιοῦτον. ἐνδέχομαι δὲ, ἐπὶ πλειόνων. λέγεται γὰρ καὶ ἐπὶ τόπου μέχρι ἀριθμοῦ, προσδοκωμένου δὲ ἀφίξεσθαι. καὶ ἐπὶ τῆς ὕλης παραγινομένης. ἐκδέχομαι γὰρ ἕτερον, ἀντὶ τοῦ ἀπὸ ἑτέρου τόπου προσδοκῶ δέξασθαι αὐτὸν παραγενόμενον. ἐκδέχομαι ἀπὸ ἑτέρου βοήθειαν, ἤγουν προσδοκῶ βοήθειαν ἐξ ἐκείνου δέξασθαι. Δέχομαι, αἰτιατικῇ συντάσσεται, διαδέχομαι ὁμοίως αἰτιατικῇ. καὶ ἀποδέχομαί σε τῆς σπουδῆς, καὶ ἀποδέχομαί σε τὴν σπουδήν.

Δέχομαι, θεῶμαι, λατρεύομαι, ῥύομαι. ῥήματα παθητικῶς προφερόμενα, ἐνεργητικὴν σημασίαν ἔχοντα, ἐν μόνοις ἀορίστοις παθητικὴν ἔχουσι σημασίαν. οἷον ἐδέχθη, ἐθεάθη, ἐλατρεύθη, ἐῤῥύσθη. Δέχε τὴν ἄνθραν καὶ τὴν ὄρνιν τοῦ θεοῦ, ἤγουν τὸ μαντικὸν σύμβολον. ἔστι δὲ τοῦτο ἐλλειπῶς καὶ Σοφοκλῆς, ἐν τῷ ὄρνιθι αἴσιον, τουτέστιν εὐτυχεῖ. ταύτην δὲ εἶπεν σημασίαν, κατὰ τὸ ἐπίσημα σήματα φαίνειν, ἤγουν αἴσια σημεῖα, ἤτοι ὄρνιθας. ἴδον γὰρ οἰωνὸν πιστὴν εἶπεν, καὶ ὄρνιν, τὸ σῆμα καὶ σύμβολον. καὶ συμβόλαιον δὲ τὸ περισυλλαβῶς, ὡς καὶ οἱ σύμβολοι, ἀρσενικῷ γένει, εἰ ἐν συναντήμασιν οἰωνοὶ πιστοί εἰσι. Δέψα, ἡ βύρσα. Δεψῆσαι κηρὸν, τὸ μαλάξαι. ἀπὸ τοῦ δέψω, δέψω. ἐξ οὗ ὁ βυρσοδέψης. Δεψαστικός, βαφεύς, ἀπαλυντής. Δέω, τὸ δεσμεύω, σημαίνει τὸ φοβοῦμαι, τὸ τρέμω. ἐξ οὗ δέος, [illegible] καὶ [illegible], τὸ ἱκετεύω, ἐξ οὗ καὶ δέησις. Δέω, ἐπὶ μὲν τοῦ πρώτου προσώπου, σημαίνει τὸ ἐλλείπομαι. ὡς τὸ, πολλοῦ δέω. καὶ τὸ δεσμῶ. ἐπὶ δὲ τοῦ δευτέρου, τὸ δεσμεῖς. ἐπὶ δὲ τοῦ τρίτου, τὸ ἐλλείπει. καὶ τὸ δεσμεῖ, καὶ τὸ πρέπει, καὶ τὸ χρεία ἐστί. καὶ τὸ μὲν δεῖ ἀντὶ τοῦ πρέπει, μετὰ ἀπαρεμφάτου. τὸ δὲ δεῖ ἀντὶ τοῦ λείπει, μετὰ γενικῆς. οἷον πολλοῦ γε καὶ δεῖ, καὶ ἐνδεῖ ἀμεταβάτως. καὶ ἐνδεῖ μεταβατικῶς, ἐν δοτικῇ εἰς γενικήν.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Η.

Δή, καὶ δήπουθεν, δῆτα. τὸ μὲν δῆτα, καὶ δήπουθεν, ἐστὶ μὲν καὶ ἀρτά. λαμβάνεται δὲ καὶ ἀπειλητικῶς, καὶ ἀντὶ τοῦ ὡς ἀληθῶς, καὶ φανερῶς. τὸ δὲ δὴ, λαμβάνεται καὶ ἀργόν. κυρίως δὲ, καὶ ἀντὶ τοῦ ἤδη. ὡς παρ' Ἀριστοφάνει, καὶ δὴ βαδίζω, ποῖ δὲ τὸ προαύλιον. Δή, ποτὲ ἐνίοτε συμπλεκτικὸς παραπληρωματικὸς, καὶ σύζευξιν δηλοῖ. ἐχρήσατο Ἀριστοφάνης, ὡς τὸ, Ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν. καὶ Θουκυδίδης ἐν τῷ προοιμίῳ. Δή, ἀντὶ τοῦ νῦν. Δὴ οὖν, σύνδεσμος. Δηκτάχα, φθορὰ τῶν δένδρων.

Δήβοιλοι, κιθαρῳδοί. Δὴ γὰρ, ἤδη γάρ. Δηγῶ, ἤγουν σιωπῶ. Δῆγμα, παρὰ δέδηγμαι, καὶ ἀπόρηγμα ὀδόντων.

Δήγορθοι, οἱ σπαθοί. Δηροί, χλωροί. Δηϊῶν, πολεμῶν, φονεύων. Δήεις, εὑρίσκεις. καὶ δήεις, εὑρήσεις. γίνεται παρὰ τὸ δήω, τὸ σημαῖνον τὸ εὑρίσκω. ἐξ οὗ ὡς τὴν Δήμητρα Δηὼ λέγουσι, διὰ τὸ τοὺς ἐντυγχάνοντας αὐτῇ ζητούσῃ τὴν θυγατέρα λέγειν, δήεις, ὃ ἐστιν εὑρήσεις. Δηϊφόντης, ὁ ἀναιρέτης, χαρίζε.

Δηθά, ἤγουν ἐπὶ πολὺν χρόνον καὶ συχνά. ἢ καὶ ἀεί. Δηθαγόρον, ἐπὶ πολὺ λέγοντα. Δηθὰ ματεύομεν, ἐπὶ πολὺ ζητήσομεν. Δηθαιῶνες, οἱ μακρόβιοι, μακραίωνες. Δηθάκις, πολλάκις, πυκνῶς. Δῆθεν, ὡς δή φησιν, ἢ ἐντεῦθεν. Δῆθεν, ὡς μάλιστα, ὡς δῆλον, ἐξαιρέτως. Δηθύνειν, ἐγχρονίζειν.

Δηθύνω, τὸ βραδύνω. παρὰ τὸ δηθὰ ἐπίρρημα, δηθύνω, καὶ δηθύνω. Ὅμηρος. Οὐδὲ πάρις δήθυνεν, ἤγουν δηθά, ὃ ἐστι πολὺ διέτριψε, καὶ ὡς εἰπεῖν ἐβράδυνεν. Δηΐα, πεπορθημένα, καταπεπλημμένα, κατακεκαυμένα, πολέμια. δηΐων. Δηϊάλωτοι, αἰχμάλωτοι. Δηϊᾶσθαι, διώξασθαι. Δηΐοισι, τοῖς πολεμίοις.

Δήϊον πῦρ λέγει, πρὸς διάκρισιν τοῦ θυηκοῦ καὶ θείου, καὶ τοῦ γαμηλίου, καὶ τοῦ νικητοῦ. Δήϊον, μάχης ἐπίθετον ὄν, ἐν τῷ δηΐῳ ἐν πολέμῳ, εἰς ὄνομα γέγονεν αὐτῇ, ἐν τῷ, ἐν αἰνῇ δηϊοτῆτι.

Δήϊος πόλεμος, καὶ ἡ αἰνὴ δηϊότης, ταυτὸ σημαίνουσι.

Δηϊοτῆτος, μάχης. Δηιοῦν, ἐμάχοντο, ἐπόρθουν. Δηϊόωντες χαλκῷ, ἤδη δηϊόωντες, μερίζοντες, κόπτοντες. Δηΐς, ἡ μάχη. Δηϊώσας. ἐκ τοῦ δαΐω, τὸ καίω, καὶ κόπτω. ἐκ τούτου γίνεται δάϊος, καὶ δήϊος. καὶ ῥῆμα δηϊόω, καὶ συναιρέσει δηϊῶ, μέλλων. δηϊώσω, ἀόριστος ἐδήϊωσα. ἡ μετοχὴ, ὁ δηϊώσας, ὃ καὶ δηϊώσας γράφεται. καὶ δηϊωθῆναι, τὸ φθαρῆναι. ὁ δηϊωθέντων, αἰκισθέντων.

Δήκω, τὸ δάκνω, καὶ δηκῶ, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης. Τί τὸ δάκτυλον δάκνων ζητεῖς. ὁ μέλλων δήξω, ὁ παρακείμενος δέδηχα, ὁ παθητικὸς δέδηγμαι, ὁ ἀόριστος ἐδήχθην. ἡ μετοχὴ, ὁ δηχθείς. Δηλαδή, τὰ τῆς βεβαιώσεως ἐπιρρήματα, τοῖς ὁριστικοῖς συντάσσεται. οἷον, δηλαδὴ τοῦτο ποιήσω, καὶ ἀντὶ τοῦ φανερῶς. Δηλαπομένα, βλαπτόμενα. Δηλαίνουσι, παίζουσι.

Δηλαϊκή, ἀθλία, ἐλεεινή. Δηλάτωρ, ὁ κατήγορος. Δηλατορίαι, αἱ τῆς κατασχέσεως τοῦ δημοσίου φόβου, παρὰ ῥωμαίοις, αἱ εἰσαγγελίαι. Δηλαυγῶς, ἄγαν φανερῶς. Δήλεαι, θέλεις, βούλεαι. Δηλῆ, βουλῆ. Δηλεγαζεῖν, ἀφορίζειν. Δηλεγατίων, κατὰ ῥωμαίους ἡ ἐπιταγὴ τοῦ στρατηγικοῦ. καὶ ἡ ἀνάγκη, μανδάτον. Δηλεθέβοιτο, ἐγκρατεύεται. Δήλημα, βλάβη.

Δηλήμων, βλαπτικός. καὶ δηλήμων, κακοῦργος, λυμαντὴς, λυμεὼν, κακῶς διακείμενος. Δηλήσασθαι ὅρκια, ψεῦσαι, βλάψαι. περιφραστικῶς τὸ ἐπιορκῆσαι, ὅπερ ἐστὶ βλάβη ὅρκων. ὁ δηλήσασθαι, ἤγουν βλάψαι, οὗ ἡ χρῆσις ἐστὶ καὶ παρ' Ἡροδότῳ. δηλέεται γάρ φησιν, ἀντὶ τοῦ ἔβλαπτεν. ἐκεῖθεν δὲ καὶ τὸ δηλητήριον. σημειοῦται δὲ, ὅτι Ἡρωδιανὸς συζυγίας τῶν ῥημάτων διαφόρους πολλάκις σημασίας ποιεῖ. δηλῶ μὲν καὶ δηλώσω, τὸ φανερὸν ποιήσω. δηλῶ δὲ, δηλήσω, τὸ βλάψω. οὕτω καὶ νοῶ νοήσω, τὸ εἰς νοῦν λήψομαι. νοώσω δὲ, τὸ ἐμβαλῶ νοῦν. καὶ πολεμήσω μὲν, τὸ μαχέσομαι. καὶ πολεμώσω δὲ, τὸ κινήσω ἕτερον εἰς πόλεμον, καὶ εἰς μάχην. καὶ σταθμήσω, τὸ ζυγοστατῆσαι. σταθμώσασθαι δὲ, παρὰ Ἡροδότῳ, τὸ σχάσασθαι. καὶ κηλήσω μὲν, τὸ θέλξω. ἐξ οὗ ἐν ὀδυσσείᾳ κηληθμός. κηλώσω δὲ, ῥῆμα οὐ σημαινόμενον. ἐξ οὗ κηλωτὰ, τὰ ὑφαντὰ παρὰ Λυκόφρονι. καὶ βοήσω μὲν, ἤγουν φωνήσω. βοώσω δὲ, τὸ μεταμορφώσω εἰς βοῦν.

καὶ τὸ

τὰ χαλινά. ὁ ζυγός, τὰ ζυγά. ὁ σταθμός, τὰ σταθμά. εἰσὶ πολλὰ ὀνόματα, ἃ ἐν τοῖς ἑνικοῖς ἀρσενικῶς προφέρονται. ἐν δὲ τοῖς πληθυντικοῖς, οὐδετέρως. Δέσμην, τὴν τὰς δεσμὰς τῶν σταχύων δέρ.

Δεσμή, ὄχλος. Δέσμιον, ἀμάλλιον. Δεσμίους, μάστιγας, ἄξιός ἐστι δεσμῶν. Δεσμοί, ἧλοι. καὶ δεσμοὶ τετράμενοι, οἷς ἐχρῶντο ἀθλοῦντες. Δεσμόν, οὐδετέρως ἀττικοί. καὶ σημαίνει πολλὰ τοῖς οὕτως. Δεσμός, σῶμα, μορφή, ὅλος, εἶδος. Δεσμωτήριον, ἡ φυλακή. Δεσμώτης. πᾶν ῥῆμα τῆς τρίτης συζυγίας τῶν περισπωμένων ἐν τοῖς ὀνόμασιν, ἢ διὰ τοῦ ω ὀξέως ἐκφέρεται, οἷον χρυσῶ χρυσωτής, μισθῶ μισθωτής, ἢ διὰ τοῦ ο βαρέως. οἷον, ὀμόσω, ὀμότης, ἀρόσω, ἀρότης. οὐκ ἄρα οὖν τὸ δεσμώτης, ἀπὸ τοῦ δεσμώσω μέλλοντος. ἐπεὶ ὤφειλεν εἶναι δεσμωτής, διὰ τοῦ ω μεγάλου. ἀλλ' ἀπὸ τοῦ δεσμός, ὅθεν καὶ διὰ τοῦ ο μικροῦ γράφεται. ἡ δὲ συνήθεια διὰ τοῦ ω μεγάλου γράφει τὸ δεσμώτης. καὶ αὐτὸς ὁ δέσμιος, καὶ ὁ προμηθεύς. Δεσπόζω γενικῇ. οἷον, γυναῖκες δεσπόζουσι τῶν ἀνδρῶν. ὅθεν δεσπότης, δεσποτεύω, δεσποτεία. Δέσποινα, ὥσπερ ἀπὸ τοῦ ἀρῶ, γίνεται ἀρήτειρα. καὶ ἀπὸ τοῦ βαίνω ἀμφίσβαινα, οὕτω καὶ ἀπὸ τοῦ δεσπόζω δεσπόζαινα. καὶ κατὰ συγκοπὴν τοῦ ζα, καὶ συναιρέσει τοῦ ο καὶ ι εἰς τὴν οι δίφθογγον, δέσποινα. οὐ γὰρ παρεσχημάτισται ἀπὸ τοῦ δεσπότης ἀρσενικοῦ, ἐπεὶ δεσπότις ὤφειλεν εἶναι, καὶ οὐ δέσποινα. δέσποινα δέ, σύνθετον δεσποτία, ἡ δέος ἐμποιοῦσα, ἀπὸ τοῦ δεσποτὸς ἀρσενικοῦ, κατὰ συγκοπὴν δέσποινα. ὡς θέραπον, θεράπαινα, καὶ πλεονασμῷ τοῦ ι, δέσποινα. ὅτι γὰρ κίνησις, δηλοῖ ἡ παραλήγουσα. τὸ γὰρ ἐγκλίνω οὐ φύσει τὸ οι ἔχει, ἀλλ' ἐκτροπῇ τοῦ ω ἀπὸ τοῦ ἀγκῶνος ἀγκώνη, καὶ ἀγκοίνη. λέγεται δὲ οὐ μόνον ἡ βασιλὶς δέσποινα, ἀλλὰ καὶ ἡ τοῦ οἴκου δεσπότις, ἣν ἰδιωτικῶς κυρίαν φαμέν. Δεσποτεία ἐστίν, ἀρχὴ ἀνυπεύθυνος, δικαία. καὶ δεσποτεία, ἡ κυριότης. Δεσπότης ὤν τις, ὁ δέος ἐμποιῶν, ἢ ὁ δέος ἔχων ὅπου. καὶ δεσπότης μέν, λέγεται πρὸς δοῦλον. κύριος δέ, πρὸς ἐλεύθερον. Δεσπόσυνος παῖς, ὁ τοῦ δεσπότου. Δεταί, δεσμοὶ δάδων, τουτέστι λαμπάδων, ὡς ὁ λόγος δηλοῦται. οὐχ ἁπλῶς δὲ αἱ λαμπάδες δεταί, ἀλλ' ἐμοὶ αἱ καιόμεναι δεταί. ἄλλως γὰρ κατὰ τοὺς παλαιούς, δεταὶ αἱ συνδεδεμέναι φρυγάνων, αἱ ῥᾳδίως ἐξαπτόμεναι, καὶ ἐπιρριπτόμεναι, φοβοῦσι τὸν λέοντα. Δετάς, τὰς λαμπάδας λέγουσιν. ὡς ἀπὸ τοῦ δέω, τὸ δεσμῶ, δετὴ ῥαμφάς, ἡ συνδεδεμένη ἐκ πευκῶν. καὶ Ὅμηρος, δαιόμεναί τε δεταί. Δετή, ἡ ἐκ δεδεμένων δάδων λαμπάς. οἷον, καιόμεναί τε δεταί, Ἡρόδοτος. ἀπὸ τοῦ δέδεμαι ῥήματος, δετός, καὶ δετή. ὡς ἀπὸ τοῦ τίθημι, θετός, καὶ θέτις σύνθετον, καὶ ἰτὸς καὶ ἀριθμός. ὡς τὸ ἰτὸς εἰμί. καὶ δίδωμι δοτός. ὡς καὶ Ὅμηρος, ἀπὸ τοῦ δίδωμι ῥήματος, εἶπε τὸ παθητικόν, δίδου μάχεσθαι λέγουσι. Δέφον, τὸ δέρμα τοῦ ἥπατος. ἢ διάπυρον, διαφανές. Δευάδαι, οἱ σάτυροι, παρὰ Ἰλλυριοῖς. Δεύας, τοὺς ἀκίνητους θεούς, μάγοι.

Δεύεσθαι, γεύεσθαι. Δεύειν, μαλάττειν, τέγγειν. Δεύω, βρέχω, φύρω, ἐνδεῶ. Δεύονται πόλεις, δεξάμεναι δακρύων δηλοῖ καὶ δεύεται, βρέχεται, ἐπιδεῖται. Δεύοντα, βρέχοντα. καὶ δευόμενος, βρεχόμενος. Δευκαλίδας, ἀντὶ τοῦ Δευκαλιωνίδας. Δευκαλίωνος γὰρ οὐ μόνον Δευκαλίδης, ὁ Ἰδομενεύς, συγκοπῇ δύο συλλαβῶν. ταύτῃ δὲ τῇ συγκοπῇ χρῶνται οἱ αἰολεῖς. Δευκαλίδαι, οἱ σάτυροι. Δευκαλίων, ὅτι Προμηθέως καὶ Πανδώρας υἱός, Ἡσίοδος ἐν πρώτῳ καταλόγων φησί. καὶ ὅτι Προμηθέως καὶ Πυρρῆς ἄλλοι. ὅτι δὲ καὶ ὁ Δευκαλίων ἐβασίλευσε Θεσσαλίας, Ἑλλάνικος ἐν τῷ πρώτῳ τῆς Δευκαλιωνείας. καὶ ὅτι δώδεκα θεῶν βωμοὺς ὁ Δευκαλίων ἱδρύσατο, Ἑλλάνικος ἐν τῷ αὐτῷ φησι συγγράμματι. Δεύω, φροντίζω. Δευκός, λαμπρόν, ὅμοιον. Δεύνυσος, ὁ Διόνυσος, ἀπὸ τοῦ Διόνυσος, τοῦ ι τραπέντος εἰς ε, Δεόνυσος. οὕτω γὰρ αἰολεῖς προφέρονται. συναιρέσει δὲ ἰωνικῇ, Δεύνυσος. ὡς θεόδοτος, θεύδοτος. ἐνίοτε δὲ αὐτὴν δεύτερον ὀνομάζεσθαί φασιν, ἐπειδὴ ἐβασίλευσε δεύτερος. κατὰ γὰρ τὴν ἰνδῶν φωνήν, δεῦρος ὁ βασιλεύς. Δεδοίκα, ἀπὸ τοῦ δέος, δεοίκα ἰωνικῶς. καὶ πλεονασμῷ τοῦ ι, δεδοίκα. ἢ ἐκ τοῦ δείδομαι, τὸ δεύτερον δεδοίκα, τὸ τρίτον τοῦ πληθυντικοῦ δεδοίκασι, καὶ δεδοίκασιν ἰωνικῶς. Δεόμενα, δεόμενα. Δεόμενον, χρῄζοντα. Δεῦον, ἐδέοντο, ἔχραινον, ἔβρεχον. Δεῦρ' αἰεί, ἀντὶ τοῦ ἕως ὧδε. Δεῦρ' ἦξα θᾶσσον ἢ κατ' ἐκεῖνο πόδας, ἀντὶ τοῦ ταχύτερον ἢ ὡς ἔδει βαδίζειν. Δεῦρ' ἴθι. Ἀριστοφάνης, δεῦρ' ἴθι ἐπικλαίων. τὴν παιδίαν φασὶν ἐλθεῖν πλησίον τῆς κλίνης, ἐφ' ἧς ἀνέκειτο ὁ δεσπότης τὴν ψάλτριαν αὐτὴν ἀπολλῦσα. δεῦρο ἐνθάδε, ἐπὶ τοῦ παρόντος. καὶ δεῦρο ἀεί, ἀντὶ τοῦ μέχρι τοῦ παρόντος. σημαίνει δὲ καὶ τὸ ἐλθέ, δεῦρο νῦν πρόσελθε. ἀντὶ τοῦ πλησίον, ἐγγὺς ἐλθέ. καὶ παρ' Ὁμήρῳ, δεῦρ' ἴθι. λέγεται δὲ καὶ δευρί, παρὰ Ἀριστοφάνει. ταχέως ἥκετον ἐπὶ δευρί, ἢ μὴ μέλλειν. κἂν μὴ ταχέως ἥκωσιν, ἐγὼ μὰ τὸν Ἀπόλλωνα κατὰ γῆς ἀπέπεμψα.

Δεῦρο, ἄγε, ἄγετε, φέρε, εἶα, ἀντὶ ἐπιρρημάτων λαμβάνονται. οἷον ἄγε λέγωμεν, φέρε εἰπέ. δεῦρο σημαίνει καὶ τὸ ἄγε. ὥσπερ τὸ ἴθι ἀντὶ τοῦ ἄγε εὑρίσκεται. ἡ δεῦρο, λαμβάνεται ἀντὶ τοῦ ἄγε. οἷον δεῦρο πίωμεν τόδε, ἤγουν ἄγε. καὶ ἀντὶ τοῦ ἐνταῦθα, οἷον δεῦρ' ἴθι. λέγεται καὶ μόνον, καὶ νοεῖται ἔξωθεν τὸ ἐλθέ, οἷον δεῦρο σκεψώμεθα τόδε, ἀντὶ τοῦ ἐλθὲ δεῦρο ἵνα σκεψώμεθα τόδε. δεῦρο ἀμείνω, ἀντὶ τοῦ ἐλθὲ δεῦρο. δηλοῖ κίνησιν καὶ στάσιν. δεῦρο ἀντὶ τοῦ ἐκεῖσε. Ἀριστοφάνης, φράσαι δὲ οὔπω τετλήκασιν ὑμῖν, ὅτου χάριν ὁ δεσπότης ὁ σὸς κέκληκεν ἡμᾶς δεῦρο. καὶ δεῦρο παρακελευσματικόν, ἀντὶ τοῦ ἐλθέ. Δευρόλαος, ὁ ἐξ ἱεροῦ ἀθηναίων. Δεῦρο πάροιθ' ἐλθοῦσα, παρ' Ὁμήρῳ ἐν γ' τῆς Ἰλιάδος, τὸ ἐλθὲ δηλοῖ. ἐνιαχοῦ δὲ ἀντὶ τοῦ ἐνθάδε. ὡς καὶ Δίδυμος Διονύσιός φασι. Δεῦρο, ἄγε, τὰ παρακελευσματικὰ ἐπιρρήματα πρὸς τὰ προστακτικὰ συντάσσονται. Ὅμηρος, δεῦρο πάροιθ' ἐλθοῦσα φίλον τέκος ἕζευ ἐμεῖο. καὶ πρὸς ὑποτακτικά. καὶ κατὰ ἔλλειψιν αἰτιολογικῶν συνδέσμων. οἷον, δεῦτε σκεψώμεθα, ἄγε εἴπωμεν, τὸ ἵνα ἔξωθεν ὑπακουστέον. λέγεται δὲ τὸ ἄγε, καὶ τὸ φέρε, κατὰ ἐπέκτασιν τοῦ τε ἄγετε, καὶ φέρετε. Δεύς, ζεύς.

Δεύσας, βρέξας. ὡς τό, ὁ δὲ δεύσας τοῦ αἵματος τῆς Λαοδίκης προσέγραψεν. Δευσοποιός, κυρίως μὲν ἐπὶ τῆς πορφύρας λέγεται τοὔνομα. ἢ τὸ ἔμμονον καὶ ἀνέκπλυτον ἔχουσαν τὸ ἄνθος τῆς βαφῆς. ἐκ μεταφορᾶς δέ, καὶ ἐπὶ τῶν ἄλλων πάντων τῶν ἐχόντων τὸ χρῶμα ἔμμονον, καὶ πολυχρόνιον, τὸ δευσοποιὸν λέγεται παρὰ τοῖς παλαιοῖς. ὡς καὶ Πλάτων διαβοᾷ ἐν δεκάτῳ πολιτείας.

Δεύτατος, τελευταῖος ὕστατος. γίνεται ἀπὸ τοῦ δεύω, τὸ ἐλλείπω. ἐξ οὗ συγκριτικὸν δεύτερος, ὁ ἐλλιπέστερος. καὶ ὑπερθετικὸν δεύτατος, ὁ ἐλλιπέστατος, ὥσπερ βασιλεύτερος βασιλεύτατος. καὶ ὁ ἔσχατος. Δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν, ἤγουν ὁ μὴ δεύτερος, ἀλλὰ πάντων ὕστερος. ἐκ τοῦ δεύω, καθ' ὁμοιότητα τοῦ βασιλεύτατος. Δεῦτε, ἐπίρρημα παρακελευσματικόν, ἀντὶ τοῦ ἄγετε.

Δεύτερα ἄλφιτα, τὰ δευτερεῖα καὶ εὐτελῆ. Δευτεραγωνιστής, δεύτερος ἀγωνιζόμενος. Δευτέρα φθίνοντος, ἀπὸ τῆς τριακάδος. Δευτερίας, κάλλιστος οἶνος, εὐτελής. Δευτεριάζειν, τὸ ὕστερον διαπράττεσθαι. ἐγὼ ἤδη διαπραξάμενος, παραδώσω σοι δευτεριάζειν. Δευτερίας, ὁ μετὰ τὸ ὕδωρ ἐπιχεόμενος εἰς τὰ στέμφυλα, οἶνος. Δεύτερον, ἐνίοτε μὲν ἐπὶ τάξεως λέγεται, ἐνίοτε ἐπὶ ἀριθμήσεως. καθὰ καὶ τὸ πρῶτον, καὶ τὸ τρίτον, καὶ τὰ τῆς ἀκολουθίας ταύτης. Δευτερόποτμος, ὁ ἀπὸ ξένης ὑστερήσας. οὕτω δὲ ἔλεγον, ὁπόταν ἐν ὡς τεθνεῶτι τὰ νομιζόμενα ἐγένετο, καὶ ὕστερον ἀναφανείη. εἰ δὲ παλίμποις καὶ ἀπείργεσθαι τοὺς τοιούτους εἰσιέναι εἰς τὸ ἱερὸν τῶν σεμνῶν φασὶ θεῶν. ἢ ὁ φημισθεὶς ἐπὶ ξένης τετελευτηκώς, εἶτα ἐπανελθών. ἢ ὁ δεύτερον διὰ γυναικείου κόλπου διαδύς, ὡς ἔθος ἦν παρὰ Ἀθηναίοις, ἐκ δευτέρου γεννᾶσθαι. Δεύτερος

πλοῦς.

καὶ τὸ Διΐστημι, καὶ τὸ οὐδετέρων συμβαίνειν διχῶς. καὶ παρὰ Ἀριστοφάνει, ἐν τῇ ... [illegible]

Δίον, ... [illegible]

Δῖος, ὁ φόβος, παρὰ τὸ Δίω τὸ φοβοῦμαι ... [illegible]

[illegible]

φη. καὶ πᾶσας, δένδρεα. ἢ δένδρω μᾶλλον, ἢ δένδρει. καὶ δένδρεα. Ξενοφῶν δέ φησιν, ἐκείνας μᾶλλον ὀνομάζομεν δένδρον καὶ δένδρα, καὶ δένδρεσι, καὶ δένδρον, καὶ δένδρεα. Ὅμηρος δὲ, ἔνθα μὲν δένδρεα λέγει, ἔνθα δὲ, δενδρέων ἐφεζόμενοι. ὅτι δὲ ἐκ τοῦ δένδρου ἐστὶ τὸ δενδρυάζειν ὅ φασι σκέπεσθαι, καὶ τὸ καθ' ὕδατος δύεσθαι, τὰ ῥητορικὰ λεξικὰ δηλοῦσιν. ὁ δὲ ῥήτωρ Διονύσιός φησιν, ὅτι φωλεύοντα καλοῦσιν οἱ φυλάσσοντες δενδρυάζοντα. Δενδρίτης, ἀγροικόδαλος. Δένδρου τὸ μὲν λέγεται ῥίζα, τὸ δὲ ἐξ αὐτοῦ, στέλεχος. τὸ δὲ τεμνόμενον ἐκ τούτου εἰς πλεῖστα, ἀκρέμονες, ἢ κλῶνες, ἢ φύλλα, καὶ κλάδοι. Δένδρεις, γράφεται κοινῶς, τοῖς δένδρεσι δὲ ἀττικῶς. ὡς δάκρυ μὲν ἀττικῶς, δάκρυον δὲ κοινῶς. Δενδροκόμους, τὰς κομώσας τοῖς δένδρεσι. Ἀριστοφάνης Νεφέλαις, δενδροκόμους κορυφάς. Δενδρότης, ἡ τῶν δένδρων φύτευσις.

Δενδρυάζειν, τὸ καταδύεσθαι ἢ κρύπτεσθαι. κυρίως δὲ εἰς δρῦς καταδύεσθαι. καταχρηστικῶς δὲ, καὶ ἐπὶ τοῦ ἁπλῶς καταδύεσθαι, καὶ κρύπτεσθαι. ἀπὸ τῶν παλαιῶν τῆς φασὶ σπίλων χωμένων. τινα γὰρ τὰς εἰκόνας εὑρεθῆναι, ἐν τοῖς κοιλώμασι τῶν δένδρων καταδύεσθαι τοῦ ὄντος. λέγεται δὲ καὶ τὸ καθ' ὕδατος δῦναι, καὶ ἀποκρύπτειν ἑαυτόν. Δενέρμον, τῷ τῆς πισβύλης, νόθευμα, παρὰ λάκωσιν. Δένθις, οἶνος, λακωνικά. Δεννάζει, ὑβρίζει, βλασφημεῖ.

Δεννάζειν, παρὰ τῷ Σοφοκλεῖ, τὸ λοιδορεῖν. ἀπὸ τοῦ δεινὸν ὀνομάζειν. καὶ δεννάζειν, καὶ δεννάζων, ἤγουν μετὰ ἀναιδείας λέγων, ὡς φῶς φαινός. Δένδρον, δεξιὰ χείρ. καὶ ἀπὸ τούτου δεξιὸν, τὸ ἐπιτήδειον καὶ τὸ συμφέρον. καὶ δεξαμενὴ, ἡ λεκάνη. Δεννάζων, λοιδορῶν. Δεννασθεὶς, καταγέλαστος, λοιδορούμενον μετὰ καταγέλωτος. Δέννος μέγιστος, ἤγουν ὕβρις. ἐξ οὗ τὸ δεννάζειν, παρὰ Σοφοκλεῖ. Δέννοις κολασθεὶς παρὰ Ἀνακρέοντι, ἤγουν λοιδορίαις καὶ ὕβρεσι. Δεννὸν, κακολόγον.

Δεντὴ, δέλεαρ. Δεξαμεναὶ, ὑδάτων δοχεῖα. ἢ ἐν τῷ σώματι φλέβες. Δημόκριτος, καὶ ἐπισκίαι. Δεξαμενὴν φασὶ Πλάτωνα ἐπὶ τῆς κολυμβήθρας εἰρηκέναι. ἐγὼ δὲ οὔ φημι, ἀλλὰ δεξαμένη παρὰ τούτῳ εἶπεν, ὡς ἐσχηματισμένη. χρὴ οὖν ἢ ἡμᾶς κολυμβήθραν λέγειν, φρύνιχος. Δεξάμενος, ἀντὶ τοῦ λαβὼν, Ἡρόδοτος.

Δέξασθαι, οὐ μόνον τὸ λαβεῖν παρ' Ὁμήρῳ. οἷον κάπρος καὶ δεινὰ στιχαλόωντα δέξαι. ἀλλὰ καὶ τὸ ἀπαντῆσαι, καὶ ἐκδέξασθαι. οἷον ἐπεὶ σὺ τόν γε δέδεξο, μηδὲ σύ μοι ἵππους. καὶ τὸν δ' ἐγὼ ἐπιόντα δεδέξομαι ὀξεῖ δουρί. ἐνίας στιχαλόωντα, τὰ τεχνικῶς ἢ εἰς κάλλος εἰργασμένα. ἐφ' οἷς οὐκ ἔχει ἄλλος εἰπεῖν, ἀλλ' ἐκδέξεται ἄφνως, ἐν τῇ ἀφροντιζόμενος τὰ τοῦ θαύματος. οἱ δὲ στιχαλόωντά φασι κατ' ἔλλειψιν τοῦ ὁ, τὰ κατεσπαρμένα ποικίλμασιν. ἢ τὰ σώματα, κατὰ τοὺς λεγομένους μαθητάς. καὶ διὰ τοῦτο στιλπνὰ καὶ μὴ θορυβοῦντα ψόφον ἔχει, κατὰ δὲ ἀλυκτοῦντες ἐμαυτούς. ὅθεν ἀσινῶς, καὶ ἀμυγδαλάς τις ὡς στιχαλόωντα, τὰ μὴ ψοφοῦντα ἐν τῷ κλᾶσθαι, ἀλλὰ σιδηρῷ δακτύλων ἐνδιδόντα εἰς θραῦσιν. Δεξιάδης, ὁ δεξιὸν τοὺς ὅρους λέγει πατρωνυμικῶς, ὁ ἐπίρρημά ἐστι τὸ δεξιόθεν, ἀντὶ τοῦ κατὰ δεξιὰ, ὁ δεξιός. Δεξιὰ, τὰ σύμφωνα ἔλεγον οἱ παλαιοί. ἀριστερὰ δὲ, τὰ μωρά. Δεξιὰ κυρίως, ἡ ἄνωθεν ῥοπή. ἢ ἀγαθὴ ἐνέργεια, παρὰ τῇ θείᾳ γραφῇ. Δεξιὰ, ἡ χείρ, καὶ ποιητικῶς δεξιτερή. ἀπὸ τοῦ δέχεσθαι δι' αὐτῆς τὰ διδόμενα. ἡ δεξιὰ τῆς σῆς ἀπὸ τοῦ τὰς πλείστας δι' αὐτῆς ἐκφέρειν πράξεις. ἢ ἀπὸ τοῦ δεκτικὸς δεξιὰ, ὡς ἀπόρευτος ἀπορεξία. Δεξιὰς, συνθήκας. Ὁ δὲ πέμπει χιλίαρχον, δεξιὰς παρ' ἐκείνου δοῦναι κελεύσας. Δεξιαῖς πεποιθέναι λέγει Ὅμηρος, ἐπειδὴ ἐν τοῖς ὅρκοις οὐδὲν ἔλαττον πρὸς τὴν πίστιν ὡς ἔστιν, καὶ τὸ τῶν δεξιῶν χειρῶν ἁπτεσθαι. ἣν γὰρ ὁ δεξιούμενος αὐτὸν, καὶ τὸ δεξιοῦσθαι, σημεῖον φιλοφροσύνης, καὶ εἰς ἓν ἀνακαλεῖν. καὶ οἷον ἑνώσεως. προσετέτακτο δὲ τῆς πίστεως ἐνεκεν, τὸ δέχω, ἐξ οὗ καὶ τὸ δέχεσθαι, καὶ τὸ δέχεσθαι, καὶ τὸ δεδέχαται. ἔστι δὲ τὸ τῆς δεξιότητος. δέχω γὰρ, οὗ μέλλων δέξω, ἐξ οὗ δεξιὰ, ὡς δέξα, καὶ πλεονασμῷ τοῦ ι δεξιά. ὡς ἀλγεινὰ, καὶ πορνικὰ. καὶ ἀπ' αὐτοῦ ῥῆμα δεξιῶ. Δεξιμήλοις, ἐπικόοις, καὶ ἐλθοῦσι θεοῖς. ἀπὸ τοῦ δέχεσθαι τὰ ἀναθήματα μῆλα. καὶ δεξίμηλοι, ἐχάρη. Δεξιόλαβοι, δορυφόροι. Δεξιοὶ ὄρνιθες εἰσὶν οἱ ἐσθλοὶ, τουτέστιν οἱ ἀγαθοὶ. καὶ δεξιοὶ οἱ εὐτυχεῖς. Δεξιὸν ἦξαν, ἀντὶ τοῦ ἀνετράπησαν. ὡς αἰσίοις, ἐν βʹ Ὀλυντιακῶν. Δεξιὸν, δῆλον ὅτι πανταχοῦ χρηστὸν ἐστι, καὶ αἴσιον. διὸ καὶ χειρὶ δεξιτερῇ, τὸ δέπας ἐδέξατο ἰδὲ. καὶ οἰωνὸν δεξιὸν λέγει Ὅμηρος. Δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδονιπτῆρα, Ἀριστοφάνης. Δεξιτερὸν, δεξιόν.

Δεξιοστάται ἐστὶ, ὁ κατὰ τὸ δεξιὸν μέρος. τίθεται δὲ καὶ ἐπὶ χορῶν. Δεξιόλαβος, παραφύλαξ. Δεξιὸς, εὔστοχος, ἀγαθὸς, ἐπιτήδειος, εὐχαρίστατος, ἢ ὁ εὐχερής. Δεξιοῦμαι, ὑποδέχομαι, φιλοφρονοῦμαι, ἀμείβομαι, ξενίζω. καὶ δεξιοῦμαι ἐν τῷ πέρα. Δεξιοῦται, προσάγεται, ξενοδοχεῖται, φιλοφρονεῖται. καὶ τὰς χεῖρας ἀναβάλλει. Ἀριστοφάνης, καὶ δεξιοῦσθαι ὑπὸ τῆς ἀλουσίας. Δεξιοῦται, προσάγεται, φιλοφρονεῖ. Δεξιοὺς ἔλεγον οἱ παλαιοὶ, ἢ τοὺς ἐργαζομένους, καὶ ἐπαινεῖν ἄξιος. ὥσπερ δὲ δειλοὺς, διαδιδράσκοντας σκαιώτας, φιλοδίκους, καὶ συκοφάντας. Δεξίππος, Κῷος ἰατρὸς, Ἱπποκράτους μαθητής. Δεξὶς, ἡ ἐν τῷ ἥπατι μερῶν ἡ παρὰ τοῖς θύταις καλουμένη δοχή. Δεξιτερὸς. πᾶν ὄνομα συγκριτικὸν εἰς τος λῆγον, βαρύνεται. ζητητέον δὲ περὶ τοῦ δεξιτερὸν κατὰ μακρόν. εἰ γάρ ἐστι δεξιὸς, ὤφειλεν εἶναι δεξιώτερος, ὡς λογιώτερος. ἔστιν οὖν πάθος ὁ χαρακτὴρ, παρὰ τὸ δεξιὸς, γίνεται δεξιτερός. ὡς ἄριστος ἀριστερὸς, φθόνος φθονερὸς, μέγος μογερός. καὶ πλεονασμῷ τοῦ τ, δεξιτερός. Δεξιώσασθαι, ἐγγίσασθαι γυναικί. Δεξιῶς, εὐπαιδεύτως. Δεξίωσις κυρίως, ὅταν ὑποδέχεταί ἑαυτὸν ἢ δεξιὰν αὐτοῦ χεῖρα προτείνων. ἢ ἀπὸ τούτου ἀπλῶς, ἐπὶ τῆς χάριν ποιοῦντων πρός ἑαυτοὺς.

Δέξο, ἀντὶ τοῦ δέδεξο, παρὰ τῷ ποιητῇ προσκαρτέρει τοῦ δέξαι, ὅς συνηθέστερον. Δεξὼ, ὁ Κρατῖνος ὑπομνησθεὶς ἐν, ἀπὸ τοῦ δέχεσθαι δῶρα. Δέοιτο χρῄζοι. Δέομαι, τὸ χρῄζω, καὶ ἱκετεύω, γενικῇ συντάσσεται. Ἀριστοφάνης, ἔπειτα τοῦ δεῖν, ἤγουν τίνος χρῄζεις. δέομαι ὑμῶν, τοῦ πάνυ σμικρόν, ἤγουν παρακαλῶ, καὶ ἱκετεύω. δέομαι τοῦτο δεινοῦ, ἤγουν χρείαν ἔχω. δέομαι ὁ παρακαλῶ. καὶ δέομαι, δεῦμαι. ἀντὶ τοῦ δεσμοῦμαι. καὶ δεῖσθαι ἀντὶ τοῦ λείπομαι. οἷον πολλοῦ δέω ταῦτα ποιεῖν τόδε. Δέω, ἐπὶ μὲν τῷ ἐνεστῶτι προσχῶ, σημαίνει τὸ ἐλλείπομαι, καὶ τὸ δεσμῶ. ἐπὶ δὲ δευτέρου, τὸ δεσμεῖς ἐπὶ δὲ τοῦ ῥήτη, τὸ ἐλλείπει, καὶ τὸ δεσμεῖ, καὶ τὸ πρέπει, καὶ τὸ χρεία ἐστί. ἀλλὰ τὸ μὲν δεῖ ἀντὶ τοῦ πρέπει, μετὰ αἰτιατικῆς. τὸ δὲ δεῖ ἀντὶ τοῦ λείπεται, μετὰ γενικῆς. οἷον, πολλοῦ γε καὶ δεῖ. δέομαι δὲ παθητικῶς, τὸ χρῄζω, καὶ ἱκετεύω. καὶ κανονίζεται οὕτω, δέω δῶ, τὸ δεσμῶ ἐνεργῶς. ἐδέον παρατατικός, δήσω μέλλων, ἔδησα ἀόριστος. δέομαι δοῦμαι, παθητικὸς ἐνεστώς. ἐδεόμην ἐδούμην παρατατικὸς, δεθήσομαι μέλλων, ἐδέθην ἀόριστος, δέδεμαι παρακείμενος. τὸ δὲ δέομαι τὸ παρακαλῶ οὕτω, δέομαι ἐνεστὼς, ἐδεόμην, δεήσομαι, δεδέημαι, καὶ ἐδεήθην.

Δέομαι, ἀξιῶ, ἱκετεύω, λίσσομαι, ἀντιβολῶ, ποτνιῶμαι, προβολέω, προτίθεμαι, παρακαλῶ, ἀντιβολῶ, λιπαρῶ, προσλιπαρῶ, λιτανεύω.

Δεσμὸς, νόμος, δεσμός. Δέον καὶ δοκοῦν ἢ πάντα τὰ μετοχικὰ οὐδέτερα, δύναται ἐν τῇ συντάξει λαμβάνεσθαι, ἀντὶ γενικῆς ὡς τὸ, ὃν δέον γενέσθαι, ἀντὶ τοῦ δέοντος ὄντος. Δέοντες, δέοντος, δέον. οὕτω Καιλιάδα φασὶ λογιζόμενον, ὡς τὸ δέον προσγράφειν. ὃ σημαίνει, τὸ εἰς προθεσμίαν διδόμενον χρῆμα. ἤγουν πρέπον, καὶ ἀναγκαῖον. Δέον ὄν, καὶ ἐξὸν, καὶ παρὸν, καὶ δοκοῦν. καὶ ἕτερα ἄλλα οὐδέτερα μετοχικὰ, οὐδέποτε πλαγιάζονται κατὰ γενικὴν, κατὰ ὀπτικὸς. οἱ καὶ πλαγιασμοὶ ἡ σύνταξις ἀπαιτεῖ. οἷον οὐκ ἐροῦσι, δέοντος ὄντος γενέσθαι τόδε, ἐγένετο τὸ ἔργον. ἀλλὰ δέον ὄν, ἢ δέον χωρὶς τοῦ ὂν. ὡς καὶ Λιβάνιος, καὶ δέον τὰς εὐθυπρεπεῖς γελάσαι προαιρεῖσθαι, ἐμισθούμην. καὶ δέον πρὸς τῷ παρανεῖ γενέσθαι συμβαλεῖν τὸν πόλεμον, ἐκέλευε ὑμᾶς. ὡσαύτως

καὶ τὸ

φατόν. ὃν οἱ νυκτοφυλακοῦντες ἔχουσι. Νίκανδρος δέ φησιν ἐδαύετο τὰς λαμπάδας. παρὰ τὸ δαίω, ἤτις ἐστὶν αἴθω. ἀφ' οὗ καὶ δαλὸς γίνεται, ὧν καὶ τὸ εἰλατοφόρον, καὶ εἰλαπίναδον. Δέλεγχαι, βατίδες. Δέλετρον, γανὸς, ὃν οἱ παλαιγενεῖς φαίνουσι. Δελέφατ, ὁ τῆς ἀφροδίτης ἀστὴρ, ὑπὸ Χαλδαίων. Δελέτρον, τὸ δέλεαρ. καὶ δέλεαρ, δελέαρ. Δελία, δάφνη. Δελιθὸν, τὰ σφυρά. Δέλιχα, τὰ ἡμίχοιρα. Δέλκος, λίμνη ἰχθυοφόρος, περὶ τὴν Θράκην. Δέλλα, κλάξ. Δέλλιθες, σφῆκες, ἢ ζῶον ὅμοιον μελίσσῃ. Δελλίθια, δευτερινά. οἱ δὲ κερία. Δέλτα, λέγουσι διὰ τὸ κατὰ σχῆμα τοῦ δ γράμματος. καὶ τῶν λεγομένων δελτωτῶν, ἐστὶν ὅτι τὰ τοιαῦτα σχήματι, καὶ περισσόμενα τριγωνοειδῶς, ὅπερ ἐν πολλοῖς ὁρῶμεν εἰς ἔτι γινόμενον.

Δέλτος, πινακίδιον, χελώνιον, ἐπιδόριον. Δελτωτὸν, ἐπὶ τὸ ἔμβολον γράφεται. σημαίνει δὲ, τὸ γυναικεῖον αἰδοῖον. Δελφάκια, οἱ μικροὶ χοῖροι, οἱ γαλαθηνοί. οὕτως ἔλεγον καὶ τὸ γυναικεῖον αἰδοῖον. Δελφακοῦσθαι, τελειοῦσθαι τὰς ὗς. Δέλφαξ, ὁ γαλαθηνὸς χοῖρος. Ἐπίχαρμος, δέλφακά τε τὼν γείτονα τοῖς ἐλευσινίοις φύλαττ'. παρὰ τὴν δελφύν. κυρίως γὰρ ἐπὶ τοῦ θηλείου λέγεται δέλφαξ, ὁ δελφὺν ἔχων. τινὲς δὲ, τοὺς μεγάλους χοίρους δέλφακας λέγουσιν. οἱ δὲ καὶ τοὺς μικρούς. Δελφίνια, τὴν πρώτην ἀγωνίαν (?) ἐπεὶ πρῶτον ἐν Δελφοῖς γέγονεν. ἢ παρὰ τὸν Διόνυσον, οἷον ἀδελφικόν. καὶ δελφικὸν, καὶ δελφὶς, παρὰ τὸ δέλφω. Δελφικὴ μάχαιρα, ἀπὸ κατασκευῆς λαμβανομένη ἐμπροσθεν μέρος σιδηροῦν, ὡς Ἀριστοτέλης. Δελφικὸν φίλημα, τὴν τοῦ Ἀπόλλωνος τὴν ἐν Δελφοῖς. Δελφὶν, σιδηροῦν κατασκεύασμα, ἢ μολυβδινον. Δελφίνα νήχεσθαι διδάσκεις, ἐπὶ τῶν ἐν ἑαυτοῖς ἰδίᾳ παιδοτριβούντων. Δελφὶνος, παρὰ τὸ δελφὺς, ὃ σημαίνει τὴν μήτραν. ἐξ οὗ καὶ ἀδελφὸς, ὁ ἐκ τῆς αὐτῆς δελφύος, ἤγουν μήτρας. Δελφίνιον, ἱερὸν Ἀπόλλωνος Ἀθήνῃσιν οὕτω καλούμενον. ἔνθα ἦν τὸ ἐν Δελφινίῳ δικαστήριον, καὶ χωρίον ἐν Χίῳ. Δελφίνιος καὶ περὶ τοῦ θεὸς, ὁ Ἀπόλλων Δελφίνιος μὲν, ἢ ὅτι τὸν ἐν Πυθῶνι δελφῖνα δράκοντα τοξεύσας ἀνεῖλε (?) ... ὥς φησιν Ἡλιόδωρος. Ὅς ἔτι νηπίαχος ὑπὸ Δελφίδι δελφῖνα τόξοισι πελώριον ἐξενάριξεν. ἢ ὅτι ἐπὶ δελφῖνος ὀχούμενος, ἢ δελφῖνι ὁμοιωθείς. κεφάλαιος, ὅτι διὰ χρησμῶν τὰ συμφέροντα ἐπιτελεῖ διάγουσι. καὶ Δελφίνιος, εἶδος βοτάνης. Ἄλλως. Δελφίνιος ὁ Ἀπόλλων, ὅτι Κασταλίῳ τῷ Κρητὶ ἀποικίαν στελλομένῳ, ὁ Ἀπόλλων ὁμοιωθεὶς δελφῖνι, προηγήσατο τῆς νεὼς, ἕως τῆς Κρισαίας ἦλθε, καὶ ἐξ κατοικήσας, ἱεράτευσε τὸν τόπον. καὶ ἀπ' αὐτοῦ Δελφοὺς ἐκάλεσε τοὺς ἐκεῖ κατοικοῦντας, καὶ Δελφίνιος Ἀπόλλωνος ἱερὸν ἱδρύθη. τινὲς δέ φασιν, ὅτι ὁ Δελφὶς εἷς τῶν ταύρων ἦλθε, καὶ κατὰ τοῦτον τὸν τόπον ἀπόλεσεν εἰς τὴν θάλασσαν. καὶ δελφῖνες οἱ ἰχθύες, καὶ μέρος νεώς. διὰ τὸ δελφινοφόρος λέγουσι ναῦς, ὡς σχῆμα ἐχούσας δελφῖνος. Δελφινοείσημον. Στησίχορός φησιν ὁ Λυσίας, ἐπὶ τοῦ ἀσπίδος φέρειν δελφῖνος τύπον. καὶ εὐφορίων ὁμοίως. Δελφὶς, ὄργανον ναυτικόν. Ἀριστοφάνης, τοὺς δελφῖνας μετεωρίζου, τουτέστιν, εἰς ὕψος αἶρε. ἡ δελφὶς, ἐξάρτημα, τὰ τῆς νηὸς ἀγκυρώματα. ἢ σιδηροῦν κατασκεύασμα, ἢ μολίβδινον, εἰς δελφῖνα ἐσχηματισμένον. τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ αἱ ναυμαχοῦσαι ἀφίεσαν εἰς τὰς τῶν πολεμίων, καὶ κατέδυσαν. δηλοῦται δὲ ὑπὸ Φερεκράτους ἐν τοῖς ἀγροῖς, ὅταν λέγῃ. ὁ δὲ δὴ δελφὶς ἐστι μολιβδοῦς, δελφινοφόρος τε, εἴργει διακόψει τοὔδαφος αὐτῶν ἐμπίπτων καὶ καταδύων. καὶ Θουκυδίδης, δελφινοφόρους εἴρηκε τὰς ναῦς ἐξηρτῆσθαι, τὰς ἐξηρτημένας ἔχουσας δελφῖνας μολυβδοῦς. παρὰ δὲ τῷ Παυσανίᾳ, δελφὶς φέρεται ὄργανον πολεμιστήριον πρὸς ναυμαχίαν. ὅθεν καὶ δελφινοφόρος ναῦς παρὰ Θουκυδίδῃ. καὶ δελφῖνα δὲ ταύτην φασὶν, ὡς πρὸς τὰς ἐκεῖ ... τοὺς μὲν σιδηροῦς, τοὺς δὲ μολιβδοῦς, καθιέντας εἰς τὰ λαστικὰ

πλοῖα. μνείαν δὲ ποιεῖται δελφῖνος, ὑπὸ κωμικῶν, καὶ ἑτέροις. ἀλλαχοῦ δὲ περὶ αὐτοῦ γράφει ὀρθῶς, ὅτι ὁ δελφὶς, ὁ καλούμενος κεραίτης, ἐστὶ μηχάνημα σιδηροῦν, ὃ ἐμβάλλεται τῆς νεὼς, ὅταν ᾖ ἀνημμένος πρὸς τὸ ἀντέχειν. ἄλλοι δέ φασιν, ὄργανον μολυβδοῦν πρὸς ναυμαχίαν, τῷ δελφῖνι δὲ παρόμοιον. καὶ Δελφίνιον δικαστήριον Ἀθήνησιν, ἐπὶ τῶν ὁμολογούντων φασὶ δεδρακέναι μὲν φόνον, κατὰ νόμους δέ, ὃ καὶ ἐπὶ Δελφινίῳ ἐκαλεῖτο, ὁμωνύμως τῷ ἐπὶ Δελφινίῳ δικάζεσθαι. Δελφίσι βάκχαις, ταῖς τὴν Δελφικὴν χώραν κατοικούσαις. κλάζ᾽ ὡς ἰθμάτ᾽ ὁ Διόνυσος. Δελφύνην παρὰ τῷ Ἀπολλωνίῳ τὸ ὄνομα τοῦ δράκοντος. οἱ μὲν ἀρσενικῶς, οἱ δὲ θηλυκῶς εἶπον, ὃ καὶ βέλτιον. ἄλλως οἱ μὲν, ὁ Δελφύνης καλοῦσιν ἀρσενικῶς, οἱ δὲ, ἡ Δελφύνη θηλυκῶς. ὅτι δὲ Δελφύνης ἐκαλεῖτο ὁ φυλάσσων τὸ ἐν Δελφοῖς χρηστήριον, Λέανδρος καὶ Καλλίμαχος εἶπον. δράκαιναν δὲ αὐτὴν φασὶν εἶναι, θηλυκῶς καλουμένην Δελφύνην, αὐτὸς ὁ Καλλίμαχος. Δελφὺς, ἡ μήτρα, ἢ γαστὴρ, ἢ ἀδελφὰ ποιοῦσα τὰ ἐκτόμενα. ὅθεν εἴρηται ὁμόδελφος, ὁ ἀδελφός. Δέμας. ἰστέον ὅτι σεσημείωται παρὰ τοῖς παλαιοῖς τὸ δέμας, ἣν μὲν ποιητῶν ἐπὶ ἐμψύχου ἀεὶ τίθεσθαι σώματος, ὡς συνδεδεμένου τῇ ψυχῇ, καὶ δι' αὐτῆς συνεστῶτος. τὸ δὲ σῶμα, ἐπὶ ἀψύχου, τουτέστιν, ἐστερημένου τῆς ψυχῆς, διὰ τὸ σῆμα, ὡς ἄξιον εἶναι μνῆμα γενέσθαι τοῖς ζῶντας ὄντι. τοὺς δὲ μετὰ τὴν ποίησιν, ἐν οἷς καὶ ὁ Εὐριπίδης, ἀδιαφόρως χρῆσθαι τῇ λέξει φασί. δεῖ δὲ εἰδέναι καὶ ὅτι αὐτὸς ὁ ποιητὴς, τὸ δέμας ἐπὶ ἀψύχου τέθεικε. καὶ δέμας, χωρίον. καὶ δέμας πυρὸς αἰθομένοιο, ἀντὶ τοῦ τρόπον πυρὸς αἰθομένου. Δεμβλέσ, βλέπεσθαι. Δεμεῖ, οἰκοδομεῖ. Δέμα, ὀβολός. Δεμενοὶ, χώρα τῆς Σικελίας, ὅτι ἐν αὐτῷ ἐδείχθη ὁ τυφῶν, ὑπὸ τῆς αἰτίας. Δέμνια, τὰ ἐγκοῖλα στρώματα, ἀπὸ τοῦ τὸ σῶμα ἐν αὐτῷ μένειν. ἢ παρὰ τὸ δέω ῥῆμα, ὡς παίζω, παίγνιον. οὕτω δέμω, δέμνιον, τὸ εἰς σώματος ἀνάπαυσιν οἰκοδομηθὲν, ἢ συνδεθέν. Δέμνιον, ἡ κοίτη. Δεμνιοτήρην, ἐγκοίτην, τὰ δέμνια τηροῦντα. Δεμνιοτήρη πότμον, λέχος ἀγαμίμνοι, καθάπερ οἱ παλαιοὶ ἔτι γεοῦσί εἰσιν, ὡς τὰ δέμνια τηρεῖν καὶ κατέχειν μηδέπω κινεῖσθαι δυνάμενοι. πόνον δὲ, τὰ περὶ τὴν τροφὴν αὐτῶν. Δέμω, τὸ οἰκοδομῶ. μέλλων δεμῶ, παρακείμενος δέδμηκα. Δεμῶν, μέσος. Δενάζειν, λοιδορεῖν, βλασφημεῖν. Δενδαλίδες, ἱεραὶ κριθαί. Δενδαλίδας, οἱ μὲν πόπανά τι, ἄλλοι τὰς λευκὰς πέμμας, οἱ δὲ, τὰς ἐπτισμένας κριθὰς, πρὸ τοῦ φρυγῆναι. οἱ δὲ τὰς ἐκ κριθῶν μάζας γινομένας. Δενδίλλει, σκαρδαμύττει, διανεύει, σημαίνει, καὶ ἀτιμάζει, σκώπτει. Δενδίλλων ὄξεα, παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ στρέψας ἑαυτὸν, καὶ ἀνακαλύψας ὀξέως παραπίπτεις ὄμμασι, καὶ εἰς αὐτὸν τοὺς ὀφθαλμοὺς ἐπιπέμπων. Ὅμηρος δὲ, ἐπὶ τοῦ τρέφειν τίθεται τὴν λέξιν. τὸ ἐν ἐπιστροφῇ τοῦ προσώπου παρακλίνοντα, τοὺς ὀφθαλμοὺς ἐπινεύειν, καθάπερ Ἀπολλόδωρος. ὁ δὲ φευκτὸς (?) ἐπὶ τοῦ βλέπειν τίθεται τὴν λέξιν. Δένδρεον καὶ δένδρον, χρῆται παρὰ τῷ Αἰλίῳ Διονυσίῳ. ἐξ οὗ καὶ τὸ δενδρίζειν, τὸ φυσικὸν (?). τὸ δένδρον τοῦ δένδρου, καὶ δένδρος τοῦ δένδρεος. ὡς τὸ ἀνδρόγυνον, καὶ τὸ ἀνδρόγυνος, καὶ τὸ κτέατον, καὶ τὸ κτέατος. ταῦτα τὰ ὀνόματα καὶ ἄλλα πλεῖστα διπλῆν ἔχουσι κλίσιν, ὡς παρ' Ὁμήρῳ καὶ ἄλλοις ἔστιν εὑρεῖν. Δένδρεσιν, ὡς Θουκυδίδης, καὶ ἔτερος, οὐ δένδρεσι. Δενδρεσιφειζόμενοι, τὸ δένδρεσι, πλεονασμὸν ἔχει τοῦ ι, ἢ πάθος πάσχει συνιζήσεως. ὡς τὸ χρυσέᾳ ἀνὰ σκήπτρῳ, καὶ ὁ οὕτω καὶ αὐτὸ, διὰ πλείω χασμωδίαν καὶ συμπεσόντα φωνῇ. ἐνεχώρει γὰρ ἄλλως εἰπεῖν δένδρῳ ἐφεζόμενοι. ὥσπερ καὶ τὸ πηληϊάδεω ἀχιλλῆος, ἐν μὲν καὶ πηληϊάδου εἰπεῖν ἀχιλλέως. τὸ δενδρεσιφειζόμενοι πρεσκέφαλός ἐστι, καθὰ καὶ τὸ χρυσέῳ ἀνὰ σκήπτρῳ. ἰστέον δὲ, ἐν τῷ Αἰλίου Διονυσίου λεξικῷ φέρεται, ὅτι λέγεται οὐ μόνον δένδρον, ἀλλὰ καὶ δένδρεον, καὶ δένδρος. φησὶ τοίνυν ὅτι δένδρον μᾶλλον ἢ δένδρος, καὶ δένδρα μᾶλλον ἢ δέν-

τοῦ διχῶ διψήσω, δίψημι, ὡς φιλῶ φίλημι, καὶ αἰτῶ αἴτημι, καὶ αἰνῶ αἴνημι. ἐκ τοῦ δείπνημι, δειπνήσομεν, καὶ δειπνήσαι, ὡς ἀρίσαμεν, καὶ ἀρισάμην παρ' Ἀθηναίοις. Δειπνήτειρα, δειπνοφόρα, οἱ δεδομένα φέρειν ἡμᾶς. Δειπνίζω ἐσθίειν. Λιβάνιος, ὅταν ἐπιδῶσι μὲν οἱ δειπνίζοντες, ἤτοι οἱ τὰ δεῖπνον παρέχοντες.

Δειπνολογία, οἱ περὶ δείπνου λόγοι. Δειπνολόχε, κλεψιτρόφε, τοῦ λαθραίως ἐσθιούσης, ἢ μὴ φανερῶς. Ἡσίοδος, Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον τῆς ἀγαθῆς. τῆς δ' αὖτε κακῆς, οὐ ῥίγιον ἄλλο δειπνολόχης. Δεῖπνον, τὸ ἑσπερινὸν ἄριστον, ὅν φασιν οἱ παλαιοί, ὃ κατὰ ἀνάγκην πρὸ τοῦ δέοντος καιροῦ, ὡς ἂν ἐν τῷ πονεῖν χαρίζοιτο τῇ φορᾷ. ὅθεν καὶ δεῖπνον, τὸ τοσοῦτον πρωινὸν ἐμβρωμα λέγεται. ἐπί τε ἀνθρώπων ὡς τὸ ἔρχεσθαι ἐπὶ δεῖπνον, καὶ ἐπὶ ἀλόγων, ὡς τό, οὐ δίδως ἵπποισι δεῖπνον δόντα, παρὰ τὸ δεῖ πονεῖν. δῆλον δέ, ὅτι δεῖπνον καὶ τὸ πρὸς ἑσπέραν ἔλεγον. καὶ ἁπλῶς δὲ πᾶσα τροφή. ἢ δεῖπνον, τὸ ἑσπερινόν. ἐπεὶ τότε δεῖ ἡσυχίαν πονεῖν, ἐργαστικοί. καὶ δεῖπνον ἐφθύνατο, ἀντὶ τοῦ διὰ δεῖπνον σφάζοντες, ἐν ὁ δευτέρῳ. οὐ γὰρ ἄλλως ἐνταῦθα ἱδρύονται κατὰ θυσίαν ὁ στρατός. ἢ δεῖπνον, ὡς ἐκ μέρους τοῦ πρωινοῦ ἐμβρώματος, καὶ τὴν δόρπην φησὶν Ὅμηρος.

Δεῖπνον τὸ ἄριστον, ταυτὴν ἐσίστη συνωνυμίαν λόγῳ γινόμενα, ὃ μὲν παρὰ τὸ δεῖ πονεῖν, τὸ δὲ παρὰ τὸ ἀρίστῳ τίμιον αὐτὰ συνίστασθαι. ὥσπερ αὖ πάλιν, ἑσπέρας δόρπον καλεῖται. τουτέστι, πόλεμος, κατὰ τὸ ἀγαθὸν καὶ συχνὶ πίπτειν. σημειοῦνται δὲ οἱ παλαιοί, ὅτι ἅπαξ ἡ τοῦ ἀρίστου λέξις, ἐν ὀδυσσείᾳ, καὶ ἅπαξ ἐν ἰλιάδι εὕρηται. Δειπνοσοφισταί, βιβλίον ἐστὶν οὕτως ἐπιγραφόμενον. Ἀθήναιος δὲ ὁ γεγραφὼς ὄνομα, ὁ ἐστὶν ἐπιφιλεῖ. Οὐλπιανός, εἷς τῶν δειπνοσοφιστῶν. Δειπνοφόροι, αἱ φέρουσαι τοῖς κατακεκλεισμένοις ἐν τῷ τῆς Ἀθηνᾶς ἱερῷ τὰ δεῖπνα. Δειρά, δίμοιρα, τράχηλος, διπέρισοι. Δειράζειν, κλέπτειν. Δειράδες, αἱ ἐξοχαὶ τῶν ὀρῶν, ἢ τῶν αὐχένων, ἢ τῶν φαράγγων. Δειραδιώτης, δῆμος τῆς λεοντίδος. Δειράδες. ἀφ' οὗ ὁ δημότης, δειραδιώτης.

Δείραντες, ἐκδείραντες. Δειραχθείς, τὸν τὴν δειρὴν ἀγχόμενον καὶ λυπῶν. ὡς τό, δειραχθεὶς εὔβροχον ἅμμα, πνιγείς. ἅμμα δέ, τὸ χοινίον λέγει. Δειρή, ὁ τράχηλος, παρὰ τὸ ἐκδέρεσθαι. καταχρηστικῶς δέ, καὶ ἐπὶ ἀνθρώπων. Δειριᾶν, λοιδορεῖσθαι, λυπεῖσθαι. Δειρὸς λόφος, ὁ ἔχων τὰς τόχους. Δειροτομήσω, τὸν τράχηλον διατεμεῖν, διατεμῶ. Δεῖσα, ὁ ὑγρὸς καὶ βορβορώδης τόπος, παρὰ τὸ δεύειν μάλιστα. ὃ σημαίνει τὸ βρέχω, δεύω καὶ δεύσω. Δεισαλέα, δίεγρος, βορβορώδης. ἢ κοπρώδης. δεῖσα γὰρ ἡ κόπρος. Δείσαντες, φοβηθέντες. Δείσας, φοβηθείς. δείσας δὲ διὰ τοῦ ει, ἀντὶ τοῦ δεδοικώς. Δεισιδαίμων, τὸν μοῖραν. οἱ δὲ διμοιρίαν. Δεισιδαιμονία ἐστὶ, φόβος θεοῦ, ἢ δαιμόνων. ἢ δεισιδαιμονία ἐστί, τὸ πάντα σέβειν, καὶ τὰ μὴ σεβάσμια. ἢ δεισιδαιμονία, εὐλάβεια, περὶ τὸ θεῖον δειλία, ἢ ὁ ἄλογος φόβος τῶν θεῶν. Δεισιδαίμων, ὁ εὐσεβής. ὡς ὁ θεῖος Παῦλος, δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. λέγεται καὶ ὁ ἀμφίβολος περὶ τὴν πίστιν, ἢ καὶ ὁ δεδιὼς τοὺς δαίμονας.

Δεισηλός, δειλός. Δεῖσθαι, πρίασθαι. Δεῖται, προσδέεται, ἢ χρῄζει, ἢ δεῖται. Δεισήσαντες, ψηλαφήσαντες.

Δεκάδων, ζητῶν δέκα τοῦ προσήκοντος. Δεκάζεις, ἀντὶ τοῦ φανερῶς. ἐκ τοῦ δείκω τὸ δεικνύω, ὁ μέλλων δείξω, ὁ παρακείμενος δέδειχα, ὁ παθητικὸς δέδειγμαι, ὁ ἀόριστος ἐδείχθην, ἡ μετοχὴ ὁ δειχθείς. Δέκα, καὶ δεκαδοῦχος. ἄρχον μὲν οἱ δέκα, οἱ μετὰ τοὺς τριάκοντα καταστάντες, περὶ τὴν κατάλυσιν τῶν δ' Ἀθήνησι καταστάντων ἀνδρῶν δέκα, καὶ τοῦ ἑξῆς. ἐκαλεῖτο μέν τι τούτων ἕκαστος τῶν ἀρχόντων, δεκαδοῦχος. ὡς δῆλον ποιεῖ Λυσίας, ἐν τῷ περὶ τοῦ δεσποίνης κλήρου. Δεκάβοιον, ἀριθμὸς ποσός, ἐφ' ᾧ τετύπωτο βοῦς. ἔνιοι δέ, δεκαλίτρων. βοῦν νόμισμα εἶναί φασι. Δεκάδες, αἱ δεκάδες δεκάκις ὡς δεκα-

τευμένου ὁ βασιλεὺς παρ' Ὁμήρῳ, ἐπεί φησιν, ἰσ... μὴ πλείονα τῶν δέκα συνεσθίειν. ἱστορεῖ γοῦν καὶ ὁ Ἐφέσιος ἐν ἰάμβοις, τὰ πυθαγορικὰ συσσίτια μὴ ἔχειν πλείους ἢ δέκα ἀνθρώπους συνακχομένους. Δεκάζομαι, οἱ δέκα ἐν τοῖς ἀνθρώποις ἐχόμενοι, ὑπὸ κριτῶν. Δεκαδύρῳ ἁμάξῃ, ὡς ἡ διάμετρος τῶν τροχῶν δεκάδωρος. δῶρον δέ, ὡς μὲν ἔστιν ἡ παλαιστή. ὡς δ' ἕτεροι, ὅταν δύο τέσσαρας δακτύλους συστρέψας, ἐγείρῃς τὸν ἀντίχειρα, ὡς Πλούταρχος. Δεκαετὴς παιδίον κάλλιον εἰκὼν, ἢ δεκαέτες. καὶ δεκαέτης πόλεμος, ἢ δεκαέτης. δεκαετὶς μέν τι δεκάσημα χρόνος, οἱ δεκαέτις. καὶ δεκαέτης χρόνος, οἱ δεκαέτεις.

Δεκάζειν, τὸ ἀντὶ τοῦ δέκα λαμβάνειν, ἢ τὸ διαφθείρειν. δεκάζω γάρ, τὸ παρὰ τὸ δίκαιον κρίνω, καὶ διαφθείρω τοὺς δικάζοντας ἐν χρήμασι, καὶ δώροις. Δεκάζεσθαι, δωροδοκεῖσθαι. καὶ δεκάζειν, διαφθείρειν. Δεκάζεται, ἀσπάζεται. Δεκάπαλαι, οὐ πρὸ πολλοῦ καιροῦ, λέγουσιν ἀττικοί. Δεκάπους σκιά. Ἀριστοφάνης. Σοὶ δὲ μελήσει, ὅταν ἡ δεκάπουν τὸ στοιχεῖον λιπαρῶς χωρεῖν εἰς δεῖπνον. περὶ ἡλίου τροπάς φασι, τουτέστιν ὅταν ἡ τοῦ ἡλίου σκιὰ ᾖ δέκα ποδῶν, ἤγουν ὅτε γίνεται ὄψιον. καὶ δεκάπους σκιά, τὸ παλαιὸν οἱ καλοῦντες ἐπὶ δεῖπνον ἐκαλοῦντο, καὶ καλούμενοι παρεσημαίνοντο τὴν σκιάν. καὶ οὕτως οἱ μὲν ᾔεσαν τοὺς κληθέντας. οὐ δὲ ἀπῄεσαν ἐπὶ τὰς ἑστίας. οὐδ' ἀπεταράσσοντο αὐτοὺς αἰτίας, ἐφ' οἷς οἷον τι ἦν τεκμήρασθαι, εἰς πόσον ὥραν προήκει. Δεκάσαι, τὸ διαφθεῖραι. Δεκασθείς, δωροδοκηθείς, ἐπιλησθείς, ἐνεργητικῶς. Δεκάσκαλμος, ναῦς. Δεκάς, ὁ ἀριθμός. παρὰ τὸ δέχομαι, δεχάς. Δεκασμός, δωροδοκία. Δεκάτη, τὰ ἀφ' ἧς, ἄφρισμα. καὶ ἡ τοῦ ἐκ τῶν ὀμμάτων τάξις. Δεκατευταί, τελῶναι, οἱ τὴν δεκάτην ἐκλέγοντες. ὡς τὸ δεκάζειν, δεκατεύειν. Δεκατεύειν, τὸ τὴν δεκάτην ἐκλέγειν. καὶ δεκατευτής, καὶ δεκατηλόγος, ὁ τελώνης, ὁ τὴν δεκάτην εἰσπραττόμενος.

Δεκατευτήριον, τὸ ἐν τῷ ἀβύδῳ ἐμπόριον. Δεκάτη προτέρα, ἡ πρὸ εἰκάδος ὡς ἑνδεκάτη, ἢ μετ' εἰκάδα. Δεκάτην θύομεν, τῇ δεκάτῃ ἡμέρᾳ τὰ ὀνόματα τοῖς βρέφεσιν ἐτίθεσαν. ὁ δὲ Ἀριστοτέλης, τῇ ἑβδόμῃ φησὶ καὶ δεκάτῃ, τὸ δέκατον μέρος τῆς οὐσίας. καὶ δεκάτη, οἷον, Τῇ δεκάτῃ δ' ἀγορᾷ καλέσαντο λαὸν Ἀχιλλεύς. ἐκ τοῦ δέκατος, δεκάτη. ὅθεν παρὰ τὸ δεκάς, τοῦτο παρὰ τὸ δέχομαι, δεχὰς καὶ δεκάς, ἡ ἔχουσα ἐν ἑαυτῇ πάντα ἀριθμόν. Δεκατηλόγος, ὁ αὐτὸς τῷ δεκατευτῇ. καὶ δεκατηλόγοι, τελῶναι. Δεκάτη βόλη, οὐδενὸς ἀξία. βάλλειν δὲ ὡς μικρότατα τίθεσθαι αὐτό. Δεκαφυῆ, τὰ δεκαπλάσια. Δεκαδάρχαι, οἱ τῶν δεκάδων ἡγεμόνες, οὓς καὶ δεκαδάρχας ἔλεγον. ἐσθ' γὰρ σὺν τῷ δεκάρχῳ δεκάδα. Δεκάχιλοι, δεκακισχίλιοι.

Δεκάχαλον, τὸ πρὸς ἀπολοχὴν ἐπιτήδειον. Δεκάχοα, δεκαπλάσια. Δεκάχορδον, παρὰ τὴν δέκα ἀριθμὸν καὶ τὸ χορδή. τοῦτο παρὰ τὸ χέω, σημαίνει τὸ κενῶ. χορδή, τὸ χέον ᾠδήν.

Δεκελεικὸς πόλεμος, ὁ πελοποννησιακός. ἐπὶ μέρους τοῦ τελευταίου. Δεκετής, δεκαέτης. Δέκω, ἀντὶ τοῦ δέχου, ἰωνικῶς, καὶ δωρικῶς. Δεκτέον, δεῖ δέχεσθαι. Δεκτὴ χλαῖνα, χλανίς.

Δεκτῆρες, ὑποδοχεῖς. Δέκτης, ὁ δεκτικός. θηλυκῶς γὰρ διὰ τοῦ ἰῶτα. Δέκτας, πτωχός, ἐπαίτης, ἀπὸ τοῦ δέχεσθαι.

Δέκτο, ἐκ τοῦ δέχω δέξω δέδεχα. ὁ παρακείμενος δεδέγμαι, ἔτι, ἐκ τοῦ ἀπαρεμφάτου δεδέχθαι, ὁ ὑπερσυντέλικος ἐδεδέγμην, τὸ τρίτον ἐδέδεκτο. καὶ δέκτο, ἀφαιρέσει. Δεκτὴν, τὴν πολεμίων, ὑπήκοον. Δεκτός, ἀριστός. Δεκῶν, ὁ δεκαζόμενος. Δελεάζοντες, ἐπιχειροῦντες. οἱ δὲ συνεβουλεύσαντο ἐρχόμενοι, δελεάζοντες τὴν πίστιν αὐτοῦ. Δελεάζω τὸ ἀγκιστρον, ἀντὶ τοῦ δέλεαρ αὐτῷ ἐπιτίθημι. καὶ δελεάζω τοὺς ἰχθῦς, ἀντὶ τοῦ ἀπατῶ. δελεασθείς, ἀπατηθείς, πλανηθείς. Δελεάσας, ἀντὶ τοῦ ἐξαπατήσας. καὶ δελεάσας, ἀντὶ τοῦ δελεασθείς. Δελίασσα, ... Δελφίνη, ὁ μελανός ἰχθύς. Δέλετρον καλεῖ, τὴν

ἄλλα τοιαῦτα, κατὰ διαφόρους συζυγίας γράφεται. ἔστι δὲ κατὰ τὰς εἰς μι συζυγίας ἐκφέρεται, ταῦτα καὶ παρ' ἀττικοῖς μᾶλλον χρησιμεύουσιν. οἷον, δείκνυμι κατ' ἀττικούς, δεικνύω δὲ κοινῶς. μίγνυμι, μιγνύω, ὁμοίως. καὶ τὸ σβέννυμι μᾶλλον, ἢ σβεννύω. δείκνυμι μὲν οὖν τὸ ῥῆμα. δείκνυμαι δὲ αὐτὸς, ἀντὶ τοῦ φανερὸς καθίσταμαι. ἐνδείκνυμαι δὲ, καὶ ἐπιδείκνυμαι, ταυτόν. ὅταν ἐπὶ τῇ ἑαυτοῦ ἀρετῇ λέγῃ, ὁ λέγων φιλοτιμούμενος δῆλος εἶ γινόμενος. ἔστι δὲ ὅτε καὶ τὸ δείκνυμαι λαμβάνεται, ἀντὶ τοῦ ἐπιδείκνυμαι, ἀττικῶς.

Δείκνυμι, καὶ μετὰ τῆς προθέσεως, ἐνδείκνυμι, ὅταν ἐν ἐμαυτῷ τὴν ἀρετὴν ἐργάζομαι, ἀντὶ τοῦ ἐμαυτὸν φανερὸν καθιστῶ. εἰσὶ δὲ ὅσα ῥήματα ἐνεργητικά, ἃ λαμβάνοντα προθέσεις καὶ μεταφέρονται εἰς παθητικά. ἔχοντα μὲν τὴν δύναμιν ἐνεργητικήν, ἐκπεπτωκότα δὲ εἰς τὸ ἐνεργοῦν πρόσωπον, κατὰ τὴν τῆς προθέσεως δύναμιν. Δείκνυσθαι, ἀντὶ τοῦ δεξιοῦσθαι. ἀπὸ τοῦ δείκω δείξω, ὅθεν καὶ ὁ δεξιά. φασὶ δὲ, τὸ καὶ δεικνύμενος, προσέφη Μενέλαος. Δεικνύω δείκνυμι, φαίνω, ἑρμηνεύω, φράζω, δηλῶ, σημαίνω.

Δεικτάνον, τὸ τῆς Σάμου. ὅτι ἐν αὐτῷ ἡ Ἀθηνᾶ διέγραψε τὴν κεφαλὴν τῆς γοργόνος, δεικνύουσα τῷ Περσεῖ, ὅτι αὐτὴν ἀπέτεμεν ἐπὶ τῆς γοργόνης. Δείκω, τὸ δεικνύω, ὁ μέλλων τοῦ ε γίνεται δείξω. καὶ κατὰ παραγωγὴν, δεικνύω ἔχομεν. ἀφ' οὗ καθ' ἑτέραν αὖθις παραγωγὴν εἰς μι, δείκνυμι, ἔχομεν. ἔστι δὲ δείκω, τὸ βάλλω. καὶ δέκω, τὸ δακνύω. Δείλαιοι, μάταιοι, ἄθλιοι. Δειλαίνω, δειλιῶ. Δείλαιος, ὁ ἄθλιος, μάταιος, αἰσχρός, δειλός, ἀτάλας. Δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι, ἀντὶ τοῦ τῶν κακῶν καὶ ἐγγύαι κακαί, ὥς τι ἐγγυᾶσθαι. ὡς οὐ δέον ἂν οὐδὲ τὸν ἐγγύαν δοῦναι, ὑπὲρ τοῦ φαυλοτάτου ἀνδρός. Δειλακρίων, ὁ ἄκρως δειλός, ὁ ἄθλιος, ὁ ἐλεεινός. ὁ ταλαίπωρος. ἢ ὁ ἐπίκωμος. καὶ ὁ ἑρμῆς οὕτως ἐλέγετο. ἢ δειλακρίων, ἀπὸ τοῦ κριῶν συνῆψε τὸ ὄνομα. ἄκρως δειλοί, ἢ οἱ πίθηκοι. Δειλανθείς, κλαφθείς, ἀπατηθείς. Δειλάσαι, δειλιᾶσαι. Δείλη κατὰ τοὺς παλαιούς, διττή ἐστιν. ἡ μὲν, ὀψία δείλη, ἑτέρα δὲ δείλη πρωΐα. Δείλης ἰούσας, καὶ δείλης μεσημβρίας, καὶ δείλης ὀψίας, ἀττικοί. τὸ δὲ ἀντὶ τοῦ δείλης ὀψίας, δείλης μόνον λέγειν ἁπλῶς, ἑλληνικόν.

Δειλήμονες, εἰδήμονες, εὐλαβεῖς. ἢ δειλοί, καὶ ἄτολμοι. Δειλία ἐστὶν, ἐκλυτικὴ ὁρμῆς, πρώτη τοῦ εἶναι αἰτία. ἢ συστολὴ τόλμης, καὶ προδοσία τοῦ πράγματος, οὐκ ἀγαπωμένη. ἢ σκιαδίου ἦθος, καὶ ἰατρικὴ πίστις. Δείλιον, δειλότατα. Δειλινός, δειλινὸν καὶ δείλης τῶν τικτόντων. Δειλιῶ, ὁμοίως καὶ δειλαίνω καὶ δειματῶ. καὶ ἐκδειματῶ, τὸ ἐκφοβῶ. Δειλοκακήσαι, ἐξαπατήσαι, ἐκφοβῆσαι. Δειλός, ὁ δεδιὼς τὰς ὕλας, ὁ καὶ φύξηλος. ἀφ' οὗ καὶ ὁ δειλία. καὶ τὸ δειλιᾶσθαι παρὰ τοῖς μεθ' Ὅμηρον μάλιστα ἐπλεόνασεν. παρὰ τὸ δέος, δειλός. ὥσπερ δὲ ἀπὸ τοῦ βάω μέλλοντος γίνεται βαλός, οὕτως ἀπὸ τοῦ δείσω γίνεται δειλός. ἀφ' οὗ σύνθετα πρὸς τοῖς ἄλλοις, καὶ ὁ ἐρωδιός, καὶ ὁ χερσαῖος κροκόδειλος, ὃς κρόκον δεδιώς. διὸ αὐτοῦ ἀποδύεται τὸ σίμβλον, ὥς φασιν οἱ εἰδότες. ἔστι δὲ καὶ ὁ ἐνυδρος κροκόδειλος, ὁ τὰς κρόκας δειλιῶν, ὁ ἐπὶ τὰς αἰγιαλίτιδας ἄμμους, αἳ λέγονται καὶ κροκάλαι. χαίρει δὲ τῷ καθύγρῳ διαίτῃ μάλιστα. εἴτε καὶ κροκόδειλος προπαροξυτόνως, ἢ προπερισπωμένως, μικρὸν αὐτοῦ ζώδιον παρ' ἐπιπόλαιον. τινὲς τὴν ἐτυμολογίαν ἔχειν, εἰ δεῖ μὲν οἱ παλαιοί. ἢ δειλός, ὁ ἐναντίος τῷ ἀνδρείῳ, τεχνικῶς. ὁ μὲν ἀνδρεῖος λέγεται ἐσθλός. ὁ δὲ δειλὸς κακός. δειλός ἐστιν ἐν τοῖς πρακτέοις καὶ πράττειν. Δειλῶν ἑταίρων παρ' Ὁμήρῳ, ἀντὶ τοῦ δειλαίων. Δεῖμα ἐστι, φόβος ἐκ λόγου, φόβηθρον. Δείμαι, οἰκοδομῆσαι. Δειμαίνω, φοβοῦμαι. Δειμαλέος, κατάφοβος. ὥσπερ ἀπὸ τοῦ τάρβος γίνεται ταρβαλέος, οὕτω καὶ ἀπὸ τοῦ δεῖμος, δειμαλέος. δεῖ δὲ γινώσκειν, ὅτι τὰ διὰ τοῦ αλεος, ὑπὲρ δύο συλλαβάς, πρὸ μιᾶς τὸν τόνον ἔχουσιν. οἷον ἀργαλέος, ῥωγαλέος. σεσημείωται τὸ δαιδάλεος, ἀπὸ τοῦ δαιδάλεος, κατὰ ἀποβολὴν τοῦ ε. καὶ κρυστάλλος, ἀπὸ τοῦ κρυστάλεος. αἰθάλεος, τοῦτο διαφέρει. πρὸ μιᾶς γὰρ ἔχει τὸν τόνον, καὶ πρὸ δύο. πρὸ μιᾶς γὰρ ὑπάρχει ἀπὸ τοῦ αἴθω, ὡς νέφω, νεφέλεος. ὁπόταν δὲ πρὸ δύο ἔχει τὸν τόνον, ἀπὸ τοῦ αἴθαλος γίνεται, κατὰ ἀποβολὴν τοῦ ι. ὥσπερ Ἀπόλλωνος, αἰθαλίοι πρεσβύτου. ἀτασθάλιος, ἀπὸ τοῦ ἀτάσθαλος, κατὰ τροπὴν τοῦ ε εἰς ι. ἢ ἀπὸ τοῦ ἀτασθάλεος, κατὰ ἀποβολὴν τοῦ ι. Δειμαλέος, εὐλαβής. ἢ ὁ δειλίων, καὶ φόβου ἐμποιητικός. Δειμαλέα, τὰ λεπτὰ τῶν βοσκημάτων. οἱ δὲ λάχανα, μικρά. Δειμάμενοι, οἰκοδομήσαντες. ἢ δείμασθαι, οἰκοδομῆσαι. Δείμασι, φόβοις. Δειματοῦται, φοβεῖται λίγα, ἢ ἀκούει, ἢ φοβεῖται. Δειματῶ, ἐκφοβῶ. ἀπὸ τοῦ δεῖμα δείματος. καὶ δειματώδης, ὁ φοβερός. Δεῖμος, ὁ φόβος. ὡς ἀπὸ τοῦ ἄνθος γίνεται ἄνθιμος, καὶ ἀπὸ τοῦ κῦδος κύδιμος, οὕτω καὶ ἀπὸ τοῦ δέος δεῖμος, καὶ δεῖμος. Δειμοῦμεν, οἰκοδομοῦμεν.

Δεινὰ, καταπληκτικὰ, φοβερά. ὡς τὸ, Οὐχὶ δεινὰ ταῦτα τὰ πάντα τανυί, ἀντὶ τοῦ μεγάλα. Δεινάζειν, λοιδορεῖν. Δεῖν, δεσμεῖν. καὶ δεῖν Ἀριστοφάνης, ἀντὶ τοῦ δεῖσθαι. δεῖν δ' ἔοικε, ἀντὶ τοῦ ὀφείλειν. καὶ μικροῦ δεῖν, ἀντὶ τοῦ παρ' ὀλίγον. Δεῖ, χρὴ, ἀναγκαῖον, πρέπον, ἢ προσῆκον. Δεῖναι, αἱ τῶν ὑδάτων συστροφαί. Δινεύω, κυκλεύω. Δεινεύειν, βελτιοῦσθαι κακά. Δεινὸς θεὸς, παρ' Ὁμήρῳ, ἴσως φοβερά. μάλιστα δὲ ὁ δεξιὰ κατὰ φρόνησιν. καὶ διὰ τοῦ δολοῖσα ἐπιτολμᾶν. δῆλον γὰρ, ὡς φρονήσεως μᾶλλον ἡ δεινότης οὖσα, ὑποτίθεσιν ἐν καιρῷ καὶ τὸ λέγειν τι, καὶ ἔργοις δολοῦσθαι. Δεινοῖλοι, ἀποδειμάτων εἶδος ἀκροτήρων. Δίνη, συστροφὴ, κίνησις. Δινεύοντα, περιστρεφόμενα, φοβερά. Δεινῶς ἀνάγκας, οὐδὲν ἰσχυρότερον. ἀνάγκη γὰρ, καὶ θεοὺς βιάζεται. Δεινοὶ, συνετοὶ περὶ τὰ πράγματα. Δινοῖο, ποταμοῖο, διὰ τοῦ ι γράφεται, λέγονται δινήεντα ποταμὸν, τὸν δίνας καὶ συστροφὰς ἔχοντα. Δινεῖς, κινοῦσι. Δεινὸν σάκος, ἅπας διὰ τοῦ ι γράφουσιν. ἵνα λέγῃ δινὸν σάκος, τὸ δινωτόν. ὡς τὸ, δινωτὴν χορίοισι κεκάσθαι. ἐκ τοῦ δίνω δὲ ὑποκορισμοῦ ὀνόματος, ὁ τόρνον δηλοῖ, ἐκ τοῦ δινῶ δινώσω γίνεται. δῖνος δὲ οὐ μόνον τόρνος, ἀλλὰ καὶ ποτήριον, κατὰ κυρίωσιν. παρὰ δὲ τῷ ... ὡς φησιν Ἀθήναιος, τὸ ποτήριον. ὁ καὶ δεῖνος λέγεται, ἀπὸ τοῦ σκοτίζοντος δινεῖν. καθὰ θηρίκλειον, ἀπὸ θηρικλέους. διαφέρει δὲ τὰ πλείω διὰ διφθόγγου. καὶ δεινὸν μὲν, τὸ πάλαι κείμενον ὑλασκικὸν, ἢ ἔξω ἐπηγείρειν καὶ ἀνακινεῖν δεῖ. Δεινοπαθεῖ, δεινοῖς ἔχει, χαλεπὰ πάσχει. Δεινόν γε ἄρα, ἢ διὰ τοῦ ... δεῖ ἐποιοῦντο. Δεινὸς, ὁ χαλεπὸς, ἀπὸ τοῦ δέος ὁ φόβος. δεινὸς, ὁ ἐπιτήδειος, ἀπὸ τοῦ δέον τὸ πρέπον. καὶ δεινότης ὠνομάσθη. δύναται δὲ ὑπερβολὴν γράφειν τὸ δεινὸς εἶναι, καὶ φοβερὸς ἐλέχθη. λέγεται δὲ ὁ πανοῦργος, καὶ ὁ ἱκανός. καὶ ὁ ἀκολάκευτος, καὶ ὁ ὀξὺς, καὶ ὁ ἔμπειρος. λέγεται δεινὸς, καὶ κατὰ τὴν τοῦ λόγου δύναμιν. Δεινὰς, προσκεκρουσμένως, τὸ παρ' ἡμῖν ψυκτήριον.

Δεινότητα, τὴν τοῦ λόγου δύναμιν δηλοῖ, καὶ τὴν πανουργίαν.

Δεινότατος, πάνυ φρόνιμος. Δεινότης ἐστὶ διάθεσις, καθ' ἣν ὁ ἔχων στοχαστικῶς ἐπὶ τοῦ ἰδίου τέλους. Δεινότης ἐστὶ, τὸ παρ' ὃ δεῖ νοεῖν, ὡς φρονίμως ἕνεκα τὰς τῶν πραγμάτων φύσεις τι καὶ νοεῖς. Δεσμένα, πεπτωμένα. δεσμευμένην, ὑπὸ βροτῶν ἐμὴν φύλακας ἄλλων. Δεινοῦσι, φοβεροῦσι. Δεῖο, ἀντὶ τοῦ δεῖσθε. δεινὸν ἀληθείαν δαπέρω. Δεῖν ὤθειν, δέον ὑπέλαβον, ἀναγκαῖον ἐνόμισε. Δεινοί, δειματώδεις φοβεροί, ἰσχυροί. Δεινώσεις, δεινότης, σκέψεις. Δεινωτὸν, πεποικιλμένον ἐν κύκλῳ, ἢ τετορνευμένον, ἢ ἱμᾶσι διειλημμένον. Δεῖξαι, δηλοῦται, φανεροῦται. Δεσμένα, δεδεμένα. Δεικτῆρες, θεοὶ παρὰ Συμμαχίοις. Δεικνὺς, ἢ δείκνυς ἐστίν. ἔστι δὲ δεικνὺς ἢ δείκνυς, ὁ τοῦ δείκνυ καιρός. ἄλλως δὲ βαρύτερον εἰπεῖν, δεικνὺς ὀξυτόνως αὐτό φασι τὸ δεῖξαι. βαρυτόνως δὲ, ἡ ὥρα τοῦ δείκνυ. ὁ δ' αὐτὸς ἐπὶ τοῦ ἀμυδρῶς καὶ ἀμυδρὸς παρατετήρηται.

Δείκνυμι, καὶ ἀρίσκω. ἐκ τοῦ δεικνύω, ῶ. καὶ ἀρισκάω, ῶ, καθὰ ἐκ

[illegible]

[illegible]

παρὰ τὸ δαίω τὸ καίω. ἢ παρὰ τὸ δα καὶ τὸ φόνος. ὁ δαφοινὸς τὰ νῶτα, ὁ μέλας. παρὰ τὸ δα ἐπιτατικὸν, καὶ τὸν φόνον, ὃ δηλοῖ τὸ αἷμα. μέλαν δὲ τὸ αἷμα. Δαφνοπώλην, τὸν ἀπόλλωνα λέγουσιν, ὡς Ἀριστοφάνης. Δαφνὼν, παρὰ τὸ δάφνη. τὸ δὲ δάφνη, παρὰ τὸ δαίω, τὸ καίω, ἢ φωνοῦσα ἐν τῷ δαίεσθαι, ὅ ἐστι καίεσθαι.

Δάψαι, καταδάψαι, κατοφαγεῖν μετὰ σπαραγμοῦ. τὸ δὲ αὐτὸ, καὶ δαρδάψαι, καὶ λαπάψαι, καὶ ῥῦψαι. Δάψαι, ἐξ οὗ καὶ δαρδάπτει παρὰ Λυκόφρονι αἱ μῆαι. καὶ τὸ δαρδάπτειν. Δαψίλεια, πλουσιότης, ἡ πολυτέλεια. καὶ δαψιλὴς, ὁ πολυτελής. ἡ δαψίλεια, λαμπρότης, ἀφθονία, μεγαλοπρέπεια, φιλοτιμία, φιλοδωρία, μεγαλοδωρία, πολυδωρία, ἐλευθεριότης. καὶ τὰ ἐπιρρήματα, δαψιλῶς, ἱκανῶς, ἀφθόνως, μεγαλοπρεπῶς, ἀφειδῶς, χύδην, ἐλευθεροπρεπῶς, ἐλευθερίως, φιλοτίμως, φιλανθρώπως, φιλοδώρως, μεγαλοδώρως, λαμπρῶς. ῥήματα, λαμπρύνεσθαι, ἐπιδαψιλεύεσθαι, φιλανθρωπεύεσθαι, ἐπιδιδόναι τῆς χρείας, ἐπικουρεῖν τοῖς δεομένοις, φιλοτιμεῖσθαι. Δαψιλέστατος, πολυτελέστατος, πλουσιώτατος. λέγεται δὲ καὶ ἐπὶ ῥημάτων, καὶ ἐπὶ τῶν μεγαλοψυχούντων. Δαψιλῶς, ἀφθόνως. Δάωμεν, μάθωμεν. Δαῶμεν, δαίω, μέλλων δαίσω, ἀόριστος, ἔδαισα, δεύτερος, ἔδαον, ὁ παθητικὸς, ἐδάην, ὑποτακτικὸν, ἐὰν δαῶ, ῇς, ῇ, τὸ πρῶτον τῶν πληθυντικῶν, ἐὰν δαῶμεν. τουτέστι γνῶμεν, μάθωμεν, πρὸς ὁμοιότητα τοῦ ἐτύφθην, τυφθῶμεν.

ΤΟ Δ ΜΕΤΑ ΤΟΥ Ε.

Δὲ, ἀντὶ τοῦ γὰρ, καὶ ἀντὶ τοῦ δή. πολλάκις χρῶνται οἱ ἀττικοί, ἀντὶ τοῦ γε, παρ᾽ Ὁμήρῳ. οἷον, δία δ᾽ οὐκ ἔχε νήδυμος ὕπνος. καὶ παρὰ Ἀριστοφάνει, ποῖος ζεὺς, οὐ μὴ ληρήσεις, οὐδ᾽ ἔστι ζεύς. δὲ ἀντὶ τοῦ γὰρ λαμβάνεται. τὸ δὲ ἀντὶ τοῦ δὴ κεῖται παρ᾽ Ὁμήρῳ πολλάκις. ὡς καὶ ἐν τῷ, μὴ δ᾽ οὕτως ἀγαθός περ ἐὼν κλέπτε νόῳ. ἴσ γε ὢν εἴληπται ἀντὶ τοῦ δή. ὁμοίως, ἔλθε δ᾽ ἀθλιών. ἢ ἐν τῷ ἴκηδ δὲ. ἢ ἐν τῷ ἦλθε δὲ, ἀναγκαίως ἀντὶ τοῦ δὴ, λαμβάνονται. καὶ ἐν τῷ, ἔνθα δ᾽ οἴστρος. Δέα, ῥέα, ὑπὸ τυῤῥηνῶν. καὶ δείματα, φόβοι. Δέαται, φαίνεται, δοκεῖ. Δεάμην, ἐδοκίμαζον, ἐδόξαζον. Δέατος, δέος, Σοφοκλῆς. Δεβιστὴρ, τὸ δέρμα, παρὰ τὸ δέρος, δεριστὴρ, καὶ πλεονασμῷ τοῦ β. πλεονάζουσι δὲ τὸ β συνεχῶς αἰολεῖς, ὡς ἐπὶ τοῦ ὀλβάχνιον. ὀλάχνιον γάρ ἐστι τὸ κανοῦν, τὸ τὰς οὐλὰς ἔχον. σημαίνει δὲ τὸ κανοῦν, ἐν ᾧ ἐπιτίθενται τὰς οὐλὰς, ἢ τὰς ὀλάς. Δεβρωτὴν, δέπτρον. Δέγμα, νόμισμα. Δέγμενος, ἀντὶ τοῦ δεδεγμένος, κατὰ ἀφαίρεσιν, ἢ κατὰ συγκοπήν. ἢ δέγμενος, προσδεχόμενος, προσμένων. Δεγμὸν, ὁδόν. Δεγμῶν, χρόνος.

Δέδαε, ἀντὶ τοῦ ἐδίδαξεν. ὥσπερ γὰρ δέδαεν, οὐ μόνον τὸ ἐδιδάχθη, ἀλλὰ καὶ τὸ ἐδίδαξεν, οὕτω καὶ τὸ μανθάνειν, ἄμφω ταῦτα δηλοῖ. Δεδάασθαι, τὸ μανθάνειν. ἐξ οὗ ἀόριστος, τὸ δεδάασθαι. γέγονε δὲ κατὰ ἀναδιπλασιασμὸν καὶ ἀπόλλυσιν διχρόνου, ἐκ τοῦ δαίεσθαι, ὅ ἐστι μανθάνειν. Δεδαημένος, ἐκ τοῦ δαίω, δαήσω, δεδάηκα. Δεδαηκυῖαι ἀλκὴν, τὴν χεῖρα ἐκ μαθήσεως. δεδακταὶ γὰρ αἱ ἀρεταί, ὧν μία καὶ ἡ ἀλκὴ, ὅ ἐστιν ἡ ἀνδρεία. Δεδαηκότες, μαθόντες. Ὅμηρος, λαγκάζοιτ᾽ ἐσόμεθα, καὶ οὐ δεδαηκότες ἀλκήν. τὸ λαγκάζοι ἐνταῦθα, ἀντὶ τοῦ ἀθλοῖς. Δεδαίαται, δαίω, μέλλων δαίσω, παρακείμενος δέδαικα, ὁ παθητικὸς παρακείμενος, δέδαιμαι, τὸ τρίτον τῶν πληθυντικῶν, δέδαινται, καὶ ἰωνικῶς δεδαίαται. ὁ ὑπερσυντέλικος, ἐδεδαίμην, καὶ δεδαίατο ἰωνικῶς. Δεδαϊγμένος, ἀπηρημένος. Δέδαλοι, πρόμαχοι. Δεδάλαο, δειμάς. Δεδάμασαι, ὑποτέτακται. Δεδάμανται, ἐπιτετάλεται. Δέδαον, ἐδίδαξαν, ἐδίδαξεν. Δεδάρδαφε, κατεβέβρωκε. Δέδασαι, δάσω ὁ μέλλων ἄχρηστος, ἀντὶ τούτου δὲ λέγεται, τὸ δαιτρεύω. τὰ δ᾽ ἄλλα δῆμον ἔδασσαν δαιτρεύειν, ἢ τὸ δατέομαι, ὃ σημαίνει τὸ μερίζω. ἔχειν φύσει βραχὺ, δατέομαι λέγεται. ἀφ᾽ οὗ, τὸ δατεύμενοι δὴ δ᾽ ἀχαιοί. δάσομαι μέλλων, ἐδασάμην ἀόριστος, δέδασμαι, παθητικὸς παρακείμενος, τὸ τρίτον δέδασται. ἢ δέδασαι, μεμέρισαι, διήρηται. Δεδασμένον, περιπεφλεγμένον. Δὲ δὴ, τί δή. Δεδίασι, δέω, δέσω, δέδεκα, δέδεμαι, ἐδεδέμην, ἐδέδισο. τὸ πληθυντικὸν, καὶ ἰωνικῶς, δεδίασιν, ἀπὸ τοῦ παρακειμένου δεδίασι, γίνεται. Δέδειγμαι τὴν σὴν ἐκ τοῦ ἐπιστολῆς ἐν θαυμαστοτέραν μοι γενομένην, ὅτι ταῖς ὑμετέραις χερσὶν ἐγράφη. ἐκ τοῦ δείκω, δείξω, δέδειχα, δέδειγμαι εὐχαριστῶ, ἀντὶ τοῦ ἔλαβον. καὶ δεδειγμένος, μετοχή. Δεδειγμένος, διακεκριμένος, ἐπιτηρήσας, ἐκδεχόμενος. Δεδειγμένος ἐν προλόγοις, τρόπος ἐτυμολογικός. προλογικὸς γάρ ἐστι τόπος τινὸς, ἐν ᾧ δοκιμάζει τις ὁδοιπόρε δίκην, καὶ δείκνυται τὸ θηρώμενον. Δεδίεσθαι, εὐλαβεῖσθαι, φοβεῖσθαι. Δεδίσκομαι, δίσκομαι, ἐδείδισκον, δεδίξομαι, ἐκφοβοῦμαι. Δεδίσσεται, ἐν χρείᾳ καὶ ἐν ἐνδείᾳ γίνεται. Δεδιέναι, δεδιέναι. Δίδιοι, φοβοῦ. Δεδιχότας, διώξαντας. δεδοικότας, δὲ, δειλιάσαντας. Δεδιότα, τὸν φοβούμενον, δῆλον. Δέδεκα, ἔδειξα. Δεδιότος κάλλιον, ὁ δειλός. καὶ δέον, ὁ δεσμῶν. Δεδίξεται, ἀντὶ τοῦ δείξεται λέγουσιν οἱ ἴωνες, οἱ διπλασιάζοντες ῥήματα ἐν ἀρχόμενα ἀπὸ συμφώνου. Δέδεξο, ἀντὶ τοῦ ἀντίστηθι. καὶ δέδεξο, ὑπόμεινον. Δεδίσομαι, δίσομαι. Δέδια, πεφόβημαι. Δεδείχαται, ἐκ τοῦ δείκω, δείξω, δέδειχα, δέδειγμαι δέδειχαι, ἰωνικῶς, δεδείχαται. καὶ πλεονασμῷ τοῦ ἰῶτα, δεδείχαται. ὡς τὸ δεδέχαται μύθοισι. Δεδιχαῖς, ἐδεξιοῦντο, ἐφιλοφρονοῦντο.

Γλυφίδεσσι χαλκείαις, τρήμασι χαλκοῖς. Γλυφὶς, ἡ χελώνη τοῦ ὀϊστοῦ, ἤγουν ἡ ἐντομὴ τοῦ βέλους, ἡ ἐντιθεμένη ἐν τῇ νευρᾷ τοῦ τόξου, παρὰ τὸ ἐγγλύφεσθαι, ὅ ἐστι κοιλαίνειν. καὶ ἡ κεφαλὴ τοῦ αὐλοῦ, γλωττὶς γλυφίς. καὶ τὸ γλυφικὸν ἐργαλεῖον. Γλύφιον, ἄντρον, καὶ ὄρος. ὅθεν αἱ νύμφαι γλυφίαι. Γλύψαι, ξῦσαι, κοιλᾶναι. Γλώνη, οὐδενὸς ἄξιον. Γλωρζειν, χωρίζειν. Γλωρὸν, ἴσον. Γλῶσσα, ἐνίοτε καὶ διάλεκτον δηλοῖ, ὡς παρ' Ὁμήρῳ ἐν τῷ, ἄλλη δ' ἄλλων γλῶσσα, τὴν διάλεκτον γλῶσσαν λέγει, ὑφ' ἧς γνῶναι αὐτούς. Γλῶσσα, τὸ τῆς φωνῆς ὄργανον. δηλοῖ δέ ποτε καὶ ἐπιζητουμένην διάλεκτον, ὡς τὸ γλῶσσα ἰμάμιον. καὶ ὡς, ὅτε εἴπωμεν, ὅτι τὸ μὲν, λοιμοῖο καὶ δίψαο καὶ ἵπποιο θετταλῶν γλώσσης ἐστί. συρακουσίων δὲ γλῶσσα τὸ πίσυρος. κρητῶν δὲ γλῶσσα, τὸ θέλαπον. Γλῶς, ὄνομα αἰγυπτιακόν. Γλῶσσα τὰ μαίη, ἣν εἶχε Κορίνθος ὁ σοφιστὴς ἐν βασιλείας. Γλωσσαλγία, φλυαρία, καὶ τὸ διὰ κενῆς λαλεῖν. Γλωσσάλγος ἀνθρώπος, ἀντὶ τοῦ πολύλογον, καὶ ταχύ. Γλώσσας θύειν ἑρμῇ. ἔθος ἦν τοῖς παλαιοῖς πρὸ τοῦ κοιμᾶν, ὅτε μέλλοιεν καθεύδειν, καὶ τὰς γλώσσας τῶν ἱερείων ἐπιθύειν τῷ ἑρμῇ. καὶ ἐπισπένδειν οἶνον, καὶ ἴσως φησὶν αὐτοῦ. ἐπεὶ γὰρ ἑρμῆς λόγος εἶναι πιστεύεται, ὄργανον δὲ αὐτοῦ, ἦ τις ἦν ἐπιστάτης ἑρμῆς, εἰκότως τῷ ἑρμῇ αὐτὴν ἔθυον. καὶ Ὅμηρος, γλώσσας δ' ἐν πυρὶ βάλλον. Φιλόχορος δὲ ἐν τῷ περὶ θυσιῶν φησιν, ὅτι τὸ κάλλιστον τοῦ σώματος καὶ πρωτεῦόν ἐστι. καὶ Ὅμηρος, ἐνὶ ἄγε τάμνετε γλώσσας, ἀντὶ τοῦ παύσατε τοὺς λόγους. καὶ γλώσσας οὐκ ἐκπέμπεται, οὐκ ἂν διαφράγοιεν, οὐκ ἂν γνῶσιν. Γλῶσσαι ἱμάμιαι, ἡ πληθυντικῶς ἐστὶν ἀντὶ τοῦ γλῶσσαι πολλαὶ μεμιγμέναι ἦσαν, ὡς τοῦ αὐ διφθόγγου ἐκθλιβείσης, ἐπὶ ἡ τὸ πλῆρες. ἐπὶ γλῶσσαι ἱμάμιαι, ὅμοιον ἀγαχοῦ, ὃ σημαίνει πολλαχοῦ, ἐπειδὴ ῥήματος ἐπαγομένου πληθυντικὸν ὄνομα. ὃ δὲ χθαμαλὰ, πλεονάζει μάλιστα Πίνδαρος. ἢ καὶ ἄλλως λέγω προσηγορίας ἑνικῶς ῥητέον, γλῶσσα ἱμάμιαι. Γλωσσαστής, ὁ τῇ γλώσσῃ οἷον δακτύλοις καὶ προβολῇ κεχρημένος, ἐκ μεταφορᾶς τῶν πολεμούντων. Γλωσσόκομον, τὴν μὲν τύπου καὶ τὴν θέσιν ὑπ' ἀρχαίων ἔχει. διαφθειρόμενος δὲ λέγεται ὑπὸ τῶν πολλῶν, ἱερῶν γὰρ γλωσσοκομεῖον λέγειν, ὥσπερ ἀμείνω καὶ οἱ ἀρχαῖοι. Γλωσσόκομον, βαλάντιον, ἢ ξύλινη θήκη λειψάνων. Γλωσσοστροφεῖν, περιλαλεῖν, καὶ κομψεύεσθαι. Γλωσσώδης, ὅτε ὁ λοίδορος ἄνθρωπος. ἀνὴρ τῆς γλωσσώδης, οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. Γλωσσίδας αὐλῶν, ἢ ὑποδημάτων, μὴ λέγε. ἀλλ' ὡς οἱ δόκιμοι, γλώττας αὐλῶν, καὶ γλώττας ὑποδημάτων. Γλῶττα τῷ κήρυκι, παρὰ τῷ ἀριστοφάνει διδῶς σύνταξις. ἡ γλῶττα τῶν θυομένων τῷ ἑρμῇ δίδοται, ἐπειδὴ τῶν θυομένων διαιρέτης ἐστίν. ἢ τὸ κατακαιόμενον, ἐπὶ αὐτοῦ ἡ ἀρχή. Καλλίστρατος, δὲ τῶν θυομένων φησὶ τὰς γλώττας τοῖς κήρυξιν ἀπονέμεσθαι, διὸ καὶ τὴν ὑπερβολὴν ποιεῖν τῷ ἑρμῇ τεμνομένας αὐτάς, καὶ τοῦτο δὲ πρὸς τὴν ἐμὴν λέγει ἥκοντα παρὰ Διός. Κλεάνθης δὲ αὐτὸν φησιν, ὅτι τῶν ἱερείων ἡ γλῶττα τῷ ἑρμῇ δίδοται, ἐν ταῖς δημοτελέσι θυσίαις. Γλώττης ὁ γνώστης, γεῦσις, καὶ φωνὴ, καὶ λόγος. καὶ ὀνόματα ἀπὸ γλώττης, εὔγλωττος, εὐγλωττία, βραχυγλωττία, καὶ γλωσσαλγία, καὶ δίγλωττος, πολύγλωττος, ἀγρόγλωσσος, ἐμόγλωσσος. ἔστι δὲ καὶ ὑπογλωσσὶς στεφάνου εἶδος. καὶ γλωσσογάστορας εἶπον οἱ κωμικοὶ, τοὺς ἀπὸ τῆς γλώττης βιοῦντας. καὶ αὐλοῦ γλῶτται. καὶ γλωττοκομεῖον τὸ τὰς γλώττας ὑποδεχόμενον ἀγγεῖον. καὶ γλωττοποιὸς, ὁ τεχνίτης. καὶ καλὸς ἄγλωττος. Ἀριστοφάνης δὲ ἄγλωττον, τὸν εἰπεῖν ἀδύνατον ἔφη. Σοφοκλῆς δὲ ἄγλωττον, τὸν βάρβαρον. ἀγλωττίαν δὲ ἀλεξανδρῖνοι εἰρήκασι. παρὰ δὲ Εὐριπίδῃ, ὁ ἀθυρόγλωσσος. οἱ δὲ κωμικοὶ, καταγλωττίζειν ἐν φιλήματι. καὶ καταγλωττισμός. καὶ καταγλωττισμένον. καὶ ἐπιγλωττισμένον, οἷον λοιδορημένον. καὶ παλίγλωσσον, τὸν διάφωνον. καὶ οὐκ ἐπιγλωττίσομαι, οὐ λοιδορήσομαι. καὶ γλώττας δὲ, τὰς τῶν ὑποδημάτων ἔλεγον, ὡς Πλάτων ὁ κωμικός. Γλώττῃ πολεμίζων, οὐκ αὐτῇ τῇ γλώττῃ πολεμῶν, ἀλλὰ τῇ γλώττῃ, καθάπερ ὅπλῳ χρώμενος. Γλωττοδεψεῖν, αἰσχρουργεῖν. Γλωττοποιὸς, ὁ τὰς αὐλητικὰς γλώττας ποιῶν. Γλωττοστροφεῖν, περιλαλεῖν, καὶ κομψεύεσθαι.

Γλωττοκομεῖον, ἐν ᾧ οἱ αὐληταὶ ἀπετίθεσαν τὰς γλώττας. εἴρηται δὲ καὶ τὸ γλωσσόκομον εἴδους ὑπὸ Εὐβούλου, φοινικικῶν σπαρτίων. Γλωχὶν, ἡ γωνία. ὅθεν εἰσὶ τριγλώχινα, τρεῖς αἰχμὰς ἔχοντα, τετράγωνα, τρίγωνα, παρὰ τὸ γλύψαι καὶ κοιλᾶναι. ἢ παρὰ τὸ γωνίας ἔχειν. ἢ παρὰ τὸ γλάφω, γλωχίν. ἡ γλωχίνα τὴν ἄκραν γωνίαν λέγουσιν, ἤγουν, τὸ τῆς αἰχμῆς τμητικὸν, τουτέστι τὸ ἔμπροσθεν ὀξύ. ὡς τὸ, μελίαν χαλκογλώχινα. Γλωχῖνας, γωνίας ἐν τῷ ἔνδον παρατεινομένην τῆς θαλάσσης γλωχῖνα, εἰς ἐπίσφαιρον. καὶ πάλιν ἐπὶ τριγλώχινα, ὅ ἐστι τρίγωνα, παρὰ τὸ γλύψαι, ὃ γλύψαι τὸ κοιλᾶναι.

ΤΟΥ Γ, ΜΕΤΑ ΤΟΥ Ν.

Γνάθος, καὶ γναθμὸς, καὶ σιαγὼν, καὶ γαμφηλαὶ ταυτολογία, κατὰ πολυωνυμίαν εἰσίν. ὁ γνάθος, ἡ παθοιμέλα παρὰ τὴν γνάμψιν καὶ κάμψιν, ἢ κλάσιν, ἡ καμπτομένη σιαγών. οἷον, φυσίγναθος ἄντιον ἔνθα. Γνάθοι, βόθροι, κοιλώματα, σπήλαια, θάλαμαι. καὶ τὰ ἐν τῷ βαδίζειν προσκόμματα. ἐπεὶ γναθμός. Γνάθος, θαλείας, ἢ γυναικείας. Γναθοῦν, τὸ εἰς γνάθους τύπτειν. Γνάθων, παράσιτος. Γναθμὸν, γνάθον, καὶ αἰγιαλώτατον. παρὰ τὸ γνάπτω, γέγναπται, γναπτὸς, καὶ γναθμός. Γναθμοὶ, γνάθοι, σιαγόνες. ὡς τὸ γναθμοὶ ἐτάνυσθεν, ἀντὶ τοῦ ἐπαχύνθησαν, οἱ πρὸ τούτου διακεκλασμένοι. παρ' Ὁμήρῳ ἐν ὀδυσσείας σ'. Γναθμοῖσι γελῶν ἀλλοτρίοισι. παρ' Ὁμήρῳ ἐν ὀδυσσείας υ'. λέγει δὲ ὅτι, τὸ γναθμοῖς γελᾶν ἀλλοτρίοις, ὃ νῦν ἐπιπολάζει λέγεσθαι παροιμιακῶς. τοὺς γάρ τοι ἐφ' οἷς μὴ ἄξιον γελῶντας ἐκ θυμοῦ, ἢ ἀμηχανίας λαβὰς, ξύναμφω φαμὲν γελᾶν παρειαῖς. ὥσπερ καὶ τοὺς πρὸς βίαν ἐσθίοντας ἐμφατικῶς ἐσθίειν γναθμοῖς, ὡς τῶν σιτίων δίχα ἐκπεσόντων. καὶ ἐκεῖ ὁ βιαστὸς γέλως, ἐφ' ὃς ἦν παρὰ τὴν συνήθειαν. καὶ ἄλλως δὲ φράσαι,

ἀέρων, ἔχει πῶς συγγενῆ, καὶ αὐτὰ καὶ τὰ παραγόμενα ἐξ αὐτῆς. διὸ τὸ γλαυκὸν ἐναντίωται τῷ αἰθέρι ὡς αἰθερικῷ. τὸ βλεπτικόν, διὰ τοῦτο δὲ καὶ ἡ γλαὺξ εἴκασται τῇ Ἀθηνᾷ, οὐ μόνον ὡς νυκτὸς ὁρῶσα, ὅπερ ἐστὶν ἡ σύνεσις, κατὰ τὸν εἰπόντα ὀρθὰ ἀληθεύειν ἐν ταῖς βουλαῖς τὰ συμφέροντα βουλεύεσθαι, ἀλλὰ καὶ διὰ τὸ ἀπὸ τῆς γλαυκώσεως παραγωγὸν, ὃ πῦρ ἐστι, τουτέστι τοῦ αἰθέρος. Γλαυρὸν, σεμνόν.

Γλαύσσουσιν, ἀντὶ τοῦ λάμπουσι. Γλαύσσω, τὸ λάμπω. Γλάφω, γλάφει, ὀρύσσει, κοιλαίνει. Γλαφυρῇ φόρμιγγι, ἡ κοίλῃ. καὶ ἔστι τοῦτο αὐτῆς κυρίως λεγομένης, ἤπερ τινὸς, ἀπὸ τὸ αὐλάκιον.

Γλαφυρῆς πέτρης, τὸ σπήλαιον λέγει Ὅμηρος. Ἰστέον δὲ ὅτι ἡ πέτρα γλαφυρὴ, καὶ τὸ παρ' Ἡσιόδῳ γλάφυ πετρῶν, ταὐτὸν δηλοῦσιν. ἀλλὰ τοῦτο μὲν ἐπὶ αὐτοφυοῦς πράγματος τὸ γλάφυ, ἐξ οὗ τὸ γλαφυρόν. κυρίως δὲ ἐπὶ χειροκμήτων τὸ τοιοῦτον τίθεται ῥῆμα, κατὰ ὀνοματοποιΐαν, ὡς καὶ τὸ ψάφειν. καὶ δηλοῖ ὁ ποιητὴς τοῦτο ἐν Ὀδυσσείᾳ εἰπὼν, νῆας ἐν ἀμφιβρότοισι λιμένος ἀλέεσιν, ὅ ἐστι κοιλώματα. οὕτω καὶ τὸ σκάφος ἀπεργασθὲν ὅτι τοῦ πλοίου, ὅμως ἐπαινετικῶς σκάφος αὐτὸ λέγεται, ὅπερ μᾶλλον ἐπὶ γῆς ἁρμόζει. ὡς τὸ, σκάφος οὐκ ἔτι εἶπον. εἰκαιότερον δὲ μᾶλλον ἐπὶ νεὼς τὸ γλαφυρὸν, καθὸ καὶ ἡ κοιλότης, διὸ καὶ κοίλας ταύτας λέγονται. Γλαφυρὸν, κυρίως μὲν ἐπὶ χειροκμήτου κοιλότητος, οἷον οἱ λιθοξόοι καὶ οἱ ξυλογλύφοι ἐποίησαν, παρὰ τὸ γλάφω, τὸ κοιλαίνω γενόμενον. ἐπὶ δὲ σπηλαίου μεταφορικῶς λέγεται καὶ ἐπὶ νεὸς, διὰ τὸ ἁπλῶς κοῖλον, ὃ καὶ τοῖς γλαφομένοις παρέπεται. ἤδη δὲ ἡ λέξις μετῆκται καὶ ἐπὶ νοημάτων, διὸ καὶ νοήματα λέγονται γλαφυρὰ, τὰ ἔχοντα βάθος, πλὴν μετὰ χάριτος ὄντος, καὶ λαμπρότητος, ὡς μὴ παλεύεσθαι διὰ τὸ βάθος σκοτεινά. Γλάχων, τὴν ὀρίγανον. κλίνεται καὶ γλαχὼ, ὡς ἠχώ. καὶ γλαχὼ ἡ γλάχων, τὸ γλαφυρὸν, Ἀττικοὶ βλαχὼ φασι. Γλάψαι, κοιλᾶναι, γλάθαι, ἐκτρίψαι, σκαλεῦσαι, βαθῦναι. Γλίζα, ἐξίαμα συγκλεῖσαι. Γλεύσσων, ὑπὸ τοῦ γλεύκους γενόμενος ὑγρὸς καὶ πεπλησμένος ἀπὸ τοῦ οἴνου. Γλεῦκος τὸ ἀποστάλαγμα τῆς σταφυλῆς, πρὶν πατηθῇ. τὸ γλεῦκος, νέος οἶνος. ὁ κοινῶς λεγόμενος μοῦστος. ἀνθοσμίας δὲ, ὁ εὐώδης οἶνος. ἐκτρέπεται δὲ καὶ ὀξίνης, ὁ παρὰ φαινὶς ἐξώλης γενόμενος. Γλεῦξις, οἶνος, ἕψημα. Γλέφαρα, βλέφαρα, ὀφθαλμοί. Γλήνεα, εἴτε γλῆνος. ἔχει τὴν εὐθεῖαν, εἴτε μᾶλλον γλήνεον, καὶ ἰωνικῶς γλήνεον, ὡς δαίδαλα δαιδάλεον, καὶ νάλεον, νάλεον, ξεστέον. Ὅμηρος, γλήνεα πολλὰ κέχανδε, ἔνθεν πολλὰ ἐχώρει κειμήλια, γλήνεος ἄξια. γλήνη δέ φασιν οὐ μόνον ἡ τοῦ ὀφθαλμοῦ κόρη καὶ ἡ πρόσοψις, ἀλλὰ καὶ κυρία μαλακῶν, καὶ παίγνιον. εἰ δὲ τὸ οὐδενὸς ἄξιον. ὡς δὲ καὶ διὰ τοῦ ... ὁ ῥύπος, ὅ ἐστι γλοιὸς, ἔνθεν δηλοῦσιν. ἄλλοι δὲ γλήνεα ἑρμηνεύουσι, τὰ ποικίλα. οἱ δὲ ἰδίως ξόανα, καθάπερ τὸ δηλοῦν, ἐν τῷ τρίπλεια φέροντα. Γλήνεα, ἀξιοθέατα, καὶ πολλῆς θέας ἄξια. παρὰ τὸ τὴν αἴγλην, ἢ παρὰ τὸ γλαύσσειν τὸ λάμπειν. οἱ δὲ ποικίλ' ἅπα. καὶ γλαυκὸν, τὸ ποικίλον. καὶ ξόανα, ἀγάλματα. Γλήνη, ἡ κόρη τοῦ ὀφθαλμοῦ, οἱονεὶ γελήνη τις οὖσα. καὶ κατὰ συγκοπὴν, γλήνη, γαληνιᾷ γὰρ ὁ νοῦς δι' αὐτῆς τῇ τῶν ὁρατῶν ποικιλίᾳ. ἢ παρὰ τὴν αἴγλην αἰγλήνη, καὶ ἀποβολῇ τοῦ αι, γλήνη. Γλῆνος, φαῦλος.

Γλιμωστὰ, σπουδαῖα. Γλῆσχαι, κνῆμαι. Γληχωνεῦσαι, διέτεμεν. Γληχωρὶς, σπουδά. Γλαχὼ, θηλυκῶς Ἀττικοὶ τὴν ὀρίγανον λέγουσιν. οἱ δὲ βλαχώ. Γλία, ἡ κόλλα. Γλιᾶται, παίζει, ἀπατᾷ. Γλίον, εὔδιον, ἰσχυρόν. Γλίδη χοίδωσιν, οἱ σύνεσις κατέρχεται τὸ ἐν τῇ χώρᾳ, διὰ τὸ κτημάτων. ἔσθιον δὲ πάλιν, Σοφοκλῆς. Γλίνη, ἡ ῥύπος τ. Γλίσσω, καὶ τὸ ἔοικεν φασι θυβαϊκῶς, ἐν τῷ ὑπάτῳ ὄρει, ἀφ' οὗ γλίσσωνος ὠνομάσθη. ἢ γλίσσαντος ὡς φασιν ὁ γράψας τὰ ἰωνικά, τῷ δὲ τόνῳ, γλίσσων γλίσσαντος, ὡς γίγας γίγαντος. οἱ Χαλκιδαῖοι φασιν, ὅτι ὁ μὲν σπευσθεὶς περισπᾶ, γλισσῶντα λέγεσθαι. ἡ δὲ ἱστορία προσαγορεύει τὸ ὄνομα. Ἰστέον δὲ, ὡς τὴν δοτικὴν ταύτην κλίσιν οὐκ οἶδεν ὁ ἀκρίβεια, τὴν περισπῶσαν τὸν γλισσῶντα, ἡ μὴ ἀρχαία τῆς γλισσώδους κλίνεται, καὶ συναιρεῖται, ὡς τὸ αἰγλῆντα. ὁ δὲ Χαιροβοσκὸς, οὐ προπερισπωμένως γλισσῶντα, ἀλλὰ περισπωμένως γλισσᾶν, ὡς θυμᾶν, εὐθεῖα δὲ τούτου καὶ αὐτὸν ὁ γλισσᾶς. οἱ δὲ περὶ τὰ ἀντίστοιχα ὑποσημαίνουσι, γλίσσαν πάλιν ἀναγράφουσιν, ἴσως μὲν τὴν ὁμοριμὴν, ἴσως δὲ ἑτέραν τινά. Γλισχραλόγως ξυνεψίστης, ἐκ τοῦ γλίσχρου, καὶ ἀνάλογον ποιουμένου, τοῦ καὶ δαπανᾶν ἐπιστῆσαι. Γλίσχρον, τὸ κολλῶδες, καὶ ὀλισθηρόν. καὶ τὸ λαίμαργον, καὶ ἡ λέξις ἡ γλίσχρον ἐκφωνεῖ, τὸ ἐλάσσονον, καὶ μὴ διασπώμενον. γλίσχρως δὲ, τὸ εὐτελῶς καὶ λιχνῶς διαιτᾶσθαι.

Γλίσχρος, παρὰ Ἀριστοφάνει κεῖται, ἀντὶ τοῦ ταπεινὸς, κόλαξ. ὁ γλίσχρος, φειδωλὸς, σκνιφὸς, ὁ λιχνὸς, καὶ ἐπιθυμῶν, ἰσορρίσιον. εἴρηται δὲ καὶ ὀλίγον καὶ ἐπιπολὺ ἐχόμενος, πλεονασμῷ τοῦ γ. ἢ ὁ γλιχόμενος φορῶς ὑπὲρ τὸ δέον, λέγεται καὶ ὁ ὀλισθηρός. Γλι, τὰ ἰσχυρόν. Γλιττὸν, γλοιόν. Γλίχα, ἐπιθυμεῖν.

Γλιχόμενος, ἀντεχόμενος, ὁ ἐπιθυμῶν. Γλίχομαι, τὸ ἐπιθυμῶ, καὶ ἱμείρομαι, καὶ ὀρέγομαι ἡγεμονίας. καὶ γλίχομαι ὁ γεμοπῶσαι. συντάσσεται δὲ γενικῇ. Γλιχώνας, ἄτυχος, ὁ ἐπίπονος, ἢ ἐργατικός. Γλιχὼ, ἢ φειδωλὸς, ἢ ἡ περίεργος. Γλιάζειν, τὸ τοῖς ὄμμασιν ἐπιμύοντα μυκτηρίζειν. Γλοιὰς, ὁ πανοῦργος ἐστί. καὶ παλινδίας παρὰ Σοφοκλεῖ. καὶ γλοίας τὸ αὐτό. Γλοίας, ὀνηρός. καὶ γλοιάζεται τὸν λιχνὸν, καὶ μοχθηρὸν τῷ ἤθει. Γλοιὸς, τὸ αὐτὸ δηλοῖ τῷ μαλθακός. εἴληπται δὲ ἡ μεταφορὰ, ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου συναγομένου, ὅπερ ὡς ἀντιλαμβανομένους διολισθαίνειν πέφυκε. καὶ τοὺς τῇ γνώμῃ σπουδαίους καὶ μηδὲν σαθρὸν φρονοῦντας, ἀλλὰ ἄλλα μὲν ἐπαγγελλόντας, ἄλλα δὲ πράττοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον, γλοιοὺς καλοῦμεν. ἢ γλοιὸς λέγεται, ὁ ῥύπος τοῦ ἐλαίου. λέγει οὖν τὸν ῥυπαρὸν τοὺς τρόπους ὁ Ἀριστοφάνης. Ἄλλως. Γλοιὸς, ἐπὶ τοῦ ῥυπαροῦ καὶ μικροῦ, καὶ μικρολόγου παραλαμβάνεται. καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἀσκησίαν, σύνεγγυς πώς τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν, τὸν μοχθηρὸν δηλοῖ καὶ ὀλισθηρὸν, καὶ εὐμετάβολον. Γλοιῶδες, ἐπὶ τοῦ παχέος ὑγροῦ. καὶ κολλώδους, διὰ διφθόγγου. Γλοιώδης, ῥυπαρός. καὶ γλοιὸς, ὁ ῥύπος.

Γλοιῶς, πανουργικῶς. Γλοῦρια, χίονα, φρύγανα. Γλουρὸς, χρυσός. Γλουτὸς κατὰ τοὺς παλαιοὺς, τὸ σφαίρωμα τῆς κοτύλης, κατὰ τὸν μηρόν. ὕστερον δὲ, τὰ μετὰ ὀσφὺν σαρκώδη, ἐφ' ὧν καθίζομεν, πυγὰς εἰπὼν, ἐκάλεσε. ἄλλοι δὲ γλουτοὺς καλοῦσι, διὸ καὶ οἱ ἐτυμολόγοι παρὰ τὸν γλοιὸν ἐτυμολογοῦσιν αὐτοὺς, διὰ τὸ ἐν αὐτοῖς τρυφερόν. ὃ καὶ ἁπαλόν φησι καὶ γλοιώδες. κατὰ δὲ Ἰωνας, λαγόνα φασὶν, ὁ γλουτὸς σημαίνει. Ὅμηρος δὲ, διεξέφερε τὸ μετάφρενον, ἐκ τοῦ ἀντικρὺ τόπου, ὅς ἐστι τὰ στήθη, οὕτως ὧδε καὶ τὸν γλουτὸν εἰπὼν, βεβλήκει γλουτὸν κατὰ δεξιὸν, ὁ δὲ διὰ πρὸ, ἀντικρὺ κατὰ κύστιν ὑφ' ὀστέον ἤλυθ' ἀκωκή. δεικνὺς γὰρ λέγων ἀντικρὺ, ἐπίρρησιν τοῦ ῥυέντος γλουτοῦ αἰδοῖον, τὸν πόρον. Γλυκεῖαν ὠδίνω. καὶ γλυκεῖα, ἡ γλυκύρριζος. Γλυκεῖ ὀπώρα, φύλακος ἐκλελειπότος. ἐπὶ τῶν ἄνευ μόχθου τὰ ἀγρὰ καρπουμένων. Γλυκέρα, ἑταίρα τις. Γλυκερῷ σιδηρίῳ, ᾆσμα δ' ἐστιν, ἐν ᾧ τοῦ θυμέλης ἄρχεται οὕτω, σιδήριον τὸ ἄσυ παλαιὸς ἐκλιπὼν ἀγύρτου παῖς. διεβιβάσθη δὲ ὁ μῦθος [illegible]. Γλύκη, βοτάνη τις ἐλώδης. Γλυκίνας, ὁ διὰ γλυκέος οἴνου πλακοῦς. Γλύκιον, ἥδιον. Γλύκιστον, τὸ συγκριτικὸν ἐστι, καὶ γλύκιστος, ἐπὶ ἀρσενικοῦ. τὰ εἰς ων συγκριτικὰ παροξυτόνως συγκρινόμενα, καὶ ὑπερθετικά. φησὶ δὲ λέγει, βραδὺς, βραδέα, βραδύ. τὸ συγκριτικὸν, βραδύτερος, βραδίων, βράδιστος, οὕτω καὶ γλυκύτερος, γλυκίων, γλύκιστος, γλυκίων, ἡ κλητικὴ, ὦ γλύκιον. τὰ εἰς ων συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς, ἀναβιβάζουσι τὸν τόνον ἐπὶ τῆς κλητικῆς, οἷον ἀμείνων ἄμεινον, βελτίων βέλτιον, γλυκίων γλύκιον.

Γλύκας,

[illegible]

θαι, ὁ μὴ πρότερον ἔχων τι παθὼν. Γίνομαι, ἀμεταβάτως, καὶ συγγίνομαι ἐπὶ δίκη. περιγίνομαι τοῦδε, ἀντὶ τοῦ νικῶ, μεταβατικῶς. Γινόμενα, καὶ γενόμενα, διαφέρει. τὰ μὲν γὰρ γινόμενα ἢ ἀπέβη, ἢ οὔ, τὰ δὲ γενόμενα, πάντως ἀπέβη. Γίνονται, ἀντὶ τοῦ ὑπάρχουσι, καὶ τελοῦσιν ἀμεταβάτως. οἷον, πάντες καὶ τὴν ὁδὸν συμβῶσι καὶ ἀκούσωσι καὶ γίνονται τεῖχος. Γινώσκω, καὶ ἁπλῶς τὸ γινώσκειν. οἱ μὲν ὕστερον ἀττικοὶ μετὰ τοῦ διὰ γράφουσι τὸ γινώσκειν φασίν, ὡς καὶ ὁ κωμικὸς δηλοῖ καθὰ καὶ τὸ γίνεσθαι. Ὅμηρος μὲν δι' ἀρχαιότητα ἀγνοεῖ καὶ ἐν ἀμφοῖν τὸ δεύτερον γ. ἔστι δὲ ὅμως ἀκριβέστερον τὸ τοῦ ὕστερον, εἰ καὶ εὐφωνότερον τὸ τοῦ Ὁμήρου. ὡς γάρ φησιν Ἡρακλείδης, καθὰ παρὰ τὸ πλέω πλέσκω ἰακῶς, καὶ θορῶ θορίσκω, καὶ μολῶ μολίσκω, ἐξ ὧν τὸ θρώσκω, ἔτι δὲ καὶ βλώσκω. οὕτω καὶ ἐκ τοῦ νοῶ, γίνεται νοίσκω, καὶ κατὰ συναίρεσιν, νώσκω, καὶ προσθέσει τοῦ γ αἰολικῶς, γνώσκω. ἐπεὶ καὶ τὸ νοῶ, γνοῶ φασὶν οἱ αἰολεῖς, ἔνθεν καὶ ἡ γνῶσις ἀγνοῶ. ἐκ δὲ τοῦ γνώσκω πάντως κατὰ ἀναδιπλασιασμὸν τὸ γινώσκω. λέγει δὲ ὁ αὐτὸς, καὶ ὡς οἱ ἐπαρῶται προστιθέασι καὶ αὐτοὶ τὸ γ τοῖς λέξεσι, τὸ δοῦπον, γδοῦπον λέγοντες, ὅθεν καὶ ἐριγδουπος πόσις Ἥρης. καὶ ἀπὸ τοῦ νόος καὶ γνόος. λέγει δὲ καὶ ἐν τῷ γινώσκω πλεονάζειν τὸ γ, ὡς ἀπὸ τοῦ νοῶ, νοήσω, νόημα καὶ γνώμη, οὕτω δέ πως καὶ ὁ παρὰ τοῖς κωμικοῖς γλάμων, πλεονασμὸν ἔχει τοῦ γ. λάμα γὰρ, καὶ λαμάω, λάμων, ὁ λημῶν τοὺς ὀφθαλμοὺς, καὶ πλεονασμῷ τοῦ γ καὶ συνολῇ, γλάμων. Γινώσκω γινώσκεις γινώσκει. τὰ δυϊκά, ἴσον, ἴσον κατὰ συγκοπήν. τὰ πληθυντικά, ἴσμεν, ἴστε, ἴσασι. γινώσκω ἐν αὐτοῖς, ἐγίνωσκον παρατατικὸς, γνώσομαι μέλλων, καὶ εἰδήσω, καὶ εἴσομαι, καὶ ἔγνων ἀόριστος, ἔγνωκα παρακείμενος, καὶ οἶδα, τὸ διάτορον οἶδα, καὶ πλουσιώτερον τὸ ἐπὶ συλλαβῆς, οἶδα, καὶ συγκοπῇ, εἶδα. γινώσκω δὲ τὸ νοῶ. διαγινώσκω δὲ, ἐπὶ διακρίσεως, καὶ καταγινώσκω, ἐπὶ κατηγορίας, καὶ γινώσκω ἐγὼ [illegible]. καὶ γίνωσκε τὸ καλὸν τὰ ἐγκλήματα, ἀντὶ τοῦ πρᾶξε καλά. γνωρίζω τὸν δεῖνα τινὶ, ἀντὶ τοῦ γνώριμον ποιῶ. καὶ γνωρίζω ὅ ἐστι τὴν τοῦ συνόντος φωνὴν, [illegible], ὅπερ κυρίως ἐπὶ τῶν νόσων [illegible] λέγεται, καὶ ἀναγινωσκόντων τὰς γνωρίσεις, οὓς ἐν τῇ νόσῳ ἤγνόει. Γινώσκω χάριν, ὁμοίως καὶ οἶδα, καὶ ἐπίσταμαι, ἀντὶ τοῦ χάριν ἔχω, καὶ γινώσκω χάριν. ὅταν δὲ ἁπλῶς σημαίνει τὸ εἰδέναι, πρὸς μικρὸν ἡ σύνταξις γίνεται. οἷον, οἶδά σοι χάριν, γινώσκω σοι χαριεῖσθαι [illegible]. καὶ γινώσκω τὴν χάριν, καὶ οἶδα, καὶ ἐπίσταμαι, ἀντὶ τοῦ γνῶσιν ἔχω, ὃ γνώσκω, ἐπίσταμαι, δαῶ, καταμανθάνω, εἴδω. Γίξαι, χωρῆσαι. Γίο, αὐτοῦ. Γίπυρ, γίπυρ. Γίς, ἱμὰς, καὶ γῆ, καὶ ἰχάς. Γισάμενος, εἰδέναι. Γίσσος, φθίρα. Γισγὸν, ἴθυν. Γίσιον, μικρὸν τεῖχος. Γισία, ἰχάτη. Γισίαι, ἰσχυροί. Γισῶ, παύσομαι. Γιχὸν, ἰχόν. Γιτέα, ἰτέα. Γίττοι, τὰ δύο αἰδοῖα.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Λ.

Γλάγος, τὸ γάλα, ἐκ δὲ τοῦ γάλακτος γενικῆς γίνεται γλάκος, καὶ γλάγος, ἀντὶ τοῦ λευκός. Γλαγόεν, γεγαλακτωμένον. Γλαγάζειν, κράζει, περιβόηται. Γλάζει, περιβόηται, κέκραγε. Γλακοί, τὰ λαμπρότατα τοῦ σιρικοῦ χαλκοῦν, οἷον ἀγέρων. Γλακισμοί, λόγοι. Γλακρὸς, λευκὸς, ἐκ τῆς γάλακτος γενικῆς. γλάκος, καὶ γλάγος. ἄρα δὲ γλαγοφόρων λειμωνίδων γεραίρων. Γλακκὸν, γαλαθηνόν.

Γλακῶντες, μεστοὶ γάλακτος. Γλάματα, ἀγάγαλα.

Γλάμιξα, ὄμματα, ὧν οἱ κανθοὶ ψωρώδεις καὶ γλαμυρίαν, τὸ γλαμᾶν, ὅπερ ἐστὶ λημᾶν. Γλαμία, πόλις κρήτης. Γλαμὸς, μῖξα. Γλαμπίον, πίνειν. Γλαμυρὸν, καὶ γλαμῶδες, ὑγρὸν καὶ κεκλιμένον λαπαροῖς ὄμμασι, καὶ γλαμυρεύεις, ἐυγροβεῖς.

Γλαμφοί, χαλινοὶ στόματος. Γλάμων, ὁ ἔχων λήμας, ὁ λιπόσαρκος, Καλλίστρατός φησιν, ὅτι οὕτως ἐκαλεῖτο γλάμων, ὡς χάρων. ἄλλοι δὲ τὸν λημῶντα καὶ διυγρὰν τοὺς ὀφθαλμούς. Σοφοκλῆς ἐν μαινομένῳ, ἐπὶ λόγων ὀργίλων διὸ γλαμυρεῖ. [illegible].

Γλάνις, ποταμὸς ἐν καλίᾳ, καὶ κύμης. ἔστι καὶ ὁ γνωστὸς ἰχθὺς ὁ γλάνις, εἶδος ἰχθύος. Γλαοί, ὀφθοί. Γλάξ, βοτάνης εἶδος γαλακτοποιητικῆς, παρὰ τὸ γάλακτος εἶναι αὐξητικὴ ταῖς θηλαζούσαις. γάλαξ, καὶ γλάξ. Γλάπτω, τὸ κοιλαίνω, ὁ μέλλων γλάψω, ὁ παρακείμενος γέγλαφα, ὁ παθητικὸς, γέγλαμμαι. Γλαφὶς, λιθοξοϊκὸν ἐργαλεῖον, παρὰ τὸ γλάπτω τὸ κοιλαίνω, καὶ γλαφίς, ὄργανον. Γλασιον, μαρὸς, ἐν ἰατρικῇ. Γλαῦκες εἰς ἀθήνας, παρὰ γλαυκὸς φασὶν οἱ παλαιοί [illegible]. διὰ σκότους αὐγὴ, ἥτις ἐν σκότει καὶ νυκτὶ καὶ ἡμέραν, ἥτις κατ' αὐτὴν τὴν ἡμέραν ἀποτυφλοῦται, ξηρότητι καὶ λεπτότητι τοῦ περὶ τὸν ὀφθαλμὸν ὑγρότητος, μὴ φέρουσα τὴν πρὸς τὸ φῶς συγκρασιν. ἡ δὲ παρὰ Γλαυκὸς παροιμία ἡ λέγουσα γλαῦξ εἰς ἀθήνας, φαίνεται μὲν καὶ ἱστορίαν καὶ αὐτή, φίλον εἶναι πτηνὸν, ἀθηναῖοι τὴν γλαῦκα. λαμβάνεται δὲ, ἐπὶ τὸ συμβαλλόντων, ἵνα μὴ χρεία συμβολῆς, ἤ ἐπὶ τοῦ θαμίζοντας, ἵνα πολλὴ παρ' αὐτῆς πλῆθος. οἱ δὲ παλαιοί φασι, καὶ ὅτι τὸ γλαῦκα ἀθήναζε, ἁρμόζει ἐπὶ τοῦ ἄλλοθεν μιγέντα, ὡς αὐτόθι ἔστι ἐμπορευομένων, ὁ καὶ εἶναι ὅμοιον τῷ, πόρον ἐς κυπρόν ἤγαγεν, ἢ ἰχθὺν εἰς ἑλλήσποντον. ἔστι δὲ ἡ γλαῦξ οὐ μόνον ὄρνεον κοινότερον, ἀλλὰ καὶ περιττότατος ὄρνις, ὁ δὲ καλεῖται ἀναγκαῖος. Γλαῦκας, ἀντὶ τοῦ νομίσματα ἀξίως παρὰ τῷ Ἀριστοφάνει, ὁ γὰρ γλαῦξ ὄρνεον ἐστὶν ἀθηνᾶς, ὅπερ παρὰ τοῦ ἀθηναῖοι διὰ τὴν θεόν, ἐν τοῖς τετραδράχμοις ἐχαράττον νομίσμασι. Γλαυκὴ, ἰχθῦς, φοβερὰ, λευκὴ. Γλαυκὴν θάλασσαν λέγει Ὅμηρος, σημειοῦνται οἱ παλαιοί, ὅτι ἅπαξ γλαυκὴν εἶπε τὴν θάλασσαν ὁ ποιητής, ἐπὶ λευκῆς. Γλαυκία, ἡ γλαύκιον, βοτάνης. Γλαυκίζειν, τὸ ἀμβλυώττειν. Γλαύκιος, ὁ τὰ γλαυκὰ ἔχων ἐπὶ τῶν ὀφθαλμῶν, παρὰ τὴν γλαύκην, ὅ ἐστι λάμπειν. Γλαυκιόων, ἀντὶ τοῦ ἔμπυρον βλέπων, κατὰ τοὺς παλαιούς, παρὰ τὸ γλαύσσω. ἀφ' οὗ καὶ γλαῦξ, ὃν μόνον [illegible] γαμψώνυχον καὶ σαρκοφάγον, φασὶ μὴ τίκτειν τυφλά, διὰ τὸ περὶ τοὺς ὀφθαλμοὺς πυρῶδες. ὁ τηλαυγὸν, διαυγεῖ τὴν θέαν, διὸ καὶ ἐν ταῖς σκοτομήναις ὁρᾷ. ἔστι δὲ γλαυκιᾶν φασι, τὸ στρέφειν τοὺς ὀφθαλμοὺς, καὶ τὸ γλαυκὸν ὑποφαίνειν. Γλαυκῶπιν, τὴν ξανθόχροιαν οἱ ἀρχαῖοι, ἢ τὴν ἀεροπόλον τὴν ἀθηνᾶν, ἰδὼν, ὁ γλαυκὸν ὡς αὐγάζεσθαι, ὑπὸ τοῦ τόπου ὄντος κατεχόμενος. Γλαῦκος, πρὸς διάφορον σημασίαν βλέπεται, πρὸς διαφορὰν γὰρ τὸ γλαυκὸς ἐπίθετον, ὃ δηλοῖ καὶ τὴν ἐγρήγορσιν, καὶ τὸ λευκὸν πρὸς τὸ λευκὸς. ὁμοίως καὶ ἄρεος, καὶ ἄρσεν, καὶ ἄλλα μυρία. ἐν οἷς καὶ τὸ λακωνικὸς, κύριον παρὰ Ἡροδότῳ, παλαιὸς ὁρισθεὶς γενόμενος ἐν τῇ μάχῃ τῶν θερμοπυλῶν. καὶ δρυμὸς δὲ ὁ φωκικὸς τόπος. καὶ δρυμὸς πόλις. διαφέρουσι δὲ ἐν λόγῳ ποιμένας καὶ ὁ πυρρὸς, ὁ πυροσθρεξ, καὶ πύρρος κύριον. καὶ γόρος, ὁ κατὰ κύκλον, καὶ ὁ γυρὸς ὤμοις, ἐν ὀδυσσείᾳ, ἔθεν καὶ πέτραι γυραί. καὶ κύρτος ὁ κατὰ πλεῖος. καὶ κυρτὸς ὁ ζωγραφικός. Γλαῦκος, παρὰ θεοῖς ἰδοὺ ἐνθάδε τίμια γέρων καλούμενος. καὶ γλαῦκος, τὸ γένος κύτινος, καὶ ὄνομα κύριον. κατὰ δὲ [illegible], ὁ γλαῦκος, ἀθηναῖος ἦν, καὶ ἁλιεὺς, ὃς ἐμμανὴς γενόμενος, ἥλατο εἰς τὴν θάλασσαν. ἰχθὺν γὰρ ἁλιεύσας καὶ ῥίψας νεκρὸν εἰς γῆν, ἰδεῖν προσεγγίσαντα βοτάνῃ καὶ ἀναζήσαντα, φαγὼν δὲ καὶ αὐτὸς, γέγονεν ἀθάνατος, ὃς οὐκ ἀγήρως, καὶ ἥλατο εἰς τὴν θάλασσαν. μαντεύεται δὲ, ὡς παρ' Ὁμήρῳ Πρωτεύς, καὶ παρὰ Πινδάρῳ, τρίτων, τοῖς ἀργοναύταις. τὴν δὲ βοτάνην, ἧς ἐγεύσατο φασὶ ἔτι, ἀείζωον εἶναι. καὶ γλαύκη, ὄνομα κύριον, λέγεται, διὰ τὴν ὄψιν τῶν ὑδάτων. Γλαῦκος, τὸ κύριον διαστελλόμενον τοῦ ἐπιθετικῶς λεγομένου γλαυκοῦ κατὰ τὸ προπερισπᾶσθαι. ἀκόλουθον δὲ ἀπὸ γλαυκοῦ, καὶ ἀπὸ γλαύκη καὶ ὁ γλαυκὴ θάλασσα. καὶ ἡ γλαύκη τὸ κύριον. ὅμοιον καὶ κοινὸς τὸ ἐπίθετον,

μένων. ἢ ἄλλως, οἱ δῆμοι. Γήϊνα, ἔξω ἐκ τῆς γῆς ὠφέλιμα. Γηΐνεσθαι, κατέχεσθαι. Γηοῦχος, ὁ τὴν γῆν συνέχων.

Γήπαιδες, οἱ λεγόμενοι λαγγίβαλοι, οἱονεὶ γηίπαιδες, οἱ γηγενῶν παῖδες. Γηπέδων, Διονύσιος ἐν τῷ περὶ κτίσεως, γηπέδων ἔφορος καὶ χωρίων. Πλάτων γοῦν ἐν τῷ πέμπτῳ νόμων φησίν, ἓν ἕκαστον οἰκόπεδον, ἢ γηπέδων. Γηπόνος, γεωργός, γεωμόρος. Γῆραι, τῷ γήρᾳ. Γηραιός, ἀπὸ ἑξήκοντα ἑπτὰ, ἕως τῶν ἑβδομήκοντα. Γηραλέα, ἡ γραῦς. καὶ γηραλαῖος ὁ γέρων. καὶ γηράλιον, εὐθετήρας. Γηράλιον, ἀργόν, μέλαν. Γηράμων, γραῖα. Γηράντεσι, παισί. διαλεκτικόν ἐστι τῶν καὶ ἐκ τοῦ γηρῶ γίνεται, τὸ γήρημι. οὐ μὴν γηράντες, καὶ γηράντεσι. γηρᾶς, γηράω, γηρῶ, γηράσω, ἐγήρασα, ὁ γηράσας, τοῦ γηράσαντος. καὶ κατὰ συγκοπήν, γηράντος. ἀφ᾽ οὗ γηράντι, ἔνθεν αἰολικὴ τῶν δοτικῶν. καὶ γηράντεσσιν, δωρικὴ τῶν πληθυντικῶν. Γήραος οὐδόν, ἢ τὴν ὁδὸν λέγει. ἢ ὡς ἐπὶ εἴπου γήραος οὐδός, ἡ εἰς τὸ γῆρας εἴσοδος. Γῆρας, ὄφεως δέρμα. Γηράς, εἴρηται παρ᾽ Ἡσιόδῳ ἐν τῷ, γηράντεσσι παισί. γίνεται δὲ τὸ γηρᾶς ἐκ τοῦ γηράσας κατὰ ἀποκοπήν, ὁμοίως τῷ ἑστηκὼς ἑστηκός. ἢ ἀπὸ ῥήματος ἐστὶ τοῦ γήρημι. ἐξ οὗ ἔστω καὶ τὸ ἐν ἐνεστῶτι πατρὸς ἐγήρα. ὡς γὰρ ἵστημι, ἵστης, ἵστη, οὕτω γήρημι, γήρης, γήρη, καὶ τρεπῇ ἐγήρα. εἰ δὲ ἀπὸ τοῦ γηράω, ῶ, τὸ ἐγήρα. ὃ ἂν πρὸς οἰκεῖον ἔχεται, καὶ κοινὸν τὸ γηρᾶς, καὶ τὸ κοινὸν, τὸ ἐγήρα. Γήραος ἀλφὸν, τὸ λίχνον τοῦ ὄφεως παλαιόν. ἢ ἄλλως, τὸ ἐνδόμυχον, ὁ σαρκίον τὸ χαλεπόν. καὶ γῆρας, ἡ τῶν σωματικῶν φθίσις σώματος, φυσικῶς ὑπὸ χρόνου γινομένη. παρὰ τὸ γηράσκω, ἢ γὰρ παρὰ τοῖς γέρουσι, ἢ ἰαμβί. Γῆρας γηραλέον, τὸ δέρμα, ὃ ἀποδύεται, ἔοικε δὲ τὸ γῆρον κατὰ τοὺς ὄφεις εἶναι. καὶ γὰρ ἐπὶ πάντων φαμὲν γῆρας ὄφεων, γηράσκοντες γὰρ οἱ ὄφεις ἀποβάλλουσι τὸ τῆς λεπίδος πάχος. Γηράσκει, φθίνει, λύεται. Γηράσκοντα, κομίζοντα, γηροκομοῦντα. Γηράω, ῶ, γηράσω, ἐγήρασα, ὁ γηράσας τοῦ γηράσαντος. καὶ κατὰ συγκοπήν γηράντος, ἀφ᾽ οὗ γήραντι, ἔνθεν καὶ αἰολικὴ τῶν δοτικῶν. καὶ γηράντεσσι, δωρικὴ τῶν πληθυντικῶν. Γηράω, ῶ, ἀντὶ τοῦ γέρων εἰμί. γηράσκομαι, ἀντὶ τοῦ γήρως ἅπτομαι, γηράσω, καὶ καταγηράσω, ἀρσενικῶς. εἰ δὲ ὕστερον, γηράσω καὶ καταγηράσω. Γήρεα, τὰ τῶν ἀκάνθων ἄνθη. Γήρειον, τὸ τέκνον. καὶ γήρειον, ἔστι τὸ παλαιόν. Γήρια, τὰ τῶν ἀκάνθης ἐξανθήματα. ἅπερ ἔνιοι πάππους λέγουσι. Γηρίνεος, βοῦς. Γηροί, γηραλέοι. Γηροτροφεῖν, τρέφειν ἐν τῷ γήρᾳ. ὁμοίως γηροτροφῆσαι, γηροκομεῖν, γηροτροφηθῆναι. καὶ γηροτρόφοι. καὶ ἐγγηράναι, καὶ καταγηράναι. τὰ τῆς θέσεως, γηροβοσκεῖν ἔρχεται. Σωφρόνων τῶν ἀγήρων δέρειν. τὸ ἀγήρων δὲ, τὸ ἀγήρων χρόνον. Ξενοκλῆς, τὸ ἀγήρων πλοῦτον τὸν ἀγήρων κόσμον. Εὐριπίδης δὲ κόσμον ἀγήρω, καὶ ἄλλοι πολλοί. Θουκυδίδης, τὴν ἀγήρων ὡς καὶ Εὐριπίδης, τῶν ἀγήρων ἀρετήν. καὶ Δημοσθένης, τὰς ἀγήρως τιμάς.

Γηρυγέρας, ὑπὸ γήρως ὀκλάζοντα. ἢ γέρων τῆς ἀρχῆς ἔχει.

Γηρύεσθαι, φθέγγεσθαι, λέγειν. Γηρυόνης, γίγας, υἱὸς Χρυσάορος παῖς, καὶ θυγατρὸς ὠκεανοῦ Καλλιρόης, ὃς δὲ φασι περὶ τὸν τάφον ἐκείνου δένδρα καταλείβεται αἵματος. ἦν καὶ τρικέφαλος τὸ σῶμα, ὁ Γηρυόνης. Γῆρυς, ἡ φωνή. καὶ γηρύω, τὸ φωνῶ. γῆρυς δὲ, παρὰ τὸ γέρας, ἢ ἡ φωνή, διὸ γέρεσιν ἕπεται. Γηρύοντος, φωνοῦντος, λέγοντος. Γηρυών, ὁ ἥρως ὃν Ἡρακλῆς ἐφόνευσε τὰς βοῦς ἔλαβε. Γηρυόνεια λέγεται. καὶ γηρυόνειον μίασμα.

Γηρύω, τὸ φωνῶ. ὅθεν γῆρυς, ἡ φωνή. Γηρῶ, γηράσκω. γηρῶ, καὶ γηράσκω, ἀμετάβατος. Γηροβοσκεῖ, γηροτροφοῦ, γηραλέα, καὶ γηράσκει. Γηροκομῶ, τὸ τῶν γηρώντων ἐπιμελοῦμαι. ὅθεν γηροκομεῖον. Γηροκομῶ, τὸ ρῶ, μέγα. ἐκ τοῦ γήρως γήρειον, γήρως, καὶ τοῦ κομῶ, τὸ ἐπιμελοῦμαι. τὰ δὲ παρὰ ἀττικῶν γινόμενα, διὰ τοῦ ω μεγάλου γράφεται, οἷον ὑψηφόρος γηροκόμος, καὶ παραδοξάζονται. Γηροκομεῖον, μέγα. γηροτροφεῖον, μικρόν. Γηροχηρεῖται, γηρασκούσης. Γηροτροφῶ, ὃ ἐν γήρᾳ τρέφω, καὶ γηροβοσκῶ, τὸ αὐτό. ἀπὸ μεταφορᾶς τῶν βοσκομένων ζώων, γηροτροφῶ, γηροβοσκῶ, γηροκομῶ. Γῆς βάρος, ἐπὶ τῶν εἰς μάτην συντελούντων. Γῆς ἄγαλμα, γυναῖκα πλάττουσι ἢ ἑστίαν, οἱονεὶ ἡ γῆ, τύμπανον βαστάζουσαν, ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ᾽ ἑαυτὴν συγκλείει. Γῆς ὀμφαλός, ὁ ναὸς τοῦ Ἀπόλλωνος. Γῆς, ἄλλως ἄχθος. ὅπερ δεῖ ἐπιλαμβάνειν αὐτοῖς φησι τὸ ὁμηρικὸν, ἐτώσιον ἄχθος ἀρούρης. τὸ γὰρ φυσικὸν βάρος, καλὸν, τὸ δὲ ἄλλως, μάταιον, κακόν. Γῆς μακτίδι, τῇ κιμωλίᾳ, παρὰ τῷ Ἱπποκράτει. Γήτεια, εἶδος λαχάνου ἀγρίου, παρόσον τοῖς λευκοῖς πράσοις. καὶ τοῦτο ἄλυσμα, ὡς τὸ ἀμπελόπρασον.

Γήτειον, τὸ χλωρὸν πράμμενον. Γηλικὰ πτέρια, αἱ παρὰ Ἀλεξάνδρου ἐπιστολαί, οὕτω καλούμεναι. Γηφάγοι, πένητες, ἄποροι. ὡς τὰς ἐκ γῆς βοτάνας ἐσθίοντες, τροφῆς ἀμοιροῦντες.

Γήχυτον, τὸ ἔξωθεν μέρος τῆς γῆς, τὸ μαλακὸν καὶ εὐλίθωλον, παρὰ τῷ Ἱπποκράτει. Γηώρας, ἐπίμικτοι, γηραιοὶ τόπων.

Γηώρος, ὁ ἀγρὸς τοῦ ψιλοῦ. καὶ γέρδιος ὁ ὑφάντης.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ι.

Γία, ἄνθη. Γίαι, ὁδοί. Γίαρος, ἰαρ. Γιγαλία, ἡ γῆ. Γιγαντιᾶ, τὰ τῶν γιγάντων φρονεῖ. Γίγαντος, μεγάλος, ἰσχυροῦ. Γιγαντία, ἡλικία. καὶ γίγαντες, οἱ εἰκοσαέτεις. Γίγαρτα λέγονται, τὰ ἔνδον τῶν σταφυλῶν, ἢ ῥοιῶν σπέρματα. σίκυα, τὰ ἔξω τῶν σταφυλῶν δέρματα. Γίγας, παρὰ τὸ γῆ γίνεται γᾶς, καὶ κατὰ ἀναδιπλασιασμὸν γίγας. ἢ παρὰ τὸ γῶ τὸ χωρῶ, καὶ λαμβάνω καὶ δέχομαι, τὸ γι ἰ. πᾶς γὰρ ἀναδιπλασιασμὸς, ἔχει βραχὺν ἐκφέρεσθαι. ἐπὶ ἀναδιπλασιασμός, ὅταν τὸ ἴσον τῷ αἰτίῳ διὰ τῷ αὐτῷ συμφώνῳ παραλαμβάνηται. Γίγας, παρὰ τὸ ἐκ γῆς εἶναι. ὡς ὁ Δαβίδ, ὥς γίγας δραμεῖν ὁδὸν ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ, λέγει δὲ τὸν ἥλιον. καὶ γίγας, ἀνδρεῖος, ἰσχυρός. Γιγάχαλα, καὶ γίχαλα, ὀνόματα τόπων.

Γιγγλισμός, γελασμός. ἀπὸ ἄχρων γέλως. Γιγγλίαρ, κίλαμμα κεφαλῆς. Γίγγος, γάνος. Γιγγρασμός, ἦχος.

Γίγγρα, ἐπιφώνημα ἐπὶ καταχλεύην λεγόμενον. καὶ εἶδος αὐλοῦ. Γιγγρίαι, αὐλοὶ μικροί, ἐν οἷς πρῶτον μανθάνουσιν. Γιγγλυμός, κιχλισμός, ἄκαιρος γέλως, ἢ γελασμός. Γίγλυμοι, ἀντιμβολαὶ ὀστῶν ἐνοχῶν πρὸς κυλάγγας, οἷα περὶ ἢ κατὰ τὸ πῆχυν πρὸς τὸν βραχίονα συμβολή. Γίγλυμος, ὁ στρόφιγξ τόμος ἐπὶ τῶν θυρῶν. ἢ ἐπὶ τῶν θώρακος, οἱ στρόφιγγες. καὶ φιλόμαντις εἰλιόδους. Γίγνομαι, τὸ πάθος ἔχει χρόνους ἐν χρόνῳ, ὁ ἐνεστὼς, ἐν τούτῳ, παρατατικόν, ἀόριστον, ἢ μέλλοντα. ἐνεστὼς, γίγνεται. παρατατικός, ἐγίνετο. ἀόριστος ἐγένετο. μέλλων γενήσεται.

Γιγνῶν, οἱ δὲ γιγῶν, πατρικός, ἐπιπατρικός, γηπεῖος. οἱ δὲ, αἱ γοῦσιον ὀρχηλία. Γιγνώσκει, γινώσκει. Γιγωνὸς ἄκρα, μεταξὺ Μακεδονίας ἢ Πελλήνης. καὶ γίνων ἐστὶ θεῖον ὁ Διόνυσος εἴρηται, ἀπὸ τοῦ γιγάντων, ἢ ἀπὸ τοῦ ῥέοντος ποταμοῦ Γίγωνος. Γιλὸς, ἐπιθετικόν. Γιμβλίναι, κοῦφαι. Γίνεται τὸ ἁρμόττει. παρὰ γὰρ φασὶ Λοξίας συντάσσεται. Γίνεται, σημαίνει τὸ ἀποτελεῖται. καὶ ἐκ τοῦ γ γράφεται, πρὸς ἀντιδιαστολὴν τοῦ γείνηται τοῦ γεννᾶται. καὶ γίνεται παρ᾽ ἐμοὶ ὁ Αἰνέας. παραγίνεται εἰς ἐμέ, γίνομαι γὰρ ἐν τῇ οἰκίᾳ. καὶ γίνεται εἰς ἐμέ, κατὰ τὴν Χρῆσιν. Γινὶς, γυμνὸς, γυμνοί. Γίνος ὁ πατὴρ ἐμὸς. ἢ ἡ μήτηρ, ὄνομα οὐδέ. Γίνομαι, ἀντὶ τοῦ εἰμί παρὰ δὲ ὑποτέτακται. καὶ παρὰ δὲ λοιπὸν τῶν λογογράφων, ὡς παρὰ φιλοσόφοις, πολλῶν γὰρ διὰ παιδὸς οὔτε γίνεται, ἀλλ᾽ ἐστίν. καὶ γίνεται τί ἐν τῷ κόσμῳ, ὅπερ τὸ αὐτὸ πολλάκις εἰς τέλος ἐκβαίνει. ὡς εἶναι ἡ παράστασιν ἐν τούτῳ τῷ συμβαινομένῳ, οὐκ ἐν τῇ κτίσει, τῇ πρὸς τὸ γενέσθαι ἤδη καὶ ἀποτελεσθῆναι, ἀλλ᾽ ἐν τῷ μὴ λέγειν τὸ αὐτὸ πολλάκις ἀποτελεῖσθαι. ἐγινόμενον, τὸ ἐνεργούμενον εἰς τέλος. τὸ αὐτὸ καὶ ἐκλεγόμενον γίνεσθαι,

παρίοντα. εἴρηται δὲ ἀφ' ὑψηλοῦ, οἱονεὶ γέφυρα ἄκρως οὖσα. ἢ ἐπὶ τῇ γῇ φυραθεῖσα, γεφυρώδης οὖσα, καὶ ἐφ' ὑψηλοῦ τόπου κειμένη. ἢ παρὰ τὸ ἀεὶ γῆς εἰς γῆν μεταφέρειν. Γέφυραι ἐερμέναι, ἤγουν κατησφαλισμέναι. ἐγχωννύουσιν, ἤδη ἐπέχουσι, κωλύουσιν. οὐ πάλιν ἐερμένα λεκτέον τὸ, Οὔτ' ἄρα ἕρκεα ἴσχει ἀλωάων. ταύτην γὰρ τὸ ἴσχει καὶ χωλύειν, τὸ δὲ εἴχειν, ὅπως διϊκνεῖσθαι καὶ προελθεῖν δύνανται βουλόμενοι, καὶ ὑπερβῆναι πάλιν. ταύτας δὲ τὰς μεταξὺ ὁδοὺς γεφύρας ὁ ποιητὴς καλεῖ. Γεφυρίζων, χλευάζων, ἐξαπατλίζων γράφεται. καὶ γεφυρῶ. Γεφυρίς, ξένη ἐπὶ ἐπισκώψεσι. οἱ γὰρ γεφυραῖοι, ξένοι καὶ ἐπήλυδες ὄντες. ἀθλοῦσιν ὄντως. οὕτως Ἡρόδοτος. καὶ γεφυρίς, πόρνη τίς ἐπὶ γεφύρας, ὡς Ἡρακλέων. ἄλλοι δὲ οὐ γυναῖκα, ἀλλὰ ἄνδρα. Γεφυρισταί, οἱ σκῶπται. Γεφύρωσον, διαβατὴν ἐποίησεν τὴν ὁδόν. Γεωγραφία, περιήγησις. Γεώλης, καλύβης. Γεώλοφον λέξις Διονυσίου εἰπόντος, οἱ παλαιοὶ καλοῦσι τὴν πάχνην καὶ ἀναθυμίασιν, εἶτα τῆς γῆς χρησίμως φαινομένης, εἰς τὸ τυπῶσαι σκύτη διὰ τοὺς μεγαλοσώματας. εἰ καὶ ἄλλοι τὸ ἐνθετὸν ἄλλως ἔχουσι, ξένον εἰς τὸ βιβλίον. Γεώλοφος, ὁ ἐν ὁδῷ ὁμαλῶν πεδίων ὑπεράνω ἐκκείμενος ὄχθος, ὃς καὶ κολωνὸς καλεῖται. Πῶς τὸ γαῖα διφθογγογραφουμένως ψιλογραφεῖται τὸ γεώλοφον, ὡς τὸ ἀνώγεον καὶ κατώγεον. ὅτι παρὰ τοῖς παλαιοῖς γαῖα ἐψιλογραφεῖτο, ὡς καὶ τὰ παρ' αὐτῆς συγκείμενα, νῦν δὲ οἱ νέοι διφθογγογραφοῦσι. Γεωμετρία ἐστὶ τέχνη συμμετρίας τε, καὶ ἀσυμμετρίας, μεγεθῶν τε, καὶ σχημάτων. ἡ τέχνη ἐπιπέδων μετρική. Γεωμέτρης, ὁ τὴν γῆν μετρῶν. γῆ τὸ τίκτω, ἐξ οὗ γίνεται γέα διὰ τοῦ ε ψιλοῦ, οἱονεὶ ἡ γεννῶσα. ἐκ τούτου γεώλοφος, καὶ γεωμόρος.

Γεωμόριον, τὸ γεώργιον, καὶ γεωμόριον. Γεωμόρος, ὁ περὶ τὴν γῆν πονῶν. Γεὼν, ὄνομα ποταμοῦ. Γεῶνα, ὑπὸ ἀλώνια. Λάκωνες. Γεωνόμοι, οἱ ἐν ταῖς ἀποικίαις διανεμόμενοι γεωργοί, καὶ νέμοντες τὴν γῆν. Γεωπεῖναι, οἱ μικρὰν καὶ λεπτὴν καὶ ὀλίγην ἔχοντες γῆν, οἱονεὶ οἱ πεινῶντες τὴν γῆν. Γεωργὸς, ὁ γεωργός. Γεωργικὰ ὀνόματα, γῆ, γεωργία, γεώργιον, ἀγροικία, ἀγροί, ἐσχατιαί, ἄλση, δρυμοί, δρυμῶνες, ὗλαι, ἴλαι, νάπαι, ἴλαι, γεωργοί, γῆς ἐργάται, ἢ ἐργασταί, ὡς Ξενοφῶν, οὓς Ὅμηρος ἐρίθους καλεῖ. εἶτα φυτουργοί, κηπουροί, κηπωροί, ἢ σκάπτοντες, ἢ κοπαιοῦντες, ὀχετηγοί. οἱ δὲ ἀμῶντες, ἀμαλλοφόροι, θερισταί, τρυγηταί, φρυγάνιοι, καλαμητρίδες, ἀμητρίδες, ἀμοργοί, ἐλαιοκόμοι, ἀμαλλοδετῆρες, ὀχετηγοί, σκαφεῖς, σκαπανεῖς, λικμηταί, ἀλοηκόμοι, ὀρεοκόμοι, κηπουροί, σπέρματα, φυτά, φυτευτήρια, μάλιστα δὲ ἐπὶ ἐλαιῶν οὕτως ὀνομάζεται. εἶτα, φύτευμα, ἀμάλλαι, φυτεύματα, μοσχεύματα, κλημάτα. καὶ νεοῦν, καὶ νεάζειν, ὁ πάλαι ἐργάζεσθαι, πλῆσαι, ὃ ἐστι ταύτην ὑπὸ ἀρότρου. ἔστιν καὶ ἡ δὶς ἀροθεῖσα, δίπολος. Ὅμηρος νειοῖο τρίπολον. Ἡσίοδος, ἐντοπαλεῖν, ἀρόσαι, σπεῖραι. Γεωργεῖν, τὸ γαῖαν ἐργάζεσθαι. γέα παρὰ τοῖς ποιηταῖς ἐν χρήσει. Ἐκ δὲ τῆς γῆς κοινῶς, ἀφ' οὗ γαῖα πολλαπλασιασμῷ, διὰ διφθόγγου. καὶ γεώργιος, ὁ ἡρακλῆς. καὶ γεωργοί, φυτουργοί, ἀμπελουργοί, κηπουροί, κηπεῖς, ἀλσοκόμοι, ἐλαιοκόμοι, βρυωροί, σπειροί. γεωργικὴ φυτεία, φυταλιά, φυτουργία, φυτουργική, ἀμπελουργία, κηπουρία, ἀλσοκομία, ἀλσοκομική, ἀλσουργία, ἐλαιοκομία, ἐλαιοκομία, ἐλαιοκομική. καὶ τὰ πράγματα, γεωργήματα, φυτεύματα, φυτουργήματα, ἀμπελουργήματα, κῆποι, κηπεύματα, παράδεισοι, ἄλση. Ἐν γεωργικοῖς, κηπουργικοῖς, φυτουργικοῖς, ἀμπελουργικοῖς, ἀλσοκομικοῖς. καὶ τὰ ἐπιρρήματα, γεωργικῶς, ἀμπελουργικῶς, κηπουργικῶς, ἀλσοκομικῶς. καὶ ῥήματα, γεωργῆσαι, φυτουργῆσαι, ἀμπελουργῆσαι, καὶ ἀμπελουργεῖν, ἀμπελοσκαπτεῖν, κηπουρεῖν, ἀλσοκομεῖν, ἐλαιοκομεῖν. καὶ βωλοκοπεῖν δὲ Ἀριστοφάνης εἴρηκε. Γεωργὸς, κοινὸν, γένους δὲ οὐδετέρου. γεωργὸς δὲ ἐπὶ κοινὸν ὄνομα, καὶ διαιρεῖται, εἰς ἀμπελουργὸν, φυτηκόμον, κηπουρὸν, καὶ ἕτερα. Γεῶσθαι, οἱ γεωφύλακες. Γεωφάνιον, χωρίον, ἐν ᾧ μέταλλον. ἢ δὲ γῆ, ἣν ζωγράφοι μετιεμένοι τῆς ζωγραφίας εἰς τὰς γραφὰς, τάχα δὲ ἀμίλτος ἐστίν.

ΤΟ Γ, ΜΕΤΑ ΤΟΥ Η.

Γῆ ἐστι, πᾶξις ὕλης ὑπὸ πόλου κυκλουμένης. ἢ σῶμα τὸ στερεώτερον καὶ βαθύτερον. ἐπεὶ δὲ ἡ φύσις πάσης πόλεως ἐστιν ἡ γῆ, ὡς βαστάζουσα τὰς πόλεις, πλάττεται πυργοφόρος. λέγεται δὲ γῆ, ἀπὸ τοῦ γῶ τὸ χωρῶ, καὶ τίκτω. γέα δὲ διὰ τοῦ ε ψιλοῦ, ἔνθεν κατὰ κρᾶσιν ἡ γῆ. ἔτι δὲ καὶ γαῖα διὰ διφθόγγου, ὡς ἡ μῶ, μαῖα, δηλοῦσιν οἱ παλαιοί. παρ' οἷς καὶ ὅτι γαυροῦνται παρὰ τὴν γαῖαν οἱ γελάσαι, οἱ τὸ οἰκεῖον ἐκπεσόντες, γαῖαν ἐξερῶσιν ἐφ' ἧς οἰκοῦσι. καὶ ὅτι ὁ ἐκ τῆς γαίας ἀπόγονος ἄνεμος. καὶ βοῦς γαῖος, ὁ ἐργατικός. καὶ ὅτι ἐκ τῆς γέα, ὁ γράφεται διὰ τοῦ ε ψιλοῦ, γαῖος. ἢ ἐν ἄλλοις, γαῖος παρὰ τοῖς ταλαιπώροις καὶ Ταραντίνοις, ὁ μίσθιος. ἔτι δὲ ὅτι καὶ ὁ παχὺς καὶ ἀπαίδευτος ἄνθρωπος. τὸ δὲ ταράχθαι τὴν γαῖαν ἀπὸ τῆς γῆς, ἵνα ἡ ὡς σαλεύειν σαλευομένη, εἰκάζουσι τοῖς παλαιοῖς. καὶ γῆ μὲν καλεῖται καθόλου, ὁ ἁπλῶς γῆ. χέρσος δὲ, ἡ ἀνήροτος, ἄσπορος, ἡ ἀγροφισμένη. χνοῦς, ὁ λεπτὸς κόνις. καὶ ἔτι ἰδίως λέγεται κόνις, τὸ λεπτότατον αὐτῆς. Γηγάλιξ, γήλυγγος, ὁ ἄγριος μῦς. Γηγενής, λέγει Ἀριστοφάνης ἐν ταῖς νεφέλαις, διὰ τὸ ὠχροὺς καὶ νηπιώδεις εἶναι, ἢ ἀσεβεῖς καὶ θεομάχους διὰ τοὺς γίγαντας. Γηγενέες, γῆς υἱοί.

Γηγενέτης, ὁ γηγενής. Γηγενής, ὁ ἐκ γῆς ἔχων τὴν γένεσιν. ἢ ὁ τὰ γήινα ἐργαζόμενος. Γηγυρίδαι, οἰκτροί. Γήδιον, ὑποκοριστικῶς τὴν γῆν λέγει Ἀριστοφάνης. Ἐν γηδίῳ, ἡ μικρὰ γῆ, ὡς τὸ, γήδιον παραλέξαντ' αἰδοῦς ἀγροικικῶς πέπας, γήδιον λεπτὸν κακῶς γεωργῶν. τριῶν ὄντων τῶν πρωτοτύπων ἀπὸ τοῦ γῆ, καὶ τὸ γαῖα, καὶ τὸ γέα, διὰ τοῦ ε ψιλοῦ ἐκ τρίτου τούτου γέγονε τὸ γηδίον. λέγει δὲ ὁ Δίδυμος, ὅτι γέα διὰ τοῦ ε ψιλοῦ καὶ κλίνεται γέας. καὶ ἐκ τούτου γίνεται γεΐδιον, διὰ τῆς ει διφθόγγου, καὶ κατ' ἐκτασιν τοῦ ε εἰς η, γήδιον, ὡς τὸ εἰκάζω, ἠκαζον. καὶ γήδιον, δίκαιον καλεῖ Μένανδρος, ὁ μηδὲν πλέον τοῦ σπέρματος ἐκφέρον, καὶ γῆ ζώντων ὁ προσδοκώμενος βίος, ὡς τοῦ θανάτου κεχωρισμένος, καὶ ἐλεύθερος λύπης. Γῆ θαλάττης συναλιμύρουσα, ἐπὶ τοῦ σφόδρα ἐργαζομένου, ἡ ἀπειρία. Γηθεῖ, θέμα τοῦ γηθήσειν. ὅθεν δὲ ὅτι καὶ βαρυτόνως ἐκ τοῦ τοιούτου ῥῆμα προφέρεται, ὡς δηλοῖ καὶ τὸ γηθόμενος. Γηθεῖν, χαίρειν.

Γηθῆσαι, χαίρειν κοινόν. γηθῶ περισπώμενον. παρατατικὸς μὲν κοινὸς, ἐγήθουν, ποιητικῶς δὲ, ἐγήθεον. μέλλων κοινῶς μὲν, χαιρήσω, ποιητικὸς δὲ γηθήσω, ἀόριστος, ἐγήθησα, καὶ ἐχάρην, καὶ ἀμφότεροι παρὰ ποιηταῖς ἐν χρήσει. καὶ ἔτι ἐχαρέμην, μέσος δεύτερος ἀόριστος, ἀφ' οὗ χαροίμην, κάρφειν χαροίην, καὶ κατὰ ἀναδιπλασιασμὸν κεχαροίην. ἐχάρην δὲ κοινὸν, ἀντὶ τοῦ ἐγήθησα, γεγήθηκα μετὰ ἐνεστῶτος, τὸ πρῶτον, γεγηθέναι. Γέγηθεν, ἐχάρη.

Γηθία, νέα. Γηθοσύνη, ἡ χαρά, παρὰ τὸ γῶ γίνεται γηθῶ, καὶ γηθήσω, γηθόσυνος, γηθοσύνη, ἐπεὶ ἡ γῆ θάλλουσα τοῖς πᾶσι ποιεῖ χαίρειν ἡμᾶς ποιεῖ. Γηθοσύνως, μετὰ χαρᾶς. Γηθυλλὶς, λάχανον πράσῳ ὅμοιον, ὃ, τινὲς λέγουσιν ἀμπελόπρασον.

Γήϊνον, λεκτέον διὰ τοῦ η, καὶ μὴ διὰ τοῦ ι γεῖνον. Γηΐνους, φθαρτούς. Γηΐτης, ὁ τὴν γῆν ἐργαζόμενος, γεωργός.

Γηλιχίδαι, χαμαικοῖται. Γηλιάδαι, κατοικιδίοι. Γηλοφισμένος, σπεσπιλωμένος. Γήλοφος, ὁ ὑψηλὸς τόπος. γεώλοφος δὲ διὰ διφθόγγου. Γῆμα, ἱμάτιον. Γῆμαι, ἐπὶ τοῦ ἀνδρός. γήμασθαι δὲ, ἐπὶ τῆς γυναικός. καὶ γῆμαι, οὐ γαμῆσαι. Λιβάνιος, ἴδοι μὴν τεθνεῶσαν με, πρὶν γῆμαι. καὶ ἔγημεν ὁ ἀνήρ, ἐγήματο δὲ, ἡ γυνή. Γῆμεν, ἀντὶ τοῦ ἔγημεν, ἢ καὶ ἀντὶ τοῦ ἐχάλασεν.

Γῆμ' ὑπερῷον, ἀντὶ τοῦ γῆμαι ἀνίπασον. κυρίως δὲ τὸ ὑπερῷον, ἀντὶ τοῦ ἐχάλασεν, καὶ ἀνεκούφισεν. Ἀριστοφάνης νεφέλαις, ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα. Γῆν ἠλλοσμένην, συγκεκλασμένην.

ρος ὁσίων. ἔστι δὲ γένος καὶ εἶδος πλακοῦντος. Γερῆναι, ταῖς στα-
γόσιν, ἢ [illegible]. Γέρυξ, πέλεκυς. Γερύων, τὸ [illegible]. Γερῶ, τὸ πρᾶττω, ὁ μέλλων γενέσθαι. Γεροῦχος, ὁ τὸ γέρας ἔχων. γεροῦχος [illegible]. Γέρα, τιμαί, ἀμοιβαί, ἀνταποδόσεις. Γέραλος, αἰγιαλός. Γεραιραί, αἱ παρὰ Διονύσῳ ἱερώμεναι γυναῖκες. Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

Γεραιός, ἢ φύσει ἔχει τὸ ι, ὡς ἀπὸ τοῦ γέρας. γεραιοὶ γὰρ καὶ τίμιοι οἱ γέροντες, ἢ ἀπὸ τοῦ γηραιός συνεστάλη. ὥσπερ καὶ ὁ [illegible] μὲν λέγεται κατὰ συστολήν. καὶ τὸ ξηρόν, ξερόν, ἐν [illegible]. τὸ μὲν [illegible] καὶ διὰ τοῦ α λέγεται [illegible]. ὁ ἰνδικός. καὶ ὁ [illegible] ἥλιος, ἢ γεραιός. ὁ πρεσβύτης. ἀπὸ τοῦ γέρας γεραιός, καὶ γεραιός. Γεραίρειν, τιμᾶν, ὑμνεῖν, δοξάζειν. Γεραίροντες, τιμῶντες, εὐφημοῦντες. Γεραιστιάδες, οὕτω νύμφαι καλούμεναι, ἐν Γορτύνῃ τῆς Κρήτης. Γεραίστιον, χωρίον τῆς Ἀρκαδίας. Γεραιστός, ἀκρωτήριον τῆς Εὐβοίας, τῇ μὲν κρημνῶδες ἔχον, τῇ δὲ λίχαιον. ἱερὰ δὲ εἰσὶ τοῦ Ποσειδῶνος, ἔνθα ὁ εὕριπος. Γεραίτερος, οὐ παρὰ τὸ γέρων ἐσχημάτισται, ἀλλὰ παρὰ τὸ γεραιός, γίνεται γεραιότερος. ὡς παλαιός, παλαιότερος, καὶ κατὰ συγκοπὴν, γεραίτερος, καὶ γεραίτατος. Γεράλιον, γέροντα, ἢ ἄθλιον. Γεράνδρυον, τὸ παλαιὸν ξύλον. καὶ γεράνδρυον, παλαιὸν φυτόν, καὶ γεγηρακός. ἢ τὸ ἐν τῇ ῥίζῃ συμφυές, ἐξορυσσόμενον. εἴρηται παρὰ τὴν δρῦν. [illegible] γὰρ πρῶτον φυτὸν γενέσθαι φασί. ὅθεν δρυμοὺς ἐκάλουν τοὺς δασεῖς τόπους, [illegible] φυτῶν. καὶ δρυοκόπος, τοὺς ἀπὸ ξύλον [illegible]. καὶ πᾶν φυτευόμενον [illegible]. Γεράνεια, ὄρος Μεγαρέων. Γερανίδαι, οἱ τὴν Φωκίδα οἰκοῦντες. Γεράνιος, [illegible]. Γέρανοι, λίθοι κατεσπακυῖαι, ἐπὶ τῶν [illegible]. αἱ γὰρ γέρανοι διὰ τὸ ἐν ὕψει πέτεσθαι, [illegible] ἐπὶ τὰ κάτω [illegible], λίθους βαστάζουσιν, ὅπως κάμνουσαι τῇ πτήσει ῥίπτωσιν, καὶ αἰσθάνονται, πότερον ἐπὶ γῆς ἢ θαλάττης φέρονται. καὶ εἰ μὲν ἐπὶ θαλάττης [illegible] ὁ λίθος, [illegible]. οἱ δὲ ἐπὶ γῆς, ἀναπαύονται. τοῦτό φησιν Ἀριστοφάνης, γέρανοι λίθους κατεσπακυῖαι. Γέρανος, τὸ ζῷον, ἐτυμολογεῖται ἀπὸ τοῦ [illegible]. [illegible] οἱονεὶ γεράνιος [illegible]. ἀπὸ τοῦ [illegible] ὅστις [illegible] καλεῖται. [illegible] γέρανος [illegible], καὶ ὄργανον ξύλινον, ἐν ᾧ κόπτουσιν οἱ ἀλφιτοποιοὶ τὰ ἄλφιτα. ὅθεν καὶ γερανεῖα, τὰ ἄλφιτα καλοῦσι. γέρανος καὶ ὁ ἐν τῇ σκηνῇ [illegible] ὑπὸ τοῦ μηχανοποιοῦ. ἐξ οὗ ὁ [illegible] στρογγυλός. καὶ γέρανος [illegible] ὁ ὄμβρος, παρὰ τὸ τὴν γῆν ῥαίνειν. Γεράνης [illegible], οὕτως καὶ τοὺς ἵππους.

Γεραστάδες(?), ὁ τοῦ χοροῦ τοῦ ἐν Δήλῳ ἐξάρχων. Γέρανον, [illegible]. Γεραρός, ὁ ἔντιμος καὶ καλός. καὶ γεραρός, ὁ [illegible] τὸ τίμιον ἔχων. τὸ δὲ καλός, [illegible].

Γέρας. [illegible] τιμαί, ἀμοιβαί, [illegible], ἀνταποδόσεις, δῶρα. Γεράσμιον, τίμιον. Γεραφόρος, ὁ τὰς τιμὰς φέρων. Γέργαιρα(?), [illegible]. Γεργέθιον(?), ζῷον. Γέργιμα, [illegible]. Γεργέριμος, ὁ διάβολος. Γεργέριμος, ἡ [illegible] ἐλαία. Γέργυρος, βρόγχος. Γεργιθες, πόλεις. Γέργυνοι(?), [illegible]. Γεργύρα, ὁ ὑπόνομος δι' οὗ τὰ ὕδατα φέρονται τὰ ὄμβρια. [illegible], τὰ ὑπὸ τῶν [illegible]. καὶ γέργυρα, αὐλή, [illegible]. Γερλία(?), ἡ [illegible]. [illegible] ὅ ἐστι καθίζω

[illegible] καὶ γέρδιος ὁ ὑφάντης. Γερία, ἡ [illegible]. καὶ γεραιαί, αἱ παρὰ Διονύσῳ ἱερώμεναι γυναῖκες. Γέρην, ἔντιμος. οἱ δὲ γεραρός. Γερήνιος ἱππότα Νέστωρ, ἢ ὁ ἔντιμος παρὰ τὸ γέρας, ἢ ὅτι ὅτε ἐνίκα ἡ πόλις ἀφ' Ἡρακλέους ἑάλω, αὐτὸς ἐν Γερηνίοις ἐτύγχανε τρεφόμενος, ἢ ἧκεν φυγάς. καὶ Γερήνιος, τεῖχος περὶ τὴν Πελοπόννησον. ὅτι ἡ πόλις Μεσσηνιακή, ἡ λεγομένη καὶ Γερηνία. λέγεται δὲ ἡ πόλις αὕτη καὶ ἰωνικῶς Γέρηνον. ὡς Ἡσίοδος. Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ. ὁ δὲ [illegible] λέγει, καὶ ὅτι [illegible] παρ' αὐτοῖς οἱ [illegible] Γέρηνον τόπον, καὶ γέροντα ποταμόν, καὶ ἄλλον Γερήνιον. Γέρηρα(?), ἔντιμος.

Γερητεία(?), ἀπώλεια. Γερηνάδες(?), αἱ τῶν ἀρίστων ἀνδρῶν γυναῖκες. Γερθυρόν(?), ἱλαρόν. Γέριοθαι(?), ἐρίζεσθαι.

Γερμανικοί, ἔθνος. Γερουσιασταί(?), οἱ δήμαρχοι, παρὰ Λάκωσι. Γερίσκον(?), πάππον, πρῶτον. Γερουσία(?), παππος.

Γερούσιον ὅρκον λέγει Ὅμηρος, τὸν τοῖς γέρουσι πρέποντα.

Γερούσιος ὁ ἔντιμος, παρὰ τὸ γέρων, γερούσιος. ὡς ἑκὼν ἑκούσιος, καὶ ἐθέλων ἐθελούσιος. καὶ γερούσιος οἶνος, ἤγουν ὁ ἔντιμος. ὁ τοῖς ἐντίμοις διδόμενος ἐν συμποσίῳ κοινῷ. αἴθοψ δέ, ὁ μέλας, ἢ θερμός. Γέῤῥα, τὰ σκεπάσματα πάντα, ἢ τὰ δερμάτινα σκεπάσματα. γέῤῥα λέγονται καὶ αἱ σκηναί, ἐν αἷς τὰ ὤνια ἐπιπράσκετο. δέῤῥα δέ, τροπῇ τοῦ δ εἰς γ, γέῤῥα. τὰ γυναικεῖα καὶ ἀνδρεῖα αἰδοῖα, καὶ γέῤῥα, τὰ κατὰ [illegible] Θεοδώρου τοῦ Προδρόμου. πάλιν ἐπὶ τοῦ γεῤῥωτικοῦ. κυρίως δὲ γέῤῥα, Περσικὰ ὅπλα. καταχρηστικῶς δέ, καὶ ἅπαν σκέπασμα, καὶ γέῤῥα, τὰ ἀπὸ καλάμων ἢ [illegible] ἐργαστήρια. Γεῤῥάδια, ἐργαστήρια.

Γέῤῥον, ὅπλον. Ξενοφῶν, γέῤῥον ἐς τὴν ἀριστεράν. κατὰ [illegible] εἰς τὴν δεξιάν. καὶ αὖθις, οἱ δὲ γέῤῥα ἔλαβον δασείων βοῶν ὠμοβοεια, ἀμφὶ τὰ εἴκοσι. Γεῤῥῶ, ἀπόλωλα. Γέρσημον(?), ἄκρον ἁλιευτικοῦ καλάμου. Γέρυς, γέρως. Γερῦχα, γερόντων. ἦν δὲ σύσχημα γερόντων. Γέρων, πρέσβυς, γηραιός, ἐσχατόγηρως. ὡς Θουκυδίδης, βαθύγηρως. καὶ τὸ συνέδριον αὐτῶν, γερουσία. καὶ γερουσιακὰ λέγεται παρὰ Πλάτωνι. γερουσιακά, παλαίστρα. καὶ γερουσιακὰ παλαίστραι. Γέρων, δύο σημαίνει, ὁ προβεβηκὼς τὴν ἡλικίαν. ὡς τό, Παῖδας ἐρητύσαντες, ἐπειγόμενοι γέροντας, καὶ ὁ ἔντιμος. ὡς τό, Δαίνυ δαῖτα γέρουσι. καὶ ὁ παλαιός. ὡς τό, Εἵλετο δὲ σάκος οὐχὶ γέροντος. γέρων δὲ εἴρηται, παρὰ τὸ εἰς γῆν ὁρᾶν. οἱ δὲ παρὰ τὸ εἰς γῆν ἔρρειν. διὰ τὸ ἐγγὺς εἶναι θανάτου, ἔρων, καὶ πλεονασμῷ τοῦ γ, γέρων. ἢ παρὰ τὸ εἴρω τὸ λέγω, εἴρων, καὶ γέρων. καὶ κλίνεται γέροντος. τὰ εἰς ρων δισύλλαβα, διὰ τοῦ ω κλίνονται ὁπότε μὴ κοινὰ ᾖ, μάρων μάρωνος, κοινὰ δὲ διὰ τὸ σώφρων, σώφρονος. χείρονος. ἐξέφυγε τὸν κανόνα τὸ γέρων γέροντος, ἀπολέξαν παρασχηματισμὸν διὰ τοῦ ντ. Γερώνιον, κοῖλον, κενόν. Γεῦμα, γεῦμα. Γεῦσα, γογγυλίς. Γεσία(?), ἔνδυσις, μῆλα, ἱμάτια. Γέστα(?), πολλά. Γέτης, ἐλπίς. Γεῦθρι(?), [illegible]. Γετός(?), ἐνιαυτός. Γευθμόν(?), [illegible]. Γεῦλαφα(?), ἢ γεύλοφα, ὄχθαι λίθων, ὄρη γεώλη.

Γεῦμα, γεῦσις, ἔδεσμα. Γευστῶν, γευστέον. Γεύομαι, καὶ γεύεσθαι(?) [illegible]. Ἰ. Μάριος, Ἀττικῶς ὑμᾶς στέρησέ γε γεύσομεν. Γεύονται δουρός, ἀντὶ τοῦ ἀποπειράσονται. ὁμοίως γευσόμεθα ἀλλήλων ἐγχείῃσι, παρ' Ὁμήρῳ. Γεῦσις ἐστιν, αἴσθησις ἀντιληπτικὴ τῶν χυμῶν καὶ χυλῶν. ἢ γεῦσις κυρίως, ἡ ἐπὶ τῶν ὑγρῶν προσφορά. δεῦσις τίς οὖσα, παρὰ τὸ δεύω μέλλοντα. ὡς γνώσω, γνῶσις. οὕτω καὶ δεύσω, δεῦσις, καὶ γεῦσις. Γευσὶ, φλῶττα. Γευστήριον, γαῦλον. Γευσόμεθα ἀλλήλων, πεῖραν λάβωμεν. Γεύω σε γνώσεως, ἀπὸ αἰτιατικῆς εἰς γενικὴν μεταπίπτον. τὸ μὲν πρόσωπον, αἰτιατικῇ. τὸ δὲ πρᾶγμα γενικῇ, καθὸ λέγεται τό, πληρῶ τὸν ἀσκὸν οἴνου. γεύομαι δέ, ἐγὼ πλούτου. ὁμοίως, καὶ τὸ πληροῦμαι. Γέφυρα, πᾶσα ἡ ἐφ' ὑγροῦ διαβάσεως λέγεται. καὶ γέφυρα, ἡ κατὰ ποταμὸν οἰκοδομή, δι' ἧς οἱ ὁδοιπόροι

τήρ. Γενετυλὶς, ἡ τῆς γενέσεως ἔφορος Ἀφροδίτη. Γενεθλίδα, ἀξίαν, πόλιν. Γενέθλιον, ἐπὶ μαντείων. Γενήσεται, ἐκ τοῦ γενάω γενήσω, γενήσομαι. ἢ ἐκ τοῦ γείνω, γεινήσω. Γενεταίων ἐπὶ ἄκρων, γενεταίᾳ ἄκρᾳ. κυρίως οὕτω λεγομένη, ἀπὸ γένους στομοῦ, ἔνθα Διὸς ξενίου ἱερόν ἐστι. Γεννῆται, ἐπὶ γένους σύστημα, ἐκ τριάκοντα ἀνδρῶν συνεστώς. οὗ οἱ μετέχοντες ἐκαλοῦντο γεννῆται. οὐ κατὰ γένος ἀλλήλοις προσήκοντες, οὐ δὲ ἀπὸ τοῦ αὐτοῦ αἵματος, ὡς ὥσπερ οἱ δημόται, καὶ οἱ φράτορες ἐκαλοῦντο, τὸ μὲν κοινωνίαν ἰδίαν ἔχοντες, οὕτω καὶ οἱ γεννῆται, συγγενικῶν ὀργίων, ἢ θυσιῶν, ἀφ᾽ ὧν ὀργεῶνες ὠνομάσθησαν. ἢ οἱ τοῦ αὐτοῦ γένους μετέχοντες, ἢ ἀπ᾽ ἀρχῆς κοινὰ ἱερὰ ἔχοντες. οἱ δὲ, ὁμογαλάκτας, φράτορας, συγγενεῖς, τοὺς γεννήτας. Γενεθλιακὸν, ἡ γένεσις.

Γεννητόν ἐστι, τὸ ἐκ γένους, ὡς πατρὸς γεννηθέν. γενητὸν δὲ, τὸ ἐκ γῆς, ὡς δημιουργοῦσι ποιηθέν. Γενναῖα ἀρετὴ, τέσσαρες, φρόνησις, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη. καὶ ζήτει τὰς ἀποδεδομένας αὐτῶν, ἐν τῷ ὑποδήματι. Γενειάδες, εἰς ας λήγοντα δίχα τοῦ α ἐκφέρουσι δωριεῖς. οἷον λευκώλενος λευκώλενα, στιγμάτα, στομάτα, στεροπᾶς στεροπά. Γενειάδα ἀντὶ αἰτιατικῆς λαμβάνουσιν οἱ ἀττικοί. ὡς Ἀριστοφάνης, ἕως συντρίβει τὰς κεφαλῆς, ἀντὶ τοῦ, τὰς κεφαλάς. ἔστι παλαιὰ παρατήρησις τοιαύτη τοῦ γενικοῦ. τὰ εἰς ας καὶ εἰς ις ὀνόματα ἰσοσυλλάβως κλινόμενα, κοινῶς μὲν καὶ ἀττικῶς εἰς α ἔχει τὴν γενικήν. οἷον αἰνίας αἰνία, πελείδας πελείδα, ἀτρείδας ἀτρείδα. δωρικῶς δὲ εἰς α μακρὸν ποιεῖ τὴν γενικήν, οἷον τοῦ αἰνία, τοῦ πελείδα, τοῦ ἀτρείδα. ἰωνικῶς δὲ, διὰ τοῦ εω. οἷον αἰνίεω, πελείδεω, ἀτρείδεω. βοιωτικῶς καὶ αἰολικῶς δὲ, διὰ τοῦ αο, οἷον αἰνίαο, πελείδαο, ἀτρείδαο. ἰστέον, ὅτι αἱ οὕτω σχηματιζόμεναι γενικαὶ, ἐν διαλύσει οὖσαι, τὴν παραλήγουσαν ἰσόχρονον ἔχουσι τῇ ληγούσῃ. ἐὰν μὲν ἡ λήγουσα μακρὰ ᾖ, βραχεῖά ἐστιν ἡ παραλήγουσα, ὡς ἐπὶ τοῦ αἰνίεω, πελείδεω, ἑρμείεω. ἐὰν δὲ τὸ λῆγον βραχύνηται, μακρὸν ἔσται τὸ παραλῆγον. ὡς ἐν τῷ αἰνίαο, ἑρμείαο, πελείδαο. οὕτω καὶ πριάμοιο, δήμοιο, καὶ τὰ τοιαῦτα. θετταλικὰ ὄντα κατὰ τόνον, ἀναλογοῦσαν ἔχουσι τῇ παραληγούσῃ τὴν λήγουσαν. διὸ καὶ τὸ ἐμέο καὶ σέο, καὶ ἕο. ἀναλογώτερον ἔχει, προσλαβόντα τὸ ι ἐν τῇ παραληγούσῃ, καὶ γενόμενα ἐμεῖο, σεῖο, εἷο. καὶ ἀνάλογον ποιοῦντα τῇ ληγούσῃ τὴν παραλήγουσαν. πολλαὶ τῶν εἰς ος λήγουσῶν γενικῶν ἀναδραμοῦσαι πάσχουσιν εἰς εὐθεῖαν, οἷον τρωὸς, τρωός. ὁ τρωός, ἤγουν τρωϊκός. ἐξ οὗ καὶ φωναὶ ἵπποι, αἱ φωϊκαί. δμωὸς δμωὸς, ὁ δμωός, δοῦλος. ἀφ᾽ οὗ καὶ δμωαὶ, αἱ δουλίδες. ὁ φύλαξ φύλακος, ὁ φύλακος. ἑκατόγχειρ ἑκατόγχειρος, ὁ ἑκατόγχειρος. οὕτω καὶ ἡ μάρτυρος γενικὴ ἀναδραμοῦσα εἰς εὐθεῖαν, ὁ μάρτυρος. Ἡρωδιανὸς δὲ εἰπὼν, ὅτι καὶ μάρτυροι καὶ μαρτύρους ἐκατέρως, ἐπάγει, ἐπεὶ εἴρηται καὶ μάρτυρος, ἀπὸ τῆς μάρτυρος εὐθείας. ὧν ἡ αἰτία διάλεκτος διὰ τοῦ ρ προφέρει. ἴωνες γάρ φησι, τὸ σ εἰς ρ μεταβάλλουσι, τὸ οὕτως, οὕτορ λέγοντες, καὶ τὸ ἵππος, ἵππορ. εἰς ὃ ζητητέον καὶ χρῆσιν ἐν τοῖς ἰαμβικοῖς εἰς τὰ κατὰ πυθαγόραν, οὕτως οὖν φησι. καὶ μάρτυς, ἀφ᾽ ὃς ἐκπέπτωκε πληθυντικὸν, οἱ μάρτυροι παρὰ τοῖς κωμικοῖς, καὶ ἡ πτῶσις. οἱ δέ γε μάρτυροι ἀπὸ τοῦ ὁ μάρτυρος εὐθείας. Γενικὸν, τὸ ἐν αὐτῷ τὸ γένος περιέχον. Γενναῖος, γενναίως, ἰσχυρῶς. Γένυς, ἡ γένυος, ὁ τόπος τῶν σιαγόνων. γένειον δὲ, ὁ τόπος ἔνθα αἱ τρίχες. γενειὰς δὲ, αἱ τρίχες. Γεννᾷ ὁ ἀνὴρ παῖδα. καὶ γεννᾷ ὁ Πλάτων τὴν σοφίαν, ἀντὶ τοῦ γεννᾶσθαι λέγει. τεκεῖν ἐπὶ γυναικὸς, ἐνίοτε δὲ καὶ ἐπὶ ἀνδρὸς λέγομεν. Γέννα μὲν, καὶ γενναῖος, καὶ ἀγεννής. γεννάω γεννῶ, διὰ δύο ν. γένος δὲ, δι᾽ ἑνὸς ν. ἴσθι δὲ, ὅτι τὸ γεγενῆσθαι, ἐπὶ μόνου ἐμψύχου λέγεται. τὸ δὲ γεγονέναι, καὶ ἐπὶ ἀψύχου. γεγένημαί σοι φίλος. καὶ περιεγένετό μοι τόδε, ἤγουν ἄλλα ἐγένετό μοι. Γεννάδας, γενναῖος, ἀνδρεῖος. εὐγενής, συγγενής, μέγας. Γενναῖον παρ᾽ Ὁμήρῳ, ὡς τὸ, Οὐ μοι γεννᾶιον ἀλυσκάζοντι, ἤγουν κατὰ τοὺς παλαιοὺς τὸ συγγενές. ἢ ἔμφυτον. καὶ κατὰ Πίνδαρον εἰπεῖν, ἔμφυτον. ἔστι δὲ τὸ μὲν γενναῖον, ἀσύνηθες ἐπὶ ἰσχυροῦ κεῖσθαι, ὡς οἱ νῦν βούλονται. οἱ δὲ παλαιοὶ, ἐπὶ τοῦ ἐκ γένους, ἢ μᾶλλον ἀπὸ γένους. ἵνα λέγῃ, ὅτι οὐ προγονικόν μοι τὸ δειλαίνεσθαι. Γενναῖος, ὁ εὖ γεγονώς. καὶ γενναῖος ὁ ἐκ βουλαντείας, ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων. ὅτι χρημάτων κρείττων, ὁ γενναῖος ἀνήρ. Γενναιότατος, ὦ μοι τάλαινα, καλῶς δεδράκασι γενναιότατος περὶ ἐμὲ γενόμενος, ἐθανάτωσε με ξυνησόμενος. Γέννας, ὁ μητρὸς ἀδελφός. Γέννετ, τὸ ἐγέννησεν. ἢ ἀπὸ τοῦ γείνω, ἐγείνατο. καὶ φασὶ αἰολικῶς τὸ ι εἰς ε, γέννατο, ἀφαιρέσει ἐσπασμένου τοῦ ε. οἱ γὰρ αἰολεῖς, τὸ φθείρω φθέρρω, καὶ κτείνω κτέννω φασίν. ἢ ἀπὸ τοῦ ἐγείνατο κατὰ συγκοπὴν καὶ ἀφαιρέσει, γέννατ. Γέννημα, παιδίον. Γεννήματα, πολλαχοῦ ἀκούω τὴν λέξιν τιθεμένην ἐπὶ τῶν καρπῶν. ἐγὼ δὲ οὐκ οἶδα ἀρχαίαν καὶ δόκιμον οὖσαν. χρὴ οὖν ἀντὶ τοῦ γεννήματα, καρποὺς λέγειν ξηροὺς καὶ ὑγρούς. Γεννοεργὸς, δημιουργός.

Γέννησις, ἡ ἐκ καταδίκης τοῦ θανάτου διὰ τῶν παραβάσεων ἐξ ἀλλήλων διαδοχή. ἥ ἐστι καὶ παθητικὴ καὶ ἁμαρτωλική. ὁ οὖν κύριος τὸν παθητὸν τῆς γεννήσεως εἴληφε, τὸ ἁμαρτωλικὸν οὐ προσείληφε. καὶ γέννησις, προσθήκῃ ὑπεράστως ἀναριθμεῖ. Γεννῆται, οἱ τοῦ αὐτοῦ γένους κοινωνοῦντες. διῃρημένων γὰρ ἁπάντων τῶν πολιτῶν κατὰ μέρη, τὰ μὲν πρῶτα καὶ μέγιστα μέρη ἐκαλοῦντο φυλαί. ἑκάστη δὲ φυλὴ, τριχῆ διῄρητο. καὶ ἐκαλεῖτο ἕκαστον μέρος τούτων, τριττὺς, καὶ φατρία. πάλιν δὲ τῶν φατριῶν, ἑκάστη διῄρητο εἰς γένη λ΄. ἐξ ὧν αἱ ἱερωσύναι, αἱ ἑκάστοις προσήκουσαι ἐκληροῦντο. ἔστι δὲ παρὰ πολλοῖς τὸ γεννήτωρ ὄνομα. Γεννητὴς, γνήσιος υἱός. Γεννητὴρ, ὁ ἐκεῖνος ὡς ἐκ πατρὸς γεννηθείς.

Γεννικῶς, ἰσχυρῶς, γενναίως. Γεννώτης, πατρὶς ἀρχόντων.

Γενοί, οἱ γυμνασίαρχοι. Γενόν, ἀρχαῖον, παλαιόν. Γένοιο, κύπριοι ἀντὶ τοῦ λάβε, καὶ κάθιζε. Γεννοῦντες, οἷον γεννῶντες, ἢ συγγενὴς, ἢ ἐκ γένος. τὸ τελευταῖον ἐκδέχεσθαι ἄμεινον.

Γεννῶ, τὸ τίκτω. παρὰ τὴν γῆν τὴν πάντων μητέρα. ἔστι δὲ γέα, ἐξ οὗ, ῥῆμα γέω, καὶ πλεονασμῷ τοῦ ν γεννῶ, ἢ παρὰ τὸ γείνω γεννῶ. ἐπὶ μὲν τῆς γεννήσεως διὰ δύο ν. ἐπὶ δὲ τῆς ποιήσεως, καὶ κτίσεως, δι᾽ ἑνός. ἐξ οὗ καὶ γεναὸς, ὁ κλεινός. τὰ δὲ ἀπὸ τοῦ γεννῶ γενόμενα ὀνόματα, δι᾽ ἑνὸς ν ἐκφέρεται. οἷον γένεσις, γενέθλιον, γενεά, γενέτης. καὶ γενόμενος ἐξ ὀφθαλμῶν, οὐδὲ εἶδε τὰ πρόσωπα τῆς ἀγνοίας. γεννώμενος δὲ διὰ δύο ν, ὁ ἐκτεινόμενος. Γένος, τὸ καθ᾽ ἑαυτὸ θεωρούμενον πρᾶγμα. ἢ γένος ἐστὶ, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, ἐν τῷ τί ἐστι κατηγορούμενον. σημαίνει δὲ καὶ τὴν πατρίδα, ὡς ὅταν λέγωμεν, τὴν πέτρον γαλιλαῖον τὸ γένος. σημαίνει δὲ καὶ τὴν ἀρχὴν τῆς ἰδίων γενέσεως. ὡς ὅταν θεὸς ἐξ ἱεροῦ, ἱερωνυμῖται τὸ γένος. καὶ γένος τὸ πηλικόν, λέξεως χλεύαστήρ, σημαῖνον τὸ ἐν φωνῇ ἔροτιν. ἢ θῆλυ, ἢ οὐδέτερον διαφέρον. γένος δὲ εἴρηται, παρὰ τὸ γείνω τὸ γεννῶ. γένος ἐκ τοῦ γένω τὸ τίκτω, ὡς θέω θέος, νέφω νέφος. καὶ γένος, ἐπὶ ἔθνους τάσσεται, καὶ ἐπὶ πόλεως, καὶ ἐπὶ συστήματος, καὶ ἐπὶ τέκνου, καὶ ἐπὶ σπέρματος. Γενεάρχης, ἐπὶ τοῦ θεοῦ ἐνταῦθα, ὁ γενεάρχης.

Γέντα, τὰ μέλη. γέντα βοὸς μέλλοντες Καλλίμαχος.

Γενταλικοί, οἱ ἐργαζόμενοι καὶ παίζοντες. Γένυς, ἡ κοιλία. Γενιανή, ῥιζωτίς, οὕτω καλουμένη, χωροῦσα εἰς τὰς ἀντιδότους. Γένοσοι, οἰκεῖοι. Γένοτος, ὕπνος. Γέντο, δωρικὴ ἐστὶν ἡ λέξις. γίνεται δὲ ἀπὸ τοῦ ἔλετο, κατὰ συγκοπὴν ἔλτο. ὡς ἦλθε, ἦλθ. καὶ τροπῇ δωρικῇ τοῦ λ εἰς ν ἔντο. καθὰ καὶ τὸ φίλτατος, φέντατος, παρὰ Πινδάρῳ κεῖται. καὶ τὸ φίλτατος δὲ, φέντατος ὑφαιρεῖται δωρικῶς. προσθήκῃ τοῦ γ, γέντο γίνεται. ἐν οὐδενὶ εὕρομεν ἔτι μόνον ποιητήν. οἶδεν ἄλλο τὸ γέντα, ὃ δηλοῖ θρασκαὶ τὰ κρέα. ὡς οἱ τῶν γλωσσῶν ἐξηγηταί φασι, γέντο σημαίνει τὸ ἔλαβεν. Γέννα, ἡ σιαγών. οὕτω κινοῖς τις ἐστι, ἔστι κοινὸν ἐστὶ τὸ κατ᾽ αὐθένην μέ-

τὸ καὶ αὐτὸ ἔοικε. Γελῶ, ἐπὶ τοῦ κατὰ φύσιν γέλωτος. γελῶ δὲ ἐγώ, καὶ καταγελῶ ἑτέρου ἢ ἑτέρου, μεταβατικῶς. Ἀριστοφάνης, Οὐδὲ μὰ τὴν Δήμητρα δύναμαι μὴ γελᾶν, καὶ γελῶ τούτῳ, καὶ τούτῳ. ἐπεγέλασέ σοι καὶ ἐπιγελῶ σοι. Γέλως, ὁ διὰ τὸ παρεῖναι τὸ λύπην φέρον ἐν ταῖς αἵματος ἀναβρασμοῦ. ἡ παῤῥησίας θρέμμα. ὁ παλμὸς καρδίας, καὶ ὁ ἄκρατος καὶ ἀμιγὴς πνεύματος ἀναβρασμοῦ ἰλαρότης. ὡς τὸ μακάριοι οἱ κλαίοντες, ὅτι αὐτοὶ γελάσονται. γέλως δὲ εἴρηται, παρὰ τὸ τὰ γῦα καὶ τὰ μέλη λύειν. οἱ γὰρ γελῶντες, ἐκλελυμένην ἔχουσι τὴν ψυχήν. ἢ παρὰ τὸ, τὸ γίνεσθαι ἱλαρὸν καὶ συστρέφειν. περὶ γὰρ τὸ γίνεσθαι μῦθον λόγοις κινούμενοι, ποιοῦσι τὸν γέλωτα. ἢ παρὰ τὸ τὴν εἵλην, ἀπὸ μεταφορᾶς τοῦ κατασήματος. τὸ γοῦν ἐναντίον, σκυθρωπός. Γέλως συγκροτούμενος, ὁ ἄτακτος καὶ ἄσημος. ἐκ μεταφορᾶς τοῦ μετὰ κρότου χειρῶν καὶ ποδῶν γινομένου γέλωτος. καὶ ἦρξε γέλως, καὶ μειδιασμὸς, καὶ μειδίασμα, καὶ μειδίασις, φαιδρότης, ὀφθαλμῶν ἄνεσις, προσώπου κατηφείας λύσις. γελᾶν, μειδιᾶν, ὑπομειδιᾶν, ἐπιμειδιᾶν, ἀνιέναι τὸ πρόσωπον, φαιδρύνεσθαι. Γέλωτα κινεῖς, καὶ γέλων ἀκαιρῶς. Ἀριστοφάνης, Οὐχ οἷός τε εἰμὶ ἀποσβέσαι τὸν γέλων.

Γελῴοντες, διὰ δύο ω μεγάλων, τουτέστι τῶν ου διφθόγγων τοῦ γελοίοντες τραπέντων εἰς ω μέγα. ὁμοίως ταῖς ἀρχαίοις, καὶ δὶς ὁμοίως. Γεμέν, κλέπ. Γέμιν, ἐγόμωσεν. Ἡσίοδος, Ὀγδοάτῃ δὲ εἰνάτη τε, δύο γέμιν ἤματα μηνός. Γεμίζω, πληθύνω, πληρῶ, ἐμπιπλῶ, ἐμφορῶ. καὶ τὸ ἀντλῶ. Γεμίζω, τὸ πλοῖον σίτου, καὶ εὐκαρπίας μεστὸν φορᾶς, καὶ ἐμπιπλῶ σε ἀγαθῶν, καὶ πληρῶ τὴν οἰκίαν δουλείας. φύσει γενικὴν σύνταξιν κέκτηται. τὸ δὲ ἐκγεμίζω δοῦλον εἴκοσι μνῶν, καὶ ἐνεσῶμαι οἶνον σίτου, καὶ πωλῶ, καὶ πιπράσκω, τὴν διὰ πρόθεσιν ἔχει λαμβανομένην.

Γέμματα, ἱμάτια. Γέμος, γέμισμα, πλήρωμα. Γεμῶς, κυλός. Γεμπίδους, βοῦς ἰχθῦς τὰς πηλαμίδας. Γέμω, τὸ πλήθω. καὶ γεμίσουσιν, οἷον γεμίσουσι δὲ πασάλα. γέμουσι, καὶ πλεονασμῷ τοῦ ι γεμίουσι. καὶ συντάσσεται γενικῇ. Ἀριστοφάνης, Αἱ δὲ λήκυθοι μύρου γέμουσι. Γενάδας, εὐγενεστάτους, ἢ γενναιοτάτους. Γενάρχης, πατρός. Γέναρ, ἐγέννησεν. γένω τὸ τίκτω, ἐκ τούτου γένω, διὰ τοῦ ε ψιλοῦ, ὁ γεννητικὸς. τοῦτο τὸ γένω, γίνεται κατὰ πλεονασμὸν τοῦ ι, γείνω. καὶ πλεονασμῷ τοῦ ι γείνω. ὁ μέλλων γενῶ, ὡς κείρω κερῶ. ὁ ἀόριστος ἔγεινα, ὡς ἔκειρα, ἔκειρα. ὁ μέσος ἐγεινάμην, τὸ δεύτερον ἐγείνω, τὸ τρίτον ἐγείνατο. καὶ κατὰ συγκοπὴν γεῖνατο. Γενεὰ κατὰ τοὺς παλαιοὺς τριάκοντα χρόνοι, καθ' οὓς τελειοῦται ὁ ἄνθρωπος, ὡς δοκεῖ Ἡσιόδῳ ἐν τῷ, Μὴ τε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων. τῷ γέροντι Νέστορι δύο γενεαὶ μερόπων ἀνθρώπων ἐφθίατο, τουτέστι παρῆλθον. ἤκουσε δὲ τὸ τρίτης γενεᾶς, καὶ τοῦ ἐν αὐτῇ ὄντων, τουτέστι ὑπερβῆναι ἐξήκοντα ἔτη. γενεὰ ὅτι πολυσήμαντόν ἐστι, δηλοῦσιν οἱ παλαιοί. Ἄλλως.

Γενεὰ, τέσσαρα σημαίνει, οἷον γενεὰ ἡ ἡλικία. γενεῦ δὲ νεώτερος ἔσκεν ἁπάντων. ἡ εὐγένεια. γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς. ἡ φυλὴ, οἵη περ φύλλων γενεὴ, καὶ τὰ εἰκοσιπέντε ἔτη. ὡς τὸ, τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων. Γενεαῖς γενεῶν, τουτέστιν ἀπείροις ταῖς γενεαῖς. Γενεὴ φύλλων παρ' Ὁμήρῳ, περιφραστικῶς σημαίνει ἀντὶ τοῦ φύλλα πληθυντικῶς, εὐδιείρητος. ὅτι δὲ πολλαχῶς ἡ γενεὰ, δηλοῦσιν οἱ παλαιοί. δῆλον δὲ, ὅτι οὐκ ἐπὶ μόνων ἀνθρώπων λέγεται, εἴγε καὶ ἵππων ἔφη γενεὴν ἐν τοῖς πρὸ τούτου. καὶ νῦν δὲ φύλλων λέγει γενεήν. φιλεῖ δὲ τὴν τῶν ἀνθρώπων εἰκάζειν γενεήν. καὶ πᾶσι μὲν ἴσως, μάλιστα τοῖς τῶν θαλλῶν. ὧν ἔτι προσεχομένων τῶν δένδρων, ἄλλα νέα ἐν ὥρᾳ ἔαρος. καὶ ἃ φασι καθ' ὥραν φθεῖται. ὥσπερ Ὅμηρός φησιν, ἐπιγίνεται. ἀφ' οὗ ῥήματος καὶ ὁ ἐπίγειος πλάττεται, ὅ ἐστιν ἀπόγονος. οὕτω δὲ καὶ τοσῶνδε οὐ πάντων ἐκλειπόντων, ἀλλ' ὥσπερ ἔτι θαλλόντων, οἱ ἐπίγονοι γίνονται κατὰ τὴν τῶν θαλλῶν ὁμοιότητα. ὧν οἱ πάλαι καὶ τὸ ὅλον τελειοῦσθαι, ἄλλοι θάλλουσι. Γενεὰ πρέσβυς, ἔγημε τῷ τῆς ἡλικίας χρόνῳ. γενεὰ διὸς, ὁμοίως καὶ ὡς παῖδας εἶναι διός. Γένεθλα, γεννήματα. Γενέθλια, ἡ δὲ ἐνιαυτοῦ ἐπιφοιτῶσα τῇ τεχθείσῃ ἡμέρᾳ, παρὰ τὸ γενῶ. ἀφ' οὗ ὁ μέλλων γενέσω. γενέθρα, καὶ ἰακῶς γενέθρη, ὡς κυλινδῶ κυλίνδηθρα. καὶ κατὰ τροπὴν γενέθλα. ἐκ τούτου καὶ τὸ γενέθλιον λέγεται. καὶ γενεθλιαλογία, ἡ περὶ τῆς γενέσεως μαντεία. Γενέθλια, τὰ ἐπὶ τῇ πρώτῃ ἡμέρᾳ δῶρα, καὶ ἡ εὐωχία. ἢ γενέθλια λέγουσι, καὶ οὐ γενέσια, τὴν ἡμέραν τῆς γενέσεως. Πλάτων, Καὶ τὰ λοιπὰ τῶν γενέθλια. οἱ δὲ Ἀθηναῖοι καὶ γενέσια λέγουσι. Γενέθλιος ἡμέρα, ἐπὶ τῶν ζώντων, ἐν ᾗ ἕκαστος ἐγεννήθη. γενέσιος δὲ ἡμέρα, ἐν ᾗ τις ἐτελεύτα. γενέσια δὲ, ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος μνήμη. καὶ γενέθλια πληθυντικῶς, ἡ ἐν γενέσει τινὸς τελουμένη ἑορτή. ὥσπερ γαμήλια, ἡ ἐν γάμῳ, καὶ ἐγκαίνια, ἡ ἐν ἐγκαινισμῷ. κατὰ ταῦτα ἔλεγον κρόνια, ἑορτὴ τοῦ κρόνου, καὶ διάσια ἡ τοῦ διὸς, καὶ λητώια ἡ τῆς λητοῦς, καὶ ἕτερα. Γένεια, ὡς λέγει Αἴλιος ὁ Διονύσιος, αἱ τρίχες. γένειον δὲ, ὁ τόπος. ἀλλ' ὅμως εὕρηται τοῦτο γένειον παρ' Ὁμήρῳ, ὥσπερ πολιόν κάρη. τὸ δὲ γενειάσαντα, οὐκ εὔδηλον εἴτε γενειῶ ἐστιν ἐνεστὼς, εἴτε καὶ γενειάζω παράγωγον.

Γένει, ὕστερος ἦν, ὅτι νέος αὐτὸς. τὸ γὰρ γένει ὕστερος ἦν, οὕτω διαστροφοῦσιν οἱ παλαιοί, ὡς τὸ εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν, ἀντὶ τοῦ εἰ καὶ ἐγὼ αἰχμητής εἰμι. Γένεσιν. παρὰ τὸ γένος γινόμενος δύναται. ἀπὸ αὐτοῦ δὲ τὰ γένη διασώζονται. καὶ διακρίνει τὰ γένη, λέγεται ἀπὸ ἱστορίας. ἔθνος δὲ εἴκοσι καὶ πέντε χιλιάδων, ἐπελθὸν παρῆκεν εἰς ῥωμαίους. ἐκεῖνοι δὲ ὀλίγοι ὄντες, ἀνοίξαντες ἐπὶ θύρας πύλας ἔφυγον τὰς σπλάγχνα. ἔτι δὲ οἱ σπλάγχνοι ὀλίγοι ὄντες, ἔφυγον τὰς γυναῖκας αὐτῶν. καὶ περιθέμενοι αὐταῖς χῶμα ἀνδρεῖον καὶ γενειάδας, ἐξῆρχον. ἰδόντες δὲ τὸ πλῆθος τὰ ἔθνη ἀρρένων εἰς ῥωμαίους, τινὲς εἶπον οὕτω, ἔλεγον λογγιβάρδοι, τουτέστι βαθεῖαν τὴν ἤνην καὶ μακρὰν ἔχοντες. Γένειον, οὐ μόνον ἐπὶ ἀνθρώπων, ἀλλὰ καὶ ἐπὶ ἀλόγων κεῖται. λὶς γὰρ ἠϋγένειος, καὶ πάρδαλις εὐγένειος λέγεται. Γένυς ὁ τόπος, τὸ μέρος τοῦ σώματος. ὡς τὸ, ἐκ δὲ διαγνοὺς γενειάδος, κρεωποὶ διεξῄεσαν κρεασῖν αὐτοῦ. σημαίνουσι δὲ, ὅτι ἡ τῶν ἄνω χείλους τρίχωσις, λέγεται μύσταξ. τὸ δὲ κάτω, πώγων. Γενεὸς, εἶδος ἢ ἡλικίας, γενεαλογία.

Γενέσθαι. γείνω ἄχρηστον. ὁ μέσος ἀόριστος δεύτερος, ἐγενόμην, ου, ετο. καὶ τὸ ἀπαρέμφατον, γενέσθαι. Γενέσια, οὐκ ὀρθῶς τίθεται ἐπὶ τῆς γενεθλίου ἡμέρας. γενέσια γὰρ ἀθηναίοις ἑορτὴ. λέγειν οὖν δεῖ τὰς γενεθλίους ἡμέρας, ἢ γενέθλια, φρύνιχος. καὶ γενέσια, ἡ δι' ἐνιαυτοῦ ἐπιφοιτῶσα τοῦ τεχθέντος μνήμη. Γένεσιν θεῶν καλεῖ Ὅμηρος, τὸν ὠκεανόν. διὰ τὸ ἐξ αὐτοῦ ἀναγομένου εἰς τὸ στοιχειακὸν ὕδωρ, δοκεῖν τὰ ἄλλα στοιχεῖα γίνεσθαι. τὸ γὰρ ὕδωρ ἀρχὴν εἶναι πάντων ἔδοξεν. ἢ καὶ ἄλλως, διὰ τὸ τὴν ὑγρὰν οὐσίαν τῆς φυσικῆς γενέσεως αἰτίαν εἶναι. ὅπου γέ φασι καὶ τὸ σπέρμα πνεῦμα ἐστὶν ὑγρῷ συγκεραθέν. διὸ καὶ τοὺς ποταμοὺς ὡς κουροτρόφους ἐτίμων οἱ παλαιοί. καὶ ὡς συναιτίους γενέσεως, καθὰ καὶ ὁ σκεπτικὸς ἐν τοῖς περὶ ἀχελῴου φησί. τὸ δὲ θεῶν, ἢ ἀντὶ στοιχείων ἀπὸ τοῦ θέσεως, ἢ καὶ ἄστρων ἀπὸ τοῦ θεῖν. ἢ πάντων ὡς οὐ μέρους, ὡς ἀγαθοῦ σφαιροειδοῦς. Ἀκεανὸς, ὅς περ γένεσις πάντεσσι τέτυκται. οἷα δὲ ἐκ τοῦ ὕδατος σημεῖα δηλοῦσι, καὶ οἱ ὑπομνηματισταὶ τοῦ πινδάρου, ἐν τῷ, Ἄριστον μὲν ὕδωρ. Γένεσις, ἡ ἀρχὴ καὶ ἡ εἱμαρμένη. ἔστι δὲ πρεσβύτερον τῆς εἱμαρμένης, ἔννοια καὶ αὐτεξουσιότης. ἡ γένεσίς ἐστι, κίνησις κατ' οὐσίαν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. γένεσις καὶ ὁ κόσμος. περὶ τὴν γένεσιν τε πλανῶνται λέγω βαρούμενος καὶ κακία. γένεσίς ἐστι, καὶ ἡ ἐκ θεοῦ πρώτη πλάσις. ἡ ἐκ τοῦ μὴ ὄντος παραγωγή. ἡ γένεσις, ἡ τοῦ παντὸς διακόσμησις.

Γενέσθαι ἀναιδῶς παραχθῆναι, ἐκ τοῦ ἀρχὴν μέλλοντος γενέσθαι. ἐξ οὗ καὶ ἡ γένεσις. Γενέτης, ἐκγονος. Γενέτειρα, μήτηρ, μαῖα. Γενετὴ, ἀρχὴ ἢ γένεσις. γενέτης δὲ ὁ πατήρ.

δῖς παλαιοῖς, γεγωνέω γεγωνῶ. Γεγωνητέον, ὑμνητέον. Πίνδαρος, γεγωνητέον ὄχι δίκαιον ξένον. Γεγωνῶ, τὸ φωνῶ. τῆς μέσης παρακειμένης ἡ μετοχὴ γεγωνώς. καὶ γεγωνῶ, σημαίνει τὸ τῶν φωνῶν ἐξάκουστον ποιεῖν, παρὰ τὸ γνῶ, καὶ ἐν ἀναδιπλώσει γωνῶ, ἢ κατὰ ἀναδιπλασιασμὸν γεγωνῶ. σημαίνει καὶ τὸ βοᾶν, κράζειν. ὁ καὶ γεγωνίσκειν εἴρηται ὑπὸ Θουκυδίδου. Γέγωνε καὶ γεγωνεῖν, καὶ ἔστι τούτοις σύστοιχα, οὐχ ἁπλῶς ἐπὶ τοῦ βοᾶν Ὅμηρος τάσσει, ἀλλ' ἐπὶ τοῦ ἀκούεσθαι, ἢ μᾶλλον ἐπὶ τοῦ μέγα καὶ ἐξάκουστον βοᾶν, καὶ ὡς εἰπεῖν γνωστόν. ἀπὸ γὰρ τοῦ γεγωνῶ, τὰ τοιαῦτα ῥήματα. φασὶ γοῦν Ὅμηρος, ἀλλ' οὔπως ἦεν βάσανοι γεγωνεῖν. γεγωνεῖν, οὐκ ἦν δυνατὸν βοήσαντι ἀκουσθῆναι. σημειοῦνται δὲ οἱ παλαιοὶ διαφορεῖσθαι τὸ ῥῆμα. καὶ παρὰ μὲν γὰρ ποιητῇ, περισπᾶσθαι, ὡς δηλοῖ τὸ γεγωνεῖν, καὶ τὸ ἐγεγώνειν, καὶ τὸ γεγωνέμεν. οἱ δὲ μετὰ τὸν ποιητὴν καὶ βαρυτόνως φασὶν αὐτὸ ἐκλίθη. ἔστι γὰρ τὸ γέγωνα, οἱονεὶ γέγονα, μέσος παρακείμενος ἐκ τοῦ γνῶ. τούτου τὸ ὑποτακτικὸν, γεγώνω βαρύτονον. ἐξ οὗ ῥήματος, αἱ βαρύτονοι κινήσεις. ἀπ' αὐτοῦ δὲ τὸ γεγωνῶ, καὶ αἱ κατ' αὐτὸ κλίσεις. οἱ δὲ παλαιοὶ, καὶ γεγωνίσκειν φασὶ, τὸ φθέγγεσθαι ἐξάκουστον. γεγωνὸν δὲ φθέγμα παρ' αὐτοῖς, τὸ λαμπρόν. Φίλων δὲ καὶ ἀρσενικὸν οἶδε γένος τοῦ γεγωνοῦ λόγου, ὅ ἐστι τοῦ τρανοῦ, καὶ προφορικοῦ. ὅθεν δηλαδὴ γεγωνότερον ἐπίρρημα. περὶ δὲ γεγωνοκώμης φέρεται καὶ ὅτι λέγεται οὕτω διὰ τὸ ἐν ταῖς κώμαις, τουτέστι ταῖς ἀμφόδοις γεγωνίσκειν, ἤγουν περιβόητος εἶναι. Γεγωνοκῶμαι γυναῖκες, αἱ τὰς κώμας ἐμπιπλῶσαι βοῆς. Γεγῶσα, καὶ γεγὼς, ἀπὸ τοῦ γεγῶ τὸ γίνομαι, ὁ μέλλων γεγήσω. ὁ μέσος παρακείμενος, γέγηκα. ἀποβολῇ τοῦ η γέγαα, καὶ τροπῇ τοῦ α εἰς ω γέγωα. ἡ μετοχὴ, γεγαὼς γεγαότος. καὶ κατὰ κρᾶσιν, γεγὼς γεγῶτος, ὡς μεμαὼς μεμαότος, βεβαὼς βεβῶτος, ἑστὼς ἑστῶτος. καὶ τὰ θηλυκὰ, γεγῶσα, μεμαῶσα, βεβῶσα. καὶ τὰ οὐδέτερα, διὰ τοῦ ω μεγάλου, τὸ γεγὼς, τὸ μεμαώς. Γέεννα, ἡ καταδίκη. Γέῃ, τῇ γῇ. Γεηπόνος, γεωργός. Γεηρὸς, τὸ γαῖον. Γειτνιῶ, γειτνεύω. Γέθρον, ἔνδυμα. Γεινάμενος, γεννηθείσας. ὡς τὸ, Δάκρυα μὲν ἔκχεε τὸ, καὶ ἐλιάσθοι γυναῖκες, Μοῖραι ἐπεκλώσαντο δυνάστη γεινάμεναι. Γείνατο, ἐγέννησε. καὶ γείνεται, γεννᾷ. Γεινᾶ, γεννᾶσα. Γεισκέμεν, τὸ γειτνίασμα, ὃ καὶ γεωργεῖν. Γειαμόροι, οἱ περὶ τὴν γῆν κακοπαθοῦντες. Γειόμενον, τὸ ἄροτρον, ἡ γῆ, καὶ ἡ εὐθεῖα τοῦ δυϊκοῦ οὐκ ἔχει. Γεῖσος, τὰ θεμέλια, καὶ πᾶν τὸ ἐξέχον μέρος. καὶ τὰ πρὸ τῶν θυρῶν σκεπάσματα. παρὰ τὸ γέα, γεῖσον, καὶ γεῖσον. καὶ γεισίποδες, αἱ ἐγκείμεναι δοκίδες, ἐφ' αἷς τὰ γεῖσα, παρὰ τὸ εἶναι βάσεις τῶν θεμελίων. ὅπως δὲ διὰ δύο σῖγμα γράφουσι τὸ γεῖσσα. Γείσιον, καὶ γεῖσος, τὸ ἄκρον τοῦ τοίχου, ὃ στεφάνωμα οἴκου. καὶ γεῖσος, τεῖχος ἄκρον. ὃ γεῖσος, ὁ γεωργός. Γεῖσον, στεφάνωμα οἴκου. Γεισίποδες, καὶ γεισιπόδισμα, καὶ γεισιποδίζειν. τὸ ἐξέχον τοῦ δοκοῦ, ἐφ' οὗ τὸ γεῖσόν ἐστι, γεισίποδες καλοῦνται, καὶ γεισιπόδισμα. καὶ γεισιποδίζειν, τὸ τοῦτο ποιεῖν. Ξενοφῶν ἐν τῷ πρὸς ὀργιῶνα. Γείσωσις, τὸ τοῦ τείχους ἐξέχον.

Γεῖτα, βάμμα ἐξ ἐρίων. Γειτνιῶν, ἐγγίζων. Γειτνιῶ, τὸ γειτνιῶ. ὡς ἀπὸ τοῦ εὐδαίμων εὐδαίμονος εὐδαιμονῶ, οὕτω καὶ ἀπὸ τοῦ γείτων γείτονος γειτονῶ, καὶ κατὰ συγκοπὴν γειτνιῶ. ὥσπερ καὶ ἀπὸ τοῦ μείδω μειδιῶ. Γειτνίαι, γειτονίαι. Γείτονας ἐροῦμεν, ἀγχιγείτονας, ὁμόρους, προσχώρους, πλησιοχώρους, προσοίκους, περιοίκους. καὶ περιοικίδας πόλεις, γειτνιώσας, προσοικούσας, ἐγγὺς οἰκούσας, παρακατοικούσας, συνόρους, καὶ προσόρους.

Γείτονες, οἱ πλησιοικοῦντες μόνοι. ἔτι δὲ, οἱ καὶ ἄλλως συνήθεις. ψιλοῦται δὲ τὸ ἔτης, κατὰ τοὺς παλαιούς. εἴτε ἐπὶ πλειόνων, εἴτε ἐπὶ ἑνὸς λέγεται. δῆλον δὲ καὶ ὅτι ἀπὸ τοῦ ἔθους, οὐ μόνον ὁ ἑταῖρος καὶ ἔτης, ἀλλὰ φανερῶς καὶ ὁ ἐθὰς λέγεται. Γείτων, παρὰ τὸ γέα γείτων, καὶ κατὰ συναίρεσιν γείτων. Γεώργαι, οἱ τὴν γῆν φυλάσσοντες ἢ οἱ ἐξ ἄλλης ἔθνους προσκαλούμενος. τὸ δὲ κύριον ἔνο-

μα τὶ. Γελαδᾶ, ἰχθύς. Γέλα, πόλις Σικελίας. Γελαῷος, ὁ γέλως. Γελᾶν, ἐλᾶν. ἀντὶ τοῦ γελᾶν, ἐλῶν μοχθῶν, Δωριεῖς λέγουσι. Γελανηφόν, φαιδρόν. Γέλαν, αὐγὴν ἡλίου.

Γέλανοι, εἶδος ἱππομάχων, καὶ εἰς πόλεμον οὐκ ἐπιτήδειον. Γελαστικὸς, ἀντὶ τοῦ γελαστικός. Ἀκριβῶς. Γελάδες, γαλῆναι. λάκωνες. Γέλαδος, ἀδελφοῦ γυνή. Φρύγιοι. Γέλας, μέτας. Γελασείω, ἐπιθυμητικῶς ἔχω τοῦ γελᾶν. Γελασίμοις, γράμμαις, ταῖς ἐκ τοῦ γελᾶν γινομέναις. Γελάσιμον, μὴ λέγε, ἀλλὰ γελοῖον. Γελάσαι, καθὰ καὶ τὸ ἐγέλασα, εἰκὸς γενέσθαι ἀπὸ τοῦ γελῶ γελάζω, ἀρχαῖον ῥῆμα. ὁμοίως γὰρ ἀγῶ, ἀγάζω, ὅθεν τὸ ἀγαστόν. καὶ ἀποβολῇ τοῦ σ, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, ἀγαθόν.

Γελασεὶς, ὁ ἐπιγγελῶν. Γελαστός. γελάω γελῶ γελάσω, γεγέλακα, γεγέλασμαι, γελαστός. ὅτι γὰρ ἔχει βραχὺ τὸ α ὁ μέλλων, προσλαμβάνει τὸ σ ὁ παρακείμενος, καὶ ἐξ αὐτοῦ ἐγέλασε.

Γελάσω, καὶ ἔστι δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ τὸ α σύμφωνον ἔχουσι πρὸ τοῦ ρ, βραχὺ τὸ α ἔχουσιν. ἔστι δὲ πρὸ τοῦ α φωνῆεν ἢ τὸ ρ, μακρὸν ἔχουσι τὸ α, οἷον ἰῶ ἰάσω ἰάσω, περῶ περάσω περάσαι. Γέλγιθες, σκορόδων κεφαλαί. Γελγιλ, ὁ τροχὸς ὀνομάζεται. ὁ ἀνακυκλισμὸς, καὶ ἀνάκαμψις. ἑβραϊστὶ δὲ, γὶλ λέγουσι. Γέλγει, βαπτίζει, χρηματίζει. Γέλγη, ὁ ῥῶπος, καὶ βάμματα, ἢ ἄτρακτοι, καὶ κτένες. Γελγοθεῖον, παντοπωλεῖον. Γέλγια, πῖνοι, σπάθαι, κηλάρια. Γέλια, γέλεα.

Γελεῖν, λάμπειν, ἀνθεῖν. Γέλινος, ἀσφοδελὸς, αἴγειρος. Γέλιν, ὅρμιον. Γελιόεσσα, ἐρίβωλος. Γελίνα, ἐλίξ.

Γέλλαι, τέλλαι. Γελλίζειν, γαργαλίζειν. Γελλίζω, συνθλάω. Γελλὼ, δαίμων, ἣν γυναῖκες τὰ νεογνὰ παιδία φασὶν ἁρπάζειν. Γελοδυσία, ὀλιγοδυσία. Γελοῖον, πλεονασμὸν ἔχει τοῦ δευτέρου. ὡς καὶ τὸ ὁμοῖον, πλεῖον, ἐποιεῖν, ποιεῖν, ποῖον, ἀγλαοῖον. Γελοῖον περισπωμένως, τὸ γελωτοποιὸν λέγουσιν, οἷον τὸ μικρόν. γέλοιον δὲ, τὸ καταγέλαστον. δοκεῖ δὲ φασὶ τῶν παλαιῶν ἀττικῶν εἶναι, περισπᾶν τὰ τοιαῦτα, ὁμοῖον, ἑτοῖμον, γελοῖον. τὸ δὲ γελοίιον, πλεονασμὸν ἔχει τοῦ ι, ὡς ἀπὸ τοῦ γελοίιον, ἤγουν ἐγέλων γενόμενον. ἔστι γὰρ γελόω, ὡς ὁρόω, βοόω, καὶ τὰ τοιαῦτα. διὸ καὶ γελόωντες ἔφη, ἐν τοῖς ἑξῆς. καὶ, Αὐτὰρ ἐγὼ γελόω καὶ τέρπομαι. καὶ τρεῖν δὲ αὖθις, γελοίωντες εἶπον, κατὰ ὅμοιον πλεονασμόν. οὐκ μὴ ἔχων εἰπεῖν γελόωντες μετὰ ἐκτάσεως τῆς δευτέρας συλλαβῆς. τὰ γὰρ διὰ τοῦ ον ἐκ τῶν δύο συλλαβὰς ἔχοντα, μακρὰν θέλει ἔχειν τὴν προπαραλήγουσαν. ὡς τὸ μνωόμενοι. τὸ δὲ γελόω, βραχείᾳ συλλαβῇ προπαραλήγεται. ὅθεν διὰ προθήκης τοῦ ἰῶτα ἡ τοῦ παραληγούσης ἔκτασις γίνεται ὁμοίως. ὥσπερ, ὀκνείοντα ὀκνείοιεν, καὶ γὰρ ἀλοῶ ἀλοιῶ. Γελοῖος, κοινῶς. γέλοιος ἀττικῶς. γελοῖος, ὁ καταγέλαστος. γέλοιος δὲ, ὁ γελωτοποιός. γελοῖον δὲ οὐδετέρως, τὸ γέλωτος ἄξιον. γελοῖος, ἠλιθὸς, γελοιαστής. καὶ ὁ καταγέλαστος ἄνθρωπος, ἢ λοίδορος. Γελοίωντες τετύχηκεν, βέλτιον οὕτω γράφειν παρ' Ὁμήρῳ ἐν ὀδυσσείας σ. ἐν δὲ τοῦ γράφεται γελώωντες διὰ τοῦ δύο ωω μεγάλου, νοητέον τῶν οἱ δίφθογγον τοῦ γελοίωντες τραπῆναι εἰς ω. ὁμοίως γὰρ ἀγλαῶν ἢ ἀγκοίνῃ, καὶ τοῖς ἄλλοις. Γέλοστρον, ἔλυτρον, ἤγουν λέπυρον. Γελόω, ἐκ τοῦ γελῶ α, γίνεται πλεονασμῷ τοῦ ο. ὥσπερ γίνεται ὁρόω, ἐκ τοῦ ὁρῶ ὁρᾷς. Γελοιοπωλεῖν, ῥωπολεῖν, παντοπωλεῖν. Γελσόν, ἀτυχές. Γελωτοποιεῖν, γελοιάσαι. Γελχάνος, ὁ πάντα κρίνων. Γελῶ, εἴδωλον ἐμπούσης, τὸ δῶρον τῆς παρθένου. Γέλω ἔκθανον. ἄδηλον εἴτε κατὰ ἰσοσυλλάβου κλίσιν ἢ διοσυλλαβία γὰρ γέλω, εἴτε καὶ κατὰ ἀποκοπὴν ἐκ τοῦ γέλωτι, ὅτι οὐδ' ἂν ἔχει τὸ ι προσγεγραμμένον. ἡ δὲ αἰολεία καὶ ἐπὶ τοῦ ἥρῳ ἀντὶ τοῦ ἥρωι. δῆλον ὡς ἀφελῶς. καὶ γλυκίως τὸ ἄγαν γελάσαι, γέλῳ ἔκθανεν λέγεται. ἤγουν ἔξω, καὶ ὡς εἰπεῖν ἐπιπολαίως θανεῖν, καὶ οὐ κατὰ τὸ κυρίως θανεῖν, ὃ διὰ βάθους χωρεῖ. ἐνταῦθα δὲ σημαίνει τὸ ὑπὸ ὀδύνης ἐκλύεσθαι, θανά-

ὁ ἐξ ἀργυρίου ῥῶν. γαυλὸς δὲ ὀξυτόνως τὸ ποιμενικὸν ἀγγεῖον, εἰς ὃ τὸ γάλα ἀμέλγονται. παρὰ τὸ γῶ τὸ χωρῶ, καὶ λαμβάνω, γίνεται γαυλός. καὶ οὐ πάντως δὲ παρὰ τὸ γάλα λαμβάνειν. λέγεται δὲ καὶ τριήρης γαυλὸς, διὰ τὸ πλοῖα λέγεσθαι, ὥς φησιν Ἡρόδοτος ἐν τῇ τρίτῃ τῶν ἱστοριῶν. ἔστι δὲ καὶ εἶδος πλοίου λῃστρικοῦ, ἥτις καὶ λιβυρνὸς καλεῖται. ὁ γύαλος δὲ ἐστὶ, τουτέστι κοῖλος. Ἡρόδοτος, γαυλούς τι ἐνταῦθα κατακλύσαι. ἢ ἐν ἐπιγράμμασι, γαυλοὺς γάλακτος ὀχετούς. ὁ γαυλὸς, ὁ τοῦ φρέατος ἀντλητήρ. ὁ γαυλὸς, ναῦς, ἄκατος. Γαῦραξ, ὁ γαυριῶν. γαύρηξ, ὁ σεμνυνόμενος.

Γαυριᾷ, ἀγάλλεται, θρασύνεται, ἐπαίρεται. Γαυρίαμα, καύχημα, ἔπαρμα, φρύαγμα. Γαυροσόλης, ὁ ὑπερήφανος.

Γαῦρον, τὸ ἐπηρμένον. Ἀριστοφάνης δὲ, τὸ σοβαρὸν καὶ μέγα, καὶ ἔκδηλον, καὶ ἀκατάπληκτον, γαῦρον λέγει. Γαῦρος, θρασὺς, ὑπερήφανος, αὐθάδης, σεμνὸς, μεγαλοπρεπὴς, ἢ μετέωρος, ἀλαζὼν, ἐπαιρόμενος. Γαύρῳ, μεγάλῳ, ἀκαταλήπτῳ. Γαυσίλας, φαλός. Γαυσάλιτος, ὄρνεον παρὰ Ἰνδοῖς. Γαυσὸν, στρεβλὸν, χωλὸν, σκολιὸν, διεστραμμένον. Γαυσὸς, κυρτὸς εἰς τὰ ἔξω, παρὰ τῷ Ἱπποκράτει. Γαυσῶσαι, προσπλάσαι, κολλῆσαι. Γαφάγας, σκύλαξ. ὑπὸ Συρακουσίων, ὃν ἡμεῖς ἕτερον. Γάφυρον, τὸ ἐκ γῆς ῥέον, ἢ γηγενές.

ΤΟ Γ ΜΕΤΑ ΤΟΥ Ε.

Γεγάασι, γεγόνασιν. ἀπὸ τοῦ γείνω, ὁ μέλλων γενῶ, ὁ παρακείμενος γέγαγκα, μέσος γέγονα. τὸ τρίτον τῶν πληθυντικῶν, γεγόνασι. καὶ κατὰ συγκοπὴν, καὶ πλεονασμῷ τοῦ α, γεγάασιν. ὁ γείνω γενῶ, παρακείμενος γέγακα, κατὰ συγκοπὴν γέγαα, καὶ γεγαῶς μετοχή. τὸ ῥῆμα, γῶ. ἐξ οὗ καὶ τὸ γείνω, ὁ παρακείμενος γέγακα. καὶ οἱ Ἴωνες ἐπὶ τοῦ παρακειμένου ὅτε ἀφαιροῦσι τὸ σύμφωνον, τότε καὶ συστολὴ τοῦ φωνήεντος ἐπακολουθεῖ, οἷον βεβήκασι, βεβάασιν. οὕτως οὖν καὶ γέγακα γέγαα, ὁ μετοχὴ γεγαὼς γεγαότος. αἱ μετοχαὶ, αἱ μὲν ὥσπερ ἀπαθεῖς διὰ τοῦ ο κλίνονται, καὶ τὸ θηλυκὸν ἔχουσι διὰ τοῦ υια. αἱ δὲ κατὰ πάθος, τὴν κλίσιν μὲν ἔχουσι διὰ τοῦ ω, καὶ τὸ θηλυκὸν μετασχηματίζουσιν εἰς ῶσα. οἷον ἑστὼς ἑστῶσα, γεγὼς γεγῶτα. Γέαγια, κουράλια.

Γέαρ, ἔαρ. Γέβοντρ, φόφορ. Γέβους, ζυγά. Γεγάλαμαι, γεγαλήνισμαι, διακέχυμαι. Γεγαλᾶ, γεγανωμένη.

Γεγάμεν, γεγονέναι. παρὰ τὸ γῶ γάσω, γέγαμαι, ἀπολείψει γεγάναι. καὶ Δωρικῶς γεγάμεν, ὡς ἑστάναι ἑστάμεν. Γεγανωμένα, λελαμπρισμένα, ἢ χαῖρον, ἢ διακεχυμένος. ἢ κεκαλλωπισμένος. καὶ γανωθεὶς, οἷον καλλωπισθείς. καὶ γανῶσαι, ἐπὶ τοῦ λαμπρῦναι. καὶ γανῶν, λαμπρύνων. καὶ γανερὸν, λαμπρὸν, λευκόν. καὶ γάνος, ὕδωρ, χάρμα, φῶς, λίπος, αὐγὴ, λευκότης, λαμπηδών. ὑπὸ δὲ Κυπρίων παράδεισος. Γεγαὼς, γεγονὼς, ὑπάρχων. Γέγγε, βρέχε. Γέγειαι βόες, αἱ ἀρχαῖαι. Γέγεος, παρὰ τὸ γέα, γέος, ὡς βαθύγεος, εὔγεος, ἔγγεος. οὕτως οὖν καὶ γέγεος, πλεονασμῷ τοῦ γ. Γεγένημαί σοι φίλος. καὶ ἐγεγένετό μοι τάδε, ἤγουν ἐγένετό μοι. Γεγωνεῖσθαι ἐπὶ μόνου ἐμψύχου λέγεται. τὸ δὲ γεγονέναι, καὶ ἐπὶ ἀψύχου. καὶ γεγένηται, ἀπὸ τοῦ γενῶ γενήσω, γεγένηκα, γεγένημαι γεγένησαι γεγένηται.

Γέγηθε, χαίρει, ἥδεται, γελᾷ. Γεγηθὼς κατὰ συγκοπὴν ἀπὸ τοῦ γεγηθηκὼς, ἀπὸ τοῦ γέγηθα. Γεγισῶσαι, τρίβλεσ. οἱ δὲ τρώγειν. Γεγλίσχρον, ἥσυχον. Γέγλαυται, κεκοίλανται. Γεγλάσεται, ἀντιγελάσεται. Γέγονα, ἐκ τοῦ γείνω ἀρχαίου, μέλλων γενῶ. μέσος παρακείμενος γέγονα. Γέγονε καλῶς, καλὸς ὑπῆρχε. Γεγονὼς, ἀντὶ τοῦ ὑπάρξας, ἢ ἀντὶ τοῦ γενηθείς. Γεγραμμένοι, ἐζωγραφημένοι, ἢ ζωγραφούμενοι. Γέγραπται, ὥρισται, δέδοκται, διώρισται, τέτακται, διατέτακται, κεχειροτόνηται, ἐκκεχειροτόνηται, νένικται, δεδοκίμασται, ἐξήτασται, κέκριται, προβέβληται, βεβούλευται, κεκύρωται, ἐπικεκύρωται, πάλαι προσήλευται.

ταῦτα φαίης δ' ἂν, ἐπὶ τῶν ἄλλα γεγραμμένων νόμων ἢ ψηφισμάτων. Γέγραφα, διὰ τί τὸ γράφω ὁ παρακείμενος ἀναδιπλασιάζεται; ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ ἔχοντα ἐν τῷ παρατατικῷ ἄφωνον πρὸ τοῦ ἀμεταβόλου, τῷ λόγῳ τῆς κοινῆς ἀναδιπλασιάζεται ὁ παρακείμενος, χωρὶς τῶν ἐχόντων τὸ γν. ταῦτα γὰρ οὐκ ἀναδιπλασιάζεται κατὰ τὸν παρακείμενον. οἷον ἔγνων, ἔγνωκα, καὶ ἀνέγνωκα. Γεγραφὼς, γεγραφότος. τὰς εἰς ως τῶν παρακειμένων ἀπαθεῖς μετοχὰς, διὰ τοῦ ο μικροῦ κλίνουσιν αἱ διάλεκτοι πᾶσαι. τινὲς δὲ, καὶ γὰρ ὁ τοιοῦτος διάλεκτος ἄλλα πρὸς ἑκάστας γινώσκεται, τὸ πρὸ τοῦ ως σύμφωνον ἀναιροῦντες συστέλλοντές τε τὴν παραλήγουσαν, διὰ τοῦ ω μεγάλου κλίνουσιν. οὕτω τὸ μὲν μεμηκὼς, μεμαὼς μεμαῶτος λέγουσι. καὶ τὸ τεθνηκὼς, τεθνεὼς τεθνεῶτος. καὶ τὸ βεβηκὼς, βεβαὼς βεβαῶτος. τὸ γε μὴν ἑστηκὼς, ἑσταὼς ποιοῦντες, οὐχ ἑσταῶτος, ἀλλ' ἑσταότος λέγουσι πάντως, διὰ τὸ μὴ δύνασθαι δακτυλικὸν μέτρον δι' ἐκείνου ποιεῖν. ἦν γὰρ ἀμφίμακρος ἐν αὐτῷ ἐπιτασίοις ἄχρηστος. τὸ δὲ δὴ τεθνηκὼς τὴν παραλήγουσαν, αὖθις οἱ ποιοῦντες τῇ προθέσει τοῦ ι ἐκτείνοντες, καὶ τεθνειὼς ποιοῦντες, ὁτὲ μὲν τεθνειῶτος, ὁτὲ δ' οὖν τεθνειότος (ὡς ἂν αὐτοῖς πρὸς τὸ μέτρον λυσιτελῇ) κλίνουσι. τούτων οὕτως ἐχόντων, τίνα τρόπον μεμαὼς μὲν καὶ βεβαὼς, μεμαυῖα καὶ βεβαυῖα τὸ θηλυκὸν ποιεῖ. τὸ τεθνεὼς δὲ καὶ ἑσταὼς οὐχ οὕτως, ἀλλὰ τεθνεῶσα καὶ ἑστῶσα; ὅτι τὸν τῆς ποιητικῆς ἔθος γέγονε, τὰς μὲν μόνου τοῦ κ ἀφαιρεθείσας μετοχὰς, ὁμοίως ταῖς ἀπαθέσι κατὰ τὸ θηλυκὸν προφέρειν. ὡς τὸ γεγακυῖα, καὶ βεβηκυῖα, καὶ μεμηκυῖα. οὕτω δὴ καὶ τὸ γεγαυῖα, καὶ βεβαυῖα, καὶ μεμαυῖα. τὰς δὲ πρὸς τῷ κ καὶ φωνήεντος ἀφαιρεθείσας, ἑτέρως ἐκφέρειν. τὰ γὰρ ἀπὸ τοῦ γεγὼς καὶ βεβὼς καὶ ἑστὼς θηλυκὰ, γεγῶσά φασι, καὶ βεβῶσα, καὶ ἑστῶσα. οἷς δὴ συνακολουθοῦσι καὶ τὸ τεθνεῶσα. ἄλλως τε γὰρ ἐν τούτοις τὸ θηλυκόν. ἔστι δὲ ἄλλο, ὡς συγκοπῆς ἐν τούτοις προσέβη πάθος. Γεγριφὼς, ὁ ταῖς χερσὶν ἀμύξων.

Γεγύμνασο τῶν ἀπεικαζόντων λίθων. ἔστι καὶ πάλιν ἄνθρωπος γεγυμνασμένον τῆς ποιᾶς διαίτης. ἔστι καὶ τῆς ζωγραφικῆς. Γεγυμνασμένα. σώματα ἃ ἐν γυμνασίοις ὑφαίνονται, καλεῖται οὕτω. Γέγυραν, αὐλὴν, ἢ δεσμωτήριον. Γεγυρωμένους, ἐντεταμένους, σώματι κεκαμμένους. Γέγωνε βοήσας, ἀντὶ τοῦ ἐξάκουστον ἐβόησεν, ἵνα δὴ γνῷ, ὅτι βοήσας, ἐγνώσθη ἄν. οὐ γὰρ τὸ γεγωνέναι, ἢ τὸ γεγωνεῖν, ἢ γεγωνίσκειν καὶ τὰ τούτοις σύστοιχα, βοὴν ἁπλῶς δηλοῖ, ἀλλὰ τὸ ἀκουσθῆναι. καὶ ἄλλως δὲ εἰπεῖν, τὸ γέγωνεν οὐκ αὐτὸ μόνον δι' ἑαυτοῦ δηλοῖ τὸ ἀκουσθῆναι, ἀλλὰ καὶ ὁμοῦ μετὰ τοῦ βοήσας. καὶ βοῆσαι μέν ἐστι τὸ κραυγάσαι, γεγωνῆσαι δὲ τὸ γνωστῶς κραυγάσαι. ἔστι δὲ παρακείμενος μέσος τὸ γέγωνα, ἐξ οὗ κατὰ μετάθεσιν τοῦ ω γέγονα κατὰ τοὺς παλαιούς. ἐκ τούτου δὲ οὐ μόνον ἐπίρρημα τὸ γεγωνὸς, ἀντὶ τοῦ μέγα, ἀλλὰ καὶ λόγος ὁ προφορικὸς, παρὰ τῷ Φίλωνι. ὃν καὶ κλίνων ἐκεῖνος εἰς γενικὴν, τοῦ γεγωνοῦ λόγου φησί. καὶ γέγωνε θεοῖσι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἐγνώσθη, ἐφ' οἷς ἐβόησε. Γεγωνεῖν, γνωστὴν φωνὴν σημαίνει, καὶ ἐξάκουστον. καὶ γεγωνεῖν, ἐξάκουστον βοᾶν. ἐπὶ τούτου σημαινομένου τὸ γεγωνέναι εἴωθε τίθεσθαι. γνῶ γάρ φασι, τὸ νοῶ. οὗ μέσος παρακείμενος γέγνωκα, καὶ μεταθέσει γέγωνα, τὸ γνωστῶς βοῶ. ἐξ οὗ τὸ γεγωνεῖν, καὶ γεγωνώς. καὶ τὸ γεγώνει παρὰ Σοφοκλεῖ, οἷον ἐγεγώνει. ὅτι δὲ καὶ γεγωνῶ περισπώμενον ῥῆμά ἐστιν, ἐξ οὗ πρόδηλον οὐ μόνον τὸ γεγωνεῖν, ὅθεν τὸ γεγωνεῖμεν ἀναλόγως, καὶ μετοχὴ ἄρρενος γεγωνοῦντος, ἐν συγκοπῇ γεγωνὼς, διὰ εὐφωνίαν, ἥτις εὐφωνία ἐπραγματεύθη καὶ ἐν τῷ δίδοικα, καὶ διδοικὼς, ἐκ τοῦ δεδοικὼς δεδοικότος, πολλαχοῦ φαίνεται. Γεγωνέμεν, ἀπὸ τοῦ φωνῶ. τροπῇ τοῦ φ εἰς γ, γωνῶ. καὶ κατὰ ἀναδιπλασιασμὸν, γεγωνῶ, τὸ ἀπαρέμφατον γεγωνεῖν, καὶ ποιητικῶς γεγωνέμεν. ἢ ἀπὸ τοῦ γνῶ γεγνῶ γεγωνεῖν καὶ γεγωνέμεν, ἤγουν ἐξάκουστον βοᾶν.

Γεγων. ὁρ. γνόω, γνώσω, γέγνωκα, μέσος γέγονα, καὶ καθ' ὑπέρθεσιν γέγωνα. ὅθεν κατὰ ἀναφορὰν τὴν εἰς τὰ τοιαῦτα σημαίνει

τὶς

ἐν τῷ, Αὐτὰρ ἐγὼ τὸ δ' ἀγείρω, ὄφρα δαείω. ἐν τῷ π τῆς Ἰλιάδος. Γάραξος, ὀλολυγών. Γάργα, αἴγειρος. Γαργαίρειν, λάμπειν, πληθύνειν, κινεῖσθαι, σπαίρειν. Γαργαλίζω, ἐρεθίζω, κινῶ, ὑποσαίνω. προτρέπω ἀπὸ τοῦ κόματος, ὥστε ἐμέσαι. ὅθεν γαργαλὸς, ὁ γαργαλισμός. Ἀριστείδης, ταῦτα γαργαλίζουσι. Γαργαλίζειν διὰ δύο γγ λέγει, ἀλλὰ μὴ διὰ τῶν δύο ρρ. γαγγαλίζειν, Φρύνιχος. Γαργαλισμὸς, κίνησις σώματος.

Γάργαρα, ἐπὶ πλήθους λαμβάνεται. εἴρηται δὲ, ἀντὶ τοῦ ἄφατα καὶ ἀναρίθμητα. σύνθετον ψαμμακοσιογάργαρα. Γαργαρεὼν, ὡς ... κράτης, ἡ λεγομένη σταφυλὴ, ἀπὸ τοῦ ἤχου τοῦ γινομένου ἐν τῷ φάρυγγι αὐτῆς. ὡς δὲ Σώρανος, τὸ ἄκρον τοῦ λάρυγγος, ἀπὸ τοῦ ὁμοφράδους ἤχου, τοῦ ἐν τῇ καταπόσει γινομένου. Γαργαρὶς, θόρυβος.

Γάργαρον. Ὅμηρος, Ἴδην δ' ἵκανε πολυπίδακα μητέρα θηρῶν Γάργαρον. ἀπὸ μέρους τὸ ὅλον συμπεριείληπται. καὶ ἔστι πλατὺς τρόπος ποιητικός. ὅλον μὲν Ἴδην, ὅλον δὲ τὸ Γάργαρον, καὶ μέχρι νῦν τηροῦν τοὔνομα. κληθὲν οὕτω διὰ τὰ ἐξ αὐτοῦ ἀναδιδόμενα ὕδατα, καὶ τὸν ἐντεῦθεν ποιὸν ἦχον. ἐξ οὗ καὶ ἐφ' ἡμῶν τὸ ἀναγαργαρίζειν λέγεται, καὶ ὁ γαργαρεών. οἱ δέ φασι, γ' εἶναι τῆς Ἴδης ἀκρωτήρια. Γάργαρον, Λεκτὸν, Φαλάκραν. τῆς δὲ Γαργάρου τοὺς οἰκήτορας, Γαργαρεῖς καλεῖσθαι. αὐτὸ δὲ οὕτω κληθῆναι, καθ' ὁμοιότητα τοῦ ἐν ἡμῖν γαργαρεῶνος, λόγιος(?) ἀπὸ παντός(?) εἰς ὀξύτερον. ὁ δὲ Γεωγράφος οἶδε Γάργαρα πόλιν, εἰπὼν, Γάργαρα τόπος ἐν τοῖς ἄνω μέρεσι τῆς Ἴδης. ἀφ' οὗ Γάργαρα πόλις αἰολική. Ἄλλως.

Γάργαρον, οὐ μόνον ἄκρον Ἴδης, ἀλλὰ καὶ πόλις Τρωάδος, κατὰ τοὺς παλαιοὺς, ἣν αἰολικὴν εἶναί φασι. λέγουσι δὲ καὶ τὴν πόλιν θηλυκῶς, ἧς οἱ πολῖται Γαργαρεῖς. οὐδετέρως δὲ τὸ ἀκρωτήριον. ὅτι δὲ Γαργαρεῖς ἔθνος ὄνομα, μεμιγμένον ταῖς Ἀμαζόσιν, ἡ αὐτὴ ἱστορία φησί. περὶ δὲ τῶν ἐνοικούντων αἰολικὴν Γάργαρον, ἐπὶ τῇ ἄκρᾳ τῆς Ἴδης φησὶ Διότιμον τὸν Ἀδραμυττηνὸν διδάσκειν γράμματα. καὶ ὅτι δὲ Γάργαρον ἢ Γάργαρα πληθυντικῶς λέγεται, διὰ τὸ εἶναι ἐκεῖ τῶν ὑδάτων ἀνάδοσιν, κατὰ ὀνοματοποιΐαν. ὡς πολλῶν ἐκεῖ ἀναβραττομένων, καὶ ὡς εἰπεῖν ἀναγαργαριζόντων. καὶ ὅτι γάργαρα διὰ τοῦτο ἁπλῶς ποιητικώτερον τὰ πολλά. ὅθεν καὶ ψαμμακοσιογάργαρα ὁ κωμικὸς, τὰ πάνυ πολλὰ ἔφη, δηλοῦσιν οἱ παλαιοί. ὁ δὲ Γεωγράφος λέγει, καὶ ὅτι Γάργαρον ἐπ' ἄκρας κεῖται, ὑποδεικνὺς τὸν ἰδίως Ἀδραμυττηνὸν λεγόμενον κόλπον, τὸν κλειόμενον ὑπό τε τοῦ Λεκτοῦ τόπου, καὶ τῆς ἄκρας, ἐφ' ᾗ τὰ Γάργαρα, καὶ προσαγορευομένης Πύῤῥας ἄκρας. οὗ πλάτος ἀπ' ἄκρας φασὶν ἐπὶ ἄκραν, διάστημα ἑκατὸν σταδίων, ἐντὸς δὲ αὐτοῦ πόλις. ἧς ὑπέρκειται ὄρος, ὃ καλοῦσιν Ἀλεξάνδρειαν, ὅπου τὰς θεὰς κριθῆναί φασιν ὑπὸ τοῦ Πάριδος. καὶ ὅρα τὴν τοιαύτην Ἀλεξάνδρειαν, οὐκ ἀπὸ τοῦ μεγάλου Ἀλεξάνδρου πλουτουμένην, ἀλλὰ τοῦ ἀρχαίου Πάριδος. Γάργασις, γαργαλισμὸς, ὑποκνησμα(?).

Γαργάρια, λίθοι κίβδωνες(?). Γαργηττὸς, δῆμος Ἀθήνησι τῆς Αἰγηίδος φυλῆς. ὅπου δοκεῖ κεῖσθαι τὸ σῶμα Εὐρυσθέως. Γαργέτης(?), ὄνομα κυνὸς Γηρυόνου, ἀδελφὸς τοῦ Κερβέρου, ὃς τὰς βοῦς φυλάττων ἀνῃρέθη ὑφ' Ἡρακλέους. καὶ ἔχει μνῆμα ἐν Ἰβηρίᾳ. γνώριμος δὲ καὶ τρίπους(?) ἡ παιονικὴ ἀνθρώπων. Πάνης(?) δὲ αὐτὸν ὁ Παιονίας σατράπης, δῶρον ἔδωκεν Ἀλεξάνδρῳ τῷ βασιλεῖ. οὐ μὴν οὐδὲ ὁ Μάγνης ὁ κύων, τὸ ῥυσάμενος κτῆμα, ὁ Λήθαργος ἐπώνυμος, οὐκ ἀνώνυμος. ὃς τῷ δεσπότῃ συντέθαπται, καθάπερ μισθὸν ἀντιπεπραγμένος(?). ἀνδρὶ μὲν ἐκεῖνον(?) ὄνομ' ἦν, ἵππῳ δὲ Πόδαργος, Καὶ κυνὶ Λήθαργος, καὶ θεράποντι Βάβης. τὰ μὲν δὴ τοῦ Ἀκταίωνος κυνῶν ὀνόματα κατὰ τὴν Αἰσχύλου δόξαν, κόραξ, ἅρπυια, Χάρων, Λυκίτας. Γάριλον(?), γάρος, καὶ ἔλαιον. Γαρίζειν(?), τόπος καὶ ὄρος. Γαρίζειν(?) δὲ, διὰ τοῦ ι, τὸ γάρκον. Γαραμάντας, τοὺς βαθεῖς(?). οἱ δὲ, ἔθνος λιβυκόν. Γαρίμεος(?), ἐκ τοῦ μηδίκου. ἢ ἐκ τοῦ γαρίκου τὸ μήδικον, βάρβαρον ὄνομα, καὶ ἡ κλίσις καὶ ὁ τόνος. Ἡρωδιανὸς περὶ παθῶν. Γάρκαν, ῥάβδον, Μακεδόνες. Γάρκον, τὸ ἴσον τοῦ πλήμνης σιδήριον, ὃ τὸν ἄξονα δέχεται. Γαρμαφῶ(?), λακκόττας(?), λομπαδεύω(?). Γάρος, ἀρσενικῶς λέγουσιν. ἔστι δὲ οὐδὲν ἄλλο ὁ γάρος, ἢ σηπεδών. Γάῤῥα, ῥάβδος. Γαῤῥῆς, ὄχλος(?). Γαῤῥίαι, γαλαῖ(?). Γαῤῥιώμεθα, λοιδορούμεθα. Γάρβα(?), σφύραινα. κρῦος(?). Γαρύειν, φωνεῖν, καταλέγειν, διακρίνειν, ὑμνεῖν. διαφέρει δὲ τὸ γαρύειν, τοῦ ... ἐκ τῆς ἀναβολῆς, ἐπειδὴ ἴδιος διακρίνειν. ὁ δὲ γῆρυς, ἐπὶ τῆς φωνῆς λέγεται. Ὅμηρος, Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς.

Γασεῖται(?) παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ μυκᾶται. Γᾶς, χώρας, γῆς.

Γάσος(?), ὁ ἀκακίων(?), ὁ ..., καὶ πανοῦργος. ὡς Ἡσίοδος ἐν τῇ Θεογονίᾳ. Γάσκην(?), ἔλεγον(?). Γασσία(?), ἡ ... Γαστερόχειρες, καὶ ἐγχειρογάστορες, οἱ ἀπὸ χειρῶν ζῶντες. καὶ γαστέρες, οἱ τροφῆς μόνης ἐπιμελούμενοι. καὶ γαστρίδες, οἱ τὰς ἕλμινθας ἔχοντες. Γαστέρες, οἱ τροφῆς μόνης ἐπιμελούμενοι. Γαστέρι μάργῃ, τῇ γαστριμάργῳ. Γαστὴρ, ἡ κοιλία. καὶ κλίνεται τοῦ γαστρὸς, κατὰ συγκοπήν. ἀπὸ τούτου κατὰ σύνθεσιν, γαστριμαργία, καὶ γαστρίμαργος, ἤγουν μαινόμενος κατὰ Ὅμηρον. ὡς τὸ, Δίψῃ καὶ γαστέρι μάργῃ. ἡ ἀργὸς αὐτὴν, κατ' ἀντίφρασιν. κατὰ τὴν εἰρημένα θεοῦ Κρῆτας γαστέρας ἀργοὺς, ἤγουν γαστριμάργους. ὡς καὶ λαίμαργος, ὁ τὸν λαιμὸν ἀργός.

Γαστρὶς(?), γονυλὶς(?), ἡ κράμβη. Γάστρα, παρὰ τὸ γαστὴρ γίνεται γάστρα, ἡ εἰς κύτος γινομένη τοῦ λαιμοῦ. καὶ ἐπιγαστρίμαντις, καὶ ἐγγαστρίμυθος. τὸ ὑπὸ τῇ γαστρὶ, κόλπος καλεῖται. τὸ δὲ κατὰ μέσην γαστέρα κοῖλον, ὀμφαλός. καὶ μεσομφάλιον, καὶ ὁ γαστρόκνημος(?), περὶ αὐτὸν τόπος γαγγαμών. ἐπεὶ νεκρῶν ἐστι πλέγμα, ὥσπερ τὸ δικτύδιον, ὃ καλεῖται νῦν γαγγαμών. ἢ ὡς οἱ πολλοὶ, σαγήνη. ὀμφαλοῦ δὲ τὸ ἐν μέσῳ, ἀκρομφάλιον. τὸ δὲ ὑπὲρ αὐτὸ, ἐπομφάλιον. καὶ μεσόμφαλοι καλοῦνται, πλακούντων τι εἶδος. καὶ ὀμφαλητόμος, ἡ μαῖα. ἢ ὁ ἀποτέμνων τῶν βρεφῶν τοὺς ὀμφαλοὺς, ὀμφαλιστής. οἱ δὲ Ἀττικοὶ, καὶ τὸν σύκων πυθμένα, ὀμφαλὸν ὀνομάζουσι. Γάστραι, τὰ ἐπίθετα(?) τῶν μηρῶν. Γάστρη, τρίποδος ὁ πυθμήν. παρηγμένον καθ' ὁμοιότητα τῆς γαστρὸς καὶ μήτρας. Γάστρια, τὰ συγκριθέντα πρὸς τὸ λαχανευθῆναι. οἱ δὲ, κύαμοι, ἢ ῥάφανοι, οἷς ἀντὶ κόπρου χρῶνται, ὅταν αὐξηθέντα λαχανευθῇ. Γαστρίον, τρέφον, ἢ διακονοῦν(?). Γαστρίδες, οἱ τὰς ἕλμινθας ἔχοντες. γίνονται δὲ ἐν ταῖς κοιλίαις αὗται, ὥσπερ τὰ θηρία. Γαστρίδουλος μὴ εἴπῃς, ἀλλὰ γαστρὸς δοῦλος, ἢ γαστρὶ δουλεύων, ἢ γαστρὸς ἥττων. Γαστρίζειν, ἐπὶ τοῦ ἐμπίπλασθαι λέγουσιν Ἀθηναῖοι. οὐκ ἐπὶ τοῦ τὴν γαστέρα τύπτειν. Γαστρίζεσθαι, τὸ κορέννυσθαι, τὸ λαμπρότερον τρέφεσθαι. καὶ ὡς ἄλλος εἶπε, ὑπὲρ τὴν χρείαν γαστριμαργεῖν. ἢ γαστρίζεσθαι κατὰ τοὺς παλαιοὺς, οὐ μόνον τὸ χορτάζεσθαι, ἀλλ' ἔστιν ὅτε καὶ τὸ κατὰ γαστρὸς τύπτεσθαι. Γαστρίζομαι. Ἀριστοφάνης, ἀντὶ τοῦ τὴν γαστέρα τύπτομαι. Γαστριμαργία, ὄρεξις γαστρὸς ἐπὶ πλήθει βρωμάτων, ἀκρατῶς μαινομένη. Γαστρίμαργος, τὴν γαστέρα μαινόμενος. μαργαίνω γὰρ, τὸ μαίνομαι. Γάστριον, βρῶμά τι σκευαζόμενον(?), παρὰ Κρησί. Γάστρις, ὁ περὶ τὴν γαστέρα ἀκρατής. καλοῦσι δὲ, τὸν ἕλμινθας ἔχοντα. Γαστρίσαι, εἰς τὴν γαστέρα πλῆξαι, ἢ χορτάσαι. Γαστροειδὲς, στρογγύλον, καὶ γαστρῶδες(?). Γαστρόχνης(?), σκεῦος μαγειρικόν. Γάστρων, παρὰ τῷ Ἀριστοφάνει, γαστρίμαργε. εἰσάγει δὲ τὸν Διόνυσον, στρογγύλον(?) καὶ εὐδαιμονέον(?), ἀπὸ τοῦ ἀργίας καὶ οἰνοφλυγίας. Γατάλαι(?), οὐλαί(?). Γαυλοὶ καὶ σκαφίδες, ἀγγεῖα εἰς τὸ ἀμέλγειν χρήσιμα. γαυλοὶ, παρὰ τὸ γάλα γίνονται. πλεονασμῷ τοῦ υ, ὀξυτόνως προφερόμενοι. βαρυτόνως δὲ, εἶδός φασι πλοίου στρογγύλου. οὗ χρῆσις καὶ παρὰ τῷ κωμικῷ. ἔστι δὲ καὶ ἡ ἀντλία. Γαῦλος, φοινικὸν σκάφος. δὲ παρὰ Ἀριστοφάνει προκειμένου(?). ἐπὶ δὲ τοῦ ἀγγείου, ὀξυτόνως. Καλλίμαχος, κυπρόθεν Σιδώνιός με κατήγαγεν ἐνθάδε γαῦλος. Ἄλλως.

Γαῦλος πλοῖον ἐστι φορτικόν. ὡς καὶ σκάφος, ἀπὸ τοῦ σκάπτω(?). Ὅμηρος, γαυλοί τε σκαφίδες τε. Ἄλλως. Γαῦλος, ὁ ...

ὁ ὑς(?)

πρὸς ἀγγέλων γὰρ φασὶ λέγονται. κλίνεται δὲ ὁ γάλως, ἢ ἰσοσυλλάβως ἀποβολῇ τοῦ σ, ἢ περιττοσυλλάβως, ὡς ἥρως. παράγεται δὲ, ἢ παρὰ τὸ γάλα διὰ τὸ γαλήνειν, καὶ προσηνὴς τῇ κατὰ ἀγχιστείαν ἐγγύτητι. ἢ παρὰ τὸ καλεῖν, ἢ μάλιστα τῶν ἀγχιστευόντων καλεῖσθαι. Γαμαλο, κάμηλος, παρὰ Χαλδαίοις. Γαμβρὸς, ὁ γάμμορος, ὁ γῆς ἀμέτοχος. Γαμβρία, δῶρα. ἢ δῶρα γαμβροῦ. Γάμβριον, προβάτιον. Γαμβρὸς, παρὰ τὸ γάμος, γαμερὸς. καὶ κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ β, γαμβρός. καὶ γαμβροὶ λέγονται, οἱ ἄνδρες τῶν θυγατέρων. γαμβρὸς καλεῖται ὁ γήμας, ὑπὸ τῶν οἰκείων τῆς γαμηθείσης. Γαμεῖ, ὁ ἀνήρ. γαμεῖται δὲ, ἡ γυνή. καὶ γαμεῖ ὁ λέγουσιν ἀττικοὶ, ἀντὶ τοῦ γαμεῖν, ἔρχεται ὁ λέγων εἰς γάμον. καὶ γαμεῖ λέγεται ἀμεταβάτως, ἀντὶ τοῦ γάμον ἔχει. τουτέστι, συνοικεῖ γυναικί. καὶ γαμεῖ τὴν δεῖνα μεταβατικῶς, ἀντὶ τοῦ εἰς γάμον λαμβάνει, ἤγουν λαβὼν ἔχει. Γαμέοντί τε, γινομένῳ τι, τὸ συμπεραινόμενον παρὰ ἀλλήλων. διά τε τὰ γαμήλια, καὶ ἡ μετὰ τὸν γάμον ζωή. καὶ ἐπὶ παρθένων. πρὸ τῆς γὰρ ζῆν γινομένης, εἶτα εἰς γάμον ἐλθεῖν. κρεῖττον δὲ κατὰ τοὺς παλαιοὺς νοεῖν τὸ γινόμενον, ἀντὶ τοῦ γινομένῳ, συναπτομένῳ. Γαμέτης, ὁ ἀνήρ, ὁ σύζυγος. ὡς τὸ, ἢ δεινὸν τὸ κερδαίνειν γαμέτῃ εἰς εὐσεβεῖν. Γαμήλια, θυσίας τὰς ἐν ἀγορᾷ διδομένας ἐγγραφῇ, καὶ εἰσάγονται ἐπὶ γάμον. ἀφ' ὧν τὸ γαμήλιον καὶ πρῶτον. Γαμήλιος, γαμικός, ὁ εἰς τοὺς γάμους πρέπων πλακοῦς. Γαμηλιών, ὁ τοῦ μηνὸς τοῦ ἔαρος ἰδιώς. Γαμοῦσα διὰ τοῦ ῡ, εἰς γάμον ἐλθεῖν. ὅτι γυναῖκα λαμβάνειν. γαμίσκω δὲ διὰ τοῦ ῐ, τὸ γυναῖκα διδόναι. ὡς δηλοῖ τὸ, πάλαι δὲ ἔδει ἤδη γυναῖκα γαμίσκειν. τοῦτο δὲ ἐκγαμίζειν οἱ ὕστερον λέγουσι. ὡς ὅταν εἴπω, ἐμπορεύεσθαι. Γαμοστόλος, ἀπὸ τοῦ γαμοστολεῖν, διὰ διφθόγγου. τὰ δὲ ἀπὸ συνθέτων καὶ μελλόντων διὰ τοῦ ι. ὡς γάμους ποιεῖν ὑπὲρ δύο συλλαβάς, διὰ τοῦ ει διφθόγγου γράφεται. ἀπὸ συνθέτων, οἷον, ὁλοῦ ὁλεῖν, κολοῦ κολεῖν, κρατοῦ κρατεῖν. ἀπὸ μελλόντων, ὅσα ὅσια, βρῶσα βρωσία, παλιμπόσω παλιμποσία. οὕτως οὖν καὶ γαμῶ γαμήσω γαμησείω. Γαμηλιῶνος, ὄνομα μηνὸς παρ' Ἰωνικοῖς. Γάμοι, ἡ πρὸ τῶν ἡμερῶν τοῦ γάμου. ἢ ἡ λαμπρὰ, παλαιόν. Γάμον. Ὅμηρος οὐ τὸ ἔργον μόνον, ἀλλὰ καὶ τὴν ἑστίασιν γάμον καλεῖ. εἰλαπίνη γάμος, ἐπεὶ οὐκ ἔρανα τάδε ἐστίν. ὁ δὲ γάμος καλεῖται ἀπὸ καὶ συνδυασμὸς, καὶ συνοδος ἀνδρὸς καὶ γυναικὸς, καὶ συνοίκησις, καὶ σύνοδος, καὶ κοινωνία ἐπὶ παίδων σπορᾷ. γαμέτης μὲν, ὁ γήμας, καὶ ἀνὴρ, καὶ πόσις, καὶ ὁ συνοικῶν, καὶ ὁ πρὸς γάμον ἁρμοσθείς. ἡ δὲ γαμετὴ, γαμουμένη, καὶ γυνὴ, καὶ συνοικοῦσα, καὶ γεγαμημένη. Γάμοροι, οἱ παρὰ Συρακουσίοις τὴν γῆν νεμόμενοι, ἢ μοῖραν εἰληχότες τῆς γῆς. ἡ οἱ ἀπὸ τῶν ἐγγείων λαμβάνοντες τὰ κοινὰ διοικοῦντες. ἢ γάμοροι, ἀμέτοχοι, ἐν δημίοις. Γάμος, λέγουσιν ὅτι ὁμιλίας ἕνεκα καὶ συνελεύσεως, ἐπὶ τοῦ συμφέρειν συνελθεῖν τοῦ παρὰ τὸ λαμῶ τὸ λαμβάνω, γίνεται λάμος. καὶ τροπῇ τοῦ λ εἰς γ καὶ Ὅμηρος ἀλλαμένης λέγει τὰς παρθένους, παρθένοι ἀδμῆτες. οἱ δὲ παρὰ τὸ γαμεῖν, γάμος. Γαμοτελεῖν, γάμους ἐπιτελεῖν. Γάμος ποιεῖν λέγουσιν οἱ ἀττικοί, οὐχὶ γάμον. καὶ γῆμαι, οὐ γαμῆσαι. Γαμψαὶ, ἡ γνάθος, ἡ σιαγὼν, παρὰ τὸ κάμπτω, γάμπτω, ὥσπερ παρὰ τὸ θάπτω ταφή. οὕτω καὶ παρὰ τὸ γάμπτω γαμφὸς, καὶ γαμφαί. Γαμφαῖσι, γαμφηλαῖς, σιαγόσι.

Γαμψὸν, ἐπικαμπές. Γαμψὸς, ὁ ἐπικαμπὴς ἐκ τοῦ κάμπτω, καμψὸς, καὶ γαμψὸς τροπῇ τοῦ κ εἰς γ. ὡς τὸ ἐπικαμπεῖν ἐγκαμψεῖ. καμψώνυχες γαμψώνυχες, ἰδίως ἐπικαμπεῖς ὄνυχες. Γαμψοῦν εἶναι τοῦς λέγει Ἀριστοφάνης, ἤτοι τὰς καμπτούσας πλοκίας, πλοκάμους. ἢ ταῖς θηρίων ὀρνίθων κεκαμμένοις. γαμψοὺς δὲ ὄνυχας τοὺς τῶν ὀρνίθων. Γαμψώνυχος, ἐπικαμψής. Γαμψώνυχος, ἐπὶ τῶν γαμψὰ γινόμενον, ἀλλὰ μὴ ἔχει κατ' ἀρχὰς τὸ ψ, διὰ τὸ εὐφωνότερον. Γαμῶ, γυναῖκα ἄγομαι, ἐπὶ ὑμᾶς. Γαμῶ, μὲν λέγει, τὸ γαμεῖσθαι διὰ τοῦ ει διφθόγγου. ὡς ποιεῖν, φιλεῖν. τὰ γὰρ πρῶτος συζυγίας καὶ τρίτης τῶν περισπωμένων ῥημάτων εἰκάσαι,

κὰ, διὰ τοῦ ει διφθόγγου λέγεται. τὰ δὲ τῆς δευτέρας, διὰ τοῦ ᾶ. οἷον, νικῶν, γελῶν γελώσης γελῶν. φοῖνιξ. Γάνα, ἀφθονίαν σώζειν παμπληθείαν, καὶ χέρσον γῆν. Γάνα, πεφυτεῦσθαι. Γανάσαι, σμῆξαι, ἢ δῆσαι. ὡς τὸ, γανάασιν καλοῖς. Γανάωντες, τελείας ὑπὸ τοῦ ὁρᾶν. Γανάων, ἡ γαιῶν, λάμπων. Γαναδάνων, ἀρέσκων. Γάνδαλος, ὁ παγκρατὴς παρ' Ἰνδοῖς. Γάνδιον, κιβώτιον. Γανδόμενα, ἄλευρα. Γάνδος, ὁ παρὰ Λαβίλως, καὶ παιδοφόρος. Ἰνδὶς δὲ γαῖδος. Γάνδωμα, πυροί. Γάνεα, κῆποι. Γανὶν, λακκαῖον. Γανιταὶ, λάχανα, ἄγνωτι. Γάνυμαι, χαίρω. καὶ γάνυσθαι, φαιδρύνεσθαι, χαίρειν, καὶ λαμπρύνεσθαι. Γάνος, ἡ χάρις. καὶ γανοῦμαι, τὸ ἀλοιφῇ καὶ χάριτος πληροῦμαι. καὶ γεγανωμένα πρόσωπα, τὰ χάριτος γέμοντα. Γανόω γανῶ ῥῆμα παρ' Ἀριστοφάνει, ἐγανώθην. καὶ ἕτερον ῥῆμα ἐξ αὐτοῦ γάνυμαι. ἀπὸ ἀρχαίου, εὐφραντικῶς γραφόμενον. παθητικῶς δὲ, εὐχερῶς, καὶ γάνυται. Γανίσκεται δὲ ποιητικόν. καὶ γάνυται, χαίρει ὅτι γάνος, παρὰ τὸ γανῶ τὸ λαμπρύνω γίνεται γάνος. ὡς τὸ, λαμπρὸν γανόωντας, καὶ γεγανωμένος. καὶ γάνυται λέγει τις ἐφεστήκειν, ἤγουν χαίρει, καλλωπίζεται. παρὰ τὸ γῆν, τὸ γανῶ, διὰ δάκρυον τὶς φυτεῖς, ἢ λαμπρὰν, καὶ χλόης αὐτῶν αἰτίαν γινομένην. καὶ γάνος, ὅπερ ἐνομάζω ὀπώρα. γάνος καὶ οἶνος. ἔτι ὁ παλαιότερος, καὶ χάρμα, φῶς, αὐγὴ, λάκκος, λαμπηδὼν, ἡδονή. καὶ ἀπὸ φρυγῶν καὶ βαθμῶν, ἢ ὕδωρ. Γανὸν, χαίροντα, λελαμπρυσμένον. Γάνυμαι, χαίρω. Γανυμήδης, παρὰ τὸ γάνος, διὰ τοῦ η γράφεται. ὡς ἐκ τοῦ γῆθος, ἐξ οὗ τὸ γανίαν, καὶ τὸ γανίσσειν. ἵνα ᾖ γανυμήδης, ὁ ἡδὺς βουλεύεσθαι. ἱστορία.

Γανυμήδης ὁ ἁρπαγεὶς, δῶρον αἰτήσεται τοῦ παιδὸς θάνατον, ὁ παῖς πολλὰ οἱ μῦθοι πλάττουσι. λέγεις δὲ φασιν ἀπὸ τοῦ ταντάλου τὸν ἁρπαγῆναι, καὶ ἐν κυνηγεσίῳ ποτὲ, καὶ ταφῆναι ὑπὸ τοῦ μυσίου ὀλύμπου. οἱ δὲ ἱστοροῦσιν, ὑπὸ Μίνωος ἁρπαγῆναι, καὶ τὸν τόπον ἁρπαγὴν καλεῖσθαι. φασὶ δὲ καὶ ὅτι βιαζόμενος, κατακρημνίσαι ἑαυτόν. ὑπὸ δὲ πατρὶ ἐπιμηθεῖ πλάσμα, ὅτι διὰ ὕλης καὶ νέφους ὑφ' ὑψηλοῦ αὐτὸν οἰνοχόον ὑπὸ Διί. ὅτι δὲ καὶ ἀπὸ τοῦ οἰνοχόου, λαλοῦσι καὶ οἱ τῶν κατὰ τὴν κῦρον. ἄλλως ἡ ἀκριβεστέρα φαίνει, οἰνοχόον παρὰ τοῖς παλαιοῖς εὐγενέστατοι παῖδες, ὡς ὁ τοῦ Μενελάου υἱός. παρὰ ῥωμαίοις δὲ φασι τισὶν παῖδας τῆς λειτουργίας ταύτης ἱστόρουν, ἐν ταῖς δημοτελέσι θυσίαις. οὕτως οὖν καὶ ὁ μῦθος οὗτος τὰ κατὰ τὸν γανυμήδην ποιεῖ Διὶ κιρνάντα. Σαπφὼ δὲ ἡ καλὴ, τὴν Ἑρμῆν οἰνοχοεῖν φασι θεοῖς, ἐμφαίνουσα ὑπὸ καὶ θεοὺς ὁλόγως χεῖται προσβαίνειν τὰ συμπόσια. καὶ μὴν καὶ κατὰ δὲ Δίω, ὧν ὁ Ὁμηρικὴ Θέμις ἐμφαίνει συμπαροῦσα πως, τοῖς οὐρανίοις. καταλείπω δὲ αὐτὴν Σαπφὼ, καὶ τὸν Λαβρίχον ἀδελφὸν αὐτῆς ἐπαινεῖ, ὡς οἰνοχοοῦντα ὑπὸ πρυτανείῳ τῆς Μιτυλήνης. καὶ Εὐριπίδης δὲ, ὃν κατὰ λόγον ὁ Δίφιλος εἶπε, λέγεται οἰνοχοεῖν ἀθλώσεσιν ὀρχησαῖς. μυθεύεται ἡ οἰνοχόος θεοῖς Ἥβη. τοῦτο ἐστι διὰ τὸ ἀλεξητήριον καλεῖσθαι τὰ συμπόσια. εἰ καί ποτε ἄτιμον σωματικὸν τὸ κίνημα λέγει ἀλλὰ. ὅτι ἡ παρὰ τῆς ἱερείας εἰς τὴν τοῦ πρυτάνεως ἑορτὴν οἰνοχοοῦντας θύουσι ταύροις ἐκάλουν, ὡς τοῖς τῶν Ἀθηναίων καὶ αὐτὴν κιστήν. Γανύματα, ἀρτύματα. Γανερὸν, λαμπρὸν, ἡδὺ, ἱλαρόν. Γανύονται, χαρίσονται, διαχυθήσονται, εὐφρανθήσονται. Γανύσκεται, ὅ ἐστι χαρίεις. ὡς ἀπὸ τοῦ γανύω, ἐξ οὗ καὶ τὸ γανύνω, οὗ μόνον ἐν τῷ γάνυμαι αὐτοῦ δὲ ἔστιν ἐπὶ μέλλων. Γανύσσει, χαίρειν, εὐφραίνει, λαμπρύνει, καὶ γελᾶ, ἡδύνει. Γανοτιλεῖν, γονυπετεῖν, ἡδύσματα ταντεῖν. Γανώδης, λαμπρυνθείς. Γανῶσαι, λαμπρῦναι. Γάλιφα, ὄχρει, καὶ οἰκεῖαι. Γασιλεῖν, ὁμιλεῖν. Γαῦρος, ὄλκημα, τρίγωνοι. Γὰρ σύνδεσμος, πανταχοῦ μὲν λόγου ὑποτάσσεται, καὶ αἰτιολογικὸς σύνδεσμος ἐστιν. ἢ ὅθεν ἢ δὲ ἀρθρώσαντες ἦρος. ὁ κείμενος ἐπὶ ἐρωτήσεως, ἀντὶ τοῦ δὲ κεῖται. ὡς παρὰ φ. ἀλλὰ τίς γάρ σ' ἀνάγκη τῆδε προσβήσει βροτῶν. Γὰρ σύνδεσμος, εὑρεῖσθαι ἄρθρος κείμενος παρ' Ὁμήρῳ. ὡς.

ἦ γὰρ

[illegible], ὁ ἀπὸ τοῦ κίονος [illegible]. καὶ βωμὸς λίθους καὶ ἀφελείας, ἀθύσαντες ἐπ' αὐτὰ βοῦς παλαιούς, περὶ τὴν τοῦ παλαιοῦ ἀθηνᾶς [illegible]. καθὰ καὶ Παυσανίας ἱστορεῖ. ὡς οἱ μὲν παλαιγονοὺς, οἱ δὲ τροφοὺς τῆς θεᾶς φασὶ γενέσθαι. ἔστι δὲ αὐτὸ εἰληφὸς μετὰ τὴν χάριν τὴν διδασκομένην, ἢ τὰ πρὸς φρόνησιν ἀθηνᾶς, ἢ τὰ πρὸς ἄλλας τέχνας, ὧν ἀθηνᾶ ἐπιστατεῖ. αἰδοῦ τε ταῦτα εἰς τοὺς διδασκάλους καὶ ἀφελῶς αὐτοῖς προσφέρεσθαι καὶ ἀπειθεῖν [illegible], εἰ μὴ εἰδότας. τὸ γὰρ ἔξω τῆς δίκης φθέγγεσθαι, πονηρίαν τι ἔχει ἄγροικον, καὶ τοὺς διδασκάλους λυπεῖ. Βωμοὺς, ἓξ λέγει Ἡρόδωρος ἐν Ἡρακλεῖ ἐν Ὀλυμπίᾳ ἱδρῦσθαι, καὶ δώδεκα θεῶν ἀγάλματα. συμβώμους δὲ αὐτοὺς ποιῆσαι, ἓξ βωμοὺς κατασκευάσαντα. Ἄλλως.

Ὀλυμπίασι βωμοί εἰσιν ἓξ δίδυμοι τοῖς θεοῖς ἐπιφημισμένοι. ἑκάστου βωμοῦ δύο θεοῖς καθωσιωμένου. τὸν πρῶτον, Διὸς καὶ Ποσειδῶνος. τὸν δεύτερον, Ἥρας καὶ Ἀθηνᾶς. τὸν τρίτον, Ἑρμοῦ καὶ Ἀπόλλωνος. τὸν τέταρτον, Χαρίτων καὶ Διονύσου. τὸν πέμπτον, Ἀρτέμιδος καὶ Ἀλφειοῦ. τὸν ἕκτον, Κρόνου καὶ Ῥέας, ὥς φησιν Ἡρόδωρος. οὓς βωμοὺς ἐπιγραφόμενοι, [illegible], καὶ ἡμίεργος κέλευθος. Βωμώ, οὕτως ἡ μήτηρ ὠνομάζετο. Βῶν, βαῦν, ὅπλον. Βώνομα, ὕφασμα. Λάκωνες. Βωτίνας, ὁ βουκόλος, ἢ ἀγροῖκος. Βῶκος, ἄγροικος. Βῶξ, ὁ βάτραχος, ἢ εἶδος ἰχθύος, ὃς ἐκπέμπει ἦχον φωνῆς. παρὰ τὸ βοῶ γίνεται βοὰξ, καὶ κράσει βῶξ. φασὶ δὲ καὶ δισυλλάβως λέγεσθαι. Ἀριστοφάνης, ἀλλ' ἔχουσι γαστέρα καὶ βοάκων. καὶ Φερεκράτης, οὐκ ἔστιν ἄλλος οὐδεὶς ἢ βόαξ. Βῶλος, βοῦθρος. οὕτω Κρατῖνος. Βωρθία, ὀρθία. Βῶμον, θρῦον. ἐπὶ βῶμα συμφοράς [illegible].

Βῶρες, ὀφθαλμοί. Βῶρος, ὄνομα κύριον. Βῶς, ἀσπίς, πέλτα, βόρβος, καὶ ποιὸς ἰχθύς. Βώζειν, ἐκ τοῦ βοάζειν κέκραται. ὡς καὶ ὁ βῶξ ἰχθύς, ἐκ τοῦ βόαξ. εὕρηται δὲ καὶ διὰ τοῦ ο. καὶ οὐ μόνον διὰ τοῦ ω βόαξ. Βωσάτω, κεῖται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ βοησάτω. Βώσασθαι, σημαίνει τὸ βιώσασθαι. ὡς τὸ, Πῶς τάχος βώσασθαι δυνάμενος. καὶ βώσεσθαι, ἀντὶ τοῦ βιώσεσθαι, ζήσεσθαι.

Βώσομαι, βοήσομαι, ἐπικαλέσομαι. Βῶν ἀγκάλιον, ὅπερ φέρειν, πρὸς διακονίαν τῆς ὑγρᾶς, ὅτι ζώνας βοός. ὅπερ καὶ ἀλίβαντα μὲν οἱ κακοί, λεγόμενοι δὲ βροτοί, ὁ ζῶν. Ἰστέον δὲ, ὅτι οὐχ ἁπλῶς οὕτως ἐπὶ βύρσης τίθεται τὸ βοὸς ὄνομα, ἀλλὰ μετὰ προσθήκης λόγου, ὡς ἔχει τὸ βῶν αἶαν. ὁ σαντόν ἐστι παρὰ τῶν βῶν ἀγκάλιον, καὶ παρὰ βοῶν εἰς [illegible], ἤγουν [illegible]. ὁ πρὸς διακονίαν τὸ ὁμοβόειον εἴρηται. Βωμὸν περὶ κακίας λέγει ὁ ποιητής. ἐπὶ κοσμίας καὶ αὐτὸν ἔχειν ἐφιλοτιμοῦντο οἱ παλαιοί. ἄλλο γοῦν καὶ παλαιὸς βωμὸς ἐπὶ μεγέθει, καὶ ἐφίσιος δὲ, κρατῆρας.

Βῶσιν ἐν Ὀλυμπίᾳ, ἀντὶ τοῦ ἐπιβῶσι. Βώσκειν, ἐπὶ ἀλόγου ζώου λέγεται. Βωσόμεθα, βοησόμεθα, κράσει τοῦ ο καὶ η εἰς ω. σημαίνει δὲ, τὸ ἐπικαλεσόμεθα. Βῶς, ἡ βύρσα. ὡς τὸ βῶν ἀγκάλιον. βῶν δὲ, τὸ σπαρτάριον λέγει. ἀγκάλιον δὲ, τὸ κατάξηρον.

Βωστοῦσι, βομβοῦσιν, ἠχοῦσι. Βωτῆρες, νομεῖς. Βωστρεῖν, καλεῖν. βοᾶν. παρὰ τὸ βοῶ, βοάζω, βοαστὸς, βοαστρῶ, καὶ κράσει βωστρῶ. ἢ ἀπὸ τοῦ βοῶ βοήσω, βοητῶ, καὶ κατὰ κρᾶσιν βωτῶ. ὅθεν τὸ ἐκβωτῶ παρὰ Ἡροδότῳ. πλεονασμῷ δὲ τοῦ σ καὶ ρ, βωστρῶ.

Βωστρεῖ, κράξατε. Βώσασθαι, βιώσασθαι. Βώσω, ἀντὶ τοῦ βοήσω. Βωτιάζειν, βάλλειν. Βωτιάνειρα γῆ, ἡ βόσκουσα τοὺς ἄνδρας. ἢ ἡ θρεπτικὴ ἀνθρώπων. παρὰ τὸ βῶ, βώσω, βώτα, καὶ τοῦ ἀνὴρ ἀνέρος. Ἰστέον δὲ, ὡς τὸ βώτας προσηνέχθη ὁ βούτας, καὶ ἐπεκτικῶς βώτας. ὡς ἐν Λαδοῖ καὶ ὁ παρ' Ἡσιόδῳ βοώτας ἀνὴρ. λέγεται δὲ τὸ βοώτας τὸ ου εἰς ω μεταστραφέντος, κατὰ τὴν μονῆς [illegible]. βώτας εἶπον ἄρα οὐ θηλυκὸν ἡ βῶτις, τὸ βώτιλος. ὅθεν γῆ βωτιάνειρα, ὁ παμβῶτις παρὰ Σοφοκλεῖ λέγεται, ἡ πάντων τροφός. καὶ ἐκ τῶν καθολικώτερον. ἡ γάρ τι βωτιάνειρα, πρὸς εἶδος ἐν λαλεῖται τὸ τῶν ἀνθρώπων. ὥσπερ πρὸς ἕτερα ζῷα εἴδη, τὸ ἱππόβοτον πεδίον, τὸ αἰγίβοτον, τὸ μηλόβοτον, τὸ βούβοτον. Ἄλλως.

Βωτιάνειρα. Ἰστέον, ὅτι γῆς ἐπίθετον ὄντων τῆς πολυβότειρα, βωτιάνειρα, καὶ παμβῶτις, τὸ μὲν καθολικώτερον, σήμαινε τὴν γῆν, πάντα τρεφοῦσαν. οὕτω δέ πως καὶ τὸ βότειρα. μερικὸν δὲ ἡ πολυβότειρα. ἔτι δὲ μερικώτερον ἡ βωτιάνειρα, ἧς πρωτότυπον ἡ βῶτις. ἀφ' ἧς κατὰ σύνθεσιν, ἡ παμβῶτις, ἐκτεινομένης διὰ τὸ μέτρον τὸ ω. καθὰ καὶ ἡ βωτιάνειρα, καὶ ὁ βώτωρ. τὴν μέν τι, ὡς ἀπὸ τῆς βούτης Δωρικῶς ἐξέτεινε ἡ ἀρχαία. ἐξ οὗ καὶ ἡ βῶτις εἶναι δοκεῖ. ὡς γὰρ ὁ δεσπότης καὶ ἡ δέσποτις, οὕτω καὶ ὁ βούτης, ἔτι βῶτις. ὅθεν καὶ ἡ παμβῶτις, καὶ ἡ βωτιάνειρα. Ἰστέον δὲ, ὅτι τῶν τῆς γῆς ἐπιθέτων, τὸ μὲν γενικώτερον τὸ πολυβότειρα, κοινὰ γὰρ ἐπίθετά φασιν οἱ παλαιοί. δῆλον δὲ, ὅτι οὕτω κοινὸν καὶ τὸ παμβῶτις. καὶ πρὸ πάντων, τὸ ἀπείρων καὶ ἄσπετος. Βωτὴν, ἀντὶ τοῦ ἀροῦν. οὕτω Λάκωνες. Βωτίον, ποιμνίον. Βώτιον, χωρίον περὶ τὸ Ἴλιον.

Βώτορες οἱ νομεῖς, παρὰ τὸ βῶ βώσω βέβωται, βωτὴς, καὶ βωτὴρ. ὡς ἐλάτης, ἐλατὴρ. καὶ ἐπεκτάσει βώτωρ. ὡς μέντης μέντωρ. ἢ βώτορες, βωτῆρες, νομεῖς, ποιμένες, βουκόλοι. Βουβοτάνης εἶδος. Τέλος τοῦ β' στοιχείου.

ΑΡΧΗ ΤΟΥ Γ

ΣΤΟΙΧΕΙΟΥ.

ΤΟ ΑΥΤΟ, ΜΕΤΑ ΤΟΥ Α.

Γάμμα τὸ στοιχεῖον, παρὰ τὸ ἀμᾶν τὴν γῆν, ὅ ἐστι θερίζειν, δρεπανοειδὲς γάρ ἐστιν. ᾧ καὶ ὁ τύπος τοῦ γράμματος ὅμοιός ἐστι. καὶ στοιχεῖον γάμμα φασὶν Ἴωνες, καὶ μάλιστα Δημόκριτος, ὃς καὶ τὸ μῦ, μῶ, λέγει. ὡς ἐν τῷ ῥητορικῷ λεξικῷ εὕρηται. Γάκβον, ἄκρον. Γαβαθὸν, τρυβλίον. Γαβαλὰν, ἐγκέφαλον, ἢ κεφαλήν. Γάβιον, ὀρύβαγα, ἤτοι φυβλία.

Γαβρηὸς, ἔργα μισθωτός. Λάκωνες. Γαγγαίνειν, τὸ μετὰ γέλωτος προσπαίζειν. Γαγγαλὶς, ἀλιεύς. ὁ τῇ γαγγάμῃ ἐργαζόμενος. Γαγγαλιεῖν, γαγγαλίζεσθαι, ἥδεσθαι. Γαγγαλιωδῶν, γαγγαλίοις ἐοικότων. γαγγάλιον δὲ, κύρτου συστροφή. Γαγγαλίζω, παρὰ τὸ γελῶ γελίζω, καὶ τροπῇ τοῦ ε εἰς α γαλίζω. καὶ κατὰ ἀναδιπλασιασμὸν ἐτέρου γ, γαγγαλίζω, τὸ εἰς γέλωτα ἄγω.

Γάγγαμος, ὁ εὐμετάθετος, καὶ εὐρίπιστος τῇ γνώμῃ, καὶ εὐμετάβολος. Γαγγάμων, γαγγάμιος, σημαίνει τὸ λαμβάνειν δικτύων. ἔστι δὲ κυρίως γαγγάμη, σαγήνη, ἢ δίκτυον. ὅθεν καὶ οἱ σαγηνευταί, γαγγαμηλοί, οἱ σαγηνεύοντες. Γαγγάμη, σαγήνη, τὸ δίκτυον. Γάγγης, βασιλεὺς αἰθιόπων, ὃν ἀπάντων ἀλέξανδρος, διαπέπλευκε τὸ μῆκος, ἣ δὲ ὕδωρ οἷος οὔ πω τις ἀνθρώπων, ποταμοῦ δὲ γάγγη παῖς. Γάγγραινα, ἕλκους εἶδος σηπτικοῦ, καὶ νεμομένου τὸν τόπον. ἐρπηνώδεις αὐτὰς εἶναί φασιν, ἢ ἐρυσίπελας. καὶ πάθος διαβρωτικὸν σαρκὸς, ἢ πλάνης, ἢ πολυδιάχυτον πάθος ἐν τῷ σώματι. παρὰ τὸ γραίνω, ὁ σημαίνει τὸ ἐσθίω, γίνεται γραῖνα, καὶ ἐν ἀναδιπλασιασμῷ γάγγραινα. Γαγαμοί, δίκτυα. Γαδιδᾶν, χαίρειν. Γάδειρα, νῆσος ἔξω τῶν ἡρακλείων στηλῶν. λέγονται τὰ γάδειρα πληθυντικῶς, ἀπὸ τῆς γῆς καὶ τῆς δειρᾶς, εἰσὶ γὰρ δειραί. τὰ δὲ γάδειρα τῆς γῆς ἐξοχή ἐστιν, εἰς τὸ γάλλος. Γάδιαζε, ὕδιαζε. Γαδὴ, κιβωτός. Γάδης, ὁμολογία. Γάδονται, εὐφραίνονται. Γάδνα, ἴδιον. Γαδοδηκασὴν, ἠφάνισεν.

Γάζα, θησαυρός. καὶ ὄνομα πόλεως. Γαζῆται, οἱ γυλάσται, παρὰ τὸ τὴν γαζεύειν. ἐκπεσόντες γὰρ τῆς ἑαυτῶν χώρας, πολλὴν γῆν περιελθόντες, ζητοῦντες ὅπου οἰκήσουσι. Γαζοφυλάκιον, θησαυροφυλάκιον. Γάια, τὸ λίνος. Γαθεῖν διωρυγὶς, γαθ ἐν κυπρίοις.

Γάθυλον, ἐκ γῆς ῥέον. Γαθία, ἀγαστία. Γαῖα συνηρὸν, ἢ κατὰ ἄλλον. ἡ γὰρ γῆ, φίλη μήτηρ. καὶ διὰ τὸν Δήμητρος τόπον. ἢ καὶ ἄλλως, ὁ τάφος εἰς ἣν, γαῖα συνεῖν, ὡς καὶ ἐρινεὸς συνεραί. Γαῖα, ἡ γῆ, παρὰ τὸ γῶ τὸ τίκτω, ἐξ οὗ γίνεται, γῆα διὰ τοῦ η

τῆς θαλάσσης ἀφροῦ, τῶν ἐκεῖ ὀνόματος. ἦν δὲ τοῦ Νηρέως θυγάτηρ, ὡς φησὶ [illegible]. Βὺξ, βυθός. Βύκανη, κρύπτουσα. Βύσει, φράττουσι, καλύπτουσιν. ἔνθεν καὶ ἀκρόβυστος, ὁ τὸ ἄκρον βεβυσμένον ἔχων. Πισίδης, ἐγὼ δὲ [illegible] οὐ βύειν θέλεις. Βυπτεῖν, βαπτίζειν. Βύρβακος, βάτραχος. Βυρκόμενος, πιεζόμενος, φακελιζόμενος. Βυρίθεν, οἴκοθεν. Βύριον, οἴκημα. Βύρμακα, μύρμηκα. Βυρμὸς, κλαθμός. Βυρρὸς, κάνθαρος, πυρρωπός. Βύρσα, παρὰ τὸ δέρω δέρσα. ὁ μέλλων αἰολικῶς δέρσω. καὶ δέρσα, ἡ βύρσα. ἡ ἐκδερομένη τοῦ σώματος, ἢ παρὰ τὸ ῥύω ῥύσα. καὶ βύρσα, ἡ περιρρεομένη ὑπὸ ἐφθῶν. Βυρσαίετον, τὴν κλίνην λέγει Ἀριστοφάνης, διαβάλλων αὐτόν. συνίθηκε δὲ τὴν λέξιν ἀπὸ τῆς βύρσης, καὶ τοῦ ἀετοῦ. ἁρπακτικὸν γάρ ἐστι τὸ ζῶον ὁ ἀετός. τὸ δὲ ἀγκυλοχείλης, ἐπίθετον τοῦ ἀετοῦ, ὁ ἐπικαμπεῖς τὰς χηλὰς ἔχων. ἐπεὶ δὲ κλέων, τὰς χεῖρας ἀγκύλας ἔχων, πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν. διὰ τοῦτο αὐτῷ οὕτως ἀπείκασεν. Βυρσάβεος, τοῦ τομκαῖον. Βυρσίνας, μυρσίνας. ἦν δὲ αὗται ταμιεῖα ἐπὶ τοῦ τυράννου. Βυρσοδέψης, ἐργάζεται βύρσας. ἔνθεν βυρσοδέψης, ὁ βυρσεύς. Βυρσοδέψην, τὸν Κλέωνα λέγει Ἀριστοφάνης, ἐπεὶ ὁ πατὴρ αὐτοῦ κλέωνος ἐργαστήριον εἶχε δούλων βυρσοδεψῶν. ἢ τὸν κύκλωπα Διονύσου τοῦ κλέωνος, ἀφ᾽ οἷας τέχνης ὁρμώμενος, ἐπράττετο τὸ ἀθηναίων. καὶ βυρσοπαφλαγόνα λέγων αὐτὸν, συνίμιξε τὸ γένος καὶ τὴν τέχνην. Βυρσόκακον, τὴν κλίνην. Βύρτα, λόρα. Βυρύλας, δουῦλας. Βῦσαι, ἐπιθεῖναι, φορτῶσαι, κρύψαι.

Βυσσαλλόμενοι, ὑπὸ βυσσῷ ἐγκειμένῳ. Βύσταλοι, βόθροι.

Βύσαι, πλῆσαι, φράξαι. Βυσαύχην, ὁ συνέλκων τὸν τράχηλον καὶ τὸν αὐχένα μικρὸν ποιῶν, καὶ τοὺς ὤμους ἀνέλκων. Βύσσινος, ἡ βύσσος, καὶ λίνον τι εἶδος παρ᾽ Ἰνδοῖς. ἄλλο καὶ παρ᾽ Αἰγυπτίοις, ἀπὸ ξύλου τι ἔριον γίνεται. ἐξ οὗ ἡ ἐσθῆτα λινῷ ἂν ὡς μᾶλλον φαίη προσεοικέναι πλὴν τοῦ πάχους. ἔστι γὰρ παχύτερον ὑπὸ δὲ λίνου ὁ λεῖος. καὶ βύσσινα, πορφυρᾶ. Βύσινον, κόκκινον. Βυσσοδομεῦ, μεγάλα. ἀπὸ τοῦ καταφερομένου εἰς βυθὸν, διὰ τὸ βάρος.

Βυσσοδομεῖν, τὸ ἐν βυθῷ ἐστι οἰκοδομεῖν, καὶ κατασκευάζειν.

Βυσσοδομεύων, ὁ ἐν ἑαυτῷ ἐν βάθει διαλογιζόμενος, καὶ κεκρυμμένα βουλευόμενος, ἢ ἐνθυμούμενος. Βυσσοδομοῦντες, ἐκ βάθους σκεπτόμενοι. καὶ βύσσωμα θύμον εὐκλώχοιο λίνο βυσσώμασι ῥάψε φράξαντες, ἐλαϊκοῖς ἐν παρόδοις πελάγους.

Βυσσὸν, βάθος, ὀξυτόνως. βαρυτόνως δὲ, σημαίνει βαφὴν ἐκ πορφύρας. Βυσσός, βυθὸς, ἄντρον, πυθμὴν, καὶ χάσμα. ἀντὶ τοῦ ὅσης παραλαμβανόμενον. ἢ πλεονασμῷ, ἢ ἐπιτάσει, γίνεται ἄβυσσος. ὀξύνεται δὲ κανόνι τοιούτῳ. Τὰ εἰς σος ὀνόματα δισύλλαβα, μὴ ἀπὸ φωνήεντος ἀρχόμενα, διπλοῦν ἔχοντα τὸ σ, ὀξύνεται. μεσσὸς, πεσσὸς, βυσσός. ἀπαιτεῖται τὸ νέος, κύριον ὄνομα.

Βυσσοφαλεῖ, μεγαλοφαλεῖ. Βυσσόφρων, κάτωθεν ἐκ σπλάγχνων βουλευόμενος, καὶ ἐκ βυθοῦ φρονῶν. Βυσάγα, πύγαια.

Βυσίχοις, τοῖς ἐν θαλάττῃ βράχεσι. Βύσται, αἱ τῶν λαχάνων ἐσθίοντες. ἔνιοι δὲ, τοὺς ἐκ τῶν λαχάνων ἑψομένους. Βύτανα, κόνδυλοι. οἱ δὲ βρύτανα. Βύτθαν, τὴν ψάραν. Βυτθὶν, πλῆθος. Βυτίνη, λάγυνος, ἢ ἀμὶς, ταραντῖνοι. ἤγουν σαμίον.

Βύττος, γυναικὸς αἰδοῖον. Βύω, τὸ κλείω. Βύωσι, φράξωσι. Βύω, τὸ ἀποσφραγίζω. Βύων, τὰ ὦτα ἐπιφράττων. Βυώσας, πληρούσας, καλυπτούσας, κυφωθείσας.

Βυωθῶν, τῶν ἄρσιν.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Ω.

Βῶ, σημαίνει τρία. τὸ τρέφω, βῶ τὸ πατῶ, βῶ τὸ βαίνω. ἐξ οὗ ὁ μέλλων βάσω. καὶ βέβαιοι τὸ πορεύομαι, καὶ βῆμα, καὶ βῶτα. Βῶ, τὸ λέγω. ἐξ οὗ καὶ βάζω. Βωβὸς, πηρός. Βωβοὺς, χωλούς. Βωβύζειν, σαλπίζειν. Βωδιον, βοίδιον. Βωθεῖν, ἀμελεῖν, βοηθεῖν. Βωθοῦντας, βοηθοῦντας. Βωθύκειν, ὁρμᾶν. Βωθόσω, ἀντὶ τοῦ βοηθήσω. Βωκάθιστον, βωκὸς, τρυφερὸς χιτών. Βωκαλος, τὸ ἱερ, ὑπὸ πρεσβυτέρων. παρὰ τὸ ὑπὸ βίᾳ χαρὰν φέρειν. Βωκολικᾶς, ἀοιδᾶς, δωρικῶς ἀντὶ τοῦ βουκολικὰς ἀοιδάς. ὁμοίως μώσας, ἀντὶ τοῦ μούσας. Βωλάκιον, χωρίον, βώλακας ἔχον.

Βώλαξ, βῶλος, γῆ. Βωλία, βωλὶς, μάζα. εἶδος ἦν ἐν ταῖς θυσίαις. Βωλίτας καλιὰς, ἢ πλινθίνας οἰκίας. Βώλιον, ἢ βῶλος ὑποκοριστικῶς. Βωλοαι, οἱ μὲν κολῶνας, οἱ δὲ τὸ κάλλιον ἀκούουσι, διὰ τὸ ὑπεκκλᾶσθαι, παρὰ Σοφοκλεῖ. Βῶλος, ἡ γῆ. καὶ ξύλος ἄγρα, ἐπὶ τοῦ τί; μεγάλους τὰ μικρὰ προσεοικόσι εἰκασμένων. ὁμοίως ὑπὸ, Θαλάττη ἐκ χαράδρας ὕδωρ. Βωλόρυκα, τὴν σὺν λαχανῶν. Βωμακεύματα, τὰ βωμολοχεύματα. οἱ δὲ, τὰ εὐτράπελα καὶ γελοῖα, ἢ τὰ κολακικά. ἄλλοι δὲ τὰς συκοφαντίας, ἢ τὰ πανουργεύματα. Βῶμαξ, ὁ βωμολόχος, ἀπὸ τοῦ βωμοῦ. τάσσεται δὲ, καὶ ἐπὶ τοῦ μαλακιζομένου. Βώμακοι, οἱ περὶ τοὺς βωμοὺς λόφους καλουμένους καθεζόμενοι.

Βώμαστις, βωμοῦ ἵδρυμα. Βώμησαν, ὤμοσαν. Βωμίσαι, ἀναβάντας. Βωμίσκοι, ἀριθμοί τινες. Βωμοὶ, οὐ μόνον ἐφ᾽ ὧν ἔθυον, ἀλλὰ καὶ κρίσμα ἁπλῶς ἢ ἀνάστημα. ἐφ᾽ οὗ ἐστι βάσει καὶ τεθεῖσθαι. οὕτω γοῦν ἀγαλματίων τινὰ δαίδαλα ἐν χερσὶν ἔχοντα, ἱστάμενα ἐπὶ βωμῶν, ἄγει βάσεων τινῶν ἔφασκεν τοῖς φαινομένοις. καὶ βωμοὶ ἱεροὶ, πρὸς διαστολὴν ἑτέρων μὴ τοιούτων, ὁποῖοι ἐφ᾽ ὧν ἅρματα τίθενται. καὶ βωμοὶ ἐμβολοί εἰσι, οὕτω λεγόμενοι. Βωμοῖς, βαθμοῖς. Βωμολοχία λέγεται ἡ εὐτραπελία, ἐπὶ τῶν ἐκτραπελευόντων παίγνια, δι᾽ ὧν κινοῦσι τοὺς ὁρῶντας, ἢ ἀκούοντας εἰς γέλωτα. Βωμολοχεύεσθαι. κυρίως ἐλέγοντο βωμολόχοι, οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ τοὺς βωμοὺς καθίζοντες, καὶ μετὰ κολακείας προσαιτοῦντες. ἔτι δὲ καὶ οἱ παραλαμβανόμενοι ταῖς θυσίαις αὐληταί τε καὶ μάντεις. καὶ Φερεκράτης τυραννίδι, Καὶ ἔπειτα ἵνα μὴ πρὸς τοῖς βωμοῖς πανταχοῦ ἀεὶ λοχῶντες βωμολόχοι καλώμεθα, ἐποίησεν ὁ Ζεὺς καπνοδόκην μεγάλην πάνυ. ἐκ μεταφορᾶς δὲ τούτου ἐλέγοντο βωμολόχοι, εὐκολοί εἰσιν ἄνθρωποι, καὶ ταπεινοί, καὶ πᾶν ὁτιοῦν ὑπομένοντες ἐπὶ κέρδει, διὰ τοῦ παίζειν τι ἢ σκώπτειν. Ἀριστοφάνης γεργυτάδης, χλευάζω, καὶ καταπαίζεις ἡμῶν, καὶ βωμολοχεύει. Βωμολοχεύμασι, κολακεύμασιν, ἢ ἀπάταις. βωμολόχοι δέ εἰσι, οἱ περὶ τοὺς βωμοὺς λοχῶντες, καὶ κρυφίως ὑποκαθήμενοι, ἐπὶ τῷ ἁρπάζειν τὰ ἐπιτιθέμενα θύματα. Βωμολοχεύματα παρ᾽ Ἀριστοφάνει, τουτέστι βωμολόχα σκώμματα, ἅ ἐστι σκώπτοντας εὐτελεῖς εἶναι καὶ ἀσθενεῖς ἄνδρας. Βωμολόχος, κακοῦργος, ἀσεβής. παρὰ τὸ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιτιθέμενα θύματα, ἢ τοὺς θύοντας, ἵνα αἰτήσαντες λάβωσί τι. βωμολοχία δὲ κυρίως, ἡ περὶ τὸ ἐν παιδιᾷ ὕλη, ὡς Ἀριστοτέλης ἐν Δευτέρῳ Ἠθικῶν. Φερεκράτης βωμολόχοι τίνες, οἱ ἐν τοῖς βωμοῖς ἐρχόμενοι, καὶ ὅτι τὸ θεῖον εὐχαῖς ἱλάσκειν, πολλοῖς εἰσὶ λόγοις χρώμενοι ματαίοις. Βωμὸς, τὸ οἰκοδόμημα, ἐφ᾽ ᾧ ἔθυον. ἀπὸ τοῦ βῶ βωμὸς καὶ ὁ περιέχων τοῦτον ναός. καὶ βωμὸς, ἐφ᾽ ᾧ τὰ ἅρματα ἐτίθεντο. ὡς παρ᾽ Ὁμήρῳ, Ἅρματα δ᾽ ἂμ βωμοῖσι τίθει. ναὸς δὲ ἱερὸν πᾶν τὸ οἰκοδόμημα, ὑφ᾽ οὗ περιέχεται ὁ βωμός. τέμενος, δὲ ἱεροῦ τόπος τοῦ ναοῦ τέμενος, ἐν ᾧ καθιδρύεται τὸ ἄγαλμα. λέγεται δὲ τέμενος ἁπλῶς, καὶ ὁ ἀποτετμημένος καὶ ἀνατεθειμένος τόπος θεοῖ. ὁ βωμὸς, ὁ ὑψηλὸς τόπος. καὶ βωμὸς ἑρκείου Διὸς, ἔσω τοῦ περὶ τὴν αὐλήν. αἴθριος εἶναι δοκεῖ, ὅπως ἐν πολλοῖς φαίνεται. ἐφ᾽ ᾧ ἔθυον Διὶ ἐφόρῳ τοῦ ἕρκους, ὅ ἐστι περὶ τῇ αὐλῇ τοῦ τείχους. ὥσπερ οὖν πάλιν ἐν τῇ κατ᾽ οἶκον ἑστίᾳ, Διὶ ἐγίνοντο θυσίαι, ὃν οἱ μὲν ἄλλοι ἐφέστιον, Ἡρόδοτος δὲ ἰωνικῶς λέγει ἐπίστιον, τὴν αὐτὴν ὄντα ὑπὸ ἑστιοῦχον. καὶ ἔστι τὸ ἑρκεῖος, ὅμοιον ὑπὸ ἑταιρεῖος, κατὰ δὲ χρῆσιν τοῦ παραληγούσας, ὡς ἀπὸ τοῦ ἕρκος ἕρκιος ἑρκεῖος ἢ, κεῖος. κατὰ

κεῖος

λίκων καλοῦσι. Βρύει κάχρυς τὸ λάχνον. Βρύει ἀγαθὰ, ἀντὶ τοῦ πετάζει. Βρύει ὁ λειμὼν ἄνθεσιν, ἀντὶ τοῦ θάλλει. καὶ βρύειν, ἐπὶ τοῦ ἀνθεῖν. βλύειν δὲ, ἐπὶ τοῦ ἀναβάλλειν. βλύζειν, ἐπὶ τοῦ ἐκπιέζειν ὕδωρ. Βρύελλα, τὰ βρούλλα, καὶ βρύλλια. βρυλλίω δίδοται. Βρύκακοι, χιτῶνες βομβύκινοι. ἢ γένος ἰδαγενῶν. Βρύκαι, αἱ ἱέρειαι ὑπὸ Λυκίων. Βρυκανῶμαι, βοῶμαι. Βρυκάν, ἐσθίειν. Βρυκίλακος, τολοφάγος. οἱ δὲ, μακρός. Βρύκος, κάρυξ. οἱ δὲ, βάρβαρος. οἱ δὲ, ἀττέλεβος. Βρυκτὸς, τρύγος, καταδεστὸς, ὡς ὁ λέοντος τρόφιμος. Βρυκταία, εἶδος βοτάνης. Βρύκω, τὸ ἐσθίω. παρὰ τὸ βορὰν, βορύκω, καὶ βρύκω.

Βρύκων, συμπρίων τοὺς ὀδόντας μετὰ ψόφου. Βρύλλαι, πέρδικες. Βρύματα, μυρίσματα. Βρυλλοχισταὶ, οἱ αἰσχρὰ προσωπεῖα περιθέμενοι γυναικεῖα, καὶ ὕμνους ᾄδοντες. Βρύλλων παρὰ τῷ Ἀριστοφάνει, ἐξαπατώμενος. ὑπὸ οἴνου καὶ μέθης. Σύμμαχος δὲ, ὑποπίνων ἐκμιμούμενος τὴν τῶν παίδων φωνήν.

Βρυοθαλλὸν, βρύσμα. Βρυωχὸν, κιθάραν. θρᾷκες.

Βρύξαι, δακεῖν, κατεσθίειν. Βρύονης, ἡ ἄμπελος, ἣν τὴν βωθὸν εἶναι φασί. Βρύον, τὸ ἐκ τῆς θαλάσσης ἀχρειῶδες ἐκφερόμενον, καὶ τὸ πρασώδες. Βρυόχον, κύρτον. Βρυσεῖαι, καὶ αὐγεαί, πόλεις οὐ προκαλοῦνται. πολίτης δὲ τῶν αὐγεῶν, αὐγεάτης. τάχα γοῦν βρυσεάτης ὁμοίως. ἔστι δὲ φασὶ καὶ λακωνικὴ πόλις αἰγεαί. δοκεῖ δὲ πρωτότυπα εἶναι τὸ βρυσεαὶ, καὶ αὐγεαί.

Βρύσις, πηγὴ διαυγής, ἣ τὰς τοῦ ποῦ λύει λύπας. Βρύσαι, κρουνοί. καὶ πόλις κρημνοῦσσα. Βρυτάλαι, ὄνομα γένους ἀπὸ κοῦ. Δημόδαμος ἐν τῷ κατὰ καῖρας. Βρύτανα, κοιλάδους.

Βρύτια, τὰ τῆς σταφυλῆς πιέσματα, παρὰ τὸ τοὺς βότρυς βρύειν. οἱ δὲ ἀττικοὶ, τὰ τῶν ἐλαιῶν ἀλίσματα. Βρυττοὶ, χιτῶνες. Βρύτιχοι, βάτραχοι μικροὶ, ἔχοντες οὐράς. Βρυτωνία, ῥίζα τις, οὕτω καλουμένη. Βρύττιον, ἐσθίειν. Βρυττία σίμφρα, ἰχθύς εἶδος συχρόδα. Βρύττιον, πόμα ἐκ κριθῆς.

Βρύτιον, πυριέντος. οὕτως οἱ ἀθηναῖοι, παρὰ τὸν βρύχετον, ὃ σημαίνει τὸν πυρετόν. Βρυτὸν, πᾶν τὸ ἐκ τροφῆς ποτόν.

Βρύττος εἶδος ἰχθύος πελαγίου, ὥς φησιν Ἀριστοτέλης. οἱ δὲ ἰχθύν. οἱ δὲ τρισυλλάβως, βρυττάκων. Βρύχα, ἡ ὑποβάθρα. Βοιωτοί· ἐν τῷ βρύχιον γράφεται, τὸ ὑπὸ τῶν κυμάτων καλυπτόμενον.

Βρυχάνη, σάλπιγξ καμπύλη. Βρυχᾶσθαι, ἐπὶ λέοντος λέγεται, καὶ ἐφ' ὧν οὐκ ἔστιν ἴδιον ὄνομα τῆς φωνῆς. λέγουσι δὲ, ἐπὶ ἄρκτων, καὶ παρδάλεως. Βρύχει τις τοὺς ὀδόντας, μεταβολικῶς ἀλαλάζει, ὅταν κατὰ ὀργὴν ὀργῶν ἔχει, καὶ σφίγγει αὐτοὺς ὡς συντριβομένων ἀλλήλοις, ἀποτελεῖ κτύπον. λέγεται βρύχειν, ἐπὶ ποταμοῦ. καὶ βρύχει τοὺς ὀδόντας, οὐ τρίζει. Βρύχεται, μαίνεται. κυρίως ἐπὶ τῶν λεόντων. Βρυχητὴν, πυρετόν. Βρυχηθμὸς, στεναγμός, οἰμωγή. Βρύχιον, βυθιζόμενον. καὶ βρύχια ὕδατα, τὰ ὑπὸ γῆς ὀρυσσόμενα. καὶ διερχόμενα, ἦχον ὑπὸ θαλάσσης ἀποτελοῦντα. Βρυχίς, κλῦμα. Βρυχμοί, ψόφοι.

Βρύχος, στεναγμός. Βρυχὸς, κάρυξ. Βρύω τὸ θάλλω, διαλεκτικῶς παρατείνεται. Βρύειν κυριολεκτικῶς λέγεται, ἐπὶ τῆς τῶν ἐλαιῶν ἀνθήσεως. ἐκ δὲ τοῦ τοιούτου ῥήματος, ἔοικε λεχθῆναι καὶ ἔμβρυον, τὸ ἔνδον γαστρὸς βρύον, ἤτοι ἀνθοῦν. ὅτι δὲ βρύειν παρὰ τοῖς ὕστερον καὶ ἐπὶ ὑδάτων λέγεται πηγαίων, καθὰ καὶ τὸ βλύζειν, ἐξ οὗ ἐστι τὸ εἰρημένον ἀποβλύζων, δηλοῖ καὶ ἡ βρύσις. ἧς πρωτότυπον ἐστι τὸ βρύω. ἀφ' οὗ καὶ τὸ ἀναβρύχειν, ὃ καὶ ἀναπιδύειν λέγεται κοινότερον. ἄλλως· δί γε κωμικῶς, πεπολυγοῖν καὶ κολυμβαίνειν, ὡς οἱ παρὰ τῷ Ἀθηναίῳ χῆνες λαλοῦσιν, οἱ ποταμοὶ ἀθέρας καὶ μέλανος ζωμοῦ πλέοι, διὰ τῶν στενωπῶν πεπολυγοίντων ῥέειν, οἷον πλέον ἦχον ἀποτελοῦσιν, ὅθεν ἴσως βεβορυχέν.

Βρυῶδες, λεπτῶδες. Βρῶμα, ἡ φωνὴ τοῦ ὄνου. Βρωμᾶσθαί ἐστι, τὸ πεινῶντα τὸν ὄνον ὀγκᾶσθαι. καὶ βρωμᾶσθαι, ὀγκᾶσθαι.

Βρώματα πληθυντικῶς, οὐ βρῶμα, οὐδὲ βρῶσις. Βρώμη, τροφή. ἐκ τοῦ βέβρωμαι βέβρωσαι, βρῶσις. οὕτως ἐκ τοῦ τέτρωμαι, τρώμη ἰωνικῶς, ὅπερ ἡ τρῶσις. ὡς ἐκ τοῦ ἔρρωμαι, ῥώμη.

Βρώμησις, ἡ φωνὴ τοῦ ὄνου. καὶ βρωμᾶσθαι, βρωμώμενοι. τὸ δὲ αὐτὸ καὶ ἐπὶ ἡμιόνων ἐρεῖς. εἴρηται καὶ ὀγκώμενοι. καὶ ὀγκηθὰς ἐκεῖσε τῶν κτηνῶν, τοὺς ὄνους ἐκάλεσαν. Βρωμητὴς, χοιροφάγος. καὶ ὄνος διὰ λιμὸν ὀγκώμενος. Βρωμὸν, θυμιατήριον καὶ ἑστίαν λέγομεν, ἐφ' ὧν τοῖς θεοῖς θύομεν, ἢ πῦρ ἀνακαίομεν. οὕτως ἂν καλοῖς κυριώτατα, ἐφ' ἧς τὸ πῦρ τὸ ἄσβεστον ἀνάπτεται. Βρῶμος, τὸ φυτὸν καὶ βρῶμος, πλεῖον ἐξέτασον, τί γὰρ λέγεται ἐπὶ τῆς δυσωδίας. μέχρι οὖν εὑρίσκεται ἐπὶ δυσωδίας. Βρωμώμενοι, βρῶμον ἐσθίοντες. Βρῶσις, ἡ τροφή. Βρώσομαι, κακῶς ὁ Φαβωρῖνος. οἱ γὰρ ἀττικοὶ ἀντὶ αὐτοῦ τῷ ἔδομαι χρῶνται, καὶ κατέδομαι. Βρωτὴν, βρῶσιν, τροφήν.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Υ.

Βύας, εἶδος ὀρνέου νυκτερινοῦ, Δίων. ὁ βύας ὄφις, καὶ βυαὶ ὄφεις. Βυβλίον καὶ βιβλίον, διαφέρουσι. βυβλίον λέγεται τὸ ξυλοχάρτιον, καὶ τὸ ἄγραφον. ὡς τὸ, ἐκ τῶν βυβλίων τὰ πάντα γραφήσονται. βιβλίον δὲ, τὸ γεγραμμένον.

Βύβλινον παρ' Ὁμήρῳ, ὅπλον ἐπὶ δὲ κεν θύρας, ἐν ὀδυσσείας φ, χοινίον ναυτικὸν, εἴτε καινὸν ἐκεῖνο, εἴτε καὶ τετριμμένον. Βύβλινον δὲ, οὐ τὸ ἐκ βίβλου, ὅ ἐστι πάπυρος αἰγυπτίας, ἀλλὰ βοτάνης ἑνὸς ἐμφεροῦς παπύρῳ. οἱ δὲ καννάβιον φασιν. ἕτεροι δὲ, τὸ ἐκ φελύρας. διαφορεῖται ἡ ῥῆσις βίβλος κατὰ τὸ δίχρονον. ὅτι βίβλινον καὶ βύβλινον, διχῶς οἱ παλαιοὶ γράφουσιν. ὡς δὲ ὁ βύβλος τὸ φυτὸν συστέλλει, καὶ εἰς τὸ ὑποδείκνυσθαι, ὁ βυβλινοπώλης δηλοῖ. οὗ χρῆσις παρὰ τοῖς παλαιοῖς. Βυγὴ, πυγή. Βυδοὶ, οἱ μουσικοὶ, ἢ κρούματα. Σοφοκλῆς. Βύειν, ἐπὶ ὤτων. καὶ τὸ μύειν ἐπὶ ὀφθαλμῶν, συμμύειν ἐπὶ στόματος. Βύζαντι τὸ ἐμφράττειν, οὐ μόνον ἐπὶ ἀκοῶν λέγεται, ἀλλὰ καὶ ἐπὶ στόματος. ἀβύσσος, συστρέψας τὸ ἡμιτόβιον, ἔβυσε τὸ στόμα. Βύζα, ἡ κεκραγυῖα πόλις. Βύζαντες, πληθύνοντες. Βυζάντιον ἡ πόλις, διὰ τὸν βύζαντα τὸν θρᾴκης βασιλέα. Βύζειν, τὸ πεπυκνωμένως μετέχειν. Βύζην, ἀθρόως, πυκνῶς, ἐπαλλήλως, πεπυκνωμένως. ὡς τὸ, ὁ δὲ τὰ φρέατα φορῶν, καὶ τῇ ἐπιτυχούσῃ ὕλῃ βύζην ἐνέπλησεν. καὶ βύζην τὰς τριήρεις ὁρμίζοντες. Βύθελον, βύσμα.

Βυθίζων, καταποντίζων ἐν βυθῷ. καὶ βυθίζω, αἰτιατικῇ. Βύθιος, ὁ ἐν τῷ βυθῷ. Βυθμὸς, ἄντρον, πυθμὴν, καὶ βυθμήν. Βυθὸς, τὸ ἄφατον βάθος. Βυκάνη, ὄργανον μουσικόν. Βυκανῆται, σαλπιγκταί. Βυκανίζω, σαλπίζω. Βύκανον, ἡ σάλπιγξ. Βυκινσαί, νικηταί. Βυκὸς, δασμοφόρος. Βυκτὰ, χύτλια, διΐδαια. Βυκτάων, πνεόντων, φυσητῶν. Βύκτης, ἠχητικός. Ὅμηρος, ἔνθεν βυκτάων ἀνέμων. παρὰ τὸ βύω, ἔνθεν τὸ βεβυσμένος, οὗ παράγωγον βύζω, βέβυκται. παρὰ γοῦν τὸ βέβυκται, βύκτης. Βυλλὰ, βεβυσμένα. Βυλλίχαι, χοροί τινες ὀρχηστῶν παρὰ λάκωσι. καὶ βυλλίχας, χορευτάς. Βυλλιχίδες, ῥαχίδες. Βυνίον, τὸ ἐν τῷ στόματι κατέχον τι. Βυνὸς, σκευασμάτιον κρίθινον. Βύνη, ἡ Λευκοθέα, παρὰ λυκόφρονι, ἤγουν. οἷον, βύνης καταλίκτρια αὐλωνίσης. εἴρηται δὲ, παρὰ τὸ εἰς βυθὸν δύνειν. βυθοδύνη. καὶ κατὰ συγκοπὴν, δύνη. ἢ παρὰ τὸ δύνω, δύνη, ἡ καταδῦσα εἰς θάλασσαν, καὶ βύνη κατὰ τροπήν. ἢ παρὰ τὸ βύω, τὸ κολυμβῶ, ὡς ἕτεροί φασιν. ἐγὼ δὲ, παρὰ τὸ βύω τὸ κρύπτω. ὅθεν καὶ ἡ κοίτη, βύνη. ἡ δὲ τῆς ἰνοῦς ἱστορία, τοιαύτη. ἱστορία. Φεύγουσα μετὰ τοῦ παιδὸς αὐτῆς παλαίμονος, διὰ τὸ διώκεσθαι ὑπὸ ἀθάμαντος, εἰς θάλασσαν ἀνέπεσε. ἐξεχύθη δὲ περὶ κόρινθον ὑπὸ δελφῖνος. ἀμφίμαχος δὲ καὶ δοναξῖνος ἀναλαβόντες τὸ σῶμα, ἄγουσιν εἰς κόρινθον. σίσυφος ἀδελφὸς ὢν ἀθάμαντος, βασιλεύων κορίνθου, ἀγῶνα καὶ θυσίαν ἐπ' αὐτοῖς ἐποίησεν. ἐκέλευσε γενέσθαι. ὅθεν καὶ θεοὺς αὐτοὺς κεκλήκασι. καὶ λευκοθέαν ἀπὸ τῆς

βρίσω, βρισεύς. ἐξ οὗ πατρωνυμικῶς, βρισηΐς. παρὰ τὸ βρίθειν, ἤγουν βαρεῖν τὸ κάλλος πάσας τὰς γυναῖκας. ἢ παρὰ τὸ βαρεῖν τοὺς Ἕλληνας. ἐβάρησε γὰρ ἢ ἔβλαψε τοὺς Ἕλληνας, διὰ τὸ λαβεῖν αὐτὴν τὸν Ἀγαμέμνονα. Βριθεὶς, ὑπνώσας. Βριτόμαρτις, ἡ Ἄρτεμις, ἢ νύμφη. Καλλίμαχος, ἔλλοχε σὸν Βριτόμαρτιν ἐΰσκοπον. τὸ δὲ ὄνομα Βριτόμαρτις, ὅτι ταῖς Βρίσαις νύμφαις ὡμάρτει, καὶ Νεάνθης ἐν τῷ πρώτῳ περὶ τελετῶν, φησὶ χρησμὸν δεδόσθαι, ὁ ἐκ τῆς μητρὸς τῆς ἑκάτης γεννησόμενος, μεταστήσει τὴν βασιλείαν αὐτῶν. γενομένης δὲ τῆς ἑκάτης, τὰς συμπαθούσας κόρας τῇ λεχοῖ ἀναβοῆσαι βρίτην, τουτέστιν ἀγαθόν. παρὰ τοῦτο δὲ τὸ ἐπίφθεγμα ὀνομάσθαι τὴν θεόν. Βριτὸς, ἴσος. Βριτὸ, δεινὸ, κρυπτόν.

Βρόγχος, βάτραχος. Βρογχιάζω, καταπίνω.

Βρόγχος, ὁ λαιμὸς, ὃν καὶ φάρυγγα καλοῦσι. καὶ ἐπὶ τῶν ἰχθύων τὰ βράγχια ἐχόντων. εἴρηται δὲ παρὰ τὸ βρέχω, βρέχος τις ὤν. ὁ ἐν τῷ σιτεῖσθαι καὶ πίνειν βρεχόμενος. καὶ ἡ μὲν συνήθεια βρόγχον λέγει, οἱ δὲ ἀρχαῖοι βράγχον. ὅθεν καὶ βραγχιᾶν, τὸ παθητικὸν εἴρηται. σημαίνεται δὲ ἡ λέξις τοῦ βρόγχου, ἀπὸ τοῦ γινομένου ἤχου ἐν τῷ καταπίνειν. Βρόδα αἰολεῖς, τὰ ῥόδα. Βρόκοι, ἀττέλαβοι, ἀκρίδες. Βροκὸς, μωρὸς, ἠλίθιος.

Βρόκων, ἀμαθὴς, ἀπαίδευτος, οἷον βόσκημα. Βρομέον, ὀζόμενον. Βρομέουσιν, ἠχοῦσι. Βρομήσω, φυσήσω, ψοφήσω. Βρομία χάρις, παρὰ τῷ Ἀριστοφάνει ἐν ταῖς νεφέλαις, οἱ διονυσιακοὶ ἀγῶνες, ἐν οἷς ἅμιλλα τῶν χορῶν. Βρόμιος, ὁ Διόνυσος παρὰ τὸν βρόμον. καὶ γὰρ τῆς Σεμέλης κεραυνωθείσης, ἡρπάγη ὑπὸ τοῦ Ἑρμοῦ κατὰ βούλησιν τοῦ Διὸς, ἐκ μέσου τοῦ πυρὸς, βρόμῳ καὶ ἤχῳ βροντῆς. ἢ ὅτι μετὰ τυμπάνων καὶ βρόμων, ἤγουν ἤχων, ἐν ὄρεσι σὺν βάκχαις καὶ σατύροις καὶ σειληνοῖς ἐκώμαζον. Βρόμος κυρίως, ἐπὶ ἀνέμου. καὶ ἐπὶ πυρός. ἀφ᾽ ὧν καὶ τὸ βρέμειν. Παυσανίας δὲ καὶ τὸν βρόμον λέγει. καὶ σπέρμα λεπτῇ κριθῇ ὅμοιον. τὸ κοινῶς δηλαδὴ λεγόμενον βρόμιον. τὸ μέντοι βρωμᾶσθαι, ὃ καὶ ἐκτείνεται, φασὶν αὐτὸ ἐπὶ ἀρσένων ὄνων τίθεσθαι, ὅτε λιμώττουσιν. ἵνα ᾖ φασὶ βρωμᾶσθαι, τὸ βρώμας, ὅ ἐστι τροφῆς δεῖσθαι. Βρόμος, βοτάνη ὁμοία σίτῳ. μὴ ἔχουσα γόνατα. καὶ βρόμος, ἐδίκημα ἤχου, ἦχος. καὶ ὁ τόπος, ὡς ὃν ἔλαφοι οὐροῦσι, καὶ ἀφοδεύουσι. καὶ σπέρμα λεπτῆς κριθῆς, ἡ ὀσμὴ, καὶ χόρτος. Βρόθεον, εἶδος διαλέξεως. Βροντᾷ, ἐπὶ βροντῆς. Βροντεῖον, μηχανή ἐστιν ὃ καλεῖται βροντεῖον ὑπὸ τῶν σκηνικῶν. ὃ ἦν ἀμφορεὺς, ἔχων ψηφῖδας θαλασσίας. ἦν δὲ λέβης χαλκοῦς, εἰς ὃν αἱ ψῆφοι κατήρχοντο. καὶ κυλιόμενοι ἦχον ἀπετέλουν. Βροντὴ, ἡ ὑπὸ πνεύματος ἐν τοῖς νέφεσι γινομένη ἔκρηξις. ὕλας πρὸς τὴν τῶν νεφῶν πυκνότητα βίᾳ φερομένη, ποιεῖ ἐν τῇ πληγῇ ψόφον. ἢ ὅταν πνεῦμα ξηρὸν καὶ βίαιον κατακλεισθὲν αἱ νεφέλαι ἀποληφθὲν, καὶ ὑπὸ τῶν βιαίως κυλίσμασι τῶν νεφῶν ἐνηνεγμένον, ζητεῖ διέξοδον πρὸς τὰ ἄνω. ἀντέχουσι μὲν οὖν ἐπὶ τῆς ἄγαν πιλήσεως αἱ νεφέλαι, τὸν τραχὺν ἐκεῖνον ἐκ τῆς τοῦ πνεύματος παρατρίψεως ἀποτελοῦσιν ἦχον. ἐπειδὰν δὲ, ὥσπερ συμφέρεσθαι περιτεθεῖσαι τῷ πνεύματι, ἐπιπλέον ἀντέχειν καὶ στέγειν ἀδυνατήσωσι, βιαίως ἀποῤῥηγνύμεναι, καὶ πρὸς τὴν ἔξω ἀναπνοὴν διιεῖσαι τὸ πνεῦμα, τοὺς κατὰ τὰς βροντὰς ἀποτελοῦσι ψόφους, καὶ ἀστραπὰς ἐργάζεσθαι πέφυκεν. εἴρηται δὲ παρὰ τὸν βρόμον, ὃ σημαίνει τὸν τοῦ πυρὸς ἦχον. ἔμπυρος γὰρ ἡ βροντή. Βρόντημα, ὁ ἐμβρόντητος. Βρόξαι, ῥοφῆσαι. Βρόσιμος, βραχύτερος. Βρότακον, τὸν βάτραχον. ἴωνες. Βροτεὶ, γυναῖκες. Βροτίζω, ἀνθρωπίζω, καὶ ἀνθρώπινα. Βροτολοιγὸς, ἠμίθεος. Βροτωθέντες, ἀνθρωπίσας. Βροτόεντα, αἱματώδη. Βρότος ἐστὶ, τὸ μετὰ κόνεως αἷμα. ἢ βροτόεντα, ᾑμαγμένα. βρότος γὰρ τὸ μετὰ κόνεως τοῦ αἷμα τοῦ ἀνθρώπου. Βροτολοιγὸς, κυριώτερον μὲν ὁ ἀνδροφόνος. λέγεται δέ τις σκαφεὺς, καὶ ὁ ἄπειρος ἰατρός.

ὁ δὲ κωμικός φησι, βροτολοιγὸν ἰδίως τινὰ ἐρᾷ τὸν καὶ αἰσχρολοιγὸν λεγόμενον, κατὰ ἀναλογίαν τοῦ μαλολοιγοῦ. διὰ τὸ τοὺς ποιοῦντας παθητικὰς γίνεσθαι, τοῦ μὴ κύειν τὰς γυναῖκας, καὶ οὕτως ἐπ᾽ ὀλέθρῳ βροτῶν εἶναι. Βροτολοιγῷ, ἀνθρώπῳ φθορεῖ.

Βρότον μέλανα λέγει, ὡς εἴποι εἴπη μέλαν αἷμα. Βρότος κυρίως, ὁ ἐξ αἵματος μολυσμός. οὐχ ἁπλῶς μέν τι αἵματος, ἀλλὰ βροτὸς, ὅσπερ ἀνθρώπινα. καὶ βάπτεται πρὸς Ἀπολλώνιον βροτοῦ, τοῦ κατ᾽ ἄνθρωπον. οὕτω κακοὶ μὲν τὸ ἐπίθετον ὀξυτόνως. κοινῶς δὲ βαρυτόνως, λυκὸς λαῖτος. Βροτὸς, ἡ ἄφεσιν οἱ παλαιοί, ὁ οἷον μορτὸς, ἤγουν μεμορμένος, καὶ τῇ εἱμαρμένῃ ὑποπεπτωκώς. ὁ δὲ μῦθος παρὰ τὸν βρότον παράγει τὴν λέξιν. ὅπερ ἐστὶ μολυσμὸς αἵματος, ἤδει λύθρον, τὸ ἐκ τῶν μυσαχθέντων γιγάντων. ἄλλως δὲ κυριώτερον, παρὰ τὸ ῥέω γίνεται ῥοὸς, ὁ τῇ ῥοῇ ὑποκείμενος. καὶ πλεονασμῷ τοῦ β αἰολικῶς, βροτός. ὁμοίως τῷ ῥάδιον βράδιον. ῥάκος βράκος, ῥόδον βρόδον, ῥίζα βρίζα. ἴσως δὲ καὶ ῥῶ βρῶ, ἐξ οὗ βρῶσις. ἡ οἷον ῥῶσις τῶν ζώων. ῥυτὴρ βρυτὴρ, ὁ χαλινός. ταῦτα πάντα αἰολικὰ, δηλοῦσιν οἱ παλαιοὶ φάμενοι, ὅτι προστιθέασιν οἱ αἰολεῖς τὸ β τῷ ρ, ὁπότε ἡ ἑξῆς συλλαβὴ ἔχει ἢ τὸ κ, ἢ τὸ δ, ἢ τὸ ζ, ἢ τὸ τ. ὁ δὲ βροτὸς ἐν ταῖς συνθέσεσι, προσλαμβάνει τὸ μ. οἷον, τερψίμβροτος, φαεσίμβροτος, κλεψίμβροτος, ὀλεσίμβροτος αἰχμὴ, πλησίμβροτος ἀγορά. δίχα δὲ τοῦ μ, ἀμβροσία, καὶ ἀβρότη νύξ. Βροτὸς ἐπίθετον, ἀντὶ τοῦ ἀνθρώπου, οὐκ ἔστιν ἐπίθετον. ὁμοίως ἄνεμος, ἀνέμων, ἄνεμος ἀντὶ ἁπλῶς ἀνέμου λαμβάνεται. Βροτοῦ ἀνέρος, ὑπαλλοῦς πέφρασται. βροτὸν δέ γε μόνον εἰπεῖν, ἰδιωτικὸς ἔχει. Βροτόφθορος, ἀνθρώπους φθείρων, τουτέστιν ἀπατῶν.

Βροτῶν πόλιν παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείᾳ, παραδίδωσιν ἔχει τὸ βροτῶν, ἢ τῶν κατῳκισμένων δηλοῖ, καὶ μὴ ἁπλῶς οὕτω, καὶ ὁμωνύμως πόλιν. Βρυλὸς, πονηρός. Βροῦς ποιεῖν, βροῦτος ἐκ κεδρῶν πόμα. Βρυμάλιον, παρὰ τὸ ἐξ ἀκροτηρίων βρωμάτων τρέφεσθαι ἅλας. ἔστι δὲ ἡ λέξις ῥωμαϊκή. Βρουτος, ἰκὸς, ἢ μαινόμενος. Βρούξ, τράχηλος, βρόγχος. Βρουτίδες, γυναῖκες οὕτω καλούμεναι. εἰσὶ στόλαι ἢ προφῆται. Βρούχα, θερμός. Βρούκετος, βάτραχος. βάτραχον δὲ κύπριοι.

Βρουχίως, σοφῶς, συντόμως. αἰολεῖς. Βροῦχος, εἶδος ἀκρίδος. παρὰ τὸ βρύκειν τὸ ἐσθίειν. τὸ αὐτὸ δὲ καὶ μαλεακ καλεῖται, παρὰ τὸ μασᾶσθαι. καὶ βροῦχος, ἡ κάμπη, ἢ ἡ πυρώδης καὶ ἄπτερος ἀκρίς. βροῦχος δὲ παρὰ τὸ βρύκειν, ὃ σημαίνει τὸ ἐσθίειν. Βροχθίζω ποιητικῶς. καὶ καταβροχθίζω, τὸ καταπίνω, καὶ ἀθρόως καὶ ἀπλήστως ἐμφορῶ. Βρόχθος, τὸ ὀλίγον πόμα. καὶ ἡ φάρυγξ, δι᾽ ἧς καταπίνομεν. εἴρηται δὲ παρὰ τὸ βρέχω, βέβροχα. Βροχμώδης, ἐνότιμα καὶ ἁπαλά. Δημόκριτος.

Βροχμὸν, τὸ βρίγμα. Βρόχοι, ἅμματα. Βρόχος λέγεται, ἡ κοινῶς λεγομένη θηλέα. ὡς Εὐριπίδης, βρόχον κρεμαστὸν ἀρτάνης ἀνήψατο. λέγεται δὲ βρόχος κοινῶς, καὶ πᾶς ὁ ὥσπερ ἐπικρεμάμενος κίνδυνος. Βρύα, ἃ γίνεται μὲν ἐπὶ πηγῶν. λέγεται δὲ καὶ σπλάγχνος, ἢ σπλάγχνον, ἐπιτίθεται δὲ ἁγνισμοῦ χάριν. Βρυάζει, θάλλει, γαυριᾷ, ἥδεται τροφῇ. Βρύασον, βρυασμόν. Βρυαλιγμὸν, ψόφον, ἦχον. Βρυαλίκται, πολεμικοὶ, ὀρχησταί. Βρυαλύζων, διαρρήσσων. Βρυασίων, μετεωριζόμενος, καὶ κοραυγῶν. Βρυάζομαι, ἀναβακχεύομαι, μετὰ ὕβρεως κινήσεως. Βρυγοὶ, ἔθνος ἰλλυρίας. Βρυγδὸς, ἄφωνος, ἄκρος. Βρυγμὸς, καταπληξις, καὶ νόσος. ἀπὸ τοῦ βρύχειν, ὅ ἐστι τοὺς ὀδόντας πιέζοντα, ψόφον ἀποτελεῖν, ὅπερ ῥίγει συμβαίνει. καὶ βρυγμὸς, ὁ σίγημα ἐλλιπὴς. ὁ τριγμὸς ὀδόντων, ἢ μόλις ἀκόστωσις. παρὰ τὸ βρύκω, ὃ σημαίνει τὸ ἐσθίειν. ὡς γὰρ τρίζω τριγμὸς, οὕτω καὶ βρύκω βρυγμός. Βρυγχὸς, βρόχος. Βρυδακίζων, ὑπτιάζων. Βρυδαλίχα, πρόσωπον γυναικεῖον. παρὰ τὸ γελοῖον καὶ αἰσχρὸν, τίθεται ὁ ῥήτωρ τῶν ὀρχιστρῶν.

[illegible]

Ἄλλως. [illegible] Βρέφος, τὸ γεννηθὲν εὐθέως. [illegible]

[illegible]

Βρίχα, [illegible]

[illegible]

Βρίμη, [illegible]

[illegible]

ἄρχεται ἀπὸ ποιητοῦ. λέγουσι δὲ κατὰ τοὺς γλωσσογράφους τὸν βραδὺν, ἢ τὸν βραχύν. ἀπὸ τοῦ βραδὺς βραδίων βράσσων, ἢ ἀπὸ τοῦ βραχὺς βραχίων βράσσων, ὡς ἐλαχὺς ἐλαχίων ἐλάσσων, παχὺς παχίων πάσσων. κατὰ δὲ ἑτέρους βράσσων, ὁ βρασσόμενος. ἡ οὐχ ἁπλοῦς ἐστιν ὁ νοῦς, διὰ τὴν ἀγωνίαν. καὶ μετείληπται ἡ λέξις ἀπὸ τῶν βρασσομένων ὀλυρῶν. εἴτε δὲ βραχὺς, εἴτε βραδὺς, εἴτε βρασσόμενος, ἐστὶν ὁ νοῦς. καὶ βράσσων, ἐλάσσων, ἢ ἀπαλὸς, ἀπὸ τοῦ βρασμοῦ, ὁ οὐ καθαρός. βράσσων τὸ νέος, οἷον ἀκατάστατος, ἀθύρσιος ὤν. Βρατάνων, ταρύνων. ἠλεῖοι. Βρατάναι, ῥαίζαι ἀνακλόθεν, ἠλεῖοι. Βρατάχος, βάτραχος. Βράττων, πλαθύνων, σαρῶν. Βραυκανᾶσθαι, ἐπὶ τῶν κλαιόντων παιδίων λέγεται, ὡς μίμημα φωνῆς. Βραύκας, ἀκρίδας.

Βραῦλα, φθεὶρ. Βραῦλον, κοῖλον. Βραυνία, κηλεύματα τῆς γῆς. Βραυρών, τόπος τῆς ἀττικῆς. Βραυρωνίοις, τὴν ἰλιάδα ἦδον ῥαψῳδοί, ἐν Βραυρῶνι τῆς ἀττικῆς. καὶ βραυρωνία ἑορτὴ, ἀρτέμιδι βραυρωνίᾳ ἄγεται, καὶ θύεται αἴξ. Βραυνῶν, κεραυνῷ. Βράχαλον, χρυσάλλιον. Βραχεῖν, ἠχῆσαι, φωνῆσαι. Βράχεα, ἡ περιτράχηλος ἀγγελιῶν. Βραχέες, ὀλίγοι. Βράχεν. τίθεται ἐνίοτε ἐπὶ μεγάλως βοῆς ὁπλιτῶν. Βράχεα χθών. ἐπὶ μὲν κατὰ τὸ βραχὺ ὕδατα, καὶ ὅσα βαθέα. λέγει δὲ ἦχον, ὁποῖοι πολλοὶ ἐκπίπτουσι τοῖσιν ἄνω, ὧν οἱ τεχνικοί. Βραχέως, δι' ὀλίγου. Βραχιόλια, ἃ παρ' ἡμῖν χλιδῶνες καλοῦνται. Βράχιστον, ἐλάχιστον.

Βραχυτελὲς, σύντομον, μικρόν. Βραχίων, ὅτι βραχύτερός ἐστι τοῦ λοιποῦ μέρους. βραχίων τροπικῶς, καὶ ἡ δύναμις.

Βραχμᾶνες, οἱ παρ' ἰνδοῖς γυμνοσοφισταὶ καλούμενοι.

Βραχύ. ἐναντίον ἔχει τὸ μακρόν. ἡ τὸ βραχὺ ἐπίρρημα, τὸ μακροῦ ἔχει ἐναντίον. τὸ δὲ βραδὺ ἐναντίον τὸ ταχὺ, ἢ τὸ ὀξύ. καὶ ἔχει ἐναντίον τὸ ἀμβλύ. λέγεται καὶ ἐπὶ τῶν μετεχόντων ὀφείλοντος ὑπόστατος, καὶ ἔχει ἐναντίον τὸ πλατύ. λέγεται καὶ ἐπὶ φωνῆς, ἡ ἔχει ἐναντίον τὸ βαρύ. λέγεται πάλιν τὸ βραδὺ ἐπὶ ὄγκου, καὶ ἔχει ἐναντίον τὸ κοῦφον, ἤτοι τὸ ἐλαφρόν. Βραχὺ, ἀντὶ τοῦ οὐδὲν, ὀλίγον, μικρόν. Βραχυκατάληκτον. μέτρον ἐστὶν ὅπερ τελείως ὅλον λείπει πρὸς ἀπαρτισμὸν, οἷον τὸ φεῦ φεῦ, ἢ τὸ ἰὼ, ἢ τὸ ἰά. ταῦτα γὰρ μονόμετρά ἐστι βραχυκατάληκτα, διὰ τὸ ἔχειν μὲν τὸν ἕνα πόδα, τὸν ἕτερον δὲ λείπεσθαι. Βραχύλογος, λέγεται ὁ ὀλίγα λέγων μετὰ κρίσεως. καὶ ὁμοίως βραχὺς, σύντομος, αὐτάρκης, ἀπέριττος, σαφὴς, εὔληπτος, ἀπερίεργος, σύντονος, ἀρτίστομος, πολλοῖς μᾶλλον ὁ πολυλόγος, καὶ ἄλλα. καὶ τὰ πράγματα, τάχος, συντομία, αὐτάρκεια, βραχυλογία, σαφήνεια, ἀπεριεργία, ἀπερίττεια, ἀκρίβεια, βάναυσος. καὶ τὰ ἐπιρρήματα, ταχέως, συντόμως, αὐταρκῶς, βραχέως, σαφῶς, ἀπεριέργως, ἀπερίττως, ἀπερισσῶς, πολλάκις, ἀκριβῶς. Βραχυλογῶ, ἀπεταβάτως.

Βραχμάζουσι, χρηματίζουσι. Βραχυμυθία, ἤτοι βραχυλογία. Βραχὺς, κατὰ τροπὴν τοῦ λ εἰς τὸ ρ. παρὰ γὰρ τὸ ἀποβεβλῆσθαι μέρος, καὶ ἐλάσσονα γενέσθαι. Βραχυτελὲς, μικρόν. Βραχύτης ἐστὶ, φράσις πλέον τοῦ ἀκουομένου νοούμενον ἔχουσα. οἷά εἰσι τὰ λακωνικὰ ἀποφθέγματα. ὡς λέγει, γνῶθι σαυτὸν, μόνον φίλει, μηδὲν ἄγαν, καὶ τὰ ὅμοια. Βραχυφεγγίτης, ὁ ὀλιγοφαής. καὶ βραχυφεγγίτη, λάχνη ὀλίγη. Βράχω, τὸ ἠχῶ, ὀνοματοποιΐα ἡ λέξις ἐστί. Βραχύλλος, τραχύς. Βράψαι, συλλαβεῖν, ἀναλῶσαι, κρύψαι, θηρεῦσαι. Βρέα. Κρατῖνος μέμνηται τῆς εἰς βρέαν ἀποικίας. ἔστι δὲ πόλις θρᾳκίας, εἰς ἣν ἀθηναῖοι ἀποικίαν ἐξέπεμψαν. Βρέγμα, ἡ βρεγμὸν, τὸ τῶν μετώπων μέρος. Βρέλον, ἔλαφον, ὃ κεφαλῶν ἐλάφων. Βρεκεκεκὲξ, κοὰξ, κοὰξ ἐφύμνιον ἐν βατράχοις. οὕτως Ἀριστοφάνης, μίμημα φωνῆς βατράχων. Βρένθος, ὁ μικρὰ ἀκρίς. Βρέχω, ὁ βρέματα τὸ βρέγμα. βρέχονται γὰρ οἱ φρύγες. Βρεκύλλαι, δαίμονες. οἱ φρύγες. Βρέμειος, ἱππέριον. Βρεμαίων, ἠχῶν. Βρέμει, ἠχεῖ, ἐπὶ πυρὸς κυρίως λέγεται. ἔστι ὁ βρόμος, ὁμοίως. Ὅμηρος ἐπὶ τοῦ ἤχου τῶν κυμάτων λαμβάνει. σημαίνει καὶ τὸ ὁρμᾶν. προσαρμόζεται δὲ καὶ πυρὶ καὶ ἀνέμοις. κεῖται καὶ ἐπὶ κύματος, τροπικῶς δέ ποτε, καὶ ἀλαζών. καὶ ὁ ἀπειλητὴς, ἐπὶ τὸ βρέμειν λέγεται. Βρέμεται, ἐπὶ τοῦ ἤχου τῶν κυμάτων. ὡς τὸ, αἰγιαλῷ μεγάλῳ βρέμεται. καὶ βρέμεται, ἐπὶ θαλάσσης λέγεται. οὕτω καὶ ὁ βρόμος, ἐκ τοῦ βρέμειν γινόμενον. Βρέμω, βρεμῶ, βεβρέμηκα. πόθεν εἰσὶ πλεονασμοὶ ἡμαρτημένοι; τέλος οὖν. νέμω νεμῶ νενέμηκα, τέμω τεμῶ τετέμηκα, δέμω δεμῶ δεδέμηκα, ὃ σημαίνει τὸ οἰκοδομῶ. βρέμω βρεμῶ βεβρέμηκα, ὃ σημαίνει τὸ κτυπῶ. ἐξεκλήθησαν δὲ αὐτοῖς καὶ τὸ μέσον μενῶ μεμένηκα, διὰ κακοφωνίαν. καὶ διὰ τοῦ τὸ νέμω, νέμω, δέμω, βρέμω, οὐ γίνονται οἱ πλεονασμοὶ δι' ἀμεταβόλου καὶ τοῦ κ. διὰ τὸ μηδέποτε εὑρίσκεσθαι τὸ μ πρὸ τοῦ κ. μένει κατὰ σύλληψιν, μέσο κατὰ διάστασιν. Βρενθύεται, δυσχεραίνει, προσποιεῖται.

Βρένδον, ἔλαφον. Βρενθῶ, ἀνθῶ. Βρένθειον, μύρον τὸ παχύτατον, ὡς ἡ βάκχαρις. οἱ δὲ ἀνθινὸν μύρον, καλοῦσι δὲ καὶ ὀρνίθιον βρένθον, ὃ ἐνιοι κάστορον καλοῦσι. κύπριοι δὲ, βρενθεῖον θρίδακα λέγουσι. Βρενθύεσθαι, γαυριᾶν, ὡς ὑποθρύπτεσθαι τὰς γνάθους αἱ γυναῖκες. οἱ δὲ φυσᾶν ἄγχουσαν. σοβεῖ.

Βρένθιξ, θριδακίνη. κύπριοι. Βρενθύει, ἀποσεμνύνεσθαι στρατόν ἐν χύμασι, καὶ παραβλὸν ὁρᾷς. Ἀριστοφάνης. Βρενθύεται, ἀντὶ τοῦ ἐπαίρεται. ἀπὸ τοῦ βρένθον, τὸ μύρον. οἱ γὰρ ἀλαζονευόμενοι, μύρῳ χρῆσθαι εἰώθασι. μεγαλοφρονεῖ, ἢ προσποιεῖται, ὀργίζεται. Ἀριστοφάνης, σοὶ δὲ ὅτι βρενθύει ἐν ταῖσιν ὁδοῖς, ὑγιὼς κἀκεῖ παρακαθεζόμενος βαδίζεις. Βρενθύεται, ὀργίζεται, σοβαρεύεται, σεμνύνεται. Βρενθυόμενοι, δυσχεραίνοντες, ὀργιζόμενοι, θυμούμενοι. ἡ βρενθύεσθαι, τὸ διὰ θυμὸν μεγαλύνεσθαι, προσποιεῖσθαι, ὀργίζεσθαι. ἢ ἐναβρυνόμενοι, τρυφῶντες. Βρεσὸς, τυφλὸς, τύμβος. καὶ ὄρνεον, ὃ καὶ βρένθον. Βρεντέσιον, χωρίον τῆς ἰταλίας. Βρετάγιον, εἰκὼν, ὁμοίωμα. Βρεταί, βροτοί. Βρέτας, εἴδωλον, ἄγαλμα. παρὰ τὸ βροτὸς, βρέτας κατὰ τροπήν. κυρίως δὲ τὸ ἀπὸ ξύλου πεποιημένον ἀνθρώπου. ἢ βρέτας, ἄγαλμα θεῶν, ὡς βροτῶν ἐοικός. καὶ τὸ φοριὸν ἐκ τῶν κινηθεὶς, ὡς ῥῆσιν τὸ μητρὸς τῶν θεῶν φασὶν ἀμπέλινον εἶναι. διὰ τὸ τὰς ἀμπέλους ἱερὰς εἶναι τῆς ῥέας. Βρεταί, ἀποκαλούμεναι.

Βρέτταν, φοβερὰ, ἀκρὶς, μικρά. ὑπὸ κρητῶν. Βρεττία, μέλαινα πίσσα, ἢ ἡ πίττα ἡ περὶ τὴν ἰταλίαν. Βρέφος. παρὰ τὸ φέρβω τὸ τρέφω, γίνεται φέρβος. καὶ κατὰ μετάθεσιν τῶν στοιχείων, βρέφος. καὶ λέγεται βρέφος, ἀπὸ γενέσεως ἕως τεσσάρων ἐτῶν. ἢ βρέφος, τὸ ἄρτι γεγονός. παιδίον τὸ τρεφόμενον ὑπὸ τιθηνοῦ, παιδάριον τὸ περιπατοῦν. καὶ ἤδη λέξεως ἀντιλαμβανόμενον. παιδίσκος, ὁ τῆς ἐχομένης ἡλικίας. παῖς, ὁ διὰ τῶν ἐγκυκλίων ἤδη μαθημάτων δυνάμενος ἰέναι. τὴν δ' ἐφεξῆς ἡλικίαν, πάλληκα ἢ βούπαιδα ἢ ἀντίπαιδα ἢ μελλέφηβον καλοῦσι. τοὺς δὲ μετ' αὐτοὺς ἐφήβους, κυρηναῖοι μὲν τριακάτιας καλοῦσι. κρῆτες δὲ, ἀπὸ δρόμων, οὐ διὰ τὸ μὴ μετέχειν τοῦ δρόμου, (καθ' ὃ δὴ σημαινόμενον) τὸ ἀπὸ προθέσεως ἄπειχθος λέγεται, ὁ μὴ ἐσθίων ἰχθῦς. καὶ ἄπειρος θυσία, ἡ νηφάλιος. ἡ ἀποβώμια, ἱερὰ τὰ μὴ ἐπὶ βωμοῦ, ἀλλ' ἐπ' ἐδάφους κατασφαζόμενα. καὶ ἀπόμοιρος, ὁ ἄμοιρος. καὶ ἀπότριχες παρὰ Καλλιμάχῳ, οἱ ἄτριχες. δηλαδὴ ἀπόδρομοι ἐν κρήτῃ, οἱ μήπω τοῦ κοινοῦ δρόμου μετέχοντες ἔφηβοι. μεθ' οὓς φασὶ τὸ μειράκιον, εἶτα μεῖραξ, καὶ νεανίσκος, καὶ νεανίας ὁ αὐτός. λέγονται δὲ τούτους, ἐπεὶ ἐκείνων. καὶ ὅσοι προσέλθωσι αὐτῶν, ἐπεὶ γέροντες. ἔχεται δὲ τούτων ἑτέρα ἡλικία, ἢ τῶν ἐν ἀκμῇ τιμωρίων. μεθ' ὃν ὁ κατὰ τὸ εἰκὸς πατὴρ, εἶτα ἀνὴρ νέος, εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκὼς, ὑπόπολιος, ὁ καὶ ὠμογέρων. εἶτα γέρων, ὁ καὶ πρεσβύτης, εἶτα ὁ ἐσχατόγηρος. πολυχρόνιοι δὲ, οἱ ἐπὶ γῆρας ὡς τὰ πολλὰ πολιοῦσθαι ἀρχόμενοι. ὡς ...

Θεόφραστος

πρὸς ὃ τὸ πολλάκις διαφαίνεται. Λυδοὶ δὲ καὶ μάχην ἀκλίαν.

Βούπαρος, ὁ παχύς. ὁ ὀ παχύς. Βούταν, βουκόλος, βοσκοῦ μενα. ἢ Βούτας, ὁ τῶν βοῶν νομεύς. αἰτιατική δὲ εἴρηται. Βουτάδης, δῆμος. Βούτας, οὗτος τὴν ἱερωσύνην ἔσχε, καὶ οἱ ἀπ' αὐτοῦ βουτάδαι ἐκλήθησαν. καλοῦνται δὲ ἐτεοβουτάδαι, οἱ ἀπόγονοι τοῦ Βούτου. τὸ γὰρ ἐτεόν, ἀληθὲς λέγουσι. ἢ Βούτης, ὀρίγανον ὑπὸ τῶν ... καὶ βουκόλος. ἡ παροιμία ἐπὶ τῶν ῥαδίως συντελουμένων, ὡς ὁ τοῖς Αἰτωλοῖς τὰ βραβεῖα δοὺς. Βουλεύματα, ἡ προφάσεις παρέχοντος. Βουτιμοι, βοῶνται, ὥσπερ ἀλφεσίβοιαι. Βουτ..., τόποι παρ' Αἰγυπτίοις, εἰς οὓς οἱ τελευτῶντες τίθενται. Βούβωμον, εἶδος χόρτου. Βούτρα, τὰ πλεῖστα τῆς βοός. Βούτρον, φάκανον, ὅλον, ἄγριον. Βούτροπον, ξόανον. Βουτρωτὸς, ἢ Βοθρωτὸς, πόλις τῆς Ἠπείρου. Βουτύπος ..., ὁ τοὺς θυομένους βοῦς ὑπὸ πελέκει τύπτων κατὰ τοῦ αὐχένος. οὗτος δὲ ἐπ' ἄκροις τοῖς ὤμοις ἱστάμενος, μᾶλλον πρώην. Βούτυρον, τὸ ἀπάλλαγμα τοῦ γάλακτος. Βούτυρος, βοτάνης εἶδος. ... Βουφάγος, πολυφάγος. Βουφάγαι, γαστέρες.

Βούφαρον, τὴν ὥραν τὴν ... γὰρ ἡ ἄρουρα. καὶ ἐπιθυόμενοι βοΐ. Βούφθαλμον, βοτάνη τις ὑφ' ἡμῶν ἐσθιομένη.

Βουφόνιον, ἰσοθάνατον, βουθυσίον. Βουφόνια, παλαιὰ ἑορτὴ ἣν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια, ὅτι καὶ βοῦν θύουσιν, ὡς ὑπομνῆσαι τοῦ ... φονευθέντος βοὸς ἐν ἀκροπόλει, ἀφανὲς τὸ παλαιὸν ... ἑορτὴ τοῦ Διονυσίου. Ἄλλως. Ἑορτὴ ἀθηναίων πάνυ ἀρχαία. ἐν γὰρ τοῖς Διιπολίοις φασὶ βοῦν τὸν πόπανον καταφαγεῖν, τὸν ... πρὸς τὴν θυσίαν. Βούλονται δὲ ... τὸν ὑπὸ πελέκει ἀποκτείνει τὴν βοῦν, καθὰ καὶ Ἀνδροτίων μέμνηται διὰ τῆς τετάρτης. Βουφορβός, βοῦς τρέφων.

Βουφόρτην, πολυφόρτην. Βοῦς, ἔπος βοῦς ἐπισημαίνει ... ἐπὶ τοῦ ... καὶ παχυφρόνων εἴρηται. Βαχεαλία, ... Βουχολίας λίθος, ὁ βοῦν χωρῶν ἐν ἐπιγράμματι. Βούχετα. Δημοσθένης ἐν φιλιππικοῖς. πόλις δὲ τῆς Ἠπείρου, πληθυντικῶς οἱ δὲ ῥήτορες λεγομένη. ἣν Φιλόστρατος ἐν ... βοὸς ὀχουμένην ... κατὰ τὴν Δευκαλίωνος κατακλυσμόν. Βουχίλον, ... Βουχίλον ... ὁ παιδίον, Βούχιλον. ... ... Βουχύλος, ἰσχνὸς, ἢ ὁ ξηρός.

Βούκαμα, φρόνημα. Βοῶν, βοτοῖσι, καὶ κράσει βοῦμι, ... τρίτη ... πληθυντικῶν, Βοῶσιν, Βοῶν. Βοῶμεν, ἐπισημαίνων. Βοώμενοι, ἐπικαλούμενοι. Βοῶν, ἐπίθετον ... τὸ βοῶν. ὁμοίως καὶ ἐν τῷ οἶνον οἰνοχοεῖ, ... τὸ οἶνον. καὶ ἐν τῷ αἰπόλος αἰγῶν, τὸ αἰγῶν. αἰπόλος γὰρ ... ζῶον λέγεται, ἀλλὰ μόνον αἰγῶν. καὶ βοῶν ἐπὶ ... ἀνὴρ, ... τὸ βοῶν. ὡς, οἶνον ἐν τῷ οἶνον ... ἐπὶ χρυσοῖς δεπάεσσι. Βοῶν, σημαίνει τρία. τὴν ..., Αὐτὰρ ὁ μακρὰ βοῶν. καὶ τὸ ζῶον, Μνηστῆρας ... βοῶν. σημαίνει καὶ τὴν ἀσπίδα, Χαλκοῦ ... βοῶν τ' ... Βοῶναι, οἰκίαι. Βοῶνα, ὁλόν.

Βοώνας, ἀγροικίας. Βοώνετα, ἐπὶ ὧν βοῶν λαβόντα.

Βοώνητον, ὠνητὸς βοῶν ὠνουμένων, ἢ ἀντὶ οἴνου. παρὰ ... ἀντίον. Βοωπις, αὐλῆς θύρα. κρατῆς. Βοῶπις, ἡ μεγαλόφθαλμος καὶ καλοὺς ἔχουσα ὀφθαλμούς, ὥσπερ οἱ βόες. ... ἐφαρμόσειν τὴν Ἥραν λέγειν οὕτως. ... τὴν αἶγα, ... ὄντα, μάλιστα ... Βοῶπις ἄρα ... καὶ αὐτή, ... τῇ βοῒ ..., διὰ τοὺς ... κοινὸς δὲ ... ... γυναικός, διὰ τὸ κατὰ βοῦν μεγαλόφθαλμον. ἐξ οὗ καὶ κύριον ὄνομα ... τίθεται.

Βοωτείν, βοηλατῶν. Βοώτης. Δημοσθένης ἐν τῷ κατὰ ... ὅτι λαμπρὸς ἦν ὁ Βοώτης. καὶ αἱ μέγισται ἀρχαὶ ἐπὶ ... Βοώτης, ἄστρον πλησίον τῆς ἄρκτου. ὁ δὲ αὐτὸς καὶ ἀρκτοφύλαξ καλεῖται.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Ρ.

Βραβεῖον, ἐπινίκιος ἀμοιβή, ἢ ὁ ἆθλον. βραβευτῶν. ὃ μᾶλλον τὸ βραβεῖον διδόμενος εἴρηται ὑπὸ νικῶσι. Βραβεύς, καὶ οἱ βραβευταί, καὶ οἱ διοικηταὶ τοῦ ἀγῶνος, οἱ τὰ ἆθλα διδόντες. ἀφ' οὗ βραβεῖον, τὸ ἆθλον λέγεται, καὶ τὸ βασιλικὸν σκῆπτρον. Βράβιον, ἀθάνατον, ... οἱ δὲ πλῆθος. Βραβεύω, διανέμω, ἐπιψηφίζεται. καὶ βραβευτής, διοικητὴς, ὁριστής. Βραβευταὶ δὲ κυρίως λέγονται, οἱ τὴν ῥάβδον ... φοινικοῦς ... ἀλλὰ διδόντες, σύμβολον τῆς νίκης. ... τῶν ἀγώνων, καὶ ὑπερθέσει τοῦ ρ. ὡς οἱ διαλλάκται. καὶ βραβεῖα αἱ διαλλαγαί. Βραβευέτω, μεσιτευέτω, ... ἰθυνέσθω. Βραβεύς, οὐ βραβευτής, ἐστὶν ὁ ἀγωνοθέτης, ὁ διδοὺς τὰ βραβεῖα τοῖς νικῶσιν. ὡς τὸ, Βραβεύσονται τὸ ἐπαθλον. Βραβευτής, διαλλακτής. Βράβυλα, τὰ καλούμενα δαμασκηνά. τὰ αὐτὰ καὶ κοκκύμηλα, καὶ μάδρυα, βοράβυλα ὄντα, τὰ τὴν βορὰν ἐκβάλλοντα. εἰσὶ γὰρ μαλακτικὰ τῆς γαστρός. Βραύρων, πόλις τῆς Ἀττικῆς. ἐν ᾗ τὰ Διονύσια ἤγοντο, καὶ μεθύοντες, πολλὰς πόρνας ἥρπαζον. Βραγός, ἕλος. Βραγχᾶν, οὐ βραγχιᾶν. καὶ βράγχος, οὐ ... Βραγχιάζεσθαι, πνίγεσθαι. Βραγχίον, τὸ καταφράκτιον τῆς ... Βράγχος, βρόχος; ... Βράγχος, νόσημά τι ἐν τῷ σώματι γινόμενον, ... ὅταν ... μάλιστα διαφθείρηται. Βραγχῶν, φλεγμῶν, ἢ ... Βραδύνει, ... Βραδέως, μελλοντικῶς. Βράδιον. καὶ Ἡσίοδος λέγει, βράδιον δὲ παντελῶς ... Πλάτων καὶ Θουκυδίδης καὶ οἱ λοιποὶ ... βραδύτερον. Βραδύνω ὁμοταγὲς, ἀντὶ τοῦ βραδὺς γίνομαι. ἢ βραδύνεται, ἀντὶ τοῦ βραδυτῆτα λαμβάνει. ... ὁδὸς βραδύνεται. Βραδύνω, μέλλω, ... καὶ βραδύνω ἐλθεῖν.

Βραδὺς ὁ ἀργός, ὁ μὴ ἀγχίνους ..., καὶ βραδὺς, ... τὸ βάρος ... καὶ ἐν ὑπερθέσει τοῦ ρ, καὶ πλεονασμῷ τοῦ δ βραδύς. Βραδύς, ἔχει ἐναντίον τὸ ταχύ, ἢ τὸ ὀξύ. λέγεται ὀξὺ καὶ ἐπὶ μαχαίρας, καὶ ὀφθαλμῶν. καὶ ἔχει ἐναντίον τὸ ἀμβλύ. λέγεται καὶ ἐπὶ τῶν ..., ὀξύλους ..., καὶ ἔχει ἐναντίον τὸ γλυκύ. λέγεται καὶ ἐπὶ φωνῆς, καὶ ἔχει ἐναντίον τὸ βαρύ. λέγεται ... τὸ βαρὺ καὶ ἐπὶ ὄγκου, καὶ ἔχει ἐναντίον τὸ ἐλαφρόν.

Βραδύτερον, οὐ βράδιον, ... Λιβάνιος, Καὶ ... καὶ βραδύτερον, ... ὄψομαι. καὶ βραδύτερον, οὐ βράδιον λέγουσιν, ὅτι μὴ Ἡσίοδος μόνος εἴρηκε. βράδιον ..., βράδιον δὲ παντελῶς ... Βράδων, ... Βράζω, τὸ ὕδωρ θερμαινόμενον. ἀναβράζω δέ, τὸ ... μεταβολικῶς. Βράζειν, τὸ ... Βράζω, ζέω, θέρω, θερμαίνω. Βραθύ, πόα τις θεοῖς ἀνομένη.

Βραῖδιον, ῥαΐδιον, εὐκολίας. Βράκαλον, ῥόπαλον.

Βράκανα, ἄγρια καὶ ... λάχανα. Βρακίδες, ... τόπος. Βραχεῖν, σφοδρῶς. ... Βραχύς, ... Βραχύς, ἀπορρηξάς. Βρακός, ... ἱμάτιον ... ...

Βράκος, ἀντὶ τοῦ ῥάκος. καὶ βροτὴν, ἀντὶ τοῦ ῥυτήν. καὶ βρόδον, ἀντὶ τοῦ ῥόδον. οἱ αἰολεῖς τὸ β ὑπὸ τοῦ ρ προστιθέασιν, ὅταν ἐπιφέρηται τὸ ρ ... ... Βράσαι, συλλαβεῖν, λαβεῖν, ... Βράσσειν, ἰσθμῶν, ... ὑπὸ σχήματι ..., ... Βρασίδας, ... Λάκων ... ὁ δὲ Βρασίδας, ... ὁ Λακεδαιμόνιος δὲ Βρασίδας, οὐ θάπτεται ἐν ... ἀμφιπόλει. παρὰ δὲ Θεοκρίτῳ ... ὁ Βρασίδας. Βράσμα, ... Βρασμός ..., ὅταν ... ... Βρασιδαίων ..., ... Βράσσον, βραδύτερον, ... τροχοῦ. ... βράσσοντα, ταπεινότερον.

Βράσσω, τὸ ζέω. ... ἀναβράσσω λέγεται ... Βρασσειν, ... τὸ βραδύ; βραδύτερος, βράδιον, ...

ἀπολέσθαι ἐμέ, παλαιὸν σχηματισμόν. κατὰ τὴν πορφύρεον, νῦν δὲ οἱ λαὸν σόον ἔμμεναι, οὐκ ἀπολέσθαι. καὶ σημαίνει τὸ οὐκ ἀπολέσθαι, ὡς συντελοῦντα, πρὸς τὸ βούλομαι λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι. Βουλομένῳ, γλιχομένῳ, ἐπιθυμοῦντι. Βουλυτὸς, ὁ πρὸς ἑσπέραν καιρὸς, ὁ δειλινὸς, ὅτε τὸ ἐργάζεσθαι τοὺς βόας λύομεν. Βούλω, βαρύνεται. ἐπειδὴ τὰ εἰς λω λήγοντα ῥήματα δισύλλαβα παραληγόμενα τῇ ου διφθόγγῳ, τὰ μὲν δύο βαρύνονται. τὰ δὲ δύο περισπῶνται. βαρύνονται, τὸ βούλω καὶ οὖλω. Ὅμηρος, οὖλέ τε, καὶ μέγα χαῖρε. περισπῶνται, τὸ οὐλῶ παρὰ τὸ οὐλὴ τὸ τραῦμα, ἵνα κατούλωσεν. καὶ δουλῶ, παρὰ τὸ δοῦλος. Βωμακὸς, καὶ βούνακον, εἶδος βοτανῶν. Βωμίτης, ὁ ἐπὶ θυσιῶν τεταγμένος, παρὰ αἰτωλοῖς. Βωμολγὸς, ὁ τὰς βοῦς ἀμέλγων. Βωμουργὸς, φωνὴ μυκηθμῶν. Βοῦν ἐπικόψων, ἀντὶ τοῦ ἐπάνω τοῦ τραχήλου πλήξων. ὅθεν καὶ ἐπίκοπον παρὰ τοῖς παλαιοῖς τὸ ἐπίξηνον. ὅπερ ἰδιωτικῶς, ἐπικόρμιον λέγεται. Βοῦ, ἐπιτατικὸν μόριον. Βοῦν ἐπὶ γλώττης φέρει, ἤγουν δῶρα λαβὼν σιωπᾷ. Βοῦνις, ὁ βουνώδης γῆ, παρὰ τὸ βουνός. Βουνὸς δέ ἐστιν, ὁ ὑψηλὸς καὶ γεώλοφος τόπος. Βούνιον, πόας εἶδος. Βουνίαι, αἱ ἐλάφοι λέγονται. Βουνίτης, ὁ βουνῖος, ὁ βουλάτης. ὁ βουνὸς, ὁ ὑψηλὸς, ἡ γεώλοφος τόπος. Βοῦν σῖδιν ὀνομάζουσιν, ἣ ἀπολέσθαι. λείπει ἡ διὰ. μακεδόνες τὸ χεῖμα, πολὺς τὸν λόγον, λείπει ἡ κατά. οἱ Χαρίεντες τῶν ἀνθρώπων, λείπει ἡ ἐκ. ὁμοίως καὶ ὑδὶ ἀνομαῖ τῶν φυτῶν, ἀλλοχρῶν ὄρα, φύσει τῶν φύλλων, πῖν δὲ ὕδατος. ὅταν μὴ πάντα τὰ φύλλα τις μέλλει φύεσθαι, μὴ δὲ δεῖ τὸ προειμένον ὕδωρ πιεῖν, ὅμως μέρος, τοιαῦτα αἰολικῆ συντακτέον. Βουνοί, βωμοί.

Βούνομαι, αἱ ὑπὸ βοῶν κατανεμόμεναι. Βουὸς, ἀγὸς, κύπριοι. Ἀνδράλεξις, τάχα οἱ βουνοί. ἡ λέξις τοῦ ε. καὶ πνεῦμα προστίθησι τὸ λαοί. Βούπαις, μέγας παῖς, οὕτω τίλαος ἀνήρ. καὶ βούπαις ὄνομα ἡλικίας, ὁ νέος, ἔφηβος, ἢ ἰχθύς. Βούπαλος, ὁ λόγος. Βουπαλίδες, περιστασίαι. Βούπεινα, ὁ μεγάλη πείνα. Βουπλάται, οἱ βουπλόοι. εἴρηται ἄνω τῷ πλανᾶσθαι. βοπλάτει γάρ ἐστι. ἢ παρὰ τὸ πλάσαι τῶν βοῶν εἶναι. ἢ καὶ βέλτιον. Βούπλανον, λακώνων εἶδος. Βουπληγὲς, οἱ πληγέντες ὑπὸ τῶν βοῶν. βουπλῆγες δὲ, οἱ πλήσσοντες τοὺς βόας.

Βουπλὴξ, βουκόρθον, ἢ πέλεκυς βοὸς ἀναιρετικός. ἢ μάστιξ, γεγονυῖα ἀπὸ τμήματος βύρσης. ὀξύνεται δὲ καθότι τινὰ ταῦτα. τὰ κατὰ παρακείμενον συντιθέμενα ὀνόματα εἰς ξ, ἢ εἰς ξ λήγοντα, ὀξύνεται, κἂν μίαν φυλάττῃ τοῦ ῥήματος συλλαβήν. οἷον ἀμπὼξ, ἀνὰξ, ἐμπλὴξ, ἀναμορφὼξ, βουπλὴξ, σεσημείωται τὸ οὔπληξ. ἐν δὲ ἡροδιανῷ λεξικῷ. εἴρηται καὶ ὀρθόπληξ ἵππος, ὁ ὀρθὸς αἰρόμενος καὶ πλήσσων. προφέρεται δὲ καὶ ἀκρόπληξ, καὶ παράπληξ, καὶ οἰστρόπληξ. ὡς τὸ, Τῆς οἰστροπλῆγος ἀλόος ἐνέχω κόρης. καὶ μεθύπληξ. ὡς Καλλίμαχος, τοῦ μεθυπλῆγος φρείμων ἀπελάχισε. ἐπὶ δίφρου οὖν φασὶ λέγειν, ὅτι τὰ φρασικὰ μὲν ὀξύνονται.

Βούπορον, βουπόρον. Βουπόρος, ὀβελὸς μεγάλας, ὀβελίσκους. Βουπράσιον, ὁ Γεωγράφος χωρίον τῆς ἠλίδος φησί. καὶ τὰς βουπρασίδας ἐπικοὺς πάλιν λέγει. ὅτι κατὰ τῆς ἠλίας τὸ βουπράσιον ἀξιόλογος, ὃ νῦν οὐκ ἔτι ἐστί. καὶ ὅτι ὑπὸ ἐποχῶν λέξις ἔχων τότε τὸ βουπράσιον πάλιν τὸν ἦλιν, καὶ οἱ ἐπεοὶ πάλιν τῆς ἤλιδος. καὶ ὅτι τὸ πρὸς ἀντὶ ἐπεῖον ἠλεῖοι μετέθεσαν. καὶ ὅτι ὁ μέρος ἠλείου τὸ βουπράσιον. ὁ δὲ τὰ ἐθνικὰ γράφων, καὶ πόλιν ἤλιδος λέγει, καὶ ποταμὸν, καὶ χωρίον. καὶ κατοικίαν ἀξιόλογον, τὸ βουπράσιον. κλῆσιν οὕτω ἀπὸ βουπρασίου ἥρωος, ἢ ἐξ ἐσθίειν. τὸ ἐθνικὸν αὐτοῦ, βουπρασιεύς, καὶ βουπράσιος. καὶ βουπρασίων δὲ, ὡς καλλιμάχειον. Βούπρασις, λακάνου ἀγρίου γένος, ὅμοιον τῷ σίσαρι. Βουπρήσαι, ὄνομα θηρίου. Βούπρηστις, ζῶον τι κανθάρῳ ὅμοιον. ἢ ἀγρίαν ἡ λάχανον, πολὺ τὸ ἐπὶ πικρότατον. Βουτρίδες, ἀγροικοὶ μεγάλοι, καὶ λόφοι. Βούπυρον,

θυσία τις ἐξ ἑκατὸν προβάτων, καὶ βοὸς ἑνός. οἱ δὲ τῶν ἐπῶν, ἢ βουάρχων. σημαίνει δὲ ἀρχὴν τῶν βουπρέπων. Βούρασις, ἀθύουσα. Βούπτελον, βοτάνη λεγομένη φύλλον. Βοῦρα, πόλις τῆς ἀχαΐας. Βουράνων, ὄρος ἱερὸν, ἔνθα βελλερόφοντος διαφέρει πολλὰς διώκει. Βούρειον, ἡρακλῆς λέγει Θεόκριτος. ὅτι ἀπὸ κεφαλῆς βοὸς ἐχεῦσι περικειμένης ἰδέαν τὸ ὄφιον ἱερεῖν. οὕτω τὸ χάλκωμα μηχανησάμενος τὰ καὶ κατασκευάσατο. ἢ βούρεια, ὁ πολλῆρες. ἀπὸ τοῦ βοῦ ἐπιτατικοῦ μορίου, καὶ τοῦ ῥέω. βούπαις γὰρ ἡ βουπαῖος, ὁ μέγας παῖς. Ὅμηρος ἐν τῷ Βοιωτίᾳ. ἡ ἑτέρα ὁ ποῦ σχηματίζων βούρριν ἐκάλεσε. σπουδῶσι γάρ φασιν ἐξ αἰθέρος καὶ αὐτοφυῶς, βοὸς ῥινὶ παραπλήσιον εἶναι τὸν τόπον. ἐξ οὗ τῶν ἀρχαίων ἱερεῦσιν ὁ χάλκων ἐπεὶ στρ. ἄλλοι δέ φασιν, ὅτι ὁ χάλκων ἀνερρίπτει ἐκστρέψας εἰς τὸν τόπον, ἐν ᾧ τὸ ὕδωρ εὑρέθη. καὶ ἐκ τοῦ πολλοῦ τοῦ ἀνερρίπτειν τὸ ὕδωρ ἐξάρχειν. καὶ ποσῶς, τὸ ἐς ἐκ πολλοῦ ἄστεος, ἢ ἄσσον κράνον, ὡς τὸ ἐσφρασμένος πέτρα τόπε. καὶ ἄλλοι ἄλλως. Βούρυγχος, ἰχθὺς κατοῦλος. Βούρυνς, ποταμὸς μέγας, ῥεῦμα ἔχων.

Βοῦς, ἰχθὺς. τὰς αἰολικὰς τῆς τοιούτων μὴ διαιρεῖν εἰώθασιν οἱ ἀττικοί. Βοῦς, θηλυκῶς ἴωνές φασι, κατὰ καὶ ἀρσενικῶς ῥηθήσονται. ἀπὸ δὲ καὶ ἀττικοί. ὥσπερ καὶ οἶς, καὶ τὰς ἵππους, καὶ τὰς ἡμιόνους, καὶ τὰς κύνας. Βοῦς, τοῦ βοὸς, καὶ βοῦ ποιητικῶς. τῷ βοΐ, τὸν βόα καὶ βοῦν, ὦ βοῦ. δυϊκά, τὼ βόε, τοῖν βοοῖν, ὦ βόε. πληθυντικά, οἱ βόες καὶ βοῦς, τῶν βοῶν, τοῖς βουσί, τοὺς βόας καὶ βοῦς, ὦ βόες καὶ βοῦς. Βοῦς παρὰ δὲ τοῖς παλαιοῖς, ὅτι ἐλέγετο καὶ πέμματος εἶδος. ἀφ' οὗ παροιμία τὸ, βοῦς ἕβδομος, ἐπὶ τῶν λόγον τινὸς. σελήνας, πέμματα ὄντα πλατέα, κυκλοτερῆ. ἐπὶ δὲ τῆς σελήνης τιθέντας, βοῦν φασὶν ἕβδομον ἐπιθεῖν, κέρατα κατὰ μίμησιν πρωτοφυοῦς σελήνης ἔχοντα. ἔθυον μὲν οὖν ἐπὶ τισι ἑξῆς ἐπάνοις τούτῳ τὸν βοῦν, καὶ ἐκάλουν αὐτὸν πέμπτον βοῦν. μᾶλλον μέν τι ἐπὶ ταῖς ἐξ ἔθυον αὐτόν. ὅς καὶ ἐκαλεῖτο διὰ τοῦτο ἕβδομος βοῦς. ὁ δὲ ταῦτα ἱστορήσας Παυσανίας, λέγει καὶ ὅτι οἱ ῥαδίως σελήνας τὰ πέμματα, καὶ πέλανοι ἐλέγοντο. καὶ ὅτι πεμμάτων εἶδος καὶ οἱ ἀνάστατοι πλακοῦντες, καὶ οἱ χθόνιοι, καὶ οἱ ἀμφιφῶντες. καὶ φθοῖς δὲ φασὶ πέμματα μετὰ ὀπλάγχνων διέθεσαν. καὶ ὅτι οἱ ῥαδίως ἀμφιφῶντες, ἄλλως τε οὕτως ἐκάλουν ἀπὸ ἡλίου καὶ σελήνης. ἢ διότι ἐσπέραν αὐτὰς, λαμπάδια ἡμμένα παρακειμένας ἐπ' αὐτοῖς. ἀναχοῦ δέ φησιν ὁ αὐτὸς, καὶ ὅτι ἐκ φθορῶν προσαγορεύειν πλακοῦς, διὰ τοσοῦ. ἀφ' οὗ δῶλα πάσσοντο, ἄσσον τοῦ φωτὸς χάριν. Βοῦς θαλασσῦς, τό, τε ζῶον, καὶ τὸ βοῶν ἄροσιμα. βοῦς δὲ ἀρχαϊκῶς, ὁ τὸ πλοιμάσι. μεταφορικῶς, ἐλέγετο καὶ νόμισμα βοῦς, ὡς βοῦν ἔχειν ἐντετυπωμένον. διὸ ἐλέγετο ἡ παροιμία ἐπὶ τῶν δωροδοκουμένων κριτῶν, ὡς βοῦν ἐπὶ γλώττης ἔχει. διὰ δεῖ, νόμισμα λαβὼν σιωπᾷ. Βοῦς κύπριος, ἐπὶ προφάγος, ἐπεὶ καὶ ἀκαθάρτων. ἀφηγεῖται γὰρ ἐξ ὅλος τοὺς κυπρίους βόας, κοπροφαγεῖν. Βοῦς πετηνὸς, ὁ ἀναπεπταμένα τὰ κέρατα ἔχων. Βοόσαβον, τῶν ἀρτίμων. ἐφέαλο. Βουσί, δοῦλοι. Βουσία, γογγυλίδι ὅμοιον. ἐκ ἐπάλοι. Βοοσπόριον. Βούσιρις, ὁ τῆς αἰγύπτου βασιλεὺς. ἀφ' οὗ καὶ ἡ πόλις καλεῖται. Βουστάθμιον, τὸ βουστάσιον. Βουστάσιον, βοοστασία, ἡ τῶν βοῶν στάσις, ἢ μάστιξ καὶ πληγή. Βουστροφηδὸν. οὕτως ἔλεγον ἐπὶ τὸν ὁμοίως τοῖς ἀροτριῶσι βουσὶ τὰς ἐπιστροφὰς ποιοῦ. ἔλεγον δὲ ἐπὶ τῆς γραφῆς τρόπῳ τινί. Βούσυκα, τὰ μεγάλα σῦκα. Βούτανον. εἰώθασι τῇ προσθήκῃ τοῦ βοὸς τοῦ ἵππου, τὸ μέγεθος τοῦ ὑποκειμένου δηλοῦν. ἀπὸ μὲν τοῦ βοὸς, βούσυκον, βούπαις, βούλιμος. ἀπὸ δὲ τοῦ ἵππου, ἱπποσέλινον. καὶ ἱππογνώμονα, τὸν μεγαλογνώμονα. Βουτάδαι. δῆμός ἐστι τῆς οἰνηΐδος φυλῆς Βουτεία. ἀφ' ἧς Βουτάδαι, οἱ δημόται. Βουτάνο, μέγος τι τῆς μακρᾶς ναὸς, ἢ μάστιξ, ἢ τάπωσις τοῦ ἔσω. μέρος δὲ τι τῆς

πρὸς

ἑαυτοῦ, ὡς βουλῆς ὑπάρχων ἀγαθῆς. ἄλλως γὰρ τὸ ὑπάρχειν, γυναικὶ συντέτακται. ἔφη γοῦν πρὸ μικροῦ, βουλῆς ὑπῆρχε γυναικί. Βουλὰς ὑφαίνειν, ἐκ μεταφορᾶς εἴρηται συνθέτως ὑφαινομένης ἐσθῆτος. ὡς γὰρ ἡ τῆς κρόκης ἐπὶ τῶν νήμασι ἐπισύνθεσις ἀποτελεῖ ὕφασμα, οὕτω καὶ λόγον ἡ σύνθεσις τῆς λέξεων. Βουλεία, ὁ χρόνος τοῦ βουλεύειν. ὥσπερ στρατηγεία λέγεται, ὅτε στρατηγεῖ. Βούλει, καὶ βούλῃ, διαφέρει. τὸ βούλει μὲν γὰρ ἐρωτικόν. οἷον βούλει χολώσομαι; τὸ βούλῃ δὲ διστακτικῶς, οἷον βούλῃ πρᾶξωμεν;

Βούλεσθαι ἐπὶ μόνου λεκτέον τοῦ λογικοῦ. τὸ δὲ θέλειν, καὶ ἐπὶ ἀλόγου ζώου. Βουλέσθαι. ὁ ποιητὴς ἔν τε τῇ ἰλιάδι, καὶ τῇ ὀδυσσείᾳ, κατὰ ἀπὸ παλαιὰν προάγει φωνήν. ὡς ἐν τῷ, βουλὰς βουλεύειν, καὶ βούλευσε φρεσί. καὶ ἐν ἄλλοις πολλοῖς. ὁμοίως δὲ καὶ τὸ συμβουλεύειν, κατὰ φωνὴν ἀρχαϊκὴν οἱ παλαιοὶ τῶν ῥητόρων προάγουσιν. ὕστερον δὲ τὸ παλαιὸν ἐκπέπλασται. οὕτω καὶ τὸ σύνεδρον, καὶ μεταχωρίζεσθαι, καὶ φιλίζεσθαι, οἱ παλαιοὶ ἀρχαϊκῶς προφέρουσιν. Βουλεύομαι, καὶ βουλεύω λέγεται. βουλεύω, ἀντὶ τοῦ βουλευτής εἰμι. βουλεύομαι δὲ, ἀντὶ τοῦ σκέπτομαι. εὐριπίδης, ἄκουσον δ' ὡς καλῶς βουλεύομαι. καὶ βουλεύομαι, ἀντὶ τοῦ βουλὰς δίδωμι. ἀντὶ τοῦ βουλὰς δίδωμι, ἀττικῶς. Βουλεύομαι, περὶ εἰρήνης. Βουλεύομαι, μέδομαι. Βουλεύοντε, ἀντὶ τοῦ συμβουλεύοντε. Βουλεύοντο, ἀντὶ τοῦ βουλεύσαι. καὶ τοῦτο μὲν ἀρχαϊκῶς παρ' Ὁμήρῳ εἴρηται, ὅπερ οὐκ ἂν γράψει ἀττικίζων ἀνήρ.

Βουλεύεσθαί ἐστι, ταυτὸν τῷ σκέψασθαι. βουλεῦσαι, τὸ ἐνθυμηθῆναι καὶ συντάξαι κακόν. οἷον βουλεῦσαι φόνον, ἢ ἱεροσυλίαν. Βουλεύσεως, ἐγκλήματός ἐστιν ὄνομα, ἐπιβουλεύειν πράγματι τεθνηκότος. ὁ μὲν δέ ἐστιν, ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς, ἐάν τε καὶ μή. τὸ δὲ ἕτερον, ὅταν τις ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ διαγράψῃ, ὡς οὐ δικαίως αὐτὸν γεγραφότι. Βουλευτήριον, οὗ βουλεύονται. ἔστι δὲ βουλευτήριον, οὐ μόνον ὁ τόπος ἐν ᾧ βουλεύονται, ἀλλὰ καὶ αὐτοὶ οἱ βουλευταί. Βουλευτικὸς τόπος τοῦ θεάτρου, ὁ ἀπονεμόμενος τοῖς βουλευταῖς. ὡς καὶ ὁ τοῖς ἐφήβοις, ἐφηβικός. Βουλευτὴν, οὐ τὸ τέλος, ἀλλὰ τὸ πρὸς τὸ τέλος, ἢ τὸ πρακτέον ἐφ' ἡμῖν ἐστι. Βουλεύω καὶ βουλεύομαι, βουλεύσω καὶ βουλεύσομαι, βεβούλευκα καὶ βεβούλευμαι, ἐβούλευσα καὶ ἐβουλευσάμην. Βουλεύω, τὸ θέλω, ὅτι τὸ βουλὴν ἔχω. συμβουλεύω δὲ, τὸ παραινῶ. αὐτουτός (?) βουλεύομαι, τὸ σκέπτομαι περὶ τινὸς πράγματος. συμβουλεύομαι δὲ, τὸ σκεπτόμενον ἄλλοις κοινοῦμαι. Βουλεύων, ἀντὶ τοῦ βουλὰς διδούς. Ἀριστοφάνης, Κλεινῶν πράττων καὶ βουλεύων. καὶ Ἀριστείδης, ταῦτα οὐχ ὡς βουλεύων εἶπεν, οὐδ' ὡς ἀγορεύων διδάσκων. καὶ βουλεύων, ἀντὶ τοῦ ὑποθέμενος. οὐ πράξας, ἀλλὰ βουλεύσας τὸν φόνον. Βουλεψίη, ἡ λέξις παρὰ Ξάνθῳ. λέγει δὲ τὰς ἀμαζόνας, ἐπειδὰν τέκωσιν ἄρρεν, ἐξορύσσειν αὐτοῦ τοὺς ὀφθαλμοὺς, εὐχαριστίᾳ. Βουλὴ ἁγίων, ὁ σύλλογος τῶν ἁγίων. Βουλὴ, γνώμη, καὶ βουλευτήριον. Βουλὴ ὄρεξίς ἐστι λογική, περὶ τῶν ἐφ' ἡμῖν πρακτέων γινομένων. βουλεύεταί γάρ τις, εἰ ὀφείλει μετελθεῖν τὸ πρᾶγμα, ἢ οὔ. Βούλησις, ἡ φυσικὴ θέλησις. ἤγουν φυσικὴ καὶ λογικὴ ὄρεξις τινὸς πράγματος. διαφέρει δὲ βούλησις καὶ προαίρεσις. προαίρεσις μὲν γάρ οὐκ ἔστι τῶν ἀδυνάτων, βούλησις δέ ἐστι τῶν. οἷον εἴ τις εἴποι, βούλεσθαι ἐν τῷ παρόντι αἰῶνι ἀπαθανατισθῆναι. τοῦτο γὰρ ἡμῖν ἀρτίως ἀδύνατον. καὶ ἡ μὲν βούλησις, καὶ περὶ τὰ μὴ δι' ἡμῶν πρακτέα. ὥσπερ ἂν εἴ τις εἴποι, βούλεσθαι τόνδε τὸν ἀθλητὴν νικῆσαι, προαιρεῖσθαι δὲ, οὐκ ἄν τις ἐρεῖ τοῦτο. ἡ γὰρ προαίρεσις, ἐπὶ τῶν δι' ἡμῶν πρακτέων λέγεται. ἔτι ἡ μὲν βούλησις, μᾶλλον περὶ τοῦ τέλους. ἡ δὲ προαίρεσις, τῶν περὶ τὸ τέλος. οἷον ὑγιαίνειν βουλόμεθα, προαιρούμεθα δὲ τὰ δι' ὧν ὑγιανοῦμεν. Βουλὴ τὸ τῶν βουλευτῶν ἄθροισμα. καὶ τὸ σκέμμα, ὃ καὶ βούλευμα λέγεται, μετὰ τὴν ψῆφον παυσαμένων τῶν βουλεύεσθαι τῶν βουλευτῶν. βούλευμα δὲ, ἡ θέλησις. Βουλευτήριον ὁ τόπος, ἐν ᾧ βουλεύονται. καὶ αὐτοὶ οἱ βουλευταί. Βουλεῖον τὸ χιλεῖον, ἐν ᾧ διδάσκαλοι ἐπονίζοντο. λέγεται δὲ βουλεῖον δῆθεν ἀπὸ τοῦ βουλῆς. ἀλλὰ ἀδόκιμον. Βουλὴ Διὸς ἐτελείετο, παρ' Ὁμήρῳ ἐνταῦθα τοῦ Ἀχιλλέως ὑποφαινόμενον. οἷονεὶ λέγων, μὴ δι' ἐκεῖνον, ἀλλὰ τὸ εἱμαρμένον ἐξ ἀνάγκης ταῦτα γενέσθαι. βουλὴν γὰρ Διὸς τὴν εἱμαρμένην φασί. Διὸς λεγομένη, καθὰ καὶ τοῖς στωϊκοῖς ἤρεσεν. Βούλημα, καὶ βούλευμα. τὸ βούλημα μὲν, τὸ ἴδιον. βούλευμα δὲ, τοῦ δημοσίου ἡ γνώμη. Βουλὴν πιθὼν, ἀντὶ τοῦ πείσας. ἴσως δὲ τῇ βουλῇ δόξει, ταῦτα ἐπὶ τὸν δῆμον ἀναφέρεται. καὶ ἐκ τοῦ ἐναντίου, τὰ ὑπὸ τοῦ δήμου ψηφιζόμενα, ὑπὸ τῆς βουλῆς κυροῦται. Βουλῆς λαχεῖν, τὸ λαχεῖν βουλευτὴν, καὶ δραχμὴν τῆς ἡμέρας λαβεῖν. Βουλευτὴν τῶν λίθων ὑπερβὰς ἢ τὸν ἄραφον λύεται τῶν βοῶν. Βουληφόροι παρὰ τῷ ποιητῇ, οὓς νῦν τῆς συγκλήτου φαμέν. ἴδιον γὰρ, ὅτι ἡ μὲν ἀγορὰ, παντὸς ἦν τοῦ δήμου κοινή. καὶ κηρύγματι ἐξ ἀνάγκης ἠθροίζοντο. ἡ δὲ βουλὴ, τῶν ἐκκρίτων μόνων συγκαλουμένων ἰδίᾳ, καὶ οὐ μετὰ τοῦ πλήθους. Βουληφόρος, ἡγεμὼν, ἄρχων, βουλευτής. Βουλία, ἡ ἀβουλία, τὸ ἐκ τῆς βουλῆς ὄντα πράττειν, ἃ τοῖς βουλευταῖς προσήκει. Δείναρχος, καὶ Ἀριστοφάνης ἐν θεσμοφοριαζούσαις. Βουλιμιᾷ, μεγάλως λιμώττει. ὥσπερ βούπαιδα, μέγαν παῖδα. οὕτω καὶ βουλιμιᾶν, τὸ μεγάλως λιμώττειν καὶ πεινῆν. ἢ βουλιμιᾷ, πάνυ λιμώττει, καὶ πεινᾷ λίαν. ἀπὸ τοῦ βου ἐπιρρήματος, ὅπερ ἐπιτατικόν ἐστι δηλωτικὸν, ἀντὶ λίαν. ὥσπερ καὶ ἐν τῷ βούπεινα, ἡ μεγάλη πεῖνα. καὶ βουγάϊος, καὶ βούσυκος. Βούλιμος, μέγας λιμός. Βουλιμιώττει, πεινᾷ λίαν. παρὰ τὸ βου ἐπιτατικὸν μόριον, καὶ τὸ λιμώττει. Βουλὶς, γυνὴ οὕτω καλουμένη. Βούλομαι, θέλω, χρήζω, αἱροῦμαι, κατανεύω. Βούλομαι, καὶ θέλω πλοῦτος, καὶ πλουτεῖν. βούλομαι πλεῦσαι, βουλεύομαι περὶ εἰρήνης. Βούλομαι ἐνεστὼς, ἐβουλόμην παρατατικὸς, βουλήσομαι μέλλων, ἐπιρροκλίτως. ἐβουλήθην ἀόριστος, βεβούλημαι μέσος παρακείμενος. καὶ μετὰ τῆς πρὸ προθέσεως, προβέβουλα. Βούλομαι, μετὰ παρῳχημένου καὶ ἐνεστῶτος μόνον τίθεται, οὐδέποτε μετὰ μέλλοντος. Ὅμηρος, βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι. Θουκυδίδης, βουλόμενοι ἐκ τῶν οἰκείων λαβεῖν τι ὠφέλιμον. ὡσαύτως καὶ τὸ θέλω, καὶ τὸ ἀναγκάζω, καὶ τὸ βιάζω, καὶ τὸ ἐπιθυμῶ, καὶ τὸ ἀξιῶ, καὶ τὸ δέομαι, καὶ τὸ ἱκετεύω, καὶ τὸ ποθῶ, καὶ τὸ μαντεύομαι, καὶ τὸ ἐῶ, καὶ τὸ παρακαλοῦμαι, καὶ τὸ ὀρέγομαι, καὶ τὸ κελεύω, καὶ τὸ δύναμαι, καὶ τὸ ζητῶ, καὶ τὸ ὀφείλω, καὶ τὸ κινδυνεύω, καὶ τὸ εἶπον, καὶ τὸ λέγω, καὶ τὸ ἐπείγομαι, καὶ τὸ ὁρμῶ, καὶ τὸ ὠθῶ, καὶ τὸ διανοοῦμαι, καὶ τὸ ἔχω, καὶ τὸ ἐπιτέλλω, καὶ τὸ πράσσω, καὶ τὸ κωλύω, καὶ τὸ ψηφίζομαι, καὶ τὸ ὀκνῶ, καὶ τὸ ἀπειλῶ. ὡσαύτως καὶ τὸ ἰσχύω, τὸ ἔδει, τὸ εἰκός ἐστι, τὸ ἀνάγκη ἐστὶ, καὶ τὸ ἔξεστι. Θουκυδίδης, ἔξεστι καλῶς θέσθαι. καὶ οὐκ εἰκὸς εἰς οὐδέν γε αὐτοὺς παρακινδυνεῦσαι.

Βούλομαι ἀγαθὸς εἶναι, καὶ βούλει ἀγαθὸς εἶναι, καὶ βούλεται ἐκεῖνος ἀγαθὸς εἶναι. οὐδέποτε δὲ βούλομαι εἶναί με θέσθαι, ἀλλὰ βούλομαι εἶναί σε θέσθαι, ἢ ἐκεῖνον πιέσθαι. Βούλομαι γράφειν, καὶ βούλομαι ἀναγινώσκειν. Βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι. οὐ σημαίνει, ἀλλ' ὡς οἱ παλαιοί φασιν εὐήθως, ἤγουν ἀπλοϊκῶς καὶ ἀφελῶς εἶπεν ὁ Ἀγαμέμνων, ὃ καὶ πρίαμος εἶπεν ἂν ὁ τῶν ἐναντίων ἔχθιστος. πάντως γὰρ διὰ τὸ φθονεῖν καλὸν ἔλεγεν ἂν σόον εἶναι τὸν ἑλλήνων στρατὸν, εἰ μόνον ἀπέχοιντο τοῦ πολιορκεῖν. οὐκ ἔχει οὖν ὑψηλόν τι, καὶ σεμνὸν ὁ λόγος, ἀλλὰ καὶ τοῦτο καθὰ καὶ ἄλλα τινὰ πρὸ τούτου, ἠθικῶς ὁ βασιλεὺς καὶ οὕτως αὐτὸς ἐπελθὼν, αὐτοῦ εἴρηκεν, ὡς ἐν ἀγωνίᾳ καὶ θυμομαχίᾳ. τινὲς δὲ οὕτω θερμανεύουσι τὸ βούλομαι, βούλομαι σόον εἶναι τὸν λαόν. ἢ εἰ μὴ τοῦτο γένοιτο, ἀπολέσθαι ἂν βουλοίμην αὐτός. ἐντεῦθεν δέ φασιν οἱ παλαιοὶ, ὡς εἰ μὲν τεθείη τὸ ἢ ἀπολέσθαι ἀντὶ τοῦ ἤπερ, διασαφητικός ἐστιν ὁ ἢ σύνδεσμος. εἰ δὲ ὁ ἀντὶ τοῦ ἀπολέσθαι

πῶ ὁ ἵππος, οὕτω δὲ καὶ ὁ βοῦς κατὰ μέγεθος παρεμφαίνει ἐν ταῖς συνθέσεσι, δηλοῖ ἡ βου ἐπίτασις, ὡς ἐκ τῶν ζώων τούτων εἰλῆφθαι λέγουσιν. ἐξ ἧς ἐπιτάσεως καὶ ἡ βούβρωσις, καὶ ἡ βούπεινα, καὶ ὁ βούλιμος, καὶ ὁ βουβών, καὶ ὁ βούπαις. οὕπερ ἀκολουθία τεκόντι. βρέφος ὡς ὁ γραμματικὸς Ἀριστοφάνης φησὶ, τὸ ἄρτι γεγονὸς παιδίον, ὃ ἡ τιθὴ τρέφει. παιδάριον, τὸ περιπατοῦν, καὶ ἤδη λέξεως ἀντεχόμενον. παιδίσκος, ὁ τῆς ἐχομένης ἡλικίας. παῖς, ὁ διὰ τῶν ἐγκυκλίων ἤδη μαθημάτων δυνάμενος ἰέναι. ὁ δὲ μετ' αὐτὸν, πάλληξ, καὶ βούπαις, καὶ ἀντίπαις, καὶ μελλέφηβος. οἱ δέ φασιν, ὡς Ἀλεξιῶται καὶ σάμιοι, τοὺς γαλακτοφαγοῦντας καὶ μασθὸν ἔχοντας, βουπαῖδας καλοῦσιν. ἄλλοι δὲ βουπάκτη γράφουσιν, ὅ ἐστιν ἄγροικοι, πλαγιφέροντος ἢ χοῦσιν. βοῦκον, καὶ βουκαῖον, τὸν ἄγριον λέγουσι, παρά τε Νικάνδρῳ, ἐν τῷ βουκαῖος, ὀρείτυπος. καὶ παρὰ Θεοκρίτῳ. ἱστορεῖ δὲ, ὡς καὶ ἐν Ὀδυσσείᾳ ὁ Ἶρος βουγάϊος ὑπὸ τοῦ μνηστῆρος προσηγορεύθη σκωπτικῶς. καὶ ὅτι Ἀριστάρχου γράφοντός φασι βουγάϊε, Ζηνόδοτος βουγάϊε γράφει. καὶ ὅτι ὁ διὰ βάρος προσφυθεὶς βουγάϊος, ῥηθείη ἂν καὶ βουβάρας, ὅ ἐστι μέγας, καὶ ἀναίσθητος. καθὰ βουκόρυζα ἡ μεγάλη κόρυζα. καὶ εἴη ἂν ὁ ῥηθεὶς βουβάρας, προσοίκων διὰ τὸ κατ' αὐτοῦ βάρος προσχρησθῆναι, καὶ γαῦς ἐπάσιον ἄχθος. ἐπιτυχὲς δὲ μάλιστα ἐν τοῖς ἑρμηνεύουσιν ὁ μεταλαβὼν τὸ βουγάϊον εἰς βόσκημα ἀναίσθητον. ὅτι δὲ καὶ εἰς ἀναισθησίας σκῶμμα λαμβάνεται ὁ βοῦς, δηλοῖ καὶ ὁ παρὰ Μενάνδρῳ βοίδιος, ὅ ἐστι πρᾶος. εὐήθης, καθ' ὁμοιότητα τοῦ ἀμνοσκοῦ. ὅ ἐστι νεῶν, ὡς ἀμνὸς κατὰ τὸν κωμικόν. παροιμιάζεται δὲ ὁ βοῦς, ὥσπερ ἐπὶ βελτίονος, ἐν τῷ βοῦν ἐπὶ γλώσσῃ φέρεις. οὕτω κατὰ Παυσανίαν καὶ ἐπὶ ἀχρείου, ἐν τῷ βοῦς ἐν αὐλίῳ κάθῃ. καὶ ταῦτα μὲν περὶ τῆς κατασχούσης λέξεως ἐν τῷ βουγάϊος. εἴτε παρὰ τὴν βου ἐπίτασιν γίνεται, εἴτε παρὰ τὴν βοῦν. εἰς δὲ τὸ ἑξῆς, ἤγουν τὸ γάϊος, χρήσιμον καὶ τὸ τοῦ Αἰλίου Διονυσίου, εἰπόντος, ὅτι γαιόφορον οἱ παλαιοὶ καλοῦσι, τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον. Βουγενέων, τῶν μελισσῶν. Καλλίμαχος, ἄρμενα πὰρ δακοῦ γῆς ἐπὶ βουγενέων. λέγεται δὲ βουγενὴς ἡ μέλισσα, ὅτι ἐκ βοείων ὀσίων γεννᾶται. Βούγλωσσος, ἰχθύς τις, καὶ βοτάνης εἶδος. Βουλάκα, ἡ βουηλασίς.

Βούδειον, πόλις φασὶ βοιωτική. ἀπὸ Βουδείας βοιωτίας μητρὸς ἐργίνου, τῆς καὶ πινδάρῳ ἐξιαλομένης. ἄλλος δέ φησι, Βούδειον ἱστορεῖ πόλιν ἐν Μαγνησίᾳ τῇ κατὰ Εὐρώπην, ἀπὸ τοῦ οἰκίσαντος Βουδείου. καὶ Βουδείαν λέγων Ἀθηνᾶν ἐν Θεσσαλίᾳ, εἰς ὃ καὶ παραφέρει τὸν Λυκόφρονα μάρτυρα. ὁ δ' αὐτὸς καὶ ἑτέραν Βούδειον ἱστορεῖ πόλιν Φρυγίας, λέγων ὡς καὶ ἐθνικόν ἐστι τὸ μυδικὸν οἱ Βουδιαῖοι. ὧν ἡ γραφὴ, ὡς οἱ ὁμηρικοὶ κεῖνται. τινὲς δέ φασι Βούδειον πόλιν Φθίας, ἀπὸ Βουδείου ἥρωος ἄρχου. ἀρέσκει δὲ τοῦτο οὐ πάνυ τοῖς παλαιοῖς. ὁ γὰρ Βουδεύς φασιν, οὗ ἐνταῦθα μέμνηται Ὅμηρος, πέφευγεν ὅθεν εἰς τὴν Πηλέως ἱκετεύσας φαίνεται, καὶ οὐκ ἀπὸ Θεσσαλοῦ τόπου. ἄλλως μέντοι Λοκρὶς καὶ πόλις εἶναι ἱστορεῖται τὸ Βούδειον. Βουλίφιον, τὸ βυρσίον. Βούδιος, παρὰ Λυσίππῳ τὸ ὄμμα, κόρην δέ τις ἰδὼν δεδιμένος. ὥσπερ βούδιος ὄχλος ἀπολείλωσιν, ἄφρων, ἀνόητος. Βούλυτρα ἤματα, προχαροντέως καθὰ παλαιῶν σημασίαν, ἐν οἷς βόες ἀπολύονται. ἢ κατὰ ἐνέργειαν παροξυτόνως, τὰ τοὺς βοῦς λύοντα. διὰ τὸ μέρος τῶν βοῶν δηλαδὴ, πάντα τὰ ζῷα ἐδήλωσε.

Βουβομβεῖν, μετὰ σπουδῆς παραχεῖσθαι. Βουζύγης, ὁ ἥρως, ὅτι βοῦς ζεύξας, τὴν γῆν ἤροσεν. ἀφ' οὗ γένος Βουζυγία.

Βουθέρα, ἐν ᾧ τόπῳ βόες θέρους νέμονται. Βουθοία, πόλις τῆς Ἰλλυρίδος. Βουθὰς περιφοιτᾷ, παροιμία ἐπὶ τῶν εὐήθων καὶ παχυφρόνων. ἀπὸ Βουθαλιάδος μετενεχθεῖσα, τοῦ Πυθία νικήσαντος.

Βουθυτεῖ, μεγάλην θυσίαν ποιεῖ. ὡς παρ' Ἀριστοφάνει, ἔδοξεν βουθυτεῖ, ὃν καὶ τράγον καὶ κριὸν, ἐστεφανωμένος. καταχρηστικῶς δὲ εἴρηται παρὰ τῷ Ἀριστοφάνει ἡ βουθυσία, δηλοῦσα τόν τε ὄγκον τῆς μεγέθους, καὶ τὸ ἐντελὲς τῆς θυσίας, ἣν ἑκατόμβην καλοῦσιν. ἐντελὴς δὲ θυσία, ἡ ἐξ ὑὸς ταύρου τράγου καὶ κριοῦ, ἣν καλοῦσι τριττύν. τριττὺς δὲ παρ' Ἀθηναίοις, ἡ ἐξ ὑὸς καὶ κριοῦ καὶ τράγου θυσία. Βουθύτην, ὁ ἱερεὺς ἀμείνων, ἀχαιοὶ δὲ ἰσόχειρον. ὡς Ἀριστοφάνης. Βουβώνας, βουχείλους. Βουίερσαι, βοῦν ἔθυε. Βουκαῖος παρὰ Θεοκρίτῳ, οἱ μὲν τὸν βοηλάτην. ἀπὸ τοῦ βου ἐπιτατικοῦ, καὶ τοῦ καίνω τὸ κόπτω καὶ θερίζω. τινὲς δὲ βουκόλον. βέλτιον δὲ τὴν ἀρετὴν ἀκούειν, τὸν σὺν βουσὶ καίνοντα τὴν γῆν. Δίφιλος δὲ ἐν Νικάνδρου θηριακοῖς, κύριον ὄνομα τὸν βουκαῖον λέγει. Βουκανῶ, ἄνεμον, ἢ τὸ ἄελος. κύπριοι. Βουκάπη, ἡ φάτνη τῶν βοῶν, ἐν ᾗ οἱ βόες κάπτουσιν. ἀπὸ γὰρ τοῦ κάπω τὸ ἐσθίω, γίνεται κάπη. Βουκελάτη, ἄρτου ἐλατοῦ, ὃς λέγεται κολλίκιον. Βουκελλάριοι, οἱ ἰδίως γαλάται ὀνομάζονται. καὶ ἡ τῶν βουκελλαρίων χώρα, γαλογραικία. Βουκέντας, βοηλάτας.

Βούκερα, λίμνη τις πρὶν μὲν ἐλθουμένη. νῦν δὲ εἶδος βοτάνης. Βουκέρας, ἡ τῆλις τὸ ἀρωμάτιον. Διότιμος, βουκραῖς κριῶν ἐν πλαταιαῖς, ἥτις ὠνόμασται πόλεως. Βουκέφαλας ἵππος, μόνον Ἀλέξανδρον ἤθελε φέρειν ἔποχον. Βουκινῶσαι, τὰς βοῦς ἐλάσαι. Βουκόλια, ἀγέλη βοῶν. Βουκολεῖν, τὸ φέρειν. ἀποβουκολεῖν δὲ, τὸ ἀποπλανᾶν. ὡς ἔφη τις τῶν σοφῶν, φθάνει τις ταῖς ἐλπίσιν ἡμᾶς ἀποβουκολῶν. Λουκιανὸς, εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ ἐλπίζει, ἤγουν ἀπατᾷ καὶ εἰς ἐλπίδας ἄγει. βουκολεῖν ἐστι, τὸ ἐπὶ πλεῖστον ἀεὶ παραλογίζεσθαι. Ἄλλως.

Βουκολεῖν. ὅρα καὶ ὅπως ὁ ποιητὴς τὴν λέξιν τοῦ βουκολεῖν ἐπὶ ἵππων παρέλαβεν. ἐν τῷ, Τρισχίλιαι ἵπποι ἐβουκολέοντο. ὡς καὶ τῇ τοῦ οἰνοχοεῖν ἐπὶ τοῦ νέκταρος. ἐν τῷ, Νέκταρ ἐῳνοχόει. οὐ πρὸς μέμασιν ἔγραψέ τις καὶ τὸ, Οἶνος οἰνοχοεῖν. φησὶ δὲ Εὐριπίδης, Γάλακτος δὲ ὁ τῶν λαβόντος ἱπποβουκολεῖ. λέγει δὲ ἄλλως, ὡς καὶ προγέγραπται κατὰ χῶμα συνεζευγμένας τὴν ποιητὴν οὕτως εἰπεῖν. ὡς ἂν ὁ ἀγρεύτης τοῖς ἵπποις καὶ βόας συνεχρήσατο, καὶ ἄλλα ζῷα. διὸ τοι τοῦτο καὶ τὸ πίνειν ἐξ ἀργυρίδων χρυσῶν παρ' Ἀνακρέοντι, ὥς φησιν Ἀθήναιος. οὐ γάρ ἐστι κυριολεκτεῖν τὸ χρυσῆν ἐπὶ ἀργυρίδων, εἰ μὴ ἄρα καθότι ἀργύριον καὶ ὁ χρυσὸς λέγεται, διὰ τὸ μεταλλευτικὰ πλατυτέρας εὑρίσκομεν. ὅμοιον δὲ καὶ τὸ ὕδωρ, ἑκατόμβην παρὰ τῶν παλαιῶν. τί γὰρ κοινὸν ὕεις, καὶ τῇ ἐκ βοῶν παρωνομασμένῃ ἑκατόμβῃ. τοιοῦτον καὶ τὸ τοῦ Σοφοκλέους, τὸ ἵπποισιν ἢ κύμβαισι βουκολεῖν χθόνα. τουτέστιν, ἱππότης ἥκεις ἢ διὰ πλοίου. κατὰ γὰρ τὸ βουκολεῖν ἵπποις μὲν, οὐ κύμβαις δὲ κεῖται. Βουκόλια, αἰπόλια, ποίμνια. ταῦτα μέρη ἐστὶ τοῦ κατ' ἀγρόν. καὶ οὗ οἱ μὲν βόες ἵστανται, βούσταθμα, βουαύλια, βουστάσεις. οὐ δὲ αἶγες, αἰπόλια, καὶ σύες. καὶ ὁ μὲν βουκόλος λέγεται καὶ βουτρόφος. καὶ βουφορβός. ὥσπερ καὶ ὁ ὑποζυγίων αἰπόλας, βοηλάτας. ὁ δὲ τῶν προβάτων ἡγεμὼν, ποιμὴν, ὥσπερ ὁ τῶν αἰγῶν αἰπόλος. οἱ δὲ πάντων τῶν τετραπόδων, νομεῖς. Βουκολεῖσθαι κεναῖς ἐλπίσιν, ἀντὶ τοῦ ἀπατᾶσθαι. Βουκόλημα, θέλγητρον, ἀποπλάνημα, ἀπάτημα. Βουκολήσεται, ἀπατήσεται. καὶ βουκόλημα, τὸ θέλγητρον. Βουκολήσομεν, μεριμνήσομεν, ἀπατήσωμεν. Βουκολιασμός, μελοποιίας τινὸς εἶδος, καὶ ὀρχήσεως. ἀμφότερα δὲ ἀγροικικὰ, καὶ Θεοκρίτῳ γέγραπται. Βουκολία, κακολογία. Βουκολίων, αἰγίλος, τὸ ἔρνος. Βουκόλοι, οὐ μόνον οἱ τῶν βοῶν νομεῖς, ἀλλὰ καὶ ζῷά τινα οὕτω καλοῦνται.

Βουκόλος, βοονόμος, βοσκός. Βουκολῶ, φυσαλλίδας πόλις, ἡ θρᾴκης. Βουκόρυζαν, τὴν μεγάλην κόρυζαν. Βουκόρυζος, ἀναίσθητος, ἀσύνετος. Βούκτησις, φωνή. Βούλαια, τὰ βεβουλευμένα. Βουλαῖος, δι' οὗ καὶ τὸ βέλτιον τοῖς ἀνθρώποις ἐστί. Βούλευμα, βέλους ὄνομα. Βουλὰς βουλεύειν, ἀττικόν ἐστιν, ὡς τὸ ξείνους ξενίζειν, καὶ ἕτερα μυρία.

Βουλὰς βουλεύσομαι, ἀττικῶς ἐσχημάτισται. Βουλὰς ἐξάρχων ἀγαθὰς, παρ' Ὁμήρῳ. ἔλλειψιν ἔχει προθέσεως. ἵνα ᾖ, εἰς βουλὰς ἐξάρχων ἀγαθάς. ἄλλως γὰρ τὸ ἐξάρχειν, γενικῇ συντάσσεται.

Βορίων, τῶν φθορῶν. γράφεται δὲ καὶ βοία. Βορβὸρ, γαστὴρ ἐσπασμένη πῶς. Βορβαγορίσιακ, χείρια [illegible] καὶ μικροὶ χοῖροι, βορβάνια. λάκωνες. Βορίω, ἐκ τοῦ βορίας βορίου, βορίω, συγκέκοπται. ὁμοίως γὰρ ἑρμαίω καὶ εὐμιλίω [illegible], καὶ τοῖς τοιούτοις. Βορνὰ, βοτάνη πᾶσα. Βορνόλα, πέμμα στρογγύλον διὰ μήκωνος. καὶ σησάμη, ὃ ἐπὶ εὐμενὴς θεῖς ἄρτυ. Βόρμαξ, μύρμαξ. Βόρμος, βρόμος. καὶ καθ' ὑπέρθεσιν, βόρμος καὶ βόρμαξ. ἔστι δὲ φορὰ τετραπόδων.

Βορὸν, βρωτικὸν, ὀξύτατον. Βορὸς, πολυφάγος, ἄπληστος. Βοῤῥάζων, φοβῶν. Βοῤῥᾶς, ἄνεμος ψυχρός. [illegible] καὶ Βορᾶς. βρώσεως, ἡ φορά. Βορσὸν, ξηρὸν, ἄλφι. Βόρταχος, βάτραχος, βορμός. [illegible] Βορυθῆνες, ὁ ἰλλάσσων [illegible]. Βόσις, ἡ τροφή. Βοσκὰς, ὄρνεον, ἐκ τοῦ βόσκειν. καὶ προβοσκὶς ἐλεφάντων, ἡ καὶ προνομαία ὁμοίως. κυριολεκτεῖται καὶ ἐπὶ μυῶν, καὶ ταβίλαν, ὡς λέγει Ἀθήναιος.

Βόσκειν, ἐπὶ τῶν ἀλόγων ζώων τίθεται. Βόσκημα, καλεῖται ἐπὶ χοίρων. Ξενοφῶν δὲ ἐν [illegible] παιδείας, καὶ ἐπὶ ἵππων τίθεσι τὴν λέξιν. Βοσκημάτων, θρεμμάτων. [illegible]

[illegible]

Βότρυχον, βόστρυχος, ὁ βοτρυοειδής. μετὰ σχήματος γὰρ [illegible] ἀπήρτηται. Βοτὰ, βοσκήματα. κατὰ [illegible] καὶ χερσαίων, ἃ [illegible] ζώων. λέγεται δὲ ἀπὸ τοῦ βόσκεσθαι.

Βοτάνη, παρὰ τὸ βίᾳ τίκτεσθαι, ἤγουν αὔξειν. Βοτὴρ, βοτήρ. Βοτῆρα, ποιμένα. Βοτανικὰ [illegible]. Βοτις, βάλλον. Βοτὸς, τροφὴ, ἡ βοσκή. καὶ βροτὸς, ὁ ἄνθρωπος. Βοτράχυ, ἀντὶ τοῦ βατράχου, παρὰ γὰρ [illegible]. Βοθρελία, [illegible] εἶδος. οἱ δὲ [illegible]. Βότρυες, τῶν ὀπωρῶν οὐχὶ τῶν σταφυλῶν μόνον. καὶ [illegible] τῶν βοτρύων ὀπώρων. Βοτρυλὸν, [illegible] ὡς [illegible] τῶν βοτρύων. Βοτρύδιον, κατὰ [illegible].

Βοτρυμὸς, φυτευτός. Βοτρυόδωρος, βότρυς [illegible]. Ἀριστοφάνης, ὦ πότνια βοτρυόδωρε. Βότρυς, παρὰ τῶν [illegible] πότρυς. καὶ βότρυς, ὁ τῶν [illegible]. ἡ παρὰ τὸ βῶ τὸ πατῶ, ὁ βοῖς [illegible], τουτέστι πατούμενος.

Βόττια, πόλις μακεδονίας. Βοῦ, θρεμμάτων. Βοῦ, τὸ μέγα καὶ πολὺ δηλοῖ. λάκωνες. Βοῦα, ἀγέλη παίδων.

Βουαγὸν, [illegible] ξύλον. λάκωνες. Βουαγὸρ, ἀγελάρχης, ὁ τῆς ἀγέλης ἄρχων παῖς. [illegible]

[illegible]

τὸ βέλεμνον εἰς τὸ σῶμα. Ἡσίοδος ἐκτάβλωμμον. Βλωρὸς, σύκου φύλλον. Βλῶσις, οἷον λίψις γίνεται βλῶσις, ἡ ἔφοδος. σημαίνει δὲ καὶ τὸ παράδοξον. ἴσως μόλωσις οὖσα, τροπῇ τοῦ μ εἰς β, ὁ παθεῖν. Βλώσκειν, ἀντὶ τοῦ μολεῖν, καὶ μετὰ προθέσεως μὲν τε Ὅμηρος, οἷον δμώων δ' οἱ ταχέως προβλωσκέμεν, ἔρχεσθαι, βοᾶν, κραυγάζειν. Βλώσκοντα, γίνεται ἀπὸ τοῦ μολῶ μολούμενος, ὡς θνήσκω θνήσκω. καὶ τὰ ὅμοια. ἡ τροπῇ συνήθει μακροῦ εἰς μακρὸν, ἤγουν τοῦ ο εἰς ω, μολώσκω. καὶ συγκοπῇ τοῦ ο, τὸ ἀρχαῖον, καὶ ἀπαλείψει μὲν τοῦ μ, ἐνθέσει δὲ τοῦ β, βλώσκω. ἰδίως δὲ, καὶ ὅτι ἐν μέσῳ λέξεως τῶν ἀπὸ συγκοπῆς κατηγορίαν τοῦ μ καὶ λ, ἐθεωροῦσιν οἱ παλαιοὶ ἀντεμβαλόντες τὸ β, καὶ φυλάσσοντες τὸ μ, ὡς ἐν τῷ παρέμβλημα. Βλώσκω, τὸ εὑρίσκω.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Ο.

Βοᾶ, βοάω βοῶ. ἐκ τοῦ βοὴ, γίνεται βοῶ βοᾷς, τὸ παθητικὸν βοῶμαι. τὸ δεύτερον βοᾷ σὺ, καὶ παρὰ σοὶ, ἔχει τὸ ι προσγεγραμμένον. τὸ δὲ βοῶν καὶ γελῶν ἀπαρέμφατα, οὐκ ἔχει τὸ ι προσγεγραμμένον. ὅτι ἀπὸ τοῦ παρατατικοῦ γίνεται, τοῦ ἐβόα καὶ ἐγέλα. καὶ ὁ παρατατικὸς οὐκ ἔχει τὸ ι προσγεγραμμένον. ἢ ὅτι τὰ εἰς ν λήγοντα ῥήματα, οὐδέποτε ἔχει πρὸ τοῦ ν τὸ ἀναφώνητον. δεῖ δὲ γινώσκειν, ὅτι τὸ βοᾷς καὶ γελᾷς, οἱ Δωριεῖς βοῇς καὶ γελῇς λέγουσι. καὶ μᾶλλον εἰώθασιν ἀπὸ τοῦ βοᾷς ἢ γελᾷς γεγονέναι, κατὰ τροπὴν τοῦ α εἰς η, ἀλλ' ἀπὸ τοῦ βοάεις καὶ γελάεις, κατὰ κρᾶσιν. οἱ γὰρ Δωριεῖς τὸ α καὶ ε εἰς η κιρνῶσιν, οἷον τιμάεις, τιμῇς. Βοάγρια, τὰ ἐκ βοῶν ἠγρευμένα λάφυρα. καὶ ἀσπίδες ἐκ βοῶν ἀγρίων. Βοαγρίον, ἀσπίδα ἐκ δέρματος βοὸς ἀγρίου γεγονυῖαν. Βοάγριος ποταμὸς Λοκρίδος, τὸ κατὰ τῶν μαινόμενον τοῖς χειμάρροις. τῶν ἐπιχειμάρρων γάρ ἐστι λοκρῶν. Βόαγρος, ὄνομα ποταμοῦ. Βοάδες, ὀκναί. Βοαθόος, ὁ βοηθὸς, βοηθὸς, ἀπὸ τοῦ εἰς βοὴν θεῖν. βοὴ δὲ κυρίως ἡ μάχη, ὡς τὸ βοὴ καὶ τὸ θοὸς, ὁ εἰς τὴν βοὴν θοὸς καὶ ταχύς.

Βοαῖς, γελᾷς. αἰολικῶς εἰώθασιν ἐκφωνεῖν τὸ ἀναφώνητον ι ἐπὶ τοῦ τρίτου καὶ δευτέρου προσώπου τοῦ βοᾷ, ἢ γελᾷς. οἷον βοαῖς, καὶ γελαῖς. Βοᾶν, τὸ τρανότερον φωνεῖν. κικλήσκειν δὲ, ὅ ἐστι τὸ καλεῖν ὀνόματι, τὸ δὲ κλάζειν ἡ διάθεσις, κατὰ τὸ μέτριον. ὁ δὲ τὸ γεγωνεῖν. ἀπλοῦν δὲ καὶ ἅμα ἐτυμολογικὸν τὸ κλάζειν κεκλήγων. ὁ Σοφοκλῆς, ἐξονομακλήδην λέγεται. Βοᾶν, καὶ φωνεῖν. καὶ ποιητικῶς βοηθεῖν, ἐπὶ τῆς ἀναγορεύσεως τῶν ἀνθρώπων. ἢ ἀπὸ βοῆς ἐπὶ τῶν μεγάλῃ φωνῇ καλούντων ἐστίν. λέγει δὲ καὶ φθέγγεσθαι καὶ διαλέγεσθαι καὶ λαλεῖν καὶ αὐδᾶν, ποιητικῶς δὲ ἀναφθέγξασθαι λέγει. ἤγουν ἀπὸ προφορικοῦ λόγου χεῖσθαι. Βοάνθεμον, βούφθαλμον, παρὰ τὸ ἴσα κρατεῖν. ὃ δ' αὐτὸ, καὶ χρυσάνθεμον. Βοαρμία, Ἀθηνᾶ, παρὰ τὸ συναρμόσαι καὶ ζεῦξαι εἰς ζυγὸν καὶ ἄροτρον βόας. ἡ γὰρ αὐτή ἐστιν, ὡς ἔφην τῇ φρονήσει. οὕτω δὲ ἱδρύεται παρὰ Βοιωτῶν, καὶ ἡ θυγάτηρ ὁμοίως. θυγάτηρ γὰρ κορίον Βοιωτίας. ὁμωνύμως δὲ ἱδρύεται παρὰ Ἀθηναίοις. ὁμολογοῦσι γὰρ πάλαι θεῶν, ἀπὸ ὁμωνύμου τὸ πάθος θυγατρὸς. Βία ἡ δύναμις. Βόας βοηλάτην, ταυτολογίαν ἔχει πλεοναστικῶς. ἄρκει γὰρ μόνον τὸ βοηλάτην καὶ λαχόντων τῶν βοῶν. καὶ ἐστὶν ὅμοιον τῷ, οἶνον οἰνοχοεῖν. καὶ ἔστι πλεοναστικὸς, καὶ τῆς φωνῆς. ἐπὶ τούτων γὰρ πλεονασμὸς ὁ οἶνος, καὶ ὁ ὕδωρ, διὰ τὸ συνυπακούεσθαι τῇ οἰνοχοΐᾳ καὶ τῷ ὑλαγμῷ. καὶ βόας βοηλάτην ὑπ' ἀπέλασαι. τῶν δὲ μεθ' Ὅμηρον οἱ μὲν τὴν αἰτίαν τῆς θυσίας ἀπέλυσαν, τὴν ἐκ τοῦ Διὸς ποινὴν, ὅτι συνελάσας αὐτὴν ἐβουλεύσατο. ἕτεροι δέ φασιν, ὅτι οὐχὶ ἄκοντες, ἀλλὰ ἑκόντες ἐθύσαντο ἡρωὰς ἑορτάζοντες, ἵνα τῶν λαμβανόντων ὕβριν παράσχωσιν. ὃ καὶ ὁ Λυκαῖος ὁ ποιητὴς λέλεκται, ἐθισμὸν εἶναι τοῖς θεοῖς. ὅθεν φασί, θανόντος τοῦ ὑβριστοῦ λαομέδοντος, βοηθεῖ τῆς φωτὸς ἀπόλλων ἀπολειπόμενος λιμοῖς. ἐλυμαῖνον γὰρ, ὥσπερ ἐν χρόνῳ, καὶ πέλας, καὶ τεῖχος. οὕτω καὶ ἐν Ἰλίῳ. ποσειδῶν δὲ ἀγέραστος μείνας, μηνιῶν τοῖς ἀπογόνοις τοῦ ὑβριστοῦ. ταῦτα οὖν φασὶ λαοὺς, καὶ ὅτι ἀμφότεροι τὸ τρωϊκὸν τεῖχος ἔδειμαν. ὅθεν δὲ οἱ μὲν κυν. χαρίᾳ γενέσθαι μυθεύονται. οἱ δὲ οὐκ αὐτὸς θεοτόκοι φασὶν, ἀλλὰ ἴσα θύτην καμήλια διαπαυσθῆναι εἰς ἀνίχνευσιν τῆς ἰλίου. κἀντεῦθεν ἀσεβείως πλανᾶσθαι, ὡς ἀπόλλωνα καὶ ποσειδῶνα αὐτῶν ἐδιδάξαντο. ἕτεροι δέ φασι, λαὸν τεχνίτας ἀμισθὶ ἐργαζομένους, ἀποδοῦναι τὸ ἔργον ἀπόλλωνι καὶ ποσειδῶνι. ὅθεν ὁ μῦθος μεταβιβάζει ἐντεῦθεν εἰς αὐτούς. Βοατίδας, ὁ ἡρακλῆς. ὁ τοὺς βόας τοῦ γηρυόνου ἄγων ὑπὸ Διί. Βόαυλα, ἡ βούστασις. Βόαυλα χρήματα, μεγάλα, καὶ κτήνη πλεῖα. Ἀριστοφάνης, ὀφρῦς ἔχοντα, ὑψηλὰ καὶ ὑπερήφανα. Βοείοισιν, ἱμᾶσι βοείοις. Βοείας, βύρσας, ἀσπίδας. ἀπὸ τοῦ βιβρώσκεσθαι τοῖς βοείοις. Βόες αἱ τίλωνες. δαμάλεις, καὶ πόρτιες, αἱ μήπω ὑπὸ ζυγὸν ἐλθοῦσαι, μηδὲ ὀχευθεῖσαι. αἱ πόρτιες δὲ, αἱ ἔτι ἀπολειφθεῖσαι τῶν δαμαλῶν. ἐπὶ δὲ τῶν ἀρρένων, μόσχοι τὰ νεογνά, καὶ τὰ ὑπὸ ταῖς μητράσιν ἔτι. ταῦροι δὲ, οἱ τέλειοι. ἔστι δὲ ὁ δαμάλης τοῦ δαμάλεως. οἱ ποιηταὶ δὲ, ὁ δαμάλη τῆς δαμάλης λέγουσιν. ἀφ' οὗ παρὰ Θεοκρίτῳ, αἱ δαμάλαι. καὶ βόες οἴνοπες, οἱ μέλανες. Βοηδρομεῖν, τὸ μετὰ σπουδῆς παραγίνεσθαι. καὶ ἀντὶ τοῦ βοηθεῖν, τουτέστιν, ἐπὶ μάχην δραμεῖν. Βοηδρομιὰ, ἑορτὴ τις Ἀθήνησιν, οὕτω καλουμένη. ἥν φασι Φιλόχορος, ὅτι ἐτιμᾶτο βοηδρόμιος Ἀπόλλων. ἐκαλεῖτο δὲ καὶ ἡ θυσία καὶ ὁ μὴν, καὶ τὰ βοηδρόμια. Βοηδρομίως, βοηθείως, συμμαχίως. Βοηθεῖν, ἐπικουρεῖν, ὑπερμαχεῖν, ὑπὸ ἀδικίᾳ χρωμένων. ἀμύνειν δὲ, ὁ ὑπὲρ τοῦ πεπονθότος κακῶς. Βοηθεῖν ἐλέγετο κυρίως, ἐπὶ μάχης. ὥσπερ τὸ βοηδρομεῖν, ἀπὸ τοῦ ἐπὶ τὴν βοὴν θεῖν, ἤγουν τὴν μάχην. ὡς παρ' Ὁμήρῳ, βοὴν ἀγαθὸς μενέλαος. Βοηθός ἐστιν, ὁ ἐφαπτόμενός τινος εἰς πᾶν ἔργον. ἐπίκουρος δὲ, ὁ αὐτὸς, κυρίως ὁ ἐκδικητὴς, ὁ τινὰ πάσχοντα κακῶς παρ' ἄλλου ἐκδικῶν. Βοηθῶ, δοτικῇ συντάσσεται. Ἀριστοφάνης, φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις. καὶ βοηθῶ, ἀρήγω, ἐπαμύνω, ὀρέγω, ἐπαρκῶ, συναίρομαι, συνεφάπτομαι, συλλαμβάνω, ἐπικουρῶ, ἀντιλαμβάνομαι. Βοηλασίη. Ὅμηρος, ἀμφὶ βοηλασίῃ. ἔχει μὲν τὴν ἀμφὶ πρόθεσιν δοτικῇ συντασσομένην, συνήθως ὑπὸ ποιητῇ. καὶ ἐλήφθη ἀντὶ τοῦ περὶ βοηλασίας. λοιπὸν δὲ ἀπὸ μέρους, ἢ ἑτέραν ζώων ἀπέλασιν κατὰ τὸ Ὁμηρικὸν ἐλάφιον. διάλυσις δὲ ποῦ ἐν βοηλασίᾳ, τὸ, οὐ δὲ ἐμὰς βοῦς ἤλασεν. ὅθεν ἡ βοηλασία σύγκειται. κυρία δὲ λέξις καὶ ἐν ζώοις ἡ ἀπέλασις. ῥυσια ἐλαυνόμενος, ἢ ληΐδα συνελάσαμεν, ἢ τὰς μὲν ἐλασσάμεθα εἰς Πύλον. Βοὴν ἀγαθὸς, ὅ ἐστι μάχην, ἢ κραυγήν. ὅθεν καὶ τὸ αὐτόβοει ἐπίρρημα γίνεται. ἡ βοὴν ἀγαθὸς μενέλαος, ὁ πολεμικός. βοὴ γὰρ ἐκ τοῦ παρακελευομένου ἡ μάχη. ὥσπερ ἡ αὐτὴ, ἀπὸ τοῦ ἄω τὸ βοῶ. ἢ φιλοτης, ἐκ τοῦ ὀπὸς, ὥσπερ βοῦς τὸ φίλον. ἢ βοὴν ἀγαθὸς, ὁ εὔφωνος. ἀρετὴ γὰρ τῶν στρατηγοῦ, καὶ χρήσιμον ἐν μάχαις τὸ μεγαλόφωνον. μήπω γάρ φασι σάλπιγγας εὑρεθείσας, τῇ βοῇ διώκειν οἱ παλαιοί, τὰς τῆς μάχης ἐπιθέσεις τε καὶ ἀνακλήσεις. ἢ ἱστοροῦντες πολλοὶ τοῦ στρατηγοῦ ἐπαινοῦσι, διὰ τὴν εὐφωνίαν. ἔτι δέ φασι, καὶ συμβαίνειν θόρυβος τὸ βοᾶν. διὸ πολλαχοῦ ὁ ποιητὴς τοὺς ἥρωας, βοῶντας παρεισάγει, οἷον Ἀχιλλέα ἐβόησε, ἢ ὅσον διὰ πρόσωπον. καὶ βοὴν ἀγαθοὺς ἀποκαλεῖ, τόν τε Αἴαντα καὶ τὸν Αἴαντα τὸν Διομήδην, ἢ ἄλλους ἀνδρείους. τὸ μὲν ἐν δαμᾷν, ταχεῖν λέγεται. καὶ ὁ Ἀδάμ, ταῦρος. παρὰ τὸ πλήσσεσθαι τὴν βοὴν τοῖς Ἀδριανοῖς. ἡ βοὴ, ἡ μεγάλη φωνὴ, καὶ ἡ μάχη. κυρίως δὲ ἡ μάχη. ὡς τὸ, βοὴν ἀγαθὸς μενέλαος.

Βοῆς, ἀντὶ τοῦ βοᾷς. ἔστι δὲ Δωρικόν. καὶ μᾶλλον εἰώθασιν ἀπὸ τοῦ βοᾷς γεγονέναι, ἀλλ' ἀπὸ τοῦ βοάεις, κατὰ κρᾶσιν τοῦ α καὶ τοῦ ε εἰς η. ὡς γελῇς ἀπὸ τοῦ γελάεις, οὐκ ἀπὸ τοῦ γελᾷς. Βοήσω. ἐν τῷ λοιπῷ συζυγίᾳ τῶν περισπωμένων, πάντα παραλήγεται διὰ τοῦ η, βοῶ, γοῶ, ἀεροῦ, μακρῶ, ἀλοῶ. καὶ τὰ μὲν δύο διὰ τοῦ η

ταυτὸν γάρ ἐστιν ὄψομαι καὶ θεάσομαι, μέλλοντος. ἐθεασάμην, ἤ εἶδον, ἑώρακα. καὶ ἐθεάθην ἐγὼ ὑφ' ἑτέρου. Βλέπω ἐν τοῖς ὀφθαλμοῖς. πάντα τὰ ῥήματα καὶ μεταβατικὰ καὶ ἀμετάβατα, ὧν αἱ ἐνέργειαι ὀργάνοις τισὶ γίνονται, ἐὰν μὴ καὶ τὰ ὄργανα ἔχωσιν ἐν τῇ συντάξει, δοκεῖ ταῦτα ἔχειν προσφερόμενα. μεταβατικὰ μὲν, οἷον βλέπω ἐν ὀφθαλμοῖς, τύπτω ἐν τῇ χειρὶ ἢ τῇ ῥάβδῳ, ἰατρεύω ἐν φαρμάκοις. ἀμετάβατα δὲ, ἀγάλλομαι τῇ ψυχῇ, ἀσφάλλω πυρὶ, μεθύω οἴνῳ. Βλέπεον, βλεπτέον. Βλέπυγες, φλυδίαι. οἱ δὲ βλέπυγες ἢ βλέπυες, αἱ ἐλέδωναι. Βλέφαρα κοινῶς, βλέφαρα δωρικῶς. Βλεφαρίδες, αἱ ἐν τοῖς βλεφάροις τρίχες. Βλέφαρον, τὸ βλέποντος φάρος. ἢ παρὰ τὸ ἐπὶ τὸ βλέπειν αἴρεσθαι. ἢ αἰρομένων αὐτῶν ἡμεῖς βλέπομεν. ἢ παρὰ τὸ βάλλειν τοὺς ὕπνους. Βλέβας, ὄνομα σκεύους. Βλέδεται, μετὰ τοῦ βάλλειν. Βλέθα, ἄρτος ἐστιβρωμένος. Βλεθρίζω, τραχύνω. οἱ δὲ ἀπαλύνω. Βλεμάζειν, ὑποθλίβειν τοὺς μαστούς. Βλεμένος, ἀντὶ τοῦ βεβλημένος. κατὰ ἄρσιν, ὥστε καὶ τοῦ ἰδίου. Βλέννος, ὁ τύραννος. βλέννος δὲ, ὁ ἰχθῦς. Βλὴρ, αἰολικῶς τὸ δέλεαρ. οἱ αἰολεῖς τὸ δ εἰς β τρέπουσι. τοὺς γὰρ δελφῖνας, βελφῖνας φασί. καὶ τοὺς δελφοὺς, βελφούς. οὕτως οὖν δέλεαρ, βέλεαρ. καὶ κατὰ συγκοπὴν καὶ συναλοιφὴν, βλῆρ ποιοῦνται. οὕτω καὶ οἱ βοιωτοὶ ποιοῦσι. Βλῆραι, αἱ κρίλαι, ἄλλοι χόρτον. οἱ δὲ τὸ ὄσπριον τὴν καλάμην. Βλερὸν, τὸ δέλεαρ. τὸ δὲ αὐτὸ, καὶ ἄθμα, παρὰ Ἀλκμαίωνι. Βλῦσθαι, ἐκ τοῦ βεβλῦσθαι κατὰ ἀφαίρεσιν. καὶ βλῦσθαι, βλύσσειν, φλυαρεῖν.

Βλέτον, βότρυς, ἡμιπέπειρον. Βλάσαιον, φυτὸν χλοερὸν ὅμοιον. Βλέσος, ὁ χωριστὸς σκορπίος. Βλοσύριμος, ὁ ἐπακμός. Βλεταϊ, καταβάλλω. Βλωῖς, καταβαλὶς, παῖσαι. Βληδὶ, οἱ τῆς ἁμάξης τροχοί, σφῆνες, ἐμβλήματα. οἱ δὲ γόμφοι, ἢ συμβολαὶ ἀξόνων. Βλητὸς, ὁ ἀπόπληκτος. ὁ ὑπὸ τῶν ἀξίων νοσημάτων αἰφνιδίως τελευτῶν. Βλῶν, ἐκ τοῦ ἐβλήμην ἐβέβλητο ἐβεβλῆσθαι, καὶ κατὰ συγκοπὴν ἔβλεν, ἢ ἀφαιρέσει τοῦ ε βλῶ. ἐκ τοῦ βλῶ βλῶσι. Βλήτροισι, δὶς βεβλημένοις, δὶς κεκαλυμμένοις. βλῶ, βλῶσι, βλῆτρον. Βλῆτρον, βαρύνεται κατὰ τοὺς παλαιοὺς, κοινὸν τινὸς. ταῖς γὰρ λέγονται μονογενῆ οὐδέτερα, βαρύνεται. σεσημείωται τὸ λαιμὸν, πρὸς διάφορον σημασίαν. ἔστι γὰρ καὶ λοῦτρον ἀττικῶς παρὰ τοῖς κωμικοῖς, τὸ ἀπόλουμα. οἷον, κἂν τοῦ βαλανείου πίνεται τὸ λοῦτρον. ἔστι δὲ βλῆτρον, ὁ σιδηροῦς κύκλος, δι' οὗ τὰ δύο ξυλάρια ἐν συμβάλλονται. καὶ βλῆτρον, τὸ σύμβλημα. Βλέτυς, ὄργανον μουσικὸν φασὶν Οἰάγρου. σκινδαψὸν δὲ, μίμημα χορδῆς. Βλητρόσαν, ἐμβαλών. Βληχᾶσθαι, ἐπὶ τῶν οἰῶν λέγεται. τὸ τὰ πρόβατα κοινῇ φωνῇ χρῆσθαι. Βλήχημα, μωρὸς, προβατώδης.

Βλῆχα, πτῶσις. Βληχὰ, ἀσθενής. Βληχρὸν, ὄσπριον. παρὰ δὲ Ἱπποκράτει. Βληχρὸς, ὁ ἀσθενής. παρὰ τὸ τὴν βληχὴν τὴν προβάτων τὴν φωνὴν οὐδὲν ἰσχύειν. βληχρὸν οὖν καὶ ἀβληχρὸν, τὸ αὐτὸ σημαντικὸν ὀνόματος, ὡς καχυς, ἄσταχυς. εὑρηται δὲ τὴν λέξιν, ἐπὶ μὲν τοῦ ἀσθενοῦς, ἀπὸ τοῦ βέβληται βληχρὸς, καὶ μεταβεβλημένος καὶ ποιητικῶς, ἀπὸ τῶν παλαιόντων. ὁ δὲ Πίνδαρος ἐπὶ τοῦ ἰσχυροῦ λέγει αὐτὸ, ἀπὸ τοῦ βέβληκα, ὁ καταβάλλων.

Βληχώδης, προβάτοις τὴν φωνὴν ὅμοιος. μωρὸς δὲ σημαίνει, ἢ τὰ πάντα βληχώδης εἰπεῖν ἤμελλε. Βλῆχρον, εἶδος βοτάνης. λέγεται καὶ ἡ γλήχων. Βλίαρ, φύλλα συκῆς. Βλιαρὸν, ἀντὶ τοῦ λαιμὸν, ἀβλαβές. Βλιβρὸν, λαγαρόν. Βλίδες, ψακάδες. Βλιχώδης παρὰ Ἱπποκράτει, τὸ λιλαπισμένον καὶ κατάβορον. Βλίκανον, βάβαχον, καὶ βλίχον. Βλινὰς, σῦκον φύλλον. Βλιμάζειν, ἀντὶ τοῦ ἐκθλίβειν λέγουσιν ἐνθένδε. καὶ τὸ ἐντεθλάσθαι, ὅπερ ἐστὶ ψηλαφᾶν τὰ στήθη. καὶ τοὺς μαζοὺς καταλαμβάνειν τῇ ἁφῇ. καὶ ἅπτεσθαι τῶν ἀπορρήτων μελῶν τῶν γυναικείων, καὶ διεγείρειν τὰς ἐπιθυμίας. λαμβάνεται καὶ ἐπὶ δὲ τὰ κηρία τῶν μελισσῶν τρυγᾶν. καὶ βλιμάζειν, ἀπολέγειν δεῖ μέλιτος. Βλιμάζοντες, σκωπτικὴ ἡ λέξις. καθάπερ ἀντὶ τοῦ ψηλαφῶν. ἔοικε δὲ πλεῖον τι σημαίνειν τὸ μετὰ σπουδῆς. βλιμάζειν δὲ κυρίως, τὸ τοῦ ὑπογαστρίου καὶ τοῦ στήθους ἅπτεσθαι, ὅπερ ποιοῦσιν οἱ τὰς ὄρνιθας ὠνούμενοι. οἱονεὶ θλιβομάζειν. Δίδυμος δὲ βλιμάζοντες, ἀντὶ τοῦ κακοῦντες. ἀποτίλλουσι γὰρ καὶ καταδύουσι. Βλιμαίνειν, τὸ τρυγᾶν. Βλιμάζει, βασανίζει, ἀτιμάζει. Βλιμάζομεν, ψηλαφῶμεν, ἐπιθυμοῦμεν. Βλίμα, προπηλακισμὸς, ὕβρις. Βλινὸν, ἀπαλόν.

Βλὶξ, συνεχῶς. Βλίσσω, ἐκπίεσαι μελίσσας, καὶ ἐξελαύνω τῶν σμηνῶν, ὑπὲρ τοῦ τὸ μέλι τρυγῆσαι. καὶ βλίσαι, τὸ βασανίσαι. καὶ βλίσαι, τὸ τὰ κηρία θλίψαι τῶν μελισσῶν. ἀπὸ τοῦ μέλι, μελίζω. καὶ κατὰ συγκοπὴν καὶ τροπὴν, βλίζω. Βλίασιοι. οἱ βοιωτοὶ πρότερον οὕτως ἐκαλοῦντο. Βλιτάδας οἱ παλαιοὶ, τὰς ἀθυρὰς γυναῖκας ἔλεγον. Βλιτάχεα, παρὰ Ἐπιχάρμῳ, οἱ μὲν τὰ κογχύλια, οἱ δὲ τὰ ἡμῶν σπλάγχνα. Βλίτας, ἢ βλίτωνας, τοὺς εὐήθεις. Βλιτομάμμαν, μωρὸν λέγει Ἀριστοφάνης. τὸ γὰρ βλίτον, μωρὸν εἶναι δοκεῖ λάχανον. Βλιμανίς, ἡ τῶν ἐστῶν ἄλειψις. Βλίττει, ἀμέλγει. παρὰ δὲ Ἀριστοφάνει, βλίττειν ἐστὶ τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων, καὶ πυρρίζειν. καὶ τὸ ψηλαφᾶν, καὶ τὸ ἐκπιέζειν τὰ κηρία τῶν μελισσῶν, καὶ θλίβειν. Βλιττομάμμας. καὶ ἐν καλοῦσι βλιττομάμμαν, τουτέστι μωρόν. καὶ γὰρ τὸ βλίτον, μωρόν ἐστι λάχανον. Βλίτον, εἶδος βοτάνης. Βλίττον, τὸ μέλι ἀπὸ τῶν κηρίων ἀφαιρεῖν, καὶ τὰ κηρία τῶν μελισσῶν θλίβειν. Βλίτυρι, χορδῆς μίμημα. καὶ βλίτυρι, καὶ σκινδαψὸς, ἄλογον. γέγονε δ' ὅλη παροιμιώδης, ὡς καταδιεμέσθαι ἐν καταλόγῳ φαρμάκων. ἴσθαι δὲ τὸν σκινδαψὸν, ὄργανον μουσικὸν ἀποδίδωσι. τὸ δὲ βλίτυρι, χορδῆς μίμημα, οὐκ εὖ. Βλίφυλλον, σίσαρον. Βλοσυρὸν, ἀπὸ τοῦ βάλλειν, καὶ ἐμποιοῦν δὶς ἔκπληξιν, καὶ τοῖς ὀφθαλμοῖς.

Βλοσυρὸν ὄμμα, τὸ καταπληκτικόν, καὶ γοργὸν βλέπον. καὶ καταπληκτικὴν ἀρχὴν, παρὰ δὲ Ἀπολλωνίῳ, τὴν λαμπρὰν ἔοικε σημαίνειν. Βλοσυρὸς, ἔχει τι ὅμοιον πρὸς τὴν παραβολήν. εἴγε καθάπερ ἱκέτης παραβάλλει τὰς ὄψεις, οὕτω καὶ αὐτὸς τὸ βλέμμα παραφέρει. ἔστι μέν τις ὁ βλοσυρὸς, οὐκ ἐφ' ὕβρει, ὡς ὁ κυρίως παραβλώψ. καὶ βλοσυρὸς, ἀξιωματικὸς, καταπληκτικός. φοβερὸς, σεμνός. Βλοσυρισμὸς, ἡ ἀσυρία, παρὰ δὲ Γαληνῷ. χαίρει καὶ ὁ πιθηκὸς ἐπικόμματα, παρέχουσιν, τὴν ἐφ' ἀκίδα μύκην, ἀσύρτος, κατάφορος. καὶ βλοσυρισμὸν, ἀσυρίαν, ἐκφαίνεσθαι, τὸ βλασφημεῖσθαι, καὶ τὸ γαυροῦσθαι. Βλοσάρα, φαλαγγοὶ τὰ στήθη καὶ τοὺς μαστούς. Βλόσιον, ὑψηλόν, γαῦρον, ἢ ἀναβάλλομαι. Βλύειν, τὸ ἀναβάλλειν, καὶ τὸ ἀναδιδόναι.

Βλύζειν, καὶ τὸ βρύειν, ποιεῖ λίθος εἰσίν; ἀπὸ τῆς γινομένης ἠχῆς ἐν ταῖς ἀποβλύσεσι τῶν ὑδάτων πεπιεσμένων. Βλωθρὰ, χλωρὰ, ἁπαλά. ἢ μακρὰ καὶ μεγάλα. Βλωθρὴ, πίτυς, ἡ ἐλάτη λέγεται, παρὰ τὸ εἰς αἰθέρα μολεῖν. καὶ βλωθρὴ ἐν ἀλωσιπλοΐῳ, ἡ ὄγχνη. ἐν ἐλλάδι δὲ, πίτυς. ὥς φασιν οἱ παλαιοί, κατὰ τὰ πεφυκότα μὲν, ἢ ηὐξημένα ἢ εὐαυξῆ, ὑψηλὰ δὲ κατὰ βουνούς. ἀπὸ τοῦ μολεῖν εἰς αἰθέρα, μολοθρὰ ἴσως οὖσα. καὶ ἐν συγκοπῇ, ἢ ἐκβολῇ τοῦ μ, ἀντιθέσει δὲ στοιχείου τοῦ β, διὰ τὸ εὔφωνον, βλωθρή. ἀγκάλας δὲ βλωθρὰς, τὰς ἁπαλάς φασι. μάγγανα τὰ φλεβώδη, ἀφ' ἑκάτου τῶν τραχήλων, κλῶνες τῶν σκληρῶν. παρατηρουμένως δέ φασιν Ὅμηρος, καὶ εἰκαίως ἐπαίνεσε τὰς κλήσεις ἐπιλέξας, λέγει ἀφοὺς ὑψικόμους, ἰτέας ὠλεσικάρπους, πίτυας βλωθράς, μελίας ταναϊκεῖς ὄρους, αἰγείρους ὑλαστροφίας, τανυφύλλους κρανέας. Βλωμοὶ, τραχεῖς. Βλωμὸς, κλάσμα ἄρτου, ἀπὸ τοῦ ψωμός, τοῦ ψ εἰς β τραπέντος. ἢ παρὰ τὸ φλωμὸς, ὅ ἐστι κλάσμα τοῦ ἄρτου, καὶ κατὰ τροπὴν βλωμός. ἢ παρὰ τὸ βρῶ τὸ ἐσθίω, βρωμὸς καὶ βλωμός. ὡς ἢ παρὰ τὸ βῶ, βωμός. οἱ δὲ, παρὰ τὸ βάλλειν

λορδ, μωραίνει, ναρκῶς ἢ πῆξ, ἰατρικοί. Βλακεύεται, μαλακίζεται. Ξενοφῶν, ἵνα αὐτῷ δοκοίη τῶν πρὸς τῶν τεταγμένων βλακεύειν. Βλακεύειν, ἀλογεῖν. παρὰ τὸ ἐκπρᾶσαι. Βλακικῶς, ἀντὶ τοῦ βραδέως. Ἀριστοφάνης. Βλακικώτερα, νωθεστέρα. Βλακόν, ἀντὶ τοῦ τρυφερὸν λέγεσθαι. Βλάκας, νωθρῶς. Βλάξ, μωρός, μὴ εἰδὼς τὰ πράγματα διακρίνειν, ἐκλελυμένος, μαλακός, νωθής, ἄνοος, βραδύς. Ἀριστοφάνης, βλάκες φιλόλογοι. εἴρηται δὲ ἀπὸ τοῦ μαλακός, ἢ τῷ ὑπερβατικὸν μάλαξ, ὡς βωμολόχος βώμαξ, πλεύστης πλεύταξ. μάλαξ οὖν, καὶ κατὰ συγκοπὴν, βλάξ. ὡς βλακεύειν, τὸ βραδύνειν. [illegible]

[illegible]

Βὶν φρενί. βίην φρενῶν λέγει ὁ ποιητὴς τῶν φρένων. ὅτε μέν τι σεσωφρονισμένως ἐκ φρενῶν καὶ ἀληθῶς ὁ ἀπείθων ῥηθείη, τότε σωφρονεῖν λέγεται ἡ λέξις, τὴν καὶ ἀνδρεῖον καὶ φρόνιμον ὑπολαμβάνοι. Βιθυνίαι διτταί εἰσιν, ἡ μὲν ἐπὶ τῆς εὐρώπης, ἡ δὲ ἐπὶ τῆς ἀσίας. καὶ ἡ μὲν ἐπὶ τῆς εὐρώπης, περὶ Σαλμυδησσὸν κεῖται ἐπὶ τῆς θράκης. ἡ δὲ ἑτέρα, καθήκει ἐπὶ τὸν βόσπορον, καὶ ἐπὶ τὸ στόμα τοῦ πόντου. ἔστι δὲ καὶ τρίτη βιθυνίς νῆσος, περὶ τὸν πόντον. Βίκαν, σφίγγαν. Βίκος, κάμινος ὦτα ἔχων. Βικάκος, ὁ διάλογος παρὰ ῥωμαίοις. Βῖκος, τὸ ἀγγεῖον, καὶ τὸ ποτήριον.

Βιμβικίζεται, παρακρούεται. Βινεῖν, συνουσιάζειν, γαμεῖν. καὶ βινῶ, τὸ συνουσιάζω. Βιοδώρα, ἡ γῆ. Βιοῖο, τοῦ τόξου ταρσῶν. Βίον, πόλις. Βιοῤῥῶς, δυνατός. Βιόκαπος, τὸ ζῆν ἐλπίζων, βιοῦναι ἐπιεικῶς. Βίος, ἡ τῶν ζώων ζωή. καὶ ὁ περιουσιασμὸς τῶν ζώων. οἷον, Ποίην ἐς βιότοιο τάμοι τρίβον; καὶ ἡ ἀνθρωπίνη ζωή. ὡς παρ' εὐριπίδῃ, ἡ δ' ἡμέρα θάνατον, ἢ βίον φέρει, ἤγουν ζωήν. καὶ βιὸς ὀξυτόνως τὸ τόξον. καὶ τοῦτο βίος, ὁ συμβιωτικός. βιόω βιῶ, τὸ ζῶ. καὶ ἀπὸ τούτου ῥῆμα εἰς μι ἕτερον βιῶμι, ἄχρηστον μὲν ἐν τῷ ἐνεστῶτι. κανονίζεται δὲ ἀπὸ τούτου τὸ ἐβίων, καὶ βιῶναι, καὶ ὁ βιούς. ὥσπερ ἀπὸ τοῦ γνῶμι ἀχρήστου, τὸ ἔγνων, καὶ γνῶναι, καὶ ὁ γνούς. ἔστι δὲ βιῶναι μὲν τὸ ζῆν, βιοτεύειν δὲ τὸ πορίζειν τὰ πρὸς τροφήν. πᾶς ὁ βίος μετὰ ἄρθρου, δηλοῖ ἕνα βίον ἐλάχιστον. πᾶς δὲ βίος χωρὶς τοῦ ἄρθρου, παντὸς ὁμοῦ τοὺς διαφόρους βίους. καὶ βιοῦν μὲν ἔστι τὸ ζῆν, ἀναβιοῦν δὲ τὸ τεθνηκέναι. Ἄλλως. Βίος βαρυτόνως, ἐπὶ τῆς ἀνθρωπίνης διαγωγῆς, ἢ ζωῆς. βιὸς δὲ ὀξυτόνως, τὸ τόξον σημαίνει. ὅπερ ἢ ἀπὸ τῆς βίας γίνεται, κατὰ τοὺς παλαιούς, ὅ ἐστι δυνάμεως. βίας γὰρ χρεία εἰς τὴν τόξου τάσιν. ἢ παρὰ τὸν βίον. δι' αὐτοῦ γὰρ δοκοῦσιν οἱ παλαιοὶ πορίζεσθαι τὰ εἰς τὸ ζῆν. διὸ καὶ ἀστείως ὁ Σκυθινὸς Ἡράκλειτος ἔφη, ὡς ἄρα τοῦ βιοῦ ἐστι τοῦ τόξου, τὸ μὲν ὄνομα βίος, τὸ δὲ ἔργον θάνατος. πλανωνυμοῦσι γὰρ ἐκ τοῦ βίου, ὡς τοῦ ζῆν αἴτιος. θανατοῖ δὲ τοὺς βληθέντας, καὶ στερίσκει τοῦ ζῆν. ἢ βίος, παρὰ τὸ μετὰ βίας καὶ ἀνάγκης ζῆν. ὥς φησιν Ὅμηρος, Θεοὶ ῥεῖα ζώοντες, οὐχ οὕτως οἱ ἄνθρωποι, οἳ ἐπικλώθονται ζῆν ἀχνύμενοι, αὐτοὶ δὲ τ' ἀκηδέες εἰσίν. Βίος ἀκανθώδης, ὁ τραχὺς καὶ σκληρός. καὶ παλαιός. καὶ βίος ἀλαλήμενος, ὁ εὐχερής, καὶ ἡδύς. ἐπὶ τοῦ ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων. καὶ βίος ἐφθαλμένος, ἐπὶ τῶν ἀχρήστων. ἐκ μεταφορᾶς τῶν ἀχρείων αὐλῶν. καὶ βίος μεμαγμένος, ἐπὶ τῶν ἐξ ἑτοίμης καὶ ἀπόνως τρεφομένων. Βιοτεύειν, τὸ πορίζειν τὰ πρὸς τὸν βίον. Βιοτὴ θηλυκόν, ἐκ τοῦ βιότου. ὀξύνεται δέ, ὁμοίως τῷ χολὸς χολή, ὁ γένος ὑιή. Βιολα, πάλιν, ὑπολείμματα. Βίοτον πολὺν ἀλφοι, παρ' Ὁμήρῳ ἐν ὀδυσσείας ρ. ταυτόν ἐστι τῷ, ὤνον μυρίον ἄλφοι. Βίοτος, καὶ ἐπὶ τῆς ζωῆς τίθεται, καὶ ἐπὶ τοῦ πλούτου. Βιοῦν, ἐπὶ μόνων ἀνθρώπων λέγεται, ζῆν δὲ ἐπὶ ἀνθρώπων καὶ ἀλόγων. ὁμοίως διαφέρει βίος καὶ ζωή. Βιοῦται, ἀντὶ τοῦ ζῇ, ἢ ζήσεται. οὕτως Ἡρόδοτος. Βιόωνται, καταχρῶνται, βιάζονται. Βιόω, ῶ, καὶ ἀπ' αὐτοῦ βιῶμι, ἄχρηστον μὲν ἐν τῷ ἐνεστῶτι. ἀπὸ τούτου ἐβίων, βιῶναι, καὶ ὁ βιούς. ὥσπερ ἀπὸ τοῦ γνῶμι ἀχρήστου, ἔγνων, καὶ γνῶναι, καὶ γνούς. ἔστι δὲ τὸ βιῶναι, καὶ βιοῦν, καὶ βιοτεύειν, τὸ ζῆν, ὡς ἐμοὶ δοκεῖ. ἄλλοι δὲ λέγουσι, τὸ βιοτεύειν σημαίνειν, τὸ πορίζειν τὰ πρὸς τὴν τροφήν. Βιόω, ῶ, βιώσω, βιώσομαι βιώσῃ βιώσεται. Βιπτάζειν, ἐπιβάπτειν. Βιπτάζω. Σώφρων καὶ Ἐπίχαρμος τὸ βαπτίζω, βιπτάζω λέγουσιν. οὕτως Ἡρωδιανός. Βίῤῥον, ἱμάτιον ῥωμαϊκόν. Βίῤῥα, πυρά, οἱ δὲ ὀφίδιον. Βίῤῥος, δασύ. μακεδόνες. Βιῤῥωθῆναι, τεταπεινωθῆναι. Βίσβη, δρέπανον ἀμπελοτόμον. λέγουσι μεσσάπιοι καὶ ἑορτὴν βισβαίαν, ἣν ἡμεῖς κλαδευτηρίαν λέγομεν. Βίστρον, ἐπιτίμησις, τετρατεία. Βίσαιος, ὄνομα ἐν ἰλίῳ πολεμιστοῦ. Βίσαλτις, εἶδος βοτάνης. Βισάνια, τὰ πισάνια. Βίσαλ, ὁ βασιλεὺς παρὰ πέρσαις. Βισλίων, ἡ ἀθλία. Βιστόριον, γένος ἐν ᾧ τὰ χρή-

ματα τίθενται, καὶ τὰ ἱμάτια τοῦ κοινοῦ. Βίστων, ἔθνος θρᾳκῶν. ὠνομάσθη δὲ ἀπὸ Βίστονος τοῦ κίκονος, ὡς Φιλόστεφανος ἱστορεῖ. Βιστονίς, λίμνη θρᾳκική. Βιστονίαν, ἥρως θρᾴξ. Θεόπομπος δέ, χερρόνησον λέγει τὴν βιστονίαν. Βιχὸν, ἰχθὺν σφόδρα ὀλίγον. λάκωνες. Βιτώνιος φόρμιγξ, ἀπὸ Βίστονος τοῦ θρᾳκὸς ἐκλήθη. φόρμιγξ δέ, ἡ κιθάρα. Βίτινα, σανδάλια μὲν τὰ πλατέα θεραπαινῶν. Ταῦτα βίτινα ἐντίχνων ἱερατῶν, σκυτοτόμων καμάτων.

Βιτίον. Τὰς πίζας τὰ μὲν ἄκρα τὰ λεπτά, βιτίον ὀνομάζουσι. πίζα γάρ, ὕφασμα. Βιῶ, τὸ τρέφω, ἢ τῷ ζῶ. Βιώατο, δευτέρας συζυγίας ῥῆμα εἶναι φαίνεται. τὸ γὰρ κοινὸν βιῶνται, ὡς βοῶνται. Βιώατο, ὡς βοώατο. βιῶ, βιώομαι βιῶμαι, βιωοίμην βιῴμην, βιώοιο βιῷο, βιώοιτο βιῷτο. καὶ πλεονασμῷ τοῦ α, βιώατο.

Βιῶναι. βιῶμι, ἐβίων, βιούς, βιόντος, βιῶναι. καὶ κατὰ ἔκτασιν ἀττικὴν τοῦ ο εἰς ω, βιῶναι. ὥσπερ τὸ δοὺς δόντος δοῦναι, δῶναι.

Βιωμένων, βιαζομένων, βιῶ, βῶ, τὸ βιάζω. Βιῶναι. βιῶμι ἐβίων. τὸ πρῶτον τῶν πληθυντικῶν, ἐβίωμεν. τὸ ἀπαρέμφατον βιῶναι, τὸ ζῆν. Βιῶνται, μετὰ βίας εἰσελεύσονται. ὡς τό, Ὅτι βιῶνται δὲ διὰ πλῆθος τοῦ τείχους. Βιώνης, ὁ τὰ δημόσια γράφων. Βίον, ἴσως, χιλόν. λάκωνες. Βιώσιμος, ἐλπίδα ἔχων τοῦ ζῆσαι. Ὁ δὲ ἀποβλεψάμενος, καὶ ἔφη, ὅτι βιώσιμος εἴη. Βιώσιμος, ὁ ζῆσαι ἐν βίῳ δυνάμενος. Βιώτω, ζησάτω. βιῶμι, ἐβίων, βιούς, βιόντος. τὸ προστακτικὸν, βιῶθι βιώτω, ὡς γνῶτω. ἢ βιόω, ὁ βιῶμι, μέλλων βιώσω ἐβίωσα, τὸ προστακτικὸν βίωσον βιωσάτω. κατὰ συγκοπὴν τῆς σα συλλαβῆς, βιώτω. ἢ βιώτω, δύναται βιούτω εἶναι, ὡς χρυσούτω. καὶ μεταβολῇ ἰωνικῇ τῆς ου διφθόγγου εἰς ω μέγα, βιώτω.

ΤῸ Β ΜΕΤᾺ ΤΟΥ͂ Α.

Βλαβέμεν βλαβεῖτε βλαβεῖεν, οὐχὶ βλαβείημεν βλαβείητε βλαβείησαν, καὶ βλαβείησαν. οἱ γὰρ ἀττικοὶ ἐπὶ τοῖς πληθυντικοῖς τῶν εὐκτικῶν βαρυτόνων τε καὶ περισπωμένων, καὶ τοῖς μὴ παραληγομένοις τῷ ο, ἀποβάλλουσιν αὐτό. οἷον τυφθείημεν, ποιοίημεν, βαίημεν. πλὴν φυλάττεσθαι δεῖ τὸ κακόφωνον, ἔνθα ἂν τύχῃ. ὡς ἐπὶ τοῦ βαίτε, καὶ σαῖτε, καὶ τῶν ὁμοίων. Βλάβεν, ἐσφάλησαν, ἐβλάβησαν, ἐβλάβησαν. Βλάβεται, βλάπτεται.

Βλάβη, λύμη, φθορά. ἀπὸ τοῦ βλάβω, βλάβω. ὡς τό, βλάπτεσθαι δ' οἱ γούνατ' ἰόντι. ἔνθα καὶ τὸ βλάβος. εἰ γὰρ ἦν ἀπὸ τοῦ βλάπτω, ὤφειλεν εἶναι βλαφή, ὡς σκάπτω σκαφή. καὶ βλάβη, βλάβος, ἀπώλεια, βλάμμα, ζημία, ζημιώδης, ἐπιβλαβής, ἐπιζήμιον, βλαβερῶς, ἐπιβλαβῶς, ἐπιζημίως, ζημίως, ζημιώδης, ἐπὶ ζημίῳ. βλαβερὸς, ἐπιβλαβής, βλάψαι, ζημιῶσαι. τὸ ἐναντίον ῥητὸν ἐν τῷ ὠφελῷ. Βλάβος ἐπὶ οὐδετέρου δοκιμώτερον, ἡ βλάβη.

Βλαβόρη, παραβαίνεται. Βλαβορίαν, εἰκαιολογίαν. Βλαβύσσειν, βλάπτεσθαι. Βλαγίς, κηλίς. λάκωνες. Βλαδὰ, ἄωρα, μωρά, ὠμά. Βλαδαρὸν, ἐκλελυμένον, χαῦνον. Βλαδὺν, νωθρόν. Βλαδὸν, ἐξίτηλον. Βλάζειν, μωραίνειν.

Βλῆθρον, φυτὸν, πτερίῳ ὅμοιον. ὅπερ ἔνιοι βλῆχρον λέγουσι.

Βλαῖκος, ὁ δειλὸς, κλάδος, ὄζος. Βλακεύειν, ψαλάφων, διαμάζειν, παρέχειν. Βλαισὸς, παραλυτικός. οὕτως εἰς τὸ ῥητορικόν. ὁ δ' ἐτυμολόγος, ὁ τοὺς πόδας ἐπὶ τὰ ἔξω διεστραμμένος, καὶ τῷ λ στοιχείῳ ἐοικώς. διατοῦτο καὶ λ ἐκάλουν, ὁ γωνίᾳ μὲν κείμενος, μέσον δὲ ψιλὸν δύο κεραίας ποιοῦν. εἴρηται δὲ βλαισὸς, ὁ βεβλαμμένος τὴν ἴσιν τῶν ποδῶν. τὸ ἐναντίον τοῦ ἐπὶ τὰ ἔσω ἔχων τοὺς πόδας, καλεῖται ῥαιβός. Βλαιτὰ, βλαυτία, λάκωνες. Βλαιτόνους, ὁ βλακεύοντες. Βλάκεια, βλακικόν. καὶ τὴν ἔργων ἀργίαν ἀθηναῖοι, ἔνιοι προβατώδη.

Βλάκα, μωρόν. Βλακεία, ἔκλυσις, μωρία, χαυνότης, μαλακότης, ῥᾳθυμία. Οὐ γὰρ ἐστι τῶν βλακείαις τὰ πράγματα ἐπιτρέψαι. Βλακιάς, ἰχθῦς ποιός. Βλακεύει, διατρίβει, ληρεῖ.

μονὰ, καὶ συνέχει. Βὺξ, ὁ περὶ τὴν φάρυγγα νόσος. καὶ βὺξ ἐστὶ πορθμὸς, ἐπὶ τῶν ἐν ἀπορίᾳ προσποιουμένων τι πράττειν. παρ' ὅσον οἱ πίνοντες λανθάνειν πειρώμενοι, προσποιοῦνται βύττειν. καὶ παροιμία νέα, ἀπορία ψάλτου βὺξ. Βυράνθεμον, σέρνιος. οἱ δὲ τηράνθεμον. Βύραξ, μάζα μεγάλη. Βύρσα, κοιλία μετὰ κῶλος. Βὺρ, τὸ φρέαρ παρὰ φοίνιξι. Βύρσαι, μάχαιραι ὀρθαί. οἱ δὲ ἁπλῶς μαχαίρας, ἄλλοι μάχας ἄνευθεν κέρατα ἔχουσας. Βυρίδια, ὑπολείμματα, ἃ ἡμεῖς ἐμβάδας λέγομεν.

Βύσιον, ἔνδυμα μοναχικόν. Βῦξ ἵμεναι, ὥρμησεν ἰδεῖν.

Βύρσος, ὀργανικὸς ῥωμαίων. οὗτος οὐκ ἦν κατεσκευασμένος, ἀλλὰ μᾶλλον νόσῳ ἐνεχόμενος ἐκ τῆς ἐπιπλέξεως, καὶ ἀπ' αὐτοῦ θρέσου ἀνθρώπου αἴτιος ἐγένετο εἶχεν. Βυρίχαλκον, τὸ μάραθον. λαβόντες. Βυρσοδαί, μέρος ἀποδοῦντος, καὶ τόπος περὶ τὴν ὄρεσιν τῆς παλαιστίνης. Βυρσοδέψην, σπεῖραν. Βῦρος, ἰχθύς. Βύρυλλος, εἶδος λίθου, ἢ βοτάνης εἶδος. Βυσᾶς, ἀχμὸς, καὶ ὑπεικτικός. οἷον βυσᾶς ἔσωθεν. Βύσαι, πορεύονται. Βῦσαι ἐξ ἴσον, ταυτόν ἐστι τῷ ἐκβαλεῖν δίψαν. καὶ βῦσαι προσακτικὸν ἐκ τοῦ βύσω ἐνεστῶτος. ὁ παρατατικὸς, ἔβυζον ἔβυσον. τὸ προσακτικὸν, βῦσαι. ὡς τύψαι, ὁμοίως ἴσοι. Βύσιον, τὸ τήριον. Βῦσαι, ὁ μὲν τῆς ὄρεως ἐν δυσὶ σ. πόλις δὲ ὡς βυσὸς ἐν τῇ βοιωτίᾳ γράφεται διὰ ἑνός. καὶ βῦσα, λιμὴν τῆς ἀνδροκλέους. Βύσσα, κατά τινας διὰ ἑνὸς γράφεται σ. ἡ ρωδιανὸς δὲ διὰ δύο σσ γράφει. ὀνομάσθαι δέ φασιν ἀπὸ τοῦ τῶν τόπου φύσεως πολλὰς οὔσας. ὅπερ δὲ καὶ ἔθνος θρᾳκικὸν οἱ βύσσοι. ὁρίσκει δὲ καὶ τὸ παραγραφὴ διὰ δύο σσ γραφὲν τὸ βύσσος. ἀπὸ γὰρ τῆς αὐτό... φασὶν ὀνόμασαι ὁμωνύμως. ὁ δὲ ἐν τῇ ἀττικῇ φασὶ δῆμος, ὁ βύσσα ἐν τῷ ἑνὶ σ. ἐξ οὗ οἱ δημόται βυσσαιεῖς. Βυσσός, ὁ βαθυμένος καὶ ὑψηλὸς καὶ ἔνδηλος τόπος. Βύσσον, κυλάδα ὅλον ἔχουσαν, καὶ μεσότατα ἐρῶν τῶν συναγωγῶν. ἄλλοι, τὸ ἔνδοθεν. Βύσσαν, ἐπέβη. Βυσσώσας, τόπος βασιλικῆς τῶν ἰερέων. Βυσσόντα, βάσιμα. Βώσωμεν, ἐπιβιβάσωμεν, ἀναβιβάσωμεν. Βυτάγων, ὁ χρόνος ὑπὸ φοινίκων. Βυτάρμονες, ὀρχησταὶ οἱ διὰ τῶν καλῶν ὀρχούμενοι. ἀπὸ τοῦ ἡρμοσμένως βαίνειν. Βυταλμὸν λέγουσι τὴν ὄρχησιν, παρὰ τὴν ἁρμόδιον βάσιν. Ἀπολλώνιος δὲ λέγει, τὴν πυρρίχην ὄρχησιν. ὅθεν βοτάρμονες, οἱ ἀγαθοὶ ὀρχισταί. παρὰ τὸ βαίνειν ἁρμονίως.

Βυτός, κίναξ. Βύτω, ἀμεταβάτως, ὁ μέλλων βύξω.

Βάχιον, βοτάνης εἶδος. Βυχμὸς, ῥυσμός.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Ι.

Βία, σημαίνει δύο. τὴν δύναμιν ἢ ἰσχὺν, ὡς τὸ, Σὺ δὲ βίᾳ βιάζεαι. καὶ τὴν ἐκ δυναστείας ἀδικίαν, ὡς τὸ, Τὴν γὰρ βίην ἀΐκητος ἀπορέων. καὶ τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, οὔτε βίας φέρειν ὑποδεξόντων, οὔτε ἰσχύος. ἀμφότερα παρὰ τὴν ἴαν, ὃ σημαίνει τὴν δύναμιν. τὸ γὰρ μετὰ δυνάμεως καὶ βιαστικῶς πράττειν τι, βιάζεσθαι. Βιαρίται, βιαίως κρατοῦνται. Βιάζομαί σε, παρὰ γνώμην ποιῶ, καὶ βιάζομαι ὑπὸ σοῦ. εὕρηται καὶ βιάζω, ὥσπερ καὶ ἄλλα πολλὰ ἐν ἑτέρᾳ φωνῇ ἐνεργητικῇ καὶ παθητικῇ. οἷον βιάζω σε, καὶ βιάζομαί σε. ποιῶ τόδε τι, καὶ ποιοῦμαι. Βιάζω καὶ βιάζομαι, παρὰ τοῖς ἀττικοῖς ἐπὶ ἐνεργείας τίθεται. παρὰ δὲ τοῖς κοινοῖς, λαμβάνεται τὸ βιάζομαι ἐπὶ πάθους. Βιάθω, τὸ πορεύομαι, καὶ ἀμυνάθω, τὸ βοηθῶ. τὰ δὲ ἐνταῦθα λέγοντα ῥήματα μέχρι τοῦ παρατατικοῦ κλίνεται. Βίαιος, παράνομος. Βιαιότερον, ἐπιφανέστερον. ὡς τὸ, Τοὺς τῶν ἰατρῶν ἐπισήμους βιαιότερον ἦν τὸ νόσημα. Βιαῖον, ὄνομα δίκης, κατὰ τῶν βίᾳ πραττόντων ὁτιοῦν. ὁ δὲ ἀλθαὶ, ἀνατείνει εἰς τὸ δημόσιον τὸ ἥμισυ ἐλάσσονι. Δημοσθένης ἐν τῷ κατὰ μειδίου. εἰσὶ δὲ καὶ ἐν τοῖς ἀττικοῖς φερόμενοι λόγοι βιαίοις. καὶ δῆλον, ὅτι οὐκ ἐπὶ φθορᾶς παρθένων οὔτε τὸ ὄνομα, οὔτε ἡ δίκη ἐλέγετο μόνον. ἀλλὰ καὶ ἐπὶ

ἄλλων. Βιαρκῆς, ὁ εἰς τὸ ζῆν ἐπαρκῶν. Βιασάμενος κόρην λέγε, μὴ φθείρας. καὶ βιασθεῖσα, οὐκ ἐφθαρμένη. Βιᾶσθαι, πρωτότυπόν ἐστι τοῦ βιάζεσθαι. δῆλον δὲ ὡς οἱ μεθ' Ὅμηρον, καὶ ἐπὶ γυναικείας πείρας τὴν λέξιν ἐτίθεσαν. Βιάτωρ, κνώδιον μικρὸν, ἤγουν κοχλιάριον. Βιᾶται, γυναῖκας βιάζεται.

Βιβάζε, ὀχεύει, συζευγνύει. καὶ βιβάζει, τὸ ταῖς χερσὶ διαθλίβειν. καὶ τὸ τὰ κηρία θλίψαι, βλίσαι λέγεται. Βιβάζων, πορεύεσθαι, περιπατεῖν. Βιβάντα, διαβαίνοντα. Βιβάοντα, ὡς τὸ, Μακρὰ βιβῶντα, μεγάλα διαβαίνοντα. Βιβᾶς, ἀνατείνεσθαι ἐπὶ πλέον ἔχει ἐνεργείαν. βιβᾶς ἦν, ἀπὸ τοῦ βίβημι εἰς διάθεσιν ἀόριστον, ὃ καὶ εἰς παρατατικόν. Βιβάσθων, παρὰ τὸ βιβάζω γίνεται βιβαστὸς, καὶ ἐξ αὐτοῦ ῥῆμα βιβάσθω. καὶ ἡ μετοχὴ βιβάσθων, ἀντὶ τοῦ περιπατῶν, διαβαίνων. Βιβάσθων μακρὰ, πάνυ καίριον ἐπὶ πλατείων διαβημάτων τοῦ ἥρωος. ὥσπερ δὲ ἀΐω ἀΐσσω ἀΐσσω, ἐξ οὗ καὶ τὸ ἀΐσθω, οὕτω βιβῶ βιβάσω βιβάσθω. Βιβᾶς, βαίνων, ἔρχων, διαβαίνων. Βίβασις, κοίτη, στιβάς. Βιβάσκων, βίᾳ βαίνων. Βιβάω βιβῶ, ὁ μέλλων βιβήσω, σω, σαι. γίνεται ἐκ τοῦ βῶ τὸ βαίνω, διττέρας συζυγίας τῶν περισπωμένων. ἐξ οὗ βίβημι, ὁ δεύτερος ἀόριστος ἔβην. ἀλλ' ἄρ' ἔβη πρίαμος. βαίνειν λέγεται, τὸ ἁπλῶς διὰ σκελῶν βαδίζειν. ἀναβαίνειν δὲ, ὃ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω ἀνάβασις. ὁ μέλλων βήσω. Βιβήξαντες, ἐμβιβάσαντες. Βιβλιογράφος, οὕτω λέγεσιν ἐν πέντε συλλαβαῖς, καὶ διὰ τοῦ α. οὐχὶ τετρασυλλάβως διὰ τοῦ ο βιβλογράφος.

Βιβλίδια, τὰ βιβλία. ἢ χερνία, τὰ ἐκ βίβλου πεπλεγμένα.

Βιβλιοπώλην, οὐχὶ βιβλιοπώλην λέγομεν. Θεόπομπος, τοὺς βιβλιοπώλας λεύσομαι. Βιβλιαφόρος, ὁ γραμματοφόρος. ὁ δὲ πέμψας βιβλιαφόρον μὴ θορυβεῖσθαι παρακαλούμενος. καὶ πᾶσα γραφὴ, βιβλιαφόρος λέγεται, οὐ βιβλιοφόρος. Βιβλίον, ἡ ἐπιστολή. ἡ γνῶσις αὐτή, καὶ ἄλλος μνήμη. ἐπὶ τῷ βιβλίῳ συντεθέντος γραφέντι. βιβλίον διὰ τοῦ ι ἀττικῶς, διὰ δὲ τοῦ υ ψιλοῦ ἰωνικῶς. Βίβλινος οἶνος, ὁ αὐστηρός. οἷον, ὕδωρ δὲ πίνε, τὸν δὲ βίβλινον κερνᾷ. ἀπὸ βιβλίνης οὕτω καλουμένης θρᾳκίας ἀμπέλου. ἥτις διὰ τὸ εὐθαλὲς εἶναι, ἐν ἄλλαις δὲ μετετέθη, καὶ ἐν σικελίᾳ ὑπὸ πόλλιδος τοῦ συρακουσίων τυράννου. ἔνθεν ἐκ τούτων καὶ πόλλιον καλοῦσιν. ἐπίχαρμος δὲ ἀπὸ βιβλίνων ὀρῶν τῆς θρᾴκης, ἔνθεν φέρεται, λελέχθαι αὐτὸν εἶπε. Βίβλος, ἢ βιβλίον οὐ δευτέρως. ἀπὸ τοῦ φυτοῦ τῆς βίβλου λέγουσι, κατὰ ἐναλλαγὴν γράμματος, ὡς ἐκ τῆς βιβλίνης βίβλου κατεσκευασμένης ποτὲ, εἰς ὑποκείμενον γραμμάτων, καθὰ καὶ ὁ ἀπὸ ξύλου πίναξ. ὡς εἶναι τὸ παλαιοτάτης χρήσεως καὶ τὴν βίβλον ὁμοίως τῷ πίνακι, καὶ τῇ πυξίδι. πιθανόν ἐστιν ἰδιωτικώτερον διὰ τὴν τροπὴν καὶ αὐτὸ τῆς κλήσεως, ἤτοι διπλώσεως. ὡς δέλτος διὰ τὸ δέλτα τοῦ σχῆμα, οὕτω πιττάκιον διὰ τὸ τετραγωνοειδὲς εἶναι δοκεῖν. ὁμοίως πύξος, διὰ τὸ χρυσοῦ πίττης χρωματισμοῦ. οἱ δὲ παλαιοὶ, καὶ ἐν τῇ κατ' Εὐριπίδην φαίδρᾳ, ἔνθα μνήμη πίνακος κεῖται, φασὶ πινάκιον ἐπὶ ῥυθμῶν ἐν τῇ χειρὶ τῆς φαίδρας δέλτον, τῶν κατὰ τὸν ἱππόλυτον, ὡς ξυλίνην οὖσαν, καὶ ἴσως ἐκ πινάκος, διὰ τὸ γραφῆς ἐν βιβλίνῳ ξύλῳ εὑρίσκειν. Βίβλος, ἁπλοῦν. βιβλίον δὲ, ὑποκοριστικόν. λέγεται βιβλίον, καὶ τὸ μὴ γεγραμμένον χαρτίον, καὶ τὸ πιττάκιον. καὶ βύβλος φυτὸν, διὰ τοῦ υ ψιλοῦ. Βιβρώσκω, τὸ ἐσθίω. Βιβῶντα, μακρὰ, ἤτοι βαίνοντα. ἰωνικά πως πρὸς τὸ διαβαίνειν, ὃ καὶ παρ' Ὁμήρῳ κεῖται. ἢ διαβὰς, ἤγουν διαβάντος τὰ σκέλη. καὶ παρὰ τῷ κωμικῷ, ἐν τῷ τέλει δ' αὐτοῦ βῆμα διαβιβηκότος. ἐκ τοῦ βιβάω, ῶ. ἡ μετοχὴ, βιβάοντα, ῶντα. Βίδην, εἶδος ὀρχήματος. Σοφοκλῆς. Βιζάκιον, μικρὸν λίθον. Βιζῶσι, κεῖνται, σκορδιάζω. Βὶη ἡρακληείη, πιττασυλλάβως. ταυτὸν μέν ἐστι τῷ βίη ἡρακλείη τῷ τετρασυλλάβῳ. γίνεται δὲ ἐκ τοῦ ἡρακλέος γενικῆς, οὗ κτητικὸν ἀρσενικὸν ἡρακλεῖος, θηλυκὸν ἡρακλείη. ἤγουν βίη ἡρακλέος, ὅ ἐστιν ὁ ἡρακλῆς αὐτός.

Βίηφι, δύναμις, βιαίως. Πολέμων ἐν ἐρατοσθένους ἀπολογίᾳ.

ἔχουσι. ἐπὶ δὲ ἁπλῶν καὶ ὑπερβολικῶν, ἐπαμφοτερίζει. καὶ βιαῖον, ὁ κρεῖττον. καὶ βιαίστατος, ὁ κράτιστος. Βιατὸς, ὁ βλαστός.

Βιλυβίνα, πόλις Λακεδαιμονίων. Βιλφιγὼρ, βίελ, ὁ πρόρος. φιγὼρ, ὁ τόπος ἐν ᾧ ἱδρύματ. Βιμβλύει, λιπεῖν. Βιμβοῦσι, διακινοῦσι. βέμβηξ δὲ ὁ ξύλινος στρόμβος. ὡς ἐν ἐπιγράμματι, Οἱ δ᾽ ἄρ ὑπὸ πληγῇσι θοὰς βέμβηκας ἔχοντες, εὔστροφον εὐρείῃ παῖδες ἐνὶ στρέφον. καὶ Ἀριστοφάνης, βέμβηκος οὐδὲν διαφέρειν δεῖ. ἀντὶ τοῦ, εὐκίνητον καὶ εὔστροφον εἶναι δεῖ. ἔστι δὲ βέμβηξ ὄργανον, ὃν μάστιγι στρέφουσιν οἱ παῖδες. ὁ παίγνιον τῶν παίδων, ὡς τροχὸς, ὃς μάστιγι δεδόμενος στρέφεται. καὶ βεμβικιᾶν, τὸ περιστρέφεσθαι. Βέμβικας, περιφορὰ, περιαγωγαί. Βέμβικος δίκην, ῥόμβου τρόπον. ἐπὶ τοῦ τὸν φεύγοντα μὴ ἐπ᾽ εὐθείας τῶν φυγῶν ποιεῖσθαι, ἀλλ᾽ εἰλεῖσθαι. Βέμβηξ, ὁ στρόμβος, ὃν οἱ παῖδες στρέφοντες καὶ παίοντες ἱμάσι, παίζουσι. βέμβηξ τίς ὤν, παρὰ τὸ πέμπεσθαι καὶ ἐλαύνεσθαι. Βεμβίδιον, ἰχθύδιον λεπτόν. Βέμβλιν, ἐφρόνησεν. Βέμβλωσιν, ἐστενάχησαν, ἔκαμε, πάρισι. Βεμβράνας, ῥωμαϊκῶς τὰς εἰλητὰς ἐπιστολὰς. ὡς ἀπὸ τοῦ ἐν ῥώμῃ συνηθείας, ὁ διαφόρως τῇ λέξει κεχρημένος. ἀφ᾽ ἧς δὲ καὶ ἡ γραφὴ ἐπιστολῶν. Βεμβρὰς, εἶδος ἰχθύος εὐτελοῦς καὶ βράδεος. ὁμοίως καὶ βράδεος αἱ χλαι. Βεμβρὸς, τετυφωμένος, μάταιος. Βεμψ, λεπτ.

Βεμόριξ, κῶνος, συγγεγραμμένη, ῥόμβος, στρόβιλα, τροχός.

Βένδις, ἡ ἄρτεμις, θρακιστί. παρὰ δὲ Ἀθηναίοις, ἑορτὴ Βενδίδεια. Βενεβέντην λέγουσι, τὴν τῶν ποιημάτων βίαν. Βενεβεντὸς, πόλις καλαβρίας, ἣν ᾤκισεν Διομήδης. Βενεφίκιον, ὄνομα εἶδος χάριτός τε καὶ δεξιώσεως. τοῦ γὰρ τῶν λατίνων διαλέκτου ἡ λέξις, εὐεργεσίαν δηλοῖ, πρὸς ἑλληνίδα μεθερμηνευομένη διάλεκτον. Βένθος, τὸ βάθος. καὶ οὐ μόνον ἐπὶ ὑδάτων λέγεται, ἀλλὰ καὶ ἐπὶ ξυλόχου ὕλης, καὶ πολλοῦ λάσιος. ἔστι δὲ καὶ ἐπὶ στρατηγικοῦ τάξεως τὸ βάθος. ὑπονοεῖται δὲ καὶ ἐπὶ μεγέθους πόλεως, ὡς δηλοῖ τὸ, Κατὰ δὲ ἄστυ πόλιν. ἐπὶ βάθος γὰρ ᾠκοδόμηται. Βένδεον, ἀντὶ τοῦ βέλτιον κρεῖττον λέγουσι. Βέομαι, ὃ δὲ οὐκ ἄν χρήσαιτό τις πεζογραφῶν. τὸ θέμα ἐστὶ βέω, ἐξ οὗ ὁ βέομαι παράγεται. δηλοῖ γὰρ τὸ βιάζομαι, ἢ βιωθήσομαι. δύναται δὲ δηλοῦν καὶ τὸ βαίνω. ἴσα λέγει παρ᾽ Ὁμήρῳ ἐν τῷ ο τῆς ἰλιάδος ὁ ποσειδῶν, ὅτι οὐκ ὀφείλω βαίνειν ἐπί ποτε βουλαῖς ταῖς Διὸς φρεσίν. Βέρκιλον, ξύλον. Βερβίνα, ξύλα κεκλασμένα. ἐξ ὧν τὰς λικνάδας ἐπλέκον. οἱ δὲ, γένος τι ἀμπελικὸν τὰς βερβίνας. Βεργαῖος, ὁ ἀπὸ πόλεως βέργης. Βέρεθρον, τὸ βάραθρον. Βέρεθρον, βάθος, βάραθρον κατώτατον, ἴχανον. ἢ σπηλαιώδης τόπος, ἢ κοίλωμα καταχθόνιον. καὶ βέρεθρον, κοινῶς μὲν βάραθρον. κατὰ μακεδόνας δέ φασι, καὶ ζέρεθρον λέγεται. γέγονε δὲ τὸ βέρεθρον ἤτοι ἐκ τοῦ βλάθρον, ὥσπερ καὶ τὸ πένθος ἐκ τοῦ πάθος, καὶ βένθος ἐκ τοῦ βάθος, οἷον ἀνάλογον κατά γε φωνήν. ὃ τὸ βένθος ἐπὶ ὑπερηφανίας παρὰ τοῖς κωμικοῖς. ἐξ οὗ τὸ βρένθιον, μύρον ἦν ἐκεῖνο περιαδόμενον. ἐξ ὧν ῥῆμα τὸ βρενθύεσθαι, ἤγουν κατατρυφᾶν ἀλαζονικῶς. Βερικύνδαι, δαίμονές εἰσι, καὶ ῥόμβοι. Βερικύνται, φρυγῶν τι γένος. πρότερον γὰρ βερεκυντία ἡ φρυγία, καὶ πόλις βερεκύνθιος. καὶ βερεκυντίας, ὄνομα οὕτω καλούμενος. Βερονίκη, ἡ γυνὴ τοῦ πατρὸς πτολεμαίου.

Βερέχιθοι, οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις. Βέρετα, τόπος. Βέρης, ὁ φρακτίτης. καὶ βερβελίδα, φρακτίδα. Βέρμος, ἡ ἔλαφος, ὑπὸ λακώνων. Βερκὶς, ἀκρίς. Βέρκεται, φυλάττεται. Βερνώμεθα, κληρωσώμεθα. λάκωνες. Βέροια, πόλις, καὶ ἑτέρα διὰ τοῦ ι ψιλοῦ γράφεται. Βερονικίδαι, δῆμος πτολεμαΐδος φυλῆς. Βερονικίδες, εἶδος ὑποδήματος γυναικεῖον. Βερενίκης πλόκαμος. τοῦτον καταστερίσαι φασὶ Κόνων. καὶ βάδος δὲ ἐξ ἀγαγγάλων οὕτω καλεῖται. καὶ βερενίκη, πόλις. Βερονίκιον, εἶδος βοτάνης. Βέρρια, κληρῶσαι. Βερρίσαι, φρακτίσαι. Βέρρης, φρακτίτης. Βέρροια, πόλις μακεδονίας. ἄλλοι δὲ διὰ τοῦ β βέροια, πόλις μακεδόνων. Βερρὸν, δασύ. Βέσπαροι, ἄρτοι ὑπὸ λακώνων.

Βεσὸν, ἔθος, καὶ ὁ τοῦ ἔθους ἔμπειρος. λάκωνες δὲ, βεσσόν.

Βεσία, τὰ θήρια κατὰ τὴν ῥωμαίων διάλεκτον. Βεστῖος, ἔθος ἐν ἰταλίᾳ, θεριδάλεις τὸν τρόπον. Βέστον, τὸ ἱμάτιον ὑπὸ λακώνων. Βεστιοπράτης, ὁ ῥάπτης. βέστα γὰρ παρὰ ῥωμαίοις τὰ ἱμάτια. Βεστιάριον κυρίως, ἐν ᾧ τὰ βασιλικὰ ἐνδύματα φυλάσσονται, ἢ ἡ ἀναγκαῖα ἐσθής. Βέτας, τὸ ἀπόρρητον μέρος τοῦ ἱεροῦ. Βέτυθρον, βάθος. Βεθφανὸς, ὁ ἀπελθὼν τοῦ στρατιῶν. ἐπὶ εἰκοσαετίαν δὲ οὐδεὶς ἐλοιπόλεον. Βέτων, ὁ παλαιὸς εὐτελής. Βεύδιον, τὸ ποικίλον ἱμάτιον, ἢ τὸ πορφυροῦν.

Βέχιρ, ἔθνος σκυθικόν.

ΤΟ Η ΜΕΤΑ ΤΟΥ Ι.

Βῆλ᾽ ὁ γέρων, ἀντὶ τοῦ ἔβη δὲ, ἐπορεύθη. οἱ ἴωνες εἰώθασι ποιεῖν τοὺς πεπληρωμένους συνεπτυγμένους τοῖς ἰδίοις ἐκφέρειν. οἷον τέτλη ἀντὶ τοῦ ἔτλη, θέσαν ἀντὶ τοῦ ἔθεσαν, δόσαν ἀντὶ τοῦ ἔδοσαν, καὶ ἄλλα πολλὰ παραπλησίως. Βέβυλος, εἶδος ὄρνιθος, λάθυλος ἦν. τρέπει δὲ τὸ δ εἰς β. ὡς τὸ, δελφοὶ βελφοὶ, ὀδελίσκοι ὀβελίσκοι. Βήξ, φωνή. Βῆκα, ἀναδεδραμικῶς. Βῆθι, βάδιζε, μάχου. Βηθλεεμίτης, ὁ ἀπὸ τῆς βηθλεὲμ πόλεως. Βήκα, χίμαιρα. Βηκίθεις, προβατίθεις, παρὰ τῷ ἱπποκράτει. Βηκίνιον, εἶδος βοτάνης. Βήλγαι, βλαχῶνται, ἢ θύει. Βήλθης, ἡ ἥρα. ἢ ἡ ἀφροδίτη. Βηλὸς σταθμὸς, ὁ τῆς οἰκίας βατὴρ, παρὰ τὸ βαίνεσθαι. ὃς καὶ οὐδὸς, παρὰ τὸ ὁδεύεσθαι. ὅθεν καὶ τόποι ἀβέβηλοι μὲν, οἱ ἱεροὶ καὶ ἄβατοι. βέβηλοι δὲ, οἱ βατοὶ καὶ τοῖς τυχοῦσι. Βηλὸν δέ τινες τῶν ἀρχαίων φασὶ, τὴν περίοδον τοῦ αἰθέρος, καὶ τῶν ἄστρων. ἕτεροι δὲ, τὴν ἀνωτάτω καὶ πάντα περιέχουσαν σφαῖραν. τινὲς δέ φασι τὴν ἀπλανῆ σφαῖραν κατὰ ἐρέτριαν μὲν ὄλυμπον εἶναι, κατὰ δὲ χαλδαίους οὐρανόν. ὀξύνεται δὲ ὁ ῥηθεὶς βηλός. τὸ δὲ κύριον καὶ τὸ ποταμοῦ, περισπᾶται. θεσσαλικῶς δὲ βηλὸς εἴρηται πρὸς διαστολὴν τοῦ μὴ θείου, ἀλλὰ βεβήλου. Βηλοῦ. ἰστέον ὅτι ὁ Κράτης (ὥς φασιν οἱ παλαιοὶ) τὸ βηλοῦ ἐστι βαθμοῦ, δευτέρως ἀναγινώσκει βήλ᾽, ὡς ἄλλοι. κοινὸν δέ φασιν οὐδὲν ἐν οὐρανῷ βηλὸν εἶναι, ὥσπερ καὶ πύλαι. δῆλον δὲ, ὡς ἀπὸ τοῦ βῶ βήσω, παρῆκται ὁ βηλός. ἐξ οὗ καὶ βέβηλος κυρίως, ὁ καὶ ὑπὸ τυχόντος βάσιμος. καὶ ἀνάπαλιν ἀβέβηλος, ὁ μὴ τοιοῦτος. Βηλῶ, βαθμῷ, βατῆρι, οὐδῷ. Βῶ, περισπᾶται. βῶ δὲ ἀκίνδυνον, ἀντὶ τοῦ ἐπορεύθη. παρὰ τὸ βῶ βῆμι, ὁ δεύτερος ἀόριστος ἔβην. Βῆμα, παράγεται ἀπὸ τοῦ βῶ βέβηκα βέβημαι, βῆμα. ὁ λίθος τοῦ δικαστηρίου, ἐφ᾽ ὃ τόπος ἐν ᾧ κάθηται βασιλεὺς ἢ κριτὴς, τοῦ πλήθους παρεστηκότων. καὶ ἡ τοῦ ποδὸς βάσις.

Βῆμα, πρόβατα. Βῆμα, δικαστικὴ τράπεζα. οὐ μακρὰν δὲ τοῦ πυλῶν, τὸ δικαστικὸν βῆμα προστάξει δεδοῦναι. Βηματίζει, τὸ βήμασι μετρεῖν. ἔστι δέ πως ἡ λέξις μακεδονική. Βήμεναι, ἀντὶ τοῦ βῆναι λέγουσι δωριεῖς. Βῆ, ἐπορεύθη. Βῆν. ἰστέον ὅτι τὸ βῆν ἡ μονοσυλλαβία περιέσπασθαι. ἄλλως γὰρ τὸ πλῆρες αὐτοῦ, ἤγουν τὸ ἔβην βαρύνεται. ἀμέλει γὰρ κατὰ Ἡρακλείδην, ὁριστικὸν εὑρεθῇ εἰς ην λῆγον, μὴ πάντως βαρυνόμενον ἐν πρώτῳ προσώπῳ, εἰ μὴ μονοσύλλαβον εἴη, μονοσύλλαβον μέν τι περισπᾶται. οἷον βῆν ἔβην, στῆν ἔστην. οὐ κτῆν ὡς εἰκὸς καὶ τὸ χρῆν προσλήψει τοῦ ε, ἐχρῆν ἐχρῆν, εἴπερ ἦν ὁριστικὸν ῥῆμα. ἔστι δὲ οὐ τοιοῦτο κατὰ αὐτὸν, ἀλλὰ δωρικὸν ἀπαρέμφατον κατὰ τὸ ζῆν, καὶ τὰ ὅμοια. πᾶν γάρ φασι ῥῆμα εἰς ην λῆγον, καὶ περισπώμενον, οὐκ ἄλλο τί ἐστιν ἢ ἀπαρέμφατον. καὶ βῶν παρὰ δωριεῦσιν, οἷ φιλῶν καὶ νοῶν διὰ τοῦ ν φασίν. οὐκ ἄν δὲ φασιν καὶ ἐχρῆν. Βῆνος, κασυτός. Βληχή, ἡ φωνὴ τῶν προβάτων. Βήξ, ἡ λύγξ, ὁ βραγχὸς, νόσημα τοῦ ὦτος τοῦ σώματος. ὁ βραγχᾶν, ἡ ἴλιγγος, ἡ φλεγ-

μονὴ

Βείνειν, παρὰ Σόλωνι, τὸ βίαν μίγνυσθαι. τὸ δὲ κατὰ νόμον, γαμεῖν. Βεκκεσέληνε, τὸ παχυλῶς, καὶ τὸ ὄρεξιν ἐπὶ συνουσίαν ἔχειν. Βείομαι, γίνεται ἀπὸ τοῦ βῶ βιῶ, ὡς χῶ χώω, βῶ βιῶ. ἢ ἄλλως ἀπὸ τοῦ βίω, πλεονασμῷ τοῦ ι βείω. ὁμοίως δὲ καὶ σίω σείω. ὡς τὸ, οὔτι Διὸς βείομαι φρεσίν. ἀντὶ τοῦ οὐδαμῶς κατὰ τὴν αὐτοῦ γνώμην βιώσομαι, ἀλλὰ κατὰ τὴν ἐμαυτοῦ. διὸ οὐδαμῶς ὑπὸ Διὸς ἐπιτροπεύσω τὰ βίω. Βείομαι. Ὅμηρος, τέκνον ἐγὼ δὲ δύστηνος βείομαι. ἤγουν, τὸ δὲ βιώσομαι αἰνὰ παθοῦσα, σοῦ ἀποθανόντος. Βείονται, καταπονοῦνται. Βείρακες, ἱέρακες.

Βερβέριον, ἱμάτιον ἀρχαϊκόν. Βείρηξ, ἔλαφος. Βεῖρον, λευκόν. Βείω, πειρατικόν. ὅ ἐστι τοῦ πορίζομαι καὶ ζῶ, λαμβάνομεν. ἀπὸ τοῦ βῶ πλάττεται κατὰ πλεονασμὸν τῆς ει διφθόγγου, βῶ βείω.

Βεκὰς, μακράν. Βεκκεσέληνε, ζήτει σεσόγχωσις. καὶ Βεκκεσέληνοι, ἀνοητότατοι. ἢ ἀρχαῖοι, πρὶν ἢ ἀνοητότατοι.

Βέκος, ἄρτον. Βεκὸς, ἄρτος, ἢ ἄβατος. φρύγος. Βεκύλλιος, συλλαβὴ πλεκτός. Βέκολος προβατεύλος. Βέλα, ἥλιος καὶ αὐγή. Βελαίνα, κώμη λακωνική. Βελὰς, ἄβυρν, καὶ καταγελαστός. Βελγαῖος, ἀπὸ πόλεως βέλγης.

Βέλγιος, ποταμὸς ἐν Λιβύῃ. Βέλει, βέλη. Βελέβατος, ὁ τῆς πυρὸς ἀήρ. Βαβυλώνιοι. Βελεβίκα, βελόνη. Βέλει, ἀντὶ τοῦ βέλει. καὶ ἔγχει, ἀντὶ τοῦ ἔγχεϊ ἐστὶ λέγουσιν. αἱ γὰρ διαιρέσεις τῆς εἰς ει λεγόντων ἐπικῶν διαλέκτων, ἰώνων εἰσί.

Βέλεκος, ὄσπριον. ἔοικε δὲ τοῖς λαθύροις. Βέλεμνα, τὰ βέλη. παρὰ τὸ βέλος βέλεμνος, ὡς ἔχω ἔχιμνος. Βέλη φησὶν Ὅμηρος, ὀϊστοὺς, λίθους, δόρατα. καὶ εἴ τι ἄλλο ἀφίεται μακρόθεν. ὁ δὲ Φίλιππος φοινικῶς, βέλη τοὺς λόγους εἴρηκε, διὰ τὸ ὀξὺ καὶ καίριον τοῦ ἐγκωμίου. φθέγγοι δὲ τῆς διανοίας. καὶ λέγει βέλη, τὰ νοήματα. καὶ βέλος, πᾶν τὸ κατὰ ἰὸς βαλλόμενον παρὰ τὸ βάλλω βέλος. καὶ τραῦμα παρ᾽ Ὁμήρῳ. πᾶν γὰρ τὸ ἀπὸ διαστήματος πεμπόμενον, βέλος καλεῖται. Βέλεμα, κύλημα, φράγμα ἐν ποταμῷ. λάκωνες. Βελίλα, δράκον. καὶ βελίλα τῇ ἑβραΐδι φωνῇ τὴν ἀποστασίαν δηλοῖ. ὡς ὁ ἀπόστολος, τίς δὲ συμφώνησις Χριστοῦ πρὸς βελίαρ; Βέλλαι, ῥαφίδες θαλάσσιαι. Βελλαρῶνται, ἀλευθύονται. Βέλλειν, μέλλειν. Βελλεροφόντην, τὸν φονεύσαντα παῖδας τὰ κακά. βέλλερα γὰρ, τὰ κακά. τὰ εἰς της ἀρσενικὰ μὴ ὄντα σύνθετα παρὰ τὸ κρατῶ, ἢ κράτος, μὴ ἔχοντα οὐδέτερον εἰς ες, εἰς ου ἔχει τὴν γενικήν. οἷον πολίτης πολίτου, μαθητὴς μαθητοῦ, βελλεροφόντης βελλεροφόντου. πρόσκειται ἀρσενικὰ, διὰ τὸ ἀκκότης φιλότης. μὴ ὄντα δὲ σύνθετα παρὰ τὸ κρατῶ ἢ κράτος, διὰ τὸ ἐπικρατὴς ἐπικράτης. πρόσκειται μὴ ἔχοντα οὐδέτερον εἰς ες, διὰ τὸ ἐνναέτης ἐνναέτης ἐνναέτου. τοῦτο δὲ εἰ μὲν σημαίνει τὴν σωματικὴν ἡλικίαν, ἐνναέτης βαρύνεται. εἰ δὲ, χρόνος ἐνναετὴς ὀξύνεται. καὶ βελλεροφόντην, ἐπειδὴ τὰ πρῶτα κυριολεκτεῖσθαι, ὁ λεωφόντην. ἀπολέσαντα δὲ βέλλερον δυνάστην κορίνθιον, μεταθέσθαι τὸ ὄνομα καὶ φυγεῖν εἰς ἄργος, καὶ τυχεῖν παρὰ τοῦ προίτου τοῦ σωτῆρος καθαρσίων. εἶτα παθεῖν ἃ ἔπαθε τῇ τῆς ἀντείας διαβολῇ. ἴσμεν δὲ, ὅτι τὴν παρ᾽ Ὁμήρῳ ἀντείαν, σθενέβοιαν ἄλλοι καλοῦσιν, ὡς καὶ Εὐριπίδης. καθὼς μέμνηται καὶ ὁ κωμικός. ὅτι δὲ ὁ βελλεροφόντης καὶ βελλεροφῶν τετρασυλλάβως λέγεται, ποιητὴς ἕτερος δηλοῖ. δῆλον δὲ, ὡς ἐκ τοῦ βελλεροφόων κατὰ συναίρεσιν, ὡς ξενοφόων ξενοφῶν. δῆλον δὲ, ὅτι καὶ ἐλλεροφόντην τοῦτον ἱστοροῦσι καλεῖσθαι. ἐν δὲ κορινθιακῷ, εὕρηται ὁ βέλλερος λεγόμενος. Βελλεροφόντης, κυρίως ὁ ἀπελοῖος ἀνὴρ, καὶ ὡς εἰπεῖν παθοκτόνος, καὶ ὡς ἄλλοι ἐλλεροφόντης, τοῦ φονεῦσαι κακίας. ἔλλερα γάρ φασι κατὰ διάλεκτον, τὰ κακά. ζήτει εἰς τὸ χίμαιραν.

Ἄλλως. Βελλεροφόντης ὁ κορίνθιος, ὁ καὶ ἱππόνοος πρότερον καλούμενος, ἀνὴρ ὑπάρχων φυγάς, ἐπειδὴ ἀπέκτεινε βέλλερον, ἢ τὸν ἴδιον ἀδελφὸν ἀλκιμένην, ἢ πειρῆνα, ἢ δηλιάδην, ἐλθὼν εἰς ἄργος πρὸς προῖτον καθαίρεται. ἄντεια ἢ σθενέβοια γυνὴ προίτου ἐρωτικῶς ἐπεμάνη βελλεροφόντου. ὡς δὲ οὐκ ἔπεισεν συγγενέσθαι αὐτῇ, διαβάλλεται παρ᾽ αὐτοῖς προίτῳ ὡς πειράζων αὐτήν. προῖτος δὲ αὐτοχειρὶ τοῦτον ἀνελεῖν οὐκ ἤθελεν, κατά τι παλαιὸν ἔθος ἐπικρατοῦν, τὸ μὴ συμφαγόντας ἀλλήλους παρ᾽ ἀλλήλων ἀναιρεῖν, εἰ μὴ οὕτως ἀκουσίως συμβῇ. διὰ τοῦτο καὶ προῖτος ἀνελεῖν βελλεροφόντην οὐκ ἠθέλησε. πέμπει δὲ αὐτὸν εἰς λυκίαν πρὸς ἰοβάτην τὸν πενθερὸν αὐτοῦ, γράμματα δοὺς κατ᾽ αὐτοῦ περιέχοντα τὴν τῆς αἰτίας διαβολήν. καὶ ἰοβάτης ὁμοίως ἡμέρας ἐννέα συνευωχούμενος αὐτῷ, τῇ δεκάτῃ τὰ γράμματα δεξάμενος, ἐπεὶ μὴ αὐτὸς εἶχεν αὐτὸν ἀνελεῖν διὰ τὸ συμφαγεῖν μετ᾽ αὐτοῦ, κελεύει τοῦτον ἀπελθεῖν, καὶ πολεμῆσαι χίμαιραν, εἶτα σολύμοις, εἶτα ἀμαζόσιν. οἱ θεοὶ δὲ τούτῳ ἐπτερωμένον ἵππον (ὃν φασι πήγασον) ἀπέστειλαν. ὃ ἐποχηθεὶς, τὴν χίμαιραν μὲν ἀνεῖλε, μόλιβδον γὰρ αὐτοῦ δόρατι ἐπιθεὶς, καὶ ἐμβαλὼν γὰρ ἐκείνης πυρπνόου στόματι. ἀφ᾽ οὗ πυρὸς ὁ μόλιβδος συντακεὶς, ἐκείνην ἀπέκτεινεν. ἦν γὰρ προϊδόντα ὑπὸ τὸ πῦρ τῆς χιμαίρας φυλάξασθαι, καθά φησι Λυσίας ὁ ῥήτωρ. μυθικῶς οὕτως σὺν ἐκείνῳ ἀπέλυσε τοὺς σολύμους, καὶ τὰς ἀμαζόνας πολεμῶν. ὑποστρέφοντα δὲ ἔνεδρα λυκίων ἐπέμελλεν αὐτὸν ἀνελεῖν. ὡς δὲ καὶ τοὺς ἐνέδρας ἀνεῖλεν, ἰοβάτης γαμβρὸν ἔσχεν ἐπὶ φιλοτιμίᾳ τῇ θυγατρὶ αὐτοῦ, καὶ τελευτῶν αὐτῷ τὴν βασιλείαν καταλιμπάνει. βελλεροφόντης δὲ (ὥς φασί τινες) ὑπερβὰς τοῖς κατορθώμασιν, ἤθελε σὺν γὰρ πηγάσῳ τὸν οὐρανὸν περιπολεῦσαι. ζεὺς δὲ οἴστρον γὰρ πηγάσῳ βαλὼν, ἐποίησεν βελλεροφόντην ἀποσφαλῆναι τοῦ ἑαυτοῦ νώτου, καὶ καταβαλεῖν αὐτὸν εἰς γῆν. καὶ δὴ περὶ τὸ ἀλήϊον πεδίον καταπεσόντος τοῦ βελλεροφόντου, καὶ περιπλανωμένου χωλοῦ ἀπὸ τῆς πτώσεως, ὁ πήγασος ἄνω περιπετάσθη καὶ κάτω. ἡ γοῦν ἀεὶ, ἀντὶ τοῦ παρὰ τοῦ Διὸς αἰτεῖται, ὡς ἂν ἐγχρημένῳ αὐτῷ τὸν ἀμβρόσιον καὶ πλὴν βαδίζειν. ταῦτα δὲ εἰσὶ τὰ λογόλη καὶ μυθικά. Εὐριπίδης δὲ ἐν δράματι, χωλὸν εἰσάγει τὸν βελλεροφόντην, διὰ τὸ πεπτωκέναι ὑπὸ τοῦ πηγάσου. Βέλλεαι, ὠκίνοντο. Βέλλιον, ἀστυχίου πρῶτον. Βέλλιρ, τροφαλία. λάκωνες. Βελλαίνης, τριήραρχος. λάκωνες. Βελόνη, τὸ σιδήριον, δι᾽ οὗ ῥάπτουσι τὰ ἐνδύματα. παρὰ τὸ βέλος ἢ ὅτι ἐστὶν ὀξύτατα. ἢ παρὰ τὸ ὅλα βάλλεσθαι. τὰ διὰ τοῦ ονη, εἰ μὲν οὐσίαν σημαίνει, πάντα βαρύνεται, οἷον βελόνη, περόνη, ἀγχόνη, τὸ χοινίον. ἐπὶ δὲ τοῦ πράγματος ὀξύνεται. οἷον, ἡδονὴ, καλλονὴ, ἀγχονὴ, ἡ ἄγξις. βελόνη μὲν καὶ βελονοπώλης, ἀρχαῖα. ἡ δὲ ῥαφὶς τί ἐστιν, οὐκ ἄλλως γνοίη. Βελονοποικίλτης, ὁ τῇ ῥαφίδι ὑφὴν ποιῶν, καὶ ζωγραφῶν. Βέλος, καὶ τὸ βέλεμνον, καὶ ἡ βολὴ, καὶ τὸ ἐκ τῆς βολῆς τραῦμα. καὶ βέλεμνον ποιητικῶς τὸ βέλος. καὶ βελοθήκη, ἔνθα τὰ βέλη τίθενται. βέλος τὸ βαλλόμενον. καὶ ἡ βολὴ, καὶ τὸ ἐκ τῆς βολῆς τραῦμα. καταχρηστικῶς δὲ παρ᾽ Ὁμήρῳ, καὶ τὴν ὠδῖνα ὀξὺ βέλος ἔχειν λέγουσι. Βέλτερος, καὶ φέρτερος, οὐκ εἰσὶ συγκριτικά. ὀνόματα δὲ εἰσὶ συμπεπτωκότα τύποις συγκριτικῶν. οὐδὲ γὰρ πάντα τὰ εἰς δος πατρωνυμικά εἰσιν, οὐδὲ πάντα τὰ εἰς κος κτητικά. καὶ δῆλον ἐκ τούτου, οὐδεὶς εἰς ρος λέγει συγκριτικὸν μετὰ παραθέσεως λεγόμενον. εἰ γοῦν ἀβέλτερος φαμὲν, δῆλον ὅτι οὐ συγκριτικόν. τὸ γὰρ ἀτυχέστερος, οὐκ ἐν γὰρ συγκριτικῷ εἴληφε τὴν σύνθεσιν. Βέλτο, χωρίον φρυγιακόν. Βέλτερον ἐπὶ ψυχῆς, ἄμεινον ἐπὶ σώματος. λέγεται πολλάκις καὶ ἄμεινον ἐπὶ ψυχῆς, κρεῖττον δὲ ἀεὶ ἐπὶ σώματος, ἀντὶ τοῦ ἐπικρατέστερος. Θουκυδίδης, οἷον τὸ στράτευμα τῶν λακεδαιμονίων κρεῖττον τῶν ἀθηναίων ἐγένετο. τουτέστιν, ἐπικρατέστερον καὶ ἰσχυρότερον. Βελτίω, ἐκ τοῦ βελτίονα. ἐκβολῇ τοῦ ν βελτίοα, καὶ κατὰ κρᾶσιν βελτίω, ἀττικῶς. λέγομεν ὁμοίως βελτίους κατὰ τοὺς ἀττικούς. βελτίονας δὲ ἢ βελτίονας, κατὰ τοὺς κοινούς. Βελτίων, γλυκίων, κακίων, ἅπαντα τὰ διὰ τοῦ ιων συγκριτικὰ παρὰ τοῖς ποιηταῖς τὸ δίχρονον ι φύσει μακρὸν ἔχουσι.

Βδελύττεσθαι, μισεῖσθαι. Βδελύττεται, ποιεῖ μισεῖσθαι, Ἀριστοφάνης. Βδέννυσθαι, ἐκκενοῦσθαι τὴν κοιλίαν. οὐχὶ τὸ πέρδεσθαι. Βδύλλει, φοβεῖται, τρέμει. ὅ,τι πίνεις βδύλλει λίαν. καὶ βδύλλει, καταπέπληγε.

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Ε.

Βεβάασιν, ἀπὸ τοῦ βῶ, βῶμι, βάσω, βέβηκα. τὸ γ' ἐστὶ πληθυντικῶν, βεβήκασι. καὶ τροπῇ τοῦ η εἰς α, καὶ ἀποβολῇ τοῦ κ, βεβάασιν, ἐπεβήκασι, παρεληλύθασι. Βεβαία, πηγή, οὕτω καλουμένη, ἐν Εὐβοίᾳ. Βέβαιος, ἐπὶ θηλυκοῦ κρεῖττον, ἡ βεβαία. Ἀριστείδης, βέβαιον τὴν αἰτίαν ἔχοντ' ἄν. Βεβαιῶ, τὸ στερεῶ. καὶ βέβαιον, τὸ στερεόν, καὶ ἄσειστον. ἢ βεβαιῶ, διϊσχυρίζομαι, κυρῶ, ἐπισφραγίζομαι, ἐπιψηφίζω, ἐπικρίνω, ἐμπεδῶ, διατείνομαι, διαμαρτύρομαι. Βεβαιώσεως δίκη, ἣν ἐδικάζοντο οἱ ὠνησάμενοι, ὅταν οἱ πεπρακότες ἀρραβῶνα λαβόντες, ἀμφισβητῶσιν. Βέβακεν, οἴχεται, ἀπέβαλεν. Βέβακται, ἐκ τοῦ βάζω, οὐχ ἁπλῶς, ἀντὶ τοῦ εἴρηται, ἀλλὰ κατὰ τοὺς παλαιούς, ἀντὶ τοῦ πεφλυάρηται. ἐξ οὗ καὶ ὁ παρὰ Λυκόφρονι βάβαξ γίνεται. Βεβαλάνωκεν, ἐκλείδωσεν. βάλανος γὰρ τὸ εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. Βεβαλάνωται, ἀντὶ εἴπη ἐκλείδωται. ὅτι βάλανοι λέγονται τὰ μάγγανα τῆς κλειδώσεως. Ἀριστοφάνης. Βεβαλωμένον, κατεχόμενον ὑπὸ τοῦ κόσμου. Βέβαμεν, ἐκ τοῦ βεβήκαμεν κατὰ συγκοπήν, εἰ μὲν προπαροξυτόνως. εἰ δὲ παροξυτόνως, ἀπηρτισμένον. Βεβαρυότα, βεβαρημένον. Βεβᾶσι, βεβάασιν, ἐπειδὴ ἀπὸ κοινοῦ ἔχει τοῦ α, καὶ συνεκβολῇ τοῦ η εἰς α. καὶ γίνεται κατὰ κρᾶσιν τὸ βεβᾶσι, κατὰ τὸ ἑστήκασιν ἑστάασιν, ἑστάασιν ἑστᾶσιν. Βέβασις, τὸ ὑγρόμενον. Βεβαιὼς βεβαιότος, ἐκ τοῦ βέβηκα βέβαα, ὁ βεβαὼς τοῦ βεβαότος. Βεβάδισε, βεβήκει, ὁ παραβεβηκώς. Βεβίνηκας, ὁ ἠρεμαῖος, ὑπὸ τοῦ ἱππέως. Βεβήκει, ἐπορεύετο, ἔφθασε, παρεγένετο. Βέβηκεν, ἔστηκεν, ἐπέστηκεν. Βεβηκός, ἀσφαλές. Βεβηλοῦσθαι, πατεῖσθαι. Βέβηλον, τὸ πᾶσι βατόν. ἀφ' οὗ βέβηλον, τὸ ἀκάθαρτον. καὶ βεβηλῶ, τὸ ἀκάθαρτον ποιῶ. ἀβέβηλον δέ, τὸ ὅσιον, καὶ ποιητικῶς ἄλυτον. ὡσαύτως καὶ ἄβατον, τὸ μὴ πρότερον πατηθέν, καὶ ὃ οὐ διελύθη ὡς καὶ ὃ οὐ λύεται ὡς διαλυθέν, ἤγουν τὸ ἀδιαίρετον. Βέβηλος, ὁ μὴ ἱερὸς τόπος. ἀκάθαρτος, καὶ βατὸς πᾶσι. βέβηλος δὲ ὁ βάσιμος πάντι, πρὸς ἀντιδιαστολὴν τοῦ ἀλύτου. λέγεται βέβηλος ἀνήρ, ὁ μιαρὸς καὶ ἀκάθαρτος, καὶ ἀμύητος. Βεβηλοῦνται, μιαίνονται, ἁμαρτάνουσιν.

Βεβίασαι ἡ κόρη λεκτέον, ἀλλ' οὐχ ὡς ἔνιοι τῶν ῥητόρων, ἐφθάρται. Βεβίηκε, ἐκ τοῦ βιῶ, οὗ παράγωγον τὸ βιάζω. μέλλων δὲ τοῦ βιοῦντος, βιῶ βιήσω. πρὸς διακολὴν τοῦ βιώσω, ἤγουν ζήσω. βεβίηκα, τροπῇ τοῦ α εἰς η βεβίηκα, τὸ τρίτον βεβίηκε. τὸ δὲ βίον ἄχος βεβίηκεν ἀχαιοὺς σημειοῦται τὸ δὲ νῦν, ἐστὶ μὲν θαυμαστικόν. εἴληπται δὲ ἢ ὡς ὄνομα οὐδέτερον, ἢ ἐπιρρηματικῶς ἀντὶ τοῦ οὕτω λίαν, διαφέρει δὲ τῶν τοιούτων βίαν. Βεβίωκα, ἔζησα.

Βεβιωμένα, ἃ ἐπράξαμεν. Βέβληαι, μέλλειν, φροντίζειν, ἢ μέμβλεσθαι. Βεβλήκει, κεῖται παρ' Ὁμήρῳ ἐν τῷ ε τῆς Ἰλιάδος, ἀντὶ τοῦ ἐκέκρουσεν, ἔτυψεν, ἔτρωσεν. οὐ γὰρ πόρρωθεν, ἀλλ' ἐγγὺς ἔβαλε κατὰ τοὺς συντάσσοντας. Βεβλημένος, τετρωμένος. καὶ βεβλημένος πόρρωθεν, οὐτασμένος ἐγγύθεν λέγεται.

Βεβλῆσθαι, τὸ ἐκ βολῆς τετρῶσθαι, καὶ ἐκ τοῦ ἰκτερίου, κυρίως. οὐτᾶσθαι δέ, ἐκ χειρὸς τετρῶσθαι. Βεβλυχασμένον, μεμολυσμένον. Βέβληκεν, ὁρμᾷ, φύεται. Βεβομμένα, διαβόητα.

Βεβοῦν, βοῶ βοήσω, βεβόηκα, βεβόημαι. τὸ ἐνικὸν βεβοήμην βεβοῦ ὁ βεβοῦτο. Βεβολήατο, τῇ ψυχῇ τετρωμένοι ἦσαν, ἐλυποῦντο. παρὰ τὸ βάλλω γίνεται βλῶ βλήσω, βέβληκα, βέβλημαι, ἐβεβλήμην ἐβέβληντο. προσθέσει τοῦ ο, ἐβεβόληντο, καὶ ἰωνικῶς ἐβεβολήατο, καὶ τροπῇ τοῦ ε εἰς α βεβολήατο. ἢ βεβολήατο, ἐκ τοῦ ἐνεστῶτος τοῦ βολῶ βολήσω, τὸ βάλλω. καὶ ἔστι παρατατικὸν αὐτὸ καὶ τοῦ βλῶ βλήσω, καὶ τοῦ βεβολήατο, ἤγουν βέβληντο. καθὰ καὶ τὸ βεβολημένος τοῦ βεβλημένος. καὶ τινὲς μὲν τὸ ἁπλοῦν βολῶ. τὸ δὲ ἀναβολῶ, ἐκτεῖνον ἔγνωμεν εἶναι, ὡς καὶ ἐπὶ τοῦ βολεῖν, εἴτε βολίζειν, ὁ βάθος θαλάσσης δηλοῖ μέτρημα, διὰ καθιεμένου βολίδος. Βεβολημένον, πλαγέντα. Βεβολημένος, βεβλημένος. Βεβολημένος, ἐστερημένος, τετιτρωμένος, ἢ τετρωμένος. Βεβόλεσθαι, τέθραυσται. Βεβολῆσθαι, ἤγουν βεβλῆσθαι, ἢ χρῆσις ἐν Ἰλιάδι. Βεβοσκόλημαι, ὀσπαλίσμαι, πεπλάνημαι, νενίκημαι. Βέβουλα, προαίρεσιν, προτετίμηκα. ἀπὸ τοῦ βούλω βαρυτόνου, ὁ μέλλων βουλήσω. ὡς μέλω μελήσω, θέλω θελήσω. ὁ παρακείμενος βεβούληκα, ὁ μέσος βέβουλα καὶ προβέβουλα.

Βεβράδα, ἐθεράπευσα. Βεβραμένον, εἰμαρμένον, τεθυωμένον. Βεβράσκοντα, συντόμως κεκρατηκότα. λέγονται γὰρ τὸ ἰουδὸν τῶν στηρέων μέρος βέβρακα. Βεβρεγμένος, ὑποκαθίσας. Βεβρυθυσμένον, ὀργιζόμενον. Βέβρυκε, τὸ ἐνδὸν τοῦ σταχύου μέρος. Βέβριθα, μέσος παρακείμενος. ἐκ τοῦ βρίθω, διαλυτικῇ συντάσσεται. Ἡσίοδος, καρποῖσι καταβεβρίθασι.

Βέβρος, ἀγαθός, χρηστός, καλός. Βεβρός, φοβερός, ἐστυγνωμένος. Βεβροτωμένα τεύχεα, τὰ δοκοῦντα βεβροτῶσθαι. ὅ ἐστιν αἵματι μεμολύνθαι. ἢ βεβροτωμένα, αἱματωμένα, μεμολυσμένα. Βεβρυχέναι λέγεται, κατὰ ὀνοματοποιΐαν, καὶ ἐπὶ ὕδατος ἀντὶ τοῦ βλέπειν, ἢ βρέχειν, κατὰ τὸ ἀναβέβρυχεν ὕδωρ, ἐκ πηγῆς δηλαδή. Βέβρυχεν, ἦχει. Βεβρυχότες, ὁμοφωνοῦντες. Βεβρώθεις, τὸ ῥῆμα βεβρώθω. γινόμενον κατὰ ἀναδιπλασιασμὸν ἐκ τοῦ βρῶ, καθὰ ἐκ τοῦ κλῶ τὸ κλώθω. ἢ βεβρώθεις, φάγοις. βρῶ βρώσω, βέβρωκα, ἐκ τούτου ῥῆμα βεβρώκω. τροπῇ τοῦ κ εἰς θ, βεβρώθω. ἡ μετοχὴ ὁ βεβρώθων, τοῦ βεβρώθοντος. τὸ εὐκτικόν, βεβρώθοιμι, οις, οι. Βεβρυχὼς βοῦς, ἀττικόν ἐστι παρ' Ὁμήρῳ. Βεβρώσεται, ἐκ τοῦ βρῶ βρώσω, βέβρωκα, βέβρωμαι, βέβρωσαι. ὁ μετ' ὀλίγον μέλλων, βεβρώσομαι, βεβρώσῃ, βεβρώσεται. Βεβυλλῶσθαι, βεβύσθαι. Βεβυσμένα, λαθραῖα, ἢ πεπραγμένα, ἢ καὶ τὰ σεσωρευμένα. καὶ βεβυσμένον, πεπληρωμένον, ἐσκεπασμένον. Βεβυσμένος, ὁ γέμων, καὶ μετὰ ἀθισμοῦ πλοῦτος μεστός, παρὰ τὸ βύω. ὅθεν ὁ κωμικός φησι, τὸ σὰ ἐπιβεβυσμένα κέρμασι τῶν ῥητόρων. καὶ ξύλα δὲ οὕτω παραβύσαι, ὑποκαταστῆσαι [illegible]. ἐντεῦθεν καὶ παράβυστος, ὃς ἐστὶν ἀπόκρυφος, τόπῳ καὶ ἐπικρύψαι. καὶ τὸ ἐν παραβύστῳ, ἀντὶ τοῦ ἐν τόπῳ καὶ γωνίᾳ, οἷς οὕτω παραβέβυσται. Βέβυσο, ἐπεπλήρωτο. Βεβῶς ἀττικοὶ λέγουσιν, οὐ βεβηκώς. ὡς βεβᾶσιν, οὐ βεβήκασι. Βέδος, τέμενός τι, καὶ ἱμάτιον γυναικεῖον, καὶ πόλις, καὶ ἄγαλμα. Βεελφεγώρ, ἔστιν ὄνομα εἰδώλου, τὸ λεγόμενον Βεελ. καὶ λέγεται παρὰ Ἑβραίοις Βάλ. καὶ φεγώρ, ὄνομα τόπου. καὶ διαλύσει τοῦ α εἰς δίφθογγον, καὶ τροπῇ τοῦ α εἰς ε, γίνεται σύνθετον Βεελφεγώρ, ὅτι ἔστιν τὸ Βὰλ ἐν Φεγώρ. Βεζέκ, ὄνομα τόπου τις, ἢ ζευγνύλα. Βεῖ. Ὅμηρος, οὐδ' αὐτὸς δηρὸν βεῖ. ποιεῖ σὺ, οὐ δὴ σὺ ἐπὶ πολὺ ζήσεις, βιώσῃ. ποιητικὴ δὲ λέξις ἀνωμάλως, ἐκ τοῦ βέω βῶ βείομαι. ἐξ οὗ ἴσως κατὰ πλεονασμὸν γίνεται τὸ βεῶ, ὡς μεδῶ μεδίω. ἐστὶ δὲ καὶ καταφθῶ, καὶ καταφθιῶ, ὧν αἱ χρήσεις πρόδηλοι. οὕτω δὲ καὶ ἐκ τοῦ λῶ τὸ θέλω. οὗ Δωρικὸν λῶ, καὶ λῇς, καὶ ἐπενθέσει τοῦ ι γίνεται λεῶ. ἀφ' οὗ λελιημένος, ὁ θέλων, ὅπερ ἐστὶν ὁ ἐπιθυμῶν. ἐκ δὲ τοῦ βέω, γίνεται καὶ τὸ βείω. οἷον, τέκνον ἐμὸν τίνε βείομαι αἰνὰ παθοῦσα.

Βέθηλον, οἶκος θεοῦ. Βείδιος, ὁ ἔνδοξος. Βειδοπόδες, ἱμάντες, οἷς ἀναδοῦσι Λακεδαιμόνιοι τοὺς πελοφόρους.

Βείλαφ, ὁ λῦρος, καὶ ἔθνος. Βείω, ζήσεις, βιώσεις, βιώσῃ, ζήσεις. Βεκάλας, δέρματα θρεμμάτων, τόσον θανόντων, Λάκωνες. Βείκαο, μακράν. Βεκκέσελον, κατ' ὀλίγον προβάς. Βεκοῖς, εἶπεν. Βεκκελάνω, χελῶ ἀγρίαι, Λάκωνες.

Βέκος, τὸν ἄρτον. Βελλομάστω, βουλόμενοι, [illegible].

Βιῶν

[illegible]

ΤΟ Β ΜΕΤΑ ΤΟΥ Λ.

[illegible]

ἀρχηγὸ. καὶ βασιλεὺς, ὁ λαοῦ. κοίρανος δὲ, ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ποιῶν. ἡγεμὼν, ὁ τάξεως στρατιωτικῆς ἡγούμενος. τὸ δὲ ἄρχων, ἐπὶ τριῶν λαμβάνεται. τὸ μέντοι κρατῶν, ἐπὶ μόνου τοῦ βασιλεύοντος. δεσπότης, τοῦ δούλου. κύριος, τῶν αὐτοῦ πραγμάτων. τὰ ἐξουσιαστικὰ ὀνόματα πρὸς γενικὴν συντάσσονται. τοῦ βασιλεὺς τὸ θηλυκὸν, οὐ μόνον βασίλεια, ὡς εἴρηται, ἀλλὰ καὶ βασίλισσα, κατὰ Αἴλιον Διονύσιον Ἀττικῶς. βασίλιννα δέ φησι Μένανδρος. λέγεται δὲ καὶ ὑποκοριστικὰ ἀπὸ βασιλίδος, καὶ ἡ μὲν εἶδος. ὑπὸ βασίλειαν, ἡ βασιλίνδα, παιδιά τις, βασιλέα τινὰ ἀναφαίνοντος. καὶ βασιλεῦον, καὶ ἀποβασιλίζεσθαι, τὸ βασιλεύειν ἀποπαύεσθαι. ἦν δέ φασι καὶ βασιλεὺς, ἀρχή τις Ἀθήνησι, καὶ ὁ ἐκείνου βασιλίς. καὶ βασίλειος ἱερεὺς, πλησίον τοῦ τοῦ ἐλευθερίου Διὸς στοᾶς. Βασίλειος στοὰ, ὅτι ἐν ἣν Ἀθήνησι βασίλειος στοά. ἢ, ὅτι τοῦ λεγομένου βασιλέως Διὸς, καὶ ὁ τοῦ ἐλευθερίου. Βασιλῆες, οἱ δικασταὶ, παρὰ Ἡσιόδῳ. Βασιλεύτερος, ὁμοιόσχημον ἐστι τῷ λώτερος, παρὰ οὐδαμοῦ εὕρηται. Βασιλεύτερον, ἐν δήμῳ Ἰθάκης, παρ' Ὁμήρῳ συγκριτικῶς λεχθὲν, δηλοῖ ὡς καὶ ἄλλοι μὲν εἰσὶ βασιλῆες ἐν Ἰθάκῃ. καθὰ που καὶ ὁ Τηλέμαχος εἶπεν, Ὅμως δὲ πάντων βασιλεύτερον τὸ γένος τὸ Ἀρκεισίου ἐν δήμῳ Ἰθάκης, πρὸς ἀκρίβειαν κεῖται. οὐ γὰρ οἱ λαμοῦ γοῦν οὐκ ἐστι βασιλεύτερον γένος ἄλλο ἐν Ἰθάκῃ. Βασιλεύω, τὸ ἄρχω. βασιλεύω δὲ τὸ βασιλέα ποιῶ, αἰτιατικῇ συντάσσεται. βασιλεύομαι παθητικῶς ὑπὸ δοτικῇ, ἤγουν ὑπὸ τοῦ δεῖνος. καὶ βασιλεύω, ὅταν σημαίνῃ τὸ ποιῶ βασιλέα, αἰτιατικῇ. Βασιλέως ἔπαινος, πατὴρ ἤπιος, πρᾶος, ἥμερος, προνοητικὸς, ἐπιεικὴς, φιλάνθρωπος, μεγαλόφρων, ἐλεύθερος, χρημάτων κρείττων, ἔξω παθῶν, ἑαυτοῦ κρατῶν, ἄρχων ἡδονῶν, λογισμοῦ χρώμενος, ὀξὺς, ἀγχίνους, εὔβουλος, δίκαιος, σώφρων, θεῶν ἐπιμελητὴς, ἀνθρώπων κηδεμὼν, σώσιμος, βέβαιος, φροντιστὴς τῶν ἀρχομένων, σωτὴρ, ταχὺς εἰς εὐεργεσίαν, βραδὺς εἰς τιμωρίαν, καὶ ἄλλα πολλά.

Βασιλῆας λέγει Ἡσίοδος, τοὺς δικαστὰς, καὶ τοὺς ἄρχοντας. οὕτω γὰρ αὐτοὺς ἐκάλουν οἱ παλαιοί. ὡς Ὅμηρος, ἀλλ' ἤτοι βασιλῆες Ἀχαιῶν εἰσὶ καὶ ἄλλοι. Βασιλίδες, ὑπόδημα γυναικεῖον, καὶ αὐλητικόν. Βασιλίζω, τὰ τοῦ βασιλέως φρονῶ.

Ἀφύσσις, ἅρπαστα. Ἀφῦον λιπαίνω ἔλαιον, ἐπεὶ ἐν ὄντω ἕψονται. λέγουσι δὲ Ἀττικοὶ πληθυντικῶς τὰς ἀφύας, ἑνικῶς δὲ οὐδέποτε. Ἀφῶ, ἀντὶ τοῦ ἀφ' οὗ. Δωρικῶς. Ἄφωνα ἐστὶν ἐννέα, β γ δ, κ π τ, θ φ χ. τούτων τρεῖς εἰσι συζυγίαι, ἡ μὲν μία καὶ πρώτη ἐστὶ, γ κ χ. ἅπερ τρία χαρακτηρίζονται ἐν τῷ λάρυγγι. ἡ δὲ δευτέρα συζυγία ἐστὶ, δ θ τ. καὶ ταῦτα χαρακτηρίζονται ἐν τῷ οὐρανίσκῳ. ἡ δὲ τρίτη συζυγία ἐστὶ, β π φ. ἅπερ ἐν τοῖς χείλεσι χαρακτηρίζονται. τούτων δὲ λέγονται ψιλά, οἷον, κ π τ. τρία δασέα, ἤγουν θ φ χ. τρία δὲ μέσα, οἷον, β γ δ. τὸ γὰρ β μέσον ἐστὶ τοῦ π καὶ φ. τὸ δὲ γ, μέσον τοῦ κ καὶ τοῦ χ. τὸ δὲ δ, μέσον τοῦ τ καὶ τοῦ θ. λέγονται δὲ μέσα ταῦτα τὰ τρία, ὅτι τῶν δασέων εἰσὶ ψιλότερα, τῶν δὲ ψιλῶν δασύτερα. καὶ ταῦτα διὰ τὴν ὁμοιότητα ἑαυτῶν τὴν κατὰ φύσιν, εὐκόλως καὶ πολλάκις ἀντ' ἀλλήλων λαμβάνονται. τὰ μὲν γὰρ ψιλὰ μεταβάλλονται καὶ μεταφέρονται εἰς δασέα, ὁπόταν ἐπὶ τῆς τελευταίας συλλαβῆς εὑρεθῶσιν αὐτῶν, τῆς ἑπομένης λέξεως ἀρχομένης ἀπὸ φωνήεντος δασυνομένου, γίνεται ἔκθλιψις. ὡς ἐν τῷ κατὰ ἡμῶν, ἐκθλίψει καὶ ἐκβολῇ τοῦ α, καὶ τροπῇ τοῦ τ εἰς θ, γίνεται καθ' ἡμῶν. ὁμοίως ἐν τῷ ἐπὶ ἡμᾶς, ἐφ' ἡμᾶς, ἐκθλίψει τοῦ ι καὶ τροπῇ τοῦ π εἰς φ, γίνεται ἐφ' ἡμᾶς. τὸ αὐτὸ ἐν τῷ [illegible] ἑαυτὸν εἰ τύχῃ, ἐκβολῇ τοῦ ε καὶ τροπῇ τοῦ κ εἰς χ, πλὴν ἑαυτόν. Σημείωσαι, ὅτι τὸ θ δασὺ, ἀντιστοιχεῖ τῷ ἑαυτοῦ ψιλῷ τῷ τ. τὸ δὲ φ, τῷ ἑαυτοῦ ψιλῷ, ἤγουν τῷ π. τὸ χ δὲ, τῷ κ. ὡς εὔδηλον ἐν τοῖς προειρημένοις τῶν παραδείγμασι. γίνωσκε, ὅτι ἡ μία συζυγία τῶν προειρημένων ἀφώνων, οἷον β π φ, ἐπεὶ τὴν πρώτην συζυγίαν τῶν βαθυτέρων γραμμάτων. ἡ δὲ ἄλλη συζυγία, ἤγουν, γ κ χ, ἐπεὶ τὴν δευτέραν συζυγίαν. ἡ δὲ ἄλλη συζυγία, ἤγουν δ θ τ, ἐπεὶ τὴν τρίτην συζυγίαν. ὁμοίως δὲ τὸ ξ, καὶ διπλοῖ, ἐπεὶ τὴν τετάρτην συζυγίαν. τὰ δὲ τέσσαρα ἀμετάβολα, ἤγουν λ μ ν ρ, ἐπεὶ τὴν πέμπτην. ἡ δὲ ἕκτη συζυγία τῶν αὐτῶν βαθυτέρων γραμμάτων, διὰ τοῦ σ γίνεται. ἰστέον γοῦν, ὅτι τὰ διαληφθέντα προειρημένα γράμματα, λέγονται σύμφωνα, διὰ τὸ συμφωνεῖν τοῖς ἄλλοις φωνήεσιν, ἤγουν τὴν συλλαβὴν ἀποτελεῖν. τὰ δὲ ἐννέα νῦν ῥηθέντα λέγονται ἄφωνα, οὐ διὰ τὸ καθόλου μηδαμῶς ἔχειν φωνήν, ἀλλὰ διὰ τὸ κατὰ τὸ τέλειον τῆς φωνῆς, τούτων ἀναλόγως ἐλαττοῦσθαι ἀπὸ τῶν ἡμιφώνων, ὥσπερ τὰ ἡμίφωνα ἀπὸ τῶν φωνηέντων. Ἐπιστέον, ὅτι τὸ ν μετὰ τὸ κ, ἢ τὸ γ, προσλαμβάνει τὸν φθόγγον τοῦ γ, εἴτε ἐν τῇ αὐτῇ λέξει, οἷον ἐγγίζω, ἀνάγκη. εἴτε ἐν διαφόροις, ἀμέσως καὶ ἀδιακρίτως ἐκφωνουμέναις, οἷον τὸν κύριον, τὸν καιρόν. ἔτι τὸ γ πρὸ τοῦ κ, ἢ πρὸ ἑτέρου γ, ἢ χ, εἴτε τὸ ν, οἷον ἐνεγκεῖν, ἄγγελος. ἔτι τὸ π μετὰ τοῦ μ, ἢ μετὰ τοῦ ν, εἴτε ἐν τῇ αὐτῇ, εἴτε ἐν διαφόροις λέξεσιν ἀμέσως ἐκφωνουμέναις, ἔχει τὸν ἦχον τοῦ β γράμματος λαλεῖσθαι, ὃν οὐκ ἄλλως ἂν εἶχεν, οἷον ἄμπελος. ἐν τῇ αὐτῇ λέξει, ἔμπορος. ἐν διαφόροις δὲ λέξεσιν ἀμέσως καὶ ἀδιακρίτως ἐκφωνουμέναις, οἷον τὸν πάθον, τὸν πόνον. ὁμοίως τὸ τ μετὰ τοῦ μ, ἢ μετὰ τοῦ ν, κρατεῖ τὸν ἦχον τοῦ δ συμφώνου λαλεῖσθαι, ὃν οὐκ ἄλλως ἂν εἶχεν. οἷον, ἀντίχριστος. πλὴν γινώσκειν, ὅτι τὰ αὐτὰ καὶ στοιχεῖα καὶ γράμματα καλοῦνται. ὅτε μὲν γράφονται, γράμματα καλοῦνται. ὅτε δὲ ἀναγινώσκονται, λέγονται στοιχεῖα. Ἄφωνος, ἄφθογγος. Ἀφῶντα, ψηλαφῶντα. Ἀφώρισαι, διεχώρισται. Ἀφωρισμένος, ἐκλελεγμένος, διακεκριμένος. Ἀφωσιωμένα, ἀντὶ τοῦ ὁσίως ἀφωρισμένα.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Χ.

Ἀχαΐα, ἡ Πελοπόννησος, ἡ Ἑλλάς. ὅθεν καὶ Ἀχαιοί. ἐπαρχία δὲ ἐστὶν ἡ Ἀχαΐα, ὑφ' ἣν ὁ Κόρινθος. Ἀχαιὰ ἐπίθετον Δήμητρος, ἀπὸ τοῦ περὶ τὴν κόρην ἄχους, ὅτε ἐπιοῦσα ἀνεζήτει αὐτήν. λέγονται δὲ, ἀγαθά. οἱ δὲ ὄγμα μαλακά. Ἀχαΐα, λύπη. Ἀχαΐζειν, ἑλληνίζειν.

Ἀχαιΐδα, Ἑλλάδα ἔχω, καθὰ καὶ τὸ Ἀχαιικός. τὸ δέ γε Ἀχαιΐδα καὶ Ἀχαιικὸν, ὥσπερ καὶ Ἀχαΐα, πλὴν τις ὕστερον ἀκόλουθον ἔπαθε, τὴν κατὰ ἀκολουθίαν κίνησιν, οἱ ὑπερβάλλουσιν αὐτό. Ἀχαιΐδας, ταῖς Θεσσαλίσιν, ἀπὸ Ἀχαιοῦ τοῦ Φθίου. Ὅμηρος, Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί. καὶ Ἀχαιΐδες, οὐκ ἔτ' Ἀχαιοί. δηλοῖ μὲν τὸ γυναῖκες, οὐκ ἔτι ἄνδρες. λέγεται δὲ παρονομασία ὑπὸ τῶν παλαιῶν. ὅμοιον τῷ, οὐ φίλιππος, ἀλλὰ φιλίππιον κεράτιον τῆς Ἑλλάδος. ἔχει δέ τινα ὁμοιότητα πρὸς τὸν τοῦ Θερσίτου λόγον, καὶ τὸ παρ' Ἡροδότῳ ἐν τοῖς περὶ Ἀρτεμισίας. ὡς οἱ μὲν ἄνδρες γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες γεγόνασιν. Ἀχαιΐνην, παρὰ τῷ Ἀπολλωνίῳ. Ἀχαΐα ἐστὶ τῆς Κρήτης πόλις, ἐν ᾗ γίνονται Ἀχαιΐναι λεγόμεναι ἔλαφοι, αἳ καὶ [illegible] καλοῦνται. εἰ δὲ κέρατα μεγάλα ἔχοντες ἔλαφοι, κεραοί. Ἀχαιΐνης, ἡ ἔλαφος, ἧς σκῦτος ἀμφιδέδρομεν κεστὸν Ἀχαιΐνης. Ἀχαιμένης, ὁ ἥρως, ἀφ' οὗ καὶ οἱ Πέρσαι Ἀχαιμενίδαι. γέγονεν ἥρως Περσίας. ἐνόμισαν δὲ, ἀπὸ τοῦ εἶναι τὸν προπάτορα αὐτοῦ ἀπὸ τῆς Ἀχαΐας. οὕτω Νικόλαος. Ἀχαιῶν κεραῶν, ἐλάφων ἡλικιῶν.

Ἀχαΐνειν, σαίνειν, παίζειν. τῶν ψελλῶν ὧν ἄνθρωποι, ἤγουν οἱ αὐτάδελφοι, ἀχαΐνουσιν. Ἀχαιὸς πόλεμος, τὸ λίαν κυδιωδές.

Ἀχαρὲς, μὴ τερπνὸν, ἀλλὰ λυπηρόν. Ἀχαιοῖς, τοῖς Ἕλλησιν. Ἱστορία. Ξοῦθος ὁ Αἰόλου παῖς ἀγόμενος Κρέουσαν τὴν Ἐρεχθέως θυγατέρα, ἔσχεν ἐξ αὐτῆς δύο παῖδας, Ἴωνα καὶ Ἀχαιόν. ὧν ὁ μὲν Ἴων [illegible], ὁ δὲ Ἀχαιὸς φόνον ἐμφύλιον δράσας, παραγίνεται εἰς Θεσσαλίαν. καὶ κρατήσας τῆς χώρας, τοὺς ὑποτεταγμένους ἀφ' ἑαυτοῦ προσηγόρευσεν. Ἀχαιομάντεις, οἱ τὴν τῶν θεῶν ἔχοντες ἱερωσύνην ἐν Κύπρῳ. Ἀχαιὸς, ἐθνικόν. τετραχῶς λαμβάνονται τὰ ἐθνικά, τετραχῶς. ἐκ πόλεως, ἐξ ἔθνους, ἐκ χώρας, ἐκ βασιλέως. τὸ δὲ Ἀχαιὸς, ἀπὸ Ἀχαιοῦ βασιλέως. τὰ διὰ τοῦ αιος εἰ ἔχοιεν πρὸ τῆς αι διφθόγγου τὸ χ, προπερισπῶνται. οἷον, ἀρχαῖος, βραχαῖος. σεσημείωται τὸ Ἀχαιὸς, καὶ τὸ εὐρυχαιός.

Ἀχαιοὺς ἄρξουσιν, Ἕλληνας πρεσβύτας ἐνταῦθα. τὸ γὰρ Ἀχαιοὺς ἄρξουσι, ταὐτόν ἐστι τῷ [illegible] εἰς θεοὺς Ἀχαιούς. καὶ Ἀχαιοὺς, Ἕλληνας δὲ κοινῶς. πάντες οὖν Ἕλληνες ἐκλήθησαν, ἀπὸ Ἕλληνος τοῦ Διός. πρῶτοι τε οὕτως ἐλέγοντο οἱ ἐν Θεσσαλίᾳ ἄνθρωποι. οὐ μὴν ἅπαντες, ἀλλὰ μόνοι οἱ ἐν Ἑλλάδι τῇ πόλει. ἔπειτα μεγάλα δυνηθέντος τοῦ Ἕλληνος, καὶ τῶν ὄντων παίδων, ἀπ' αὐτοῦ πάντες ἐκλήθησαν Ἕλληνες. Ἀχαιὸς, Συρακούσιος τραγικὸς ποιητής. ἔγραψε δὲ τραγῳδίας δέκα. Ἀχάλκωτα ψίκινα, τὰ φρύγια πυρίνα. Ἀχάνα, κλέμματα. Ἀχάναι, κίσται, περιφερῆ καὶ μέτρα ἦσαν, ἐν οἷς ἀπετίθεντο ἐπισιτισμοὶ τοῖς θεωροῖς. λέγονται καὶ Ἀχαιΐδες παρὰ τῷ κωμικῷ ἐν Ἀχαρνεῦσιν. οὕτω καὶ [illegible], μέτρον [illegible] Περσικόν. Ἀχανί, [illegible].

Ἀχανὲς, ἐπλαμένον. Ἀχάνη, μέτρον ἐστὶ Περσικόν, ὥσπερ ἡ ἀρτάβη παρ' Αἰγυπτίοις. χωρεῖ δὲ μεδίμνους Ἀττικοὺς τεσσαράκοντα πέντε, ὡς μαρτυρεῖ Ἀριστοτέλης. ἄλλοι δέ φασιν, ὅτι κίστη ἐστὶν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι. Ἀχανὴς, ἄφωνος, μὴ κεχηνώς. παρὰ τὸ χαίνω χανὸς, καὶ ἀχανής. Ἄχαξ, κατάχυσις. Ἀλαιὸς, δίχα τοῦ κατὰ τὴν δίφθογγον ι προφέρουσιν οἱ Αἰολεῖς. Ἀχαιοῦνται, ἐπιθυμοῦσιν. Ἄχαρις ὀσμή, ἐν δυσοσμίᾳ. Ἀχαρίζειν, ἀντὶ τοῦ μὴ χαρίζεσθαι. οὕτως Ἀντιφῶν. Ἀχάριστος λέγεται, ὁ ἀπὸ τῶν χάριν. καὶ ἄχαρις ἀπὸ ῥαθυμίας, καὶ ἀχάριστος, ἀναίσθητος, ἄδικος, ἀγνώμων, ἀμνήμων, ἐπιλήσμων, ἔνοχος τοῖς ἀχαριστίας ἐγκλήμασι. καὶ τὸ πρᾶγμα, ἀναισθησία, ἀχαριστία, ἀδικία, ἀγνωμοσύνη. ὡς Ἀντιφῶν, ἀποστέρησις. ὡσαύτως καὶ τὰ ἐπιρρήματα, ἀχαρίστως, ἀναισθήτως, ἀδίκως, ἀγνωμόνως, ἐπιλησμόνως. τὸ δὲ δίκαιον εἶναι, περὶ τοὺς εὐεργέτας εἰδέναι χάριν, ἐκτίνεσθαι χάριν, ἔχειν. ὡς Ὑπερείδης τε, καὶ Λυσίας, διαλύειν χάριν, ἀποδιδόναι, ἀποτίνειν, ἐκτίνειν, ἀπομνημονεύειν, ἀντιχαρίζεσθαι,

τὴν φρήτρην, ἡ δηλοῖ τὴν τριττὺν, ὅ ἐστι, τὸ τρίτον τῆς φυλῆς. ἢ παρὰ τὴν φράτριαν, καὶ τοὺς φράτερας. σύστημα δὲ τοῦτο ἐν Ἀθήναις, τοὺς ἐκπεσόντας ἀποσχιζόμενον, ὥστε φανεροὺς εἶναι ὅτι πολίται εἰσί. καὶ ἔστι ὁ λέγων τοῦτο ἀφρήτωρ, ὡς καὶ ἀνεστίου γέγονεν, ὁ ἄπολις. ἦν δὲ κατὰ τὴν ἱστορίαν καὶ φράτριον τόπος ὠνομασμένος, ἐν ᾧ οἱ τῆς αὐτῆς φρατρίας συνήγοντο. καὶ φατριάζειν ὠφρυνότερον ἔλεγον παρὰ τοῖς ἀττικοῖς, τὸ εἰς ταυτὸ συνιέναι. λέγουσι δὲ καὶ φράτηρ διὰ τοῦ η, καὶ φράτωρ διὰ τοῦ ω, ὁ ἐκ τῆς αὐτῆς φρατρίας. Ἀφρίον, ἀφρῶδες. ὡς τὸ, ἀφρίον κατέβαλεν ἐκπυρίου γένειον. Ἀφρίς, ἀθέριν. Ἀφρίθον, τάλαντον, τὸ ἐκ τῶν ἐλασμάτων τῶν ἱερῶν. Ἀφρίς, μύρτον.

Ἀφρογένεια, ἢ παρὰ τὸν ἀφρὸν, ἢ παρὰ τὸ ἀφραίνειν. ὡς Εὐριπίδης, τὰ μῶρα γὰρ πάντα ἐστὶ γίνεται ἀφροσύνη βροτοῖσιν.

Ἀφροδισία ἄγρα, Σοφοκλῆς Λακαίναις. τόνον τε μάλον, κἀφροδισίαν ἄγραν. οἱ μὲν τοὺς πέρδικας, οἱ δὲ πρὸς τὸν λαθυμὸν ἁρμόζουσι. τῇ δὲ θηλείᾳ παλιδόντος, αἱροῦσιν αὐτούς. λάγνους δὲ χοίρους καθεῖρξαι καὶ ἀγρίους, ἀλλ᾽ οὐ πέρδικας. λέγει οὖν τὴν τῶν συῶν, διὰ τὸ καταφερῆς εἶναι τὸ ζῷον πρὸς συνουσίαν, κάπρον γέ τι καὶ κάπραινειν, ἀπὸ τούτου. δύναται δὲ καὶ τὴν τῶν αἰγῶν γονῶν δηλοῦν. καὶ γὰρ καὶ τοῦτο τὸ ζῷον, λίαν ἐπιθυμεῖ. Ἀφροδισιάζουσι, τὰ τῆς ἀφροδίτης πράττουσιν. Ἀφροδισιάζω, συνουσιάζω, βινῶ, συνειμί, διαπαρθενεύω, ὀχεύω. Ἀφρόδισον, ἡ ἀπαιδευσία, καὶ τὸ ἄξιον ἀπελλασίαν. παρὰ τὸ ἀφορίζω, ἀφορίζιον, καὶ ἀφορίδιον. ὃ κατὰ συγκοπὴν, ἀφρόδισιον, τὸ ἀφορισμοῦ ἄξιον.

Ἀφροδισιεριδίως, ὁ τῆς ἀφροδίτης ἰδιος. Ἀφροδίσιος ὅρκος οὐ δάκνει, παροιμία. ἐπὶ τῶν δι᾽ ἔρωτα ὀμνυόντων πολλάκις, καὶ ἐπιορκούντων. πρῶτος δὲ ταύτης Ἡσίοδος ἐμνήσθη.

Ἀφροδίτη μισηδέως τὴν ἀλέξανδρον εἰκάζεται, πρὸ αὐτῆς, ὅτι ὑπέστησε τὴν ἑλένην παραλογιζομένη τῇ ὁμοιότητι. τοῦτο δὲ φαίνεται παρ᾽ Ὁμήρῳ ἐν ὀδυσσείας δ, ὅτε ἀπεδάκρυσεν ἑλένη. Ἀφροδίτη, ἡ ἐξ ἀφροῦ ἀναδυθεῖσα, τροπῇ διηρέθη. οὕτω καὶ ὁ χιτὼν ἐκ τοῦ χθὼν γίνεται. καὶ ὁ φίτυς ἐπὶ πατρὸς, καὶ ὁ φιτρὸς (ὅ ἐστι κορμὸς) ἐκ τοῦ φύω. καὶ ἐκ τοῦ δύω δύσω, δύσαι, ἡ ὑγρασία. Ἀφροδίτη, φίλερος. Ἀφρόδιτος. Θεόφραστος μὲν τὸν ἑρμαφρόδιτόν φησιν. ὁ δὲ τὰ περὶ ἀματοῦντα γεγραφὼς, παιδικὸν ἄνθρα, τὴν θεὸν ἐσχηματίσθαι ἐν κύπρῳ λέγει. Ἀφροὶ, ἀπόλλυνται. καὶ ἄφροι, οἱ καρχηδόνιοι. ἀπὸ ἄφρου τοῦ λιβύης βασιλεύσαντος. Ἀφρολόγιτον, τὸ φόρον μὴ τελοῦν. Ἀφρονοῦντες, ἄφρονα γενοῦσαι. Ἀφρὸν κυρίως, θάλλον. καὶ ἀφρῶδες δὲ διαχώρημα, ὡς Ἀριστοφάνης, πολὺς δ᾽ ἦμαν κατέτεκ᾽ ἀφρός.

Ἀφροντιστὶ, καὶ ἀφροντίστως οἱ δόκιμοι, οὐκ ἀμφιμερίμνως, οὐδ᾽ ἀμφιμέριμνος ἔχειν. ἀπεριμερίμνως δὲ, ἀντὶ τοῦ ἀσκόπως. Ἀριστοφάνης, ἀπεριμερίμνως τὴν θύραν λελάκηκας. Ἀφροντιστήσας, ἀμεριμνήσας, ἢ ἀμελήσας. ἀπὸ τοῦ ἀφροντιστῶ. τοῦτο παρὰ τὸ φροντίζω, φροντίσω. καὶ πλεονασμῷ τοῦ τ, μετὰ παρωνυμίας, φροντιστῶ καὶ ἀφροντιστῶ. Ἀφροντιστῶ, ἀλογῶ. Ἀφρὸς, ἄφρων, μωρὸς, ἄνους, ἀπὸ τοῦ συγκροτοῦσι καὶ κοπῆς τῶν ὑγρῶν, ἐν τῇ ἐπιφανείᾳ λευκόν. φρὶξ δὲ, ἀφ᾽ οὗ τὸ φρίττειν ἐπὶ τῆς ἐπιφανείας τῆς θαλάττης, ὅταν ὑπὸ τῶν κυμάτων τραχύνηται. διαφέρει δὲ τοῦ ἀφροῦ, τὸ τὸν μὲν ἀφρὸν εἶναι λευκὸν, τὴν φρίκα δὲ μέλαιναν. ὡς παρ᾽ Ὁμήρῳ, μελαίνῃ φρικὶ καλυφθείς. Ἀφρυσὸς, ποταμὸς μαγνησίας. Ἄφρων ἐστι, ἀντὶ τοῦ φαίνεται, νομίζεται. ἄφρων δὲ καὶ ἄνους διαφέρει. ἄφρων μέν ἐστιν, ὁ μὴ τελείως τὴν ὄντως θεὸν, ἀμοιρος τοῦ σοφίας. ἄνους δὲ, ὁ μὴ θέλων συνιέναι τὸ δίκαιον. ὁ τελείως μὲν τὴν θεὸν, περὶ τὰ γήϊνα δὲ μόνον ἐπτοημένος. καὶ μηδὲν οὐράνιον ἐννοῶν. ὥστε, ἐπιτοπὺ ἄφρων καὶ ἄνους ἀπολοῦνται. Ἀφύα, εἶδος ἰχθύων, ἡ ὁ πηλὸς γένεσις, ὅταν ποτ᾽ ἐπομβρίας. συχνὰ καὶ γίνεται μάλα, φύσει ἐστὶ ἀναπνεύουσα γῆς μεταβάλλεται πολλά. οὐδὲν δὲ δέονται τροφῆς, ἀπέχει γενέσθαι ἀγγέλλας περιεχομένων. ἔχει δὲ αὐτῶν, εἴματα λευκά. τὰς δὲ ἄλλων ἰχθύων θέρην, ἥκιστα. συμβαίνει δὲ τὴν ἀφύην τάχιστα ἐψῆσθαι. ὅθεν παροιμία, ἀφύα ἐς πῦρ. ἐπὶ τῶν ταχέως ὅλῃ λαμβανόντων. ἑνικῶς ἀφύα, πληθυντικῶς τὰς ἀφύας λέγομεν. λέγεται δὲ καὶ ἀφρὸς διὰ τὴν λευκότητα. ἔστι δὲ καὶ ἡ παρὰ πολλῶν λεγομένη ἐγγραυλίς. ἢ ἀφθὸν λευκὴ, τὸ ἔλασσον, ἐπεὶ ἐν αὐτῷ ἑψεῖται. καὶ ἀφύας φαληρικὰς, τὰς μεγάλας. φαληρικὸς δὲ, λιμὴν τῆς ἀττικῆς. ἔστι δὲ γένη πλείονα, ἡ μὲν ἀφρῖτις λεγομένη, ἥτις οὐ γίνεται ἀπὸ γόνου, ἀλλ᾽ ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάσσῃ ἀφροῦ, ἢ πολλοῦ ἐλθόντος. ἑτέρα δὲ ἐστὶν ἡ λεγομένη κωβῖτις, ἣ γίνεται ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ φωλευομένων κωβιῶν. ἐξ αὐτῆς δὲ ἕτεραι αἱ ἐγκρασίχολοι καλοῦνται. καὶ ἄλλη, ἥτις ἐστὶ γόνος μαινίδων. καὶ ἄλλη ἐκ τοῦ μεμβράδος. καὶ ἄλλη, ἐκ τῶν μικρῶν κεστρέων. καὶ ἀφύα, μεμβράς. Ἀφυάδου, τὸ ἀφύας χύματί ἐστι, κὸς, παρὰ τῷ ἐπικράτει. Ἀφύαι, αἱ ἐγγραυλεῖς. Ἀφύαι, ὑπτίως κατ᾽ ἀριστερόν. ἔστι δὲ καὶ ὀνόματα ἑταιρῶν γυναικῶν ἀδελφῶν δύο. Ἀφύαι, ἀπολαμπάνονται, παρὰ τῷ ἐπικράτει. Ἀφύη, ἰχθύδιον μικρόν. Ἀφυὴς, ἀμαθὴς, ἄπορος, δυσχερής. ἐκ τοῦ φυὴ, ὃ σημαίνει τὴν τρόπον καὶ τὴν θέσιν. καὶ ἀφυὴς, ὁ ἐκκάτροπος. καὶ ἀφυὴς, ὁ ἀμαθὴς, ἄπειρος, δυσχερής.

Ἀφυΐα, ἡ πρὸς τὰ προκείμενα μαθήματα σκληρότης.

Ἄφυκτα, ἀκαλλώπιστα, πᾶν τὸ μὴ ἔχον φυκάριον. ὃ βάλλουσιν αἱ γυναῖκες πρὸς φιλοκαλίαν, ψιμύθιον. Ἀφύκτως, ὥσπερ αἰθαίως, οὐ οἷόν ἐστιν ἐκφυγεῖν. Ἀφύλλοις, ξηροῖς.

Ἀφύλλου στόματος, ἄνευ ἐκφορίας. Εὐριπίδης. Ἄφυλλον, λεῖον, ξηρὸν, ἄσκιον, ψιλόν. Ἄφυλλος, αὐχμώ. οἱ δὲ ἄτροπον. Ἀφύλλωτον πέτραν, ἄκρον, ἀδενδρον, οἷον λεωπετρίαν.

Ἀφύξιν, ἀπαίτησιν. Ἀφυσάμενοι. δόλῳ ἀφυσάμενοι, ὅ ἐστιν ἀρυσάμενοι, ἢ ἀντλήσαντες. ἔστι καὶ ὀφθαλμικὴ χρῆσις ἐν τῷ ἤφυσε χαλκὸς, καὶ ἐν τῷ πλοῦτον ἀφύξειν. ἐκ δὲ θέτον λεῖον, ὅτι διαφέρεται ὁ μέλλων τοῦ ἀφύσσων. ἀφύξω τὸ γὰρ ὡς ἀρπάξω. ὁ ἀφύσσω, ὡς ἁρπάσσω. ἐξ οὗ τὸ ἀφύξειν, καὶ ἤφυσε, καὶ τὸ ἀφυσάμενος. Ἀφύσσειν, τὴν κοτύλην. γλωττῆναι. Ἀφύσγετον, τὸ ἐλυῶδες καὶ συρφετῶδες. παρὰ τὸ ἀφύω (ἀφ᾽ οὗ τὸ ἀφύσσω, ὡς ὑλάω, ὑλάσσω, ὀλύω ὀλύσσω) γίνεται ἄφυγετος (ὡς νέω νηκτός) καὶ πλεονασμῷ τοῦ σ, ἀφύσγετος. ἢ παρὰ τὸ φύγω φυκτὸς, ὡς ἔχω ἑκτὸς, καὶ κατ᾽ ἔνδειαν τοῦ σ, φυκτὸς καὶ ἄφυκτος. Ἀφύσαι, ἀπαντλεῖ. Ἀφύσσειν, ἐκ τοῦ ὕειν γίνεσθαι δοκεῖ. ἀφ᾽ οὗ καὶ ὁ ὑετός. ὅταν μὲν γάρ πως εἰς πίθον, ἢ ἀμφορέα, ὁ πλορῶν ὕσῃ. ἀφύσει δὲ, καὶ ἀφύσσει, παραγώγως ὁ ἐκχέων, ὅτι ἐξαντλῶν, ὅτε μέν τι ἐκ πηγῆς ἀφύσσεταί τι ἕτερα, ἐπεὶ καὶ ἀπὸ τοῦ στερέσθαι τῆς συμφυΐας αὐτὰ, ἡ λέξις ἐτυμολογεῖσθαι λέγεται. καὶ ἀφύσσειν, τὸ ἐκ πηγῶν τι ἀντλεῖν. Ἀφυσμὸς, ἀπάντλησις. Ἀφύσσω, κοτύλη, κάδος. Ἀφυσχίσαι, βραδῦναι. Ἀφύσσεσθαι, ἐπὶ τοῦ λαοῦ ἀντλουμένου κυριολεκτεῖται. ὡς δηλοῖ τὸ, ἀφυσσάμενοι μέλαν ὕδωρ. ἀλλὰ ἐν τῷ φύλλα ἀφύσσεσθαι, ἡ τροπὴ οὐκ ἔστιν ἔξω λόγου. τίθησι τὴν λέξιν καὶ ἐπὶ οἴνου ὁ ποιητὴς, ἐκπεπωκότων τῆς κυλίκος διὰ πληγῆς. οἷον ἔνθα ἤφυσεν ὁ χαλκός. καὶ φασὶν οἱ παλαιοὶ, γίνεσθαι αὐτὸ ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ φύω, φύσω, ἀφύσω, τὸ τῆς συμφυΐας ἀποστερῶ. Ἀφύσσειν, τὸ ἀπαντλεῖν καὶ ἐκκενοῦν. ἐξ οὗ φασὶ καὶ τὸ λαφύσσειν. γίνεται δὲ ὅθεν ἐκ τοῦ ὕω τὸ βρέχω, οὗ σημασία τὸ ἀφύσσειν κυρίως, τὸ ἐκ τοῦ ὕειν τὸ ἐπιρρεῖον. ἢ ἐκ τοῦ φυσᾶν. ἐξ οὗ καὶ ἡ φύσις, ὡς οἷον φύσησις. ἵνα ἡ ἀφύσσειν, τὸ ἀφύσαντα καὶ κενὸν ἐᾶν τὸ ὑποκείμενον, ἐκ μεταφορᾶς τῶν ἀσκῶν, ἢ διὰ τὸ στερεῖν τοῦ κατὰ φύσιν ἔχειν. ἀκύρως δὲ ὁ ποιητὴς τὴν ἐκ κυλίκος χύσιν τοῦ οἴνου, ἐξαντλῆσαι ἀπείκασεν. οὕτω δὲ καὶ πλοῦτον ἀφύσσειν ἀλλαχοῦ εἶπε, τὸ ὡς ἐκεῖνος ὑπὲρ καλότητος ἐξαντλεῖν. Ἀφυσσάμενοι, ἐκ τοῦ ἀφύσσω, μέλλων ἀφύξω. ἀφύσσω δὲ σημαίνει, τὸ ἀπὸ ἑτέρου ἐπιρρέοντος ἀπαντλεῖν, καὶ ἀπαρύεσθαι.

Ἀφύτριον

τὸ ἐφίσταμαι, καὶ τὸ πλαχωρῶ. συντακτέον ἄμεινον ἂν δοκοίη εἰς τὸ ... ἀφίσταμαί σοι τοῦ ἀγροῦ, ἀντὶ τοῦ παραχωρῶ σοι. καὶ ἀφίσταμαι ... παχωρῶ. Ἀφίσταμαι, τὸ μακρὰν καὶ πόῤῥω γίνομαι. Ἀφίσταται, τὸ ὑπομένει ἢ ἀνέχεται, καὶ δέχεται. καθὸ καὶ Πίνδαρος, Χρυσέας ὑποστάντες ... πολέμου κίονας. ὑφίσταται καὶ τὸ ὑπισχνεῖται καὶ ἐπαγγέλλεται. καὶ ἀφίστασθαι, οὐ λέγεται ὡρισμένον ... τὸ μὴ ἀπτόμενον ἐστι, εἴτε πολὺ κεχώρισται τούτου, εἴτε ὀλίγον. Ἀφίστασι, σταθμῷ παραδιδοῦσιν. Ἀφίστων, ἀπέτρεπον, ἀπεκώλυον. Τοὺς δὲ βαρβάρους τῆς πολιορκίας ἀφίστων οἱ φρουροί. Ἀφλαίνω, σπουδαίως. Ἄφλαστόν φασιν, οὐχὶ τὸ ἀκροστόλιον. διαφέρουσι γὰρ αἱ λέξεις. ἀλλὰ κατὰ Δίδυμον, ὡς φησι Παυσανίας, τὸ ἐπὶ πρύμνης ἀνατεταμένον εἰς ὕψος, ἐκ κανονίων πλατέων ... πλατέος ... ἐκ τούτου συνίσταται, ὅπουθεν τοῦ κυβερνήτου ... κατὰ τὰ νεῶς. καὶ ποιοῦσι μὲν τὸ ἄφλαστον ... τῆς μεγάλης: φλάσαι, ἤγουν θλάσαι, κατὰ Διονύσιον ... ἀκροστόλιον δέ φασι, τὸ ἀπὸ τῆς πρύμνης ἀνατεῖνον ξύλον, ἐπὶ τῶν πρώρων. περὶ οὗ καὶ αὐτό φησιν ὁ Δίδυμος, ὅτι τὸ λεγόμενον ἀκροστόλιον ἐστιν, ἄκρον τοῦ στόλου. στόλος δὲ, τὸ ἀπὸ τοῦ λεγομένης τραχήλου ξύλον πλατύ. πηχὺ δὲ ἐστιν, ὅπου οἱ τε ὀφθαλμοὶ ζωγραφοῦνται. καὶ τὸ τῆς νεὼς ὄνομα ἐπιγράφεται. Ἔνιοι δὲ, καὶ τὸ στόλον καὶ ... λέγειν, στόλον φασίν. Ἄλλως. Ἄφλαστον ... ἐν ταῖς λέξεσιν ... ἄφλαστον, τὸ ἀκροστόλιον, οὐκ ... ἀκροστόλιόν ἐστι τοῦ στόλου. στόλος δὲ λέγεται, τὸ ἐξέχον ἀπὸ τοῦ τραχήλου, καὶ διῆκον ἄχρι τοῦ πρώρας ξύλον. πηχὺ δὲ λέγεται, ἐπὶ τοῦ ... ἐπιγράφεται ὄνομα. ἐστιν οὖν ἀκροστόλιον τὸ ἄφλαστον, κατὰ τῶν πρώρων. ἀπὸ ... πρύμνης: λέγων, ἤγουν δὲ πρύμνηθεν ἐπὶ λαβεῖν, οὔτι μὲν ἄφλαστον μετὰ χερσὶν ἔχων. καὶ εἴρηται ἄφλαστον κατὰ συγγένειαν τοῦ φ πρὸς τὸ θ, θλαστόν, κατὰ ἀντίφρασιν, ἐπεὶ εὔθλαστόν ἐστιν. ἔστιν οὖν ἄφλαστον, τὸ ἰδίον κατὰ τὴν πρύμναν. καὶ ἄφλαστα, εἶτα ἄφλαστα καὶ φύονται ὀρθούμενος, τὰ ἀκροστόλια τοῦ νεώς. κατ' ἀντίφρασιν. εὔθλαστα γὰρ κατὰ μετάθεσιν τοῦ θ εἰς φ. ... λέγεται καὶ κορωνίς, καὶ ὁ ἐπὶ τοῦ ... θύρας. καὶ τὸ ἐν ... βιβλίοις ἐπικειμένης σχῆμα, ὅτι σημεῖον ποιοῦμεν. Διαφέρει δὲ ... ἄφλαστα μὲν λέγονται, τὰ πρυμνήσια. κόρυμβα δὲ, τὰ ... Ἀφλιτροῦ, μακροὶ, ... Ἀφλοισμὸς, ὁ ἀφρὸς, κατὰ ... γίνεται δὲ κατὰ τοὺς παλαιοὺς, ... τοῦ ἀφρισμός ... μεταβολῇ καὶ πλεονασμῷ ... ὁ ... τὸ φλέω φλοισμός, καὶ ἀφλοισμός. ὀξύνεται δὲ, ὅτι τὰ ... συλλαβὰς ἔχοντα ... ὀξύνεται ... ἀφλισμός. Ἀφλοῦς, ἀφλοίο. Ἀφλοισμὸς, ἀφρός.

Ἀφνειὸς, πλούσιος. ... ἀφνειὸς λέγεται. ... ἐκ τοῦ ... παρὰ Ξενοφῶντι ... ὁ ... τοῦ ... Ἄφενος, πλοῦτος. παρὰ τὸ ἄφενος ... κατὰ συγκοπὴν ... τούτου γίνεται ... ἄφνω ... Ἀφνίδια, ... ἄφνω. Ἀφνιδίως, ἀκίνδυνον. Ἀφνω, ἀφνιδίως, ἐξαίφνης. Ἄφνω. παρὰ τὸ ἀφανὲς ὄνομα γίνεται ... ἄφανω, καὶ κατὰ συγκοπὴν καὶ ... ἄφνω. καὶ ἄφνω, ἐξαίφνης, ἐξαπίνης, αἰφνίδιον, ἐξαπίνατον, ἐξαπιναίως, ... σημαίνει ... καὶ ... ἀπροσδοκήτως ... καὶ ... ἄφνω χωρὶς προθέσεως, ἐξαίφνης μετὰ προθέσεως.

Ἀφοβία, ἕξις καθ' ἣν ἀνέκπληκτοί ἐσμεν πρὸς φόβον. Ἀφοβία ... ἄφοβος, ... ἐπειδὴ καὶ ὁ φόβος (ὥς φασιν) ἐν τοῖς σπλάγχνοις ἐστίν. ἢ ὅτι ... τοῖς σπλάγχνοις, ... ὁ φόβος γίνεται. Ἀφόδιοι, ἰχθροί. Ἀφοδεύσας, ἀναχωρήσας. Ἄφοδος, ἡ ἔξοδος τοῦ ... γινόμενος. ἔστι δὲ καὶ ἡ ἀναχώρησις διαλύσιμ. ἄφοδος δὲ, ἡ ἐπάνοδος. Ἀφοίβαστον, ἀκαθάρτον. Ἀφοιδῶν, μὴ φροντίζειν. Ἀφοίνιξ, ἄφοινος, ... Ἀφοιμὸς, ἀφρός. Ἀφοίτητος, τελείως ἐξίταλον καὶ ἀλάλιμον. καὶ οὖν λίτρον λίτραν, ἢ λίτρα ἀφρόν. τῆφον τὸν αἰολικὸν ... Ἀφόλιθος ... λίτρον. Ἀφόλισθον, ἀπόλυτον.

Ἀφοπλίζεσθαι, ἀφαιρεῖσθαι. Ἀφοπλίζονται, ἀπολύονται στρατείας. Ἀφόρδιον, ἡ ἀκαθαρσία, καὶ τὸ ἄχρειον. Ἀφόρητον, ἀβάσταχτον, ... Ἀφορία, βλάβη τῶν καρπῶν τῆς γῆς, ἀκαρπία. Ἀφόριος, θρασύς, ἄπιστος. Ἀφορίζεται, μονοῦται, ἰδιάζεται. καὶ ἀφορίζεται λέγει κύριος. Ἀφορμὴ, ὅταν ὡς ἀργύριον δῶ τις, ἀφορμὴ καλεῖται ἰδίως παρὰ τοῖς Ἀττικοῖς. Ἀφορμὴ ἐμοὶ τῶν λόγων ἐκεῖνος γέγονεν. Ἀφορολόγητον, τὸ μὴ τελοῦν φόρον. Ἀφοροῦντες, ἀποβλέποντες.

Ἀφόρμιον, ἄμισον. Ἄφορτος, οὐκ ἐπιζήμιος τῶν λυκοφρίων ... Ἀφος, ἡ ... Ἀφοσιούμεθα, τὸ ὅσιον ποιούμεθα. Ἀφοσιοῦν, καθαίρειν. Ἀφοσιοῦνται, πληροῦνται. ὅσιος, ὁσιῶ, ἀφοσιῶ. Ἀφοσιοῦται, τὸ πληροῖ, ἀπὸ τοῦ ὅσιος, ὁσιῶ. καὶ ἀφοσιῶ, τὰ νομιζόμενα ἐπὶ τῇ ταφῇ πληροῦσαι. καὶ ἀφοσιοῦμαί σε τὸ χρέος. Ἀφοσιώσασθαι, καθάρασθαι, ἢ φυλάξασθαι, ἢ τὴν ὁσίαν ποιῶν, ἢ τὴν κάθαρσιν, ἢ τὴν ἐπὶ τῷ θανάτῳ μνήμην. ὅσιον λέγεται τὸ καθαρὸν, τὸ ὀφειλόμενον, ἢ ὁ μᾶλλον ἀφοσιούμενοι ἐμποιοῦσι. ἢ τὸ ὅσιον καὶ τὸ καθαρὸν καὶ τὸ ὀφειλόμενον ποιοῦσι. καὶ ἀφοσιοῖ, τὸ καθαίρει. Ἀφοσιώσασθαι, τὸ ὅπως δὲ ποτε ἀπολύσασθαι, καὶ θεραπεῦσαι τὸ ὀφειλόμενον.

Ἀφοσιούμενοι, τὸ ὑποκρίσει ... λιμῶντες. Ἀφοσιουμένου, ἀπόσιον, ὅπουθεν τοῦ ὅσιον γινομένου. Ἀφοσιώσαντο, ἀπήρξαντο ὁσίαν χάριν. Ἀφοσίωσις, θυσία, καθίερωσις. Ἀφοσιωσόμεθα, τὸ ὅσιον καὶ πρέπον ποιήσομεν.

Ἀφοῦντα, φυλαφοῦντα. ἀπὸ τοῦ ἀφῶ, ἀφάω ἀφῶ, ἀφῶντα. καὶ πλεονασμῷ τοῦ ο, ἀφόωντα. Ἀφραδίαις μανιώδεσι, ἤγουν κακοφράδμοσι, καὶ κακοβούλοις. ἔστι δὲ ἀφραδίαι ἀνομάσας, οὓς μὴ νοήματα, μὴ δὲ λογικὰ, ... τῷ φρονεῖν τὴν διανοητικὴν ἀκολουθίαν. Ἀφραδέες παρὰ κατὰ τοὺς παλαιοὺς, οἱ ἄφρονες, καὶ ἀθώρακες. ἢ οἱ ἀσώματοι, τουτέστι φρένας μὴ ἔχοντες, αἵ εἰσι κρυμασῶσι τοῦ ἥπατος. ἢ ἄλλως, ἀφραδέες, παροί ... πρὸς ... τοῦ ... ὡς ... ἐκλίπωσι.

Ἀφραδία, ἐχθρὰ, πολέμια, ἀδιαμάλακτα, μωρά. Ἀφραδίως, κακοβούλως, καὶ ἀνοήτως. Ἀφραδία, ἡ ἀπηνὴς ἐχθρα, παρὰ τὴν ἀπὸ πρόθεσιν, καὶ τὸ ἀδὲν. ἡ ἀπορία, ἀμηχανία. Ἀφραδίαν φησὶν ὁ Ἀπολλώνιος, τὴν ἀβουλίαν. Ἀφραδίησιν, ἀβουλίαις, ἀφροσύναις. καὶ ἀφραδέοντα, ἀσυνετοῦντα. καὶ ἀφραδέως, ἀνετῶς, ἀσυνέτως, ἀπείρως. Ἀφράδμων, ἀσύνετος, ἀμαθής. Ἀφράζω, ἀφραίνω, ἀσυνετῶ. παρὰ τὸ ἐν κακράτει. Ἀφραίνω, μωραίνω, παρανοῶ, παραφρονῶ. ἐκ τοῦ φρὴν φρενὸς φρένω, καὶ ἀφραίνω. καὶ ἀφραίνοντα, ἀφρονοῦντα, μωραίνοντα. Ἄφρακτος φίλων, οὐ περιφραγμένος καὶ τετειχισμένος τοῖς φίλοις, ἀλλὰ τὸ ἀπατηθέντα καταλειφθέντα.

Ἄφρακτος, ἀφύλακτος. Ἀφράκτοις εἰκόσι, τὰς μὴ ἐχούσας περιβολάς. Ἄφρασον, ἀνεκλάλητον, ἄῤῥητον. Ἀφράστως, ἀσυνέτως. Ἄφρασον, ἀνεπινόητον. ὥστε μηδένα νοῆσαι, ἀνεκλάλητον, ἀνεκδιήγητον, ὃ μὴ φράζομεν, ἄλεκτον. Ἀφρασία, ἀσυνεσία, χεῖλος ... Ἀφρασίου, ἰσχυρός. ... Ἀφρασμός, ἡ ... ἀφρὸν ... ἀφρὸς ... Ἀφρήτωρ, ὁ συνδέων ... καὶ ἀφρήτωρ, ἀθέμιτος, ἀνέστιος ἐστιν ... ὃς πολέμου ἔραται ἐπιδημίου ... ἄπολίς ἐστι, ... μήτε οἶκον ἔχων, ὃς ἐμφυλίω πολέμω ... γίνεται δὲ κατὰ τοὺς παλαιοὺς ὁ ἀφρήτωρ, ἢ παρὰ ...

καὶ λέγουσιν ἀττικῶς. Διηγοῦμαι δὲ κοινῶς. ἀφήγημα δὲ καὶ διήγημα, ἀμφοτέρως κοινῶς γράφεται. Ἀφηγούμενος, μεταφορικῶς. Ἀφῆκα, ἀόριστος πάντοτε διὰ τοῦ κ γράφεται. ἐκ τοῦ ἵημι, μέλλων ἥσω, ἀόριστος πρῶτος ἧκα. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀφῆκα. ἔστι τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ἀφῆκαν.

Ἀφῆκε βέλος, ἀντὶ τοῦ ἐπεμψεν. φασὶ δὲ ἀφῆκεν, ἀντὶ τοῦ ἐξέπεμψε. μέλος δὲ ἀφῆκεν, ἐπὶ κιθάρας, ἀντὶ τοῦ ἤχησεν. καὶ ἀφῆκεν εἰς τὸ πέλαγος, οὐκ ἐφῆκεν. Ἀφηκὶς, εὐηθῶς. Ἀφήλατο, ἀπήλατο, ἐκ τοῦ ἅλλομαι. Ἀφηλικέστερον, ἀντὶ τοῦ πρεσβύτερον λέγουσιν ἴωνες. Ἀφῆλιξ, τὸν πρεσβύτην. ὡς δὲ χρῶνται τῇ λέξει, ἐπὶ τοῦ μηδέπω τὴν ἔννομον ἡλικίαν παιδός. ὅπερ δεῖ φυλάττεσθαι. Ἀφήλικες, οἱ τὴν ἥβην μὲν ὑπερβεβηκότες, ἔτη δὲ τὰ εἴκοσι πέντε οὐκ ἔχοντες, ὧν προΐσταντο οἱ κουράτορες.

Ἀφῆλιξ, λέγουσιν οἱ ῥήτορες. τοὐναντίον γὰρ, ὃ δεῖ χρῶνται. τὸν μὲν γὰρ πρεσβύτερον, ἤπερ ἀφήλικα. οἱ δὲ ἐπὶ τοῦ μηδέπω τῆς ἐννόμου ἡλικίας χρῶνται. Ἀφήμαρτεν, ἀπέτυχεν. Ἀφ' ἡμείων, ἀφ' ἡμῶν. Ἀφήμενος, πόῤῥω καθήμενος. Ἀφημιάσας, ἀχρειώσας. Ἀφημίζεσθαι, αἰθρίζεσθαι. Ἄφημοι, ἀνώνυμοι, ἀκλεεῖς. Ἀφήμονες, ἄῤῥητοι, οὐκ ὀνομαζόμενοι. Ἀφημοῦντας, ἀχρειοῦντας. Ἀφ' ἡμῶν, ἀπόθεν ὑμῶν. Ἀφήμως, ἐν κόσμῳ, ἡσυχῇ. Ἄφηνα, ἔκοψα. Ἀφῆναι, τὸ τὰς ἐπιδεσμένας τρίχας ταῖς χερσὶ ῥῖψαι. Ἀφηνιάζειν ἐστὶ, τὸ σκληρύνεσθαι, καὶ ἄποθεν τοῦ εὐθείας ὁδοῦ εἶναι. γίνεται ἐκ τοῦ ἡνίον, ὃ σημαίνει τὸν λῶρον, ἡνιάζω, καὶ ἀφηνιάζω. Ἀφηνιάζειν, ἐχθρίζειν. Ἀφηνιαστὴς, ἀνυπότακτος, ὑπερήφανος. Ἀφηράκην, μακράν. Ἀφηρέθην, ἐκ τοῦ ἀφαιροῦμαι πεπονθέναι ὀφείλει εἶναι, ἀφῃρέθην. ζήτει τὸν κανόνα ἐν τῷ καθῃρέθην. Ἀφήρημαι, ἐστέρημαι. Ἀφήρηνται οἱ ὀφθαλμοὶ ἐκείνου, καὶ ἐκείνου.

Ἀφ' ἧς, ἀπολύσεων ἄλλως, ἐξ ἧς. Ἀφήψασθαι, ἅψασθαι.

Ἀφήσειν ἐς τὸ αἰγαῖον ἡμᾶς φασίν. οὕτως ἀμεταβάτως, ἀντὶ τοῦ ἁπλῶς πλεύσειν ἡμᾶς εἰς τὸ αἰγαῖον. καὶ μεταβατικῶς, ἀφῆκε τὴν ναῦν εἰς τὴν θάλασσαν. Ἀφήτωρ, ὁ ἀπόλλων, ὅτι ὁμηφήτωρ. ὁμοίως πᾶσι προφητεύων, ἢ μαντευόμενος ἢ τι ἄλλο, καὶ πλησίον. ἢ τροπικὸς, ἀπὸ τοῦ βελῶν ἀφέσεως. Ἀφήτορος, προφητεύοντος, ἢ τοῦ τοξότου. Ἄφθα, ἡ ἐν στόματι ἕλκωσις, τὸ δὲ αὐτὸ καὶ φθόη. Ἀφθέγκτος, ὁ βαρέως ἐσθίων. Ἀφθιτον, ἄφθαρτον, θεῖον, ποιητικῶς νῦν πέπλασαι. τὸ μὲν ἀθάνατον, ἐπὶ ἐμψύχων οἱ φιλόσοφοι τάττουσι. τὸ δὲ ἄφθιτον, ἐπὶ ἀψύχων.

Ἄφθιτος γνώμας, ἀμετάστροφος. Ἀφθονία, πλῆθος, καὶ εὐπορία. Ἄφθονον, πολὺ, καὶ πλούσιον. Ἀφθόνως, ὅσον ἅλις. Ἀφιᾶσι, τὸ ἐλευθεροῦσι, καὶ πέμπουσιν. ἐκ τοῦ ἵημι, τὸ τρίτον τῶν πληθυντικῶν, ἱεῖσι, καὶ ἱᾶσι. καὶ ἀττικῇ συναιρέσει, ἰᾶσι. καὶ ἀφιᾶσι, καταλιμπάνουσιν. Ἀφίγμεθα, ἵκω, ἵξω, ἷχα, ἷγμαι. καὶ τὸ πρῶτον τῶν πληθυντικῶν ἵγμεθα, καὶ ἀφίγμεθα.

Ἀφιγμένος, παραγεγονὼς, παραγινόμενος. Ἀφιδρύσας, ἀφοσιώσας. Ἀφίδνα, δῆμος αἰαντίδος φυλῆς. ὅθεν ἀφιδναῖος. Ἀφίδρυμα, ἱερὸν, τὸ εἰς τὸν ναὸν εἴδωλον. Ἀφιδρύματα, τὰ τῶν θεῶν ἀγάλματα. Ἀφίει, ἐκ τοῦ ἰῶ περισπωμένου ῥήματος. ὁ παρατατικὸς, ἵην ἵεις ἵει. καὶ συνθέσει, ἀφίει. Ἀφίει παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀφίει, ὅπως ἀφίημι, ὁ παρατατικὸς ἀφίην, ὡς ἐτίθην. τὸ τρίτον, ἀφίει. λέγεται μὲν οὖν ἀφίει, ἐπὶ φωνῆς, καὶ βέλους, καὶ τοῦ ἀπολύειν, καὶ τοῦ καταλιμπάνειν τι ἐν διαθήκαις. ἀφίει, ἀνεκούφιζεν. ὤφελε γὰρ ἀφίει εἶναι, ἀντὶ τοῦ ἀπέπεμπεν.

Ἀφίεμαί σοι τοῦ χρέους, ἀντὶ τοῦ ἀπολύω. ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ἀφίεμαί σοι, ἀντὶ τοῦ ἐλευθεροῦμαί σου. ἀφίεμαί σου, ἀντὶ τοῦ ἀφίσταμαί σου. Ἀφίεμεν, ἀφίετε. ἐκ τοῦ ἵημι, τὸ πρῶτον τῶν πληθυντικῶν, ἵεμεν ἵετε, καὶ ἀφίεμεν ἀφίετε. Ἀφίεναι, ἀπὸ τοῦ ἵημι τὸ πέμπω καὶ ἀπολύω, κατὰ μετάθεσιν καὶ συναίρεσιν ἀφιέναι. Ἀφ' ἱερῶν. οὕτως ἔλεγον γραμμὴν ἱερὰν, ἀπὸ τῆς πετεύσεων. Ἀφιερωμένα, περιεσκεπασμένα. Ἀφιερῶσαι, καὶ οὗτος φαβωρῖνος, οἱ δὲ καθιερῶσαι. Ἀφιερωμένοι, οἱ τῷ θεῷ ἀνακείμενοι. Ἀφιέρωσεν, ἀνέθηκε τῷ θεῷ. Ἀφιζάνει, ἀπανίσταται τῆς καθέδρας. Ἀφίζειν, ἀποκαθίζειν. Ἀφίημι λέγεται, ἀντὶ τοῦ ἰῶ, καὶ ἀπολύω. οἷον ἀφίημί σε ἐλεύθερον. καὶ ἀντὶ τοῦ καταλείπω. οἷον, ἀφίησι τις βίος ἑαυτοῦ ἐν διαθήκαις τόδε. καὶ ἀντὶ τοῦ πέμπω, οἷον ἀφίημι βέλος. καὶ ἀντὶ τοῦ καταγινώσκω τι ἑκὼν, ὃ εἰργόμενος ὑπό τινος καταλιμπάνω αὐτό, οἷον ἀφίημι τὴν τοῦ λόγου ἀπολογίαν, εἴργουσι γάρ με τὰ πράγματα. καὶ ἀφίημι τὴν ἐπιθυμίαν τῆς τροφῆς. Ἀφίημι, παραιτοῦμαι, παραλιμπάνω, ἰῶ, ἐθίημι, προΐημι, λείπω, ἀπολείπω, καταλιμπάνω. Ἄφθιτον, κυρίως τὸ ἀπαθὲς καὶ ἄϊδιον, καὶ ἀνυπόφθαρτον. ἄφθιτον ἐστι, τὸ ὑφ' ἑτέρας οὐσίας βλαβῆναι μὴ δυνάμενον. ὃ τὸ κατὰ πάντα ἄφθαρτον. καὶ ἀπαθὲς, καὶ ἄτρωτον. τὸ δὲ τοιόνδε σῶμα τοῦ Χριστοῦ καὶ πέπονθε καὶ ἐτρώθη τοῖς ἥλοις καὶ τῇ λόγχῃ. καὶ αἷμα καὶ ὕδωρ ἐξήνεγκε, καὶ ἐκ ζῶντος νεκρὸν γέγονε. λοιπὸν ἡνίκα ἀκούσῃς διδασκάλου λέγοντος ἄφθαρτον τὸ σῶμα τοῦ Χριστοῦ ὑπάρχειν πρὸ τοῦ σταυροῦ, νόει ὅτι κατὰ τὴν φθορὰν τῆς ἁμαρτίας λέγει τὸ ἄφθαρτον, ὅ ἐστιν ἀμίαντον. καὶ οὐ κατὰ λοιπὰ πάντα ἴσα καὶ ὁμοιότητα τῶν ἡμετέρων σωμάτων. Ἀφίας, ὁ λίθος. τὸ α ἐπιτατικόν. Ἄφιτον, τὸ ἄφθαρτον. Ἄφιτα, τὰ μὴ φθειρόμενα, καὶ τὰ πολλά. Ἀφικάνει, παραγίνεται.

Ἀφικέσθαι, ἀντὶ τοῦ ἐλθεῖν. ἐφικέσθαι δὲ, ἀντὶ τοῦ φθάσαι. ἀριστοφάνης, ὡς τάχιστ' ἀφικόμεσθα πρὸς τὸν θεόν. Ἀφ' ἱκετηρίας, ἀπὸ τοῦ καταφυγόντων, καὶ λόγου τυχόντων, οὕτως ἔλεγον.

Ἀφίκευ, παραγίνου. Ἀφικλῶντ, ἀπεστάλησαν, ὃ ἐκοιτάσθη.

Ἀφικνεῖται, ἐνεστὼς ἐκ τοῦ ὑπισχνεῖται. ἀφίκεται δὲ, καὶ ὑπόσχεται, ὑποτακτικά. οὐ γὰρ εὑρίσκεται ἐπὶ ἐνεστῶτος ἀφίκεται ἢ ὑπόσχεται, οὐδὲ ἀφίκομαι καὶ ὑπόσχομαι, ἀλλὰ ἀφικνοῦμαι ἢ ὑπισχνοῦμαι. Ἀφικνοῦμαι, ἐπὶ ἐνεστῶτος. καὶ ἐφικνοῦμαι, ἐφ ὑπισχνοῦμαι. καθικνοῦμαι δὲ γενικῇ συντάσσεται. οἷον, καθικνοῦμαι τῆς κεφαλῆς τῇ ῥάβδῳ. καὶ ἐπὶ ἀορίστου, ἀφικόμην. ἀλλὰ μετὰ τοῦ ἄν, ἐὰν ἀφίκωμαι. καὶ ἐπὶ μέλλοντος ἀφίξομαι, καὶ ἐφίξομαι. ἀφίξομαι, ἀντὶ τοῦ ἐλεύσομαι. ἐφίξομαι δὲ, ἀντὶ τοῦ ἅψομαι, καὶ ἀφικνοῦμαι, καὶ βαδίζω πρὸς τὴν πόλιν, ἢ ἐξ αὐτῆς σημασίας ἔχονται, οἷον πορεύομαι, ἔρχομαι, φοιτῶ, παραγίνομαι, βαίνω, ὁρμῶ. Ἀφικνούμενος, παραγινόμενος. Ἀφιγμένου, παραγινομένου. Ἀφικόμην, ἀφίγμαι. Ἀφίκται, παραγέγονε. καὶ ἀφιγμένος, παραγενόμενος. Ἀφικτὸν, ἀπότροπον, μισητόν.

Ἀφίκτωρ, τὸν ἱκέσιον Δία. Ἀφικτὸς, ἀνόσιος, μιαρός. Ἀφίκω, παραγένου. ἥκω, ὁ παθητικὸς ἀόριστος ἀόριστος ἱκόμην, ἵκου, καὶ ἀφίκου. Ἀφιλέταιρος, ὁ ἐχθρωδῶς πρὸς ἑταίρους διακείμενος. Ἀφιλής, καθαρός, ὑγιής, ἀλώβητος. Ἀφιλία, ἀκροβυστία. Ἀφιλοκτήμονες, ἀκτήμονες. Ἀφιλότιμος, ταπεινός. ὃ ὁ μὴ ἐπὶ τοῖς καλοῖς, οἷς πράττει, ἐπαινεῖσθαι βουλόμενος. Ἀφιμαροῦνται, ἀπολύουσι. Ἀφινάξει, ἀφίξεται, παραγένηται. Ἀφίξαι, μετὰ μὲν δοτικῆς συντάσσεται, οἷον ἀφίξασθαι, ἀφίξας γελῶν, ἀφίξας γελάσων. ἢ δοτικῇ ὅτε συντάσσεται. οἷον, ἀφίξαι ἡμῖν, ἢ ἀφίκετο ἡμῖν τὸ δεινόν. ποτὲ δὲ μετὰ τῆς πρὸς προθέσεως. οἷον, ἀφίκετο πρὸς ἡμᾶς ὁ ἄνθρωπος. καὶ ἀφίκετο ὡς τὸν θεὸν, ἰσοδύναμον τῷ ἀχθόμενος πρὸς τὸν θεόν. Ἄφιξις, ἔλευσις, ἔφοδος, παρουσία. Ἀφίξομαι καὶ ἥξω ἢ μετ' ἄριστον, μαθησόμενος τὴν τέχνην. Ἀφίππως, ἀπείρως ἔχοντας ἱππικῆς. Ἀφ' ἵππων μάχεσθαι, καὶ ὅθι χρὴ πεζὸν ἰόντα, παραινέσεις ἐστὶ παραφρασικὰ δὲ ἐπιόντας, καὶ πεζοί. ὅπλον δὲ, ὡς ὁ ἀφ' ἵππων μαχόμενος, ἱπποκαῦρμας λέγεται. ἤγουν, ὁ ἀφ' ἵππων μαχόμενος, ἢ καὶ ἵπποις χαίρων. Ἀφίσαμαι, ἀπέχω, ἀπαλλάττομαι.

Ἀφίσαμαι, τὸ ἀπέχω. συντάσσεται γενικῇ. οἷον ἀφίσαμαι τοῦ ἔργου, ἢ τῶν πραγμάτων, ἀντὶ τοῦ μακράν εἰμι. ἀφίσαμαι, καὶ

ἀπαλλάξας. Ἀφεὶς, καὶ ἀπαλλάξας. τὸ μὲν ἀφεὶς, ὅταν ἑκὼν τις ἐκ τῶν ἐγκλημάτων ὧν ἐνεκάλει αὐτῷ. τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι, καὶ μηκέτι ἐγκαλεῖν. Δημοσθένης ἐν τῇ πρὸς Φορμίωνα παραγραφῇ. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὅτι ἀφίησι μὲν ὡς αὐτὸν μόνον, ὧν ἂν ἐγκαλῇ. ἀπαλλάττει δὲ, ὅταν μηδὲ ἄλλον ἐᾷ λόγον ὑπολείπηται ἑαυτοῦ πρὸς τὸν ἐγκαλούμενον. Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ. εἰ ἀπηλλάγη ὡς αὐτῷ γίνεται παρ᾽ ἡμῶν κυρία.

Ἀφέσω, ἐκ τοῦ ἵημι, ὁ μέλλων, ἥσω, ὁ παρακείμενος, εἷκα, ὁ παθητικὸς, εἷμαι, εἷσαι, εἷται. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀφεῖσαι. Ἀφέσθαι, ἀφίημι, ὁ μέλλων ἀφήσω. ὁ παρακείμενος ἀφεῖκα, ὁ παθητικὸς, ἀφεῖμαι, σαι, ται, καὶ τὸ ἀπαρέμφατον, ἀφεῖσθαι. Ἀφέσιος, ἱερὸς, τοῖς ἱκέταις ἀνατεθειμένος. Ἀφελάγνος, ἁπλοῦς. Ἀφέλειαν, οὐ μόνον ἐπὶ ἀφελότητος οἱ παλαιοὶ ἐτίθεσαν, ἀλλὰ καὶ ἐπὶ μεγαλείου λόγου, καὶ εὐλεξίας. ὡς ἐν ῥητορικοῖς δηλοῦνται λεξικοῖς. Ἀφελὲς, συνηγμένον, καθαρόν. Ἀφελὴς τόνος, ὁ ὁμαλός. Ἀφελέσθαι, λέγεται ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Ἀφελεῖν, ἀπὸ τοῦ ἕλω τὸ λαμβάνω, ἐν συνθέσει ἀφέλω. ὁ παθητικὸς ἀφέλομαι, τὸ πληθυντικὸν ἀφελόμεθα, τὸ δεύτερον ἀφέλεσθε.

Ἀφελὰς, ὁ εὔπεπλος, ὃν οὐκ ἔλαι διὰ τῶν εὐπλοίων. σημαίνει καὶ τὴν ὑγιᾶ τὸ σῶμα, παρὰ τὸ μηδενὸς ἀφαιρεῖσθαι τοῦ σώματος. Ἀφελλίας, μέλανος ἀλφός. Ἄφελμα, τὸ κάλλυντρον.

Ἀφελομένη, ἑταίρας. Ἀφελοῦνται, ἀποστεροῦνται.

Ἀφελοῦμαι τὰ σὰ βέλη, ἤγουν ἐκ σοῦ λήψομαι. Ἀφελχθεὶς, κωλυθεὶς, ἐμβαλεῖν ἀπέλαξ, εἶπε. Ἀφελὼν πεδίον, ἀντὶ τοῦ ἀπελάσας, κατὰ αἴφνης. Ἄφεμα. ἐκ τοῦ ἵημι, ἵεμαι, εἷμαι, εἷμαι, ἧμα. καὶ συνθέσει, ἄφεμα, τὸ ἀπόσπασμα. Ἀφέμενον, ἀποστάντα, ἀντιλέγοντα. Ἀφέμενος, ἐάσας, συντάσσεται δὲ μετὰ γενικῆς. Ἄφενος, ὁ ἀπὸ τῆς ὥρας τοῦ ἐνιαυτοῦ ἀθροιζόμενος πλοῦτος, τὸ αὐτὸ καὶ βίος. ἀφ᾽ οὗ βιοῖ ὡς δηλοῦται. λέγεται δὲ καὶ ὁ ἄφενος ἀρσενικῶς. καὶ τὸ ἄφενος, οὐδετέρως, ἀφ᾽ οὗ ἀφνειὸς, ὁ πλούσιος. καὶ ἄφενος κατὰ τοὺς παλαιοὺς, ὁ δι᾽ ὀλίγου συναγόμενος. πλοῦτος δὲ, ὁ διὰ πολλῶν ἐτῶν, εἰσὶ πολυετὲς ὤν. γίνεται δὲ ἄφενος, ὡς τοῖς πλείοσι δοκεῖ, ἀπὸ τοῦ ἕνω, ὅ ἐστι χρίω. ὅς εἰ καὶ παρ᾽ ἡμῖν ψιλοῦται, ἀλλὰ παρὰ τοῖς παλαιοῖς ἐνδασύνεσθαι λέγεται. τοῦ δὲ ἕνω παρὰ τὸ ἕω τὸ πληρῶ, ἤτοι τελειῶ, ἐξ οὗ καὶ ὁ ὅλος. τελεσφόρος γὰρ κατὰ τοὺς παλαιοὺς ὁ ἐνιαυτός. ἢ παρὰ τὴν ἕνωσιν τῶν τεσσάρων ὡρῶν, καὶ τῆς κατ᾽ αὐτὰς ἐργασίας. ἢ καὶ ἄλλως, παρὰ τὸ εἷς ἑνὸς, ἵνα κατὰ τὴν ἰδίαν καὶ αὐτὸς ὢν βοῦς, μόχθος, μονήρως. βοῦς μὲν, διὰ τὸ κατὰ βόας ἔργα ἐκ τῆς γεωργίας. μόχθος δὲ, διὰ τὸ ἀεὶ πάσχειν, ἐφ᾽ οἷς ποιεῖ. μονήρως, διὰ τὸ μοναδικὸν καὶ ἐπικρατέστατον κατ᾽ ἐνέργειαν τοῖς μηχανικοῖς καιροῖς. ἔτι ἰστέον, καὶ ὡς διαφέρεται ἄφενος κατὰ τὸ γένος. καὶ Ὅμηρος μὲν, οὐδετέρως προάγει αὐτὸ, λέγων ἄφενος πλοῦτόν τε φέρειν. εὕρηται δὲ παρά τισι καὶ ἀρσενικῶς ὁ ἄφενος.

Ἀφέξω, ἀποκωλύσω, ἀποστήσω, παύσω. ἐκ τοῦ ἔχω, ἀπέχω, ἀφέξω. Ἀφέξομαι, παύσομαι. Ἀφέξονται, παύσονται. Ἄφερος, ἄφενος. Ἀφέξω χεῖρας, ἀντὶ τοῦ κωλύσω. ἀπ᾽ ἐναντίας τὸ ἀπέχειν ἐστὶ, πρὸς τὸ προσέχειν. εἴπερ ἀπέχειν μὲν, τὸ πόρρω εἶναι. προσέχειν δὲ, τὸ ἐγγὺς ἔχειν. Ἀφέψημα, ἀνάθεμα, ἀφιερωμένον. Ἀφέρεια, ἄχρηστα. Ἀφέριστος τόκος, ὁ ἀπαλλαγής. Ἀφερνίσαι, βαδίσαι. Ἀφετὸν, οἷον ἀφερτὸν δὲ ὁ ἀπὸ τοῦ φέρω, γίνεται φερτὸς, καὶ φερτόν. καὶ ἀφερτὸν ἐκ δὲ τοῦ φερτὸς, προσφερέστερος, τὸ συγκριτικὸν, καὶ προσφερέστατος.

Ἀφέρτερον, ἥσσον. Ἀφερτέρες, πολυφερτέρες, ταχυτέρες. Ἀφέρτερος, ἀφόρητος. Ἄφες. ἵημι, ὁ μέλλων ἥσω. ὁ δεύτερος ἀόριστος ἧν, ἡ μετοχὴ εἷς ἕντος, καὶ τὸ προστακτικὸν ἕς. ὁ κανών. πᾶσα μετοχὴ εἰς ς λήγουσα διὰ τοῦ ντ κλινομένη, τὸ τέλος τῆς γενικῆς τρέπον εἰς ει, τὸ προστακτικὸν ποιεῖ. χωρὶς τοῦ ἕς, θὲς, καὶ δός. Ἀφέσθη, ἀποχέεσθαι. Ἄφεσις, ἀπόλαυσις, συγχώρησις. καὶ ἄφεσις, καὶ ὕσπληγξ, ὅθεν ἀφίενται οἱ ἵπποι εἰς τὸν δρόμον. λέγεται καὶ γραμμὴ, καὶ βαλβὶς, περὶ ὃ καὶ ἕστηκεν νύσσα, καὶ καμπτήρ. ἵνα δὲ παύονται, τέλος, καὶ τέρμα, καὶ βατήρ. ἔνιοι δὲ καὶ βαλβίς. Ἀφέσιος Ζεὺς, ἐν Ἄργει τιμᾶται.

Ἀφεσταίη, κακώτερον ἐσχημάτισται. καὶ ἔστι μὲν κοινὸν τὸ σύνθετον ἀπὸ αὐτοῦ, τὸ ἀποσταίη. τὸ μὲν γὰρ ἀφεσταίη, φίλτερον Ὁμήρῳ, οἷα παλαιότερον. ἰστέον δὲ, ὥσπερ τὸ τέτλαθι, καὶ τὸ τετλαίη, σύστοιχα. ὡς τὸ οὐδ᾽ ἄν μοι γε τετλαίη, καὶ κενὸς περὶ ἰὼν, καὶ ὡς ἕστα ἰδέσθαι, οὕτω καὶ ἕσταθι ἑσταίη, καὶ ἀφεσταίη. ὧν τὸ μὲν ἕσταθι χρῆσις ἐκ τῆς Ὀλυμπίας. τὸ δὲ ἀφεσταίη, ἐκ τῆς Ὀδυσσείας. Ἀφεστακέναι, ἀποστῆναι. Ἀφεστάναι, καὶ ἀποστῆναι διαφέρει. ἀφεστάναι μὲν λέγεται, ὅταν πλεῖστον ἀπέχωσι. ἀποστῆναι δὲ, τὸ κεχωρίσθαι τῇ γνώμῃ πλησίον ὄντας. Ἀφεστᾶσιν, ἑστήκασιν. καὶ ἐν συγκοπῇ, ἑστᾶσιν, καὶ ἀφεστᾶσιν.

Ἀφέστατε, ὡς ἀπὸ τοῦ ἀφεστήκατε, διὸ καὶ δασύνεται. καὶ ἀφέστατε, ἄπωθεν καὶ χωρίς. ἑστήκατε οὖν, καὶ κατὰ συγκοπὴν, ἕστατε. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀφέστατε. Ἀφέστηκα, ἐμακρύνθην. Ἀφετὸς, ἀγαθός. Ἀφ᾽ ἑστίας ἀρχόμενος, ἤγουν ἐκ τῶν προσηκόντων, ἢ ἐκ τῶν οἰκείων. μετῆκται δέ φασιν ὁ λόγος ἐκ τῶν ἱερῶν. ἔθος γὰρ ἑστίᾳ πρώτῃ ἀπάρχεσθαι, ἀπὸ τῆς ἑστίας δὲ γίνεται ἑστιᾶν. ὅπερ κατὰ τοὺς παλαιοὺς οἱ Δωριεῖς ἱστᾶν λέγουσιν.

Ἀφ᾽ ἑστίας ἀρχόμενος. ἐν ταῖς ἀποστολαῖς ἀφ᾽ ἑστίας ἄρχονται, καὶ οὕτως ἐκ τῶν θεῶν. ὡς ἐν Κωμῳδίᾳ εἶπεν ὁ Φερεκράτης, φάσκων, ἐπεὶ γὰρ τῶν Χερρονησιτῶν μέλλει δικάζειν, ὁ φεύγων δουλείαν καταδικάζειν ὡς φιλέλληνας. ἐπὶ δὲ παροιμία, τὸ ἀφ᾽ ἑστίας ἄρχου. μετενήνεκται δὲ, ἀπὸ τῶν τὰ ἱερὰ θυομένων. τῇ γὰρ ἑστίᾳ τὰς ἀπαρχὰς ἔθος ἦν ποιεῖσθαι. μῦθον δὲ συνῆπτον ἄριστον, οὕτως ἔχοντα. μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχὴν, τὸν Δία δεξάμενον τὴν βασιλείαν ἐπιψηφίσαι ἑστίᾳ λαβεῖν, ὅτι βούλοιτο. τὴν δὲ, πρῶτον μὲν παρθενίαν αἰτεῖσθαι. μετὰ δὲ παρθενίαν, ἀπαρχὰς θυομένων αὐτῇ εἶναι πρώτῃ παρὰ τῶν ἀνθρώπων. κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Πλάτων ἐν Εὐθύφρονι, βουλοίμην ἄν, ὦ Σώκρατες, ἀλλ᾽ ὀρρωδῶ, μὴ τοὐναντίον γίνηται. ἀτεχνῶς γὰρ ἀφ᾽ ἑστίας δοκεῖ μοι ἄρχεσθαι κακουργεῖν τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν. Ἀφέστιος, ὁ ἔξωθεν τῆς οἰκίας. καὶ ἀφ᾽ ἑστίας, ἀπὸ τῆς οἰκίας. Ἀφετὸς, ἀφειμένος. Ἀφέται, τόπος ἐν Θεσσαλίᾳ. ἔνθα ὁ στόλος τοῦ Ξέρξου ἐναυάγησεν, διὰ λιμένα ἀνεκτὸν καλούμενον. Ἀφεῖσαν, ἀφήκασιν. Ἀφετηρία, ἀρχὴ, ἡγεμονία. ἡ ἡ ἀρχὴ τοῦ ἱπποδρόμου. καὶ ἁπλῶς, πᾶσα ἀρχὴ, ἢ τὸ κάγκελον.

Ἀφετήριον, τὸ πετροβόλον ὄργανον. Ἄφετοι, οἱ ἱερόδουλοι, καὶ ἀπολελυμένοι. Ἀφεθεὶς τὴν πρᾶξιν, Ἀριστοφάνης. ἀντὶ τοῦ φλογισθείς. Ἀφεύξομαι, παύσομαι. Ἀφεὺς, ἀλόητος.

Ἀφεψάλου, ἀπὸ σπινθῆρος λαμπροῦ. Ἀφεψεῖν, βλάπτειν ἔξω. Ἀφεψιασάμην, ἀφωμίλησα. Ἀφέωκα, ἀφεῖκα, ἐλλείψει τοῦ ι, καὶ πλεονασμῷ τοῦ ω. Ἀφέωνται, ἐκ τοῦ ἀφεῖνται ἀφέωνται. καὶ πλεονασμῷ τοῦ ω ἀφέωνται. ἀφίημι, ἀφήσω. ὁ παρακείμενος, ἀφεῖκα, ὁ Ἀττικὸς ἀφέωκα. οἱ γὰρ Ἀττικοὶ ἡνίκα πλεονάζουσι τὸ ι κατὰ τὸν παρακείμενον, τότε καὶ τὸ ἐπαγόμενον φωνῆεν τρέπουσιν εἰς ω. ὁ παθητικὸς ἀφέωμαι, τὸ τρίτον τοῦ πληθυντικοῦ ἀφέωνται. Ἀφὴ, ψηλάφησις, ἡ χεὶρ, καὶ ἡ χροιὰ τοῦ λέπρου. καὶ αὐτὴ ἡ αἴσθησις. Ἀφηβῆσαι, γεράσαι.

Ἄφηλος, ἀπαθής. Ἀφηγεῖσθαι, ἡγεῖσθαι, προηγεῖσθαι. ταῦτα ἐπὶ προλήψεως ἐν διαλέξει λαμβάνονται, παρὰ τοῖς ὕστερον. Ἀφηγῇ, ἄρχῃς. Ἀφηγούμενον, ὁ ἀφηγούμενος ὁδοῦ, ὁδηγός. Ἀφηγητὴς, ὁμοίως. Ἀφήγησις, διήγησις, τὸ αὐτὸ καὶ ἀφηγοῦμαι, καὶ διηγοῦμαι. ἀντὶ τοῦ ἐξέρχομαι. ἀφήγημα, καὶ διήγημα. Ἀττικῶς μέντοι δεῖ χρῆσθαι, ἀφηγοῦμαι. ἀφήγησιν δὲ κοινῶς, καὶ διήγησιν

Ἀφανὴς οὐσία, καὶ φανερά. ἀφανὴς μέν, ἡ ἐν χρήμασι καὶ σώμασι καὶ σκεύεσι. φανερὰ δέ, ἡ ἔγγειος. Λυσίας ἐν τῷ πρὸς Ἱπποθέρσιον. Ἀφανίαν, σκοτεινὴν ἐσιάσεως. Ἀφανίζεται, ἀντὶ τοῦ ἀπόλλυται, καὶ φθείρεται διόλου. καὶ ἀφανίζεται τὸ κρυπτόμενον, καὶ μὴ φαινόμενον. καὶ ἀφανίζεται, ἀντὶ τοῦ ἀφανὴς ἐπὶ καιρὸν γίνεται. Φιλόστρατος ἐν εἰκόσιν, Οὐχ ἁπλῶς ἀπόλλυται, ἀλλ' ἀφανισθεῖσαν μίαν ἡμέραν. καὶ ἀφανίζει τις τόλμη, ἐπὶ τῶν δύο τούτων συμπιπτομένων. Ἀφανίζω, κρύπτω, ἐξαλείφω, ἀμαυρῶ, ἀπαλῶ, ἀπόλλυμαι, ἀποκόπτω, φθείρω, λυμαίνομαι, καταλύω, ὄλλω, ὀλλύω καὶ ἀπολλύω, κατακοπτω, καταστρέφομαι, τέμνω, κρύπτω, καὶ ἀφανίζω, αἰχμαλωτεύω. Ἀριστοφάνης, ὁ θεὸς δ' εὐθέως ἠφάνισεν αὐτήν, ἄγραν ἀφανῆ ἐποίησεν. Ἀφανίσαι οἱ παλαιοί, οὐχὶ τὸ μολῦναι ὡς οἱ νῦν, ἀλλὰ τὸ τελέως ἀφανῆ ποιῆσαι. Ἀφάνναι, χωρίον τῆς Δαμάρατος φυλῆς, πόρρωθεν. Ἄφαντον, ἀφανές, ἀθεώρητον, μὴ φαινόμενον. ἀφανῆ, μὴ ὁρώμενον. καὶ ἄφαντον φῶς, τὸ ἐκ πυρίτου λίθου. ὡς τό, ἀλλ' ἐν πέτραισι πέτρον ἐκθλίβων, μόλις ἔφην' ἄφαντον φῶς. Ἀφανιστεύομαι, στρατεύομαι. καὶ ἀφανῆ. Ἀριστοφάνης, Τοὺς ἀηστρίας ἡμῶν ταχὺ τόνους ἐν ξύλῳ δήσαντας ἀφανεῖ, κακῶς λαθεῖν βούλεται. Φυτίον, ὁ κλίνων.

Ἀφάπτειν, προσκολλᾶν. Ἄφαρ, ἐπίρρημα μεσότονον, παρὰ τὸ ἅπτω ῥῆμα. σημαίνει τὸ ταχέως, ἢ εὐθέως, καὶ ἅμα τῷ ἅψασθαι γενόμενον. ἀφ' οὗ καὶ Ἴωνες οἱ ἐφίστει ἀφαρεὶ λέγουσι, τὸ ἀσκέπτως καὶ ἀπόνως ποιεῖν τι, ἢ φθέγγεσθαι. ὅπερ ἰωνικῶς ψιλούμενον σημαίνει τίθεσθαι. τὸ ταχέως, οἷον ἄφαρ δέ σε Παλλὰς Ἀθήνη, ἔγχει ἐμῷ. τὸ πρόχειρον, καὶ παράχρημα. ὡς τό, ἄφαρ δ' ἐχθρὸν ἀκούσαν εἰσὶ καὶ ἡμῖν. τὸ αἰφνιδίως, ὡς τό, ἄφαρ ἐκ τρώων ἐλασαιμένου χαῖον ἔπεσε. τὸ ῥαδίως, ὡς τό, ἄφαρ δὲ οἱ ἄγγελος ἦλθεν.

Ἄλλως. Ἄφαρ, αἰολικὸν ἐπίρρημα, καὶ τὸ αἶψα. ὧν μία ἡ παραγωγή. καὶ ταυτὸν σημαίνουσι. τὸ μὲν γὰρ ἐκ τοῦ ἅπτω ἅψω, τὸ δὲ, ἐκ τοῦ ἅψω ἤγουν παρακειμένου. ἔστι γὰρ αἶψα καὶ ἄφαρ, τὸ ταχὺ καὶ ὡς εἰπεῖν συναπτῶς. ἄφαρ, ὅ ἐστι ταχὺ καὶ εὐθέως. οὕτως ἐτρίβη πρὸς κατεσπευσμένα τῶν ἀπὸ συνηθείας. ὥς τι ἦν τοῦ πολλῶν, τὸν αὐτοσχέδιον ζωμὸν ἀφαρόζωμόν φασιν. ὥς τινες εἶπον ταχύζωμον, εὐθύζωμον. καὶ ἄφαρ κρέα καὶ τελέθουσιν, ἀντὶ τοῦ εὐθύς. ἅμα τῷ γενέσθαι, καὶ τούτων φασὶ προβαλλομένων, παρ' Ὁμήρῳ ἐν ὀδυσσείᾳ.

Ἄφεδρον, ἐλεύθερον. Ἀφεῖ, τὸ ἀποπλανωμένως, καὶ ἀπὸ γενικῆς πως τι ποιεῖν. Ἀφεῖσι, ἀφιᾶσι, ἀνιμῶνται. Ἀφετὸς, οὗτος ἐπὶ τὴν χώρας ἱερός. ἐνεμήθη δὲ ἡ Σωκράτης. καὶ ἀφετός, ὁ ἥρως. καὶ ἀφετὸς, τοῦ θηλυκοῦ ἐστι τὸ ὑπὸ τῇ γαστρὶ περιφύσιον. Ἀφειδέστερον, ἄχαστον, ἀθυσίαστον. Ἄφαρκτος, ἀφύλακτος.

Ἀφάρμακον χρῶμα, τὸ ἀπὸ ἄνθους. ἄνθη γὰρ τὰ φάρμακα, καὶ τὰ βαφὰ φθαρμακεύοντα Σοφοκλῆς ἔφη. Ἀφάρμακον, ἀπὸ τοῦ χρῶματος, ἀντὶ τοῦ ἀμαρτοῦ. Ἄφεσι, ἀνιμῶσι, ἀπολύουσι. Ἄφεσον, ἀνίασον. Ἀφαρέουσιν, ἀντὶ τοῦ ἀροτριῶσιν. Ἀφάροτος, ὁ ἀναρότριαστος γῆ. φάρος γὰρ ἡ ἀροτρίασις. ἢ παρὰ τὸ φάρσαι, ὅ ἐστι σχίσαι. καὶ γὰρ βοῦς εἰς δύο μέρη κεχωρισμένας χηλὰς, διαφόρους φαμέν. Ἀφαρτέρον ἵπποι, τουτέστι ταχύτεροι, ἀπὸ τοῦ ἄφαρ τὸ εὐθέως. Ἄφαρτος, πολύς, ἄριστος βοηθός. Ἀφάρυμος, ἄτιμος. Ἀφέρυτος, ἀνεφέρετος. Ἀφὰς λύχνον, Ἡρόδοτος λέγει. Ἀφάσσειν, ψηλαφᾶν, παρὰ τῶν ἀφῶν.

Ἀφάσσε, ψηλαφήσας, παρὰ τὸ ἁπλοῦ ἀφή. ἀφῶ ἀφάσσω, καὶ τῇ ἀφῇ ὑποβάλλω. ὡς μάθω μαθάσσω. καὶ ἀφάσσειν ὁμοίως.

Ἀφασία, ἀφωνία, ἔκστασις, εἴρησις, σιωπή, ἀπορία, ἀμηχανία.

Ἀφασσόμενος, ψηλαφῶν. Ἀφάσσειν κεῖσθαι παρὰ Ἀνακρέοντι, ψηλαφῶν. Ἀφαυαίνει, μαραίνει, θλίβει. Ἄφατον, τὸ ἀμύθητον καὶ ὑπὲρ τὸ μέτρον, ἤγουν πλεῖστον, ἄφατον, καὶ ἄρρητον, καὶ ἄλεκτον. περὶ οὗ οὐ δύναταί τις εἰπεῖν, ἀλέγοντον.

Ἄφατος, ὡς φρόνιμος, παρὰ τῷ Ἀριστοφάνει, ἀφάτως φησὶ καὶ μεγίστως φρονῶν, ἢ ἀντὶ τοῦ μεγάλως. Ἀφανιστεύομαι, στρατεύομαι. Ἀφαυρά, ἀσθενῆ, ἀμαυρότερα, ἢ κουφότερα.

Ἀφαυρός, ἀσθενής, ἀγαν παυρός. ἢ ὀλίγος κατὰ δύναμιν. ἢ παρὰ τὸ φῶ τὸ λέγω, ὁ μέλλων φάσω, γίνεται φαδὸς. καὶ μετὰ τοῦ στερητικοῦ α ἀφαδός. καὶ πλεονασμῷ τοῦ υ, ἀφαυρὸς, ὁ μὴ δυνάμενος διὰ ἀσθένειαν λέξαι. ἢ παρὰ τὸ φῶ τὸ φαίνω, γίνεται παράγωγον φάω, οἷον φάε δὲ χρυσόθρονος. καὶ ἐξ αὐτοῦ, φάρος ὄνομα. καὶ κατὰ στέρησιν, ἄφαρος. καὶ πλεονασμῷ τοῦ υ, ἀφαυρὸς, ὁ ἀφανὴς καὶ ἀλαμπής. Ἀφαυρότατος. Ὅμηρος, καὶ οὐ μὲν ἀφαυρότατος βάλεν ἀχαιῶν. νοητέον ἐξ ἐναντίου τὸ καὶ ὁ ἀνδρειότατος. εἴωθε γὰρ ὁ ποιητὴς ἐν πολλοῖς τῇ ἀποφάσει, ἀντεισάγειν τὸ ἐναντίον. ἐκεῖνον καὶ τό, Οὐδ' ἄρα τώ γε ἰδὼν γήθησεν Ἀχιλλεύς, ἀλλὰ δηλαδὴ ἐλυπήθη, διὸ καὶ ἐδάκρυσε. τοιοῦτον καὶ τό, οὐκ ἐχολώθη θυμῷ ζευς, ἀλλὰ δηλονότι ἐχάρη. Ἀφάψας, ἐνδύσας, κρεμάσας. Ἀφάψαι, προσκολλῆσαι, συνδῆσαι, μῖξαι.

Ἀφέλιτος ἡμέρα παρὰ Λάκωσιν, ἐν ᾗ θύουσιν. Ἀφεδρῶ, ἀποπατῶ. Ἀφελεῖν, ἀναιρεῖν. Ἀφεδρεῦσαι, ἐπὶ λέχρου κατεῖναι. Ἀ, ἔφη, ἀκαθαρσία. Ἀφελῶς, ἁπλῶς, ἀπλάστως, συντόμως, ἀπραγμόνως. Ἀφέα, ἐκ τοῦ ἀφῶ, ἀντὶ τοῦ πέμψω, κατὰ πλεονασμὸν συνέβη τοῦ ε, ὅ καὶ ἥσι ἔφη ὁ ποιητής. οὕτως ἐν τῷ ἀφίενται πλεονάζει τὸ ε. Ἀφεθῆναι, ἀπολυθῆναι. Ἀφέθεσαν. ἀφίημι τὸ συγχωρῶ, ὁ μέλλων ἀφήσω, ὁ παρακείμενος ἀφεῖκα, ὁ παθητικὸς ἀφεῖμαι, ὁ ἀόριστος ἀφείθην. καὶ ἀποβολῇ τοῦ ι ἀφέθην, ὡς παρέθην. Ἀφειδὴς, ὁ ἀνελεήμων. Ἀφειδής, μὴ φεισάμενος, ἢ παριδὼν, ἢ καταφρονήσας. Ἀφειδέστερος, ἀφροδισιαστερος. Ἀφειδία, καρτερία. Ἀφεῖεν, συγχωρήσειεν. Ἀφεῖκα, τὸ ἀπλοῦν. τὸ δὲ ἀφίημι, δύσερον.

Ἀφεικὼς, μετοχὴ. καὶ ἀφεικέναι, ἀπαρέμφατον, ἐκ τοῦ εἶκα παρακειμένου. τὸ δὲ εἶκα, ἐκ τοῦ ἵημι τὸ πέμπω. Ἀφελάμην, καὶ ἀφείλατο, οἱ λέγοντες ἁμαρτάνουσιν. δέον λέγειν διὰ τοῦ ο ἀφελόμην, καὶ διὰ τοῦ ε ἀφείλετο. τὸ γὰρ ἁπλοῦ ῥήματος ἕλος ἑλόμην εἷλε, ἐξ ἀνάγκης ὁ σύνθετος ἐφύλαξε τὰ βραχέα, τό, τε ε, καὶ τὸ ο. μόνος οὖν ῥητέον, ἀφελόμην ἀφείλετο. Ἀφείλατο. ὅσοι διὰ τοῦ α λέγουσιν, ὀχλωδοῦσι. δέον διὰ τοῦ ε λέγειν, ἀφείλετο. καὶ ἀφειλόμην δεῖ λέγειν διὰ τοῦ ο, καὶ μὴ διὰ τοῦ α. Ἀφεῖλεν, ἦρεν, ἐκόψεν. Ἀφείλετο, οὐκ ἀφείλατο. καὶ προείλετο, καὶ πάντα τὰ ὅμοια. ἐφ' ὧν καὶ τὸ δεύτερον πρόσωπον διὰ τῆς ου συλλαβῆς, καὶ τὸ πρῶτον διὰ τοῦ ο. ἐφ' ὧν δὲ τὸ πρῶτον διὰ τοῦ α, τὸ μὲν δεύτερον διὰ τοῦ ω, τὸ δὲ τρίτον πάλιν διὰ τοῦ α. οἷον, ἐπεισησάμην ἐπεισάσω ἐπεισάσατο, ἐγραψάμην ἐγράψω ἐγράψατο. ἐπὶ δὲ τῶν πρώτων, εἱλόμην εἵλου εἵλετο, ἠρόμην ἤρου ἤρετο. Ἀφείλοντο, ἀφείλοντο, ἥρπασαν, ἀπέσπασαν. Ἀφίεμαι, ἀντὶ τοῦ ἀπολύομαι. καὶ ἀφίεσαι, καὶ ἀφεῖται, καὶ ἀφειμένος, καὶ ἀφεῖθι χάριτας, καὶ γίγνεται συνταάσσεται. κανονίζεται δὲ τὸ ἀφίεμαι, εἰ μέν ἐστιν ἐπὶ ἐνεστῶτος, οὕτως. ἵημι τὸ πέμπω, καὶ ἀπολύω. καὶ ἀφίημι, τὸ παθητικὸν ἀφίεμαι. καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, ἀφεῖμαι. εἰ δὲ ἐστὶν ἐπὶ παρακειμένου, οὕτως. ἕω τὸ ἁπλοῦν, ὁ μέλλων ἥσω, ἧκα. ὁ παρακείμενος εἷκα, καὶ αὐτὸς ἧκα. ὁ παθητικὸς εἷμαι καὶ ἀφεῖμαι. ἡ μετοχὴ ἀφειμένος. καὶ ὁ ἀόριστος ἀφείθην ἀφείθης ἀφείθη. ὡς τὸ ἐρρίφθη, καὶ ἐλέχθη. Ἀφεμένοι ξένων, ἤγουν ἀπαλλαγέντες. Ἀφεμένοι, καὶ ἐπὶ πάθους καὶ ἐπὶ ἐνεργείας λαμβάνονται. οἷον ἀφεῖμαι, ἀντὶ τοῦ ἀφείθην. καὶ ἀφεῖμαι, ἀντὶ τοῦ ἀφῆκα. καὶ ἀφεῖται, ὡς θεῖται.

Ἀφεῖναι τὸ ἀπολῦσαι ἐγκλήματος. καὶ ἀφεῖναι, τὸ τὰς ἐπισημαίνεσθαι κριθὰς ταῖς χερσὶ τρίβειν. Ἀφέντες, προέντες, ἀμελήσαντες. περὶ φέρομαι, πάντα δὲ φρονῶν οἱ ἀφέντες. Ἀφεὶς δὲ ὑπόγραφον, τὸν πόδα λιπὼν, Ὑπερίδης ἐν τῷ περὶ τοῦ ταρίχους πρώτῳ. παροιμία ἐπὶ τοῦ παριόντων τὰ σπουδαιότερα, καὶ περὶ τὰ φαῦλα διατριβόντων. ὑπόγραφον δέ εἰσι, πολυποδῶν χεῖραι, αἷς μετάγεται τὸ κέρας. καὶ ἀφεὶς, ἀπαλλάξας.

Αὐτόφλοιον, αὐτόλοπον. Αὐτοφόνῳ, ἑαυτὸν ἀπολέσαντι.

Αὐτοφορβὸς, ὁ αὐτοφάγος. ἐξίωξε δὲ λίαν βούλεται διὰ τὴν αὐτὸς ἀνωνυμίαν, ἥτις βούλεται τὰ εἰς ος λήγοντα ἐν τῇ συνθέσει. ὡς τὸ, αὐτόνομος εἶναι βούλομαι ἢ σύμμαχος. Αὐτοφορβεῖ, αὐτοδιακονεῖ. Αὐτοφυέστατον, μὴ ἐπίπλαστον ἔχοντα κάλλος, ἀλλ' αὐτοφυὲς ὄν. Αὐτόφωρος, ὁ ὑφ' ἑαυτοῦ ἐξελεγχόμενος· καὶ ἐπ' αὐτοφώρῳ ἁλοὺς ὤν. Αὐτόχειρ, καὶ ὁ ἑαυτὸν ἀπολλὺς, καὶ ἕτερον, καὶ μὴ δι' ἄλλου φονεύσας. καὶ αὐτοχειρία, τὸ τῇ ἑαυτοῦ χειρὶ ἀναιρεῖν. Αὐτόχειρος, ὁ ἑαυτὸν ἐγχειρίσας. Αὐτοχειρίᾳ, οἱ ἑαυτοὺς φονεύσαντες αὐτοχειρίᾳ, ἢ ἑκόντες. Αὐτοχθονὸν, αὐθιγενῆ. Αὐτόχθονες, πολῖται, γνήσιοι. λέγονται δὲ καὶ οἱ Ἀθηναῖοι. ἢ ἐπεὶ τὴν χθόνα, ἢ ἐπὶ τὴν γῆν ἀργὴν οὖσαν πρῶτοι εἰργάσαντο, ἢ διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας. Αὐτόχθονες, αὐθιγενεῖς. Αὐτόχρημα, χωλὸν εἶχεν. ἢ αὐτὸ τὸ πρᾶγμα, ὅμοιον παντελῶς. Αὐτοχόανον, πρὸς τὴν χύτραν. Αὐτόχυτα, τηκτά. Αὐτόχωνον, αὐτοχώνευτον. Αὐτώδης, ὑπερήφανος, ἰδιογνώμων. Αὐτώλης, ὑβριστὴς, αὐτόχειρ. Αὔτως, μάταιον ἀπὸ τοῦ αὐτὸς. οὕτως κενόν, ταυτὸν τῷ οὕτως. καὶ αὔτως, ἀντὶ τοῦ ματαίως. σημαίνει καὶ τὸ ὁμοίως. ἔστιν ἔτι ὁ ἀληθὴς, καὶ μετὰ τοῦ ς φυλακτοῦ α, αὐτός. καὶ ἀνεβίβασαν τὸν τόνον. τὰ γὰρ εἰς τῷ δισύλλαβα ἀναβιβάζουσι τὸν τόνον ἐν τῇ συνθέσει, καὶ κλίνεται αὐτοῦ. ἡ εὐθεῖα πληθυντικῶν, οἱ αὐτοί, τῶν αὐτῶν. καὶ ἐξ αὐτοῦ ἐπίρρημα μετατεθέν, αὔτως. καὶ τροπῇ τοῦ ο εἰς υ αὔτως. τὸ γὰρ α καὶ υ εἰς τὴν αυ δίφθογγον τρέπεται. τὸ δὲ ὁμοίως, ἀπὸ τοῦ οὕτως. ὡς δ' αὔτως μεγάλως. Αὐτῷ κεφάλῳ, σὺν αὐτῇ τῇ κεφαλῇ.

Αὐχαλέοι, σεμνοί. Αὐχὰν, καύχησιν. Αὐχεῖθιν, ἀπὸ τρύφης. καὶ τὸ ἱμμίσαν, χάτην. Αὐχεῖ, καυχᾶται. Αὐχεῖν, ἀλαζονεύεσθαι, κομπάζειν, σεμνύνεσθαι, σεμνολογεῖσθαι, μεγαληγορεῖν, μεγαλορρημονεῖν, μεγαλύνεσθαι, αἴρεσθαι, μετεωρίζεσθαι, φρυάττεσθαι, ὑψηλοφρονεῖν, ὑπερφρονεῖν, ὑπερορᾶν, τετυφῶσθαι. ἔστι δὲ τὸ καυχᾶσθαι πράγματα, αὔχημα, ἀλαζονεία, κόμπος, σεμνολογία, μεγαλορρημοσύνη, μεγαληγορία, ὑπερφροσύνη, ὑπεροψία, τῦφος, ὑπερηφανία. τὸ δὲ ῥῆμα, ὑπερηφανεῖν. ἀλλὰ τοῦτο οὐκ ἐπαινοῦ. τὰ δὲ ὀνόματα, ἀπὸ μὲν τοῦ αὐχεῖν κατὰ μετοχὴν ῥητέον αὐχῶν. ὁ γὰρ αὐχήτης βίαιον. ἀπὸ δὲ τῶν ἄλλων, ἀλαζών, κομπαστικὸς, κομπώδης, ὑπέρκομπος, σεμνολόγος, μεγαλήγορος, μεγαλόρρημων, μεγαλαυχούμενος. καὶ αἰρόμενος καὶ μετεωριζόμενος. φρυαττόμενος. καὶ μετὰ τοῦ ὑψηλόφρων, καὶ ὑπέρφρων, καὶ ὑπερόπτης, καὶ ὑπεροπτικὸς, καὶ ὑπερορῶν, καὶ ὑπερήφανος, καὶ μετέωρος. ἀλλὰ τὰ ἐπιρρήματα, ἀλαζονικῶς, κομπαστικῶς, μεγαληγόρως, μεγαλορρημόνως, αἰρομένως, μετεώρως, φρυαττομένως, ὑπερφρόνως, ὑπερόπτως, ὑπεροπτικῶς, καὶ ὑπερηφάνως. Αὔχειν, καυχᾶσθαι. Αὐχένιοι, χιτὼν ὕελος, ὑπὸ Ἀριστοφάνους. Αὐχέω, εὔχομαι. αὐχήεις, σεμνός. Αὐχήματα, σεμνολογήματα, καυχήματα, κομπάσματα, ὑψώματα.

Αὐχὴν, ὁ τράχηλος. παρὰ τὸ ἀχμὴν αὐχὴν, ὁ κατάξηρος τόπος τοῦ σώματος. ἢ παρὰ τὸ ἔχω, ἐχὼν, καὶ αὐχὴν, ὑφ' οὗ ἔχεται ἡ κεφαλή. ἢ παρὰ τὸ αὐχεῖν καὶ γαυριᾶν, γίνεται αὐχήν. γαυριῶντες γὰρ καὶ ἐπαιρόμενοι, ἀνατείνομεν αὐτόν. καὶ αὐχὴν, οὐ μόνον ἐπὶ ζώων λέγεται, ἀλλὰ καὶ ἐπὶ τόπων. ὡς δηλοῖ ὁ οὕτω γράψας. Ἰσθμὸν φασὶν Ἀριστοτέλης, Θεόφραστος δὲ μόχον. ἔστι δὲ, αὐχὴν τὸ κοῖλον τῶν ἀκρωτηρίων. Αὐχήσασθαι, καυχήσασθαι. Αὐχθεῖ, αἴρεται. Αὐχμοῖ κακῶς, ὁ ῥύπον ἔχων κατὰ τὴν λαύρειον, καὶ ἄλουτον. γίνεται δὲ ἐκ τοῦ αὐχμεῖν, ὥσπερ καὶ ὁ αὐχμὸς, παρὰ τὸ αὖον τὸ ξηραίνω, πλεονασμῷ τοῦ λαυτως. καὶ αὐχμεῖν, ξηραίνεσθαι. Ἀριστοφάνης, πεινῶν, διψῶν, αὐχμεῖν, ῥιγοῦν. Αὐχμηρὰ τράπεζα, ἡ ξηρά, καὶ πενιχρά. καὶ αὐχμηρὸν, ξηρόν, ἢ σκοτεινόν. Αὐχμὸς, ξηρασία, ἀνομβρία. παρὰ τὸ αὔξω αὐχμὸς, κατὰ ἀντίφρασιν, ὁ μὴ ἐῶν τι αὔξεσθαι. ὑετὸς γὰρ φέρει. ἢ παρὰ τὸ αὖον τὸ ξηραίνω. ἐξ οὗ αὖος, καὶ ἀναλόγως γίνεται αὐχμός.

Αὐχμῶντα, ῥυπῶντα. Αὖχος, τὸ ὄστριον, ἀρσενικῶς.

Αὔω τὸ ῥῆμα, Ἰωνικῶς ἐλάσσω. ἐξ οὗ τὸ αὖον, οὐ μόνον τὸ ξηραίνειν δηλοῖ, ἀλλὰ καὶ τὸ λάμπειν καὶ φαίνειν. ἔστιν αὖος αἰολικῶς ἡ ἡμέρα. ἡ αὐγὴ λεγομένη δωρικῶς, καὶ ἕως κοινῶς τε καὶ ἰωνικῶς. ἐπὶ δὲ τοῦ αὔειν, καὶ πυρεῖα τὰ ξυλύφιον, ἐπιβάλλουσι τοῦ τῶν λαμπάδων φασί, ὑφ' οὗ ἀνάπτεται. ἀφ' οὗ αὐθημερὸν τὸ, αὐθήμερος, ἐπὶ τοῦ ταχὺ θαυμασμένου. Ἄυω, τὸ φωνῶ. Ὅμηρος· μακρὸν ἄυσε. ἐν ᾧ δηλοῦται, δεῖν εἶναι μεγαλοφώνους τοὺς ἡγεμόνας, καὶ ὡς εἶπεν βοὴν ἀγαθούς. καὶ αὔω, αὐτῶ. ὡς ἀντὶ τοῦ αὐτοῦ. καὶ αὔω, διακαίω, θερμαίνω. τὰ γὰρ πυρεῖα, τοῖς θερμοῖς ἐμβάλλον. Ἄυως Αἰολικῶς, ἀντὶ τοῦ ἕως, ἡ ἡμέρα. μετὰ γὰρ τὸ α ἐπαγομένου φωνήεντος προστίθεται τὸ υ.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Φ.

Ἀφαγνίσαι, καθοσιῶσαι. λέγεται δὲ καὶ τὸ συλῆσαι. Ἀφαλίαν, τὴν πολεμικὴν νοῦν διὰ τὸ ἀφανδάνειν. Ἄφαλος, ὁ μὴ ἀρέσκων. ἁλεῖν γὰρ τὸ ἀρέσκειν. Ἀφαλὸς, ἐχθρός. παρὰ τὸ ἀφανδάνειν. καὶ ἀφαλία, ἡ ἀπαρέσκουσα ἔχθρα. Ἀφάξαι, ἀναλίσκεται, ἀπὸ τοῦ ἀφῆς. Ἀφαία, ὄστριον. Ἀφαία, ἡ Δικτύννα, καὶ Ἄρτεμις. Ἀφαιμῶσαι, ἀπαλγῆσαι, ἀπολαπαρῦξαι, καὶ ἀπολύσαι. Ἀφ' αἱμάδος, τουτέστι συνδενδρ. Ἀφαιμοι, ἀπόγονοι, σύγγονοι. Ἀφαιρεῖν παρὰ τῷ Ἀριστοφάνει, κόπτειν, ἢ διαιρεῖν, ἢ κλέπτειν.

Ἀφαιρεῖται, ἀποσπᾷ. Ἀφαιρέματα, τὰ ἀπὸ τῶν ἱερείων ἀφαιρούμενα μέρη. οἷον τὸ στηθύνιον, τὸν δεξιὸν βραχίονα, καὶ τὸν λοβὸν τοῦ ἥπατος. ὁ Θεολόγος, ὅσα τε περὶ θυσιῶν καὶ καθαρσίων καὶ ἀφαιρεμάτων νενομοθέτηται, θυσίας δὲ τὰ πρόβατα, τοὺς μόσχους, τὰς τρυγόνας, καὶ τὰς περιστεράς. καθάρσια δὲ, τὰ διὰ τοῦ αἵματος, ἢ τοῦ σποδοῦ καθαρτήρια. Ἀφαίρεμα, ἀνάθημα, δῶρον, ἢ ξένιον. καὶ ἀφαίρεσις. Ἐπαφίλης ἰδίως τὴν εἰς ἐλευθερίαν λέγει. Ἀφαίρεσις, ἡ ἐκ τῆς ἀρχῆς ἆρσις. οἷον, ἐμὲ, μέ.

Ἀφαιροῦμαι, τὸ ἀποστερῶ καὶ ζημιῶ, διπλῶς συντάσσεται. οἷον ἀφαιρεῖται τὸν ἄνθρωπον τὴν οὐσίαν. καὶ ἀφῄρηται τὴν οὐσίαν τὸν ἄνθρωπον. οὗ παρακείμενος, ἀφῄρημαι ἀφῄρησαι ἀφῄρηται. ἐστὶ πάθος καὶ ἐνέργειαν λαμβανόμενον, ὥσπερ τὸ εἴργασμαι, καὶ ἐώνημαι, καὶ ἀφεῖμαι. μετὰ δὲ οὗ παρακειμένου. ἀφῄρημαι δὲ καὶ ἀντὶ τοῦ ἐστερήθην, καὶ ἀντὶ τοῦ ἐστέρημαι. καὶ συντάσσεται μετὰ γενικῆς καὶ αἰτιατικῆς. μετὰ γενικῆς μόνης, ὅταν μὴ ἔχων τι πρᾶγμα, λέγωμαι ὅτι ἐκτῆσθαι, καὶ ἀπειλήφως οὐ λάβω. οἷον, ἀφῄρημαι λόγων, ἀφῄρημαι παιδείας. ταῦτα δὲ οὐκ εἶχον, τὸν λόγον φημὶ καὶ τὴν παιδείαν. δέον δέ μοι ἦν κτήσασθαι, καὶ διότι ἔμελλον, οὐκ ἔλαβον. ὅταν δὲ ἔχω τι καὶ ἀφαιρεθῶ τοῦτο, τότε τὸ ἀφῄρημαι συντάσσεται αἰτιατικῇ. ἀφῄρημαι τὸ ἱμάτιον, ἀφῄρημαι τὰ χρήματα. ἢ ἀφαιροῦμαι ἐκεῖνον τὰ ὅπλα, ἀντὶ τοῦ ἀπ' ἐκείνου λαμβάνω. Ἀφαιρῶ, ἀφαιροῦμαι, παραιροῦμαι. Ἀφαιρῶ, τὸ μέρος τι τοῦ παντὸς λαμβάνειν. ἀφαιροῦμαι δὲ, τὸ πᾶν. ἀφαιρῶ μὲν, συντάσσεται ἀπὸ γενικῆς εἰς αἰτιατικήν, οἷον ἀφαιρῶ σου τόδε. καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικήν, οἷον ἀφαιρῶ σε τοῦδε. καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν, οἷον ἀφαιροῦμαί σε τόδε. καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν, οἷον ἀφαιρῶ σοι τόδε. Ἀφαῖς, πληγαῖς, ἢ χερσίν. Ἀφακὶς, οὐθείς. Ἄφαλον, τὸ φάλον μὴ ἔχον, μήτε προμετωπίδα.

Ἄφαλος περικεφαλαία, ἡ μὴ ἔχουσα φάλους. φάλοι δέ εἰσιν οἱ λαμπροὶ ἧλοι, ἢ τὰ ποικίλματα. Ἄφαλτοι, οἱ ἀναπηδῶντες. Ἀφαμαρτεῖν, ἀποτυχεῖν, ἀπὸ τοῦ ἁμαρτῶ. καὶ ἀφαμαρτεῖν, ἀόριστος δεύτερος. ἁμαρτῶ, ἥμαρτον ἥμαρτες ἥμαρτεν.

Ἀφαμαρτοεπὴς, ὁ ἁμαρτάνων ἐν τῷ λέγειν. Ἀφαμαρτοῦσα, ἀποτυχοῦσα, στερηθεῖσα. Ἀφαμιῶται, οἰκέται, ἀγροῖκοι, καλοῦνται. Ἀφανδάνει, ἀπαρέσκει. Ἀφανὲς, σκοτεινόν.

ἀλφίτων εἴρηται. τὸ γὰρ ὡς ἔτυχε φυραθὲν ἄλευρον, αὐτοκάβδαλον λέγεται. Αὐτοκαβδάλως, τὸ ἐπιτυχὸν, συμβεβηκός. Αὐτόκαρος, αὐτοζήμιος. κάρη γὰρ ἡ ζημία. Αὐτοκασίγνητος, γνήσιος ἀδελφὸς, ὁ ἐκ τῶν αὐτῶν γονέων. Αὐτοκέλευστος, αὐθόρμητος. καὶ ὅτε τις ἀθρόως, οὐκ ἐκ παραγγέλματος, ἀλλ' αὐτοκελεύστως ὡρμήθη. Αὐτοκέρασον, οἷον εὐκέρασον, συμμέτρως κεκραμένον. Αὐτοκίνητον, αὐτοφυές. τῷ δὲ Ἑρμείᾳ τοῦ φιλοσόφου, τὸ αὐτοκίνητον οὐ προσεῖναι τῇ πολιτείᾳ. Αὐτοκλείδης. Αἰσχίνης κατὰ Τιμάρχου, κυλλοποδίων. καὶ αὐτοκλείδην, καὶ διάστροφον. οὗτος παιδεραστὴς σφοδρός. ὡς καὶ Ἀριστογείτων κατὰ Τιμάρχου. Αὐτόκρεως, αὐτόκλητα, αὐτοκρέαστα. Αὐτοκράτορος, ἀντὶ τοῦ τῶν λογισμάτων κρατοῦντος. Ἀριστοφάνης, τούτων περὶ πάντων αὐτοκράτορες ἥκομεν. Αὐτοκράτωρ, δεσπότης, ἄρχων, Ἑλληνικὴ ἡ φωνή. τάττεται δὲ ἐπὶ παντὸς τοῦ καταπολεμήσαντος, καὶ κρατήσαντος τῶν ἐναντίων. αὐτοκράτορα πάντα τὸν ἀποστελοῦμεν. παρὰ τὸ κρατῶ, κράτωρ, καὶ αὐτοκράτωρ. ἢ παρὰ τὸ κραίνω κράντωρ, καὶ ἐν συνθέσει αὐτοκράτωρ. Αὐτοκτίστους δόμους, οὐ κατεσκευασμένους, ἀλλ' ἐκ ταυτομάτου γεγενημένους, ἢ τοὺς οἰκουμένους. Αὐτόλαβον, τὸ ἑαυτοῦ λαβὼν ἔχειν. Αὐτόλεπτον, λεπτόν. Αὐτολήκυθος, ὁ πένης. παρὰ τὸ φέρειν ἑαυτῷ τὰς ληκύθους εἰς τὰ βαλανεῖα. καὶ ἀντὶ τοῦ εὐζώνους ἐνίους καὶ ἑτοίμους πρὸς ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν λέγουσιν. ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους καὶ οἷον τυπτόντων, καὶ μαστιγούντων, καὶ ὑβριζόντων. ἢ ἀντὶ τοῦ ἐκ προχείρου διδόντας ἀργύριον, καὶ ἑτοίμους πρὸς τὰς μίξεις. καὶ γὰρ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον. καὶ τὸ ὄνομα παρὰ Μενάνδρῳ, ἐν Ἡνιόχῳ καὶ Δακτυλίῳ. Αὐτολόχευτος, αὐτογέννητος. ὁ θεὸς, ἀγέννητος. Αὐτόλυτος, ῥῆμα, ἐφ' ᾧ ἀγγέλῳ ἐφῆπται, καὶ οὐχ ἅμα γίνεται. Αὐτόμορος, μονόμοιρος. Σοφοκλῆς. Αὐτομάρτυς, ὁ ἑαυτοῦ μαρτυρῶν. Αὐτομάτευον, αὐτόρμα ἀνθός. Αὐτοματίζουσιν, αὐτόματοι παραγίνονται. Αὐτόματον, αἰτία κατὰ συμβεβηκὸς ἀόριστος, ἐν τοῖς ἕνεκά του κατὰ προαίρεσιν γινομένοις συμβαίνουσα. τὸν γὰρ λίθον πεσόντα, γενέσθαι καθίσθαι ἔτυχεν. Αὐτόματος, αὐτόκλητος, παρὰ τὸ μαίομαι τὸ ζητῶ, ματός. καὶ αὐτόματος, ὁ αὐτοζήτητος, καὶ μὴ παρ' ἑτέρου ζητηθείς. ἢ παρὰ τὸ μένω, τὸ προθυμοῦμαι, μέμαμαι μέμαται, ματὸς καὶ αὐτόματος. Αὐτομαχεῖν, τὸ δι' αὐτοῦ, ἀλλὰ μὴ δι' ἑτέρου μάχεσθαι. Αὐτομέδων, ὁ αὐτοκράτωρ, οὐ μακρὰν ἀμέλων κεῖται. οἱ μέδων καὶ ἄρχων καὶ κρατῶν, ταυτὸ δηλοῦσιν. Αὐτομένης, ὄνομα κύριον παρὰ τῷ Ἀριστοφάνει. εἶχε τρεῖς υἱοὺς, τὸν μὲν κιθαρῳδὸν, τὸν δὲ ὑποκριτὴν, τὸν δὲ τῷ σώματι αἰσχρουργοῦντα. Αὐτομολῆσαί ἐστι, τὸ προδοῦναι τοὺς ἰδίους, καὶ ἐᾶσαι καὶ ἀπελθεῖν πρὸς τοὺς ἐναντίους ἐπὶ συμμαχίᾳ. καὶ αὐτομολεῖν, τὸ πρὸς τοὺς πολεμίους ἀπελθεῖν. Αὐτόμολος, πρόσφυξ. Αὐτομολῶ, πρὸς τοὺς πολεμίους ἔρχομαι. ταυτὸν τῷ αὐτομολεῖν. Αὐτόνομος, ὁ ἐλεύθερος, ὁ αὐτόβουλος. Αὐτονομουμένη πόλις, ἡ τοῖς αὐτῆς νόμοις χρωμένη καὶ οὐχ ὑποκειμένη ἑτέροις. Αὐτονυχί, αὐτῇ τῇ νυκτί. ἐν τοῖς Ἀπίωνος μὲν καὶ Ἡροδώρου, διὰ τοῦ ι γράφεται. ἄλλοι δὲ διὰ διφθόγγου αὐτὸ ἔγραψαν. Αὐτοξενεῖν, ἐν ἴσῳ τῷ προξενεῖν. Αὐτόξυλον, αὐτὸ ἀδημιούργητον ξύλον. ἢ ξύλινα. Αὐτοπαθὲς, οἰκεῖον, ἐξ ἰδίας προαιρέσεως. Αὐτόπαιδα, αὐτὸν τρέφω ἔτι παῖδ' ὄντα. Αὐτόπαισοι πόλεις, πεσάδας ἔχουσι, τειχίλας. Αὐτόποδον, καὶ αὐτοποδητί, τὸ ἑαυτὸν βαδίζειν. Αὐτόπολις, κλίμαξ. Αὐτοποίητον, εὐτελές.

Αὐτοπόκιστον, μὴ κεκναμμένον. οἱ δὲ, εὐτελὲς ἱμάτιον. Αὐτόστημα, ἐπίκληρον. Αὐτοπρέμνοις, ἀνεσπαδοῖς, προρρίζοις, ἢ μεγάλοις. Ἀριστοφάνης. Αὐτόπτης, θεατής. Αὐτοργόνον βᾶριν, αὐτόξυλον πλοῖον. βάρις δὲ τὸ μὲν παρὰ Λυκόφρονι, τὸ πλοῖον. σημαίνει δὲ καὶ βρώμας, καὶ πύργους, αὐλάς.

νοῦς. Αὐτορέγμενος πότμος, ὅθεν ἑαυτὸν ἔρεξε. καὶ καταθεὶς ἑαυτορέγμενος, παρὰ τὸ ὀρέγειν τὴν χεῖρα. Αἰσχύλος. Αὐτόεργμον, ἑαυτῷ ἐργαζόμενος. Αὐτόρεκτον, οἷον τὴν ἑαυτὴν ἐπιστήσασαν. Αὐτὸς, οὐκ αὐτότατος. πέπαικται γὰρ τοῦτο παρ' Ἀριστοφάνει ἐν Πλούτῳ, ὥσπερ καὶ τὸ μονώτατος. Αὐτός. ἀντωνυμία, ἐπιτασσομένη τοῖς πρωτοτύποις, ἣν καὶ ἐπιταγματικὴν οἱ τεχνικοὶ καλοῦσιν. ἐπιτάσσεται καὶ τοῖς τρισὶ προσώποις τῶν ἀντωνυμιῶν, ἐγὼ αὐτὸς εἰργασάμην τόδε. σὺ αὐτὸς, ἐκεῖνος αὐτός. καὶ ἔχει τὸ ἄρθρον. αἱ δὲ ἀντωνυμίαι ἄρθρα οὐκ ἐπιδέχονται. ὅταν δὲ ἀπαράλλακτον παραλαμβάνηται, δηλοῦσί τινα ὁμοίωσιν καὶ ταυτότητα, τότε ὥσπερ καὶ μετὰ τοῦ ἄρθρου προφέρεται. οἷον ὁ παλαιὸς ὁ αὐτός ἐστι τῷ κωνσταντίνῳ, ἀντὶ τοῦ ὅμοιός ἐστιν, ἀπαράλλακτος. καὶ οἱ αὐτοὶ κίνδυνοι τοῖς προτέροις ἡμᾶς ἐκδέχονται. καὶ ἡ αὐτὴ φιλία ἔτι παρ' ἐμοὶ μένει, καὶ ἐπὶ οὐδετέρου τὸ αὐτό. ταυτὰ τοῖς προτέροις εἰργάσατο. καὶ αὐτὸς, ἐπὶ τῶν τριῶν προσώπων λαμβάνεται. οἷον, αὐτὸς ἐγὼ, αὐτὸς σὺ, καὶ αὐτὸς ἐκεῖνος. οὕτω καὶ τὸ αὐτοῦ ἐπίρρημα, ἐπὶ τόπου λαμβάνεται. οἷον τοῦ αὐτοῦ, αὐτόθι, καὶ τοῦ ἐκεῖ. καὶ, αὐτὸς μὲν ἐγὼ μενῶ ἀλλ' ἑταῖρον πέμπω, ἀντὶ τοῦ ἕτερον δὲ, ἐναλλαγὴν ἐποιήσαμεν, καὶ ἐνταῦθα. Αὐτὸς ἔφα, παροιμιακὸν ἐπὶ Πυθαγόρου τοῦ φιλοσόφου εἰσελθὸν εἰς τὸν βίον. οὗτος γὰρ ἀποσεμνύνων τὸν ἑαυτοῦ λόγον καὶ βίον ἐν ταῖς ὁμιλίαις, ἔλεγεν, αὐτὸς ἔφα, ἀντὶ τοῦ εἶπεν. οὐκ ἐμὸς ὁ λόγος φησὶν, ἀλλὰ τοῦ θεοῦ. καὶ ἀλλαχοῦ αὐτὸς, κατ' ἐξοχὴν ὁ Σωκράτης.

Αὐτόσιτον, τὸν ἑαυτὸν τρέφοντα. ἢ τὸν σὺν ἑτέρῳ δειπνοῦντα, καὶ ἑαυτῷ φέροντα τὰ ἐπιτήδεια πρὸς τὸ δεῖπνον. Αὐτοσπαδὲς, ὑπολήμματος ὕλος γυναικεῖος. Αὐτόσε, ἐκεῖσε. λέγεται καὶ αὐτόθεν. διαβάσεις δὲ οὐκ ἔστιν αὐτόσε, ὅτι μὴ τῷ φθέγματι. Αὐτοσίδηρον, ἰσχυρὸν, αὐτοφυές. Αὐτόστοιχος, αὐτὸς ἑαυτῷ προσέχων. Ὁ βουλόμενος ἐν τῷδε τῷ βίῳ ἀβέβαιον βίον πολιτεύεσθαι, αὐτόστοιχος ὀφείλει εἶναι. Αὐτόσχολον, ἀκατασκεύαστον. Αὐτοσφαγῆ, τὸν ὑφ' ἑαυτοῦ ἀναιρούμενον.

Αὐτοσχεδὰ ἐπόρουσεν, ἀντὶ τοῦ αὐτοσχεδόν. ὥσπερ καὶ τὸ ἀμφαδὸν, ἀμφαδά. μεταβληθέντος τοῦ ἐπιρρηματικοῦ εἰς τὸ οὐδέτερον, εἰς πληθυντικὸν ὅμοιον. ἰστέον δὲ, ὅτι ὥσπερ ἀπὸ τοῦ σχεδὸν, ὃ δηλοῖ τὸ ἐγγὺς, καὶ ὡς εἰπεῖν ἐχομένως, ὡς ἀπὸ τοῦ χέω χῶ, γίνεται σχέδος προπαροξυτόνως, ὁ ἐγγύς. καὶ κατὰ κοινότερον λέγεται αὐτόθεν, ἔτι δὲ καὶ σχέδιος παροξυτόνως, τῷ κανόνι τῶν τριβραχέων. τὸ κύριον ὄνομα. οὕτως ἐκ τοῦ αὐτοσχεδὸν, ὁ αὐτοσχέδιος. οὗ ῥῆμα τὸ αὐτοσχεδιάζειν, παρὰ τοῖς μεθ' Ὅμηρον. δῆλον, ὅτι τὸ τοιοῦτον ῥῆμα οὐκ ἦν ἐκείνῳ ἐν ἔθει, ἀλλὰ σημειωτέον ὅτι ἀντὶ τοῦ ψεύδεσθαι παραλαμβάνουσιν, αὐτοσχεδιάζειν λέγοντες, τὸ ἀσκέπτως καὶ ἀμελετήτως λαλεῖν, ἢ γράφειν παρὰ τὸ ἀληθές, ἢ καὶ ἄλλως ἀκριβές. Αὐτοσχεδιάζω, πάραυτα λέγω. Αὐτοσχέδιον, τὸ εὐθὺς ῥηθὲν, ἢ ἀπροφάσιστον, ὃ γινόμενον. Αὐτοσχεδίως, αὐτομάτως. Αὐτοσχεδὶν, ἐκ χειρὸς, ἀπὸ τοῦ σύνεγγυς. Αὐτοσχεδὸν γενέσθαι, ἀντὶ τοῦ πρὸς τὸ διακριθῆναι. καθὰ καὶ τὸ συνελθεῖν, πρὸς τὸ διακῆναι. σημαίνει δὲ, τὸ ἐγγύς. Αὐτόταξα μέλη, ὡς ἂν εἴπῃ, ἀδέσποτα, οὐκ ἔχοντα τοὺς ἐπιτάσσοντας. Αὐτότεγον, ἀπηρτισμένον, πλῆρες, ὅθεν δεῖ. Αὐτοτελὴς, ἱκανὸς, τέλειος. Πολύβιος. Αὐτοτελὲς ψήφισμα, τὸ μὴ προβεβουλευμένον. Αὐτοτελὴς δίκη, ἀφ' ἧς μὴ ἔστιν ἐφεῖναι. Αὐτοῦ ἐπίρρημα, ἐπὶ τοῦ τόπου λαμβάνεται. ἤτοι τὸ ἐνταῦθα, καὶ αὐτόθι, καὶ ἐκεῖ. ὥσπερ καὶ τὸ αὐτὸς, ἐπὶ τριῶν προσώπων. ὅπερ οὐχ ἁπλῶς κεῖται ἀντὶ τοῦ ἐκεῖ, ἀλλὰ κατὰ ἔλλειψιν ἀρθρικὴν, ἀντὶ τοῦ ἐπ' αὐτοῦ τοῦ τόπου. ὁμοίως εὕρηται παρὰ τοῖς ποιηταῖς ἐν ἄλλαις σημασίαις. ἐνταῦθα μὲν, ὡς τὸ, Οἷον ἐμὲ φθίσεσθαι ἀπ' ἄργεος ἱπποβότοιο, αὐτοῦ ἐνὶ Τροίῃ. Αὐτοέργαστον, αὐτοφυές. Αὐτουργῶ, τὸ οἰκείαις χερσὶν ἐργάζομαι. Αὐτοφωρίζειν, ἀντεμπορεῖν. Αὐτόφιν. Ὅμηρος, ἄμμι παρ' αὐτόφιν, ἤγουν παρ' αὐτοῖς.

Αὐτόφλοιον,

μνηριζόμενος. Αὐταί· ἀμέλως, ἐπὶ τῶν πανδεινῶν διαφθειρομένων. εἰσιν, αὐτῆς βάθροις, αὐτοῖς ῥίζαις. ἁμάλη γὰρ ὁ ἀπαλός. Αὐτάλιν, ἐσπέριον. Αὐτάλκης ζυμός, ὁ αὐτάρκης. Αὐτανθρον, σὺν αὐτοῖς τοῖς ἀνθρώποις. Αὐτανίδω, αὖθις, πάλιν. Αὐτάντας, ὁ προσεχὴς ἑαυτοῦ πράγματος, ἢ αὐθέντης. Αὐτὰρ ποιητικῶς, ἀτὰρ κοινῶς. καὶ αὐτὰρ καὶ ἀτὰρ οἱ σύνδεσμοι, ἀδιάφοροι πάντα εἰσὶ πρός τε ἀλλήλους, καὶ πρὸς τὸν δὲ σύνδεσμον. διαφέρουσι δὲ ἀμφότεροι τοῦ δὲ συνδέσμου, ὅτι αὐτοὶ μὲν ποιητικώτεροί εἰσιν, ἐκεῖνος δὲ κοινός. [illegible] ἐπιταγὴν λόγου μερῶν. ἐκεῖνος δέ, ἀεὶ ὑποτάσσεται. τὸ δ' ὅμοιον προσίεται καὶ περὶ τοῦ ἔτι, καὶ μετ. δῆλον δ' ὅτι καὶ ὁ καί σύνδεσμος, καὶ ὅτι, οἱ μὲν παραπληρωματικοὶ ἁπλῶς συντίθενται, ἰδιωμάτως ἔχουσι. διαφέρουσι δ', ὅτι ὁ καί μὲν προτάσσεται τῶν λέξεων, οἷον καὶ ἐγὼ καὶ σύ. ὅπου καὶ αὐτὰρ ἐγώ, ἀτὰρ σύ. ὁ δὲ τὸ ὑποτάσσεται, οἷον, ἐγώ τι σύ τι, ὡς καὶ τὸ ἐγὼ δὲ σὺ δέ. τὸν δὲ τόπον τὸ ἀτὰρ καὶ αὐτὰρ παραπλησίως οἱ παλαιοί, ὡς μὴ ὂν ἄλλως ἔχοντα λέγονται. εἰσὶ δὲ λέγονται βραχυκατάληκτοι λέξεις βαθύνεται. πᾶν ἄλλο δὲ [illegible] βάζονται, οἷον πατρί, σωτῆρι, θυγατρί, ἡμῶν, ὑμῶν, ἧπαρ, φρέαρ. χωρὶς τῶν ὑπὲρ προθέσεως, καὶ χωρὶς τοῦ ἀτὰρ καὶ αὐτάρ. Αὐτάρ μοι δέ, ἐπεὶ δέ, μετὰ ταῦτα. Αὐτὰρ δή, εὐθέως, ἢ ἐπειδή. Αὐτὰρ δ' ἐγὼ δέ. Αὐτάρκης, ὁ ἐφ' ἑαυτοῦ ἀγαλλόμενος. Αὐτὰρ ὑπὸ χθών. ὑπὸ δὲ τὸ πλῆθος αἰνῶν, ἢ γῆ.

Αὐτὰρ ἔπειτα, μετὰ δὲ ταῦτα. Αὐταρκῶς, τὸ ἱκανῶς ἐξαρκεῖν. Αὐτάρκης, αὐθέκαστος. παρὰ τὸ αὐτός, καὶ τὸ ἀρκῶ τὸ βοηθῶ. ὁ ἑαυτῷ ἐπαρκῶν, καὶ βοηθῶν. Αὖτε, ἀπὸ τοῦ ᾱ τοῦ σημαίνοντος τὸ ὀπίσω, γίνεται ἄτε, καὶ πλεονασμῷ τοῦ ῡ αὖτε, αὖτις δ' ἐξόπισω παρὰ χθονί. σημαίνει τὸ ἐξ ὑστέρου, ἢ τὸ ἐκ δευτέρου. ἐκ τοῦ τίς καὶ μετὰ τοῦ ᾱ τοῦ σημαίνοντος τὸ εἰς τὰ ὀπίσω, γίνεται ἄτις. ὥσπερ παρὰ τὸ ψεῦδος γίνεται ἀψευδὴς καὶ αὐτίκα, οὕτω καὶ ἄτις, ὁ σημαίνει τὸ πάλιν. Αὖτε, ἀντὶ τοῦ πάλιν. καὶ αὖτε, ἀντὶ τοῦ μεταταῦτα. Αὐτὴν, τὸ ῡ ἄνω προστυχεῖν ἔχεται. ἄνω γάρ, καὶ ἀνάτεινε ἄνω. ἐξ οὗ αὐτή, ὅθεν τὸ αὐτή. Ὅμηρος, μακρὸν ἄυσε, ὅπερ ἐβόα. Αὐτεξούσιον, ψυχῆς φρόνησις ἔχουσα ἐπιτηδειότητα πρὸς ἃ βούλεται πράξεις. ἢ αὐτεξουσίαν, τὸ αὐτοκράτορα. τὸ ἐφ' ὑμῖν διανοεῖ ὅτι, οὐκ ἔστιν αὐτεξούσιον. εἰ γὰρ αὐτεξούσιος ψυχῆς ῥοπή. ἐστιν ἡ [illegible] πρὸς ἀρετήν, ἢ κακίαν τῆς ἐπιθυμίας τοῦ ὁμῶν ῥοπή τε καὶ κίνησις. ἵνα δὲ κακίας ἢ ἀρετῆς προσβολὴ οὐ γίνεται, ἐκεῖ οὐδὲ ἡ αὐτεξούσιος τῆς ψυχῆς γνωρίζεσθαι δύναται. πῶς γὰρ ἂν καὶ φανείη ἡ αὐτεξουσίου προαίρεσις, ἵνα προσβολὴ ἐναντία οὐ γίνεται. μόνος γίνεται ὁ τοῦ Χριστοῦ νοῦς καὶ ἡ ψυχὴ αὐτοῦ ψυχή, ἄτρεπτος καὶ ἀναλλοίωτος πάσης προσβολῆς ἀμαρτίας γέγονεν. μορφὴ γὰρ δούλου ἦν χαλιναγωγουμένη καὶ διοικουμένη, ὑπὸ τῆς καθ' ὑπόστασιν ἑνωμένης αὐτῇ θεοῦ λόγου. διόπερ καὶ ἔλεγεν ὁ κατὰ τὴν σωτῆρα νοούμενος ἄνθρωπος. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. ὑπὸ γὰρ τοὺς ὅρους καὶ ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως ὑπέστη. ἄνθρωπος ὡς θεός, σῶμα ὃ ψυχῶν, τῇ τοῦ λόγου ἑνώσει ἐνίσταται ὑπεράνω ὡς θεωθείς.

Αὐτεπάγγελτος, ὁ αὐτόκλητος. Αὐτηπίβολος, αὐτοφυής. Αὐτηρέται, ἀντὶ ἑρμηνεύονται. Αὐτίκα, εἶχε μὲν ἀνεῖναι κυριώτερον, ὡς τὸ ἐκεῖνον. προτιμᾶται δὲ ὅμως δι' ὄγκον φωνῆς, τὸ ποιεῖν αὐτὸ ἐφ' ὃ αὐτίκα, ἐφ' ὑμῖν, ἰδὼν. Αὐτή, ἡ βοή. παρὰ τὸ ἄνω τὸ φωνῶ. λαμβάνεται δὲ καὶ ἀμφοτέρως ἐπὶ πολέμου. αὐτὴ γὰρ καὶ βοή, πολλαχοῦ ἡ μάχη, ἐκ τοῦ παρακελεύεσθαι. παρακελεύεται ἡ μεγάλη βοὴ τῇ μάχῃ. διὸ καὶ φύλοπις λέγεται, ἐκ τοῦ τῶν φίλων ὄπ. καὶ ἐπὶ δὲ ἀπὸ τοῦ ἐφ' ὀπὶ φωνῇ.

Αὐτὸ, ἐκεῖνο, αὐτὴ ἡ, δηλαδὴ ὡς τό, αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος. Αὐτή, βία, τὸ ἄυτμα. καὶ ἀϋτή, κραυγή, φωνή, βοή. Αὐτὴ κάμινος αὐτῆς ἐλαύνει καπνός, ἢ τροχός, ἐπὶ τῶν ὁμοίων καὶ παραπλήσια διαπραττομένων. Αὐτῇ ἐν γαίῃ, σὺν αὐτῇ ἂν τῇ γῇ. Αὐτήκοοι, οἱ μὴ ἐπιτασσόμενοι, αὐτοὶ δὲ ἐκ τῶν ἀκούοντες. Αὐτῆμαρ, αὐτῇ τῇ ἡμέρᾳ. Αὐτῇσι ῥίζῃσι, σὺν αὐταῖς ταῖς ῥίζαις. Αὐτηνὶ, δίκη ἐστὶ θεοῦ παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας τ. τούτεστιν, αὕτη θέμις θεοῦ ἐν ᾧ ἐπιφαίνεσθαι ποιεῖν οὕτω, κατὰ δ' ἄλλα δὲ βλέψεις. ἔστι δὲ χάραξιν, αὐτὴ ἡ δίκη ἐστὶ θεοῦ, τουτέστιν, οὐκ ἄλλος τις ὁ ἔνδον ἄρτι θεός. ἡ αὐτὴ δίκη ἐσημάνθη ἡμῖν, ἃ καὶ [illegible]. Αὐτίκα, ἐπίρρημα μεσότητος χρόνου δηλωτικόν. ὥσπερ παρὰ τὸ πολλὰ γίνεται, πολλάκις. οὕτω καὶ παρὰ τὸ αὐτά, αὐτίκα. καὶ κατὰ ἀντίθεσιν αὐτίκα. καὶ αὐτίκα μάλα, ἀντὶ τοῦ τάχιστα. ὁ γὰρ δύναται τὸ τάχιστα, τοῦτο καὶ τὸ αὐτίκα μάλα. ἀλλὰ τὸ τάχιστα μέν, γενικῇ τῶν πληθυντικῶν συντάσσεται, ὡς τὸ τάχιστα πάντων. ὡς καὶ τὰ μάλιστα καὶ τὸ ἥκιστα πάντων. τὸ δὲ αὐτίκα, καὶ ἐθαυμάσθη, οὐκ ἐστὶ πρὸς ὅ, ἢ παραδέδεικται συντάσσεται. καὶ αὐτίκα ἐπιρρηματικῶς, ὡς τὸ, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας γ, ἤτοι ὡς πρὸς τὸ μαθεῖν. ἄλλη δὲ γίνεται, ἢ ἐκ τοῦ ἄλλη διαλούση. Αὖτις, ἐκ νέου. τὸ αὖθις κοινόν. ταυτὸν δ' ἔστι, τὸ πάλιν. αὐτὰ δὲ ὁμοῦ τὰ τρία δηλοῦσι. τὸ εἰς νέωσιν, οὗ δὴ λαστροτέρως ἐστὶν, ἐλλείπει παρὰ τοῖς ὕστερον τὸ πάλιν ἀπλῶς, ἀντὶ τοῦ ἐκ δευτέρου.

Αὐτίτης, ὁ χωρὶς παραχύματος οἶνος, οἷον ἐψήματος. ἢ ὁ ἐπιχώριος, ἢ ὁ ἀμιγής. ἢ ὡς ἔνιοι, ὁ λεπτὸς ἢ ὁ ἀπύτικος.

Αὐτίτην, τὸν αὐτοετίτην, τὸν ἐκ τοῦ ἐνιαυτοῦ ὄντος, παρ' ἔμπροσθεν. Αὐτμένα, τὰς ἀναπνοὰς πνεύματος, ἢ καὶ πυρὸς ἀνάπνευσιν. τὴν αὐτμένα, ἐπὶ αὖρας ἐπὶ αὔρην. ἡ ἀυτμὴ γὰρ ἐν χρήσει πλείονι. Αὐτμενόχης, πυρόχρημα, πικρασμένος. Αὐτμὴ πυρός, ὁ καπνός, ὡς ἀναθυμίασις. παρὰ τὸ ἄω καὶ ἄνω, τὸ πνέω. ἐπὶ πράγματος ἢ ἀναθυμιάσεις γυναικῶν. Αὐτμῶν, κλίνεται μὲν οὖν ὁ αὐτμῶν, ὁ αὐτῆς δὲ ἐστι τῇ ἀϋτμῇ, ὅ ἐστι τῇ πνοῇ. καὶ γίνεται ἀπὸ τοῦ ἄω τὸ πνέω. καὶ παραγωγῆς ἄυω, καθ' ὁμοιότητα τοῦ ἄω, τὸ φωνῶ. ἐκ τοῦ προσφερέντος ἄυω, καὶ τὸ ἄσθμα γίνεται. Αὐτό, ὅταν λάβῃ ἄρθρον καὶ γίνεται ταυτόν, μετὰ τοῦ ῡ γράφεται ὡς τὸ ἔθνον. τὸ γὰρ ἄρθρον διασείει αὐτὸ ἀπὸ τοῦ κτητικοῦ τοῦ ἀρσενικοῦ. εἰ δὲ σύμφωνον ἐπάγεται, ἀποβάλλει. ὡς τὸ ταὐτόν.

Αὐτόβοας, αὐτῆς ἑαυτῷ μαρτυρεῖς. Αὐτοβοεί, αὐτῇ τῇ βοῇ, τὸ παραχρῆμα συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις. οἷον ταχέως, καὶ ἅμα [illegible] πλειστῳ ἀλαλάγματι. Αὐτόγενεθλον, τὸ αὐτογένετον. Αὐτό γε, ἐπ' ἐκεῖνον τὸν τόπον. Αὐτόγνητος, τὸ δὲ αὐτόγνητος ὄλεσεν ὀργῇ, ἀντὶ τοῦ αὐθαίρετος, καὶ ἰδιογνώμων τρόπος. Αὐτόγυον μέρος ἀρότρου ἐστὶν ὁ γύης, καὶ τὸ γύον. γίνεται δὲ παρὰ τὸ γαῖα, γύα, ἐξ οὗ ὁ γύα, τὸ γύας. καὶ μετακλιθέντος τῆς γενικῆς εἰς εὐθεῖαν, ὁ γύης. Αὐτοδαῆ, καὶ αὐτομαθῆ, τὰ ἐκ φύσεως, καὶ μὴ ἐκ διδακτικῆς. καὶ τὰ ὀρχήματα, εἰς αὐτοδαῆ.

Αὐτοδάϊκτος, ὁ ἑαυτὸν φονεύσας, ἢ κακοτεχνήσας. Αὐτοδαὴς μήτης, μικρά. Αὐτόδαξον πρόσω, αὐθάδη καὶ ὀργίλον. ἐπεὶ οἱ ὀργίλοι δάκνουσι ἑαυτοὺς ὀδοῦσιν. Αὐτόδεσμος, ἑταῖρος κεκλημένος ἑαυτῷ φέροντα ἐπὶ τὸ δεῖπνον. Αὐτοδίκαιον λέγει, οὐκ εὐθυντικόν. κεινώτατον γάρ. Αὐτόδιον, ἤγουν κατὰ τὴν ὁδόν, καὶ αὐτόδιον οἱ μὲν ἀντὶ τοῦ παραχρῆμα φασιν, ἐξ αὐτῆς τῆς ὁδοῦ. οἱ δὲ ἀντὶ τοῦ αὐτίκα. καὶ ἐπιτηδῶς ἔχει φωνῇ. κοινῶς δὲ αὐθόδιον γράφεται. Αὐτοδοξεῖν, ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν. δαίμαρχος ἐν τῷ κατὰ τοῦ κλεομήδους. Αὐτόθεν, κόμας, ἢ ὁ κόσμος. Αὐτόθι, αὐτόχειρ. Αὐτόθι, ἦρα παρ' Ὁμήρῳ, ὁ ἁμαρτάνων ἐν τῷ λέγειν. Αὐτόθεν, σὺν αὐτῷ τῷ ἵππῳ. Αὐτόθεν, ἤγουν ἀπ' αὐτοῦ. Αὐτόθι, ἐν αὐτῷ τῷ τόπῳ. Αὐτὶ θύομαι, ἀντὶ τοῦ αὐτοὶ πίνομεν. Αὐτοῖς ἀνδράσιν ὕλην πᾶσαν, ἀντὶ τοῦ σὺν αὐτοῖς ἀνδράσιν. Αὐτοῖσιν ὄχεσφιν, ἀντὶ τοῦ σὺν αὐτοῖς τοῖς ἅρμασιν. Αὐτοκάβδαλος ἐστὶ, ὁ αὐτοκάβδαλον σκεῦος, αὐτοσχέδιον. κυρίως δὲ ἡ λέξις, ἐπὶ τῶν ἀλφίτων

ὄργανον ἐπιπνεόμενον. ὡς καὶ Ἀριστοφάνης, καλαμίνην σύριγγα. καὶ ἀπὸ μὲν τοῦ αὐλῶ, αὐλεῖν, ὑπαυλεῖν, καταυλεῖσθαι, προσαυλεῖν, αὔλημα, ἔναυλον, ἔξαυλον, ἐξηυλημένον. ἐν ἴσῳ δὲ καὶ πολύφθογγος αὐλός. καὶ πολυκέφαλος, πολυκαμπής, πολύφωνος, πολυμελής, πολυμελπής, πολυμήκης. Πλάτων δὲ καὶ πολύχορδον εἴρηκε τὸν αὐλόν. ἐπὶ δὲ αὐλῶν φασὶν, ἐμ, ἐμφυσᾶν, ἐμπνεῖν, ἢ καταπνεῖν. καὶ κατασκίμπτειν τὸ στόμα εἰς τὸν αὐλόν, ὑποπιμπλάμενος ταῖς γνάθοις, ὑπογλωττίζοντες, ὑποσιδεύοντες, καὶ ἄλλα πολλά.

Αὐλοῖσι διδύμοισιν Ὅμηρος ἐν Ὀδυσσείας τ. αὐλοὶ δὲ ἐνταῦθά φασι, ῥαβδίσκοι [illegible] εὐθεῖς, εἰς ἃς καταλείονται αἱ περόναι. ἃς διὰ τοῦτο καὶ κλειδίας [illegible] μικροῦ. διδυμοι δὲ οἱ τοιοῦτοι, ἀντὶ τοῦ διπλοῖ, ὁ συμφωνεῖ ταῖς περόναις. Αὐλός. τὸ φωνητικὸν ὄργανον. σημαίνει καὶ τὸν εἰς εὐθὺ ἀνακοντισμὸν τοῦ αἵματος. ὡς τὸ, αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν αἵματος. σημαίνει καὶ περόνης μέρος. ὡς τὸ, αὐλοῖσι διδύμοισι τέτυκτο [illegible]. καὶ τὸ στάδιον.

Ἄλλως. Αὐλὸς, ἡ ὀπὴ τῆς αἰχμῆς, ᾗ τὸ ξύλον ἐμβάλλεται. ὅθεν λέγομεν, τὸ δολιχαύλους αἰγανέας. ὁ αὐλὸς ἐν Ὀδυσσείας χ κατὰ τοὺς παλαιοὺς, κρουνὸς, ἐξακόντισμα, αἵματος ὀξεῖα ἀναφορά. αὐλὸς γάρ φασι πᾶν στενόν. ὅθεν καὶ ἔναυλοι, οἱ στενοὶ ποταμοί. τοιοῦτόν ἐστι καὶ οἱ αὐλῶνες. ὅθεν καὶ τὰ διαυλωνίζοντα πνεύματα, καὶ διαυλώνια, τινὰ στενότης καθ' ἣν ὄρνιθες, ἢ αὐλῶνες, ἄγριοι ὄρνιθες ἀγρεύονται. ἢ κατὰ τοὺς αὐλὸς, τὸ ἄκρον τοῦ δόρατος. ἐπεὶ καὶ αἰγανέας δολιχαύλους λέγει Ὅμηρος, τὰς μακροξύλους. ἢ τὸ τρῆμα τῆς ταινίας, τὸ διὰ τοῦ ἔγχους. ἄλλως δὲ, αὐλὸν τὸν ἐξακοντισμὸν φησὶν Ὅμηρος, καὶ τὴν ἐπιμήκη φορὰν τοῦ αἵματος. αὐλὸς γὰρ πᾶν τὸ ἐπίμηκες καὶ πλατύ. ὅθεν καὶ οἱ αὐλῶνες, καὶ ὁ τῶν πνευμάτων ἀνακαμπτικὸς διαυλωνισμός. καὶ αὐλὸς καὶ δίαυλος τὸ στάδιον. καὶ ἐξ αὐτοῦ μεταφορικῶς καὶ ἡ ἁπλῶς εὐθεῖα ἀνάκαμψις. ὡς τὸ, Πολλοῖς διαύλοις κυμάτων φορούμενος. καὶ ἐν Χορηγικῷ, χεῖρα καμψιδίαυλον ἀναστρωφῶν τέλος, ὅπερ ταχὺ ἀνακρούων. ἐν τῷ πλῆττειν τὰς χορδὰς, ὡς ὁ Καλλίων φράσις ὁ τοῦ Φιλοξένου. ἐν γὰρ οἱ δάκτυλοι δὲ, δὶς [illegible] ὑπτιάζουσιν. Αὖλαξ, ὁ σωματικός. Αὐληρός, εἰρηφύλαξ.

Αὖλαξ (κατ' αὐλῶ δὲ, ἄλοξ) μεταθέσει [illegible] αἰτιατικῇ συντάσσεται. Αὐλιλάζειν, τὸ σύριγγι διὰ τῶν δακτύλων. Αὐλὼν, κοίλη ἀναχώρησις τοῦ ὕδατος. καὶ λειμὼν, ὁ ἔφυδρος τόπος. Αὐλῶνες, οἱ ἐπ' εὐθείας τόποι. Αἰσχύλος, καὶ τὴν τάφρον ἐν τῶν πυρῶν. Σοφοκλῆς δὲ, τὴν λόγχην τὴν μακρὰν, αὐλῶπιν εἶπεν. ἢ φάραγγας, ἐν τόποις πλατεῖς. ἢ αὐλῶνες, τὰ μεταξὺ τῶν φθόγγων [illegible], καὶ ἐπὶ μῆκος φθέγματα. Αὐλωνία πόλις, ἀπὸ κρατησάντων κληθεῖσα. Αὐλωνίζει, ἐν αὐλῶνι διάγει. Αὐλωπίας, κοιλόφθαλμος. Αὐλῶπις, ἡ περικεφαλαία, ἡ πλαγιασμένας ἔχουσα ὀπάς. καὶ αὐλῶπις, ἡ εἰς αὐλὸν ἀνήκουσα. ὅ ἐστιν, εἰς στενὸν [illegible] αὐλός. ὡς ἐν τῷ, αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθε. παρὰ δὲ κατακέχρηται, εἰ καὶ τροπικῶς ὁ αὐλὸς ἐνταῦθα, καθὰ καὶ ἐν τῷ αὖλαξ. καὶ αὐτὴ ἡ διὰ τὸ στενοπίμηκες, ἐκ τοῦ αὐλοῦ παρωνόμασται, καὶ μίαν αὐτὴν ἔχει τι καὶ κοιλότητα τοῦ [illegible] τμῆμα. καί πως ἐγγύτερα τῷ αὐλῷ, διὰ τοῦτο μᾶλλον, ἤπερ ἡ αὐλῶπις τρυφάλεια. εἰ μὲν ἄρα καὶ αὐτῇ [illegible] ἢ κατὰ αὐτὴν κοιλότης. ὁ μέντοι ῥηθεὶς παχὺς αὐλὸς ἀνὰ ῥῖνας, σκληρότερον τὸ πρᾶγμα. ἢ. Αὐλῶπις, ἡ λόγχη ἡ εἰς ὀξὺ τῷ αὐλίσκῳ, εἰς ὃν ὁ λόφος ἐντίθεται. Αὐλωποὶ βωμοὶ λέγονται, διὰ τὸ κώδωνας ἔχειν, ἠρτημένους. οἷς ἐχρηματίζοντο οἱ ἵπποι, ἔχον ἐκεῖνο προσόμοιον αὐλῷ. Αὐμα, ἄλμη, ὑπὸ Κρητῶν. Αὐξάνομαι, ἐπιδίδωμι, αὔξω, ἐπιτείνω. Αὔξαι, ὁρμῆσαι. Αὔξω, ἐπὶ τοῦ ἐνεργητικοῦ. οἷον αὔξει ὁ ἥλιος καὶ ἡ ὑγρότης τὰ φυτά. καὶ αὔξω, ἀντὶ τοῦ αὐξάνεται. [illegible] ἐν τῷ εἰς ψάμμον, ἀλλὰ καὶ εἶναι αὔξησιν ἀρχῇ [illegible] αὐξάνω ἐπὶ μεταβατικοῦ σημασίας. οἷον αὐξάνει τὰ φυτά, ἤγουν αὔξησιν δίδωσι. καὶ αὐξάνομαι, ἐπὶ τοῦ αὐτοῦ σημαινομένου.

Αὐξῶ, ὡς αὐλῶ, καὶ αὐλῶ. ζητεῖται πότερον τὸ καλεῖται περισπωμένως, ἢ βαρυτόνως; οἱ μὲν ἀξιοῦσι καλεῖν καὶ περισπᾶν. ἡμεῖς δὲ λέγομεν ὅτι οὐ δύναται. οὐδὲ γὰρ τὸ ῥῆμα ἐστιν, αὐξῶ. λέγομεν οὖν, ὅτι τρία ταῦτα ὁμοίως λέγεται, αὔξει, καὶ βλάστει, καὶ ἄνθει. ἐπεὶ παρασχηματίζεται αὐξεῖς, αὔξησις, βλάστησις, ἄνθησις. τὸ αὐτὸ οὖν ἔχει καὶ ταῦτα τέλος, οὐ περισπώμενα. ἀλλὰ ἀναβιβαζόμενα, αὔξω, βλάστω, ἄνθω. Αὔξησις, ἐπὶ ἀνθρώπων, ἢ ζώων, ἢ ἑτέρων τινῶν. αὔξη δὲ καὶ βλάστη, ἐπὶ μόνων τῶν φυτῶν. καὶ αὔξησις κίνησις περὶ τὸ τέλειον μέγεθος. Αὐξίδιος ἑρμῆς, ἐπὶ τῆς [illegible]. Αὔξω, τὸ αὐξάνω, ὅτι οὐ αὔξησιν λαμβάνω. αὔξησιν λέγει τὴν πόλιν μεταβαλοῦσι. αἰτιατικῇ συντάσσεται.

Αὗον βοῶν, [illegible] τὸ τῶν ὑγρῶν βοῶν. ἐκεῖνο γὰρ ἐπιφερὲς ἐστι. γενικῶς δὲ ἀναφορὰν ἔχει τὸ βοῶν αὗον, δηλοῦν τὸ κενὸν, [illegible], βομβεῖν, καὶ τοιαῦτά τινα. μᾶλλον δὲ καὶ ἐπὶ τοῦτον τραχύτερον παρ' Ὁμήρῳ. καὶ αὗον, ξηρόν. Ἡσίοδος, αὗον ἀπὸ χλωροῦ τέμνει. καὶ αὗον κοινῶς μὲν ψιλοῦται. ἐν δὲ τοῖς Ἀππίωνος καὶ Ἡρωδιανοῦ φέρεται, ὅτι δασυντέον τὸ αὗον. καὶ ἔστιν ἀττικὸς ὁ [illegible] μολισμὸς αὐτοῦ. καὶ ἐν τῷ [illegible], ὡς δηλοῖ τὸ ἀφαυάνθη παρὰ τῷ κωμικῷ. πρωτότυπον δὲ τοῦτον τὸ αὔω. Αὐέσθω, ἢ ξηραίνεται, παρὰ τὸ αὔω τὸ ξηραίνω. καὶ ἡ λύπη, κραυγὴ, αὐχμὸς, φθορά, [illegible], ξηρασία. Αὖος, ξηρός. ἔστιν οὖν ῥῆμα, τὸ βρέχω. καὶ [illegible] τοῦ α, αὔω, καὶ ἐν συναιρέσει, ἄνω, ἐξ οὗ αὖος. Αὖ πάλιν, πάλιν αὖθις. Αὔσετε νύκτας ἰαυον, καὶ παλαιὰς [illegible] ἐν κοίτῃ ἄυπνος. Αὖρα, ἡ πνοή, παρὰ τὸ [illegible] καὶ β. Αὐραλιανός, βασιλεὺς ῥωμαίων, τὰ πολέμια δεινῶς ἠσκημένος, ἀπαίδευτος δὲ τῶν γραμμάτων, καὶ ὠμός.

Αὐριβάτας, Αἰσχύλος τὸ αὔριον, ἐπὶ τοῦ ταχέως τίθησι. καὶ ὁ [illegible] ἐν ψυχοστασίᾳ οὕτω φησὶ τὸ ὄνομα ταχυβάμων. Αὐρίζειν, ῥιγοῦν, ἢ καὶ τὸ εἰς αὔριον ὑπερβάλλεσθαι. Αὔριον ἐπίρρημα. τῷ μέλλοντι μόνῳ συντάσσεται. οἷον, αὔριον ποιήσω. ποτὲ δὲ καὶ ἐνεστῶτι. [illegible] ἐν βιβλίῳ γενέσθαι δηλοῦν βούλομαι [illegible] αὔριον ἔρχομαι. Αὔριον, παρὰ τὸ [illegible], ὃ σημαίνει τὸ ἡμέραν. ἄνιον, καὶ αὔριον, τὸ χρόνον. Αὖροι, οἱ λαγωοί.

Αὐροὶ λόγοι, [illegible]. Αὐρόχα, ἡ ἄμπελος. Αὐρόσδον, [illegible]. Αὖς, αὐτὸς [illegible]. Αὐσάντων, βοησάντων, φωνησάντων, κεκραξάντων, κραυγασάντων. [illegible], φωνήεις, βεβηρός. Αὐσίλα, πόλις Λιβύης. ἣν παραρρεῖ ὁ Κίνυφος ποταμός. Αὐσίτης, ἰταλὸς, ἰταλιώτης. καὶ ὑπερβιβασμῷ [illegible] χώρα ἐστίν. Αὐσόν, ξηρόν. Αὐσονία, ἡ Ἰταλία, ἐκλήθη ἀπὸ Αὔσονος τοῦ Ὀδυσσέως καὶ Καλυψοῦς υἱοῦ.

[illegible], οἱ βασιλεῖς, παρὰ τὸ αὔω [illegible] τοῖς προστάγμασιν. Αὐσταλέος, καὶ κατὰ διάλυσιν, αὐσταλέος ὁ αὐχμηρὸς, ἀπὸ τοῦ αὔω. ἐξ οὗ καὶ ὁ αὐχμὸς, καὶ ὁ αὐχμηρός. ἔοικε δὲ ἀπὸ τοῦ τοιούτου αὔω, προσπαραλαβεῖν τὸ σ, καὶ ὁ αὐτὸς ἐξ αὐτοῦ ὁ αὐστηρός. καὶ αὐσταλέος, ὁ αὐχμηρός. αὐσταλέος, ὁ μὴ λουσάμενος. καὶ αὐσταλέος, ὁ κατάξηρος, καὶ ἀνακεκαυμένος. ἀπὸ τοῦ αὔω αὔσω, τὸ φλογίζω, αὐσταλέα, καὶ αὐσταλέα. τροπῇ δωρικῇ τοῦ ε εἰς α. Αὐστὴρ, μέτρου ὄνομα. Αὐστηρὸς, σημαίνει τὸν στρυφνὸν, ξηρὸν, αὐχμηρὸν, σκυθρωπόν. Αὔσω, τὸ [illegible]. Αὐτάγγελος, ὁ ἀφ' ἑαυτοῦ ἀπαγγέλλων. ὡς τὸ, αὐτάγγελος γὰρ δεῦρ' ἀνῆλθε φράσων. Αὐτάγρετοι, αἱ ἑκουσίως αἱρούμεναι. Αὐτάγρετα, τὰ [illegible] ἀνθαίρετα. ἢ μᾶλλον αὐτόθεν ἀγρευόμενα, ὅπερ ἀγρευόμενα. καὶ παρ' αὐτὰ γινόμενα ἐν τοῖς ἀνθρώποις, πάντα τὰ πράγματα παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. Αὐτάγρετον, τὸ ἀνθαίρετον. Αὐτὰ κέλευθα, τὰς αὐτὰς ὁδοὺς, τὴν αὐτὴν ὁδόν. Αὐτάδης, αὐτὸς ἀφ' ἑαυτοῦ. Αὐταῖς βουλαῖς, ἀντὶ τοῦ σὺν αὐταῖς ταῖς βουλαῖς, ἀττικῶς. [illegible], ὑφ' ἑαυτοῦ

ματευ-

γεν τοῦν αὐ ἐρύειν, ἐν πλεονασμῷ δύο λέξεων. ἢ ἀνωερύειν, ἐν συνθέσει κατὰ ὀπίσω, ὅπερ ὀπίσω ἕλκειν, ἢ ἀναφέρειν ἐν ταῖς ἀνακλάσεσι. ὃ καὶ ἑρμηνεύειν δοκεῖ Σοφοκλῆς ἐν τῷ, ἄνω ῥίπτειν ἐρύσασα μὲν γὰρ ἔφασαν ἢ ἄλλως τι· κατεχομένοις ἔσθεν, κάτω τὸ ἐξ ἐπικλίνειν ἐκφέρειν. τὸ σφάζειν πρωτότυπον, φῶ φάζω. καὶ πλεονασμῷ τοῦ σ σφάζω, κατὰ τὸ, μικρὸν σμικρὸν, καὶ μερίδα σμερίδα, καὶ μῶ σμῶ. ὅθεν τὸ σμήχω. ὃ ἐκ τοῦ ἔρυθρον, καὶ μετὰ τοῦ α ἄερσθαι, καὶ πλεονασμῷ τοῦ υ αὐέρυσαν, τουτέστιν εἰς τοὐπίσω ἀνέλκυσθεν τὸν τράχηλον τοῦ θυομένου ἱερείου, ὡς πρὸς ἔχειν εἰς οὐρανόν.

Ἄλλως. Αὐέρυσαν παρὰ τὸ αὐτοῦ, ἀνέστρεψαν τὸν τράχηλον τοῦ ἱερείου, ἵνα ἡ κεφαλὴ ἄνω ἀφορᾷ. τοῖς γὰρ οὐρανίοις θεοῖς ἔθυον ἕω ἔσθεν, ἀνατέλλοντος τοῦ ἡλίου, καὶ ἀνατρέποντες τὰς κεφαλὰς τῶν θυομένων. τοῖς δὲ καταχθονίοις, τὸ ἔμπαλιν, περί τε δυσμὰς ἡλίου, καὶ τὰς κεφαλὰς κατωφερίζοντες τῶν ἱερείων. τὸ δ' αὐέρυσαν ὁμοῦ δεῖ ἀναγνώσκειν, ἀπὸ τοῦ ἀνὰ προθέσεως, καὶ ἔρυθρον συντεθειμένον, κατὰ ἀποκοπὴν, καὶ πλεονασμῷ τοῦ υ, ἵνα μακρὸν τὸ α γίνηται. ὡς ἀπὸ τοῦ κατὰ προθέσεως καὶ τοῦ ἄξαι, τὸ καυάξαις παρ' Ἡσιόδῳ. Αὔετο, ἐμαθεῖτο. Αὐίαχοι, ξηρόν. Αὐὴρ, αἰολικῶς, ἀντὶ τοῦ ἀήρ. Αὖλαι, ἄσαι.

Αὔσπορ, ἱκανόν. Αὐθάδεια, θρασύτης, ἀλαζονεία, αὐτάρεσκα. Αὐθάδης, ἰσχυρογνώμων. Αὐθάδης, ὑπερήφανος, ἀναιδὴς. καὶ κλίνεται αὐθάδης. ἡ κλητικὴ, αὐθάδες, παράλογον δὲ τὸ οὐ αὐθάδες. Αὐθαδία, ὑπεροψία. Αὐθαδιάζεται, ὑπερηφανεύεται. Αὔθαιμοι, οἱ ἀδελφοὶ, ἀπὸ τοῦ αὐτοῦ αἵματος. Αὐθείρετ, αὐτόβουλος, ἢ αὐτεπάγγελτος. Αὐθέκαστα, αὐτὰ καθ' ἕκαστα γινόμενα. ἢ αὐτὰ τὰ γινόμενα, ἀκριβῶς καὶ συντόμως, καὶ αὐτοτόμως. ἢ τὰ ἁπλᾶ καὶ ἀληθῆ, αὐτακριβῶς.

Αὐθέκαστος, ὁ αὐστηρὸς, καὶ ἐν τοῖς καθ' ἕνα βίον ἀριθμούμενοις ἀκριβῶν πάντας, διὰ τὸ νομίζειν αὐτὸν ἑαυτῷ λόγον διδόναι πάντων ὀρθῶν. οὐ ἀπειροκαλίαν ἔχων πρὸς τὰς ἐπιφοράς, δι' ἀπλότητα γνώμης. καὶ αὐθέκαστος, ἀκριβὴς, ἢ σύντονος. ὅθεν καὶ λόγους αὐθεκάστους, τοὺς σαφεῖς καὶ συντόμους λέγομεν ἐπὶ δὲ, καὶ τὸν παρρησιαστικὸν καὶ αὐθάδη. ὁ αὐστηρὸς, ὁ παρὰ ἀπαιδευσίαν, ὁ παρὰ γνώμην ἀπλοῦς, ἐλεύθερος, ἀξιόπιστος, καταφρονητικός. Αὐθεκαστότης, ἀκρίβεια. τὸ μὲν εὐηθείας, τὸ δ' ἀληθείας. τὸ δὲ παρὰ τὸν κεκινημένον αὐθεκαστότης, αὐθάδειον. Αὐθεντεῖν, ἐξουσιάζειν. Αὐθέντης, ὁ ἐπὶ αὐτοφόντης. αὐθέντης λέγεται, ὁ ἐξ ἑαυτοῦ ἐπὶ ἐργασίαν φόνον ἱέμενος, ἀπὸ αὐθέντης τις ὤν. Αὐθεντήσαντα, κύριον γενόμενον. Μὴ ἀφιλάργυρον, τὸν αὐθεντήσαντα, τοὺς ὑπὸ ζυγὸν συνέλαβεν. Αὐθημεραίω, αὐθημερινῶς. Αὐθημερὸν, αὐτῇ τῇ ἡμέρᾳ. Αὖθι ἐπὶ τόπου, ἀντὶ τοῦ αὐτόθι, καὶ ἀντὶ τοῦ πάλιν. Αὐθιγενὴς, ἐγγενὴς, ἐγχώριος. Αὐθιγενὴς, γνήσιος, αὐτόχθων, ἰθαγενής.

Αὖθι μένειν, τοπικὸν ἐπίρρημα αὐτόθι, ἐπὶ τόπου. ἐν γενικῇ δὲ, ἐν τοπικῇ χώρᾳ λαμβάνεται. Ὅμηρος, αὐτοῦ οἱ καὶ μοῖρα τετύχθαι. διαφέρει δὲ αὖθις. τὸ μὲν αὖθι τοπικὸν ἐπίρρημα, ἀπὸ τοῦ αὐτόθι. τὸ δὲ αὖθις σημαίνει τὸ πάλιν, καὶ μετὰ ταῦτα. τὰ εἰς ις ἐπιρρήματα, παραγωγικὰ λέγεσθαι ἢ ἄνευ τοῦ σ, διὰ τοῦ ι γράφεται, αὖθι, καὶ αὖθις. ὁ τὰ βαρυνόμενα ἐπιρρήματα, ὑποστέλλει τὴν δίφθογγον. οἷον, αὖθι νόσφι, ἀντὶ τοῦ χωρίς. ἄγχι, ἀντὶ τοῦ ἐγγύς. ἶφι, ἀντὶ τοῦ ἰσχυρῶς. πάλι, ἀντὶ τοῦ ναί. ἦχι, ἀντὶ τοῦ ὅπου. ὄψι, ἀντὶ τοῦ ὀψίως. τρίτον, ὄψ, ἄμφω, πλειστάκι, πολλάκι, ὀλιγάκι. Αὖθι μίνειν, ἐπὶ τόπῳ μένειν. Αὐθίξαο, καθίσαο. Αὖθις μετὰ τοῦ σ, τὸ πάλιν. αὖθι, ἀντὶ τοῦ αὐτόθι, χωρὶς τοῦ σ. καὶ αὖθις μετὰ τοῦ σ, τὸ ὕστερον. αὖθις μὲν Ὅμηρος χρῆται, καὶ ἐπὶ τοῦ αὖθις δὲ, ἐξῆς. αὐτόθι δὲ ἀπὸ τοῦ αὐτόθι φασὶν Ὅμηρος τοπικόν, ὃ καὶ αὖθι, καὶ αὐτόθεν, μέσον χεῖρα γλάφυροι. καὶ αὖθις ἐξ αὐλῆς, ἐκ δευτέρου. καὶ αὖθις, μέσον τῶν μελλόντων συντάσσεται. αὖθις ὑποστρεφθεὶς, ἤτοι μεταστραφεὶς. Αὐθομαίμων, τὸ συγγενῶν. Αὐθίζεον, ῥίζοθεν, κόπτειν. Αὐθύπαρκτον, τὸ ἐν ἑαυτῷ καὶ μὴ ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν. Αὐθώρας, ὁ αὐτὴν βλέπων. Αὐθωρὶ δὲς, συντόμως. Αὐθωρὸν, αὐτῇ τῇ ὥρᾳ. Αὐίαχοι, ἄβρομοι, πολύαχοι. ἢ παρὰ τὴν ἰὰν, ὃ σημαίνει τὴν φωνήν. ἢ παρὰ τὸ ἰαχὴ, ἰαχὸς, καὶ ἐν συνθέσει αὐίαχος, ἵνα σημαίνῃ τὸν ξηρόφωνον. Αἰκλίδον, ἀφανοῦς, ἀοράτου. Αὐκὰν, ἀλκὴν, κράτος.

Αὐκήλως, ἴως, ὑπὸ Τυρρηνῶν. Αὐκηρασία, ἀφθαρτα.

Αὐκύονα, ἀλκύονα. κράτος. Αὐλὰ, πανδέκτης. Αὐλαία, τὸ τῆς σκηνῆς παραπέτασμα. Αὐλαὶ, ἐπίπεδον κλισιάδα, πλησίον τῆς θύρας. οἱ οἰκοῦντες, αὐλακοῦσαι. Αὔλακες, κοίλας τόπους.

Αὖλαξ, ἡ ἐπιμήκης τομὴ τῆς γῆς ἐξ ἀρότρου, ἢ κοῖλον.

Αὐλαρὸς, αὐλωρὸς, οἰκοφύλαξ. Αὔλαχα, ἡ ὕνις.

Αὔλειος, ὁ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας. καὶ αὐλείας, θύρας. Αὐλείτης, ὁ ἀπὸ τῆς ἐπαύλεως, ὁ ἄγροικος. ἔστι δὲ παρὰ τὴν αὐλὴν τὸ ὄνομα. Αὐλὴ, ὁ περιτετειχισμένος καὶ ὕπαιθρος τόπος. καὶ αὐλὴ, τὸ νῦν ἀρχεῖον λεγόμενον. ὅπου σκηνοῦσιν οἱ βασιλεῖς. καὶ βοῦς ἱκανὸς παρ' ὅτε, αὐλικὸς ὠνόμαζον. Αὐλὴν, κοίτην, ἔπαυλισμόν. καὶ αὐλὴν, καὶ αὖλιν παρωνύμως καὶ ἔπαυλιν ἔστιν εἰπεῖν. Αὐλῆρας, ἡνίας, μασθλητῆρας. Αὐληρὸν, χαλινὸν, χειρίον. οἱ δὲ σειρὰν. Αὐλῆς, ἐπαύλεως. καὶ αὐλῆς ἐν χόρτῳ, ἐν τῷ περιφράγματι τῆς αὐλῆς περιωρισμένῳ. καὶ γὰρ τὰ ὅμορα, σύγχορτα λέγουσι. καὶ αὐλῆς, τὸ κατ' ἀγροὺς ἐπαύλεως λέγει. Αὐλησιῦν δωρικῶς, ἀντὶ τοῦ αὐλήσειν. αὐλεῖν δὲ, τὸ διὰ αὐλοῦ μέλπειν. Αὐλεταὶ, ἀκροαταὶ, αὐλοῦντες.

Αὐλήτιν, τὴν τοῦ κόπρου ἐκφερομένην τῶν προβάτων. Αὐλητορία, αὐλῶν θήκη. Αὐλητήριον, τόπος παρὰ Ταραντίνοις.

Αὐλητὴς, εἶδος σφηκός. Αὐλία, ἀντὶ τοῦ ἔπαυλις. οὕτω Λυσίας, καὶ Αἰσχίνης. Αὐλίδα, λιμένα. Αὐλίζεται, κατασκηνοῖ, φυλάττεται, παρεμβάλλει, κοιμᾶται. Αὐλίζομαι, τὸ ἀναστρέφομαι ἐν τῷ δὲ τῷ τόπῳ. καὶ αὐλίζομαι, μένω, ἐνδιατρίβω. Αὐλιζομενάων, εἰς κοίτην ἐλαυνομένων. Αὐλιζόμενοι ἀντὶ τοῦ κοιμώμενοι. οὕτως Ἀντιφῶν. Αὐλίκοροι, φύλακες.

Αὐλικοὺς, κιθαρῳδούς. Αὐλίξαι, σκοτάσαι, ἀφρεῖν.

Αὖλιξ, φλέψ. Αὔλιον ἄντρον, παρὰ τὸ ἐν αὐτῷ αὐλισθῆναι τὸν Διόνυσον. Αὔλιον ἄστρα λέγει ὁ Ἀπολλώνιος, τὸν ἑσπερον. ἢ παρὰ τὸ αὐλίζεσθαι, ὅ ἐστι κοιμᾶσθαι. ἢ παρὰ τὸ ἐν αὐλαῖς διατρίβειν, καθ' ἣν ὥραν ὁ ἑσπέρος ἀνατέλλει. Αὐλὶς, ἐπιτόπιον Εὐβοίας κεῖται, φυλάσσον μέχρι καὶ νῦν τοὔνομα. ἐκλήθη δὲ οὕτω, παρὰ τὸ ἐκεῖ αὐλισθῆναι τοὺς τῶν Ἀχαιῶν, πρὸ τοῦ ἀποπλεῖν ἢ ἀλισθῆναι, ἤγουν συναθροισθῆναι. ἢ ἀπὸ Αὐλίδος φασὶ, θυγατρὸς Εὐρυμάχου ἢ Ὠγύγου. ἔχει δέ φασι λιμένας ἡ Αὐλὶς, τοὺς μὲν βλέποντας ἐπὶ τὸν ἥλιον, τοὺς δὲ καταγωγοὺς ἀπὸ πάσης θαλάσσης. διὸ ἀθροισθέντες οἱ Ἀχαιοὶ αὐτόθι, ἀπέπλευσαν. ὁ Στράβων δέ φασιν, ὅτι Αὐλὶς πετρῶδες χωρίον, ἔχει λιμένα πεντήκοντα πλοίοις. ὥστε εἰκὸς τὸν ναύσταθμον τῶν Ἑλλήνων, ἐν τῷ μεγάλῳ ὑπάρξαι λιμένι. Ἀπιὼν δ' αὐτῆς Εὔριπος, ὁ Χαλκιδικὸς. εἰς ὃν ἀπὸ Σουνίου στάδια ἑβδομήκοντα. ἔρχεται δὲ ἡ Αὐλὶς, ἀναλόγως διὰ τὴν παρωνυμίαν. ὡς πόλις, πολίς. τὸ δὲ βαρύτονον, ἐξ οὗ καὶ ἡ ἔπαυλις, αἰολικόν φασιν εἶναι. βαρυτονικοὶ γὰρ οἱ αἰολεῖς. καὶ ἄλλως δὲ, ἡ μὲν αὐλὶς, ὡς ἐκ τοῦ αὐλίζω αὐλίσω, ἔχει ἂν ἴσως τὴν ὀξεῖαν τόνον. ἡ δὲ αὖλις τὴν βαρεῖαν, πρὸς διαστολήν. οἷον, ἀτερπία δ' αὖλιν ἔχουσαν. ἔστιν ἡ τοῦτο ἀναλογία, κατὰ τὸ θέτιδα θέτιν, ἄρτεμιδα ἄρτεμιν, κύπριδα κύπριν. ἃ δὴ πάντα βαρύνεται. Αὐλὶς, πόλις Βοιωτίας κατ' ἀντικρὺ τῆς Εὐβοίας κειμένη. Αὖλις, ἀπὸ τῆς αὐλῆς αἰολικῶς, ἡ κοίτη, καὶ ἡ κατασκήνωσις. ὅθεν καὶ ἡ ἔπαυλις, καὶ τὸ αὔλιον. Αὐλίσκοι, αὐλοὶ, σύριγγες. Αὐλισμὸς, διανυκτέρευσις. ἔθλα. αὐλῖας ἐν τῷ κατὰ Λεωκράτους, καὶ Αἰσχίνης κατὰ Κτησιφῶντος ἔτι ἀντὶ τοῦ ἐπαύλεως, ἢ ἀντὶ τοῦ τὰς μακρὰς αὐλάς. Αὐλοὶ καὶ σύριγγες,

δὲ κατακλᾶσθαι φίλον ἦτορ, δεισάντων φθόγγον τε βαρύν. ἀντὶ τοῦ φοβηθῆναι. Ἀττικοῖς γράμμασι, Δημοσθένης κατὰ Νεαίρας, ἀντὶ τοῦ παλαιοῖς. τῶν γὰρ τῶν κδ΄ στοιχείων γραμματικῶν ἐφ' ἱκανὸν παρὰ τοῖς Ἴωσιν εὑρεθέντων, Θεόπομπος δὲ ἐν τῇ κε΄ τῶν Φιλιππικῶν ἐσκευωρῆσθαι λέγει τὰς πρὸς τὸν βάρβαρον συνθήκας. αἳ οὐκ Ἀττικοῖς γράμμασιν ἐστηλίτευται, ἀλλὰ τοῖς τῶν Ἰώνων. Ἀττικὸν, ἀγγεῖον παρὰ τῷ Ἱπποκράτει. Ἀττικουργὲς ἐμπυρὸν, τὸ κατὰ Ἀττικὸν τρόπον εἰργασμένον. Ἀττικωνικοί. οὕτως ἔλεγον τοὺς ἀττικίζοντας, καὶ συνεβρίζοντας τοὺς Ἀθηναίους. ἃ πρὸς τὸ λακωνικὸν ἔπαιξεν Ἀριστοφάνης ἐν Γεωργοῖς. Ἀττικῶς, Ἀθηναίως.

Ἄττις, Ἀθῆναι. Ἄττυτος, ἑρμηνευτὸς, παιδευτός. λέγεται δὲ ὃς ἀπὸ τῶν σκηνικῶν. Ἀτύζει, ἐκπλήσσει, ταράσσει, ἀπολύει, φοβεῖται. Ἀτύζηλον, φοβερὸν, ἀφανὲς, ἄσημον. Ἀτύζηλα, ἀγλαά. Ἀτύζεσθαι κατὰ τοὺς παλαιοὺς, τὸ ἐκπλήττεσθαι. τελευτᾷ γάρ φασιν εἰς τὸ φοβεῖσθαι. παράγεται δὲ ἐκ τοῦ ἀτῶ, κατὰ τὸ κλῶ κλύω, καὶ τὰ τοιαῦτα. Ἀτυζηλῶ, ἐκπλητικῶ. ῥηματικὸν δὲ τὸ ἀτυζηλῶ. ἔστι δὲ ἀπὸ ὀνόματος τοῦ ἀτυζηλός. ὡς Ἡρωδιανὸς, ἐν τῷ ἕκτῳ τῆς καθόλου. Ἀτυζόμενοι, τεθαμβημένοι, λυπούμενοι, θορυβούμενοι. ἐκ τοῦ ἀτύζω. παρ' Ὁμήρῳ, ἀτυζόμεναι ἤμελλε, τουτέστι ταρασσόμεναι. Ἀτύζω. παρὰ τὴν ἄτην γίνεται ῥῆμα ἀτῶ. οὗ παράγωγον ἀτύω, ὡς ὀλῶ ὀλύω. πλεονασμῷ δὲ τοῦ ζ, ἀτύζω. ὡς καὶ παρὰ τὸ ἀτίω, ἀτίζω. Ἄτυκτον, ἄκοσμον, σκληρὸν, ἀκατασκεύαστον. Ἀτυλὸν, μικρὸν, ἀσθενές. Ἀτυπῶλαι, κριθαὶ ἀπίτυροι, λεγόμεναι ἀλίπυροι. Ἄτυπος νοῦς, ὁ μηδὲν σωματικὸν κατὰ τὴν καιρὸν τῆς προσευχῆς φανταζόμενος. οὐ γάρ ἐστι σῶμα θεός. Ἀτυφία, ταπεινοφροσύνη. Ἄτυφος, ἀκενόδοξος.

Ἀτυχῆσαι, ἀντὶ τοῦ ἀποτυχεῖν. οὕτω Πλάτων. Ἀτυχήσας, ἀποτυχών. Ἀτύχημα, ταλαιπωρία. Ἀτυχθεὶς, ἀπορηθεὶς, ἐκπλαγεὶς, καὶ ὁ μὴ βουλόμενος τυχεῖν, ἀλλ' ἀποστρεφόμενος εἰς τὸ διαμαρτεῖν. σημαίνει δὲ καὶ τὸ καταπλαγεὶς, φοβηθεὶς, ὄψιν ἀτυχθείς. ἐκ τοῦ τεύχω, λείπει ἡ κατὰ πρόθεσις, ἢ ἡ διά. ἵνα λέγῃ, ὅτι ταραχθεὶς καὶ ἐκπλαγεὶς διὰ τὴν ὄψιν, ἢ πρὸς τὴν ὄψιν. διὸ καὶ ἐν τῷ, ἐπεὶ ἀτυζόμενοι πεδίοιο, λείπει τὸ τοιοῦτον διὰ. ἵνα λέγῃ, ὅτι ταρασσόμενοι ἐπὶ πεδίοιο, διὰ σέβαστιν ἐπεῖχε.

Ἀτυχὸν, μέτριον. Ἀτύω, τὸ ταράσσω, καὶ ἀτύζω. καὶ κατὰ παράγωγον, ἀτύζω αἰολικῶς. Ἀτυμένη, ἄτῃ συνεχομένη, βλαπτομένη. Ἄτωρ, ἡ μελία, ὑπὸ Αἰτωλῶν.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Υ.

Α τῷ δίφθογγος πρὸ συμφώνου, ψιλοῦται. οἷον αὐτὸς, αὔρα, αὔριον. ἀμέλει κατὰ τοὺς παλαιοὺς, αὔω τὸ ξηραίνω δασύνεται. καθὰ καὶ τὸ αὐαίνω παρὰ τῷ κωμικῷ. διὰ τὸ μὴ ἐπιφέρεσθαι τῇ διφθόγγῳ σύμφωνον. αὔω δέ φασι, τὸ φωνῶ, ψιλοῦται, πρὸς διάφορον σημασίαν. Αὖ, πάλιν, αὖθις. Ἀττικοὶ πολλάκις κατὰ πλεονασμὸν προφέρουσιν. ὡς πολλαχοῦ ἐστιν εὑρεῖν παρὰ Ἀριστοφάνει. Αὖ αὖ λέγει Ἀριστοφάνης, μιμούμενος τὴν φωνὴν τοῦ κυνός. Αὐαὶ, πάλαι πεφίκηλα. ταυτὴν μὲν ἐκ παραλλήλου δηλοῦσι. λέγει δὲ τὰ ξηρὰ ξύλα. τὸ δὲ χρήσιμον αὐτῶν, ἵνα κατὰ τὴν ποιητῶν πλῶσιν ἐλαφρῶς. καὶ βόας αὔας, τὰς ξηρὰς βύρσας. Αὐαίνει λίθον ἔπλασεν ὁ Ἀριστοφάνης, ἐν τῷ ᾅδῃ. ἀπὸ τοῦ αὐαίνεσθαι τοὺς νεκροὺς, καὶ ἀλίβαντας εἶναι. ἢ ἀπὸ τοῦ αὐτοὺς νεκροὺς εἶναι, ὡς ὄντος λίθου ἐν ᾅδῃ οὕτω λεγομένου, αὐαίνου λίθου. φασὶ δὲ αὐαίνου λίθον ἰδίᾳ λέγεσθαι Ἀθήνησι, παρ' ὃν οἱ κακῶς ἀπὸ τοῦ αὐαίνου παθόντες. ἐπειδὴ οἱ πολὺν χρόνον περιμείναντες εἰώθασι λέγειν, αὖος γέγονα περιμένων. ἔοικε δὲ θρυλλούμενον τοῦ ᾅδου. ἀναπλάττει δὲ οὖν, ἀπὸ τοῦ τοὺς νεκροὺς ξηροὺς εἶναι, καὶ ἀλίβαντας. τὸ δὲ ἀληθὲς, οὕτως ἔχει, παρὰ τὸν λίθον αὐαίνω, ἤγουν ξηραίνω, ὅτι ξηραίνονται οἱ νεκροί. Αὐαίνεται, ξηραίνεται. Αὐαλέας, κατάξηρας, καὶ τὰς ξηρὰς βύρσας. Αὐαλέος, κατάξηρος. παρὰ τὸ αὔω τὸ ξηραίνω, αὖος καὶ αὐαλέος. Αὐαλὸς, ὁ Διόνυσος. Αὐανθεὶς, ξηρανθείς.

Αὐαντὴ, ξηραντικὴ νόσος. παρὰ τῷ Ἱπποκράτει. Αὐαρὰ, τὰ ἀνεκλεῖα κάρφη. Αὐας, ξηράς. Αὐάτεω, τοῦ βλάβης αἰολικῶς, ἀντὶ τοῦ ἀάτης. Αὐγάζομαι, βλέπω, θεωρῶ. Αὐγαζόμενος, ὁρῶν. Αὔγαρος, ὁ ἄσωτος, ὑπὸ Κυπρίων. Αὐγάσσασθαι, ἰδεῖν. Αὐγεαὶ, οὐ μόνον Λοκρικαὶ, ὧν ὁ πολίτης Αὐγεάτης, ἀλλὰ καὶ Λακωνικὴ πόλις ἔστιν ὁμώνυμος. Αὐγείας. Ἡρακλῆς τὴν τοῦ Αὐγέου βοῶν κόπρον ἐκκαθάρας οὐκ ἔλαβε ἐπαγγελθέντα τὸν μισθὸν, ὃς ἦν δεκάτη τῶν βοῶν, λέγων οὐχ ἑκόντα ποιῆσαι τὸ ἔργον, ἀλλ' ἐπιταγέντα ὑπὸ Εὐρυσθέως. καθίζουσιν οὖν κριτὴν αὐτοῖς τὸν Φυλέα, τὸν τοῦ Αὐγέου υἱόν. ὁ δὲ καταψηφίζεται τοῦ πατρός. ὀργισθεὶς ἐπὶ τούτοις Αὐγείας, καὶ ἐκβάλλει τὸν υἱόν. Ἡρακλῆς δὲ ἐπιστρατευσάμενος, πορθεῖ τὴν Ἦλιν, καὶ μετακαλεσάμενος ἐκ Δουλιχίου τὸν Φυλέα, δίδωσιν αὐτῷ τὴν τοῦ πατρὸς βασιλείαν. καὶ τὴν στρατὴν διὰ τὴν ἐκ πολέμου ὀλιγανδρίαν, συγκατακλίνει ταῖς τῶν τετελευτηκότων γυναιξί. καὶ τὸν ὀλυμπιακὸν διαθέμενος ἀγῶνα, πρῶτος αὐτὸς τῶν ἀγωνισμάτων ἅπτεται. πρὸς δὲ τούτοις ἱστορεῖται, καὶ ὅτι τὴν ἀρχὴν ποιεῖται τοῦ ἀγῶνος ἐπιμέλειαν. ἐπεὶ δὲ τοῖς Μεσσηνίοις αὐτοὶ κατὰ Λακεδαιμονίων συνεμάχησαν, καθελόντες ὕστερον αὐτοὺς οἱ Λακεδαιμόνιοι, παρέχουσι τὴν τοῦ ἀγῶνος ἀρχὴν τοῖς Ἠλείοις, οἳ κατὰ Μεσσηνίων τοῖς Λάκωσι συνεμάχησαν. Αὐγέας, Ἀθηναῖος κωμικὸς, τῶν δραμάτων αὐτοῦ ἀγροικος. Αὐγεῖν, ἀλγεῖν. Αὐγὴ, ἡ λαμπρότης, παρὰ τὸ ἄγω, ἀγῶ. καὶ αὐγὴ, δι' ἧς ἀγόμεθα. ἐπεὶ ὅσος γὰρ παρὰ τὸ ἐπέχειν ἡμᾶς. Αὐγίας, ἄδηλος τύραννος. Αὐγοειδὲς, ἀστροειδὲς καὶ αἰθέριον. ὡς τὸ, ἐφ' ᾧ Πορφύριος ἐκεῖνο ἀνακεῖται, ὡς ἔχει ἡ ψυχὴ αὐγοειδὲς ὄχημα. Αὐγυπνίον, ὀξυπύλιον. Αὐγῶ, αὐγάζομαι. Αὐδὰ. ἔστιν αὐδάω, ῶ, αὔδαον αὔδων, αὔδαε αὔδα, αὐδάετον αὐδᾶτον. καὶ τὸ προστακτικὸν, αὔδαε αὔδα. Ὅμηρος, ἐξαύδα, μὴ κεῦθε νόῳ. καὶ αὔδα, λέγε. καὶ αὐδήεσσα, βοῶσα, φωνοῦσα. Αὐδὰν λέγεται, τὸ ἀνθρωπίνως λαλεῖν. αὐδὴ γὰρ οὐχ ἁπλῶς ἡ τυχοῦσα φωνὴ, ἀλλ' ἡ ἀνθρωπίνη. ὅθεν καὶ αὐδήεσσα, ἡ χρωμένη φωνῇ ἀνθρωπίνῃ. καὶ αὐδήεις ὁμοίως, γίνεται παρὰ τὸ αὔω τὸ φωνῶ, καὶ τὸ δέω τὸ λέγω, αὐδή. ἡ συναλειφομένη, ἡ ἑρμηνεύουσα αὐδή. Αὐδηναῖος, ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ Ἰανουάριος. Αὐδίνασα, ἡ διαβεβαιωθεῖσα κατὰ τοὺς παλαιούς. ὅ ἐστιν ἀοίδιμος διὰ τὰ ἐν αὐτῇ συμβάντα. ἢ ἔνδοξος, ὀνομαστή. ἢ κατὰ Ἀρίσταρχον, ἡ χρωμένη ἀνθρωπίνῃ φωνῇ. οὕτω γὰρ αὐδήεντες οἱ ἄνθρωποι, πρὸς διαστολὴν τῶν λοιπῶν ζώων. καὶ αὐδήεσσα, ὀνομαστὴ, ἔνδοξος. Αὐδήεντων, τῶν λόγον καὶ φωνὴν ἐχόντων. Αὐδῶ, φωνῶ, λέγω, λαλῶ, ἀνθρωπίνως. Αὖε, ψιλοῦμεν, ἐφώνει, ἐβόα. δασύνεις δὲ, ὅ ἐστιν ἔκαιε, καὶ ἀνῆπτε πῦρ.

Αὔειν κυρίως, τὸ καίειν. ὅθεν καὶ βαύσανος, ὁ αὔων τὴν ἐν ἄλλοις ῥαθέντα βαῦνον. ἰσοῦ καὶ ὁ κρίβανος, ἐπεὶ ὁ βαύνανος, καὶ διὰ εὐφωνίαν βάνανσος. ἐκ δὲ τοῦ τοιούτου αὔων. καὶ αὖον φασὶ τὸ καὶ ὃν καὶ ἄφθιον ξύλον. καὶ τὸ ὁπτῆσαι, ἐξαῦσαι. Αὐθιάζει, σφακελίζει, κύνησιος. Αὔθλαι, αὔλαι, παρὰ τὸ αὔλεια. Αὐηρὸς, σκιά. Αὐθόρυμα, εἰς τούπισω ἑλκυστά. Αὐέρυσαν. ἔστιν, ὅτι τὸ ἀ οὐ μόνον τὸ ὁμοῦ σημαίνει, ὡς ἐπὶ τοῦ ἄλοχος, ἀλλὰ καὶ τὸ ὀπίσω, ὡς ἐπὶ τοῦ ἀκόλουθος. οὐ μόνον δὲ τὴν ὁμοκέλευθον σημαίνει, ἀλλὰ καὶ τὸν ὀπίσω τὴν κέλευθον ἔχοντα. ὁ γὰρ ἀκολουθῶν ὄπισθεν ἀκολουθεῖ. ἔστι οὖν ὁμοκέλευθος, ἢ ὁ ὀπίσω ἔχων τὴν ὁδόν. τὸ δὲ ἀ τὸ σημαῖνον τὸ ὀπίσω, ἀπὸ τοῦ ἂψ γέγονε κατὰ ἀποβολήν. ὥστε μετὰ τὸ ἔρυσαν ἄερυσαν, καὶ πλεονασμῷ τοῦ υ αὐέρυσαν, τουτέστιν εἰς τούπισω ἀνέκλασαν τὸν τράχηλον τῶν θυομένων ἱερείων, ὡς ὁρᾶν εἰς οὐρανόν. Ἄλλως. Αὐέρυσαν, ἀνείρυσαν μὲν πρῶτα. ἔθος Ἑλληνικὸν εἰ μὲν θεοῖς ἄνω ἔθυον, ἀνακλᾶν τὸν τῶν ἱερείων τράχηλον, ὥστε ἀφορᾶν ὡς εἰς οὐρανόν. καὶ ἐλέ-

ῥως, δηλαδὴ τῶν πλεοναζόντων. ἔχουσι δὲ τὸ ι προσγεγραμμένον, κατὰ τὴν παράληξιν. ἢ κατὰ ἐπέκτασιν τοῦ ι γίνεται ἀτρείδαισι, τίθεισι. καὶ κατὰ τροπὴν τοῦ α εἰς η, ἀτρείδῃσι, τίθησι, ἱστᾶσι. Ἀτρεκὲς, ἀληθὲς, ἀκριβές. καὶ ἀτρεκὲς, ἀληθές, ἀκριβές. καὶ ἀτρεκὲς αἷμα, τὸ ἀληθὲς καὶ μὴ φαῦλον τὴν ὄψιν, κατὰ τὰ ἐρυθρὸβαφῆ, ἃ φορήματα ἐστὶ λακώνων, ἐπικρύπτοντα τὴν ἐν πολέμῳ ῥύσιν τοῦ αἵματος. Ἀτρεκέστατα, ἀκριβωσαμένη. Εὐριπίδης. Ἀτρέμας, ἐπίῤῥημα, δηλοῖ τὸ ἡσύχως. οἱ δὲ μετὰ Ὅμηρον, καὶ δίχα τοῦ σ λέγουσιν αὐτό. ὡς τὸ, ἀτρέμ' ἔξεις παρὰ τοῖς κωμικοῖς. καὶ τὸ εὐθὺς δὲ καὶ ἰθὺς τὰ ἐπιῤῥήματα, ὁμοίως ἀπαγορεύουσι, ἐν τῷ εὐθὺ καὶ ἰθύ. ὅθεν καὶ τὸ κατ' εὐθὺ, καὶ τὸ κατ' ἰθὺ αὐτοῦ. ὅθεν ἐν πολλαῖς διττῶς δηλοῦσι τὸ αὐτόθι. ὁ ἀτρέμας δὲ παρὰ τῷ ποιητῇ, ἀντὶ τοῦ βεβαίως μένων. Ἀτρίμα, ὑγιεία. Ἀτρεμῆσαι, ἡσυχάσαι. Ἀτρέμητον, ἀσάλευτον. Ἀτρεμία, ἡσυχία. Ἀτρεπτον, ἀκίνητον. Ἀτρέπτως, ὀρθῶς. Ἀτρέστους, ἀνεκλίτους. Ἄτρεστος, καὶ ἄτρετος, ὁ ἄφοβος.

Ἀτρεὺς, παρὰ τὸ τρέω τὸ φοβεῖσθαι. ὥσπερ παρὰ τὸ τρέφω τροφεὺς, οὕτω καὶ παρὰ τὸ τρέω γίνεται τρεὺς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρεύς. ὃς βασιλεύων τῶν πελοποννησίων, συνέθετο, ὃ, τι ἂν κάλλιστον ἐν ταῖς ποίμναις αὐτοῦ γεννηθῇ, τοῦτο ἀρτέμιδι θύσειν. γενομένου δὲ ἀρνὸς χρυσοῦ, τῆς εὐχῆς μετεμέλησε. καὶ κατέσφαξεν αὐτὸν, εἰς λάρνακα ἐφύλαττε. μέγα δὲ ἐφρόνει ἐπὶ τῷ κτήματι, καὶ ἐκόμπαζε κατὰ τὴν ἀγοράν. ἀντειπόντος δὲ ἐπὶ τούτῳ θυέστου, ὑπισχνοῦντο ὡς ἐρῶντα τῆς ἀερόπης, ἐκεῖνος αὐτῷ τὸ κτῆμα. λαβόντα δὲ ἀντεῖπε τοῦ ἀδελφοῦ, ὡς οὐ δεόντως περὶ τοῦ θυέστου κομπάζειν. ὁ δὲ ἔλεγεν, ἐν τῷ πλήθει δεῖν καὶ τὴν βασιλείαν ἔχειν τὸν τὸν χρυσοῦν ἄρνα ἔχοντα. τοῦτο δὲ ὁμολογοῦντος καὶ ἀτρέως, ζεὺς ἑρμῆν πέμψας πρὸς ἀτρέα, συντίθεσθαι λέγων περὶ τῆς βασιλείας, ἐφ' ᾧ δηλοῦν τὰ περὶ τὴν ἀνατολὴν, διότι μέλλει ποιεῖσθαι τὴν ἐναντίαν ὁδὸν ὁ ἥλιος. συνθεμένου δὲ περὶ τούτου, ὁ ἥλιος τὴν δύσιν εἰς ἀνατολὰς ἐποιήσατο. ὅθεν ἐκμαρτυρήσαντος τοῦ δαιμονίου τὴν θυέστου πλεονεξίαν, τὴν βασιλείαν ἀτρεὺς παρέλαβε, καὶ τὸν θυέστην ἐφυγάδευσεν. Ἀτρέχως, ἀτρεκῶς.

Ἀτριακαστοὶ, οἱ μὴ μετέχοντες τριακάδος. ἀθηναῖοι.

Ἀτρία, πόλις τυῤῥηνίας. Ἄτριβι, χωρὶς τριβῆς. Ἀτρίζειν, κινεῖται. Ἄτριον, ὕφος λεπτόν. καὶ εὐάτριοι εὐυφεῖς.

Ἀτρίπτους χεῖρας ἔχειν, παρ' Ὁμήρῳ ἐν ὀδυσσείας φ, ἀγυμνάστους, ἀπάλους. Διαφορικὸν δὲ τοῦ ἀτρίπτους, τὸ ἁπαλάς. καὶ ἄτριπτον, ἁπαλόν. Ἀτρὶψ, ἀμαθὴς, ἀτριβής.

Ἀτρόμητος, ἄφοβος. οὐδ' ὀλύμπιος ζεὺς ἀτρόμητος εἶδεν.

Ἄτρον, τὸ μέλαν, παρὰ ῥωμαίοις. Ἀτροπία, ἡ κακοτροπία, ἀβελία. Ἀτροπία, ἀωρία, μισοτέκνεον. Ἄτροπος, ἀμετάτρεπτος. Ἀτροφεῖ, μὴ τραφῆν. Ἄτροφος τυρὸς, ὁ πεπονημένος, ὑπὸ λακώνων. Ἀτρύγετος πόντος, ὁμοίως δὲ καὶ θάλασσα, ὅτι μὴ οὐδὲ τρυγᾶσθαι. ἢ ἀειδὴς, παρὰ τὴν τρύγην. ὃ παρὰ τὴν τρύγα, ὃ δηλοῖ τὸν δημητριακὸν καρπόν. ὡς δηλοῖ τὸ, ἀδηφάγοι πάλαι, ὁ τρυγηφάγοι. διὸ καὶ Εὐριπίδης ἀκάρπιστά που λέγει πεδία, τὴν θάλασσαν. ἔτι δὲ ἀτρύγετος καὶ ὁ ζαθεώτατος, καὶ ἄβατος, ὃς τρύγα οὐκ ἔστιν εὑρεῖν. εἰ δὲ ὡς εἴπομεν, ὡς κατὰ τὴν πρώτην ἐτυμολογίαν προσάπτεται τὸ ἐπίθετον, ἢ ἀὴρ καὶ αἰθὴρ, καὶ θάλασσαι. καὶ εὑρήσεις τοῦτο πολλαχοῦ κείμενον. τὸ γὰρ τρυγᾶν, τῷ γῇ ἀφωρισται. τὰ δὲ λοιπὰ στοιχεῖα, ἀτρύγετα. Ἀτρυγηφάγε, πολεφάγε. τρύγη γὰρ, ὁ δημητριακὸς καρπός. Ἄτρυγον, καθαρὸν, μὴ ἔχον τρύγα. Ἀτρύων, ἐγείρων. Ἀτρύτωνος, ἀκάματος. Ἄτρυτα, ἀκάματα, σκληρὰ καὶ ἰσχυρά. σημαίνει δὲ καὶ τὰ ἀβλαβῆ, οἷον ἄτρωτα, παρὰ τὸ τρῶ τρώσω. Ἀτρυτώνη ἐκ τοῦ τρύω λέγεται τρυτὸς. καὶ ἄτρυτος, ὁ οἱ πόνοι οὐ τείρουσιν. Ἄτρωτος, ἀνίκητος, ἄπληκτος, ἀσινὴς, ἀπαθής.

Ἀτρυτώνη, ἀθηνᾶ, ἡ ἄτρυτος, ὅ ἐστιν ἀτειρής. ὡς ἀπὸ τοῦ τρύω τρῶ, ἐξ οὗ καὶ τὸ τείρω, καὶ τὸ τρύω. ἀφ' οὗ καὶ τρυταίνη ἐπὶ ζυγοῦ, ἡ ταρομένη ὑπὸ βάρους τῶν ὄγκων. ἀπ' αὐτοῦ καὶ τρύμη, παρὰ τῷ κωμικῷ, ὁ πανοῦργος καὶ ἐντελεχής. καὶ κατ' ἐκεῖνον ἴτυς, ὅ ἐστιν ἰταμός. Ἄττα, πρόσφθεγμα ἀδελφικόν. ἄττα, πολλαχοῦ κείμενόν ἐστι προσφώνησις ἀδελφοῦ νέου πρὸς πρεσβύτερον. καὶ ἔστιν ἡ λέξις ἀπαράγωγος, ἀκίνητος, ὡς τὸ ὅλον εἰπεῖν πρωτόθετος. οὐ γάρ ἐστιν ἀρχὴν κατὰ τῶν ἄττα εὑρεῖν, οὐδὲ ἑρμηνείαν ἔχει. διὸ καὶ ἀμετάληπτος, ἤγουν ἀνερμήνευτος, ἀπὸ τῶν παλαιῶν λέγεται.

Ἄττα, γλώττας φασὶ ἐκ τῶν παλαιῶν οἱ παλαιοὶ προσφώνημα ἐκ νεωτέρου, ὡς πρὸς τροφέα, πρωτόθετον, ἄκλιτον. Ἄττα, ἅτινα, ἢ ὅσα, ἀττικῶν ἐν τῷ περὶ τῶν λυδίων φόρου. ἀντὶ δὲ τοῦ τινὰ ἢ ποῖά τινα Δημοσθένης φιλιππικοῖς. ἐνιαχοῦ δὲ [illegible]ίλλει τὸ ἄττα. ὡς τὸ, Χειμῶνος πόσα χελιδὼν πολλὰ ἄττα φαίνεται. Ἄττα, ψιλούμενον μὲν τινὰ σημαίνει, δασυνόμενον δὲ ἅτινα, ὡς Δημοσθένης δηλοῖ ἐν τῷ περὶ παραπρεσβείας, ὁ δὲ πρεσβεύων αἰσχίνης οὗτος ἐλθὼν, πῶς μὲν καὶ ἄττα ποτὲ διελέχθη. ἐνίοτε δὲ ἐκ τοῦ περιττοῦ προστίθεται. ὡς ἐν τῷ χείρωνι φερεκράτης, εἶτα δὲ ἴνα τι λέγεις ἄλλα προστιθεὶς ἔφη, ἄττα πεντήκοντα. οὐδὲν γὰρ σημαίνει ἐνταῦθα τὸ ἄττα. Ἀτταβυγᾶς, εἶδος ὀρνέου, καὶ τὸ ἀτταγᾶς.

Ἀτταγᾶς παρ' ἀττικοῖς, ὀρνέον ἐστὶ τρεφόμενον ἐν ἕλεσι καὶ πολυόδροις τόποις, καὶ τέλμασιν, ὃν ἡμεῖς φαμὲν ἀτταγῆνα. ὁ ὄρνις κατάστικτός ἐστι, ποικίλοις πτεροῖς. Ἀτταγεῖν, ἀθάρα, παρὰ τῷ ῥίνθῳ. Ἀτταλαγώσονται, μολυνθήσονται. Ἀτταλασσίξαι, ὀμόσαι. Ἀττάλη, φάρυγξ, ὑπὸ φρυγῶν. Ἀτταλίζομαι, πλακοῦμαι. σικελοί. Ἀτταλίδια, πλακοῦντες ἐντριπτοί. Ἄττανα, τήγανα. [illegible] πλακοῦς, ὁ ἐπ' αὐτῶν σκευαζόμενος.

Ἀττανίτας, τηγανίτας. Ἀττάραγος, τὸ ἐλάχιστον. οἱ δὲ τὰς ἐπὶ τοῦ ἄρτου φλυκταίνας, οἱ δὲ τὰς κεκομμένας ψίχας. Ἀττάρυγμα, πόμα, σόφισμα πρωικόν. Ἀττασία, ἀναίσθη. Ἀτταταῖ, βαβαὶ, φεῦ, μόνον κωμικόν. Ἀττὲς, πάλαι, ἄλλως, βαδίζε, ὁρμᾶ. Ἀττέλεβος, εἶδος κνωδάλου. Ἀττέλαβος, ἀκρίδας.

Ἄττεσθαι, τὸ ἅλλεσθαι, καὶ πηδᾶν. παρὰ τὸ ἀΐσσω, τὸ ὁρμῶ, γίνεται ἄσσω, καὶ ἀττικῶς ἄττω. καὶ ἄττεσθαι, διάττεσθαι σήμαινει.

Ἄττης, τὸν ἄττην φασὶ λάκωνες. Ἀττικὸς. Δημοσθένης ἀνὴρ κτησιφῶντος, ὁ ἄττης παρὰ φρυξὶ μάλιστα τιμᾶται, ὡς πρόπολος τῆς μητρὸς τῶν θεῶν. τὰ δὲ περὶ αὐτὸν διεξῆλθε Νικάνδρος, μυστικὸς δὲ ὁ λόγος. Ἀττικὴ γαῖα, ἡ ἀπὸ τῶν ἀθηνῶν. καὶ ἀττικὴ, ἡ χώρα αὐτῶν. Ἀττικὴν χύτραν, τὸν καλούμενον ἐχῖνον παρὰ τῷ ἱπποκράτει. Ἀττικοὶ τῇ εὐθείᾳ ἀντὶ γενικῆς χρῶνται. οἷον, δύο σκόπελοι, ὁ μὲν εἰς οὐρανὸν ἱκάνει. ἀντὶ τοῦ, τῶν δύο σκοπέλων. καὶ κορέσαντο ὁ μὲν οὕτως ἀτίμητον, ἀντὶ τοῦ τῶν κορεσάντων. καὶ πάλιν, ἐλθόντες δ' ἤδη οἱ ἐν σπέεϊ γλαφυροῖο, πρῶτος ὑπὸ δέκου ἐλυσάμην, ἀντὶ τοῦ, ἐλθόντων δὲ ἡμῶν. τῶν δ' αὐτῶν ἔστι καὶ τὸ ἀντὶ πλαγίων συντάξεων ὀρθαῖς χρῆσθαι. οἷον, ἀλκιβιάδης ὀφθεὶς ἀπέστρεψαν λακεδαιμόνιοι, ἀντὶ τοῦ, ἀλκιβιάδου ὀφθέντος. καὶ τὸ συντάσσειν ταῖς ὑποτακτικαῖς μορίοις εὐκτικὰ ῥήματα. φασὶ γὰρ, ἵνα θύσαιμι, ἵνα ποιήσαιμι. καὶ Ὅμηρος, ἵνα μὴ τοῦ ἄλλοθεν ἔλθοι. καὶ πάλιν, ἵν' ἀθανάτοισι φανείη. καὶ τὸ, γελώντων, βοώντων, καὶ σιγώντων, ἀντὶ τοῦ γελάτωσαν, βοάτωσαν, καὶ σιγάτωσαν. καὶ τὸ μέμφομαι, καὶ ὀνειδίζω, καὶ ἐνοχλῶ, καὶ λοιδοροῦμαι, δοτικῇ συντάσσουσι. καὶ τὰ συντασσόμενα δὲ ῥήματα μετὰ δοτικῆς, γενικῇ συντάσσουσι, τῆς ἕνεκα προστιθέντες. μετὰ αἰτιατικῆς δὲ ταῦτα συντάσσουσιν. οἷον συνεῖπας σύ μοι, ἀντὶ τοῦ ἐμοί. ὡς καὶ Ἀριστοφάνης ὁ κωμικὸς, ἀρέσκει μοι λέγων. καὶ ἔτι τὰ μετὰ γενικῆς συντασσόμενα ῥήματα, αἰτιατικῇ συντάσσουσιν, οἷον αὐτός μοι ἦρχε. ἢ ἀφαιρεῖταί μοι, ἀντὶ τοῦ ἐμοῦ. ἢ Ὅμηρος, ἐπεί ῥ' ὀφέλλεσθαί γε δέοντο. καὶ τοῦτο δὲ τῶν ἀττικῶν ἐστι, τὸ δοτικῆς πτώσεως προσγενομένης, εἰς γενικὴν ἀποδιδόναι. φασὶ γὰρ, οὐκ ἂν οἶμαι ἡμῖν συνιδεῖν τῶν πατέρων ὄντων ὄντων. καὶ Ὅμηρος, ἡμῖν

ὸς Δικαστὰς ἐδει τιμᾶσθαι ὅτι χρὴ παθεῖν, ἢ ἀποτίσαι. ὁ δὲ ἀτίμητος, τοὐναντίον ὧ πρόσεστιν ἐκ τῶν νόμων ὡρισμένως τίμημα, ὡς οὐδὲν δεῖν τοὺς δικαστὰς τιμῆσαι. Ἄτιμον εἶπεν Ὅμηρος ἐν ὀδυσσείας π΄ λέγων, τὴν ἀτιμώρητον. ἢ καὶ ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ ἀτίμως, προῖκα, δωρεὰν, μὴ καταβαλὼν τιμὴν, ὅ ἐστι τίμημα τοῦ ἐσθιομένου. Ἄτιμος, τουτέστιν ἄνευ γέρως. Ἀτιμότεροι τῶν αὐτοχθόνων ἐδόκουν οἱ μέτοικοι ὡς τὰ πολλὰ, διὰ μοχθηρίαν τρόπου τὰς ἰδίας καταλείποντες, καὶ ὡς οἱ μεθ' Ὅμηρον. ἄλλως, ἀτιμητόν φασι τὸν πολυτίμητον. ἤτοι, τὸν ὑπὲρ πᾶσαν τιμὴν, καὶ ἀμηχανοῦ δεδέχθαι. ὅτι δὲ μετανάστης κυρίως ὁ μετὰ τὸ γενέσθαι ἀνάστατος ἐλθὼν, οὐκ ἂν φαίη τις ἀφυῶς. Ἀτιμότερος, εὐτελέστερος, ἀτιμότερος. ἐξῆς δὲ, ἄκρατος ἀτιμότερον μεθύσαις. Ἀτιμοῦταί τις ὑπὸ τῶν νόμων, ὁ ὀφλὼν ἀτιμίαν. ἀτιμάζεται δὲ, ὁ ὑβρισμένος ἐν ἑνὶ πράγματι. Ἀτιμόω, ῶ. τὸ ἄτιμον διὰ λόγου ποιῶ. ἀντὶ δὲ ἀτίμως λόγου ὑβρίζω. Ἀτιμώρητος, ἀβοήθητος, ἢ θαυμαστός. ἔστι δ' ὅτε καὶ ὁ κακός. Ἀτιμῶ, ἀτιμήσω, σύνηθες τῷ ποιητῇ. ἔνθα καὶ ἀτίμητος, καὶ ὁ ἄτιμος. οἱ δὲ ὕστερον, ἀτιμῶ ἀτιμώσω φασίν. Ἀτίμων, ὡς τὸ ἰδέων, ἐξ οὗ καὶ ἐν ἰλιάδι ἀτίμητος. Ἀτίνακτα, ἄσεισα. Ἀτινοῦν, ὁτιοῦν. Ἀτίολογος, οὕτω τὸ ἔλαιον ἐκάλουν πρῶτον. Ἀτίσαι, ἀτιμάσαι, ἀθετῆσαι. Ἄτισαν, οὐκ ἐτίμησαν. Ἄτισαν φασίν, ἀτιμάζειν ἄνδρα, καὶ ὑπερηφανεῖν. Ἀτιταλιτοῖς, περὶ τὰ λιπά, ἐγκαμμάτων δίαιταν. Ἀτιτοί, ἄλυτοι. Ἀτίταλα, ἀνάθρεπτα. Ἀτιτάλλειν, σημαίνει τὸ ἐκθρέψαι, καὶ ἐκτρέφειν ἐκ τοῦ νηπίου. ἔστι γὰρ ἀταλὸς ὁ νήπιος, ὁ τλῆναι καὶ κακοπαθεῖν μὴ δυνάμενος. καὶ ἐξ αὐτοῦ ἀτάλλειν, καὶ ἀτιτάλλειν, κατὰ ἀναδιπλασιασμόν. καὶ ἀτιτάλλειν, τὸ ἀνακτᾶσθαι, καὶ ἁπλῶς τρέφειν. ὡς μὴ ταλάσιον, ὅ ἐστι τάλανα τοῖς πόνοις εἶναι καὶ τλήμονα. ἵνα ᾖ πρῶτον τὸ ἀτάλλειν, ὅθεν καὶ ἀταλός. εἶτα κατὰ ἀναδιπλασιασμὸν τὸ ἀτιτάλλειν. δῆλον δὲ ὥς τινες λέγουσιν, ἀπὸ τοῦ ἅπτειν καὶ ἅλλεσθαι τὸ ἀτάλλειν παράγουσι, τοῦ ἰοῦς τοῦ ἀπαλθέντος διὰ εὐφωνότερον. ἢ ἀτιτάλλειν, τρέφειν τοὺς ταλαιούς. ἐξ οὗ τάλανες μὲν, οἱ ταλαοί, οἱ πολύπονοι. ἀταλοὶ δὲ, οἱ μὴ πονοῦντες.

Ἀτιτεῖν, ἀδικεῖν. Ἀτίταλα, ἀνάθρεπτα. Ἀτίτην, ἀτιμώρητον, ἄπορον, ἄτιμον, τὸν μὴ ἔχοντα ἀποτίσαι. Ἀτίτανον, ἀπερμήθευτον. Ἄτος, ἀτιμώρητος, ἢ ἀκατάληκτος, ἢ μᾶλλον ἀκατάλυτος. ὡς ἐκ μεταφορᾶς τῶν ἐν πολέμοις ἢ κώμαις ἀπελθόντων παιδίων, ὑπὲρ ὧν μὴ τιμωρουμένων. Ἄτλας, ὁ ὠμοφόρος, ἄτλημος, ἀπαθής. ὄρος Λιβύης, καὶ ἡ Λιβύη συνεχὴς ἕως τῶν πυλῶν. καὶ Ἄτλας ἐκεῖνον, παῖς ἰαπετοῦ, τὸν οὐρανὸν ἀνέχων ἐν τοῖς κίοσιν, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν. Ἄτλαντος ἦσαν τοῦ ἰαπετοῦ, ὥς λέγει Ἄρατος, θυγατέρες ἑπτὰ γεγόνασι. καλοῦνται δὲ, ἀλκυόνη, μερόπη τε, κελαινώ τε, ἠλέκτρα τε, καὶ ἀστερόπη, καὶ ταϋγέτη, καὶ πότνια μαῖα. καὶ κελαινοῦς μὲν καὶ προμηθέως παῖδες, λύκος καὶ χιμαιρεύς. ἠλέκτρας καὶ Διὸς, Δάρδανος, καὶ ἰασίων. ἀστερόπης καὶ ὑπερόχου, οἰνόμαος. ταϋγέτης καὶ Διὸς, λακεδαίμων. μαίας καὶ Διὸς, ἡρακλῆς. ὡς καὶ ὀρφεύς φησιν, ἐν τῇ ἀρχῇ τῶν λιθικῶν. Ἀτλατεῖ, ἀγνοεῖ, ἀθυμεῖ, φοβεῖται.

Ἀτλατία, ἀγνοῶ. Ἀτλασία, ἀμηχανία, ἀνυπομονησία.

Ἀτλήτως μαλθάσσω, ἀνυποστάτως μεριμνῶν ἔχω, ἀνυπομονήτως, καὶ μεγάλως. Ἀτλητὸν, ἀνυπομόνητον. Ἀτλετῶν, μὴ καρτερῶν, μὴ φέρων, δυσανασχετῶν, παρὰ τὸ ἀτλετῶν. Ἄτμενα, καθάρματα. Ἀτμενία, δουλεία, δυσοχία. Ἀτμένες, οἱ δοῦλοι, οἱ ἄτρμενες ὄντες, διὰ κακοπάθειαν. Ἀτμὴν, ὁ δοῦλος. παρὰ τὸ τιμὴ ἀτιμὴν, καὶ κατὰ συγκοπὴν ἀτμήν. οἷον, ὁ ἄτιμος. ἢ πολυτίμητον ἴσα ὄντα ὑπὸ τοῦ μαχίμου, ἐκτείνεται τὸ α. ἀπὸ δὲ τοῦ ἀτμὴν, ἀτμοῦ. Ἄτμενον, ἄπειστον, οἰκέτην. Ἀτμενόπτην, δουλικὸν, μωρόν. Ἀτμησίφρων, ὁ οὐδεμιᾶς τόλμης ἐννοιαν ἔχων. Ἄτμητον, ἀμέριστον. Ἀτμιδοῦχον, ἀτμίδα ἔχων. Ἀτμίζοντα, ἀναθυμιάζοντα. Ἀτμὶς ἀναθυμίασις, ἀπαύγασμα, πνοή, ἀναθυμίασις, ἄκρον πυρός. ἢ ἀτμῶν, ἀναθυμιώντων. Ἀτμὸς, ἀνάδοσις. παρὰ τὸ ἄω, τὸ πνέω. ὁ παθητικὸς παρακείμενος ἦσμαι, ἀσμὸς, καὶ ἀτμός. λέγεται ἀτμὸς καὶ ἐπὶ κνίσσης, καὶ ἐπὶ καπνοῦ, καὶ ἐπὶ ἀναθυμιάσεως. λέγεται δὲ κνίσσα μὲν, τὸ ἀπόῤῥοιαν πνεῦμα ἀπὸ στέατος καιομένου. καπνὸς δὲ, ἐπὶ πυρὸς ξύλα καιομένης, ἢ θειοῦντα. ἀναθυμίασις δὲ, ἐπὶ τῶν ἐξατμιζομένων. Ἀτνηρ, βοτάνη τίς. Ἄτλμοι, δειλοί, κατηπτοχότες. ὡς τὸ, Ὅθ' οὕνεκ' εἰσὶν ἀσφαλίσαντι ζώων, ψυχὰς ἄθλμοι, μοῦνον εἰδέναι φυγεῖν. Ἄτμα, λεπτά, τὰ μὴ δυνάμενα τμηθῆναι διαιρεῖσθαι.

Ἄτομον λέγεται, τὸ μὴ τεμνόμενον, μὴ δὲ μεριζόμενον, ὡς ἡ στιγμὴ, καὶ τὸ νῦν, καὶ ἡ μονάς. ἃ ἅπερ καὶ ἄτομα λέγονται. ἄτομον, καὶ τὸ δύστμητον, τουτέστι τὸ δυσχερῶς τεμνόμενον. ὡς ὁ ἀδάμας λίθος, καὶ τὰ τοιαῦτα. Ἄλλως. Ἄτομον κυρίως λέγεται, ὅπερ τέμνεται μὲν εἰς ψυχὴν καὶ σῶμα. ἀλλ' οὔτε ἡ ψυχὴ καθ' ἑαυτὴν ἐστὶν ἄνθρωπος τέλειος, ἢ ζῶον τέλειον, οὔτε τὸ σῶμα. περὶ δὲ ταῦτα παρὰ τοῖς φιλοσόφοις λόγος, ὅτι δηλοῖ τὴν ὑπόστασιν. ἢ ἄτομον, τὸ ἐξ ἰδιωμάτων συγκείμενον, ὧν τὸ ἄθροισμα οὐκ ἂν ἐπ' ἄλλου ποτὲ λεχθείη. δηλοῖ δὲ τὴν καθ' αὐτὸ ὑπόστασιν, οἷον πέτρον, παῦλον, ἢ ἕνα τὸν κατὰ μέρος ἀνθρώπων. Ἀτοκία, ἀτεκνία. Ἄτοπα, πονηρά, ἄπρεπα, αἰσχρά, ξένα. Ἀτόπασον, ἀνείκαστον. τοπάζειν γὰρ, τὸ εἰκάζειν. καὶ ἀποθαυμαστὸν δὲ, ἄτοπον λέγεται. Αἰσχύλος κρήσσαις. Ἄτοπον, οὐ μόνον τὸ ἄδοξον, ἀλλὰ καὶ τὸ παράδοξον καὶ θαυμαστόν. Πλάτων ἐν φαίδωνι· ὡς ἄτοπον ἔφη ὦ ἄνδρες. Ἄτος πολέμοιο, τουτέστιν ἀκόρεστος. κρᾶσις ἐκ τοῦ ἄατος. ἢ ἄδος, ὁ ἀκόρεστος. κέκραται δὲ ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ ἆσαι, τὸ κορέσαι. ἀφ' οὗ ἄαδος, καὶ κατὰ κρᾶσιν ἄτος. Ἀτραβατικὰς, ξηρομηλίνας τὸ χρῶμα. τὸ γὰρ μέλαν, ἄτρον καλοῦσιν οἱ ῥωμαῖοι. ἢ ὅτι μετὰ ῥαβδίου ταύτας εἰώθασι χρῆσθαι. τραβαῖαι δὲ, αἱ πολυτελεῖς χλαμύδες. Ἄτρακτος, γυναικεῖον ἐργαλεῖον, ἐφ' ὃν τὸ νῆμα περιειλεῖται. ἀεὶ γὰρ τρέπεται, ἢ ὅτι ἀταράκτως τὸ νῆμα φέρει. ἀπὸ τοῦ ταράσσω οὖν, γίνεται ἀτάρακτος, καὶ ἄτρακτος. Ἀτρακτυλίδες, εἶδος βοτάνης, ἡ ἀκάνθης. εἴρηται δὲ, ἀπὸ τοῦ τὰς ἀγροίκων γυναῖκας, ἀτράκτους ποιεῖν ἐξ αὐτῶν. ἔνιοι δὲ ἀτρακτυλίδας τὰ ἀγριοπολύχανα φασίν. Ἀτραπιτοὶ ὁδοί, αἱ μὴ ἔχουσαι ἐκτροπὴν, ἀντὶ κάμψιν, αἱ στεναὶ δηλαδὴ καὶ εὐθεῖαι. ὅθεν καὶ δισυλλάβως λέγονται, παρὰ τὸ δίχα ἐσπάσθαι, καὶ μὴ παρεκκλίνειν. Ἀτραπὸς, καὶ ἀτρπὸς, ἡ ὁδός. παρὰ τὸ τρέπω, τρέψω. ὁ β΄ ἀόριστος, ἔτραπον. ῥηματικὸν ὄνομα, τραπὸς. στερήσει καὶ μεταθέσει, ἀτραπός. ἐξ ἧς οὐκ ἔστι τραπῆναι, ἢ ἡ πολύτροπος. εἰς πολλὰ δὲ σχίζεται. καὶ ἄτραπος, τὸ ἀπόκαγμα τῆς κεφαλῆς, τὸ πρὸ τοῦ πατεῖσθαι γινόμενον. τραπεῖν γάρ ἐστι τὸ πατῆσαι. Ἀτραπίζειν, βαδίζειν, ὁδοιπορεῖν. Ἀτράφαξις, εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. Ἀτρείδαο, αἰολικῶς καὶ βοιωτικῶς, ἀτρείδα δωρικῶς, ἀτρείδεω ἰωνικῶς, ἀντὶ τοῦ ἀτρείδου. καὶ τοῦ δυναμένου κεῖσθαι ἐν πάσαις ταῖς γενικαῖς τῆς πρώτης κλίσεως. Ἀτρείδης καὶ ἀτρεΐδης, πατρωνυμικὸν, ἀπὸ τοῦ ἀτρεύς. τὰ ἀπὸ τῶν εἰς ν. ξ. ψ. ρ, γινόμενα πατρωνυμικὰ εἰς δης, διὰ τοῦ ι γράφεται. μέμνων μεμνονίδης, φοῖνιξ φοινικίδης, πέλοψ πελοπίδης, νέστωρ νεστορίδης. καὶ τὰ ἀπὸ τῶν εἰς ος, καὶ ως. βῶλος βωλίδης, ἥρως ἡρωΐδης, καὶ συνεκφέρεται ἡρώδης. ἔτι τὰ μητρωνυμικὰ πάντα. οἷον, λητὼ λητωΐδης, δανάη δαναΐδης. τὸ δὲ φιλομηλείδης, καίτοι ὄν, διὰ διφθόγγου γράφεται. τὰ δὲ ἀπὸ τῶν εἰς ευς, καὶ ως ἀττικῶν, καὶ τῶν εἰς κλος γινόμενα, διὰ διφθόγγου γράφεται. οἷον, ἀτρεὺς ἀτρείδης, εὔνεως εὐνείδης, ἀλκαῖος ἀλκείδης. ἔτι τὰ ἀπὸ τῶν εἰς ης, εἰς ης μακροκαταληκτῶν ἔχοντα τὴν γενικήν. οἷον, εὐκλῆς εὐκλέους, εὐκλείδης. χωρὶς τούτων. οἷον, θρασυμήδης θρασυμηδείδης, δεινάρης δειναρίδης, θεοκύδης θεοκυδίδης, καὶ πρόσθεσις τοῦ ι καὶ σ εἰς ν, θευκυδίδης. Ἀτρείδαισι, θυβροσι, ἀντὶ τοῦ ἀτρείδαις, θύ-

ἀτμικὸς ἐν Διαλόγῳ μνείας, καὶ ἀτελὲς τόπον πάντων ἰσμέν.

Ἀτελεύτητον, οὐ πᾶν ἀτελεύτητον πάντως καὶ ἄναρχον. οἱ γὰρ ἄγγελοι καὶ αἱ ψυχαὶ, ἀτελεύτητοι μὲν, οὐκ ἄναρχοι δέ. Ἀτελεύτητον ἐπὶ ἔργῳ, τουτέστιν ἐπὶ τοῦ ἀτελοῦς. ὅπερ ἐστὶ μὴ εἰληφὸς τέλος. οἱ δὲ οἱ μετ' Ὅμηρον ἀτελεύτητόν φασι, τὸ μὴ πεφυκὸς τέλος ἔχειν. Ἀτελῆ, ἀτέλεστα. ὡς συντελῆ, τὰ συντετελεσμένα.

Ἀτέμβειν, οἱ νεώτεροι, οὐκ ἐπὶ τοῦ στερίσκεσθαι ἔταξαν, ἀλλ' ἐπὶ τοῦ μέμφεσθαι. καὶ ἀτεμβόμενος παρὰ τῷ Ἀπολλωνίῳ κεῖται, ἀντὶ τοῦ δυσχεραίνων, καὶ μεμφόμενος. Ἀτέμβεσθαι, ἔχει παράγωγον τὸ εἰς ἄτην ἐμβαίνειν. Ἀτεμβόμενος, στερούμενος, ἢ βλαπτόμενος δηλοῖ. ἀτέμβει θυμὸν, ἤγουν εἰς βλάβην ἐμβιβάζει, στερίσκει. Ἀτέμβιος, μεμψίμοιρος. Ἀτέμβω, τὸ στερῶ. γίνεται παρὰ τὸ τίμω ἀτίμω. καὶ πλεονασμῷ τοῦ β, ἀτέμβω. Ἀτενὴς καὶ ἀτενῶς, ἐπίρρημα ἀντὶ τοῦ ἀτρέπτως, καὶ διόλου. ἀτενὲς, ἀτενὲς ὁρᾷ εἰς ἐμέ. καὶ ἀτενὲς, εὐθὺ, συνεχὲς, παντελῶς, καθόλου, παρὰ χρῆμα, ἰσχυρῶς, ἀφειδῶς, ὃ πάνυ προσεχῶς. κάλλιον δὲ ἀτενὲς ἤθος λέγειν, τὸ σκληρὸν, καὶ ἀκαμπές. Ἀτενὲς, ἥκω δ' ἀτενὲς ἐξ οἴκων. εὐωπίδας ἀλκμαίωνι, τὸ ὑπὸ σοφίας συντείνων. καὶ ἀτενίζειν λέγουσι, τοὺς συντείνοντας, καὶ ἐκτείνοντας τὴν ὄψιν. Ἀτενίζω, ἄκρως προσέχω. Ἀτενίζοντες κατίσχοντες ἐπὶ ὑλην, ἐγγὺς ἀτενίζοντες. Ἀτενίζω, τὸ λίαν καὶ ἐκτεταμένως βλέπω, ἐκ τοῦ ἐπίτασιν σημαίνοντος. Ἀτενῶς, ἀμετακινήτως.

Ἀτέοντα λέγει Ὅμηρος, τὸν βεβλαμμένον εἰς φρόνησιν. ὡς ἀπὸ τοῦ ἄτεος. οἱ μέντοι μεθ' Ὅμηρον, οὐκ οἴδασι τὸ ἀτέω ἀπὸ ἐν τρίτῃ συζυγίᾳ, ἀλλ' ἐν δευτέρᾳ κατὰ τὸ βοῶ. ἀτέοντα δὲ, ἀντὶ τοῦ ἀλαζονεύοντα. Ἄτερ, ἐκτὸς, χωρίς. καὶ ἄτερ ἡμέων, χωρὶς ἑκατέρων. Ἀτέραμνον κῆρ, σημαίνει τὸ ἀτερπὲς καὶ σκληρὸν, καὶ μὴ τέρεν. ὅθεν καὶ ἀτέραμνα σπέρματα, τὰ κατὰ χρόνον. περὶ ὧν λόγος, ὡς ἐὰν σπέρμα ἐν τῷ καταβάλλεσθαι εἰς γῆν κατὰ τὴν ὥραν τοῦ σπόρου τύχῃ κέρατι ἀροτῆρος βοὸς, σκληρὸν γίνεται καὶ δυσέψητον. κερασβόλα δὲ τὰ ῥαθέντα λέγεται, ὑπὸ τὸ κατὰ κεράτων βληθῆναι. ἐνταῦθα δὲ σημείωσαι, ὅτι συνθέτως μὲν ἀτέραμνον, τὸ μὴ τέρεν. ἀλλὰ δηλαδὴ ἀποσκληρυμμένον. οὐ μὴν δὲ τέραμνον ἀσυνθέτως τὸ τέρεν καὶ ἁπαλὸν, ἀλλ' ἀπὸ τοῦ οἴκου λέγει. καθὰ σὺν ἄλλοις καὶ ὁ Λυκόφρων δηλοῖ. καὶ ἀτέραμνα, τὰ δυσκατέργαστα καὶ σκληρὰ, παρὰ τὸ ἐπιτέρατα, ἢ τὰ μὴ ἑψόμενα ὄσπρια. Ἀτράμων, οἷον ἀτέραμνος. Ὅμηρος, κῆρ ἀτέραμνον ἔθηκεν. παρὰ τὸ τέρην, τὸ ἁπαλὸν, τράμων ὁ ἁπαλὸς, καὶ ἀτράμων ὁ σκληρός. τὸ οὐδέτερον, ἀτέραμον. καὶ πλεονασμῷ τοῦ ν, ἀτέραμνον. Ἀτεράμονες, σκληροὶ, μὴ τειρόμενοι, ἀπειθεῖς. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρίων, ἀτεράμονα λέγεται. οἷον οὐχ ἁπαλά. Ἀτέρα δόρος, τορτόν. κρατός. Ἀτέρψας, ἀθέτησιν. Ἀτερμάζειν, ἀθετεῖν, ἀσέβειαν, ἀπολύειν. Ἀτέρθε, χωρίς.

Ἀτέρμονες, ἄπειροι. Ἀτέρθεν, τὸ ἑτέρωθεν, καὶ χωρίς.

Ἄτερος, οὐ θάτερος. βάρβαρον γάρ ἐστι καὶ Λυκόφρων καὶ τοῖς ἄλλοις τοῦτο γράφεται. ὁ ἕτερος γάρ ἐστι, καὶ κατὰ κρᾶσιν ἅτερος. οὐκ ἔχει δὲ χώραν ἐνταῦθα τὸ ο, ὥσπερ ἐπὶ τῶν ἄλλων πλειόνων ἔνθα μεταβολὴ τῶν ἔχει σύμφωνον, τὸ λέγω τὸ ν, οὐ γίνεται ἡ τοιαύτη συναλοιφή. οἷον τὸ ἕτερον, τὴν ἑτέραν, τῶν ἑτέρων, τοῖς ἑτέροις, τοὺς ἑτέρους. ἀττικῶς ἐστὶ ἑλληνικοῦ. ὁ κύριος δὲ λόγος καὶ ἐπὶ οὐδετέρου, ὃν ἔφαμεν ἐπὶ τοῦ ἀρσενικοῦ. Ἄτερπνος, ὁ ἄγευστος, παρὰ γυναιξίν. παρὰ τὸ ἄτερ καὶ τὸ ὕπνος γίνεται ἀτέρυπνος, ὁ χωρὶς ὕπνου ὤν. καὶ συγκοπῇ τοῦ υ, ἄτερπνος. Ἀτερπὴς, καὶ ἀτερπῶς λέγεται. ὡς τὸ, φαίνεσκεν φρὴν ἀτερπὴς ὀϊζύος ἐκλελαθέσθαι. τουτέστιν, εἴποιμι ἂν μᾶλλον πατέρα ἀτερπῆ καὶ ἀνδρὶ κακοτυχήσαντα. ὥσπερ ἀτερπῆ λέγομεν, καὶ ἀτερπέα δὲ αὐλὸν ἄμουσον. Ἀτηρὸν, λυπηρόν. Ἀτηρῶς, ἀφροντίστως. Ἀτηρόν, ἀναιδὲς, ἀτερπές. Ἀταχῆ, ἄοπλον. Ἀτέχνως, πανούργους, ὁ ἀπείροις. Ἄτεχνον, τὸ μὴ μετὰ τέχνης ἢ ἐπιστήμης

λόγος λεγόμενον. ὁ ἐναντίον τὸ τεχνικὸν, καὶ ἀτέχνως ἐπίρρημα. ἄτεχνος, καὶ ὁ μὴ εἰδὼς τέχνην. ὁ εἰδὼς μὲν, οὐ μὴν καλῶς. ὁ ἐναντίον, ὁ τεχνικός. καὶ ἄτεχνος ζωὴ, ἡ χωρὶς τεχνῶν συνισταμένη. Ἀτεχνῶς, ἀντὶ τοῦ ἁπλῶς. καθάπαξ, ὅ ἐστιν ἐνὶ λόγῳ, ἀληθῶς. τέχνη γὰρ, ὁ δόλος παρὰ τοῖς ἀττικοῖς. τὸ δὲ ἄνευ δόλου, ἀληθές. ὁ γὰρ τοιοῦτος διαστέλλει τὸ σημαινόμενον, τήν τε τῆς τέχνης στέρησιν, καὶ τὸ ἀδιάφορον τῆς χρήσεως ἀτεχνῶς. εἰσὶ ἀτεχνῶς, μετὰ περισπασμοῦ τοῦ χ. ἢ ἁπλῶς, ἄνευ τέχνης. ἀπὸ μεταφορᾶς τῶν μὴ τέχνη ποιούντων, ἀλλὰ δηλονότι ἢ καθάπαξ, ἢ ἀδόλως. ἐὰν δὲ ἐκ παρὰ τῶν τεχνῶν λέγῃ τι, ὁ μὴ, οὐκ ἔστι περισπωμένως, ἀλλὰ βαρυτόνως. ἀτέχνως πράξας, ἢ ἀτέχνως λέγεις. καὶ ἀτεχνῶς ἐπαινεῖς, ἀντὶ τοῦ ἄγαν ἀκριβῶς. Ἀριστοφάνης. ἢ ἀτεχνῶς, ἀντὶ τοῦ ἀληθῶς. ἀτέχνως, ἀνεπιστημόνως. καὶ ἀντὶ τοῦ ὅλως, καὶ συνόλως, καὶ ἔστιν οἷον ἀδόλως. τέχνην γὰρ ἔλεγον τοὺς δόλους. οἷον, ἀμφὶ δὲ δόλους τεχνήεντας ἔχοντες. Ἀτεκμάρτοι, ἄγαν αὐθάδης. Ἄτη, παρὰ τὸ τῶ, ὃ δηλοῖ τὸ λαμβάνω. οἷον, Τῆ κύκλωψ πίε οἶνον. ἐξ οὗ ῥηματικὸν ὄνομα, τῆ. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄτη. ἡ οὐδεὶς θέλει λαβεῖν. ἢ παρὰ τὸ ἄω, τὸ βλάπτω, ἄσω, ἄση, ἡ βλάπτουσα τὴν ψυχήν. καὶ τροπῇ τοῦ σ εἰς τ, ἄτη. Ἄτη ἄασεν, Ὁμήρου δὲ λέξιν, ἐγράφη οὕτως. ἣν κατὰ αἰσχύλου εἶπεν, τῇ δ' ἄτην ἄασεν, κατὰ τὸ βουλῆς ἐσφάλησαν, καὶ λόγον ἔλεξαν. ἐκ τοῦ ἄασεν, κατὰ κρᾶσιν, ἆσεν (ὡς τὸ, ἆσέ με δαίμονος αἶσα κακὴ) γίνεται ἄατη, καὶ ἄτη κατὰ κρᾶσιν. Ἀτημέλεια, καταφρόνησις. Ἀτημελήτως, ἀπερισκέπτως, καταφρονητικῶς. Ἀτήμενον, βλαπτόμενον. παρὰ τὴν ἄτην. Ἀτῆναι κυνηγὸν λέγει καὶ ὀρτίγων, ἤγουν ἐγγὺς τοὺς πόλεις. ἐπειδὴ οἱ βλάπτοντες, εὐθέως τὸ ἔχουσι καὶ ὁ βλάπτουσι καὶ ἐπιταχύνουσι τὸν καιρόν. ἐν ἄλλοις δὲ καὶ ἀπαλοὺς εἶναι πόλεις τῇ ἄτῃ ἐρρ, ὡς ἀνεπαισθήτως τὰ πολλὰ ὑπὸ βλαπτομένων ἀφορμῇ. οἷον τὰς ἄτας ἐπερχομένας αὐθις. Ἀτήκειν, μοχθεῖν. Ἀτηρὴς, ἀναστατικός. Ἀτηρὸν, βλαβερὸν, ἀπόλλυον, ὑβριστικὸν, χαλεπὸν, κακόν. Ἄτης ὁ Διόνυσος, ἐπειδὴ ἀπὸ τῆς γινομένης ἐκ τῆς ἑστίας αὐτὴν ἄτης καὶ φθορᾶς.

Ἀτθὶς, ἀπὸ ἀτθίδος τοῦ κρανοῦ θυγατρὸς, ἣ ἔσχηκεν Λακεδαίμονος. Ἀτθίλων, ἀθηναίων. Ἀτίθασος, ἀνήμερος, ἄγριος. τιθασσὸν γὰρ λέγεται, τὸ τὰ ἄγρια θηρία ἡμεροῦν, καὶ χειροήθη ποιεῖν. Ἀτίζω, εἰ μὲν σημαίνει τὸ καταφρονῶ, γίνεται παρὰ τὸ τίω τὸ τιμῶ. καὶ ἀτίζω πλεονασμῷ τοῦ ζ. εἰ δὲ σημαίνει τὸ βλάπτω, παρὰ τὸ ἄτη ἀτίζω. καὶ ἀτίζω, τὸ ἀφροντιστῶ, ἀτημελῶ, ἀφροντίζω, ἀπειθῶ, ἢ πίπτω. Ἀτιμαγέλης, ὁ μὴ συναγελαζόμενος.

Ἀτιμαγελοῦντος, μὴ ἄτιμα πράττοντος τὰς ἀγέλας, μὴ καταλείποντος τὴν ἀγέλην. τοὺς γὰρ καταλείποντας τὸ κοινὸν τῆς ἀγέλης, καὶ καθ' ἑαυτοὺς νεμομένους οὕτω καλοῦσιν. Ἀτιμάζω, τὸ ὑβρίζω, τὸ παραβλέπω, τὸ ἄτιμον ἡγοῦμαι, παρὰ τὸ ἀτιμῶ. ἀτιμῶ δὲ τὸ ἄτιμον καθιστῶ. σημείωσαι δὲ ὅτι τὸ μὲν ἀτιμάζω παρὰ ἀττικοῖς ἐπὶ ἀψύχων λέγεται. τὸ δὲ ἀτιμῶ, ἐπὶ ἐμψύχων.

Ἀτιμάζων λέγεις, ἀτίμως λέγεις, ἐν ἀτιμίᾳ ποιεῖς. Ἀτιμαφοῦσι, τιμῶν οὐκ ἀξιοῦσιν. Ἀτιμᾶν, πρωτότυπον τοῦ ἀτιμάζειν. ἐξ οὗ τὸ ἀτίμητον, καὶ τὸ ἀτίμητος. Ἀτιμαστέον, καταφρονητέον. Ἀτιμάω ἀτιμῶ, καὶ ἀτιμόω ἀτιμῶ, τὸ ἄτιμον ποιῶ. Ὅμηρος, Οὕνεκα τὸν Χρύσην ἠτίμασ' ἀρητῆρα. ἤγουν, ἄτιμον ἐποίησεν. Ἀτίμητον μετανάστην λέγει Ὅμηρος, τὸν ἄτιμον μέτοικον. οἷα τοῦ μετοίκου ὡς τὰ πολλὰ οὐκ ἐντίμου ὄντος. ὡς νόθων πολιτῶν, καθὰ καὶ ἡ ἀττικὴ ἐδήλου, ἐν ᾗ ξένοι μὲν τὸ μὲν δῆμος ἀπεγεγραμμένοι, ὅμως τῶν ἰθαγενῶν ἐλαττοῦνται. σημείωσαι δὲ, ὅτι τὸ ἡμῖν ἐναντίως Ὅμηρος λέγει τὸ ἀτίμητος. οὐ γὰρ τὸν πολλῆς τιμῆς ἄξιον κατὰ τοὺς ὕστερον, οὕτω καὶ αὐτὸς φησὶ ἀτίμητον, ἀλλὰ τὸν οὐδαμινόν. ἢ ὅτι ἐκ τοῦ ἀτιμῶ ἀτιμάσω, τὴν λέξιν παράγει. Ἀτίμητος ἀγὼν, καὶ τιμητός. ὁ μὲν τιμητὸς, ἐφ' ᾧ τίμημα ὡρισμένως ἐκ τοῦ νόμου οὐκ ἔστιν, ἀλλὰ

τὴν

τῶν ὅρων, ταλαύρινος, καὶ ταλαίπωρος. κυρίως δὲ λέγεται, ὁ περὶ τὸν πόρον τλῶν, τουτέστι καρτερῶν, οἷον ταλάπορός τις, καὶ πλεονασμῷ τοῦ ι, ταλαίπωρος. οἱ γὰρ ἀρχαῖοι τοὺς ἐμπορικοὺς ταλαιπώρους ὠνόμαζον τοὺς τλῶντας περὶ τὸν πόρον. ἢ παρὰ τὸ πῶρα, ὃ δηλοῖ τὸ πάθος. Ἀταλαιπώρως, ἀκοπιάστως, ἄνευ κόπου.

Ἀτάλαντος, ὁ οἷον ἰσόσταθμος. τὸ α μὲν γὰρ ἐνταῦθα ἰσότητα δηλοῖ κατὰ τοὺς παλαιοὺς, ἢ ὁμοιότητα, ὡς καὶ ἐν τῷ ἀδελφός. τάλαντον δὲ φαμὲν, τὸν σταθμόν. ἴσον γὰρ, ὅτι ὥσπερ μέδιμνος τό, τε σκεῦος τὸ μετροῦν, καὶ τὸ ὑπ᾽ αὐτοῦ μετρούμενον, οὕτω καὶ χοῖνιξ ὁμοίως. λέγομεν γὰρ μέτρον ἢ χοίνικα. καὶ πῆχυς δὲ αὐτός τε ὁ μετρῶν, καὶ τὸ ὑπ᾽ αὐτοῦ μετρούμενον. οὕτω καὶ τάλαντον, οὐ μόνον σταθμὸς, δι᾽ οὗ τὰ βάρη διακρίνεται τῶν σωμάτων ἐντεθειμένων ταῖς πλάστιγξιν, ἀλλὰ καὶ αὐτὸ τὸ βάρος τὸ σταθμώμενον. ἔστιν οὖν ἀτάλαντος, ὁ τὸν ἴσον ἔχων σταθμὸν, ἐὰν ταλάντῳ μέλλῃ κρίνεσθαι. ὁ δὲ Πορφύριος καὶ αὐτὸς, ἀτάλαντον λέγων τὸν ἴσον, ἄλλως τὴν λέξιν καθίστησι, δεικνύων ἄνισον μὲν εἶναι παρὰ τοῖς παλαιοῖς τὸ τάλαντον, ἀτάλαντον δὲ ἐντεῦθεν τὸ ἴσον, τὸν μὴ κατὰ τὸ τάλαντον ἄνισον, ἀλλὰ τὸ ἐκ τοῦ ἴσου ἐσταθμισμένον ἀνισότητος. γίνεται τὸ τάλαντον ὁ σταθμὸς, παρὰ τὸ τάλας, ὃ δηλοῖ τὸ καρτερικὸν, τουτέστιν ὁ σταθμός. ὡς φορτιζόμενος, καὶ διὰ τὰ βάρη ἐπισταθείς. μάλιστα δὲ παρὰ τὸ ταλάσσειν, τὸ καρτερεῖν. ἐξ οὗ καὶ ὁ ἄτλας, καὶ ὁ τάλας, τὸ ῥηθὲν τάλαντον γίνεται. ἀχθοφορεῖ γὰρ ἀεί. ὅθεν καὶ ἡ τρυτάνη παρὰ τοῖς ὕστερον λέγεται, διότι τοῖς ὄγκοις τρύχεται, ἤγουν κατατείνεται. κυρίως μέρος τι τοῦ ζυγοῦ ἡ τρυτάνη. οὕτω δὲ καὶ πλάστιγξ λέγεται ὁ σταθμὸς ἐκ μέρους, ἀπὸ ἐκ τῆς πλάστιγγος. τουτέστι, τῶν κάτω πλατείων, οἷς τὰ βάρη ἐπίκειται. καὶ ζυγὸς δὲ ὁ αὐτὸς ἐκ μέρους, οὗ αἱ ῥηθεῖσαι πλάστιγγες ἐξήρτηνται. πρὸς ὃν παρεικάζεται ζυγὸς δόλιος, ᾧ ἀντίκειται τὸ δίκαιος. σάθμιον, τὸ παρώνυμον τοῦ ζυγοῦ. Ἀτάλαντος, ἀρτιμοτάλαντοι, οἷον ἰσοτάλαντος, ἰσόζυγος, ἰσόσταθμος. τάλαντον γὰρ τὸν ζυγόν φασιν. καὶ ταλαντεύομεν, ἐπὶ τὸ ζυγοστατεῖν. Ἀταλὰς λέγει τὰς πώλους Ὅμηρος. ὡς τὸ ἤλθε τελείων ἵππων ταλάνων ὄντων. διὰ τὸ ἀχθοφορεῖν. ἐξ οὗ καὶ οἱ ἡμίονοι, ταλαεργοὶ λέγονται. Ἀταλάφρονα, ἁπαλὸν φρόνημα ἔχοντα. Ἀταλάφρων ἐστὶν, ὁ νήπιος, ἢ ὁ μὴ τάλας, ὁ τλήμων. ἀλλ᾽ ἔτι φρονῶν ἁπαλός. Ἀταλὸς, ὁ ἁπαλὸς, ὁ νήπιος. παρὰ τὸ τλῆναι ταλὸς, ὁ μηδέπω δεδαμασμένος κακοπαθοῦσι. ἐξ αὐτοῦ, ἀτάλλειν καὶ ἀτιτάλλειν, κατὰ ἀναδιπλασιασμόν. Ἀτάλλων, ὁ ἀπαθὴς καὶ μὴ κακοπαθῶν. παρὰ τὸ τλῶ, τὸ καρτερῶ καὶ ὑπομένω, γίνεται τλὰς. καὶ ἄτλας, ὁ μὴ δυνάμενος τλῆναι, ἢ ἐκ τοῦ τάλλω, τὸ κακοπαθῶ. καὶ ἀτάλλω, τὸ τρέφω καὶ νεανίζω. Ἀτάλματα, ἀντὶ τοῦ ἅλματα, παίγνια. Ἀταμίευτον, ἀφύλακτον, ἀδιοίκητον, ἀνεπιτήδευτον. Ἀτακτοῦ, χαλινοῦ.

Ἀτὰρ λογογράφοι, ἀντὶ τοῦ δὲ, αὐτὰρ ποιηταί. σημαίνει δὲ τὸ ὅμως, ἀτὰρ καὶ αὐτὰρ ἀρκτικοὶ λόγου, καὶ τῷ δὲ, ἰσοδυναμοῦντες. οἷον, αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο. καὶ ἀτὰρ, ἀντὶ τοῦ ἄν ποτε, ἤν ποτε, ἐὰν δή ποτε. Ἀτὰρ, μακροῦ γε, καὶ ῥο, καὶ ἄλλ. Ἀτάρμιν, σύν γε, σὺν δὲ αὐτόν. Ἀτὰρ οὖν, ... οὖν, ἀτὰρ οὐ τέλος ἵκεο μύθων. Ἀταρβὴς, ἀκίνδυνος, καὶ ἄφοβος, ἀτρόμητος, παρὰ τὸ τάρβος, ἢ ἀθάμβητος, ὁ μὴ ταρβῶν βοὴν ὑπομένων. Ἀτὰρ δὴ, δηλαδὴ, ὁμοίως, πλὴν, ὅμως. καὶ ἀντὶ τοῦ δὴ, ἢ δηλοῦν. Ἀταρπὸς, ἡ εὐθεῖα ὁδός. παρὰ τὸ τρέπω, τρέψω. ὁ δεύτερος ἀόριστος, ἔτραπον. Ἀταρβίζεται, ἀπαθὴς φαίνεται. Ἀτάρβητον, ἄφοβον, θρασὺν, ἄθικτον, ἄψικτον.

Ἀτάρμυκτον, τὸ ἄφοβον. κυρίως δὲ τὸ μὴ μῦον. Εὐφορίων, ἀτάρμυκτον βλέπων ὄμμα. παρὰ τὸ ἀτρεπὲς καὶ τὸ μύειν τὸ ἀτενές. ἢ παρὰ τὸ τάρβος, ἀταρβόμυκτον, καὶ ἀτάρμυκτον. καὶ γὰρ ταρμύσσειν, τὸ φοβεῖν, ὡς Λυκόφρων. σημαίνει καὶ τὸν θρασύν. Ἀταρνεὺς, πολίχνιόν ἐστι κατὰ Λυκίαν κείμενον. Ἀταρπιτὸς, στενὴ ὁδὸς, καὶ δυσβατὸς, καὶ μὴ ὁμαλὴ καὶ ἐπὶ τετριμμένη. Ἀταρ-

τῶν

ρόται, βλάπτει, φθεῖ, λυπεῖ. Ἀταρτηροῖς ἐπέεσσι παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ὑβριστικοῖς, βλαβεροῖς. δῆλον ὅτι ἀταρὸς λέγεται καὶ ὁ χαλεπὸς. καὶ ἡ ἄτη. οὐ μόνον ἐν ἔργοις, ἀλλὰ καὶ ἐν λόγοις. ὅθεν καὶ οἱ κατὰ χόλον ὑβριστικοί. καὶ ἔχει πλεονασμὸν φανερὸς τῶν τερ συλλαβῶν, ὁ ἀταρτηρός. ἢ ἀπὸ τοῦ ἄτη, ἀτηρόν. καὶ κατὰ ἀναδίπλωσιν τῶν γραμμάτων, ἀτατηρόν, καὶ προσθήκῃ τοῦ ρ διὰ τὸ μέτρον, ἀταρτηρόν. ἔστι μὲν οὖν ἀταρτηρὸν, τὸ βλαπτικόν. ἐνταῦθα δέ φησιν ἀταρτηροῖς ἐπέεσσιν Ὅμηρος, κατὰ μεταφορὰν, ἀντὶ τοῦ ὑβριστικοῖς. Ἀτάρχον, ἀχείμαστον. Ἀτάρχυτος, ἄταφος. Ἀτᾶν, εἰκαιολογεῖν, ἀπατᾶν. καὶ ἀτᾶν παλαιοί, τὸ μάταια εἰπεῖν, ἢ ὀχεῖν. Ἀτασθαλία, ἡ ἐν θαλίαις ἁμαρτία. ἀτασθαλία, οὐ μόνον ἡ ταῖς ἄταις θάλλουσα ἀφροσύνη, ἀλλὰ καὶ ἡ ἐν θαλίαις εἴθισται ἐνοχλεῖν ἄτη ἐκ παροινίας, ὥς φησιν Ἀθήναιος. καὶ ἀτασθαλία, ἡ φρενοβλάβεια, ἡ ἁμαρτία, καὶ ἀδικία. Ἀτάσθαλον ἔοργε παρ᾽ Ὁμήρῳ, ἑρμηνευτέον ἀπὸ τοῦ ῥέζειν ἐξαίσιον. ταυτὸν γὰρ ἐξαίσιον ἐστι ῥέζειν, καὶ ἀτάσθαλον ἐστὶ ἐοργέναι. ἀρχαϊκὸν δὲ τὸ οὗ πτε ἀτάσθαλον ἄνδρα ἔοργεν. λείπει γὰρ πρόθεσις ἡ κατὰ, ὡς οὐκ ἐποίησε κακὸν εἰς ἄνθρωπον.

Ἀτάσθαλος. μωρὸς, φλύαρος, ἁμαρτωλὸς, ἄδικος, παράνομος. ἀπὸ τοῦ θάλλειν ἄταις, παρὰ τὸ ἄτω, τὸ βλάπτω. ἢ παρὰ τὸ ἄτω. ὡς οὖν δαίω δαίδαλος, καὶ παρὰ τὸ αἴθω αἴθαλος. οὕτω καὶ παρὰ τὸ ἀτῶ ἀτάζω, ἀτάλαζος. καὶ τροπῇ τοῦ ζ εἰς σ, ἀτάσθαλος. καὶ ἀτάσθαλον, ἀθέμιτον, παράνομον. ἀτάσθαλοι δὲ, οἱ εἰς θεὸν ἐξαμαρτάνοντες. καὶ ἀτάσθαλον ἔργον, δηλονότι τὸ ἀθέμιτον, καὶ παράνομον. Ἀταυρώτη, ἁγνὴ, ἄμικτος. ταῦρος γὰρ τὸ αἰδοῖον τοῦ ἀνδρός. Ἀτάφρυτος, ἄζυγος, καὶ παρθένος, παρ᾽ ὅσον οὐκ ἐζεύχθη γάμοις, αἱ μὴ γεγαμημέναι λέγονται. Ἄτε ἐπίρρημά ἐστιν ἀντὶ τοῦ καθὰ, ὥσπερ καὶ ἀντὶ τοῦ ἅτε. οἷον, ἄτε μυρίκαι. ἐκ τοῦ α ὑποτακτικοῦ οὐδετέρου ἄρθρου, καὶ τοῦ τε συνδέσμου. συνυπακούεται δὲ ἡ κατὰ πρόθεσις, διὸ καὶ ἀντὶ τοῦ καθά ἐστιν. Ἀτεγκτος, ἄκαμπτος, καὶ ἀνένδοτος. ὁ μήτε παρεικόσι, μήτε τὴν πύρωσιν καὶ τὸ τῆς ἄθης σκληρὸν τεγγόμενος, καὶ μαλαττόμενος. κυρίως δὲ ὁ ἄβροχος. ἐξ οὗ ὁ μὴ δακρύων, καὶ ὁ μὴ ἱδρῶν. Ἄτεγκτος, ὁ μήτε δακρύων, μήτε ἱδρῶν, ἀνίδρωτος. καὶ γὰρ ὁ τέγγων δακρύει. καὶ ἄτεγκτος, σκληρὸς, ἀμάλακτος, ἄβροχος, ἀσυμπαθὴς, ἄθρυπτος. Ἅτε μυρίκαι ὅπου αἱ μυρσίναι, ἐφ᾽ αἷς μισοπάθεια ἐγένετο. Ἀτείρεα χαλκὸν, ἤγουν σκληρὸν. καὶ γίνεται ἐκ τοῦ τείρω, καὶ αὐτὸ καὶ ἀτειράμενον. ἔτι δὲ ἀτείρεας οἱ χαλκὸς, ἀτειρὴς καὶ αὐτός. ὡς ὁ σκληρὸς ἄνθρωπος. καὶ ἀτειρής. καὶ στόμαχος δὲ ἀδὴς, ἀπέψαντος. ἀτέραμνα γάρ φασι διὰ τοῦ ε, ὅσα τὰ μὴ ἑψόμενα. Πλάτων δὲ διὰ τοῦ κεράσβολα λέγει τὰ σκληρά, ἐκ μεταφορᾶς. τὰ γὰρ προσκρούοντα κέρασι βοῶν (ὥς φησι) ὄσπρια, οὐχ ἕψεται. ἀντίκειται δὲ πρὸς τὸ ἀτειρὲς καὶ τὸ τέρην, καὶ ὁ τέρων. ἴσως δὲ καὶ τὰ ἐν οἰκετέροις διὰ τὰς περὶ αὐτὰ γλυφὰς, οἱ τετρημένοι πάντες λίθοι κεκλήσονται. δοκεῖ δὲ ἴσως ἐντυμαλέγοις, καὶ τὰ τείρεα ἐκ τοῦ τείρειν παρωνομάσθαι. Ἀτειρὴς, ὁ σκληρὸς, ὁ ἀδάμαστος. τέρας, ἀτειρὴς, καὶ ἀτειρές. ἢ παρὰ τὸ τείρω, ἀτειρὴς καὶ ἀτειρής. Ἀτέκμαρτος ὄρνις, ὁ σημεῖον διὰ τοῦ πέτεσθαι οὐκ ἐμφαῖνον. καὶ ἀτέκμαρτον, ἀτελείωτον, ἀκατανόητον, ἄγνωστον, ἄγραφον. Ἀτεκνία, ἡ ἀπαιδία καὶ ἡ μόνωσις. Δαβίδ, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. ὡς διὰ τοῦ τέκνου φυλαττομένης τῆς μνήμης.

Ἀτέλιβος, ὄφις τις. Ἀτέλεια, ἀλειτουργησία. Ἀτέλεστ, ἔλλειπτος. Ἀτελὲς, τὸ μήπω τετελεσμένον. τὸ μὲν οὖν τετελεσμένον λαμβάνεται παρ᾽ Ὁμήρῳ, καὶ ἐπὶ τοῦ μήπω μὲν τελεσθέντος, φύσιν δὲ ἔχοντος τελεσθῆναι. οἷον εἰ δύναμαι τελέσαι γε, εἰ τετελεσμένον ἐστίν. Ἀτέλεστον, τὸ ἀδύνατον τελεσθῆναι. καὶ ἀτέλεστος, ἀμύητος, βέβηλος, ἀνόργιαστος, τελετὰς μὴ πεπαιδευμένος. Ἀτελεστός ἐστιν, ὁ μὴ μυηθεὶς. καὶ ἀτελὴς, ὁ ἀμέτοχος. ἢ

Ἀτελεστὸς

καὶ αἰολικῶς, ἄσφαλος, ὁ ἀσφάλιμος, καὶ εἰς μέσην [illegible]. ἢ παρὰ τὸ ἄσαι, ὅ ἐστι βλάψαι, καὶ τὸ φηλῶσαι. καὶ δηλοῖ τὴν βλάψιν, καὶ ἀπατηθέντα. ὅτι δὲ τὸ ῥῆμα φηλῶσαι φηλῶσαι παρὰ τοῖς παλαιοῖς ἐλέγετο, κατὰ τρίτην συζυγίαν τῶν περισπωμένων, δηλοῖ ὁ Ἀνακρέων εἰπὼν, φηλώσας τρόπον, ἤγουν ἐξαπατήσας τὸν ἄρχοντα. τὸ δὲ φηλῶ φηλώσω, τῶ ὑστέρου ἐστι, διὸ καὶ [illegible] φιλάττειν, οὐ διὰ τοῦ ε ἔχει τὴν ἄρχουσαν, ἐν τοῖς ἀπαιτήσεσιν ἀναγραφαῖς, ἀλλὰ διὰ τοῦ ι. καὶ οὐ δηλοῖ ἀπατῶντα, ἀλλὰ [illegible], παρὰ τὸ φηλῶ. καὶ ἀσύφηλον, τὸ ἀπειλητικὸν, καὶ βλαπτικὸν, παρὰ τὸ ἄσαι ἢ βλάψαι, καὶ τὸ φηλῶσαι. ἀσύφηλον, ἢ αἰολικῶς ἀσύφηλον. ὡς ὄνομα, ὄνυμα. Ἀσφαλάσσω, [illegible]. σφαλάζειν γὰρ λέγεται, τὸ σπᾶσθαι καὶ σφαδάζειν.

Ἀσφάξ, ἀντίκειται. Ἀσφαλίζω, ἀσφαλίσασθαι, [illegible] ἀσφαλῶς. Ἀσφάλαξ. παρὰ τὸ σπῶ, γίνεται σπάλαξ. καὶ πλεονασμῷ τοῦ α, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς τὸ δασὺ, ἀσπάλαξ. Ἀσφάλεια, σωτηρία, ἡ ἔγγραφος βεβαίωσις.

Ἀσφαλὴς, ἰσχυρὸς, ἀπὸ τοῦ σφάλλω. Ἀσφαλίων, [illegible] ὄνομα, ὃν οἱ μὲν σφάλλεσθαι [illegible], πρὸς τὴν [illegible]. Ἀσφαλτῖτις, ἡ ἐρυθρὰ θάλασσα. καὶ ἀσφαλτώσας, [illegible]. Ἄλλως. Ἀσφαλτῖτις λίμνη, [illegible]. Ἀσφάραγος, ὁ λαιμός. παρὰ τὸ [illegible] ἀσπάραγος, καὶ ἀσφάραγος. γίνεται γὰρ ἐκ τοῦ λέγειν ὁ λάρυγξ. ὁ δὲ Ἡρωδιανὸς λέγει, παρὰ τὸ σφαραγῶ, [illegible]. διὰ αὐτοῦ γὰρ ἡ φωνὴ φέρεται, καὶ κατὰ πλεονασμὸν τοῦ α ἀσφάραγος. λέγεται δὲ, καὶ τὸ ἐξ ἀκανθῶν φυόμενον βλάστημα. ἔστι δὲ καὶ [illegible] ἀσφάραγος, πρὸς τὰς καθάρσεις ἐπιτήδειον. καὶ οἱ μὲν [illegible] διὰ τοῦ φ τὴν λέξιν προφέρουσιν, οἱ δὲ [illegible], διὰ τοῦ π. Ἀσφαλὲς, [illegible]. Ἀσφοδελὸν λειμῶνα. ὀξύνεται δὲ ὁ [illegible] [illegible], πρὸς Αἰσχύλον, ὡς περιληπτικὸς ὢν ἀσφοδέλων. ἀσφόδελος μὲν γὰρ προπαροξυτόνως, τὸ φυτὸν, κατὰ [illegible]. ἀσφοδελὸς δὲ ὀξυτόνως, ὁ αὐτοῦ τόπος. [illegible] [illegible] τὰ περιεχόμενα. [illegible] τὸ φυτὸν [illegible]. ὁμοίως καὶ [illegible] ὁ τόπος, καὶ τὸ [illegible] περιεκτικός. Ἀσφράγιστος, ἀσήμαντος. Ἀσφυκτὶ, [illegible]. Ἀσίδηλος δὲ [illegible] [illegible].

Ἀχαλὶς, [illegible]. Ἀχαλὸς, [illegible]. Ἀχάλιον, [illegible]. Ἀχάλως, [illegible], καὶ πλεονασμῷ τοῦ α ἀχαλόω. [illegible] εἰς τὸ μικρὸν, [illegible] τὸ ω μέγα. καὶ τὸ μὲν ο μικρὸν, ὅταν ᾖ προσγενομένη [illegible] βραχεῖα ᾖ. τὸ ω μέγα, ὅταν μακρά. [illegible] τὸ ω μέγα [illegible] προσίεται κατὰ συζυγίαν [illegible] [illegible] καὶ τὴν πρώτην [illegible], καὶ [illegible] δεύτερον προσίεται. [illegible] τὸ ω [illegible]. ἐπὶ [illegible] τρίτην τῶν [illegible], [illegible] ὁ ὅταν [illegible] τὸ ω προσίεται, ἀλλὰ τὸ ο. οἷον ὁρῶ ὁρᾷς, ὁρῶμεν ὁρῶσιν, ὁρῶσιν ὁρώοιμι, ὁρᾷς ὁράας, ὁρᾷ ὁράᾳ. καὶ ὅτι [illegible] προσγινομένη συλλαβὴ μακρά ἐστι, καὶ τὸ προσιθέμενον ω μακρόν ἐστιν. οἷον [illegible]. [illegible] τὰ τῆς τρίτης συζυγίας [illegible] οὕτω τὸ ω μέγα προσίεται, [illegible] βαρύτονα γίνεται, καὶ κατὰ τὰ βαρύτονα [illegible] κλίνεται. οἷον [illegible], [illegible]. καὶ ἡ μετοχὴ [illegible], ὡς [illegible]. [illegible]

[illegible], καὶ βίῳ βιῶν. [illegible], καὶ [illegible] τέρων. καὶ μάλιστα [illegible] οὐκ ἔχει χώραν ἐπὶ τῶν [illegible]. καὶ προσθήκῃ [illegible] ὁμοίως προσλαμβάνεται τὸ ω εἰς βαρύτονα μετατίθεται, καὶ κατὰ τὰ βαρύτονα κλίνεται. οἷον ζῶ, ζώω, ζώεις, ζώει, ζώοντος. καὶ ἐπὶ παρατατικοῦ, ἔζωον, ἔζωες, ἔζωε. [illegible], ἀφ' οὗ τὸ [illegible]. [illegible] βαρυτόνου γὰρ τὸ [illegible], κατὰ ταῦτ [illegible] λέγοιμι, οὐκ ἂν περισπωμένου ἦν [illegible]. τὰ δὲ τῆς πρώτης, ὁμοίως ἔχει τῇ τρίτῃ. εἴτε [illegible] οὕτω γίνεται, εἰς βαρύτονον μετατίθεται συζυγίαν. Ἀχαλινῶς, [illegible]. Ἀχάλινος, [illegible], [illegible]. ἀχάλινος [illegible], [illegible], ὁ [illegible]. ἀχάλινον, [illegible] ἄλλως ἔχον. Ἀχίλιος, ὁ [illegible], παρὰ Ἰταλοῖς. Ἀχίλιον, [illegible]. Ἀχιο, [illegible]. Ἄχιτος, ἀχρώτας, παρὰ τὸ χῶμαι. ἀφ' οὗ καὶ ἔχομαι ὁ παρακείμενος, καὶ ἔχισμαι ὁ [illegible]. ὁ μέλλων, χέσω. ἐξ οὗ ἡ χέσις. καὶ ὡς παρὰ τὸ τίθημι γίνεται θετὸς, ἴημι ἑτὸς καὶ ἄφετος, λύω λυτὸς, οὕτω καὶ χῶ χυτὸς, καὶ ἄχυτος. καὶ ἄχυτον, ἀκρότατον. καὶ ἄχιτος, ἀσύχυτος. Ἀχμαῖκον, ὃ μὴ πρόσεισι χρῶμα, [illegible]. Ἀχνυμένῳ μὲν, τὸν [illegible] [illegible] λυπούμενα. [illegible] γὰρ τὸ περὶ [illegible] ἐν λόγῳ, εἴτε ἐν πράγματι, ἀχυμονεῖν καὶ φλυαρεῖν [illegible] ὁ Πλάτων. φησὶ καὶ ὁ Θεολόγος, καὶ τοῖς μὲν ἀχυμονοῦσιν μᾶλλον, [illegible]. Ἀχύμενοι θανάτῳ, [illegible]. Ἀχύμονα, ἄμορφον, [illegible]. Ἀχυμος, ἄκοσμος. Ἀχολία, ἡ πολλὴ περὶ [illegible], καὶ συνεχὴς ἐπιμέλεια. καὶ ἀχολοῦμαι, ῥῆμα. καὶ ἄχολος ὄνομα, [illegible] καὶ θηλυκῶς [illegible]. χολάζω δὲ, τὸ [illegible] [illegible]. [illegible] ἡ [illegible], [illegible] τότε χολὴ, ἡ [illegible]. καὶ χολία, ἡ περὶ τὰ ἀνθρώπινα πράγματα διατριβὴ, καὶ τὴν ὄντως βίον περιολκὴ, χολὴ, ἡ ἀπόθεσις πόνων, καὶ [illegible] ἐπὶ τὸ [illegible], καὶ καθαρώτερον. διὸ καὶ χολαστικὸς λέγεται, κατὰ [illegible] ἐπὶ τὴν προφασιν, ἢ ἀπόθεσιν τῶν ἀνθρωπίνων. ὡς καὶ Ἀριστοτέλης φησίν. Ἄχολος, ὁ μὴ [illegible]. χολὴ γὰρ, ἡ [illegible] [illegible]. Ἄσω, ψαλῶ, αἰνέσω, ὑμνήσω.

Ἀσώλης, ἀμμώδης. Ἀσύμετρον, τὸ μὲν [illegible] ἀριθμῷ, ὡς οἱ ἄγγελοι, Μιχαὴλ καὶ Γαβριήλ. [illegible] γὰρ τὰ δὲ οὐ, ὡς τὰ καθόλου. Ἀσυμίων, [illegible]. Ἀσώπιον, [illegible]. Ἀσωπὸς, ποταμὸς Βοιωτῶν, ἔχων τὰς πηγὰς ἐν [illegible]. [illegible] δὲ ἀπὸ Διὸς Αἴγιναν αὐτὴν, διὰ τὸ [illegible] τὴν θυγατέρα αὐτοῦ Αἴγιναν, ὡς καὶ Καλλίμαχός φησιν.

Ἄσωτος, ἀσωτεύομαι, ἀσωτία. καὶ ἄσωτος, ἀκόλαστος, ἀσελγής. παρὰ τὸ σώζω, σώσω, σέσωκα, σέσωσμαι, σέσωσαι, σωτὸς, καὶ ἄσωτος. Ἀσώτως, αἰσχρῶς, ἀπλήστως.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Τ.

Ἄτα, ὦτα, Ταραντῖνοι. Ἀταβύρ, ἄφοβοι. Ἀταβυρία, ἡ ὄγδοος πύλαι. Ἀτάβυρον ὄρος, ὅπου θηρία συνάγονται. Ἀτακὲς, ἀγύμνασος. Ἀταβύριον, χαλκὸς, ἔλαττον. Ἄται, πληροῦται. Ἄταιθα, λαμυρά. Ἀταιόν, ἀταλαιφθές. τορβαῖοι. Ἀταίω, τὸ θαυμάζω, καὶ ἐκπλήττομαι. ἀτασομένου κακὰ ἔργα. Ἀτάκτημα, ἀταξία. ὡς τὸ, Τ ῶ μηδὲν ἀτάκτημα γενέσθαι περὶ τῶν ἀρχῶν. Ἀτακτῶ, ἀτιμάζω, ἀτιμῶ, ἀτιμῶ. καὶ ἀτιμίζω, τὸ ὑπομῶ, ἀτροφῶ, ἀμεταθέτας πάντα. Ἀταλὰ, νήπια, ἁπαλά.

Ἀταλαὶ, παρθένοι, οἱ μετὰ [illegible] γλῶσσαι, διὰ τὸ τὸ [illegible] ἀταλόν. τὸ δὲ [illegible], τοῖς [illegible]. Ἀταλαίπωρον, ῥᾴθυμον, ὀλίγωρον. Ἀταλοφρονέω, ἀταλαιπώρως οἱ [illegible] διάκεινται. σημαίνει δὲ τὸ κακοπαθεῖν, καὶ [illegible]. ταλαίπωρος, ἄπειρος, ἄθλιος. εἴρηται δὲ ὡς [illegible], παρὰ τὸ τάλας. καὶ [illegible]

Ἀστράβδην, τὸν ταχυλόγον. ἤτοι τὸν συνεστραμμένον, ἢ διεσπασμένον. Ἀστραβδόν, ταχύν, συνεστραμμένον, ἐν φυγῇ.

Ἀστροβοληθῆναι, τὸ νόσῳ τινὶ καταχεθῆναι, ἐπὶ τῶν ἀμπέλων. κυρίως δέ, τὰ τῶν δένδρων καταβληθέντα, ἐπὶ τῇ ἐπιβολῇ τοῦ κυνός.

Ἀστροβολήτους, τοὺς ὑπὸ τοῦ κυνὸς βαλλομένους. Ἀστροβολίως, ἐντριχῶς, Πλάτων. οἱ δέ, ταχέως. Ἀστροβόλησον ἐν ἰταλίς. ἔστι δὲ τὸ διαλελυμένον, ἢ ἀστρόβλητον. Ἀστρεις σπουδῇ μακρὰν ὁδόν, καὶ ἐρήμην βαδίζειν. ἡ μεταφορὰ ἀπὸ τῶν πλεόντων.

Ἀστρολόγος, γενεθλιαλόγος. Ἄστρον, σῶμα πύρινον. ἐν τῷ οὐρανῷ πλανητόν, ἢ τῇ κύκλῳ φορᾷ φερόμενον. ἢ σύστημα πλειόνων ἀστέρων. ἢ τὸ ἐπὶ ἴσον χρόνον συνεχόμενον ἐν μετεώρῳ, ὡς κομῆται. Ἀστρονομία, ἡ τῶν ἄστρων διανομή. πρῶτοι Βαβυλώνιοι ταύτην ἐφεῦρον, διὰ Ζωροάστρου. μεθ᾽ ὃν καὶ Ὀστάνης. Ἀστρονομῶ, ἀχάλω. τὸ ἀθυμοῦμαι, καὶ λυποῦμαι. ἀχυμονῶ, ἀμεταβάτως.

Ἀστροπελοῦντας, περὶ τὰ ἄστρα ἀναφέροντας τὴν διάνοιαν.

Ἀστρωπὸς, λαμπρόν, λευκόν. Ἄστυ, κοινῶς μὲν πᾶσα πόλις. ἰδίως καὶ ἀστὸς κυρίως, ἀνὴρ ὁ ἐξ ἄστεος, καὶ μὴ ἀγρότης. Ἀττικοὶ δέ, ἰδίως οὕτω τὰς Ἀθήνας ὀνόμαζον, κατὰ τὸ ἐξαίρετον. ὥσπερ καὶ οἱ Ἀλεξανδρεῖς, πόλιν ἐξαιρέτως τὴν Ἀλεξάνδρειαν. ἔλεγον οὖν οἱ Ἀθηναῖοι ἀστοὺς καὶ ἀστάς, ἄνδρας τε καὶ γυναῖκας τοὺς ἐξ Ἀθηνῶν. καὶ ἀστὴν ἐλαίαν, τὴν ἱεράν, καὶ μάλιστα τὴν ἐξ ἀκροπόλεως τὴν ἱεράν. ἄστυ, ἐτυμολογεῖ Εὔμολπος τὴν λέξιν, λέγων, παρὰ τὸ ἵστασθαι. ἐπὶ μετεώρου γὰρ ἕστηκαν αἱ πόλεις. καὶ ἄστυ, παρὰ τὸ ἄνω ἵστασθαι. οἱ γὰρ ἀρχαῖοι, ἐφ᾽ ὑψηλοῦ τόπου ᾠκοδόμουν τὰς πόλεις. ἐκ δὲ τοῦ ἄστυ, ἀστός. σημαίνει δὲ τρία, τὸν ἐν ἄστει διατρίβοντα, τὸν διὰ χρυσὸν ἦθος ἐπαινούμενον (ὡς ὁ μῦθος) καὶ τὸν γελωτοποιόν. Ἀστυάναξ, ἰχθῦς τις. οὕτω καλεῖται, καὶ ὁ τοῦ Ἕκτορος παῖς. Ἀθηναῖος δὲ εἴρηται, διὰ τὸ φιλεῖν τὸν Ἕκτορα, ὡς ἔρυσμα τῆς Ἰλίου. ὠνόμαζον καὶ τὴν ἑαυτοῦ ἐλπίδα, ἀστυάνακτα. καὶ ἀστυάναξ, οὐχ ὡς ἁπλῶς βασιλέως ὄντος τοῦ πατρός, ἀλλ᾽ ὡς ἐρυομένου τὸ ἄστυ. τουτέστι φυλάσσοντος, ὃ ἔργον ἄνακτος, ὡς ἀπὸ τοῦ ἀνακῶς ἔχειν, ὅ ἐστιν ἐπιμελῶς. ἐτυμολογούμενος, πόλεων ἐστὶν ἐπιμελητής, καὶ ὡς οὕτως εἰπεῖν, ἐρυσίπολις. τοῦτο γὰρ δηλοῖ τὸ ἔρυμα πόλεως, καὶ τείχεα μακρά. Ἀστυάνασσα, Ἑλένης θεράπαινα. ἥτις πρώτη ἐξεῦρεν ἀφροδισίων καὶ ἀκόλαστα σχήματα. Ἀστυκός, πόλις, καὶ ὁ πολίτης. Ἄστυβον, ἀλεκτρυόνα. Ἀστυβοώτης, παρὰ τὸ κατὰ ἄστυ βοᾶν. ὥσπερ καὶ ἀπὸ τῆς ἀκοῆς, ὃ δηλοῖ τὸ φωνεῖν. ὡς τό, ἠχήεντα κήρυξ, ὁ φωνητικός. Ἀστυγείτονα, πλησιόχωρον. ἢ ἀστυγείτονα, τῇ πόλει γειτνιῶν. Ἀστυδάμεια, ἀκάστου γυνή.

Ἀστυλάζει, λυπεῖ μετὰ κλαυθμοῦ. Ἀστυλίς, φυτόν, ὅθεν ὁ ἰξός. Ἀστυλόν, τὸ τραχὺ ἱμάτιον καὶ φαῦλον, μηλώτιον, καὶ ἀγελαῖον. Ἀστυνόμη, ἡ Χρυσίς, ὑπὸ τοῦ πατρός. Ἀστυνόμος, ὁ διοικῶν κατὰ τὸ ἄστυ. καὶ ἀστυνόμους, Δημοσθένης κατὰ Τιμοκράτους, δέκα φησὶν εἶναι τοὺς ἀστυνόμους. Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, πέντε μὲν Πειραιεῖ, πέντε δ᾽ ἐν ἄστει. καὶ τούτοις μέλλειν περί τε τῶν αὐλητρίδων καὶ ψαλτριῶν, καὶ τῶν κοπρολόγων, καὶ τῶν ἑτέρων. Ἀστυνυμφίων, τὸν σκύμνον, λυκαρίον. ἐπεὶ ὕστερον εὔνυμφος ἐγένετο. Ἀστυξένοι, οἱ μὴ ἔχοντες ἐν τῇ πόλει τὴν ἰδίαν οἰκίαν. Ταραντῖνοι. Ἀστυόχη, κατὰ Ὅμηρον Ἀστυόχεια, ὡς καὶ Πηνελόπη Πηνελόπεια. Φύλαντος ἦν θυγάτηρ. ταύτην Ἡρακλῆς ἄγεται, ἀνελὼν τὸν Φύλαντα, ὅτε κατὰ Ἐφυρέων Αἰτωλοῖς ἐστράτευσε. γεννᾷ δὲ ἐξ αὐτῆς Τληπόλεμον, ὃς ἐκβραχθεὶς περιπίπτει ἀκουσίῳ κακῷ. ἰδὼν γὰρ τὸν ἑαυτοῦ μὲν πάππον, τοῦ δὲ πατρὸς μήτρωα, ἤγουν τὸν πρὸς μητρὸς θεῖον τοῦ Ἡρακλέους, τουτέστι τὸν Λικύμνιον (ἀδελφὸς γὰρ ἦν Ἀλκμήνης, ὥς φασιν, ὁ Λικύμνιος) τοῦτον οὖν ἰδὼν ἁπαλῶς φασὶν ἐν γήρᾳ χειραγωγούμενον, καὶ ἀφεὶς βακτηρίαν ἐπὶ τὸν οἰκέτην, τοῦ μὲν οἰκέτου ἥμαρτεν οὐ κατασχὼν, τὸν δὲ γέροντα πλήξας ἔκτεινεν οὐχ ἑκών. διὸ καὶ ἔφυγεν εἰς Ῥόδον συναγαγὼν λαόν. καὶ κατασχὼν τοὺς Ῥοδίους ὥρκωσε, καὶ ἐπὶ προσεκλήρωσε μέρει, ἐκράτησε. καὶ δυνάστης γενόμενος, ἐστράτευσε κατὰ τῆς Τροίας καὶ αὐτός. Ἀστυπάλαια, καὶ Ἀστυπαλαία, μοῖρα τῆς νήσου. εἴρηται ὅτι Πάτροκλος καὶ Τηλέμαχον ... ἀπέλυσεν εἰς νῆσον, πρὸς τοὺς ἐνοικοῦντας ... ὕστερον πρὸς τὴν Χίων ... καὶ εἰς δύο φυλὰς τὴν πόλιν διένειμαν. ὧν τὴν μὲν Χησίαν ὠνόμασαν, τὴν δὲ Ἀστυπάλαιαν, ἀπὸ τοῦ παλαιοῦ ἐκείνου ἄστεος.

Ἀστυπολεῖ, ἀγελαφορεῖ, ἰχθυοφορεῖ. Ἀστυτρεῖ, σιδηροφορεῖ, τυροπωλεῖ. Ἄστυρον, πόλισμα. Ἀστυτρίψ, ἐν ἄστει διατρίβων, ὁ ἐν πόλει ἀναστρεφόμενος. Ἀστυφέλικτον, ἀκίνητον, ἄσειστον, ἀπρόσβατον. Ἀστυφία, ἀστοχία. Ἀσύγγνωστος, ὁ οὐκ ἔχων συγγνώμην. Ἀσύγκριτον, ἀνόμοιον, ὑπερέχον.

Ἀσύγχυτον, ἀμιγές, ἤγουν μὴ συγκεχυμένην. Ἀσυλλόγιστον, τὸ μὴ καλῶς γεγονός. Ἄσυλον, ἱερόν, ἢ τίμιον. καὶ ἄσυλον, ἀβλαβές. Ἀσύμβατον, ἀφιλίωτον, πολέμιον, ἀσυμβίβαστον. Ἀσύμβλητον, ἀσύγκριτον. Ἀσύμφορον, τὸ μὴ συμφέρον, ἢ πρέπον, καὶ ἀπρόσφορον. Ἀσυμφυὲς τῇ κτίσει, ἐκτὸς κτίσεως. Ἀσυμφανές, ἄδηλον περικεκαλυμμένον.

Ἀσύνακτος, ὁ μὴ συναγόμενος ἐξέβλητος. Ἀσύνδετον σχῆμα γίνεται, ὁπόταν ἐξαίρονται οἱ σύνδεσμοι, οἱ συνδέοντες τὴν φράσιν. ὅπερ οὐ μόνον τάχους, ἀλλὰ καὶ ἐμφάσεως παθητικῆς χάριν γίνεται. οἷόν ἐστι καὶ τοῦτο, ἴομεν ὡς ἐκέλευες ἀνὰ δρυμά, φαίδιμ᾽ Ἀχιλλεῦ. εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλά. ἐν βύσσῳ γάρ, ὁ καὶ εἴρηται. Ἀσυνδέτους, μὴ συνδεδεμένους. Ἀσυνδύαστος, ἀσύζευκτος, ἀσύμπλοκος, ἢ ἀσυνδυάσιστος. συνδυάζω γάρ, τὸ συνδυάζομαι. ὡς τό, Οὐ μὴ συνδυάσῃς μετὰ τῶν ἐκλεκτῶν αὐτοῦ. Ἀσύνετος, ἄφρων. Ἀσυνετῶ, μωραίνω. Ἀσυνέτους, τοὺς ἀσυνθέτους λέγει ὁ Ἀπόστολος. ὧν οὐδὲν ἀφρονέστερον. Ἀσυνθεσία, παράβασις συνθηκῶν.

Ἀσύνθετος, ὁ ἀσύμφωνος, ὁ ταῖς συνθήκαις μὴ ἐμμένων.

Ἀσυνάρτητον, ἀσυνάρμοστον. Ἀσύνθετον, τὸ μὴ ἐμμένον τῇ συμπληρώσει τῆς οὐσίας καθ᾽ ὑπόστασιν ἔχον. Ἀσυνθετώτατον. Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας, ἐπ᾽ ὄχλου ἐστὶ τοῦτο μα. ἀντὶ τοῦ ἀπιστότατον, καὶ ἀβεβαιότατον, καὶ πίστει οὐ χρώμενον διὰ τὸ ἀβέβαιον. ἢ ἀνομολόγητον, καὶ ἀσύμφωνον. ὁμολογίαι γὰρ αἱ συνθῆκαι. ἢ ἀντὶ τοῦ ἀσυνετώτατον, ὅπερ ἐστὶν ἀνοητότατον. ἢ ἀντὶ τοῦ ὃ μάλιστα οὐκ ἂν δύναιτό τις συνεῖναι, τί ποτε φρονεῖ. Ὅμηρος, Σὺ δὲ σύνθεο, καί μοι ὄμοσσον. Ἀσύντακτον, τὸ μὴ τεταγμένον, τὸ μὴ ἡνωμένον καὶ σύμμικτον, ἀλλὰ διεσπαρμένον καὶ διῃρημένον. τὸ ἀσύντακτον δέ, ὃ καὶ ἀκαταλληλία καλεῖται, ἐστὶν, ὅταν ἡ συνήθης τάξις ἀηδία γίνεται, καὶ ἐστὶ ποικίλη, ἕνεκα τοῦ κόσμον ἢ χάριν ἐμποιεῖν τοῖς λόγοις. τῆς μὲν συνήθους τάξεως οὐ δεχομένης ἀκολουθίαν, ἐπὶ δὲ ἰδίαν ἀναφορὰς ἐχούσης ἀκολουθίαν. συμβαίνει δὲ πολλαχῶς ἐπὶ τὰ γένη τῶν ὀνομάτων ἐναλλασσομένων. οἷόν ἐστι τὸ κλυτὸς ἱπποδάμεια, ἀντὶ τοῦ κλυτή. καὶ θῆλυς ἐέρση, ἀντὶ τοῦ θήλεια. σύνηθες γὰρ ἦν τοῖς παλαιοῖς, χρῆσθαι τοῖς ἀρσενικοῖς ἀντὶ τῶν θηλυκῶν, ὡς κρείττοσι, καὶ δυνατωτέροις. οὐκ ἀμέτρως μέντοι, οὐδ᾽ ἀλόγως, ἀλλ᾽ ὅταν δέῃ χρῆσθαι ἐπίμονα ἐπιθέτῳ, ἐκτὸς ὄντι τοῦ σώματος, περὶ οὗ ἐστιν ὁ λόγος, ἐκεῖνο μένει ἐστὶ περὶ τὸ σῶμα. ὁ μέγας ἢ μεγάλη, ὁ καλὸς ἢ καλή, καὶ τὰ τοιαῦτα. ἐκτὸς δέ, οἷον ἔνδοξος, εὐτυχής. καὶ ἀσυντελές, τὸ ἐκτὸς τοῦ τεταγμένου. Ἀσυντελής, ἀχρήσιμος, ἀσύμφορος. Ἀσυρής, βδελυρόν, προπετής, βλοσυρόν, θρασύ. Ἀσυρῆ, ἀναιδῆ. Ἀσύστατον τὸ Αἰσχύλου λέγει δαιτυμόνας, οἷον ἀδιάθετον, ἀπειθεῖς συνιστάντα τοὺς μύθους, οὐ συνιστάντα, οὐδὲ πυκνὸν ἐν τῇ ποιήσει. Ἀσφάραγος, οὐ ῥίζα, ἀλλὰ φύτευμα ἡ λέξις. γίνεται δὲ ἐκ τοῦ σφαραγέω, ἄσφαρος, κατὰ πλεονασμὸν ἀσφάραγος.

καὶ αἰσλι-

Ἀστοί, οἱ ἀπὸ [illegible], οἱ πολῖται, οἱ [illegible] μὴ ἔχοντες. Ἀστέρα ὀπωρινὸν λέγει Ὅμηρος, τὸν κύνα. ὃν ἡ κοινὴ διάλεκτος τὸν σείριον ἀστέρα λέγει. Ἱστορία. Ἀστερία φασὶ φυγοῦσα τὴν μίξιν τοῦ Διός, μεταβαλεῖν ἑαυτὴν εἰς ὄρτυγα, καὶ ῥῖψαι εἰς τὴν θάλασσαν, ἐξ ἧς γενέσθαι νῆσον, ἥτις Ἀστερία καὶ Ὀρτυγία ἐκλήθη. ὕστερον δὲ τοῦ Διὸς συγγενομένου Λητοῖ, καὶ τεκούσης αὐτῆς ἐγγὺς ὄντων Ἄρτεμιν καὶ Ἀπόλλωνα, ζήλῳ τῆς Ἥρας μήτε ἐν γῇ μήτε ἐν θαλάσσῃ ὑποδεχομένης τῆς Λητοῦς πρὸς ἀπότεξιν, [illegible] πρός, καὶ ἀνέλαβε ταύτην τὴν νῆσον τὴν ὄρτυγα καὶ Ἀστερίαν λεγομένην, πρότερον κρυπτομένην τοῖς κύμασιν, ὅτι δὲ καὶ ἀφανὴς ἦν, καὶ ἐκ τοῦ φανῆναι αὐτήν, Δῆλον ὠνόμασαν. ἐφ᾽ οὗ δὲ [illegible] ἡ Λητώ, καὶ δάφνης καὶ φοίνικος πρῶτον ἐκεῖ φανέντων ἀψαμένη, τὴν Ἄρτεμιν γεννᾷ. ἡ δὲ ταύτην μαιωθεῖσα, καὶ τίκτει τὸν Ἀπόλλωνα, καὶ Ἄρτεμιν. καὶ Ἄρτεμις δὲ τὴν Δῆλον κατέλαβεν, Ἀπόλλων δὲ εἰς Λυκίαν ἀπῆλθεν. Ἀστερίη, ἡ Κρήτη, καὶ ἡ Δῆλος, οὕτως ἐκαλοῦντο. Ἀστεροπητοῦ, ἤγουν ὑπὸ κεραυνοῦ. Ἀστέριον, πόλις ἐν Θεσσαλίᾳ. Ἀστερίς, ὄνομα νήσου. Ἀστερίσκον ἐτίθεσαν οἱ παλαιοί, ὅς ἐστιν ἀστέρος σχῆμα χιαστόν, ἔχον ἐν ταῖς τέσσαρσι γωνίαις στιγμάς. οὕτω ※ καὶ τίθεται ἐπὶ τῶν καλὰ ἐχόντων ἐπῶν. καὶ ἀστεροειδῶς, οἱονεὶ λαμπόντων, ὡς ἐν καλῷ κειμένων. καὶ λέγουσιν ὅτι ἐνταῦθα μὲν καλῶς ταῦτα λέγει, ἢ κατὰ καιρὸν ὁ ποιητής. Ἀστέρωτα, τὰ οὐ δυνάμενα κατασχεθῆναι. Ἀστερόεν, λαμπρόν, ποικίλον. Ἀστερόεντα, ἀστέρας ἔχοντα. Ἀστεροπή, ἡ ἀστραπή. παρὰ τὸ στερίσκειν τὰς ὄψεις διὰ τὸ ὑπερλαμπές. λαμπάς. ἢ παρὰ τὸ ὄψω, ὀπή, καὶ μετὰ τοῦ ἀ [illegible] ἀστεροπή, καὶ ἀποβολῇ τοῦ ε ἀστραπή. Ἀστεροπητής, ἀστραπητής, ὁ Ζεύς, ἤγουν ὁ ζεύς, ἀπὸ τῆς ἀστραπῆς. ἡ αὐτὴ γὰρ ἀστεροπήν ποιεῖ τὰς ὄψεις. Ἀστέρι ὀπωρινῷ, ὑπὸ κατὰ τὴν καιρὸν τῆς ὀπώρας ἀνατέλλοντι ἀστέρι. λέγει δὲ, ὑπὸ κυνί, ὁ θερινῷ.

Ἀστέρων τέθριππος, τὸ ἅρμα ἡλίου. Ἀστεφάνωτος, ἀκατάστατος.

Ἀστεων, πόλεων. Ἄστεως, πόλεως. Ἀστή, ἐλαία ἡ ἐν ἀκροπόλει ἡ καλουμένη πάγκυφος, διὰ χθαμαλότητα. Ἀστηνός, ἀλώπηξ. Ἄστηνος, ὁ δυστυχής, ὁ πένης. ἀπὸ τοῦ στάσιν καὶ στέγασιν μὴ ἔχειν. Ἀστήρ, ἕν ἐστι σῶμα. ἄστρον δὲ, σύστημα ἐκ πολλῶν ἀστέρων συγκείμενον. ἀστὴρ ἀπὸ τοῦ αἴθειν, αἰθήρ, καὶ ἀπολείψει τοῦ λιγόντος ἀστήρ. καὶ ἀστὴρ ἀπόλαμπτην, ἐτυμολογίαν ἀστέρος [illegible], ὅς ἀπὸ τοῦ αἴθειν, ὅπερ ἐστὶ λάμπειν λέγεται. ὁ ἀρχὸς ἐν Λυδοῖς ἐποίει δὶς [illegible] τὸν καλὸν [illegible], ἀστέρα [illegible]. Διαφέρει δὲ ὁ ἀστὴρ τοῦ ἄστρου. ἀστὴρ μὲν γάρ, ὁ μονομερής. ἄστρον δὲ, τὸ ἐκ πολλῶν συγκείμενον. Ἀστήρ, ἡ [illegible], ὄνομα ἡ βελόνη. Ἀστήρικτον, ἄπιστον. Ἀστήρικτος, ἀθλητής. Ἀστιβῆ, ἄβατα. Ἀστίβητοι οἶκοι, τὰ ἄδυτα. Ἀστιβὴς ὁδός, ἀτριβής, ἀπάτητος, ἄβατος. στίβος γὰρ ἡ ὁδός.

Ἀστίκτους, ἀκατάστους. Ἄστιγνας αἶγας, ἤγουν ἀστέγγας.

Ἀστικοὶ νόμοι, οἱ κατὰ τὴν Ἀθηναίων πόλιν. ἦσαν δὲ καὶ ἐμπορικοί. Ἀστικὸν χωρίον, τὸ μὴ ὑποκείμενον δανειστῇ. ὅταν γὰρ ὑποκέηται, εἰώθει ὁ δανείσας αὐτὸ τοῦτο δηλοῦν διαγράμματι ἐπιθεὶς ἐπὶ χωρίῳ. τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ οἰκίας γίνεται. Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν σωκρατικόν. Ἀστικός, πολιτικός.

Ἄστικτον, τὸ ἐλεύθερον χωρίον Ἀθηναῖοι ἐκάλουν, καὶ μὴ ὑποκείμενον χρέει. εἴρηται, ὅτι τοῖς ὑποκειμένοις χωρίοις χρέεσιν, εἰώθεσαν ἐπικατασκευάζειν στήλην, ἣν ἐκάλουν ὅρον. ἐφ᾽ ἧς τὸ χρέος ἐνεγράφετο, καὶ ὁ χρήστης. ἵνα μὴ πλανηθείς τις, ὡς ἐπικαθαροῦ ὄντος δανείσῃ. Ἀστικῶς, ἀστείως, ἐμφρόνως. Ἀστιλάζει, σκιρτᾷ. Ἀστισμός, πιθανολογία. ἀπὸ τοῦ ... καὶ [illegible] καὶ ἀστισμόν. χέφεται ὁ ἀστισμός. Ἀστίοχος, ἄγγος ... , εἰς ὃ ἐγχέονται πίσσαν καὶ θεῖον καὶ ... , ... καὶ [illegible], ἅπαν τὰ προστυγχάνοντα. ἔστι δὲ καὶ γένος λίθου, καὶ ξηροῦ ξύλου πεπληρωμένον. Ἀστομος, ἱππέων

ἐκδεδιδαγμένα. Ἀστοῖς, πολίταις. Ἀστοιχείωτα, μὴ ἔχοντα ἀρχάς. Ἄστομοι ἵπποι, σκληρόστομοι. ὡς τό, ἄστομοι πῶλοι βίᾳ φέρουσιν. Ἄστομος, ὁ μὴ δυνάμενος λέγειν, Σοφοκλῆς. Ἀστόν, πολίτην, ὁ πολιτικόν. Ἄστονον, ἀμήν, μεγαλόστονον. Ἀστόξενοι, οἱ γένει μὲν προσήκοντες, ἐπὶ δὲ τῆς ἀμφιδοξίας γεγονότες. οἱ δὲ τοὺς ξένους μὲν ὄντας, ἐπὶ τιμῇ δὲ ἀστοὺς γενομένους. Ἀστόργους, ἀσπλάγχνους, ἀπηνεῖς, ἀφίλους. Ἀστόμιον, μέγα καὶ διακεχυμένον. Ἀστός, θαυμαστός, πολίτης. Ἀστοχεῖ, ἀποτυγχάνει, ἁμαρτάνει. Ἀστοχῶ τοῦ σκοποῦ, τυγχάνω. Ἄστρα, ἀττικοὶ τοὺς ἀστέρας. ὡς τό, ἄστρα δὲ δὴ προβέβηκε, παρῴχηκε δὲ πλέων τῶν δύο μοιράων, τριτάτη δ᾽ ἔτι μοῖρα λέλειπται. ὅτι εἰς τρεῖς μοίρας διαιρεῖν, καὶ τὸ πλέον ἀντὶ τοῦ πλήρης ἀκουστέον. ἵνα ᾖ, ὅτι πλήρεις τῶν δύο μοιρῶν ἡ νὺξ παρελήλυθεν. Ἀστραβαλίζειν, ὁμαλίζειν, ἐπαιθύσσειν. Ἀστραβές, ἀσύμπτωτον, ἀσφαλές.

Ἀστραβῆ κίονα, παρὰ Γουλιέμῳ. ἀστραβὴς δὲ λέγεται ὁ ἰσχυρός, καὶ μὴ ῥᾳδίως στρεφόμενος. ἄστρεπτον καὶ ἀκίνητον. καὶ ἔστι κατὰ μετάθεσιν τοῦ ε εἰς α, καὶ ἀποβολῇ τοῦ λ. ἔστι γὰρ ἀστρεβλής, οἱονεὶ ἄστρεπτον καὶ ἀστραβῆ. Ἀστράβη, τὸ σαγμοσάλλιον. καὶ ἀστράβη, ἡμίονος. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. μήποτε δὲ καὶ πᾶν ὑποζύγιον ἐφ᾽ οὗ ἄνθρωποι ὀχοῦνται, οὕτως ἐκάλουν. Ἀστραβιστήρ, ὄργανόν τι, ὡς δίοπτρον. Ἀστραγάλους, τοὺς τετάρτους σφόνδυλους, ἐκ τοῦ ὀστοῦ πάνσαν. Ἀστράγαλα, ἡ τῶν ὀφθαλμῶν ῥίζα. Ἀστραγαλίζειν, τὸ παίζειν καθ᾽ Ὅμηρον τέρπεσθαι λέγεται. Ἀστράγαλον, τὸν σφόνδυλον. καὶ τὸ ὑποκάτω τοῦ σκέλους. Ἀστράγαλος, τρία σημαίνει. τὸν ἐν σφυρῷ, καὶ τὸν σφόνδυλον ἁπλῶς, καὶ τὸν παιστικόν, ἢ ἰατρικὸν βόλον. Ἀστραγαλωτήρ, ἀλιευτήρ. Ἀστραλίαν, τὸν ψᾶρα, Λάκωνες. Ἀστραλός, ὁ ψάρος, ὑπὸ Θετταλῶν. Ἀστραπαῖοι, ἄνεμοι πνέοντες, ἀφ᾽ ὧν ἀστραπαὶ γίνονται. Ἀστραπὴ ἐξέλαμψεν, ἐξέρραγε, ἐξέστραψεν, ἐξήστραψε, ἐπέλαμψε, τὰ ὄμματα ἐτάραξε, συνετάραξεν, ἐξέπληξε, τὰς ψυχὰς ἐθορύβησεν, ἐξεθορύβησε, θόρυβον ἐνεποίησε ταῖς γνώμαις. λαμπρά, ὑπέρλαμπρος, διάπυρος, φλογώδης, ἐκπληκτική, βλοσυρά, ἀστεροβλής, διαυγής, δυσαντίβλεπτος, ἀπρόσοπτος, δυσπρόσοπτος. Δυσπρόσβλεπτος, δύσβλεπτος, ἀντίτυπος, ὡς συγκλείεσθαι τοὺς ὀφθαλμούς. καὶ ἀστραπὰ δι᾽ ἅρματος ἀθλούσι, ἀστραπὴ δὲ ῥῆξις πυρὸς ἐκ νεφῶν παραθλίψεως. τὸ γὰρ πνεῦμα, μετὰ βίας ἐκραγὲν τῶν νεφῶν, καὶ τὸν ψόφον ποιοῦσιν, ἐκπυροῦν διὰ κίνησιν, φλογῶδες γίνεται. ἴσον δέ, ἐκ ἡ αὐτὴ φύσις τοῦ πνεύματος. ἐν μὲν τῇ γῇ ἐστι σεισμός. ἐν δὲ τοῖς νέφεσι, βροντή. περὶ δὲ τὴν γῆν, ἄνεμος. πάντα γὰρ ταῦτα ἀναθυμίασις ἐστι ξηρά. Ἀστράπτων ἐπιδέξια, οὕτως ὁ νεῖλος φημὶ κατανεῦσαι τὸν Δία, ἀστράπτοντα ἐπιδέξια. ὁ δὲ ποιητὴς οὐχ οὕτως ἐποίησεν, ἀλλὰ τελείαν στιγμὴν θέμενος ἐν τῷ φόνον καὶ κῆρα φέροντες. εἶτα ὡς ἀπ᾽ ἄλλης ἀρχῆς ἀσυνδέτως ἀρχόμενος φησίν, ἀστράπτων ἐπιδέξια, λείποντος τοῦ ἦν ὑπαρκτικοῦ ῥήματος. ἵνα λέγῃ, ὅτι ἀστράπτων ἦν ὁ Ζεὺς ἐπιδέξια. Ὅρα ὅτι ἐν ταῖς ἀστραπαῖς τὰ ἐκ δεξιῶν ἐστιν αἴσια, ὡς τῶν οἰωνῶν οὐ γινομένων, κἀνταῦθα νομιζομένων. σημείωσαι ὅτι ἐπιδέξια πάλαι δεῖ ὕστερον ἀκούειν, καὶ τὰ δεξιά, καὶ ἐπὶ τὰ δεξιὰ τοῦ σώματος. πληθυντικῶς οὖν ἐκ λέγει, τὰ ἐπιδέξια. ἴσως δὲ καὶ τὸ ἐν δεξιῷ, ταυτόν ἐστι τῷ ἐπιδέξια. πιθανὸν γάρ ἐστι, τὸ ἀνδέξια πᾶσιν οἰνοχοεῖν. καὶ ἀστράπτων, ὑποφλέγων. Ἀστρατεία, ὁ εἰρήνη, ἐπεὶ ἐν εἰρήνῃ οὐ στρατεύονται. Ἀστραφής, ἀστρεπτον, ἀσφαλές. Ἀστραφής, σκληρός. Σοφοκλῆς.

Ἀστράψε διὰ πυκνός, ἀντὶ τοῦ δι᾽ ἅρματος. Ἀστρεκείας, ἀστροφαγίας. Ἄστρεπτον, ἄπιστον, ὀρθόν. Ἀστρητής, ἀληθινός, σπουδαῖος, ὀρθός. Ἄστρια, οἱ ἀστράγαλοι, Καλλίμαχος, δὲ καθ᾽ ἄστρια κείνου λάχον. Ἀστρόβοσκος, ὁ ἀστρονόμος.

ἄρρητα ὑπάρχειν. ἢ ὥσπερ ξύλον, δόξαν μετάλλῳ. Ἄσπον οὖλαν, περιφραστικῶς, τὴν ἄπειρον λέγει. ὅ ἐστιν ἁπλῶς γῆν.

Ἀσπιστὰς ὁ Ἀχιλλεύς, ἐν ἐπαίνῳ, ὥς φησιν ὁ Ἀπολλώνιος.

Ἀσπίδας εὐκύκλους ἔχον, φασὶν οἱ παλαιοί, ὡς οὐ πᾶσαι περιφερεῖς αἱ ἀσπίδες, ὅ ἐστι κατὰ τὴν ... εὔκυκλοι. ... [illegible]

[illegible]

μένην. Ἀσκοφορεῖν, ἐν ταῖς Διονυσιακαῖς πομπαῖς τὰ μὲν ὑπὸ τῶν ἀνδρῶν πράττεται, τὰ δὲ τοῖς μετοίκοις αὐτῶν ὑπὸ τῶν νομοθετησάντων προστέτακται. οἱ μὲν οὖν μέτοικοι, χιτῶνας ἐνδεδυμένοι, χρώματα ἔχοντας φοινικοῦν, τὰς σκάφας φέρειν, ὅθεν καὶ σκαφηφόροι λέγονται. οἱ δὲ ἀστοί, ἐσθῆτα εἶχον ἣν ἐβούλοντο, καὶ ἀσκοὺς ἐπὶ τῶν ὤμων φέρειν, καὶ διὰ τοῦτο ἀσκοφόροι ἐκαλοῦντο. Ἄσκρα, ὄρος Ἀσκραῖος. Ἀσκραῖος, ὁ Ἡσίοδος.

Ἀσκεῖ, βασανίζει. Ἀσκῶ καὶ ἀσκοῦμαι, τὸ αὐτὸ σημαίνει τῷ παιδεύομαι καὶ τῷ μετέρχομαι. καὶ ἀσκητικῶς καὶ ἠσκημένος. Ἀσκοῦ θέρμην, ἀντὶ τοῦ παιδεύομαι, ἢ ἰατρικὴν, ἢ ἄλλην τινὰ τέχνην γυμνασίαν, αἰδέσιμοι συνιστάνται. Λιβάνιος, ἔβοσιν οἱ σφαλῶνται τοὺς ἱεροὺς πόνους, τὰς ἡμᾶς ἠσκημένας, ἐν ὅσοις μὲν αὐτοῖς ἤσκησα μαλιστας. καὶ ἀσκῶ ἔτερον, ἀντὶ τοῦ παιδεύω, κυρίως ἐπὶ γυμνασίας λέγεται. ἀσκεῖται δὲ παῖς. καὶ ἀσκεῖ τὴν ψυχὴν, ἤγουν παιδεύει. ἀσκῶ ἢ ἀρετὴν ἐξ ἁπαλῶν ὀνύχων, ὥς φασιν. Ἀσκωλιάζω, ἐπὶ ἀσκοῦ πηδῶ. Ἀριστοφάνης, ἀσκωλίαζ᾽ ἐνταῦθα πρὸς τὴν αἰθρίαν. Ἀσκωλιάζω, τὸ ἵστασθαι ἐφ᾽ ἑνὸς ποδὸς ἐφαλλόμενον, ἢ συνεσθιόμενον τῶν κατὰ φύσιν. κυρίως δὲ ἀσκωλιάζειν, τὸ ἐπὶ ἀσκῶν ἅλλεσθαι. ἑορτὴν δὲ οἱ Ἀθηναῖοι ἦγον τὰ ἀσκώλια, ἐν ᾗ ἥλλοντο ἐπὶ ἀσκοὺς αἰγείους εἰς τιμὴν τοῦ Διονύσου. δοκεῖ δὲ ἐχθρὸς εἶναι ἀμπέλῳ ὁ τράγος. ἐπίγραμμα φέρεται τοῦ ἀμπέλου πρὸς τὴν αἶγα, οὕτω λέγον. κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως δ᾽ ἔτι καρποφορήσω, ὅσσον ἐπισπεῖσαι σοί, τράγε, θυομένῳ. ἢ ἀσκωλιάζει, ἀντὶ τοῦ ἅλλεται. κυρίως δὲ ἀσκωλιάζειν ἔλεγον, τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι, ἕνεκα τοῦ γέλωτα ποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεσαν ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς οὓς ἐναλλόμενοι ὠλίσθανον. καθάπερ Εὔβουλός φησι, Καὶ πρὸς γε τούτοις ἀσκὸν εἰς μέσον καταθέντες, εἰσάλλεσθε, καὶ καγχάζετε ἐπὶ τοῖς καταρρέουσιν. οὕτω καὶ Δίδυμος. ἢ ἀσκωλιάζειν ἔλεγον, τὸ ἐνάλλεσθαι τοῖς ἀσκοῖς, ἢ ἐφ᾽ ἑνὸς ποδὸς ἅλλεσθαι. ἦν δὲ τὰ ἀσκώλια, ἑορτὴ Διονύσου. ἀσκὸν γὰρ οἴνου πληροῦντες, ἐπὶ τοῦτον ἐνήλλοντο. καὶ ὁ περιγενόμενος, ἆθλον εἶχε τὸν οἶνον. Ἄλλως. Ἀσκωλιάζω. ἀσκωλιάζειν ἐστί, τὸ ἵστασθαι ἐφ᾽ ἑνὸς ποδὸς ἐφαλλόμενον, ἢ σκαζόμενον τῶν κατὰ φύσιν. εἴρηται παρὰ τὸ σκέλος, ὅ ἐστι σκέλη τὸ ἐπὶ πολὺ ἅλλεσθαι, ὃ τῶν παίδων σκέλεα, καὶ χωλευόντων. ὅπερ ἐπιχώριος ἐν ταῖς Πέρσαις σκελοβατίζειν φασί. σκελίζειν οὖν, καὶ κατὰ πλεονασμὸν ἀσκωλιάζειν. τινὲς δὲ οὐ πλεονασμὸν ἡγοῦνται, ἀλλὰ παρὰ τὸν ἀσκὸν γέγονε. κυρίως γὰρ ἀσκωλιάζειν λέγεται, τὸ ἐπὶ ἀσκῶν ἅλλεσθαι. Ἀσκωλιάζοντες, ἐφ᾽ ἑνὸς ποδὸς ἀλλόμενοι. Ἄσκωμα, δερμάτιον, ᾧ ἐν ταῖς τριήρεσι χρῶνται. καθ᾽ ὃ ἡ κώπη ἐμβάλλεται. ἢ ἄσκωμα λέγεται, ὁ ἱμὰς ὁ συνέχων τὴν κώπην πρὸς τὸν σκαλμόν. Ἀσκώσητε, ἠχθέσθη. Ἆσμα, ὕμνος, ᾠδή, καὶ μέλος ᾠδῆς. Ἀσμάτια μικρὰ λέγει Ἀριστοφάνης, τὰ πλείονας καμπὰς ἔχοντα ἐν ἁρμονίᾳ, ὡς οἱ μουσικοὶ καλοῦσι στροφάς, καὶ ἀντιστρόφους, καὶ ἐπῳδούς. Ἀσμενίσαντα, χαίροντα. Ἀσμενίζει, χαίρει. καὶ ἄσμενος, ὁ χαίρων. ἥδω, τὸ εὐφραίνομαι, ἧσμαι, ἀσμένος ἡ μετοχή, καὶ ἄσμενος.

Ἀσμενίζω, ἀσμενίζει, τὸ συνευφραίνει, ἐκ τοῦ ἥδω, τὸ εὐφραίνω. Ἀσμένῳ μοί ἐστι, περιφραστικῶς εἴρηται ἀντὶ τοῦ χαίρω. ἀσμένως ἔχω, τουτέστιν καὶ τῷ ἐμοὶ βουλομένῳ ἐστί, καὶ τὸ ἐμοὶ χαίροντι ἐστὶ, τὸ Δίδω, ἢ ἔστω τοιαῦτα. Ἀσμένως, μετὰ χαρᾶς, ἡδέως, εὐκτέως, προθύμως, ἑκουσίως. Ἄσμιατον, τὸ ἀπόλυτον.

Ἀσμένοι, ἄγροικοι, ἀναπνοί. Ἀσμυλῆ, ὀλίγα ἀναπνοή. οἶμαι, διὰ ἀσθμυλῆ γράφεται. Ἀσόφαιαν, ἄμορφον, πρόσωπον, οὐ βάρβαρον. Σοφοκλῆς. Ἄσου, ἀσώτου. Ἄσος, ὁ κρατὴρ, ὑπὸ Φοινίκων. Ἄσπα, ὕπνος, ἐγγύς. Ἀσπάζω, σημαίνει τρία. Ἀσπάζεσθαι, καὶ τὸ φιλεῖν, ποτὲ μὲν δηλοῦσι τὴν φιλικὴν διάθεσιν, καὶ ἔχουσιν ἐναντίαν τὸ μισεῖν. ποτὲ δὲ τὴν σωματικὴν ὑπηρεσίαν, ἐπειδὴ οὐκ ἔχει οὐδὲν ἐναντίον. καὶ ἀσπάζεσθαι δηλοῦν καὶ ἔπειτα μειλιχίοισιν, ἐπὶ πάσης ἐπιθυμητικῆς ἐπιπόθου προσόδου λέγεσθαι. καὶ ὅρα, ὅτι τὸ περιπλέκεσθαι καὶ οἷον εἰς ἑαυτὸν σπᾶσθαι, ἀσπάζεσθαι λέγεται. Ἀσπαζόμεθα, ἤγουν ἀγαπῶμεν, φιλοῦμεν, καὶ χαριεντιζόμεθα. Ἀριστοφάνης, αὐτὸν ἠσπάζοντο, ἤγουν ἐχαριέντιζον. Ἀσπαίρω, ἔστι ῥῆμα σπῶ, καὶ σημαίνει τὸ διαχωρίζω. ἐξ αὐτοῦ γίνεται σπαίρω κατὰ πλεονασμόν, ὡς φρῶ φράζω. Ἀσπαθῆ, τὰ μὴ κεκρουμένα τῇ σπάθῃ ἱμάτια.

Ἀσπάθητον χλαῖναν, τὴν λεπτὴν, παρ᾽ ὅσον οὐκ ὕφανται.

Ἀσπαίροντες, σκαρίζοντες, κινοῦντες, ψυχορραγοῦντες.

Ἀσπακάζομαι, τὸ ἀσπάζομαι, Πίνδαρος. Ἀσπακῶς, φιλοφρόνως. Ἀσπάλαθος, εἶδος ἀκάνθης. Κικκίνος, ἐν δὲ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι. εἴρηται δὲ παρὰ τὸ σπῶ, σπάλαθος, καὶ ἀσπάλαθος. ἢ διὰ τὸ μὴ ῥᾳδίως ἐκ τῶν πληγέντων ἀποσπᾶσθαι, ἤγουν ἀφαιρεῖσθαι. Ἀσπάλαξ, ζῶον ἐστερημένον ὄψεως.

Ἀσπαλιεύω, τὸ ἁλιεύω. παρὰ τὸ ἀσπᾶν τοὺς ἰχθῦς ἐκ τῆς θαλάσσης. ὅθεν ἀσπαλιευτὴς, ὁ ἁλιεύς. Ἀσπαλία, ἡ τῆς ἁλιείας ἐργασία, ὁρμιά, ἁλία. Ἀσπαλιεύς, ὁ ἁλιεύς. ἄσπαλος γὰρ ὁ ἰχθύς.

Ἀσπαλιευτὴς, ὁ τῇ ὁρμιᾷ χρώμενος. Ἄσπαλον, σκῦτος.

Ἀσπάνιον, πλάγκτον. Ἀσπάραγος, ὁ ἐκ τῶν ἀκανθῶν φυόμενος τραχύ. κυρίως δὲ ἐπὶ τῆς ὄρχεως λέγεται. ἤγουν ἄσπαρτος, ὁ μὴ σπειρόμενος. Ἀσπάζεσθαι κυρίως ἐστί, τὸ περιπλέκεσθαι, διὰ τὸ ἄγαν σπᾶσθαι εἰς ἑαυτὸν τὸν ἕτερον, καὶ περιβάλλειν τὰς χεῖρας ἐν τῷ φιλοφρονεῖσθαι. Ἀσπασία, θαυμαστὴ, χαριεστική. Ἀσπάσιος γῆ, ἐπιθυμητὸν ἐστι. τὸ δὲ κοινὸν, ἀσπασία. ἐξ οὗ καὶ κύριον, ἡ παρὰ ταῖς ἱστορίαις ἐστὶ γυνὴ Ἀσπασία. Ἀσπασίως, ἡδέως, περιχαρῶς, ἀσμένως. Ἀσπασμὸς, ἡ εὐχὴ, παρὰ τῷ Ἀποστόλῳ, ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί. Ἀσπασμὸς, πρόσρησις, προσηγορία, προσαγόρευσις. προσαγορεύεται. καὶ προσειρῆσθαι, ἀσπάζεσθαι. καὶ προσεῖπεν, προσαγορευθῆναι, προσειρῆσθαι, προσειρημένος. καὶ ἀντιπροσεῖπεν, ἢ ἀντιπροσηγόρευσε, ἢ ἀντασπάζεσθαι. καὶ ἡ μὲν ἡμέρα ἐν ᾗ γίνεται ἀσπασμὸς, προσρητὴ, καὶ προσρησία, ἢ πρόσρημα. ἐν ᾗ δὲ μὴ γένοιτο, ἀπρόσρητος. καὶ ὁ μὲν δεξιὸς ἐν τούτοις, εὐπροσήγορος, φιλοπροσήγορος. οὐ γὰρ εὐπρόσρητος σκληρότερον. ἐφαρμόσαι δὲ τοῦτο κατὰ ἄλλην χρείαν, εὐπρόσοδος, εὐπρόσιτος, εὐσύνακτος, εὐεπίμικτος, εὐξύμβολος, μειλίχιος, ἵλεως, φιλάνθρωπος, ἥμερος, εὐμενής, πρᾶος. ὁ δὲ ἐναντίος ἐκείνῳ, δυσπροσήγορος, δυσπρόσιτος, δυσξύμβολος, μισοπροσήγορος, ἀπρόσρητος. τοῖς δὲ ἑξῆς δυσπρόσιτος, δυσπρόσοδος, ἄμικτος, δύσμικτος, δυσσύνακτος, σκυθρωπὸς, σκαιὸς, ἀργαλέος, ἄγριος, σκληρὸς, τραχύς. ἀπάνθρωπος, ἀνήμερος, δυσμενής. ὁ γὰρ ὀμίλητος, ποιητικώτερον. καὶ τὰ ἐπιρρήματα ἐκ μὲν τοῦ εὐπροσήγορος, εὐπροσηγόρως, καὶ φιλοπροσηγόρως. καὶ τὰ ἐναντία, δυσπροσηγόρως, καὶ μισοπροσηγόρως, καὶ ἄλλα τὰ ὅμοια. Ἀσπασιοί, ἄσμενοι, θεσπέσιοι. παρὰ δὲ Καλλιμάχῳ, ἀσπαστὸς, ἀσπαστὸς, ποθεινή, προσηγορία, φιλία. καὶ ἀσπαστοί, ἡδεῖς, χρηστοί. Ἀσπαστὸν, ἐπιθυμητὸν, καὶ ἡδύ. Ἀσπαστῶς, ἡδέως. Ἄσπερος, ἄσπερμος ἔχθρα, μῖσος. Ἄσπερμος, ἄγονος, ὀρφανός.

Ἀσπερχὲς, ἀδιαλείπτως, τὸ ἃ κατ᾽ ἐπίτασιν λαμβανομένου. τουτέστιν, ἄγαν ἐσπευσμένον. παρὰ τὸ σπέρχω, σπεύδω, ἐπείγω, ταχέως. ἢ ἀσπερχὲς, τὸ πανσπούδαστον, ὃ περισπερχὲς λέγει ὁ Σοφοκλῆς. κατὰ ἐπίτασιν καὶ αὐτός. ἁπλοῦν δὲ αὐτοῦ ῥητὸν οὐ τὸ σπερχὲς, ἀλλὰ τὸ σπερχνὸν, ὅμοιον ὂν τῷ τερπνόν. Ἄσπετα, δυσπερικατάληπτα, πολλά. Ἄσπετον, πολὺν, μέγαν. ὡς τό, ἐκ δ᾽ ἄσπετον χεῖτο παμμεγέθη βοήν. ἔστι ῥῆμα σπῶ, ὥσπερ παρὰ τὸ ἕπω τὸ ἀκόλουθον, σπῶ. ἐξ οὗ τὸ σπᾶσθαι, καὶ ἐπίσπασθαι ποιεῖ ῥῆμα, ὄνομα σπετὸς, καὶ ἄσπετος. οἷον, ἄσπετος αἰθήρ. οἱ δὲ παρὰ τὸ εἴπω τὸ λέγω, φασὶν εἶναι ἄσπετα, τὰ οὕτω πολλὰ καὶ μεγάλα, ὥστε μὴ

δ' ἐστι τῆς ψαμμώδους. ὅθεν καὶ ἀσιόγαια, αἱ αἱμασιαί, καὶ ἡ ἀκαθαρσία. καὶ ἄσις κατὰ ἰατρούς, ἡ ἀνθρωπίνας ποιότης, ἡ προσγεγονυῖα τῷ ἐμέτῳ. ἡ ἄσις, ὁ ἐν ὕδασι ξηρὸς συρφετός, ἀπὸ τοῦ ἄχυρ. οἱ δὲ τὴν ἐκ τοῦ ποταμοῦ Ἀσωπ. ὅθεν καὶ ἄσιον, τὸν λειμῶνα καλοῦσιν. Ἀσιτία, ἡ ἀνορεξία. Ἀσιτῶ, ἄρτον οὐκ ἐσθίω.

Ἀσιχὴν, Αἰολικῶς. Ἀσίῳ, ἄσιν ἔχοντι καὶ ἰλύν. Ἀσιώτην, ἀσιώτην. ἔστι κώμη Ἀρκαδίας, ὅθεν ὁ Ἀλφειὸς δοκεῖ τὰς πηγὰς ἔχειν. Ἀσίῳ ἐν λειμῶνι, Ἴωνες λέγουσιν. ἀντὶ τοῦ ἀσία, κατὰ γενικὴν πτῶσιν. καὶ φασὶν, ὅτι ἀνθρώπων ἐπιφανὴς ὁ λειμὼν ὠνόμασται. οὐ γὰρ ὁ Ἀσίας, ἡ γενικὴ Ἀσίω, καὶ Ἰωνικῶς ἀσίαο, ὡς Ἑρμείαο, Ἑρμείω. καὶ ἐν συγκοπῇ, ἀσίω, ὡς Ἑρμείαο, Ἑρμείω. καὶ ἔτι φασὶ λειμῶνα Ἀσίαν, περὶ ὃν Κάϋστρος καὶ τὰ τοιαῦτα συνάγονται. ἢ ἀσίῳ ἐν λειμῶνι παρὰ τὸ ἀσιατῇ, ἐν τῷ τῆς Ἀσίας συμφύτῳ τόπῳ, ἢ ἐν τῷ ἰλυώδει τόπῳ. ἄσις γὰρ κατὰ διάλεκτόν ἐστιν, ἡ ἰλύς. ἄλλοι δὲ ἀσίῳ ὀνομαστικῶς, ἀπὸ Ἀσίου τοῦ Λυδοῦ. ἄλλοι παρὰ τὸ ἄσιν. ἀλλὰ πιθανώτερον τὸ κύριον αὐτῷ περιτεθεῖναι. ἔστιν οὖν ἀπὸ Ἀσίου, ὃς ἦρξε Λυδίας. κατὰ δέ τινας ὑποχοὰς πελάζει τὸν τόπον ὁ Κάϋστρος ἐργάζεται. οὗ δὲ ὕδωρ καὶ βοτάνη, ἀφθονία ὀρνέων, τὸ ἀσίῳ ἐνταῦθα γενικῆς πτώσεώς ἐστιν. ὅθεν οὐκ ἔχει τὸ ι. ἦν γάρ τις Ἀσίας ἥρως, οὗ ὁμώνυμος Ἀσίας λειμών. εἶτα ἀσίω, ὡς ἀφείδεω. καὶ ἀσίω κατὰ συγκοπὴν, ὡς ἐϋμμελίαο ἐϋμμελίω Πριάμοιο, καὶ Αἰνείω ἑτάρω, καὶ Βορέω ὑπ' ἰωγῆς. οὕτως εὕρηται ἐν τῇ ὀρθογραφίᾳ. Ἀσκάλαφος, ὁ υἱὸς τοῦ Ἄρεος. δοκεῖ κατὰ τὴν ἀκαλήφην παράγεσθαι, πλεονασμῷ τοῦ σ. ἢ παρὰ τὸ ἀπαλὸν καὶ τὴν ἀφήν, ἀπάλαφος, ὁ τέρπων τὴν χεῖρα, καὶ εὐαφής. ἀπαλὸν δέ φασι τὸ ἁπαλόν, μαλθακόν, ἄψοφον, ἥσυχον. ὅθεν καὶ ἀπαλαρρείτης ποταμός. Ἀσκαλαβώτης, ζωΰφιον, ἐοικὸς σαύρᾳ, ἐν τοῖς τοίχοις τῶν οἰκημάτων ἀνέρπον. παρὰ τὸ ἀπαλῶς, τὸ ἡσύχως, καὶ τὸ βαίνω ῥῆμα, ἀπαλαβώτης, καὶ πλεονασμῷ τοῦ σ ἀσκαλαβώτης.

Ἄσκαλα, ἀκάνθια. Ἀσκαλιάζοντες, χωλεύοντες, ἐφ' ἑνὸς κώλου βαδίζοντες. Ἄσκαλοι, κακῶς εἰργασμένοι, ἀτύπωτοι. Ἀσκαμωνία, βοτάνη ἰατρική. Ἀσκάντην, σκίμποδα, δίφρον τι εἶδος, ὃ ἂν κράββατον λέγουσιν. Ἀσκανδὴς, ἄγγελος. Ἀσκαίω, ἀγωνίκτησις. Ἀσκανία, πόλις Φρυγίας.

Ἀσκάντης, κλινίδιον εὐτελές. ὁ παρ' Ἀττικοῖς σκίμπους ὀνομάζεται. Ἀσκαρδαμυκτί, ἐς ἰθὺν βλέπε. ἀντὶ τοῦ χωρὶς τοῦ μύειν. Ἀσκαρδαμύκτοις, ἀκαμμύσοις. Ἀσκελὲς, ἀκίνητον, καὶ ἄσκοπον. Ἀσκαρίδες, εἶδος σκωλήκων, ἃ ἕλμινθες ἰσχναὶ καὶ μακραί, ἐν τῷ ἀπευθυσμένῳ, παρὰ τὸ σκαρίζειν.

Ἀσκαρίζειν, σημαίνει τὸ κινεῖσθαι. σκαίρω, σκαρίζω, καὶ ἀσκαρίζω. Ἀσκάρμοι, ἀκάλυμμοι. Ἄσκεροι, γένος ὑποδημάτων, ἢ σανδαλίων. οἱ δὲ κρόταλα. Ἀσκηθόφορον, φορτηγόν. Ἀσκηθέες. εἰ μὲν ἀπὸ τοῦ ἀσκῶ ἀσκήσω γίνεται, συστέλλει ἔπειτα τῆς προπαραληγούσης τὸ η εἰς ε. ὁμοίως παρὰ τὸ ξηρόν, ξερόν. οἷον ποτὶ ξερὸν ἠπείροιο. εἰ δὲ ἀπὸ τοῦ σχίζω ἐτυμολογεῖται, φυσικῶς ἔχει τὸ ε. δύναται δὲ καὶ ἐκ τοῦ ἀσκῶ, ἀσκέσω γενέσθαι. ἀσκηθής, καθ' ὁμοιότητα τοῦ ποθῶ ποθέσω, καὶ στερῶ στερέσω. Ἀσκεῖ, μελετᾷ, γυμνάζεται, φιλοπονεῖ. Ἀσκεία, θρησκεία, εὐσέβεια, κόσμησις. Ἀσκεῖν, ἐπὶ ἐπιμελείας τῆς διὰ χειρῶν ὁ ποιητὴς τίθησιν. οἷον, ἤσκησε, καὶ πτύξας καὶ ἀσκήσας χιτῶνα. καὶ ἱμάντα δέ τις ἀσκητὸν λέγει. ταυτὸν δὲ παρὰ τὸ κοσμεῖν, καὶ παρὰ τὸ ἀσκεῖν. ὅθεν συνθέτως· γραῖαν εἶναι εἰροκόμον, ἴσως τὴν εἰροκόμον, ἣ οἱ πλείστας τρίχας φασίν. ἣ οἱ ἤσκειν εἴρια καλά, ὡς ταυτὸν εἰπεῖν εἶναι κοσμεῖν καὶ ἀσκεῖν. ἴστεον, ὅτι τὸ ἤσκειν εἶναι μετὰ τοῦ η γράφουσιν οἱ παλαιοί, καὶ μετὰ τὴν συναίρεσιν τοῦ ἤσκει. Δωρικοὶ δὲ ἰωνικῶς οὕτω λέγεσθαι. Ἀσκελὲς, ἢ ἀντὶ τοῦ πάνυ σκληρόν, ἀπὸ τοῦ σκέλλω τὸ ξηραίνω. ἐξ οὗ καὶ τὸ σκέλος, καὶ ὁ κατεσκληκὼς, καὶ ὁ σκελετός. ἢ καὶ ἄλλως ἀσκελὲς, τὸ ἀμετάθετον καὶ ἀμετακίνητον, ἀπὸ τοῦ σφοδρῶς τὸ σκελῶν. ἴσως δὲ καὶ ἀντὶ τοῦ κατεσκελετευμένον ἢ πολυσχιδές, ἢ εἶον πολυσκελές. κατὰ τὸ ἔξω ἢ πολλάκις καὶ πολύχειρ. καὶ ἀντὶ τοῦ ἀδιαλείπτως.

Ἀσκελίδες, κατεσκελετευμένοι, ἄσαρκοι ξηροί. Ἀσκελέως, ἀντὶ τοῦ σκληρῶς, ἢ ἀμεταβάτως. Ἀσκέπαστον, ἄσκεπον, ἀπλάστον, οὐκ εἰργασμένον. Ἀσκέρεις, πίλοις, ὑποδήμασι. Ἀσκέρχοντες, ἀγαλλόμενοι. Ἄσκεπον, ἀντὶ τοῦ ἀσκέπαστον, ὡς ἐπλειῶς ὁ Θεολόγος, βίον ἄσκεπον καὶ ἀνέστιον. Ἀσκηθὴς, τουτέστιν ἀβλαβής, οἱονεὶ τεθεραπευμένος, καὶ ἀβλαβὴς καὶ ἀσκηθής, λέξις ποιητικὴ κατὰ τοὺς παλαιούς. λέγεται δὲ ἀπὸ τοῦ ἀσκεῖν γενέσθαι, καὶ σημαίνει τὸν ὑγιῆ. τοιοῦτοι γὰρ οἱ ἀσκηταί. οἱ δὲ καὶ ἀπὸ τοῦ α στερητικοῦ καὶ τὸ σχίζειν ἐτυμολογοῦσι, ἵνα ᾖ ἀσχιθής, καὶ Ἰωνικῶς ἀσκηθής, ἢ κατὰ μετρικὴν ἀναλογίαν ἔκτασιν ἀσκεθής, ὁ τελέως τὴν ῥώμην, καὶ ὃν οὐκ ἔστιν ἐπιχεῖν. οὐ δεῖ αὐτὸ ὀφείλεται. εὕρηται δέ τι καὶ ἀσκηθὴς διὰ τοῦ ε, παρὰ τῷ ποιητῇ.

Ἀσκήματα, κατασκευάσματα, ἀπὸ τοῦ ἀσκήσεως. Ἄσκηρα, εἶδός τι τῶν ὑποδημάτων. Ἀσκηθός, μετ' ἐπιμελείας ἐργασθείς. Ἀσκῆσαι, τὸ θεραπεῦσαι, ἐπιμεληθῆναι, ἀθλῆσαι. καὶ ἀσκῆσαι, τὸ ἐπιμελείας ἀξιῶσαι. παρὰ τὸ ἀσκεῖσθαι, ὅ ἐστι θεραπεῦσαι, πλεονασμῷ τοῦ σ. ὅθεν καὶ ἄσκησις, ἡ τοῦ σώματος ἐξεργασία ἐν ταῖς τροφαῖς. τοιοῦτοι γὰρ οἱ παρ' ἡμῖν ἀθληταί, σωμάτων ἀσκηταί. Ἀσκητός, ἀντὶ τοῦ καλλωπιστὸς λέγουσιν ἐπιμελῶς.

Ἀσκήσαντες, ἀντὶ τοῦ μαθόντες, καὶ ἀντὶ τοῦ κοσμήσαντες.

Ἄσκησις, ἐπιμέλεια. Ἀσκητὰ πέπλα τὰ καὶ ἄμπυκι, ἀσκητὰ ἡ κεκοσμημένη πέπλα, τουτέστιν ἐσθήματα καὶ περικεφαλαία. ὅσα γὰρ ἡ ἄμπυξ σημαίνει. ἡ ἄμπυξ, παρὰ συνδεῖν τὰς τρίχας, ἀπὸ τοῦ ἀμπέχειν. Ἀσκητὸς, διὰ τὸ ἀσκεῖν καρποῦσθαι τὴν ἄσκησιν. ἔργον δὲ αὐτοῦ, ὁ πόνος τῆς ἀσκήσεως. καὶ ὁ ἀθλητής, ἀπὸ τοῦ ἀσκῆσαι. ἐκ τοῦ ἀσκός, ἡ ἀσκητὸς, ὁ ἐν τῷ κατὰ δίαιταν κόσμῳ εὐσεβῶς καὶ δικαίως ἀναστρεφόμενος. Ἀσκητὸν λέχος, τὸ μὴ αὐτοσχέδιον ἢ εἰκαῖον, ἀλλ' ἐπιμεμελημένον καὶ πολυδαίδαλον. οὕτω καὶ ἱμὰς ἀσκητός, ὁ ἐπιμεληθείς. καὶ ὁ ἀσκητής. Ἄσκιον, τὸ μὴ ἔχον σκιάν. Ἄσκιος ὕλη, ἡ δασεῖα ὕλη. Ἀσκληρὸς, ἰσόπλευρον, παρὰ Δημοκρίτῳ. Ἄσκλη, ἀσθένεια. Ἀσκληπιαδῶν μέμνηται, πολλαχοῦ τῆς ποιήσεως, οὓς τοῦ λαμπεῖν γένος φασὶ γενέσθαι. σίλβος γὰρ ἢ Ἀπόλλωνος ὁ λαχίθος. οὗ ἀπόγονος Ἀσκληπιός, υἱὸς καὶ αὐτὸς Ἀπόλλωνος ἢ νύμφης Κορωνίδος. Ἀσκληπιοῦ δὲ οἱ γεννηθέντες δύο ἰατροί. Ἀσκληπιὸς, ὁ ἰατρός. παρὰ τὸ τὰ ἀσκελῆ τῶν νοσημάτων ἠπιάζειν. τὸ δὲ ἀσκελὲς, παρὰ τὸ σκέλλω, τὸ ἄγαν σκληρανῶ. ὅθεν καὶ σκέλος. ἐζήτηται δὲ, ἀλλὰ Δημοσθένης προσποιεῖσθαι προφέρειν ἠξίωσεν, ὡς ἱστορεῖ Πλούταρχος. ἢ Ἀσκληπιὸς, διὰ τὸ Ἀσκλῆν τὸν ἐπιδαύριον ἰάσατο ὀφθαλμιῶντα, ἤπιος ἐκείνῳ φανείς, πλεονασμῷ τοῦ λ. ἢ παρὰ τὸ ἀσκεῖν ἠπίως τοὺς νοσοῦντας, ὅ ἐστιν ἐπιμελείας ἀξιοῦν. ἢ παρὰ τὸ μὴ σκελετεύεσθαι αὐτόν· ἰῶν, ἠπίως προσφερόμενος. Ἀσκληπιὰς, ἡ δάφνη. Ἀσκληπιοῦ παῖδες, Ποδαλείριος, Μαχάων, Ἰασώ, Πανάκεια, Ὑγεία. ἀναπέπλασται δὲ τὰ ὀνόματα, παρὰ τὸ ἰᾶσθαι, ἢ πάντα ἀκεῖσθαι, καὶ παρὰ τὸ ὑγείαν παρέχειν. Ἀσκάλαχα, ἀσκαλαβώτης.

Ἀσκὸν λέψεται. ἀσκός ἐστιν ἐκδερῆναι, καὶ μετὰ σάκκον τοῦ ἵππου, κακτέανον εἰς φανόν. Ἀσκὸν δέρειν παρὰ τῷ Ἀντιφάνει, ἀντὶ τοῦ τὸ σῶμα ἐκδέρειν. Ἀσκοπήρα, τὸ μαρσύπιον. ἔνι τὸ σκευοφόριον. Ἄσκοπον, ἄθετον. Σοφοκλῆς. ἄσκοποι δέ, ἀνόητοι, ἀπρονόητοι. Ἀσκαρδάμυκτες, ἀτάλαντες, μὴ κινοῦντες τὰ μέλη. σκαρδαμύσσειν γὰρ λέγουσι, τὸ παρὰ φύσιν ἐκτείνειν. ὃ περὶ γίνεται τοῖς ἐγειρομένοις ἐξ ὕπνου. Ἀσκὸς, ὑγεία, ἡ ὁ ἀβλαβὴς, καὶ ὑγιὴς, καὶ μὴ ἐσχισμένος. ὅθεν καὶ ἀσκηθής, ὁ ἀβλαβὴς, ἀπὸ μεταφορᾶς τοῦ ἀσκοῦ. Ἀσκόντοι, κατορθῶσαι, κρότου. Ἀσκούμενοι, γυμναζόμενοι, παιδευόμενοι. Ἀσκούρεια, ἄρκτου ἡ μικρά. Ἀσκοφλαυρίζεις, οὐδενὶ κατακλίνει, τῇ σκιᾷ μορμόνας.

προσγενόμενος. Ἀρχώνης, ὁ ἄρχων τῆς ὠνῆς, οἷον τῶν προσαγομένων. Ἀρχωνίδας, ὄνομα κύριον. Πλάτων. Ἀρῶ, ἐπικαλοῦμαι. Ἀρωγὴ, ἡ βοήθεια. Ἀρωγός, βοηθός, λυσιτελής, ὠφέλιμος.

Ἄρωμα, θυμίαμα. καὶ ἄρωμα, τὸ μόρισμα, καὶ ἐνσπόριον. τὸ [illegible] μέγα. ἄρωμα δὲ, τὸ ἀροτρίασμα μικρόν. Ἀρῶμαι δὲ τὰ χώρια. ἀρῶμαι καὶ εὔχομαι παρὰ θεοῦ εὐπορίαν, ἢ εὐφορίαν γενέσθαι.

Ἀρώμενος, καταρώμενος. Ἀρῶς, ἀριθμοῦ ὄνομα παρὰ πέρσαις.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Σ.

Ἀς, ἕως, ὅπως, μέχρις, οὗ. Ἀσάζειν, λυπεῖσθαι. Ἆσαι, κορέσαι, χορτάσαι, θρέψαι, πληρῶσαι, βλάψαι. λέγεται καὶ τὸ δοξάσαι καὶ ὑμνῆσαι, ψάλλαι. καὶ παρ' Ὁμήρῳ ἆσαι ἄρηα, ποιητικῶς καὶ ἀμεταφορικῶς, δηλοῖ τοῖς αἵμασι πληρῶσαι τὸν ἄρεα, ἤγουν τὸ ξίφος. Ἄσαιμι, πληρώσαιμι, κορέσαιμι. δοκεῖ ἀπὸ ῥηματος εἶναι τοῦ ἄδω, ἀφ' οὗ καὶ ἄδης ὁ κόρος. καὶ ἀδηκότες, οἱ κεκορεσμένοι. Ἀσαλαμίνιος, ἄπειρος θαλάσσης. οἱ δὲ, οὐ κεκοινωνηκὼς τῆς ναυμαχίας ἐν Σαλαμῖνι. Ἀσάλγαμ, ὕβριν, ἀμέλειαν, τὴν πενίαν. Ἀσαλγάνειν, φοβεῖσθαι. εἴρηται δὲ οὕτω, παρὰ τὸ σαλεύειν. Ἀσαλὴς, ἡ ἄφροντις, ἢ ὁ ἀμέριμνος. σάλα γὰρ ἡ φροντίς. Αἰσχύλος, ἀσαλὴς μανία. οὕτως ἡ ῥωδιακός, καὶ Ἀπολλώνιος. τὴν γὰρ ἀσάλειαν ὁ Σώφρων, τὴν ἀμεριμνίαν καὶ ἀλογιστίαν καλεῖ. Ἀσάλπικτον ὥραν, τὸ μεσονύκτιον. ἐσάλπιζον γὰρ καὶ ὄρθρον ἐσάλπιζον. Σοφοκλῆς. Ἀσάμινθον ὕδατα, ἤγουν ἀναπαυσάμεθα. Ἀσάμινθος, ἡ πύελος, ἤτοι λεκάνη. καὶ ὁ τόπος. παρὰ τὸ τὴν ἄσιν, ὅ ἐστι τὴν ῥύπον μινύθειν, ἤγουν ἐλαττοῦν.

Ἀσάνιον πόλιν, τῆς Ἀφρικῆς. Ἀσαπὴς, ἀσηπτος, εὐπαγής.

Ἄσαρον, εἶδος λαχάνου, ᾧ κέχρηνται οἱ ἰατροί, εἰς θεραπείαν [illegible]. Ἀσάφειαν, ἀσάφειαν. Ἀσβολοῦν, λιπαρόν, ἐπαχθῆ, αὐχμηρόν. Ἀσάριον, καὶ λεπτόν, ἡμιάσσιον, ἤγουν ἑξακισχιλίου [illegible] ταλάντου, ὅ ἐστιν ἥμισυ λεπτοῦ. τὰ γὰρ δύο λεπτὰ, κοδράντης εἷς. ἤγουν, τετάρτη τριῶν. Ἆσα, ὅτε σημαίνει τὸ ἔσω, καὶ ἅ τινα, δασύνεται. ὅτε δὲ τὸ ἅτινα, ψιλοῦται. Ἀσάσθαι, τὸ κορεσθῆναι. κυρίως μὲν τὸ κατὰ κόρον εἰς ὕπνον ἐλθεῖν. εἴρηται δὲ, τὸ κινδυνεῦσαι. Ἀσᾶσθαι, οἷον φίλον ἐστι. εὕρηται καὶ ἐπὶ βλάβης, διὰ τὸ α. οἷον, ἀσᾶν με δαίμονος αἶσα κακή, καὶ ἀθέσφατος οἶνος. Ἀσᾶς, βλάψας, ἢ ἔβλαψας. Σοφοκλῆς.

Ἀσᾶται, πληροῦται, ἢ προσκόρως καὶ ἐπαχθῶς διατίθεται, παρὰ τὸ ἐμπεράται. Ἀσάτε, ψάλατε. Ἀσάτην, θόρυβον, ταραχήν. Ἄσβεσθε, διέφθειρε, κρατεῖτε. Ἀσβέστη, ἀπὸ τοῦ ἀσβέστος λίθου, καθ' ὁμοιότητα τοῦ ἀρίστου ἀπηνίσιτο, καὶ εὐπρεπὴς ἐστι. ταύτην δὲ πάντως ἀκάματον πῦρ εἶχεν. καὶ ἄσβεστον φλόγα. δῆλον δὲ ὅτι πῦρ καθόλου ἀκάματον. Ἄσβεστος, ἀκατάπαυστος. καὶ ἄσβεστος γέλως, δηλοῖ ἐκ ἐναντίας θερμότητος τὸν γέλωτα γίνεσθαι, καὶ συμβάλλεταί πως τοῖς γραμματικοῖς, οἱ τὸν γέλωτα παρὰ τὴν ἕλην, ὃ δηλοῖ τὴν θερμότητα, ἐτυμολογεῖσθαί φασιν.

Ἀσβόλη, ἡ αἰθάλη, ὃ ἐστι ῥύπον βάλλων κατὰ ὄψεως καὶ ὅσα ἀσβόλη, παρὰ Πλατάρχῳ καὶ ἑτέροις, τὰ ἀτθάμονα. ἀσβόλη δὲ μὴ λέγε, ἀλλὰ ἄσβολος. Ἀσβῶμαι, ὀργισθῶ. Ἀσβολωθὲν, μέλαν, ὑφαλωμένον. Ἄσβολος, καὶ αἴθαλος, οἱ δοκιμώτατοι. διὰ ἀσβόλη, οὐδὲ αἰθάλη. Ἄσα, ἅ τινα σοί. Ἀσέβεια, ἀδικία πρὸς θεόν. Ἀσεβῆ, ἀσεβῆ, ἀθέμιτα ἁμαρτήματα.

Ἀσεβὴς, πλὴν τὸ σέβω σέβας. [illegible] μετὰ τοῦ στερητικοῦ α, ἀσεβής. εἴρηται ὁ μὴ σεβόμενος τὸ θεῖον. ἐπὶ τοῦ α, ψιλῶν. διὸ τὸ στερητικὸν α ψιλοῦται, πλὴν τοῦ ἅλος, καὶ ἅλας. Ἄσεμ, πληρώσεως [illegible]. Ἀσεμνος ἵππος, ὁ μὴ ἔχων σεμνότητα, μηδὲ τρόπον, [illegible]. Ἀσεπτος, ἀγαθός.

Ἀσελγαίνειν κυρίως, τὸ παρὰ φύσιν ταῖς γυναιξὶ μίγνυσθαι. καταχρηστικῶς, τὸ ὅπως δήποτε ἀκολασταίνειν, πορνεύειν. παρὰ τὸ λάχος, λαγνεύειν, τὸ λάγνος ἐπιθυμεῖν, καὶ κατὰ τροπὴν λαγαίνειν. ἐν ῷ Ἀρχίλοχος, λάχας δὲ γυναικῶν, ἀντὶ τοῦ ἀκολασίαι. λαγαίνειν, καὶ πλεονασμῷ ἐλαγαίνειν. καὶ κατὰ σύνθεσιν, τοῦ α ἐπιτάσεως καὶ πλεονασμῷ τοῦ σ, ἀσελγαίνειν. ἔστι δὲ καὶ πόλις Ιουδαίων ἀσέλγη, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι, καὶ ἀηδῶς ἐκοινώνουν.

Ἀσελγαίνω, ἀσθενῶ, ἀθυμαίνω, ἀσιτῶ, ἀσπαίρω, ἀσιτίζομαι, ἀτυχῶ. ἀμεταβάτως. Ἀσέλγεια τοῦ λοκροῦ αἴαντος, ἐπειδὴ ἐκ τοῦ παλλάδος ἀγάλματος γέγονεν. αἰτία τοῦ ἐν Λοκροῖς νοσοῦσαι ἀχαιοὺς διαλυθῆναι. ὅπερ ὁ ποιητὴς σιωπᾷ λέγων μόνον, λοιμὸν νόσον ἐπιτείλαι ἀθηνᾶ. καὶ ἀσέλγεια, ἀντὶ τοῦ πλεονεξία, ἡ πορνεία, ἀκαθαρσία, μοιχεία. ἢ διάθεσις, μὴ φέρουσα ἄλγος. Ἀσελγεστέρως ἀσελγοῦ οἷος σωφρονήσειν. ἐπὶ ἀσελγέσι, οἱ μὴ σώφρονες. Ἀσέλγη πόλις, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι, καὶ ἀηδῶς ἐκοινώνουν. Ἀσελγὴς, ἐπὶ ἀρσενικοῦ. ἐπὶ δὲ θηλυκοῦ, σύνηθες. καὶ ἀσελγὴς, ὁ εὐαπάτητος, καὶ σκοτεινὸς κατὰ τὸν νοῦν. ἢ ἀσελγὴς, ὁ ἀκόλαστος, ἀπαίδευτος. ἔστι δὲ ἀσελγὴς, ὁ μέγας, ἢ σοφός. ὡς Πλάτων, ἀσελγόκωφον, τὸν μεγαλόκωφον. Ἀσέλγου ὄρη, οὕτω καλούμενα. Ἀσεν, ἐπέδυσεν. Ἄσεπτον, ἀσεβῆς. Σοφοκλῆς αἰχμαλώτιον. Ἄσεται, λυβήσεται, ἀπατήσει.

Ἀσεπτῖς, λυπηθεὶς. Ἀσηκόος, ὁ ἀκηδιαστής. Ἄσημα, ἄφθογγα, ἄμορφα. Ἀσήμαντα λέγει ὁ ποιητὴς, τὰ ἀπροστάτευτα, καὶ ἀποίμαντα. εἰς διαλαλιὰν οὐκ ἦν ὁ σημαίνων, ἤγουν σημαίων ἢ ποιῶν, ἢ ποιῶν συντακτῶν ἐν ποιμνίῳ. ἐξ οὗ δὴ σημάντορες καὶ οἱ στρατηγοῦντες, λαοῦ σημάντορες λέγονται. ἤδη δὲ καὶ οἱ ἄλλως ἄρχοντες, οἷς τίθεται σημεῖα ἐπί, καθὰ καὶ σημαίνειν λέγονται. ταυτὸν δ' εἰπεῖν ἄρχειν, ἢ ὀρχεῖν, ἢ ἀνάσσειν.

Ἄσημον, ἀφανῆ, ἀγνῶτα. Ἀσήμαντα, τὰ λεγόμενα ἀσφράγιστα. καὶ γὰρ σημεῖα τὰς σφραγῖδας ἔλεγον. ἢ καὶ τὰ ἀφύλακτα, σημεῖα μὴ ἔχοντα, ἀφρόντιστα. ἐκ τοῦ σημαίνω. Ἀσήμιον, ὁ ἄργυρος. Ἄσημον, ἀγνώριστον. Ἄσημον, τὸ δυσγνῶς τὸ μηδὲν σημαῖνον. καὶ ἄσημος, ὁ ἀγνώς. Ἀσηρῶ, ἀκάθαρτα. Ἄσηπτος, ὁ μὴ ἔχων σκώληκας. Ἆσης, λύπης.

Ἀσήσει, λυπηθήσει, βλαβήσει. Ἀσθμαίνω, δυσπνοῶ, ἀσθενῶ, κακοπαθῶ, μοχθῶ, χαλεπαίνω, ταλαιπωρῶ, ἀμεταβάτως.

Ἀσθένεια, ταλαιπωρία, νόσος, ἀδυναμία. καὶ ἀσθενοῦντας, ἀντὶ τοῦ ἐν ἐνδείᾳ ὄντας. Ἀσθενὴς, παρὰ τὸ σθένος, ἡ δύναμις. μετὰ τοῦ στερητικοῦ ἄλφα, ἀσθενὴς ὁ ἄρρωστος. Ἀσθενῶ, ἀρρωστῶ, κάμνω, νοσῶ, ἀτροφῶ. Ἆσθμα, ἡ ἀναπνοή. ἀὴρ οὗτος, ὃν ἀναπνέομεν. ἄημι, ἄητος, πνευματικῶς αὔρα, ἀὴρ κινηθείς. διαφέρουσι δὲ ἀλλήλων, παρὰ τὴν μὲν αὔραν, ἐπὶ τοῦ ἐξ ὑγροῦ ἐκπνεόντων τάττεσθαι. τὴν δὲ ἄνεμον, ἐπὶ τοῦ ἐν αἰθέρι πνευμάτων. τὰ πνεύματα δὲ, καὶ τοὺς ἀήτας, ἐπὶ παντὸς ἀέρος κινηθέντος. Ἀσθμάζει, ἀντὶ τοῦ ἀσθμαίνει. Ἀσθμαίνει, πνευστιᾷ. Ἆσθματι, φυσήματι, παρὰ στενοχωρίαν πνεύματι. Ἀσία, πόλις Λυδίας. ἐν ᾗ φίλοχορος ὁ εὑρὼν κιθάραν. διὸ καὶ ἀσία ἡ χώρα. οἱ μὲν, ἀπὸ ἀσίου τοῦ λυδοῦ. οἱ δὲ, ἐκ τῆς προμηθέως γυναικός. τὸ ἐθνικὸν, ἀσιανὸς, καὶ ἀσιατικός.

Ἀσίδος, ἐπισυνάγων, ἢ ἀσίλλος. Ἀσιάσκει, σκιάζει.

Ἀσιάτις, ἡ τρίχορδος κιθάρα εἴρηται, ὅτι ἐν τῇ ἀσίᾳ πόλει τῆς Λυδίας κειμένη ἐν τμώλῳ, πρῶτον εὑρέθη. ἢ ἀπὸ ἀσίου τινός. Ἀσίδα, τρυθοκάμηλον. Ἀσιδιωτὸς, ὁ ἀπὸ τοῦ ἀσίδος. Ἄσιλον, ψαλίδιον. Ἄσιμος, ἄργυρος. Ἀσιν καλύψω, παρ' Ὁμήρῳ. καλύψαι μὲν τὸν ἀχιλλέα ἐλεῖ, τὸ κρύψαι καὶ ἀφανίσαι. καλύψαι δὲ παρὰ ἀχιλλεῖ ἄσιν, ἀντὶ τοῦ ἐπιθεῖναι εἰς κάλυμμα. Ἄσιν, ἀκαθαρσίαν, ἢ τὴν μετ' ὀργάνων λίθων ἰλύν. Ἀσιῆες, αἱ θρίαμβοι, οἱ τὴν ἀσίαν κατοικοῦντες. Ἀσινὴς, ἀβλαβής. Ἀσίνη, ὄνομα πόλεως. οὐ μόνον δὲ αὕτη, ἀλλὰ καὶ ἑτέρα. ὧν μία ἡ λακωνικὴ πόλις, ἀπὸ ἀσίνης κληθεῖσα, θυγατρὸς Λακεδαίμονος. ὁ δὲ γεωγράφος, καὶ κόλπον ἀσιναῖον, μάλιστα δὲ ἀσίνην οἱ λιμένες ὀνόμασαν ταύτῃ. φασὶ τοῦ μάσιτα κόλπος ἐπὶ καὶ πόλεις, αἱ παρὰ ἀχιλλεῖ ἐπεχόμεναι ἐξ ἡγεμόνος. Ἄσιον, λειμῶνα, ζευγοτονικόν, ἡ καλουμένη ἅμαξα. Ἄσις, κόνις, ἢ εἶδος ὀρνέου, ἢ ἰλύς,

ἀρύειν καὶ βάλλειν. παρὰ τῷ Ἀριστοφάνει. Ἀρύβας, Ἀλκέτου μὲν υἱὸς, Μολοττῶν βασιλεύς. Δημοσθένης. Ἀρυβάλλιον, κοτύλη, ἢ φάσκωλον. φάσκωλον δέ ἐστιν εἶδος πήρας. Ἀρυστῆ, ἀντλεῖ. Ἄρυσι, ἐκτάσεις, βοῆ. Ἄρυθμος, ἄμετρος. Ἀρύθμων, ἀσυμφώνων. Ἀρύομαι, τὸ ἀντλῶ. Ἄρυον, εἷλκον.

Ἀρύσασθαι, λέγεται, κελεύσασθαι. Ἀρυκὶς, φθινὰς. λέγονται δὲ οἱ Ἀχαιοὶ κατὰ πλεονασμὸν τοῦ α, ἀρυκὶς. Ἀρύσαντος, παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἀφιλομένου, ἀποπλήσαντος, ἢ ἐπικλύσαντος. Ἀρύεσθαι, ἐπικαλεῖσθαι. Ἀρυσάμενος, ἀντλήσας. Ἀρυσμοὶ, ἀχρειοὶ, ἄκοσμοι. Ἀρυστῆρες, τὰς ἀπνεῦσι πόρπας. τὰ δὲ αὐτὰ, καὶ ἀρυστῆρας καὶ ἀρυστίχους ἐκάλουν. Ἀρύστιχος, καὶ ἄρυσις, καὶ ἀρυστὴρ, ἀγγεῖόν ἐστιν, οἷον ἀρύσασθαι. κοτύλη, ἢ κύαθος. εἶχον δὲ φασιν αὐτοὺς πρὸς τὴν διαφύρησιν, ἀρυστίχους δὲ, οὓς ἐκάλουν κυκλίσκους. Ἄλλως. Ἀρυστίχους τοὺς οἰνοχόους ἔλεγον, ἀπὸ τοῦ ἀρύειν, ὅθεν καὶ ἀρύταινα. ἔλεγον δὲ καὶ ἔφαβον τὸ τοιοῦτον σκεῦος. ἔθος γὰρ οἱ παλαιοὶ τὸ τέρπεσθαι τὰς εὐωχίας προσηγόρευον. καὶ ὁ ποιητὴς τίνων, ἀπὸ ταύτης τῆς αἰτίας τὴν ἥβην ὑπεστήσατο, καὶ διὰ τοῦ τοῖς θεοῖς οἰνοχοοῦντος παρήγαγεν, οἰκείαν τῇ τεταγμένῃ ὑποθέσει λειτουργίαν αὐτῇ προσμερίζων. Ἀρύταινα, χαλκοῦν σκεῦος, ὃ τὸ ἔλαιον ἐγχέουσιν εἰς τοὺς λύχνους. Ἀρυφῆνα, ῥυτίδα, ὀρυφά. Ἀρύω, τὸ ἀντλῶ. Ἄρφα, ἀρραβών. Ἀρφὸς, ἱμὰς. Μακεδόνες.

Ἀρφόταπον, ὁ δίσκος, ὑπὸ Λυδῶν. Ἀρχαία φύσις, ἡ πρὸ τοῦ νοσεῖν κατάστασις, παρὰ τῷ Ἱπποκράτει. Ἀρχαῖα, τὰ κεφάλαια τῶν χρεῶν. Ἀριστοφάνης νεφέλαις, αὐτίκα καὶ ἀρχαῖα, καὶ τόκοι τόκων. καὶ ἀρχαῖα, τὰ χρόνια. καὶ παλαιὰ, παμπάλαια, ἄσημα, παλαιὰ, ἄσαφῆ, συγκεχυμένα, ἀμυδρὰ, ἀμαυρὰ, ἐξίτηλα, ἀθέατα, δύσγνωστα, ἄγνωστα, δυσγνώριστα, ἀγνώριστα, ἀτέκμαρτα, δυσόρατα, ἀόρατα, ἀδιόρατα, κατερρυηκότα, διερρυηκότα, δυσύμβολα, δυσείκαστα, δυσξύμβολα, ἀσύμβολα. Ἀρχαϊκὸν, ἁπλοῦν, ἀφελὲς, ἄδολον. Ἀρχαιομελισιδωνοφρυνιχήρατα, παρὰ τῷ Ἀριστοφάνει, παρὰ τὸ μέλι, ὅπερ ἐστὶν ἡδὺ, ὁ τὰ μέλη καὶ τὴν σιδῶνα, καὶ τὸν Φρύνιχον, καὶ τὰ ἐρατὰ ἐμιξεν. οἷον ἀρχαῖα μέλη Φρυνίχου, ἐρατὰ καὶ ἡδέα, καθάπερ μέλι περιέχοντα τὸ τῆς Σιδῶνος ὄνομα. Φρύνιχος δὲ γέγονε τραγῳδίας ποιητὴς, ὃς ἔγραψε δρᾶμα Φοινίσσας, ἐν ᾧ μέμνηται Σιδωνίων. τὰ δὲ μέλη εἶχε, διὰ τὴν γλυκύτητα τοῦ ποιητοῦ. ἢ καὶ ἄλλως ποιεῖται ἡ λέξις, παρὰ τὸ ἀρχαῖον, καὶ τὸ μέλος, καὶ τὸ Σιδῶν, καὶ τὸ Φρύνιχος, καὶ τὸ ἐρατόν. Ἀρίσταρχος δέ φησι γεγονέναι, ἀπὸ τοῦ μέλι καὶ τοῦ Σιδώνος, καὶ τοῦ Φρυνίχου, καὶ τοῦ ἐρατόν. Ἀρχαῖον, ἀντὶ τοῦ μωρὸν λέγουσιν, καὶ ἀρχαῖον τὸ εὐήθιζον, ληρῶδες, ἀνόητον, οὐδενὸς λόγου ἄξιον. Ἀρχαιότροπος, ὅντινα ὁ ἀρχαιοτέροις ὀνόμασι χρώμενος. Ἀρχαιότυπος, ὁ παλαιὸς νόμος. Ἀρχαιρεσιάζειν, τὸ ἀναξιοῦν αὐτὸν αἱρεθῆναι ἄρχοντα. Αἰσχίνης ἐν τῷ πλείονι. καὶ ἀρχαιρεσιάζειν, τὸ πρὸς χάριν τοῖς πολλοῖς ζῆν. Ἀρχαίως, ἀντὶ τοῦ ἀνοήτως, καὶ ἀντὶ τοῦ παλαιῶς, ἁπλῶς, καὶ ἀκάκως. Ἀρχὰς, ὑποθέσεις, βαθμίδας.

Ἄρχειν τῆς ἵππου, σχηματισμός ἐστιν ἀντὶ τοῦ τῶν ἐν ἵπποις στρατευόντων. Θουκυδίδης, Στρατηγὸν μὲν τοῦ παντὸς πεζοῦ, οἱ σύμμαχοι ἔπεμψαν τὴν ἀκμὴν τῆς ἵππου παρ' αὐτῶν ἔχειν. Ἄρχειν, τὸ προηγεῖσθαι ὁδοῦ, ἢ ἔργου, ὁ πρὸ βραχέων ἤρξατο πολλὰς ἀθλῶν. καὶ ἄρχειν ἀνθρώπων. κρατεῖν δὲ, καὶ ἀνθρώπων καὶ θηρίων. καὶ ἄρχειν, λάμπειν. Ἀρχεῖον, τὸ χαρτοφυλάκιον, ἔνθα οἱ δημόσιοι χάρται κεῖνται, ἢ παλαίων. Ἀρχέκακοι νῆες, ὡς κατάρξασαι κακῶν μάλιστα τοῖς Φρυξίν. ἐπ' Ἑλένην μὲν γὰρ πολλοὶ δι' αὐτὰς ἦλθον. Σημειωτέον, ὅτι ταυτὴν εἶπεν συνθέτως ἀρχέκακον, ἢ διαλελυμένως ἀρχὴν κακοῦ, κατὰ Ἴωνας. φησὶ γοῦν Ἡρόδοτος, αὗται δὲ αἱ νῆες αὗται, αἳ τοῖς Ἴωσι πεμφθεῖσαι εἰς βοήθειαν, ἀρχὴ κακῶν ἐγένοντο Ἕλλησί τε καὶ βαρβάροις. τοιοῦτον παρ' αὐτῷ Ὁμήρῳ, αἱ γενέσεως εἰς ἀρχήν. ἀφ' οὗ ὕστερον τὸ ἀρχαιρεσιάζειν συντέθειται. καὶ τὸ θέλεις ὅρος, ἀντὶ τοῦ ἀμφισβητεῖς. καὶ ἕτερα. Ἀρχέκακος, ἀρχὴ τῶν κακῶν. Ἀρχέλαος, ἄρχων τοῦ λαοῦ, ἡγεμὼν, ἔξαρχος, δημαγωγός. Ἀρχέπλουτον, ἄρχοντα πλούτου. Ἀρχέτυπος, ὁ τῶν ἀρχῶν διδούς. Ἀρχέτυπον, πρωτότυπον, ἀφ' οὗ πᾶσιν ὁ τύπος. Ἀρχεῖ, ἡγοῦ, ἄρχου. Ἀρχεῖν τρώεσσιν, ἡγεῖσθαι τρώων. Ἄρχειν οἱ γνήσιοι, δοτικῇ συντάξει ὁ διαφορούμενον διαλύουσιν, οἱ δὲ διχῶς ἐστι λέγειν. καὶ ἄρχει καὶ ἄρχεια, τουτέστι, βασιλεύει. οἱ δὲ διαφοράν ἐστι τοῦ ἄρχειν πρὸς τὸ βασιλεύειν, ὡς μείζονος ὄντος τοῦ βασιλεύειν, δηλοῖ Εὐτυχίδας. ὡς Δημάρατον ἐκπεσόντα τῆς βασιλείας, εἰς ταῖς ἀρχαῖς αἱρεθέντα, ἥττω γελῶν, ἐπαινεῖν εἶναι τὸ ἄρχειν μετὰ τὸ βασιλεύειν. Ἀρχὴ, ταχέως. ποικίλη, εἴδεσι, καὶ τελειαί. καὶ ἀρχὴ, εἶδος μαλθακῆς ἀκίνητον. καὶ ἀρχὴ, ἡ ἐξουσία, ἀφ' ἧς ἐκβαίνει τὸ, οὐκ ἔστιν ἀρχὴ ἐπὶ τοῦ σώματος αὐτοῦ. ἀρχὴ, ἡ μὲν φυσικὴ, ὡς λέοντος ἐν θηρίοις, καὶ αἰετοῦ ἐν ὀρνέοις. ἡ δὲ χειροτονητὴ, ὡς ἐπὶ ἀνθρώπων. ὁ ἀρχὴ βασιλέως, ἡ πρώτη αἰτία ὡς ἀρχὴ αὐτοῦ ἀγαθοῦ, τὸ πεῖραν δίκαια. ἐν γὰρ τῇ δικαίων πράξεων περὶ ὧν κινούμεθα, εἰς τὸν ἑαυτῶν βίον. Ἀρχὴν ἰᾶσθαι πολὺ λῷον, ἢ τελευτήν. παροιμία. δηλοῖ δὲ ὡς ἀρχόμενα τὰ δεινὰ, δεῖ μᾶλλον πειρᾶσθαι κωλύειν, ἢ ἀκμάσαντα, καὶ τελειωθέντα. Ἀρχηγέτας, ἄρχοντας.

Ἀρχηγέται, ἥρωες ἐπώνυμοι τῶν φυλῶν. ἢ θεοὶ ἐν Ἀθήναις.

Ἀρχηθεν, ποιητικὰ λέγουσι, τὸ δὲ καταδεγράφθω διαιρέμενον εἰδείς, ἀπ' ἐξ ἀρχῆς. Ἀρχὴ σωτηρίας, ἁρμονία ἐστὶ τοῦ εὖ τελεῖν, καὶ μηδὲν λυσιτελὲς ἐχόντων. ἐπὶ γὰρ λυτρὰ καὶ πατρῴους ὁ σκοπός. Ἀρχίδιον, ὑποκοριστικῶς τὴν ἀρχὴν λέγει Ἀριστοφάνης. Ἀρχιερωσύνη, ἱερωσύνη. Ἀρχιθέωρος, ὁ ἡγούμενος τῆς θεωρίας. θεωροὶ δέ εἰσιν, οἱ τὴν θεωρίαν φέροντες τοῖς θεοῖς εἰς τοὺς ἑλληνικοὺς ἀγῶνας, καὶ οἱ ὑπὲρ τῆς πατρίδος θύοντες. Ἀρχίκλωψ, ὁ ἀρχαῖος κλέπτης. Ἀρχιλλᾶν, ἀρχιποίμενα, κυρίως τὸν. Ἀρχιμάγειρος, ἔφορος τῆς βασιλικῆς τραπέζης. Ἀρχιοινοχόος, ὁ ἀρχηγός. Ἀρχιτέκτων, σημαίνει μὲν τὸν τῶν οἰκοδομημάτων ἐπιστάτην. κυρίως δὲ, τὸν ἀρχὸν τῶν τεκτόνων. τὸν τὴν διάθεσιν τῶν κατασκευασμάτων ἐπινοοῦντα, καὶ τὸν κατασκευάσαντα, καὶ συναρμόζοντα τὸ ἔργον. παρὰ τὸ ἄρχω, καὶ τὸ τέκτων.

Ἄρχμενος. ἄρχω, ἄρχομαι, ἀρχόμενος, καὶ ἐν συγκοπῇ ἄρχμενος. Ἀρχογλωπάδας, ὁ ἀποκρύφων γλώσσων τὰς ἀρχάς.

Ἀρχιδάμειος πόλεμος. Λυσίας ἐν τῷ κατὰ Ἀνδοκίδου καὶ ποιεῖ φησιν, τὰ πρῶτα ἔτη τοῦ Πελοποννησιακοῦ πολέμου Ἀρχιδάμειος ἐκλήθη πόλεμος, ὡς ἔοικεν ἀπὸ τοῦ Ἀρχιδάμου εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν. καθὰ Θουκυδίδης καὶ Ἔφορος, καὶ διαλαμβάνουσι φασίν. Ἀρχολάβον, ἐργολάβον. Ἀρχολίπαρος, ὁ λιπαρῶν ἵνα ἀρχῆς τύχῃ. ἢ ὁ ἐκ τῆς ἀρχῆς λιπαινόμενος.

Ἄρχομαι, ὅτε ἀρχὴν ποιῶ, ὡς τοῦτο μόνον ποιήσων. ἄρχομαι δὲ ἀπὸ τοῦδε, ὡς τοῦτο μόνον ποιήσων, καὶ ἐφ' ἕτερον τραπησόμενος. ἄρχομαι, τὸ ἀρχὴν λαμβάνω. ὡς ἐν τῷ, ἄρχεται δὲ ὁ πόλεμος. ἄρχομαι δὲ καὶ τὸ ἐξουσιάζομαι. καὶ ἄρχομαι τῆς γραφῆς, καὶ ἄρχομαι γράφειν, καὶ τοῦ γράφειν ἄρχομαι τὸ βιβλίον, καὶ ἄρχομαι λόγου, καὶ ἄρχομαι λέγειν. Ἀρχὸν, εἰπόντος Ὁμήρου ἐπὶ ναὸς, οἱ μεθ' Ὅμηρον συνέθεντο τὸν ἄρχοντα λέγειν. Ἄρχοντα δὲ λέγομεν, τὸν ἔξαρχον, ἡγεμόνα, προηγεμόνα, προστάτην, διοικητὴν, βασιλέα, ἐπιμελητὴν, ἁρμοστὴν, ὕπαρχον, στρατηγὸν, στρατηγὸν, αὐτοκράτορα, τύραννον, δυνάστην, μόναρχον, ἔφορον, ἐπόπτην, ἐπίσκοπον, καὶ τὰ ὅμοια. καὶ τὸ ἄρχειν, ἡγεῖσθαι, κρατεῖν, διοικεῖν, προστατεῖν. Ἀρχὸς Ἀχιλλεὺς, περιφανής ἐστι τοῦ ἔργου. καὶ ἀρχὸς, ὁ ἡγεμών. σημαίνει δὲ καὶ τὸ ἔντερον τὸ προσκείμενον τῷ κώλῳ ἐντέρῳ, πέρας ὂν τῶν ἐντέρων πάντων. εἴρηται δὲ παρὰ τὸ ἄρχειν τῶν ἐντέρων κάτωθεν. Ἀρχύσουσι, βάψουσιν. Ἄρχω, διοικῶ, ἐξουσιάζω, ἡγοῦμαι, κρατῶ, βασιλεύω, ἐπιστατῶ, δυναστεύω, προηγοῦμαι.

Σοφοκλῆς δὲ, ἐπὶ [illegible] ἐν Ἀντιγόνῃ. ἔπειτα μήτηρ ἢ γυνὴ διπλοῦν πάθος, πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον. Ἀρτάσαι, παρ᾽ ἡμῖν οἱ τὸ οὐδὸν πόδες. Ἀρταχέλαι, τὰ χίμαια, τὰ χείλη. Ἀρτὰς, μέγας καὶ λαμπρός. Ἀρτιλὸς, ὑγιής.

Ἀρτεμέα, ἀντὶ τοῦ ὑγιῆ, οἷον ἀρτεμέα ζωὰ, καὶ σῶον, ἢ ἄρτιον. ὅθεν καὶ ἄρτεμις φασὶν, ἡ παρασκευασμένη ὑγίειαν. ὡς καὶ Ἀπόλλων οὔλιος, ὁ σῶον ὅλον, ὅτι ὑγιαίνειν. κατὰ τὸ, οὖλέ τε καὶ μέγα χαῖρε. ἄρταμος μέν τι ὀδυσσείας α', ὁ εἰς ἄρτια τέμνων ἢ δαιτρεύων, ὅ ἐστι κρεουργὸς, μάγειρος. φονεύς. οὗ χρῆσις καὶ παρὰ Λυκόφρονι.

Ἀρτεμέοντα, ὑγιαίνοντα, ἰσχύοντα. Ἀρτεμὴς, ὁλόκληρος, σῶος, ὑγιής. ἄρτεμις δὲ, ἡ θεός. Ἀρτεμίδωρος, Δαλδιανὸς φιλόσοφος. ἔγραψεν ὀνειροκριτικὰ, ἐν βιβλίοις τέσσαρσιν. Ἀρτέμων, ὁ στόλων. παρὰ τὸ τὴν αἴραν τέμνειν. καὶ ἄρτεμις ἁρμενία, ὅπερ ἱστία. ἁρμενία γὰρ ἡ ἱστία καλεῖται. Ἀρτεμισία. δύο γεγόνασιν ἀρτεμισίαι, ἀδιαφέρουσαι τὸ γένος, καὶ βασιλίδες ἀμφότεραι. ἡ μὲν πρώτη κατὰ τὰ Περσικὰ, θυγάτηρ ἦν Λυγδάμιδος. ἡ δὲ νεωτέρα, θυγάτηρ μὲν ἦν Ἑκατόμνω, γυνὴ δὲ καὶ ἀδελφὴ Μαυσώλου. καὶ ἀρτεμισία, βοτάνη τις. Ἀρτεμίσιος, ὁ μάϊος. τὰ διὰ τοῦ ἰσιος ἀρσενικὰ καὶ ισια θηλυκὰ, καὶ ἴσιον οὐδέτερα, ἀποστρέφονται τὴν οι δίφθογγον. οἷον ἀφροδίσιος, ἀφροδισία, ἀφροδίσιον. σεσημείωται, τὸ ἀρχαῖος, σιμοῦσιος. διὸ καὶ ἀπεφάνθη τὸ ἐν τῷ ἀρχαῖος, καὶ σιμοῦσιος, καὶ ἀχελώϊος, καὶ ἀπειρέσιος. ἁλίσιον, ὄνομα πεδιάδος, ἀπὸ τοῦ ἁλῶ, ἁλίσω, τὸ πλανῶ. ἀνθεμόεις, ἀπὸ τοῦ ἀνθεμόεις. τὸ δὲ ἀμφίσιος, οἱ μὲν ἄλλοι διὰ τοῦ ει διφθόγγου, καὶ ἴσως ἀπὸ τοῦ ἀμφιέω, ἢ παλαιοῖς. διὰ δὲ τοῦ ι, ὡς ἰθάκη ἰθακήσιος. Ἀρτέονται, ὁπλίζονται. Ἄρταμα, διαθέσει, δίκα ἀρτάματος. Ἀρτήματα, ὅρμια τοῖς ἀγκίστροις προσδεδεμένα, καὶ κοσμία ζωή. Ἀρτεμος, ὁ τελαμὼν, ὅς ἐστι λῶρος, ἐξ οὗ ἀρτᾶται τὸ βαλάντιον, ἢ τὸ σκουτάριον, ἢ ξίφος. Ἀρτιακεστέραν, ὑγιεστέραν, ἐντελεστέραν. Ἀρτὴρ, ὑπόδημα, οἱ δὲ ξυστήρ. Ἀρτηρία, παρὰ τὸ τὴν αἴρα τηρεῖν, ὅτι τὸ πνεῦμα, ἀφητηρία τις οὖσα. πνεύματος γάρ ἐστι δοχεῖον. καὶ ἀρτηρίαι, τὰ ἀγγεῖα. Ἀρτῆσαι, δῆσαι, ἀναρτῆσαι. Ἀρτεπιόμενος, ἀρτιμαῖος. Ἀρτητὰ, θαυμαστὰ, κρεμαστά. Ἄρτι, οὐ μόνον ἀντὶ τοῦ πρὸ ὀλίγου, ἀλλὰ καὶ ἀντὶ τοῦ νῦν. Λουκιανὸς οὕτως συντάσσει. ἄρτι μὲν πρὸς τὰς πράξεις, ἄρτι μὲν πρὸς τὴν πλοῦτον ἀπολαῦσαι. καὶ νῦν μὲν εἰς ἀπεδίαν, νῦν δὲ εἰς ἡδονὴν ἀποκλίνεσθαι. ἄρτι ἔρχομαι οὐκ εἴποις, ἀλλ᾽ ἄρτι ἔρχομαι, καὶ ἄρτι ἀφικόμην. καὶ ἀπλῶς, ἀντὶ τοῦ ἀπὸ τοῦ νῦν. καὶ ἄρτι, ἀντὶ τοῦ νῦν. οἷον ἄρτι μὲν εἰς τὸ κάλλος ἐλάμπων, ἄρτι δὲ εἰς [illegible] ἀγχίνοιαν. ἢ ἄρτι σημαίνει, τὸ πλῆθος καὶ ἐπείγον, καὶ τὸ παραυτίκα μέλλον γίνεσθαι. Ἄρτια βάζειν, ταυτὴν παρὰ τὸ ἀπαλλοτριοῦν. καὶ παρ᾽ Ἡροδότῳ ἀπαλλοτρία, ὁ ἀπαλλοτριωμένος λόγος. καὶ ἄρτια, ἁρμοζόμενα, τέλεια, ὑγιῆ. λέγεται ταῦτα καὶ ἄρμενα. καὶ ἀρτιάζειν, τὸ παιδικὴν ζωὴν παίζειν. Ἄρτια φρεσὶν ἤιδει, ἔγνων, τὰς φρένας ἀρτίως ἦν, ὅ ἐστι συνθέτως εἰπεῖν, φρονῶν. Ἀρτιάζομεν, τὰ ἄρτια καὶ περιττὰ παίζομεν. Ἀριστοφάνης, Στατῆρσι δ᾽ οἱ θεράποντες ἀρτιάζομεν χρυσοῖς. Ἀρτίγαμοι, νεόγαμοι. Ἀρτίγονος, νεογνός, νεώτερος. Ἀρτιδαεῖ, ἀρτιμαθεῖ. δαίω γὰρ, τὸ μανθάνω. Ἀρτίδακρυς, εὐχερὴς πρὸς δάκρυα. Ἀρτίδιον, μικρὸς ἄρτος. Ἀρτιάζειν μοῦσαι, αἱ ἀπαρτιζόμενα καὶ τέλεια καὶ ὑγιῆ λέγουσαι. ἢ ἀρτίοις ἔπεσι χρώμεναι. Ἀρτιεπὴς, παρὰ τῷ ποιητῇ. ὡς τὸ, ἀλλ᾽ ὡς ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μῦθος. ὁ μῦθος κατὰ Λογγῖνον φησὶν, ὁ μῦθον κατὰ γνώμην πλαστικόν. λέγει δὲ ἀρτιεπῆ, τὸν γλαφυρὸν, καὶ εὔστροφον, καὶ ἀπαρτιζόμενον ἐν τῷ παραλογίζεσθαι. ὁ μὲν οὖν εἰρωνεύεται, ὡς ἐναντίον τοῦ ἐμφαίνειν, καὶ ἀκατάμυθον τὴν λέξιν λαμβάνοντα, ἀρτιεπῆ λέγει τὸν κατὰ τὴν ποίησιν ἄρτια βάζοντα. τίνος γε μὴν παρὰ τῷ ποιητῇ, οὐ ταυτὸν τὸ ἀρτιεπῆ τινα εἶναι, καὶ τὸ ἄρτια βάζειν. ἐκεῖνο οὐδὲ τὸ λογίζεσθαι ταυτὴν, τῷ παραλογίζεσθαι.

Ἀρτίζουσα, ὀλιγοχρόνια, παρὰ τῷ Ἱπποκράτει. Ἀρτίη, ἀγαθή. Ἀρτιθαλῆ, νεόφυτα. Ἀρτίκολλα, ἡρμοσμένα. Ἀρτιχαροπεῖν, συμφωνεῖν, ἀπὸ τοῦ ἡρμοσμένου. Ἀρτιχαροπεῖσθαι, συμφωνεῖσθαι. ἀρτιχαροποῦσιν οἱ γάμοι, φασὶ Μένανδρος. Ἀρτιμαγὶς, νέον. Ἀρτιμάχαιρα, ἀφροδίτην οὐρανίαν ὑπὸ σκυθῶν.

Ἀρτιμάτας, νέος. Ἄρτιον, τὸ ὁλόκληρον, τέλειον, καὶ ὑγιές.

Ἀρτίπαις, ὁ ἐκβεβηκὼς τὴν παιδικὴν ἡλικίαν. βούπαις, ὁ μέγας παῖς. Ἀρτιπλαστοὺς, παγέντες. Ἀρτίπουν, ὀρθόπουν.

Ἄρτιπος, ἀντὶ τοῦ ἀρτίπους, διὰ τὸ μέτρον ἐξέπεσε τὸ υ. καθὰ καὶ τὸ ἴσως αἰγίλιπος. Ἀρτίπους, ὁ ὑγιὴς καὶ ἄρτιος τοὺς πόδας.

Ἀρτιρία πόα τις, ἣν καὶ βουκράνιον καλοῦσιν, καὶ λοχείαν ἀγρίαν. παρὰ τῷ Ἱπποκράτει. Ἀρτίσαι, ἁρμόσαι, συναγαγεῖν, πλέξαι. Ἀρτίζεσθαι, παρασκευάζεσθαι. Ἀρτίστομος, σαφὴς, καὶ ὁ ἡδὺ φθεγγόμενος. οὕτω Διόνυσος, ὁ δὲ ἦν κάθυγρος ὅλη, καὶ οὐκ ἀρτίστομος ἦν. Ἀρτίστομα, πανταχόθεν ὁμαλὰ, παρὰ τῷ Ἱπποκράτει. Ἀρτίτμος, ὁ νεωστὶ τιμώμενος.

Ἀρτίως, ὑγιῶς, ὁλοκλήρως. καὶ ἄρτι, διαφέρουσι παρ᾽ ἀττικοῖς. ἄρτι μὲν γὰρ ἀντὶ τοῦ νῦν, ἀρτίως δὲ πρὸ ὀλίγου. Ἀρτιωτὰ, τὰ βραχυτάτῳ χρόνῳ συντετελεσμένα. Ἄρτοι, τροφὴ, κρέα, ἄλφιτα, μᾶζα, ὄψα, σῖτα, σιτία, ἐδέσματα, βρώματα. καὶ ἀπὸ μὲν τροφῆς, θρέψαι, φαγεῖν, τροφεὺς, ἔντροφος, ἄτροφος, σύντροφος, τροφὸς, τρόφιμος. παιδοτρίβεσθαι, συντρίβεσθαι, ἀντρίβεσθαι, ἀποτρίβεσθαι. ἀπὸ δὲ ἄρτου, ἀρτίσκος, ἀρτοποιός, κανοῦν ἀρτοφόρον, ἀρτοπωλεῖν, ἄρτοι ζυμῖται, καὶ ἄζυμοι ἄρτοι, ὀβελίαι ἄρτοι, κριβανῖται ἄρτοι, ἐγκρυφίαι ἄρτοι, οἳ ψωμοὶ καλοῦνται, ἐνθρύπτεις. καὶ τὸ ψωμίζειν δὲ, ἀπὸ τοῦ ψωμοῦ, ὡς Ἀριστοφάνης φησίν. εἴδη δὲ τῶν ἄρτων ταῦτα. οἱ μὲν κριβανῖται, οἱ δὲ ὀβελίαι λέγονται. κόλλικες, κόλλαβοι, μαζοί, ἄμυλοι, κολλύραι, ταμιτῶν, συγκομιστοί, χονδρῖται, καγχύδαι. οἱ δὲ εἰσὶ φαυλότεροι, πιτυρίαι. εἴποι δ᾽ ἄν τις καὶ ἄρτον πάνυ πεπτὸν, τὸν ἐκ καθαρῶν πυρῶν. οἱ δὲ σιτάνιοι ἄρτοι, ἐκ τοῦ σιτανίου πυρῶν, οἱ νέοι οἱ τετριμμένοι. σιτανὸν γὰρ, τὸ ἐπέτειον. τὸν μὲν οὖν χαρίεστον πλακοῦντα εἶναι λέγουσιν. ἄνακος δὲ ἄρτος, ἐγγυτέρω πλακοῦντος. αἰγύπτιοι δὲ τοὺς εἰς ὀξὺ ἀνηγμένους ἄρτους, κυλλήστις ὀνόμαζον. ὡς ὀρίνδην τινὰ ἄρτον αἰθιόπων, τὸν ἐξ ὀρίνδου γινόμενον. ὅ ἐστι σπέρμα ἐπιχώριον, ὅμοιον σησάμῳ. ὁ δὲ ὀρθοστάτας, εἶδος ἄρτου ἐστί. Ἀρτοπώλιον, ὁ τόπος ἔνθα οἱ ἄρτοι πιπράσκονται. καὶ ἀρτοπώλιον δὲ, τὸ μαγειρεῖον, ἔνθα οἱ ἄρτοι γίνονται, μικρὸν καὶ δίφθογγον. Ἀρτοπῶλαι, ἀρτοπωλίαι, ἀρτοπώλιδες, ἀρτοπωλεῖν, ἀρτοπώλιον, σιτουργοί, ἀρτοποιοί, ὀρτανίται. Ξενοφῶν, ἀρτοκόπους λέγει. Ἄρτος, ὁ ψωμός. ἔστι δὲ καὶ ὄνομα τυράννου. Ἀρτοσιτεῖ, ἄρτον ἐσθίει. Ξενοφῶν. Ἀρτοῦ, ἀρτίζε, ἐπιμάζε. Ἀρτυθῆναι, παρασκευασθῆναι. Ἀρτυλία, διαθήκη. Ἀρτύλλω, λόγχην ἀγκύλην. Ἄρτυμα, διαθήκη, δίκη. Ἀρτύμασι, τοῖς πρὸς τὴν θυσίαν εὐτρεπιζομένοις. Ἀρτὺν, φιλίαν καὶ σύμβασιν, ἢ κρίσιν. Ἀρτυνκτὸν, παρασκευαστόν. Ἀρτύνω, ἡδύνω. Ἀρτύνειν, ἀπὸ τοῦ ἀρτύω γίνεται, πλεονασμῷ τοῦ ν. ὥσπερ δύω δύνω, καὶ θύω θύνω τὸ ὁρμῶ. καὶ χύω χύνω. καὶ ἀρτύνεσθαι ὁμοίως, ἀπὸ τοῦ ἀρτύω ἀρτύομαι, δωρικῶς πλεονασμῷ τοῦ ν. Ἀρτύνεσθαι πλεονασμὸν ἔχει τοῦ ν, δωρικῶς. ὡς ἀπὸ τοῦ χύω χύνω, τὸ ἐκχύνω. δηλοῖ δὲ τὸ ἀπαρτιζόμενόν τι ποιεῖν.

Ἀρτύνοντας, ἀντὶ τοῦ ἀρτύοντας, εὐτρεπίζοντας. Ἄρτυος, ἄρχων. Ἀρτύνω, ἁρμόζω, ἢ εὐτρεπίζω. Γυναικῶν ἀρτύνει βουλάς. παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, ἦρμαι, ἦρται, ἀρτὺς. καὶ ἀρτῶ ἀρτύω. καὶ πλεονασμῷ τοῦ ν ἀρτύνω. ὡς ὀρῶ ὀρούω. Ἀρτύομαι, καλλιον ἢ ἄρθομαι. Ἄρτυς, σύνταξις. Ἀρτῶ, τὸ κρεμῶ. Ἀρτῶμαι, ἀρπάζω, ἐξαπτῶ κέχρημαι. Ἀρτωμένη βρόχῳ, ἀπαγχομένη. Ἄρυα, τὰ ἀρακλιοῦντα κέρατα. Ἀρύβαλλοι, τὰ μαρσύπια. ἀπὸ τοῦ ἀρύειν καὶ βάλλειν εἰς αὐτούς. Ἀρυβάλλων, πλεκτόν τι βαλάντιον, ὅπερ ἑλκόμενον κλείεται, καὶ ἀνοίγεται. παρὰ τὸ

καὶ κελαινώ, ἴσως ἀδελφαί, θυγατέρες θαύμαντος καὶ ἠλέκτρας, τῆς ὠκεανοῦ θυγατρός. ἅρπυιαι λέγονται, καὶ ὄρνεα δὲ ἁρπακτικά. ἐμυθεύθησαν καὶ τὰς τοῦ φινέως θυγατέρας, ἐράσθαι καὶ ἁρπάσαι, ὄρνεα εἶναι, ἁρπάζοντα τὴν τροφὴν ἀπὸ τοῦ στόματος τοῦ γέροντος. ἅρπυιαι γὰρ ἀλληγορικῶς οἱ ἄνεμοι, ὡς καὶ παρὰ λυκόφρονι. Ἅρπυς, ὁ ἔρως, παρὰ τὸ ἁρπάζειν τὰς φρένας.

Ἀρπῶμαι, ἁρπάζω, ἀφικνοῦμαι κέχρημαι. Ἀῤῥάβακα, ὀρχησμόν. ἀπὸ τοῦ ἀῤῥαβάζειν, ὅ ἐστιν ὀρχεῖσθαι. οἱ δὲ, τὸν βλάσφημον.

Ἀῤῥαβὸς, ἰσχνός. Ἀῤῥάβη, θύρα. οἷον γέῤῥον. Ἀῤῥαβὼν, πρόλημα, ἢ ἄγκιστρον. ἡ ἐπὶ ταῖς ὠναῖς παρὰ τῶν ὠνουμένων διδομένη προκαταβολὴ ὑπὲρ ἀσφαλείας. Ἀῤῥαβωνίζω, ἐκ τοῦ ἀῤῥαβὼν ἀῤῥαβῶνος, ἀῤῥαβῶνα σίφωνα, διαβεβλημένον. ὡς τῶν σιφώνων ἀσπλάγχνων ὄντων. Ἀῤῥαγὲς ὄμμα, οὐ δακρύον. ὁ πρώην φαμὲν, κατεῤῥάγημεν δάκρυον. Σοφοκλῆς. Ἀῤῥαγίσι, στερεοῖς, ἀκατασπουδάστοις. Ἀῤῥαγὲς, ἄθραυστον, μὴ ῥηγνύμενον.

Ἀῤῥαγίδες, κάμινοι, κρόκαι. Ἀῤῥαβάζοντες, ἐψόφησαν.

Ἀῤῥαιστος, ἄφθαρτος. Ἀῤῥάξαι, κρατεῖ, ἀῤῥάσσεται. Ἄῤῥατον, ἰσχυρὸν, στερεόν. οὕτω Πλάτων. ἀράττων δὲ, ἀντὶ τοῦ κρούων, πλήττων. Ἄῤῥατος, οἷον ἄφθαρτος, ὁ μὴ ῥαιόμενος. ἢ ὅ ἐστιν ὁ ἀκαταγώνιστος, ἢ ὁ ἀνάφραστος, ἀῤῥητός τις ὢν, ἢ ἰσχυρὸς, ὁ δυσμείωτος. Ἀῤῥαχθὶς, ἀσύνετον. Ἄῤῥαπτον, ἀσύνθετον, ἄθετον, ἀτελεύτητον. Ἀῤῥάφα, οὐκ ἄρσενα λέγουσιν οἱ ἀττικοὶ, ἀλλὰ καὶ τῶν κολοβῶν τὰ ἐξέχοντα. καὶ ταῖς κοιλότητα ἐμπίπτοντα. Ἀῤῥενοπαῖδες, ἀνδρόγυνοι. Ἀῤῥενωπὸς, ἐκ τοῦ ἄῤῥην ἄῤῥενος, καὶ τοῦ ὢψ ὠπὸς, ὃ σημαίνει τὸ πρόσωπον, ἀῤῥενωπὸς, ὁ ἄῤῥενος πρόσωπον ἔχων, κατὰ συμπαλοχίαν. ἤγουν, ὁ ἀνδρεῖος, ἢ ἰσχυρὸς, ἢ δυνάμενος. Ἀῤῥηκὴς, ἀμετακίνητον. Ἀῤῥηκὴς, καθαρά. Ἀῤῥηκτῶς, ἀκλινῶς. Ἀῤῥήτω, τὸ βεβαιῶ. Ἀῤῥήδεκτος, οὐ καταλαβόμενος τῇ ῥήσει. Ἀῤῥηκτοι δεσμοὶ παρ᾽ Ὁμήρῳ ἐν ὀδυσσείᾳ, καὶ ἄλυτοι, οἱ πάνυ στερεοὶ, οὓς οὔτε ἀνακάμψαι τις ὁρμῇ λύσει, οὔτε πρὸς βίαν ῥήξει. Ἀῤῥήκτοις, ἀχέσεις.

Ἄῤῥηκτος, ἀδιάῤῥηκτος, στερεὰ, παρὰ τὸ ῥήσσω. Ἀῤῥῶ, καὶ ἄρσην, ἀττικώτερον δὲ τὸ ἄῤῥην. Ἀῤῥηνῶσιν, λοιδορεῖν, καὶ γυναικὶ πρὸς ἄνδρα διαφέρεσθαι. Ἀῤῥηνὲς, ἄγριον, Λυκόφρων.

Ἀῤῥῆσαι, ἀβλαβῆσαι, ἀπαγορεῦσαι. Ἄῤῥητον, τὸ μὴ δυνάμενον ῥηθῆναι. καὶ ἄῤῥητον, τὸ μὴ ἄξιον ῥηθῆναι. καὶ τοῦτο τριχῶς. ἢ ὡς ἀπρέπειόν ἐστιν ἀῤῥητὸν καὶ ὡς αἰσχρὸν, ἢ ὡς μυστικὸν, ἄῤῥητον ὑπερβολικῶς, καὶ τὸ μέγα ἢ τὸ πολύ. Ἄῤῥητον λέγεται μὲν, τὸ ἄφωνον καὶ ἄλεκτον, καὶ ἀμύθητον, ὃ οὐ δύναταί τις σημαίνει τοῖς μὴ εἰδόσιν. ὡς ὑπερφυὲς ὂν, καὶ στέξιμον. λέγεται ἄῤῥητον, καὶ τὸ πλεῖστον ὂν ὑπὲρ τὸ μέτρον. οἷον, ἄῤῥητον ἡ λανθάνουσα ἡμῖν, ἀγαθῶν ἄγγελος ἐλθών. λέγεται ἄῤῥητον, καὶ ὃ μὴ δίκαιον ἐστὶ λεχθῆναι, καὶ ὃ οὐ θεμιτὸν ἐκφέρειν, ὡς αἰσχρὸν καὶ βδελυκτόν. ὡς καὶ παρὰ Σοφοκλεῖ, Πῶς δῆτα λόγον ἄῤῥητον. ἀντὶ τοῦ οὐκ ἄξιον ὄντα δηλωθῆναι ὑμῖν. Ἄῤῥητον, ἄφραστον, ἄλεκτον, ἀνεξόρατον, ἀπόῤῥητον, ἀφανὲς, αἰσχρόν. Σοφοκλῆς.

Ἀῤῥηθυμία, ἀσέλγεια, αἰσχρουργία. Ἄῤῥητος κόρη, ἡ περσεφόνη. Εὐριπίδης. Ἀῤῥητουργία, ἡ αἰσχρουργία, κακουργία. τὸ ἄῤῥητα ἐξεργάζεσθαι. Ἀῤῥήτως, ἀλέκτως. Ἀῤῥηφορεῖν, τὸ μυστικὸν ἐσθῆτα φορεῖν. ὅθεν ἀῤῥηφόρος, καὶ ἀῤῥηφορία, ἑορτὴ ἐπιτελουμένη τῇ ἀθηνᾷ. Ἀῤῥηφορία, θυσία, ἑκατέρως λέγουσιν οἱ συγγραφεῖς. κἂν μὲν διὰ τοῦ η, ἐρσηφορία, διὰ τὸ τὰς ἔρσας ἐγκατειλῆφθαι τῶν κανηφόρων. ἐὰν δὲ διὰ τοῦ α, ἐπεὶ ἐκ ἀρρήτοις στεῖλαι. Ἀῤῥηφόρος, μυσταγωγός. Ἀῤῥιχᾶσθαι, εἰς ὕψος ἀναβαίνειν, χερσὶ καὶ ποσίν. Ἀῤῥίχῃ ἐξαγοραῖς τὰς, κόφινον. ἀγγεῖον οὖν ἐκ μὲν τοῦ αὐτοῦ γένους εἶναι, διάφορον δὲ δὴ. λέγουσι δὲ καὶ τὸν σάργανον τι εἶδος ἀῤῥίχης. Ἄῤῥιχος, κόφινος, ἢ ἀγγεῖον λύγινον. Ἄῤῥοθος, ἀρωγὸς, βοηθός.

Ἀῤῥότης μέρα. τὸ κατόπιν ξύλον, οὗ ἔχεται ὁ ἀρότης, καλεῖται ἐχέτλη. ὁ δὲ ζυγὸς ἐνήρμοσται, ἕλυμα. τὸ δὲ σιδήρεον, ὕνις.

Ἄῤῥυθμος, ἀδιατύπωτος, ἀκανόνιστος, μὴ ἔχων ῥυθμόν. ῥυθμὸς γὰρ, ὁ τύπος. Ἀῤῥῦ, ἐπίφθεγμα κυνολακτικὸν, ὡς τὸ σοῦ σημαίνειν. Ἀῤῥυσμοί, ἀκοσμοί, ἀσχημοσύναι. Ἀῤῥυτίασον, ἄσχημον, ἀναχώρησον. Ἀῤῥυτίδωτον, τὸ μὴ ἔχον ῥυτίδας, ὅτι γεράσματα αἱ νέοι γραμμαὶ γίνονται σημαντικαί. Ἀῤῥωδεῖν, διὰ τοῦ α στερητικοῦ νοεῖται κατὰ ἐρώτησιν φίλων. δηλοῖ τὸ μὴ ὀῤῥωδεῖν, ἀλλὰ καταφρονεῖν. ἢ τεθαῤῥηκέναι, ἐκ τοῦ ὀῤῥωδεῖν τὸ εὐλαβεῖσθαι. Ἀῤῥωδία, φόβος. Ἄῤῥωδος, ὄνομα ποταμοῦ. Ἀῤῥωσία, νόσος, ἀσθένεια. Ἀῤῥὼξ, οὐκ ἐῤῥωγώς.

Ἀῤῥωστεῖ, ἀμεταβάτως, ἐπὶ σώματος νοσεῖ. ὁ κλινήρης. Ἄῤῥωστος, ὁ ἐστερημένος τῆς ὑγείας. Ἀρσάκαι, οἱ βασιλεῖς περσῶν. Ἀρσάμενοι, ἀλειψάμενοι, ποιοῦντες. Ἀρσαντὲς, ἁρμόσαντες. παρὰ τὸ ἄρω τὸ ἁρμόζω. ἄρω ἄρσω, αἰολικῶς, καὶ ἄρσαντες. ἢ παρὰ τὸ ἁρμόζω, ἁρμόσω, ἥρμοσα. ἢ μετοχὴ ὁ ἁρμόσας. ἁρμόσαντες, ἢ συγκοπῇ ἄρσαντες. ἢ ἄρσαντες κατὰ θυμὸν, ἀρχὴ ἐστὶ καὶ ἀφορμὴ τοῦ τῆς θυμήρης συμβιώσεως. πάντως γὰρ ἐπειδή τις ἄρσει κατὰ θυμὸν, ὅ ἐστιν ἁρμόσει, ἢ ἀρέσει, θυμῆρες ἐκεῖνό ἐστι. φασὶ δὲ οἱ παλαιοί, ὅτι Ἀρίσταρχος μὲν δασύνει τὸ ἄρσαντες, λέγων, ἐξ αὐτοῦ γενέσθαι τὸ ἅρμα. Ἡρωδιανὸς δὲ ψιλοῖ, ὡς ἀπὸ τοῦ ἄρω ἄρσω, αἰολικοῦ. Ἄρσε, μέμφεται, κατηγορεῖ. Ἄρσαι, ἀρσηνικὰς, βασάγματα. Ἄρσενι βοῇ, δεινῇ, τῇ ἀνδρικῇ φωνῇ ἢ διαλελαλημένῃ. Ἄρσενον, βασαγμάτων, φορτίον. Ἄρσεναι. ἰστέον ὡς οἱ μεθ᾽ Ὅμηρον οὐ θέλουσιν ἄρσενα γράφειν διὰ τοῦ σ, ἀλλὰ διὰ τοῦ ρ, ἄῤῥενα. λέγοντες, ὅτι ἀποτεταγμένον ἐστὶ τοῦ σ οἱ ἀττικοὶ ρ ποιοῦσιν. οἷον ἄρσην ἄῤῥην. οὕτω δὲ καὶ θαῤῥεῖν, καὶ πόῤῥω ἐκ τοῦ πόρσω, καὶ κόῤῥη καὶ ἐπὶ κόῤῥης ἀντὶ κόρσης, καὶ ταρσὸς ἐκ τοῦ ταρσός. ὡς τό, ταρσοὶ μὲν τυρῶν βρῖθον, Αἴλιος Διονύσιος λέγει. καὶ ὅτι ἀττικὸν οὐχὶ ἀρσενικὸν τὸ τῶν γραφέων ἀλλὰ ἀττικοῖς φάρμακον. ὁ μέν τι Στράβων ἀρσενικὸν ὀνομάζει αὐτὸ, ἐκ ὀρῶν καὶ ὄρος εἶναι, ἀφ᾽ οὗ λαμβάνονται ποιοῦντες ἀρσενικὸν, ὅπερ ἀρσενίκιον λέγεται. Ἀρσὴν, ἀπὸ τοῦ ἄρδω ἄρσω, ἄρσην. ὁ ἄρδων τὰς θηλείας. καὶ γὰρ διὰ τοῦτο πόσις λέγεται ὁ ἀνὴρ, παρὰ τὸ ποτίζειν τὴν γυναῖκα. ἢ παρὰ τὸ ἔρδω τὸ πράττω, ὁ μέλλων ἔρσω, καὶ ἄρσην ἐξ αὐτοῦ. Ἄρσιν, ὕψωσιν. Ἀρσινόη, πόλις ἐν συρίᾳ ἐπὶ βουνοῦ κειμένη. ἐπὶ δὲ τοῦ βουνοῦ πηγὰς ἐξερεύγεσθαι πλείστας, καὶ ποταμοὺς γίνεσθαι μεγάλους, ἀφ᾽ ὧν ἡ πόλις ὠνόμασθαι. ἄρσαι γὰρ τὸ ποτίσαι, ἀφ᾽ οὗ καὶ ἄρσην, ὁ τὴν γυναῖκα ποτίζων τῇ σπορᾷ. Ἀρσὶς, ἡ ἀκὶς τοῦ βέλους. ἢ τὰ ἐκ χειρὸς ὅπλα. καὶ ἄρδις πληθυντικὸν τὰς φαρέτρας. παρὰ τὸ ἄρω τὸ ἁρμόζω, ἦρμαι, ἦρται, ἄρτης. οὕτως ἄρτης, ἢ ἄρδις. ἢ παρὰ τὸ ἄρης, ὃ σημαίνει τὸν σίδηρον ἄρδες, καὶ ἄρδις, καὶ ἔρδεα. Ἄρσιον, δίκαιον. Ἄρσις, ζημία. Ἀρσίπους, ἡ ἀλκυών. Ἀρσιπίδες, ὑπόδημα γυναικεῖον. Ἄρσω, ἁρμόσω. Ἀρτάβη, μέτρον μηδικὸν σίτου, ἀττικὸς μέδιμνος. Ἀρτάδες, οἱ δίκαιοι ὑπὸ μάγων. Ἀρταίης, αὐτάρκης. ἀρτανία, κρήνη.

Ἀρταῖοι, οἱ ἥρωες, παρὰ πέρσαις. Ἀρτακία, Ἡρωδιανὸς βαρυνεῖ τὸ ὄνομα, ἐν τῷ τρίτῳ τῆς καθόλου. ἀρτάκης γάρ.

Ἀρτᾷ, ἐπικρέμαται, ἢ ἀρτῶ ὁμοίως. Ἀρτακία, κρήνη περὶ κύζικον. ἧς καὶ Ἀλκαῖος μέμνηται, καὶ Καλλίμαχος. ἡ ἀρτακία, παρ᾽ Ὁμήρῳ μὲν, κρήνη περὶ λαιστρυγόνας. ἴσως μὲν ἰσοφανῶς περιφερομένη. τυχὸν δὲ καὶ πεπλασμένη. διὰ τὸ ἄνικον, παρὰ τὸ ἀρτακίαν, ὅ ἐστιν ἀνακλεῖσθαι, καὶ προῒεναι, καὶ ἀνακυκλεῖν, πρὸς ὁμοιότητα τοῦ ἀεὶ, νέον ἐρχομένων. Ἀρτακεῖον, καρκίνον. Ἀρταμῆσαι, κρεμάσαι. Ἄρταμις, ἄρτεμις. τρέπω ψίξω, ψάχω τρίχω, εἶκα εἶκα, πιάζω πιέζω, δωρικῶς φασὶ τρέφονται. Ἄρταμος, ὁ μάγειρος, παρὰ τὸ διατάσσειν, ὅ ἐστι μερίσαι, ἢ συνθήσομαι. Ἀρτάμουσιν, ἐσθίουσιν. Ἀρτάνας, βασιλέας, καὶ λαοὺς. Ἀρτάνη, ἡ ἐκ τῶν καλωδίων ἀγχόνη.

Σοφοκλῆς

μεταπλασθὲν εὐθεῖαν κλίνεται (ἄῤῥενος γὰρ ἡ φωνὴ) ἀπὸ ἰσομεγέθους λεοντώδους ἄρνω, ἄρνος. καὶ ἐξ αὐτοῦ κατὰ συγκοπὴν ἀρνός, ἀρνί, καὶ ἡ λοιπὴ κλίσις. ἐτυμολογεῖται δὲ ἡ λέξις, παρὰ τὴν οὐρὰν, ὅ ἐστι τὴν ὀχλίαν. ὅτι ἐν εὐχαῖς παρελάμβανον τὸ ζῶον θυόμενον. καὶ διὰ καὶ ἄλλως εὐκταῖος ἦν, τῶν πατριαρχῶν κτήσεις διὰ παλαιοῖς. καὶ ἀρνῶν, φυλασμοῖς. Ἄρξαι, ἄρχειν, κατακρατεῖν. Ἄρξει καὶ πρῶτον κακὸν εἶναι παρ' Ὁμήρῳ, ἀντὶ τοῦ ἀρχῆς ἀπὸ τοῦ νῦν ἔσται εἰς τὸ πρόσω πρῶτον, καὶ ἐπὶ τὰ ἑξῆς κακοῦ σημαίνει. Ἀρξεῦμαι λυκαῦ, ἀντὶ τοῦ ἔρξομαι. ὀρξῶ, ἀρξεῦμαι, ἀρξεῦμαι. Ἄρξιφος, ὁ αὐτὸς, παρὰ πέρσαις. Ἀρπάλης, ἀσώτως, καὶ ἀπλήστως. Ἀρπαλιακὸν νόμισμα, ὃ χρῶνται αἰγύπτιοι, ἀπὸ ἀρπάλου. Ἀρσὶς, κώμη παλαιὰ τῆς ἀλαίας. νῦν δὲ πόλις ἡ καλουμένη πάτρα. ἀρεία τρίκορυς ἐκαλεῖται. Ἀρσινες, ἐπωχὲς ἀπολλώνιον, παρὰ τὸ ἱερὸν προκρατιν. Ἀρσίμεθα, ἀπογευσόμεθα. Ἄρσιο, λαῦοιο, ἀπολύοιο. Ἄρσμα μὲν, τὸ ἀρμοζόμενον, διὰ τοῦ ο μικροῦ. ἄρωμα δὲ, διὰ τοῦ ω μεγάλου τὸ μυρεψικόν. καὶ ἀρώσιμον κλῆμα, τὸ ἀροτριούμενον. Ἀρέμασι, ἀνθρωπικόν. Ἀρσιον, ποιητικὸν οὕτω ὁ τρόπος τῶν ὀνομάτων, ἀποβάλλων τὸ ὑποστατικὸν φωνῆεν διφθόγγου παραλλάσσει, καὶ προστίθησι τὴν μὲν συλλαβὴν, εἶτα καὶ τὴν αὐτὴν διφθόγγου μεταφέρει. δεῖ γὰρ ἐκ τῶν ἀπαρεμφάτων διφθόγγον εἶναι τὴν λήγουσαν. οὕτω γάρ ἐστι σύνηθες αὐτῷ, καὶ ἀπαρεμφατικόν.

Ἄρον, τριβόλιον μέγα, ἢ βοτάνης ῥίζα. Ἄρον. ἄρω. ὁ μέλλων ἀρῶ ὁ ἀόριστος, ἦρα ἦρας ἦρε. καὶ τὸ προστακτικὸν, ἆρον.

Ἀρνεῖσθαι παρὰ τὸ ἀρνοῦμαι ἐκβαλεῖν ἔχειν. καὶ καθ' Ὅμηρον ἀέρα [illegible], ἐπίκουρον, τετάσθαι ἐγχειρεῖν. ἄφθεγγος ἐκ φῶτα, ὀρφνόν. οἷς τὸν ἄροτρον. οἱ δὲ τοιοῦτοι, καὶ φύσει ῥαθυμοί. παραλαμβάνεται δὲ παθητικοῦ χρόνου ἄρασθαι, ἴσως δὲ, καὶ μέζον ἀορίστου δευτέρου. οὐ πρῶτος, ὁ ἠράμεθα μέγα κῦδος. Ἀροπῶσαι, πατῆσαι. κρυπτόν. Ἄρος, ὄφελος, καὶ κατ' ἄλλο ἐν οἷς ἄλλων αὐτοῖς ἐμέσων, καὶ βλάβος ἀνόητον. Ἀρόω, ἀρῶ (παρὰ τὸ ἄρω ὁ σίδηρος. σιδηρωθεὶς τέμνεται ἡ γῆ) ἀρόσω. ἡ τρίτη συζυγία τῶν περισπωμένων, εἶχεν ἔχειν τὸ ω μέγα, ἢ τὸ ο μικρόν. καὶ πάντα διὰ τοῦ ω μεγάλου, πλὴν τεσσάρων. οἷον ἀρόω, ἀρῶ ἀρόσω, ὀμῶ ὀμόσω, ὄνω ὀνόσω, καὶ βῶ βόσω, τὸ τρέφω. Ἀροτὴρ ποιητικῶς, ἀρότης κοινῶς. Ἀροτῆρες, οἱ ἀροτριῶντες. Ἀροτίζω. ἐκ τοῦ ἀρῶ τοῦ ἁρμόζω, γίνεται ἀροτίζω, καὶ συγκοπῇ, ἀρτίζω καὶ καταρτίζω, ἐκ τοῦ ἄρτιον γίνεται. Ἄροτον, τὴν ἀλκὴν τοῦ ἀνδρὸς. ἢ τὸ ἀνδρισμόν. Αἰσχύλος φρυξίν. Ἄρουρα, γῆ, χώρα, πλέθρα.

Ἀροτρεὺς, ὁ ἀροτριῶν, ἐκ τοῦ ἀρότρου. Ἄροτρον, παρὰ τὸ ἀρῶ, τὸ ἀροτριῶ ὁ μέλλων, ἀρόσω. καὶ ἐξ αὐτοῦ ἄροτρον. Ἀροτὺς, ὑπεροτὺς. Σοφοκλῆς τραχινίαις. Ἀροῦ, ἐπίφθεγμα ναυτικόν.

Ἀροῦν ἀττικοί, οὐκ ἀροτριᾶν, καὶ ἀροτριῶ τὸ χωρίον, οἰκοδομῶ. Ἄρουρα ἡ γῆ, κυρίως ἡ ἀροτριωμένη. ἢ ἡ πρὸς σπορὰν ἐπιτήδειος. παρὰ τὸ ἀρῶ, ἀρόσω, ἀρουρα. καὶ ἄρουρα κατὰ μετάθεσιν, βροτοὶ οἳ ἀρούρης καρπὸν ἔδουσιν. Ἀρουραία θεὸς, ἡ σοφοκλέους τραγῳδίαν εὑρίσκει, τὴν μητέρα αὐτοῦ λαχοῦσαν ἐπὶ τούτῳ, ὃν ἀρουραίαν θεὰν ὠνόμασεν. Ἀρουραῖοι μῦες, οἱ κατὰ ἀγροὺς, καὶ οἱ ἐργάται. ἤδη δὲ καὶ βίος ἀρουραῖος, ὁ ἀρουραῖος γεωργικὸς καὶ ἀρουραῖος οἰνόμαος. Δημοσθένης Αἰσχίνην οὕτως ἔσκωψεν. ὅτι κατὰ τὴν χώραν περιήει, ὑποκρινόμενος Σοφοκλέους ὑποκριτὴς οἰνόμαον. Ἄρουρας, γῆς ἀροσίμους χωρίων, ἢ ἀγρούς.

Ἀρύσασθαι, ὑφ' ὧν ἀντλοῦσι. καὶ ἀρυστῆρες, ἐπὶ οἴνου λέγεται. ἐπὶ τὸ παλαιὸν ἐκ τρυγὸς ἔλαιον λαμβάνων, καὶ τὸ τέτταρον οἴνου. Ἀρύχεται, γλίχεται, ἐπιθυμεῖ. Ἀρύωσι παρ' Ὁμήρῳ, ἴσως δευτέρας εἶναι συζυγίας τῶν περισπωμένων, ἐκ δὲ τοῦ κατὰ διάστασιν, εἶπεν ἰχθύσιν ἀρύσωσιν. Ἀρύσις, ὀροφήνισις. Ἁρπάγδην, ἀπὸ τοῦ ἁρπάζειν. ὡς φορβάδην, ἀπὸ τοῦ φέρειν. καὶ ἀΐγδην, ἀπὸ τοῦ ἀΐσσειν. Ἁρπαγὴ μὲν κυρίως, ἡ μετὰ βίας ἀφαίρεσις. ἅρπαγμα δὲ, ξυλὸν ἢ ἄγκιστρον. ἔστι δὲ σκεῦος ἔχον ὀγκίνους, ᾧ τοὺς κάδους ἀνασπῶσιν ἐκ τῶν φρεάτων. καὶ ὁ λύκος. Ἁρπαγὴ τὰ Κόρινθα, παροιμία. διὰ οὗτος πρεσβευτικὸς ὤν, καὶ μηνύσας εἰς συλλογὴν εὐπορίας ἐπελεύσατο, ἐπὶ τὰ ὄντα προῦθηκεν εἰς ἁρπαγήν. Ἁρπάζω, κυριολεκτεῖται ἐπὶ λεόντων, καὶ κυνῶν, καὶ λύκων, καὶ τῶν τοιούτων. ἁρπάζω λέγεται, καὶ τὸ βιαίως λαμβάνω, μὴ βουλομένου δηλονότι τοῦ ἀφαιρουμένου. καὶ ἁρπάζω, τὸ ὀξέως ἐλθεῖν. ἁρπάζω, διαρπάζω, ἐξαρπάζω, ἀναρπάζω συντάσσεται. Ἁρπακτῆρες, ποιητικὴ φίλη λέξις, καὶ καὶ τὸ φυλακτῆρες. καὶ τὸ πρακτὴρ, καὶ ῥέκτηρ, καὶ θηρατήρ. Ἁρπαλέος, ὁ ἐπιθυμητικός. καὶ ἁρπαλέα χρήματα. Ἁρπαλίσαι, ἐπιλῦσαι. Ἁρπαλέως, ἁρπαλικῶς, ἀσμένως, ἡδέως, προσφιλῶς, ἐπιθυμητικῶς. καὶ περὶ λόγων ἁρπαλέων, τῶν ἐπιθυμητῶν. Ἁρπαλίζομαι, ἀσμένως δέχομαι. Ἁρπάλιμα, ἁρπακτὰ, προσφιλῆ. Ἁρπάναι, καθαρμοὶ βοτανῶν. Ἅρπασος, ποταμὸς Καρίας, πρότερον Λαφρεὺς καλούμενος. εἴρηται δὲ διὰ τὸ ὀξύτατον τοῦ ῥεῦ, καὶ ὅτι ἁρπάζει τοὺς πλησιάζοντας αὐτῷ. οὕτως ἱστορεῖ Ἀπολλώνιος.

Ἁρπασὸν καὶ σφαῖρα, εἶδος παιδιᾶς. Ἁρπεδίζειν, ὁμαλίζειν, ἐδαφίζειν. Ἁρπεδόνια, ἡ ἄγαν παλαιὰ, κατὰ συγκοπὴν, παρὰ τὸ ἀεὶ συγκειμένη. πέπονθε δὲ, ἵνα μὴ σημαίνηται ἡ ἄγαν ὁμαλὴ ὁδός. δεῖ γὰρ ἐπὶ ἐπίθετον. πέπονθε δὲ, ὁμοίως τῷ ἐρέθιζε αἰολικῶς. ἐρέθιζε γὰρ, ἡ μεγάλη θύρα.

Ἁρπεδόνη, ἡ τῶν ἁμαξῶν ἀσφαλὴς σύγχυσις. ἢ ἡ διὰ σπάρτων θύρα. Ἁρπεδόνες, τὰ χοινία. Ἁρπεδονίζειν, λωποδυτεῖν, καὶ διὰ σπάρτων θηρᾶν. Ἁρπίζας, τοὺς αἱμασιώδεις τόπους. οἱ δὲ τείχη, καὶ περιβόλους. οἱ δὲ, τὰ κληματώδη χωρία. Ἅρπιζον, τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον.

Ἁρπὶν, ἀκόμιστον, ὃ ἦν ἐκτῖνον, κρυπτόν. Ἅρπη, ἡ ὀικτῖνος. ὁ ζῷον ἄλλο αἰγιαλῶν. ὁ εἰς ὕψος αἴρων, εὐχερὴς ἐπιθέσει κατάλληλον. οἱ δὲ, ζῷον θαλάσσιον λάρῳ παρόμοιον. φιλεῖ δὲ τροφῶν συνάγειν καὶ φυλάσσειν ἐπὶ τοῖς καρφίοις, εἰς χορηγίαν διὸ νεοσσοῖς. τούνεκα δέ φασι τὴν μεγαλοπρέπειαν. ἡ ἅρπη, εἶδος ὄρνεως. ἢ ἅρπυια ὁμοίως. ἢ αἱ ἅρπυιαι ἅρπυιαι λέγονται. ὀνόματα θηλειῶν πετεινῶν δαιμόνων. Λυκόφρων δὲ λέγει τὰς ἁρπυίας, ἁρπυιογόνους. οἷον ὀρνιθογόνους. περὶ αὐτῶν δὲ φασὶ τὰ δὲ κάτω μέρη ὀρνίθων ἔχουσαι, ὡς αἱ μοῦσαι νικῶσαι μελῳδίᾳ, τοῖς πτεροῖς ἐκείνων ἐστεφανώθησαν. πλὴν περὶ ἰχθύας, ὅτε μόνας ἦν σειρήνων. περὶ δὲ Κρήτην ταῦτα γενόμενα. ὅθεν καὶ πόλις ἄπτερα τῆς Κρήτης, παρὰ τὸ ἐκεῖ τὰ πτερὰ νικηθείσας ἀποβαλεῖν τὰς σειρῆνας. ὥσπερ δὲ ὡς ἔφαμεν αἱ σειρῆνες, τὰ κάτω μέρη ὀρνίθων ἔχουσαι, τὰ δὲ ἄνω ἀνθρώπων, εἰκοῦσαι περὶ τὴν τερψιν. καὶ ἅρπη ἐστὶ, εἶδος δρεπάνης, παρὰ τὸ ἁρπάζειν. Ἅρπην περὶ Κρόνου Λυκόφρων λέγει τὴν φωνήν ποτον, τὴν κίρκυραν λεγομένην. ἐν ᾗ ἦν κεχωσμένον τὸ δρέπανον, ἐν ᾧ ὁ Ζεὺς Κρόνον ἐξέτεμεν. ἢ ὅτι ἐκεῖ τὸ δρέπανον ἡ Δημήτηρ ἔκρυψεν παρ' Ἡρακλέους, πρὸς τὸ τέμνειν τοὺς στάχυας. καὶ οὕτως μὲν ἡ κίρκυρα δρέπανον λέγεται. ἔστι δὲ καὶ σικελικὸν χωρίον, δρέπανον λεγόμενον. ἀπὸ τοῦ κεκρύφθαι ἐκεῖ τὸ δρέπανον, μεθ' οὗ ὁ Κρόνος ἀπέτεμε τὰ παιδογόνα. Ἅρπιζον, τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον ἄνευ πηλοῦ, παρὰ Ἡροδότῳ. ὃ ἡμεῖς ἄπαζον καλοῦσιν. Ἁρπὶξ, εἶδος ἀκάνθης, κυπρίοι.

Ἀρπὶς, καὶ κρηπίδες, τὰ ὑποδήματα, ἃ δὴ καὶ κρηπίδας καλοῦσι, καὶ ῥαπίδας. παλλομένου δὲ τὰ ὑποδήματα. καὶ κατὰ μετάθεσιν, κρηπῖδες. Ἄρπισος, ὁ φοῖνιξ, καὶ ἀρπίαλος.

Ἄρπισαι, αἱμασιαὶ, ἢ τάφροι. Ἄρπυια, ἁρπαγὴ ἢ διὰ τάχους. Ἅρπυιαι, αἱ τῶν ἀνέμων συστροφαί, θύελλαι. καὶ ἅρπυιαι μυθικῶς, δαίμονές τινες, ἀελλώ καὶ ὠκυπέτη καὶ κελαινώ,

ἀντὶ τοῦ ἀρτίως, ἡσυχῆ, ἐξαίφνης, προσφάτως. Ἁρμονία, ἡ μελῳδία, συμφωνία. καὶ ἁρμονία, ἡ θέσις. ὡς ἐν τῷ συνάγειν τὰ μέρη ἁρμόζεται, ἢ συνισταται εἰς ἓν συνιέναι, ἤγουν συμβαίνειν. ὅθεν καὶ συνηρμοσθαι λέγεται ἡ αὐτή, ἀπὸ τοῦ συνίημι. ὡς ἀπὸ τοῦ συμβαίνειν σύμβασις, καὶ συμβίβασις. φησὶ γοῦν Ἀχιλλεὺς παρὰ τῷ ποιητῇ, μή μοι συνημοσύνας ἀγόρευε. δηλῶν ὡς ταύτην ἁρμονίαν τε καὶ συνημοσύνην, ὅ ἐστι συνθήκας, ἃς Ἀνδρομάχου συνθεσίας φησί. ἢ ἁρμονίαν λέγομεν τὴν τῶν ποιημάτων σύνθεσιν. καὶ ἁρμονία, νύμφη, παῖς. ἣν καὶ Ἄρεος Ἀμαζόνων εἶναί φησι Φερεκύδης, ὡς ἱστορεῖ Ἀπολλώνιος. Ἁρμονίαι πλείονες, Λύδιος, Λύδιος, Φρύγιος. ἁρμονία λυσικὴ ἥρμοσαι παρὰ Πινδάρῳ, ἡ λύρα. Ἁρμονιάων, ἁρμονιῶν. Ἁρμονίας, συζεύξεως. Ἁρμός, παρὰ τὸ ἄρω, ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος ἦρκα. ὁ παθητικὸς, ἦρμαι. ἁρμός, τὸ δλασιῖον προσαλθούσης. ὡς εἴρω, ἁρμός. ἁρμὸς δὲ, ἡ ἁρμογὴ καὶ συνάφεια. καὶ ἁρμός, σχισμή, συνθήκη, φιλία. Ἁρμοσταί, οἱ ἀπὸ βασιλέως πεμπόμενοι εἰς ἔθνη. ἢ ἁρμοσταί, οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι. ὡς Ἐρατοσθένης ἐν τοῖς περὶ ἀγαθῶν καὶ κακῶν φησί, καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Ἁρμόσυνοι, ἀρχή τις ἐν Λακεδαίμονι, ἐπὶ τῆς εὐκοσμίας τῶν γυναικῶν. Ἁρμόττω, ἀπὸ τοῦ ἁρμόζω λέγεται ἁρμόζω, ἀντὶ τοῦ ἁρμόδιός εἰμι. ἁρμόζω δὲ ξύλον ξύλῳ, ἀντὶ τοῦ εἰς ἁρμονίαν συνάπτω. Ἁρμόματα, ἀρτύματα. Ἁρμυλα, ὑποδήματα, κόθορνοι. Ἁρμοῖ, σημαίνει τὸ ἀρτίως. Ἁρμόττοντες, συνετῶς, κόσμιοι. Ἄρμαλα, ἀρτύματα. ἀρμαλεῖον, καὶ ἁρμάμαλα. Ἁρμῶν, ἁρμονιῶν. Ἀρναῖος παρ' Ὁμήρῳ, ὃ ὁ εὔκταῖος μητρί, τῇ καὶ θεμένῃ αὐτῷ τοὔνομα. ὡς ἀπὸ τοῦ ἀρὰ ἡ εὐχή, πλεονασμῷ τοῦ ν, πρὸς Αἰολικὴν τοῦ ἐπιθετικοῦ ἀραῖος. ἢ βοσκηματώδης, καὶ προβατώδης, κατὰ τὸ ἦθος. ἢ παρὰ τὸ ἄρνυσθαι, καὶ ἀντιλαμβάνειν, καὶ ἐντεῦθεν ζῆν.

Ἀρναῖος λέγεται, τὸ τοῦ ἀρνὸς κώδιον, καὶ τὸ μετὰ τοῦ ἐρίου δέρμα. Ἄρναν, τὴν ὄρνιν, κλαζομένιοι. ὅθεν καὶ τὸ ἔρνιθος.

Ἄρνα προβάλλειν. νόμος ἦν Ἀθήνησι μὴ πρότερον συμβάλλειν, πρὶν ἢ τὴν ἄρνα προσκύνησαν τις, λαβὼν τοῦ πολεμίου. Ἄρνα σιν, τὴν ἄρνα. Ἄρνεα, πρόβατα. Ἄρνε δύο φέρετε, ἕτερον μὲν λευκόν, ἑτέραν δὲ μέλαιναν, παρ' Ὁμήρῳ, εἰς θυσίαν γῇ τε καὶ ἡλίῳ, τῷ μὲν τὸν λευκόν, τῇ δὲ τὴν μέλαιναν. οὐ μόνον κατὰ ὁμοιότητα τοῦ χρώματος, ἀλλὰ καὶ ἐναντιότητος. ἄρρεν μὲν γὰρ θύεται ἡλίῳ, ὡς οἷον ἀνδρί. ἐν ἑτέρῳ δὲ γενεᾷ, ἤγουν ἐν τῇ γῇ, ὡς οἷα γυνή. καὶ θῆλυ δὲ τῇ γῇ, ὡς οἷα μητρὶ τῆς ἐξ αὐτῆς καὶ ἡλίου. οἱ δὲ ἕτερον λευκόν, ἑτέραν δὲ μέλαιναν. ἐπὶ δὲ τοῦ τρίτου ἄλλως εἶπον.

Ἀρνεῖα, τὰ ἀρνειοπόλια τῶν προβάτων. Ἀρνειὸς ὁ ἐξ ἐτῶν, τὸ ζῶον. ἀρνεῖος δὲ μῶν, προσηβεστερισμένος. ἴσθι, ὅτι ἀρνειὸς θύεται ποσειδῶνι, διὰ τὸ ὅμοιον τῆς θαλάσσης, ὅτι ἀφρῶδες γαλήνην. ταῦρος, διὰ τὸ τῆς κατὰ σφοδρότητα κινήσεως πλευμαῖον. ὗς δὲ, διὰ τὸ μυκητικόν, καὶ διὰ τὰς ἐν τῷ ὕδατι καμπὰς δίκην κριάτων. κάπρος δὲ, διὰ τὸ τοῦ ὑγροῦ γόνιμον. σπερματικὸν γὰρ ὁ ἄρρην κάπρος. ὅθεν καὶ καπρᾶν, τὸ οὕτως ὀρέγεσθαι. ἢ καπρῷζειν. ἐὰν σημειῶσαι, ὅτι ὥσπερ ὁ τράγος ὄνομά ἐστιν ἄρρενος αἰγός, οὕτω καὶ ὁ ἀρνειὸς προβάτου τοῦ ἄρρενος. ἴσως ἐν ὠτηνοῖς λέξεσι, λέγει ἄρνα, εἶτα ἀμνόν, εἶτα ἀρνειόν, εἶτα λέξει γάμον. ἐλέγετο δὲ ἢ μοχίον, ὁ φυτευτὴς κριός. ἴσθι δὲ, καὶ ὅτι οὐ μόνον ἐπὶ προβάτου λαμβάνεται, ἀλλὰ κυρίως ἔτι ἐλέγοντο λαγηνόμενοι, οἱ μηκέτι διὰ τοῦ ὀδόντων γνωσθῆναι δυνάμενοι. γνώμων γὰρ ὀδούς, ἀφ' οὗ ἡ ἡλικία γνωρίζεται πώλου τε, καὶ μόσχου. ἐν οἷς ἄβολος, ὁ μηδέπω ἐκβεβληκὼς τοὺς ὀδόντας. καὶ ἀρνειός, οὐ τὸ ἀρνίον, ἀλλὰ ὁ τέλειος ἤδη κριός. καὶ δῆλον ἐκ τοῦ τὴν ὀδύσσειαν σύμβασις. ἐκεῖνος γὰρ ἀρνειός, ὃν κριὸς πίτυον ὑπὸ τοῦ κύκλωπος προσφωνεῖσθαι. γίνεται δὲ ἀπὸ τοῦ ἀρνός, ὁ ἀρνειός. ὁμοίως τῷ ἀδελφειός, καὶ ἀρνειός, σκυλχεός, καὶ τοῖς ὁμοίοις.

Ἄρνυσθαι, ἀπὸ τοῦ αἴρειν τὰς χεῖρας. παρὰ τὸ αἴρω, ἀρῶ. καὶ πλεονασμῷ τοῦ ν, ἀρνῶ. Ἀρνεῖται, καὶ ὁ λέγων μὴ πεποιηκέναι τὸ δέον, ἀρνεῖται καὶ ὁ μὴ θέλων ποιῆσαι τὸ δέον. οἷον λυσσώμενος δεηθῆναι. ὁ δὲ ἀρνεῖν κονοχίζειν, ἀντὶ τοῦ ἀπαγορεύειν. Ἄρνες, οἱ καινοὶ ἀρνειοί, οἱ προέχοντες, οἱ ἐντελέστεροι δηλονότι κατὰ χρόνον. καὶ ἀρνοί, οὐ μόνον ζῶα λέγονται, ἀλλὰ καὶ ὀρνεία. ὅθεν οἱ ἀρνοὶ ἐν συνηθείᾳ. διὸ καὶ ἀρνοβοσκός, ὁ προβατοβοσκός κατὰ Γαβρίαν, ἐκ μέρους δηλαδὴ ὁ ἀρνοβοσκὸς ὁ αὐτός, φέρεται διὰ τοῦ ν. Ἀρνευτήρ, ὁ κυβιστητὴρ εἴρηται μεταφορικῶς, ἀπὸ τῶν ἀρνῶν, οἳ εἰώθασιν ἐπὶ κεφαλὴν ἅλλεσθαι, ὥσπερ ἐν αἶγα κυβιστῶντες. Ἀρνευτῆρες δύται, οἱ δύοντες. Ἀρνίων, ὄρνεον βασίλειον. Ἄρνη, νύμφη, ἡ τροφὸς Ποσειδῶνος. λέγεται δὲ Ἄρνη, καὶ ἡ νύμφη σπήλαιον λαθουμένη. ὅτι τὸν Ποσειδῶνα λαβοῦσα παρὰ τῆς ῥέας ἐκτρέφειν, πρὸς τὸν Κρόνον ζητοῦντα ἀρνήσατο, καὶ ἐντεῦθεν Ἄρνη ὠνομάσθη. Ἄλλως. Ἄρνη, πόλις Βοιωτίας. ἔστι δὲ καὶ Θεσσαλίας. ἡ Ἄρνη, ὁμώνυμός ἐστι τῇ ἄρνη. αὕτη δὲ ἀπὸ περιουσιασμοῦ ἀρνῶν, ἔοικεν ὑπὸ τοῦ πατρὸς Ἄρνη κληθῆναι. καθάπερ αὐτὴ παῖδα ὑπὸ Ποσειδῶνος τεκοῦσα, Βοιωτὸν ἐκ τοῦ βοῶν ἐκάλεσε. φησὶ γοῦν Εὐφορίων, Βοιωτὸν δ' ὀνόμηνε, τὸ γὰρ καλέσσατο γενεῦ, ὅτι ῥα πατρῷοι βοῶν ἀπεβάλλετο κόπροις. ὡς οὖν ὁ υἱὸς αὐτῆς ἐκλήθη Βοιωτὸς ἐκ τοῦ βοῶν, οὕτω καὶ αὐτὴ ὡς εἰκὸς Ἄρνη ἐκ παρωνυμίας ἀρνῶν ζώων φιλοτιμίᾳ τῆς παλαιοῖς. ἐπεὶ καὶ Θεσσαλικὴ ἄποικος Βοιωτίας, περὶ ἧς ἐγράφη οὕτως. Ἄρνη Χαιρώνεια μέσον Βοιώτιον ἄνδρα. τὰ δὲ Χαλκὶς ἐκέλευσε, καὶ ὅτι Ἄρνη τὴν Χαιρώνειαν, καὶ ὅτι ἦν καὶ ἑτέρα πόλις Ἀχαΐας. ὁ δὲ παρ' ἑτέροις λεοντάρην, κώμη καὶ αὐτὴ περὶ τὴν Ἑλικῶνα ἡ κρίνα, κληθεῖσα οὕτως. διὰ τὸ ἀθρόας ἐν αὐτῇ φασὶν ἐκεῖ, δίκην τὴν ἄρνην ὤρχησεν. τὴν παρ' Ὁμήρῳ Ἄρνην πολυστάφυλον, Ζηνόδοτος Ἄσκρην γράφει. οὐ δύναται δέ φασι πολυστάφυλος Ἄσκρη λέγεσθαι. ἀξιοπιστότερος γὰρ αὐτῆς Ἡσίοδος λέγων, Ἄσκρῃ χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ. φασὶ δὲ καὶ τῶν ἐμπειρικῶν ταύτην Ἄρνην ὑπὸ τοῦ κοπτιδίου λίμνης καταποθῆναι, ἢ τὴν Μίδειαν. Μίδεια δὲ οὐ μόνον αὕτη, ἀλλὰ καὶ Ἀργεία, ἡ καὶ πόλις Ἀργείας, κληθεῖσα οὕτως, ἀπὸ Μιδείας θυγατρὸς Ἀλκαίου. λεγομένη καὶ Μίδεα χωρὶς τοῦ ι, ὅθεν καὶ Μιδεᾶτις Ἀλκμήνη. φασὶ δὲ, ὅτι ἡ μὲν Βοιωτικὴ Μίδεια, λέγεται προπαροξυτόνως, ὡς προέκειται. ἡ δὲ περὶ Τίρυνθα, Μιδέα ὡς τελέα. Ἀρνικόν, χρώματος εἶδος χλωρόν, ὅπερ ἡμεῖς ἀρσενικὸν λέγομεν. Ἀρνίον, πρόβατον, ἀμνός. Ἀρνόγλωσσον, βοτάνη τις. Ἀρνοφίλ, ὁ μετὰ τοῦ ἀρνὸς κομιζόμενος ἄρνος. Ἀρνόφυλλον, κότινον. ἔστι δὲ πόα ἐν σαμ... τῶν λίθων. Ἀρνοῦμαι, ἀχθοῦμαι, ἀπαιτοῦμαι. Ἀρνοῦν, ἀγωνίζεσθαι, ἐπὶ σφρηγοῦν. Ἀρνύμεθα, ἀντὶ τοῦ καταλλασσόμεθα. ἐπειδὴ διὰ τοῦ ἀρνῶν καὶ τοῦ ἄλλων ζώων, τὰς ἀμοιβὰς ἐποιοῦντο οἱ ἀρχαῖοι. ὅθεν ἀρνύμενος, ἀντικαταλλασσόμενος. σημαίνει δὲ καὶ τὸ φυόμενον, ἢ φυλαττόμενον, ἢ τυγχάνειν, ἢ τὸ ἀντιλαμβάνειν ἢ τὸ περιποιεῖσθαι. Ἀρνύμενοι, ἀπὸ τοῦ αἴρω, ἄρνυμαι, τὸ λαμβάνω. ἀφ' οὗ ἡ μετοχὴ ἀρνύμενος. Ἀρνύμενος μέγα κλέος, ἤγουν ἀντικαταλλασσόμενος. ἔστι δὲ τὸ ἀρνύμενος κλέος ὅμοιον, τῷ τιμὴν ἀρνύμενοι Μενελάῳ. ἐκεῖ μὲν οἱ κλέος τῶν τιμῶν ἐθέλουσι τοὺς νεῖν, ἀλλὰ τῶν ποιῶν, ὡς ἐκ τοῦ τίω τὸ τιμωρῶ. Ὁ ἀρνύμενος ἥν τε ψυχήν, ἤγουν τὴν ἰδίαν. ὅ ἐστιν ἀντικαταλλασσόμενος, ἀπὸ μέρους εἰληφότος τῶν παλαιῶν ποτε μεσιτευόντων ζώων τοῖς συναλλάγμασι, τὸ δοῦναι ἀπὸ τῶν ἀρνῶν ἑτέρους ἀλλήλους τῶν τετρηχέδων. καὶ ἔστι κυρίως μὲν ἄρνυσθαι, τὸ ἄρνας διδόντα ὡς ἐν καταλλαγῇ ἀντιλαμβάνειν τι ἕτερον χρήσιμον. καταχρηστικῶς δὲ, καὶ τὸ ἁπλῶς ἀντικαταλλάσσεσθαι. καὶ ἄρνυσθαι, σημαίνει τὸ ἀντικαταλλάττεσθαι. Ἄρνυται, λαμβάνει, ἀντικαταλλάσσεται. Ἀρνωτής, εὔπορος, ὠνητής. Ἀρνωδοί, οἱ ῥαψῳδοί, διὰ τὸ ἄρνα λαμβάνειν. Ἀρνῶν, παρ' Ὁμήρῳ κατὰ τοὺς παλαιούς, οὐκ ἀπὸ

μετονυ-

χωρὶς ἐπεισάκτου τροφῆς. ἄρκος δὲ, ὅτι ἀπὸ τῆς ἄρκου ἐγίνετο. Ἀρκτοῦρος, καὶ ὁ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος λαμπρὸς ἀστὴρ, ἀπὸ τοῦ κατὰ τὴν οὐρὰν τῆς ἄρκτου. Ἀρκούντως: ἱκανῶς, καὶ μετρίως ἱκανῶς λέγομεν. καὶ ἀποχρώντως, ἱκανῶς, αὐταρκῶς, μεμετρημένως. τὸ δὲ ἀμέτρως λέγειν, εἰ μὲν κατὰ τὸ πλέον, ἀμέτρως, καὶ ὑπερμέτρως, καὶ περιττῶς. εἰ δὲ κατὰ τὸ ἔλαττον, ἐνδεῶς, ἐλλιπῶς, ἐλαττόνως. Ἀρκτεία, ἡ τῶν ἀρκτευομένων παρθένων τελετή. Ἀρκτέον, δεῖ ἄρχεσθαι, ἢ ἄξιον ἀρχὴν λαμβάνειν τὸ πρᾶγμα. ἔστι γὰρ ὄνομα ἐπίθετον, ἀλλ᾽ οὐκ ἐπίῤῥημα. τὰ γὰρ οὕτω προφερόμενα ἐπιῤῥήματα ἐστὶ γονικὴν ἔχει τὴν σημασίαν, τὰ δὲ ὀνόματα παθητικήν. Ἀρκτεῦσαι. Λυσίας ἐν τῷ ὑπὲρ φρυνίχου θυγατρὸς (εἰ γνήσιος) τὸ καθιερωθῆναι πρὸς γάμον τὰς παρθένους τῇ ἀρτέμιδι τῇ μουνυχίᾳ, ἢ τῇ βραυρωνίᾳ. τὰ δὲ συμπίπτοντα εἰς τὸ προκείμενον, εἴρηται παρά τε ἄλλοις καὶ Κρατίνῳ, ἐν δὶς φερομένοις. ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται, Εὐριπίδης ὑψιπύλη, καὶ Ἀριστοφάνης λημνίαις καὶ λυσιστράτῃ.

Ἀρκτοῦ, ἡ τῆς ἄρκτου δορά. Ἄρκτου ὄρος, κυρίως οὕτω λεγόμενον. ἐνταῦθά φασι τὰς τροφοὺς τοῦ Διὸς ὑπὸ Διονυσίου εἰς ἄρκτους μεταβληθῆναι. ἢ ὅτι ὁ τόπος ὑλώδης, καὶ ἀπὸ τοῦ θηρὸς τοῦ ἄρκτου ἐπωνομάσθη. ἢ διὰ τὸ ὑψηλὸν τοῦ ὄρους, ἀπὸ τοῦ πλησίον ταῖς ἄρκτοις προσπελάζειν ταῖς οὐρανίαις. νῦν δὲ ἀρχαίως καλεῖται ὄνομα. Ἄρκτος. ὅτι λόγος ἐστὶ, καλλιστὼ τὴν λυκάονος χόλῳ ἥρας διὰ τὸν Διὸς ἔρωτα, μετασχηματισθῆναι εἰς ἄρκτον. καὶ θηρευθῆναι μὲν ὑπὸ ἀρτέμιδος, ἀναχθῆναι δὲ εἰς οὐρανὸν ὑπὸ τοῦ Διός. ἔχουσι δὲ καὶ περὶ αὐτῆς τὸ ἀρκτῷον, οἱ τὰ ἄστρα ὑπομνηματίσαντες. ἕτερον δὲ, καὶ ἐπεὶ ἄρκτον ὁ μῦθος κατὰ ζωογονίαν τὸ τῆς καλλιστοῦς ὄνομα ἀποφοιτήσαντα. ὁ δὲ ὄρειον, κυνηγέτης ὑπάρχων, καταλιπὼν ἐν τῷ οὐρανῷ ἑαυτοῦ γένεσιν, καὶ τὸν ὠρίωνα λέγουσιν. ἀληθῶς μὲν, διότι τὴν κίνησιν ἡ ἄρκτος ὑπὸ ὠρίωνι ποιεῖται. ἀσαφῶς δὲ, ὡς πρὸς τὸν μῦθον. διότι ἀλλήλοις ἄρκτος τὴν κυνηγέτιν, ἢ διὰ τὸ πρὸς τὸν τοῦ ὠρίωνος ἀπονεύειν ἄστρον. λέγεται δὲ καὶ κύριον μὲν αὐτῆς εἶναι τὸ ἄρκτος, διὰ τὴν τοῦ μύθου ἱστορίαν. ἡ ὡς αὐτὴν εἰς ἄρκτον κατηστερισμένην. ἐπίκλησιν δὲ τὸ ἅμαξα διὰ ὁμοιότητα τῆς τῶν ἁμαξοειδῶς αὐτὴν συμπληρούντων ἀστέρων θέσεως. ἡ δὲ ἄρκτος, διὰ μετὰ τοῦ τ λέγεται, δηλοῖ ὁ γράφων οὕτω ἄρκτον, οὐχὶ ἄρκον. τὴν μὲν ἄπερ ἄνευ τοῦ τ ἀκηδίαν, διὰ τὸ ἐξαρκεῖν, καὶ τὴν ἱκανὴν τροφὴν ἄρκον. τίς ὁ καὶ φέρει ὁ μεσόγειος χθόνιον ταύτην. Καὶ μὴν πελάζει καὶ κατακτεῖναι τοῦ ἄρκτου, ὡς κάτεισιν ἀσινέσι μολεῖν. τὸ δὲ ἅμαξα, οἱ παλαιοὶ μὲν ψιλοῦσι, ἢ φέρεται ἢ συναλοιφαὶ τῶν δηλοῦσαι, οἷον, τὰ λίθοις ἐπάμαξαν, ἢ αἱ δ᾽ ἐξ ἁμαξιτὸν, ἢ κατημαξευόμενον. οἱ μέν τε νεώτεροι ἀττικοὶ, ἐδάσυναν. ἢ διὰ Ἀσιανὸν συνήλειψαν, καθημαξευόμενα εἰπόντες, ὥς φασιν οἱ παλαιοί. ἢ ἄρκτος τὸ ζῶον, καὶ τὸ οὐράνιον ἄστρον ἀρσενικῶς. Ἀρκτοῦρος, ὁ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος λαμπρὸς ἀστὴρ, ἀπὸ τοῦ κατὰ τὴν οὐρὰν ἄρκτου. ἔστι δὲ τοῦτο βοώτης, καὶ ὅλος ὁ βοώτης. Ἀρκτῷος τόπος, ἐν ᾧ αἱ ἑπτὰ ἀστέρες. καὶ ἀρκτῴων τόπων, τῶν βορείων. Ἄρκυα, δίκτυα, λίνα. Ἀρκύδες, δίκτυα πρὸς θήραν, θηρατικά. Ἀρκύσματα, ἀπάτη, ὑπὸ περιπλοκῶν. Ἄρβυλα, μεσόγειον καὶ γυναικεῖον ὑπόδημα. Ἄρκυς κυρίως, δίκτυον πρὸς ἄρκτων θήραν ἐπιτήδειον. καὶ ἀρκυωρεῖσθαι, τὸ φυλάσσειν τὰς ἄρκυς. Ἀρκύωρος, ὁ τὰς ἄρκυς φυλάσσων. ἄρκυς δὲ, πάντα τὰ θηρευτικὰ λίνα. Ξενοφῶν κυνηγετικῷ. Ἀρκύστατα, οἱ τόποι ἔνθα αἱ ἄρκυες πήγνυνται. Ἀρβηλῶς, ἀρκετῶς, ἱκανῶς. Ἀρκῶ, τὸ βοηθῶ, ἀρκέσω, ἄρκεσις. καὶ ἀρκῶ, τὸ ἀρκεῖν πᾶσι. καὶ ἀρκῶ, ἀντὶ τοῦ ἱκανός εἰμι. καὶ ἀρκεῖ μοι τόδε τὸ πρᾶγμα, ἀντὶ τοῦ ἱκανόν ἐστιν. ἐκ δὲ τοῦ, τὸ βοηθῶ τὴν χρείαν ἔχουσιν, ἀρκετὰ λέγομεν. καὶ ἀπαρκῶ, τὸ ἀποβοηθῶ. Ἅρμα, κώμη τῆς ταναγρικῆς μυκαλησσοῦ. καὶ δῆμος ἔχον φρούριον ὀχυρὸν, ὅμορον φασὶ τῇ ταναγρικῇ. οὗ ὁ πολύ-

τος, ἁρματεύς. ἐκλήθη δέ φασιν οὕτως, ἢ διότι ἐκεῖ κατεπόθη τὸ τοῦ ἀμφιάρεω ἅρμα, ἢ ἀπὸ τοῦ ἅρματος ἀμφιάρεω, καταφυγόντος ἐκεῖ, καὶ μὴ ἐκλυθέντος ὑπὸ διώκοντος. ἐκαλεῖτο ἀπὸ τοῦ αὐτοῦ καὶ λόφος ἀμφιαράειον. ἔστι δέ φασι καὶ τῆς ἀττικῆς τόπος ἐν πάρνηθι ἅρμα καλούμενος, κείμενος περὶ τὴν οὕτω καλουμένην φυλήν. τὸ δὲ παροιμιῶδες τὸ ὁπόταν ἀστράψῃ διὰ ἅρματος, ἤγουν ὁπότε καὶ διὰ χρόνου ἀδήλου, τοῦ ἀττικοῦ ἅρματος μέμνηνται. οὐ μᾶλλον τοῦ βοιωτικοῦ. φασὶ δὲ καὶ ὡς ἀστραπῆς ἐπιφανείσης κατὰ τινα χρησμὸν οἱ πυθαϊσταὶ, βλέποντες ἐπὶ τὸ ἀττικὸν ἅρμα, καὶ ὅτε ἤστραψεν ἔπεμπον θυσίαν εἰς δελφούς. ἐτήρουν δὲ ἐπὶ τρεῖς μῆνας, καὶ καθ᾽ ἕκαστον μῆνα ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτας ἀπὸ τῆς ἐσχάρας τοῦ ἀστραπαίου Διός. ἢ ἅρμα ἱππικῶς, τὸ θέατρον. πληθυντικῶς δὲ καὶ παρὰ λατίνοις, τὰ ὅπλα. καὶ ἅρμα, ὄχημα, ἀγροῖκα, δίφρος, καὶ πόλις βοιωτίας. Ἁρμαθὶμ, ὄνομα τόπου. Ἁρμακίας, σοφός. Ἁρμαλιὰ, ἡ τροφὴ, παρὰ τὸ τῇ ψυχῇ ἁρμόζειν. ἀπὸ τοῦ, τὸ ἁρμόζω. ἢ παρὰ τὸ αἴρειν τὰ σώματα, γίνεται ἁρμός. ἢ ὡς καθαίρω καθαρμὸς, οὕτως αἴρω ἁρμός. ἀφ᾽ οὗ καὶ παρώνυμος ἁρμιὰ, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, γίνεται ἁρμαλιὰ, ἢ διὰ τὸ δίκην ἅρματος φέρειν τὰ σώματα. Ἁρμαλίας ὄχλος, ὁ τὴν τροφὴν τῇ στρατιᾷ ἐπιφερόμενος. ἢ τροφίτης, ἢ θρεπτικός. Ἁρμάμαξα, ἡ πρὸς αὐτὴν καθεύδειν κατεσκευασμένη ἅμαξα. οἷον, ἅρμα καὶ ἅμαξα. ἡ ἁρμάμαξα ἐστιν ἡ ἅμαξα ὑπὸ δύο βόες ἀγομένη. Ἁρμάτειον, ὅτι τὰ λεγόμενα παρ᾽ ἡμῖν ἁρμάτεια, ἑρμαῖα ὀνομάζουσι λέγεσθαι. ὡς εὗρον ἐν τοῖς χιλίοις τοῦ ἁγίου Διονυσίου, ἐν ἀρχῇ τοῦ η κεφαλαίου περὶ τῶν θείων ὀνομάτων. οἱ γὰρ ἕλληνες οἷα λέγουσι ἀνδριάντας ἐποίουν μήτε χεῖρας, μήτε πόδας ἔχοντας, οὓς δὲ ἑρμᾶς ἐκάλουν. οὗ ὑποκειμένην ἑρμάτειον. ἐποίουν δὲ αὐτοὺς λιθίνους θύρας ἔχοντας, καθάπερ θήκας ἀρχαϊκάς. καὶ ἔσωθεν αὐτῶν ἐτίθουν ἀγάλματα, ὧν ἐσέβοντο θεῶν. ἔξωθεν δὲ ἀπέκλειον τοὺς ἑρμᾶς. Ἁρματηλασία, ἡ τῶν ἁρμάτων ἐποχεία. Ἁρμάτειον μέλος παρ᾽ Εὐριπίδῃ, ἐξηγοῦνται οἱ παλαιοί. φασὶ δὲ εἶναι αὐτὸ καὶ τὸ ἐπὶ τῷ ἐλαυνομένου τοῦ ἕκτορος γινόμενον μέλος, ἀπὸ τοῦ θρηνεῖν τὸν ἀνδρα. Ἁρματηλάτης, ὁ ἡνίοχος, ἀπὸ τοῦ ἐλαύνειν τὸ ἅρμα.

Ἁρματροχιὰ, καὶ ἁρματροχιὰ, ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ. Ἁρμεύεις, οἱ εἰς ἐπικτηρίδια, ἐν κύκλῳ. Ἅρμενα, ὡς διαλεκτικῶς μὲν, ὅμως δὲ οὐκ ἀλόγως τὰ ἱστία καλεῖν.

Ἅρμενον, φιλεῖον. καὶ παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω, καὶ ἀραρῶ ἀραρόμενον, καὶ κατὰ συγκοπὴν ἅρμενον. σημαίνει καὶ τὸ ἐν τῷ πλοίῳ, καὶ τὸ ἁρμόζον, ἢ πρεπωδές. Ἁρμὴ, λευκὴ, καὶ σύνδεσμος σώματος, ἁρμονία, ἦχος τόνου, καὶ φωνῆς. Ἁρμίους, παραχρῆμα, παρὰ τῷ ἐπιχαρμῷ. Ἁρμόγαλα, τὰ αὐτόματα, τυλωτεῖναι. Ἁρμογὴ, ἡ σύνταξις. Μακεδόνες δὲ τὴν τοῦ πολεμίου ἁρμογήν. Ἁρμογλόσσιον, ἔνθα πάντα. Ἁρμόδιοι, οἰκεῖοι, συγγενεῖς, φίλοι. Ἁρμοδιωτικὸς, ὁμοίως, ἢ ἴσως λεχθέντα ἀνθρώπων. Ἁρμόδιον ἄσονται, λέγει Ἀριστοφάνης, ἐν ταῖς τῶν πατέρων συνόδοις, ἦδον τὸ μέλος ἁρμοδίου καλούμενον, οὗ ἡ ἀρχὴ, φίλτατε ἁρμόδιε οὔ τί που τέθνηκας. ᾖδον δὲ καὶ τὸ εἰς ἁρμόδιον καὶ ἀριστογείτονα, ὡς καθελόντας τὴν τῶν πεισιστρατιδῶν τυραννίδα. ὧν δὲ ἑκάτερον μέλος τὸ μὲν ἁρμόδιον λεγόμενον, τὸ δὲ λάμπωνος. Ἁρμόζει μοι διαπονεῖν, καὶ ἁρμόζει μοι διαπράξειν.

Ἁρμόζεται, συμφύεται, συνάπτεται. Ἁρμόζονται, ἀσφαλῶς. ἔστιν δὲ τὸ ὀρθῶς, κυρίως δὲ λεπτῶς. Ἁρμόζοντος, συμφωνοῦντος, συναπτομένου, ἢ κοσμοῦντος. Ἁρμοῖ, ἐπίῤῥημα ὃ δηλοῖ τὸ νυνί. δασύνεται μὲν κατὰ τοὺς παλαιούς. ἡ δὲ πλείων χρῆσις ψιλοῖ αὐτό, συμφωνοῦν ὂν κατὰ τὸ τεχνικόν. ἁρμὸς γάρ φασιν. ἁρμοῦ ἁρμῶ, ἢ συνεχῶς ἁρμοῖ κατὰ τὸ ἔξω ἐξοί, ἢ ἐνδοῖ ἐνδοῖ. σημαίνει δὲ, τὸ νυνὶ, ταχέως. ἀπὸ τοῦ ἅρμα ἁρμοῖ. ἢ Αἰσχύλος ἐν προμηθεῖ, ἁρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους. ἢ ἁρμοῖ, ἀντὶ

τεῖσθαι, τὸ ὀλιγοκρατεῖσθαι. ὅθεν ἴσως ἀριστοκράτης ἔχει τὸ ὄνομα. ἐπιβεβούλευσε γὰρ κατάλυσιν τοῦ δήμου. ὡς τὸ μισῶ ἀριστοκρατίαν, ὅτι καὶ ἀριστοκράτης κέκληται νῦν. ἀριστοκρατεῖσθαι, λέγεται παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ὀλιγαρχεῖσθαι. Ἀριστοκράτης δὲ στρατηγὸς ἦν ὃς, ἐπιβεβούλευσεν εἰς κατάλυσιν τοῦ δήμου. Ἀριστοκρατούμενοι, ὑπὸ ἀρίστων κρατούμενοι, ὁ δῆμος, ἢ ἑτέρων τινῶν καλλίστων. Ἀριστολοχία, βοτάνη τις. Ἀριστομένιον, βοτάνη.

Ἀριστοτέχνης, ὁ ἐν τῇ τέχνῃ χάριστος. Ἀριστοτόκεια, ἡ ἄριστα τεκοῦσα. Ἄριστος, μέγιστος, ἔξοχος, ἐξοχώτατος. καὶ ἄριστος ἐπὶ σώματος, βέλτιστος ἐπὶ ψυχῆς. ἢ ἄριστος, ὁ ἐν πολέμοις ἀνδραγαθῶν, ἢ ὁ ὑπερέχων ἐν παντὶ πράγματι, καὶ τοὺς ἄλλους ὑπερβαλλόμενος. Ἄριστον, τὸ ἀκράτισμα, ἤγουν τὸ πρωινὸν ἔμβρωμα. ὃ ἡμεῖς ἀκρατισμὸν καλοῦμεν, διὰ τὸ ἐν ἀκράτῳ βρέχειν καὶ προσίεσθαι ψωμούς. Φιλήμων, τροφαῖς τέσσαρσι χρῆσθαί φασι τοὺς παλαιοὺς, ἀκρατίσματι, ἀρίστῳ, ἑσπερίσματι, δείπνῳ. καὶ ὅτι τὸν μὲν ἀκρατισμὸν, διανηστισμὸν ἐκεῖνοι ἔλεγον. τὸ δὲ ἄριστον, δορπηστόν. τὸ δὲ δεῖπνον, ἐπιδορπίδα. ἐστὶ δέ φησιν ἡ τάξις τῶν ὀνομάτων παρ' Αἰσχύλῳ, ἐν οἷς ποιεῖ τὸν Παλαμήδην λέγοντα οὕτω, σίτου δ' εἰδέναι διώρισα, ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι τρία. τῆς δὲ τετάρτης οὕτω μέμνηται Ὅμηρος, ἔρχεο δειελιήσας, ὃ καλοῦσι δειλινὸν βρῶμα, μεταξὺ ὂν τοῦ ὑφ' ἡμῶν λεγομένου ἀρίστου καὶ δείπνου. ὅτι δὲ τὸν, ἤγουν τὸ δειελιήσας ἀντιλέγεται, ὡς μὴ δηλοῦν τετάρτην τροφήν. ἐπεὶ μὴ δὲ οἶδεν Ὅμηρος τροφὰς ἐφ' ἑκάστῃ ἡμέρᾳ τέσσαρας. ὁ δὲ Ἀθήναιος, ὡς ἄριστον μέν ἐστι, τὸ ὑπὸ τὴν ἕω λαμβανόμενον. δεῖπνον, τὸ μεσημβρινὸν, ὃ ἡμεῖς ἄριστον φαμέν. δόρπον δὲ, τὸ ἑσπερινόν. ἐπὶ δὲ τοῖς ἐπιμερίζει συνωνυμεῖν τὸ ἄριστον τῷ δείπνῳ, ἐξ ὁμηρικῆς χρήσεως ὁρμώμενος. ἄριστον λέγομεν, καὶ ἀριστῶσαι, ἀριστῶ, συναριστῶ, ἀριστοποιούμενοι. καὶ τὸ Μενάνδρου δρᾶμα συναριστῶσαι. ὁ παρὰ Σιδωνίοις συνάριστος. Ἀριστονομία, ἡ εὐνομία, ἡ τῶν ἀρίστων διανομή. Ἀριστόχειρ, ὁ γενναῖος περὶ τὰ ἀριστεῖα, ἢ ἀριστόχειρ ἀγών. Ἀρίσβαλλος, κλιντῶδες βαλάντιον, ὃ μαρσίπιον, παρὰ τὸ ἀρύειν καὶ βάλλειν. Ἀρίστυλλος, κύριον ὄνομα, αἰσχρὸς παρὰ τῷ Ἀριστοφάνει. καὶ ἐν ἐκκλησιαζούσαις μέμνηται αὐτοῦ, ὡς αἰσχροποιοῦ. Ἀριστώνη, ἀρίστη ὥρα. Ἀρισφαλέα οὐδὸν λέγει Ὅμηρος, τὴν τραχεῖαν καὶ πάνυ σφάλλουσαν, ὡς κινδυνεύειν πίπτειν τὸν ὁδεύοντα. Ἄριφρων, ὁ κακῶς φρονῶν.

Ἀριφραδέα, δῆλα, σύσημα, ἐπιγνωστὰ, σαφηνῆ. Ἀρισφαλεῖς, εὐχερῶς ἀπατώμενοι. Ἀρισφαλεῖς, ἐχυροὶ σφαλεροί. Ἀριφραδὴς, ἄγαν φανερός. Ἄριχα, ἄρξον πρότερον.

Ἀρίχεται, γλίχεται, ἐπιθυμεῖ. Ἀριχαστῶν, ἐκλύων ζητ.

Ἀριών, ὁ λίσαν, ὑπὸ στέρων. Ἀρίων, ὁ ἵππος Ποσειδῶνος υἱός, καὶ μιᾶς τῶν ἐριννύων. Ἄρκαλλα, λευκά, καὶ ἐναντία ἐξ ὑάλου περίεργα. οἱ δὲ, ξύλα ξηρά. Ἀρκαλῶν, περικαλῶν, μάρπων. Ἀρκάνη, τὸ ῥάμμα, ᾧ τὴν κώπην ἐγκατακλείουσιν αἱ διαζόμεναι. Ἀρκαλέον, ξηρὸν, ψυχρόν. Ἀρκασπίνα, ἀρκαδικὸς πῖλος. Σοφοκλῆς Ἰνάχῳ. Ἀρκάς. ἰστέον ὅτι ἀρκὰς, κυνῆ λέγεται. ἔστι ἀρκαδικὸν πῖλος, διὰ τὸ ἔχειν ὡς εἰκὸς διάφορον πρὸς τὰ ὁμοειδῆ, καὶ ὅτι φιλὸς ἐφόρει ἀρκάς. καὶ ὅτι ἐραβδίνας παρὰ ἀρκάσι φασὶ φελλὸν, μέθυ τι πρῖνον ἢ δρυὸς, ὃ ἐκεῖνοι θαλάσσιον καλεῖν. καὶ ὅτι παροιμία ἦν τὸ Ἀρκάδας μιμούμενος, ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων. μαχιμώτατοι γὰρ ὄντες, αὐτοὶ μὲν οὐδέποτε ἐνίκησαν, ἄλλοις δὲ ἄλλοις αἴτιοι τοῦ νικᾶν ἦσαν. ὅθεν καὶ Πλάτων ὁ κωμικὸς, διὰ τὴν κωμῳδίαν φησὶν, αὐτὸς ποιῶν ἄλλοις ἐκδιδόναι διὰ πενίαν, Ἀρκάδας μιμεῖσθαι. ἕτερος δὲ ῥήτωρ ἐπιφανὴς τὰ τοιαῦτα φησὶν, Ἀρκάδας μιμούμενος, ἐπ' ἄλλοις ταλαιπωρῶν. οἱ γὰρ Ἀρκάδες, ὑπὲρ ἑτέρων ἀνδραγαθίζοντο φησὶν, ὁ δὲ καὶ Ἡρακλῆς ἔπαθεν. ἐξ οὗ καὶ παροιμία ἐπὶ τῶν ἄλλοις μοχθούντων, τὸ ἐν τῇ Ἑλλάδι γενομένου.

νου. κατὰ τὴν Ἡρακλέα Λελαδὲ, ὃς μικρὸς τετάρτῳ γεννηθεὶς, ἄλλους ἤλασε. Ἀρκάδες, ἀπὸ Ἀρκάδος υἱοῦ Διός. καὶ ἡ χώρα αὐτῶν Ἀρκαδία, κληθεῖσα ποτὲ καὶ Πελασγία, καὶ Παρρασία, καὶ Λυκαονία, καὶ Γιγαντὶς, καὶ Ἀζανία. ὅτι δὲ Ἀρκὰς τὸ γένος καὶ τὸ ἐθνικὸν συνέλαβε τὴν ἄρκτον, καὶ ὀξύνει, καὶ διὰ τοῦ δος κλίνεται, κατὰ τὸ φυγὰς φυγάδος, καὶ τὰ ὅμοια, ἐκ τῶν Ἡρακλειώτου δηλοῦται. παραδίδωσι τὸ ἱμᾶς καὶ ἀνδριὰς, ἐπιζητουμένου τῇ λεγούσῃ, κατὰ τὰς μακρὰς μιμεῖσθαί φασιν αὐτὰ, καὶ τὴν τῶν μονοχρόνων κλίσιν, τὸ ἱμὰς ἱμάντος, καὶ βίβας βιβάντος. δοκεῖ δέ φασι, παλαιότατα ἔθνη Ἑλλήνων εἶναι τὰ Ἀρκαδικά. διὸ καὶ προσέληνοι ἐλέγοντο οἱ Ἀρκάδες. ὑπὲρ φασὶν ὅπως ὁ Πελασγὸς πρῶτον αὐτοὺς ἐκάλεσεν. ὅθεν δὲ ὁ Λυκόφρων παραφράζων, προσέληνος τοὺς Ἀρκάδας, βαλανηφάγους εἶπεν. Ἀρκεῖν, βοηθεῖν, προσθεῖν. Ἄρκειος κεφαλὴ, ἡ τῆς ἄρκτου. καὶ ἄρκειον κρέας, δίφθογγον. ἄρκιον δὲ τὸ ἱκανὸν καὶ ὠφέλιμον, ἰῶτα. Ἀρκεσίλαος, λαέρτης, ὁ υἱὸς Ἀρκεισίου. ὃς ἡ παρὰ τὸ ἀρκέσαι ἄρμεναι ἐφρίεσθαι, ὡς εἶναι ἐκλαθεῖν κελεῦ δυνάμενος, ὅθεν καὶ ὁ ἐπάρχας. ἡ διότι ἄρκτος αὐτὸν, ἤτοι ἄρκτος, ἐθήλασε, καθὰ καὶ ἕτερον τινὰ ἵππος, ἡ αἲξ, καὶ ἄλλους ἄλλα ἄλλα. ἐν οἷς καὶ οἱ τῶν ῥωμαίων ἀρχηγέται κατὰ Δίωνα, ῥῶμος δηλαδὴ καὶ ῥώμυλος, οὓς ἐθήλασε λύκαινα, ἡ παρὰ τοῖς ἰταλιώταις λοῦπα καλεῖται. ὁ δὲ ὄνομα μετῆκται ἀστείως εἰς ἑταιρίδων προσηγορίαν. τὸ γὰρ ζῶον ἀρχαϊκὸν ἡ λοῦπα, ἔστιν λύκαινα. καὶ αἱ ἑταιρίδες γ᾽ ἀρχαιότεραι. αἱ δὲ καὶ μῦθος τερατεύεται, ὡς ἄρα τίκτει αὐτὴν ἄρκτος, ἡ ἐκτρέφει θηλάζουσα τὸ βρέφος ἀνθρωπίνως μαινόμενος. φασὶ γὰρ κέφαλον τὸν Δηιονέως, ἢ Δηίονος, ἐξ ἄρκτου γυναικὸς τεκεῖν τὸν ἀρκείσιον. Ἀρκεσίλαος, ἀμυντικὸν, ἤτοι βοηθητικὸν. δηλοῖ δὲ τὸν ἐπαρκοῦντα λαοῖς. ὥσπερ δὲ μενῶ μενέσω, μενέλαος. οὕτως ἀρκῶ ἀρκέσω, ἀρκεσίλαος. διὸς καὶ εὐμενοῦς κεκλῆσθαι τὸν ἀρκεσίλαον. αὐτοῦ δὲ καὶ Χαλκομεδούσης, λαέρτης. οὗ δὲ καὶ Ἀντικλείας, ὁ Ὀδυσσεύς. οὗ καὶ Πηνελόπης, Τηλέμαχον. αὐτοῦ δὲ Πολυκάστης τῆς Νέστορος, Πτολίπορθον, ὡς Ἡσίοδος. Ἀριστοτέλης καὶ Ἑλλάνικος, Τηλέμαχόν φασι Ναυσικάαν γῆμαι τὴν Ἀλκινόου, καὶ γενέσθαι τὸν Περσέπτολιν. τινὲς δὲ καὶ τοιούτους λόγους συνεισφέρουσιν. ἐκ Κίρκης υἱοὶ κατ' Ἡσίοδον Ὀδυσσεῖ, Ἄγριος καὶ Λατῖνος. ἐκ δὲ Καλυψοῦς, Ναυσίθοος. ὁ δὲ Τηλεγόνειαν γράψας Κυρηναῖος, ἐκ μὲν Καλυψοῦς Τηλέγονον, ἢ Τηλέδαμον. ἐκ δὲ Πηνελόπης, Τηλέμαχον καὶ Ἀρκεσίλαον. κατὰ δὲ Λυσίμαχον, υἱὸς αὐτῷ ἐξ Εὐίππης Θεσπρωτίδος, Λεοντόφρον, ὃν ἄλλοι Δόρυκλον φασί. Σοφοκλῆς ἐκ τῆς αὐτῆς Εὐρύαλον ἱστορεῖ, ὃν ἀπέκτεινε Τηλέμαχος. Ἀρκεῖσθαι παθητικῶς, ἀντὶ τοῦ ἀρκεῖ. ἴδιον τῶν ἰώνων χρῆσθαι τοῖς ἀπαρεμφάτοις, ἀντὶ προστακτικῶν. Ἀρκείσιος, ὁ πάππος Ὀδυσσέως. Ἀρκεύθος, φυτὸν ἢ δένδρον ὅμοιον ἀκανθώδει, ἀπολλύμενος ἱερόν. ὡς ἱστορεῖ Μνασέας. Θεόφραστος δέ φησιν, ὅτι τῶν ἀγρίων ὕλη, ἐλάτη, πεύκη, ἄρκευθος, μελία, οἴξα καὶ ἀνδράχνα, ὃν καλοῦσι φιλλύρεαν. Ἄλλως. Ἄρκευθος, εἶδος φυτοῦ ἀκανθώδους, ἀπὸ τοῦ τῶν ἀρῶν, ἤτοι τῶν βλαβῶν κεύθειν, ἀράκευθος, καὶ ἄρκευθος. ἡ διὰ τὸ ἔχειν ἀκίδας κεκρυμμένας, οὐ τὴν ὀσμὴν πάντα τὰ ἑρπετὰ ἀποστρέφονται. Ἀρκέσαι παρ' Ὁμήρῳ, ὃ ἐστιν ἀρκέσαι φωνοῦνται, βοηθῆσαι. Ἀρκέσιον, οὕτω καλούμενον ἄντρον τοῦ Κρητικοῦ ἴδης. παρὰ τὸ ἀρκέσαι, τὸ βοηθῆσαι. Ἄρκηλα, τὸ ὠόν. Κρῆτες. τὰ ὄρχια. Ἀρκὴς, ταχύς. Ἄκιος, ἐκμαχοῦ θρασὺς, ἀγαθὸς, πολεμικός. Ἄρκιον, ἀρκετὸν, αἱρετώτερον, ἱκανὸν, ἕτοιμον. Ἀρκὸν, χολλέω. μακεδόνες. Ἄρκος. ἀρκοῦμαι, βοήθεια. ἢ τὸ σπαθίον, καὶ τὸ ζῶον, καὶ ἴσως τὸ ἀρτάμιος. Ἀρκοῦμαι, ἀγαπῶ, ἀρκεῖ. σημαίνει καὶ τίς ἐστι, βοηθῶν. Ἀρκοῦ ἡμεῖν ἀριστήσωσι, καὶ ἀρκεῖ ἡμῖν ἀριστῆσαι. ἢ ἄρκος, παρὰ τὸ ἀρκῶ. ἄρκος ἡ ἐπιθυμητικὴ ἐπιφυλάσσεται, φασὶ γὰρ αὐτὴν διαζῆν τὸν χειμῶνα,

χωρὶς

ταχέως ἐγλείμων γενομένου. παρὰ τῷ Ἱπποκράτει. Ἀρίγνωτος, διάδηλος, φανερός, ἀπὸ τοῦ ἀρι ἐπιτατικοῦ μορίου, καὶ τοῦ γνωτοῦ, ὃ δηλοῖ τὸν γνώριμον. Ἀρίδακρυς, ταχέως.

Ἀριδάκρυοι, πολυδάκρυτοι. Ἀριδείκετος, ὁ ἄγαν ἐνδοξος. παρὰ τὸ δείκω τὸ δεικνύω, ἐξ οὗ παράγωγον δεικνύω. καὶ δείκηλον, τὸ δεικνὺν τὰς ἀρετὰς. ὡς οὖν ἀπὸ τοῦ ἔχω ἔχετος, ἐμῶ ἔμετος, οὕτως ἀπὸ τοῦ δείκω δείκετος, καὶ ἀριδείκετος.

Ἀρίδες, τὰ τεκτονικὰ ἐργαλεῖα. καὶ ἀρίδες, αἱ μετὰ κακοφροσύνης ποιαί. Ἀριδήλων, τῶν ἀριδήλων. κρυφίων. Ἀρίδηλον, ἔκδηλον, φανερόν. Ἀριδηλότατα, φανερώτατα. Ἀρίζηλα, θαυμαστά, ἄγαν ἔκδηλα. ὅπερ θηλυκόν ἐστι τοῦ ἀρίζηλος. οἷον ἀνὴρ ἀρίζηλος. καὶ ὅτι ἔτρεψε τὸ δ εἰς ζ συνήθως, δῆλόν ἐστι. καὶ ὅτι κυρία λέξις ὡς ἐν τοῖς σοῖς τὸ ἀρίζηλα, ἐπὶ γυναικῶν περιφανεστάτης τὰς ὄψεις, φασὶν οἱ παλαιοί. καὶ ἀρίζηλον ὄψιν παρ' Ὁμήρῳ, ἀρίδηλον δηλοῖ, τραπέντος τοῦ δ εἰς ζ, κατὰ συγγένειαν τοῦ δ καὶ ζ. Ἀρίζηλος, ὁ περὶ δωρικοῦ. ἀρι. καὶ τὸ δῆλος ὁ φανερός, ἀρίδηλος. ἐκ τοῦ δηλός, ὃ σημαίνει τὸν περιφανῆ. ἀναδόσει τοῦ τόνου, καὶ τροπῇ τοῦ δ εἰς ζ, ζῆλος. πλεονασμῷ γίνεται ἀρίζηλος. καὶ ἐπειδὴ τὸ ζ ἐκ τοῦ σ καὶ δ σύγκειται, τρέπει τὸ δ καὶ εἰς ζ, καὶ γίνεται ἀρίζηλος, ὁ ἄγαν ἔκδηλος. καὶ ὁ ἀρίζηλος, πολυτίμητος. καὶ ἀριζήλη, ἡ διάδηλος καὶ φανερά. Ἄριζος, τάφος. Κύπριοι.

Ἀρια, ἐπηλά. Ἀριακόν, ὀξυακόν, εὐωδές. Ἀρίηκος, λίαν ἐπιεικής. Ἀριὰ, λίαν. Ἀριηστρόν, χαλινωτήριον. Ἀριθάτων, τῶν πλίνθων. Ἀριθμεῖν, ἐπὶ ψήφων μεθόδου, ἐπὶ μελέτου. καθμεῖν, ἐπὶ ζυγοῦ. καὶ ἀριθμεῖται, ἐξετάζεται. Ἀριθμοθετοῦσαι, εἰς φιλίαν ἐλθεῖν. Ἀρίθμετα, τὰ ὀλίγα. Ἀρθμια, φίλια ✕ Ἀριθμός. παρατηρητέον, ὅτι τότε τὰ φωνήεντα, τότε τὰ σύμφωνα συντελοῦσι πρὸς ἀνάφορον καὶ ἀριθμόν, ὡς παρὰ τοῖς ἐπισταμένοις λογιστικοῖς ὁ λογαριασμός. συντελοῦσι καὶ εἰς τοῦτο τρία χαράγματα, ἅπερ κυρίως οὐκ εἰσὶ γράμματα, τὸ ἐπίσημον δηλονότι ς, ὀκτάκαιτα, καὶ ὁ χαρακτὴρ. πάντα δὲ τὰ γράμματα ἀριθμὸν διασημαίνουσι. τὸ γὰρ α σημαίνει ἕν, τὸ β δύο, τὸ γ τρία, καὶ τὰ ἑξῆς. καὶ τὸ ἐπίσημον τὸ οὕτω χαραττόμενον ς, ὅπερ ἐστὶν ἐν δὶς γράμμασι τίθεται, ἓξ ποιεῖ. καὶ οὕτως ἀκολούθως ἕως τοῦ ι, ὅπερ ποιεῖ δέκα. καὶ ἕκαστον ἀκολουθοῦμενον γράμμα, δέκα προστίθησιν ἐπὶ τὸ προηγούμενον, ἕως τοῦ π, ὅπερ ποιεῖ ὀγδοήκοντα, ἐπειτα ἀκολουθεῖ, ὁ ὀκτάκαιτα, ὅπερ ποιεῖ ἐννενήκοντα. καὶ μετὰ ταῦτα ἀκολουθεῖ τὸ ρ, ὅπερ ποιεῖ ἑκατόν. εἶτα ἕως τοῦ ω, τὸ καθέκαστον γράμμα προστίθησιν ἑκατόν, ἐπὶ τὸ προηγούμενον. τὸ δὲ ω, ὀκτακόσια ποιεῖ, καὶ ἀκολούθως ἐπάγεται χαρακτὴρ, ὃ τις ποιεῖ ἐννακόσια. τὰ δὲ χίλια γίνεται διὰ τοῦ α μετὰ τοῦ σήμματος. δισχίλια δὲ οὕτω, ͵β. καὶ τὸ αὐτὸ διὰ τῶν ἑξῆς γραμμάτων ἐφύλαξε γίνεσθαι. Ἀριθμός, σημεῖον γνωριστικὸν ἐστι τῶν ὑποκειμένων. ὁ ἀριθμὸς ὁρίζεται, συνθεσία μονάδων, ἢ μονάδος σύνθεσις, ἢ χύμα μονάδων, οὐχὶ διαίρεσις μονάδων. Ἀριθμῶ, καὶ ἀπαριθμῶ, καὶ ἐξαριθμοῦμαι, καὶ ἀπαριθμῶ, καὶ ἀπαριθμοῦμαι. ὡς Ξενοφῶν, Καὶ ἀπαριθμησάμενος ὅπερ τὸ στράτευμα παρεσκευάσαντο, εὐθὺς τὴν ἐναντίαν ἐλαύνειν. Ἀριθύσαντες, ἡνίοχοι. Ἀρίκαοι, χαλεπαί. Ἀρικύμων, πολύτοκος.

Ἄριμα, ὄνομα ὄρους. Ἀριμάζειν, ἁρμόζειν. Ἀριμαθαῖος, ἑρμηνεύεται αἴρων. Ἀριμνᾶστε, γαστρὸς σὺν κέντρῳ. Ἀρι, μεγάλως. ὅθεν καὶ ἀρίζηλος, ὁ μεγάλως ζηλωτός. καὶ σύνθεσις ἐβλάστησεν, τὸ ἀριδήλως. Ἄριον, πίθηκος, ἢ ἄριμα. οἱ δὲ, ἔριον πολλαπλάσιον. Ἄρισον, τὸ τάχυ, διὰ ψιλοῦ ὁ μέλαθρον, τὸ ἀλύσσειν. ἄριστον δὲ, τὸ ἄριστον. Ἀρίσαι, ἀποσορίσαι. Ἀριοβαρζάνης, σατράπης Φρυγίας ἀποδειχθεὶς οὗτος παρὰ Ξέρξου, ἀπέστη. ὃς καὶ ἀπεστάλη λαόν, τοὺς πολεμήσοντας αὐτῷ καὶ χα-

ρισαμένους ἐναθρώπων. Ἀρίσπαρον, μεγάλως σπαρέν.

Ἀριπρεπέα ἄστρα, τὰ λίαν ἐκπρεπῆ τῇ λαμπρότητι. καὶ ἔστι ταυτὸν τῷ ἐκπρεπέα βασιλέα εἰπεῖν ὁμοίως. καὶ ἀριπρεπὲς ἄστρον, διὰ τὸ ἐν ἀμφοῖν ὡς εἰπεῖν περιφανές. ὡς γὰρ ἐπιτείνει τὸ ἀρι ἐπιτατικὸν μόριον, οὕτω πολλαχοῦ ἡ ἐκ πρόθεσις καὶ ἡ περί. ὅμοιον δὲ τῷ ἐκπρεπεῖ, καὶ ἀριπρεπεῖ, τὸ ἀπρεπές, ὡς ὑπὸ οὐδενὸς περιπεπεμμένον. τὸ δὲ μεγαλοπρεπές, ὀρθῶς δηλοῖ λαμπρόν. Ἀριπρεπέα, ταυτόν ἐστι τῷ ἐκπρεπέα ἐν πολλοῖς. ἐπίτασιν γὰρ σημαίνει καὶ ἡ ἐκ πρόθεσις, καὶ τὸ ἀρι ἐπίρρημα.

Ἀρίσβη πόλις, ἀπὸ Ἀρίσβης θυγατρὸς Μέροπος μάντεως, ὁ Μέροπος, ἣν πρώτην ὁ Πάρις ἔσχε γυναῖκα. Ἀριπρεπής, μεγαλοπρεπής. Ἀριπρεπής, ἐπίσημος, ἔνδοξος ἢ διάδηλος. Ἀρισον οὐ μόνον τὸ ὄργανον, ἀλλὰ καὶ βοτάνη τις, οὕτω καλουμένη παρὰ τῷ Ἱπποκράτει. Ἀρίσημος, φανερὸς ἐν πολλοῖς. Ἀρισκυδής, ἡ ἄγαν ὀργιζομένη. σκύζω γάρ, τὸ ὀργίζομαι. Ἀρισκεῦος, ὀργίλος. Ἀρίσβη, πόλις φρούριον, μιτυληναίων ἀποικίαν ἔχουσα. Ἀρίσανος, εὔλαλος, ὄρθιος τῆς ἵππων. Ἀρισταῖος, ἀριστεῖος. Ἀρισα. τρεῖς ἤσαν τρεῖς ἀρισα, ἄριστα, δεῖπνα, δόρπα τε, κατ' Αἰσχύλον. Ἄρισα, κάλλιστα. Ἀρισαῖος, ὁ ἀπόλλωνος ἢ κυρήνης, πρῶτος τῶν ἐργασιῶν τοῦ σιλφίου εὑρετής, ὥσπερ καὶ τοῦ μέλιτος. Ἀρισᾶν, εὐωχεῖσθαι, φαγεῖν. Ἀρισοφάνης, ἀρισᾶν ἐπιθυμεῖς. Ἀρίσαρχος, μᾶλλον τῶν Ὁμήρου ἀλληγορίων ἄξιος, οὐ μόνον ὑπερβολικὸν τὸ λέγει, ἀλλὰ καὶ σοφίαν μεγάλως ἀφαιρεῖται τὴν ποιητικήν. Ἀρισᾶν ἀρισῶ, τὸ γευματίζω. ἐξ οὗ ἄρισον, τὸ γεῦμα. ἀρισᾶν δέ, τὸ ἀνδραγαθεῖν.

Ἀρισεία, ἡ ἀνδραγαθία. Ἀρισείδης, ὁ ἐπικαλούμενος δίκαιος. καὶ Ἀρισείδης ἀνθρωπικός, σοφιστής. Ἀρισεῖον, τὸ τοῖς ἀρισεῦσι διδόμενον ἔπαθλον, ἢ τὸ δῶρον τὸ ἐπὶ τῇ νίκῃ.

Ἀρισερά, τὰ μωρά. δεξιὰ δέ, τὰ συνετά. ἀπὸ τοῦ ἄρισος. ἀρισερός, ἀρισερά, ὡς φαῦλος φαῦλη φαῦλα. ἐπὶ δὲ τοῦ εὐφημισμοῦ, ὥσπερ καὶ εὐώνυμος λέγεται ἡ αὐτή. καὶ ἀρισερὰ χεὶρ παρὰ τῷ Εὐαγγελίῳ, οἱ ἐμπορικοὶ λογισμοί. δεξιὰ δὲ χεὶρ, τὸ ἅγιον πνεῦμα. ὡς τό, Μὴ γνώτω ἡ ἀρισερά, τί ποιεῖ ἡ δεξιά σου. τὰ γὰρ δεξιὰ μέρη τοῦ ἀρισεροῦ πνεύματος οὐ φροντίζουσι, πειθόμενα τῇ δεσποτικῇ φωνῇ, Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. Ἀρισεροστάτης, ὁ πρωτοστάτης τοῦ χοροῦ. Ἀρισεύς, πρόμαχος ἐκκρίτος, καὶ ὁ πολέμων ἀριστεύων. Ἀρισεῦσιν, ἱππεῦσιν, ἐπὶ δοτικῆς τῶν πληθυντικῶν. μόνα γὰρ τὰ διὰ τοῦ ευ διφθόγγου ἐκφερόμενα ἐπὶ τῆς ὀνομαστικῆς, τηρεῖ τὴν ευ δίφθογγον καὶ ἐπὶ τῆς δοτικῆς τῶν πληθυντικῶν. οἷον, ἀρισεὺς ἀρισεῦσιν, ἱππεὺς ἱππεῦσιν. ὁμοίως καὶ αἱ ἀπὸ τῶν εἰς μι ῥημάτων γινόμεναι μετοχαί. οἷον, τίθημι τιθεὶς, ὁ θεὶς τοῖς θεῖσι. συνίημι, ὁ συνεὶς τοῖς συνεῖσιν. ὅσα δὲ εἰσὶ τῶν ὀνομάτων σύνθετα παρ' οὐδετέρων, τὴν αὐτὴν φυλάττουσι διὰ οὐδετέροις κλίσιν. οἷον, ὁ εὐγενής, τοῦ εὐγενοῦς εὐγενοῦς, τοῖς εὐγενέσιν, ὡς ἀπὸ τοῦ γένος συγκείμενον. καὶ Δημοσθένης, Δημοσθένους Δημοσθένει, Δημοσθένεσιν ὁμοίως, ὡς ἀπὸ τοῦ σθένος. Ἀρισεύω, μετὰ προθέσεως συντάσσεται. οἷον, ἠρίσευσα ἐν τῇ μάχῃ. ὅθεν ἀρισεὺς καὶ ἀρισεία. Ἀρισήσεσθε, γεύσεσθε. Ἀρισίνδην, ἀντὶ τοῦ κατ' ἐκλογήν. ὡς τὸ πλειστίνδην, ἀντὶ τοῦ πλουσίως. Ἀρισίνδος, ὁ ἐκ τῶν ἀρίσων ἐκλελεγμένος. Ἀρισῦσαι, δοῦλαι. Ἀρισίων. τοῦ παρίδος κατὰ Δημοσθένους, οὗτος σῖμος μὲν ἐστιν, ὁ πλαταιεύς. ὡς δ' ἄλλος φησίν, ἐκ μεγαρικῆς, ἑταῖρος Δημοσθένους. ἐπέμφθη δ' ὑπ' αὐτοῦ πρὸς Ἡφαιστίωνα, ἵνα καταλλαγῶν, ὥς φησι Μαρσύας ἐν πέμπτῳ τῶν περὶ Ἀλέξανδρον. Ἀρισοκόλλυς, ὁ ὀρθῶς, παρὰ ἀρι καὶ τὸ σκύζεσθαι, ἡ ἄγαν σκυζομένη. οὕτως Ἀρτεμίδωρος. Ἀρισόδημος. ἀρισόδημον οἱ κωμικοί, τὸν πρωκτόν, καὶ ἐκεῖθεν, καὶ ἐμισθάρνει καὶ ἄλλοι. ἀπὸ τοῦ ἑταιρικοῦ. φερμεινὸς δὲ τὰ γυναικεῖα αἰδοῖα, καὶ βασιλίδα, καὶ λαχάνα. Ἀρισοκλεί-

[illegible]

ὀφθ᾽ ἀρετὴν πολέχωσι θεοί. καὶ τὴν εὐδοξίαν, ὡς Θουκυδίδης ἐν πρώτῃ. καὶ ἀρετὴν, τὴν εὐδαιμονίαν καὶ εὐθηνίαν τοῦ βίου. ὅν ἄλλον ὁ ἄνθρωπος, λέγει μὲν ἂν ἀνέχεσθαι εἴ τι καὶ πάθοι κακόν. ἀλλ᾽ ὅταν καὶ αὐτὸ πάθοι, φέρει ἀναγκαζόμενος, τουτέστιν ἄκων. ὅν τὸ θέμα πρωτότυπον, τὸ ἄκω. Ἀρετῶσιν, ἀντὶ τοῦ εὐδαιμονοῦσι. ὁ ἀρετῶσι λαοί, ἀντὶ τοῦ εὐδαιμόνως ζῶσιν. οὐδὲν γὰρ εὐδαιμονία ἕτερον, ἢ συγκεφάλαιος ἀρετῶν. οὐκ ἀρετᾷ κακὰ ἔργα, κατὰ δὲ παλαιούς, ἀντὶ τοῦ οὐκ ἀρετὴν καὶ εὐθηνίαν ἄγουσιν. ἵνα γένηται τὸ ἀρετᾶν ἐκ τῆς κατὰ ἀνδρίαν ἀρετῆς. ὅθεν δὲ ἀρετῶ σύστοιχον, καὶ τὸ ἀρετῶσι δὲ λαοὶ ὑπὸ αὐτοῦ. ἄλλον δὲ ὡς καὶ τὸ ἀρετᾶν ἐκ τοῦ ἀρέσω πλάττεται. Ἀρζανὴ, ὄνομα τόπου. Ἄρεα λέγουσι τὸν πόλεμον. τετραχῶς γὰρ τοῦτο ὄνομα λέγεται ὁ ποιητής. ἐπὶ μὲν τοῦ πολέμου, ὡς ἐνταῦθα, Νῦν δὲ ὀρχεῦ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν ἄρηα. ἐπὶ δὲ τοῦ σιδήρου, ὡς ἐκεῖ, Λίμνη ἔσαι ἄρηα ἀπαλοῖσιν ἐν λιμένεσι. ἔνθα δὲ ἴκηται ὀρμῆσαι ὄμβριμος ἄρης. ἐπὶ δὲ αὐτοῦ τοῦ θεοῦ οὕτως, Καὶ δὲ αὐτῷ κεκόρυθμαι ἀεὶ βροτολοιγὸν ἄρηα. καὶ πάλιν, Ἐς δὲ ἦγον ἄρης κρατεροῖσι βροτοῖσι. ἐπὶ δὲ τῆς πληγῆς, ἔνθα μάλιστα γίνετ᾽ ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν. Ἀρῶ, σημαίνει δύο. τὴν εὐχὴν, καὶ τὴν βλάβην. Ἄρσαι. αἴρω τὸ ἐπαίρω, ὁ μέλλων ἀρῶ. ὁ ἀόριστος ἦρα, ὁ μέσος ἠράμην. καὶ τὸ ὑποτακτικὸν, ἐὰν ἄρωμαι, ἄρῃ, ἄρηται. καὶ ἐκ τούτου τὸ ἀπαρέμφατον ἄρασθαι, ἀποβολῇ τοῦ τ.

Ἀρήγω, τὸ βοηθῶ. Ἀρηγὼν, λέγεται μὲν καὶ ἀρηγός. γίνεται δὲ ἀπὸ τοῦ ἄρης, ὥσπερ ὁ βοηθῶ, ἀπὸ τοῦ βοῇ, ὁ κατὰ τὴν μάχην θέων ἀλαλαί, καθὰ καὶ ὁ ἄρης. Ἀρήγων ἡ μητρὶ, παρακολουθεῖ πρὸς τὸ ἀρηγὼν, ὅπερ ὄνομα, ὁ δηλοῖ τὸν βοηθόν. παράγεται δὲ τὸ ἀρηγὼν καὶ ἀμφαρηγόν. Ἀρήϊα τεύχεα, πρὸς διαφορὰν τῶν ἄλλων τεύχεων ὅπλων. καὶ ἀρήϊα, πολεμικά.

Ἀρηΐθοος, ὁ φοβερός. καὶ ἀρηΐθοος, ὁ ἐν πολέμῳ ταχύς.

Ἀρήϊος, γίνεται ἀπὸ τοῦ ἄρης. ἄρειος, ἀρήϊος, καὶ τροπῇ τοῦ ε εἰς η ἀρήϊος. Ἀρήϊοι, ὁ πολεμικός. ὁ ἀρήϊοι. Ἀλκαῖος, ἀνδρῶν πόληος πύργοι ἀρήϊοι. Ἀρηΐφατος, ὁ ἐν πολέμῳ ἀναιρεθείς. Ἀρηΐθοον, γοργόν, πολεμικόν. Ἀρηΐφατος, ὁ ἐν τῷ πολέμῳ πεφονευμένος, ἐκ τοῦ φῶ τὸ φονεύω, παρὰ γὰρ τὸ φῶ, σημαίνει τὸ αὐτό. καὶ ἐστὶ δοτικῆς συντάξεως. Ἀρήϊφιλος, ὑπὸ τοῦ ἄρεως φιλούμενος, ἢ ὁ φιλῶν τὰ ἄρεια. διὸ ἀμφοτέρων δύο πολεμικὸς λέγεται. Ἀρηΐθεον κορυστήν, δηλοῖ ὅτι κόσμον τὸ ἀρηΐθοος. ἐπίθετον δὲ τὸ κορυστὴς. ὡς ἱστορεῖ ὁ ποιητὴς, διὸ αὐτὸν μαινόμενον ἔδειξεν ἀρηΐθοος. ἐκείνων κατὰ τὴν καταλοφίαν, ὅτι κορυστὴς γένοιτ᾽ ἀρηΐθοος. καὶ ἀρηΐθοον, πολεμικόν, τὸν ἐν τῷ πολέμῳ ταχύν. παρὰ τὸ ἄρης, καὶ τὸ θεός. Ἀρήμεναι, ἐκ τοῦ ἀναίρω ποιητικῶς. ὁ ἄρσω, ἐκ τοῦ ἀρῶ. οἷα καὶ ἄλλα λέγονται πλεονασμῷ ποσῷ παρ᾽ Ὁμήρῳ. ἀρήμεναι, ἀντὶ τοῦ εὔχεσθαι.

Ἀρημένον, κεκρατημένον. εἴρω αἴρειν, ἤρμαι ἤρμαι, ἠρμένον καὶ ἀρημένον. Ὅμηρος, ὕπνῳ καὶ καμάτῳ ἀρημένος, ἤγουν κεκρατημένος. Ἀρημένον δύη, ἤγουν βεβλαμμένον. παρὰ τὸ ἄρεος, λύπην ἐπαγομένην. ἢ τρόπῳ πρὸ τοῦ ἀρημένον τρόπος ὀχεῖσθαι. Ἀρημένον, τὸ κατεβλαμμένον, ὁ ἀπηνῶς ἀδιορίστως. Ἀρὴν καὶ ἀρνὸν ὁ ποιητὴς λέγει τὴν ἐν τῷ πολέμῳ, ὥσπερ ἄρης μὲν μάχης, ἀοιδὰ δὲ βελῶν ἐπιτυχεῖν. Ἀρωῶ, ἐστιν ὁρῶ ὁ εὐχή. ἐκ τούτου γίνεται ἀρῶ, τὸ ἐπιτόνιον εἰς εὐχῶν πρόσθεσιν. ἡ κλίσις ἀρῶ, ἀρῶς. ἐκ τοῦ τὸ ἀρεὺς κατὰ συγκοπὴν, καὶ ἀποβολῇ τοῦ ε, ἔω. Ἀρνῶν, τὴν πόλιν αὐτὴν ἀρχαίαν πολλάκις ἀναφέρει δὲ παρ᾽ Ὁμήρῳ λέγεται, διότι ἀπὸ αὐτῶν ποταμός. φασὶ γὰρ ὁ Καλλιμάχος, ὅτι Ἀρνῶν ὁ ποταμὸς ἀπὸ τοῦ ἀπολομένου πρότερον μυθώδους. ὡς ὁ ποιητής. ἔστι δὲ ὡς ποταμὸς, καὶ ἔλαβε βάθος, ἐγγύθεν ἀρνώνης. ἀπὸ μικροῦ δὲ φασὶν ἐκλήθη ὁ ποταμὸς, ὃς ἦν Χορυσίων ἐλθόντων ἐκεῖ. δύο δὲ φασὶ πόλεις ἀρνώνας, μίαν Θήβαις μία, καὶ τῆς Φθιώτιδος ἑτέρα. καὶ Ἀρνών, ὄνομα ποταμοῦ. καὶ

ἀρνώνη πόλις Πελοποννήσου. τὴν δὲ ἱεράν λέγεται, ὥς φασι Πείσανδρος. Ἀρνεσίβοσκος, προβατοβοσκός, τοῦ ποιμένος, τροφή τῶν ἀρνῶν, καὶ ἐρρωσμένος. Ἀρῆξαι, τὸ βοηθῆσαι. κυρίως δὲ, τὸ πρὸς καιρὸν θεραπεῦσαι. ἰᾶσαι δὲ, τὸ παντελῶς θεραπεῦσαι.

Ἀρηξίνοια, τὴν τῶν ἀνθρώπων γνώμην. Ἄρης, θρασύς, ἀγαθός, πολεμικός. Ἀρήσασθαι, εὔξασθαι. Ἀρήσει, ἐπαρμόσει. ἄρω τὸ ἁρμόζω, ὁ μέλλων ἀρῶ, ὁ παρακείμενος ἦρκα, ὁ μέσος ἦρα, καὶ ἀττικῶς ἄραρα. καὶ ὁ ὑπερσυντέλικος, ἠράρειν, καὶ ἀράρειν ποιητικῶς. τὸ τρίτον, ἀράρει. ὁμοίως ἄραρεν, ἐκ τοῦ ἄραρα. καὶ ἀραρὼς καὶ ἀραρυῖα τὸ θηλυκόν. Ἀρηρὼς, ἥρμοσται. Ἀρήρει, δὲ τοῦ εἶναι τὴν λέξιν, ὡς ὑποτακτικὸς μέσος παρακείμενος τοῦ ἄρηρα. εὐθεῖα καὶ ἐκεῖνο, ἐκ τοῦ ἀλοῦ. Ἀρηρεμένη, ἠρτυμένη. Ἀρηρότα, ἡρμοσμένη.

Ἀρηρεμένη, ἀπηυτελισμένη. Ἄρης κυρίως, ὁ σίδηρος. παραφέρεται καὶ ἄλλων ὡς τὸ ἄρης γένος. σημαίνει δὲ καὶ τὸν πόλεμον, παρὰ τὸ αἴρω τὸ λέγω, ὁ μέλλων ἐρῶ, ἐρῆς, καὶ μετὰ τοῦ ἐπιλήσεως ἄρης. ἐν ὅθεν πολέμῳ οὐ λόγων χρεία. καὶ Ὅμηρος, ἓν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δὲ ἐπὶ βουλῇ. τὸ α, καὶ μακρὸν καὶ βραχύ. Ὅμηρος, ἄρες ἄρες βροτολοιγέ. κλίνεται δὲ ἄρης ἄρη, καὶ ἄρης ἄρηος, καὶ ἄρης ἄρεως, ἄρης γάρ ἐστι, καὶ πλείους τῶν κλίσεων. Ἄρει ἄρη, καὶ ἄρης ἄρηος, καὶ ἄρης ἄρεος ἄρης, καὶ ἄρας ἄρεος κοινῶς, καὶ ἄρεος ἰωνικῶς, καὶ ἄρεως ἀττικῶς, καὶ ἄρεος αἰολικῶς. ὁ ἄρης ὥς φασιν Ἡρωδιανὸς, πλείοσι κλίσεσι κέχρηται. καὶ γὰρ ὡς ἐκ μείζονος μὲν ἔχον ἐκ τοῦ εὐθείας τοῦ ι, συλλαβὴν ἔχει τὴν γενικὴν, ἄρης ἄρεος. ὅθεν ἀρηϊάδας παρ᾽ Ἡσιόδῳ πατρωνυμικὸν, καὶ ἀρήϊον ὑποκοριστικόν, κλίνεται ὡς ἀπὸ μακροῦ, ἄρης ἄρεος. ὅθεν κατὰ ἰάδα διάλεκτον ἐπεκτείνεται. Ἀρχίλοχος, ἐγὼ ἐν τοῖς τριμέτροις, παῖδα ἄρεα μιαιφόνον. ἔστι δὲ φασὶ καὶ ἄλλο πλάσιος παρ᾽ Ὁμήρῳ, ἄρεος ἀνδρειφόντῃ, κατὰ ὁμοιότητα τῶν ὑπὲρ δύο συλλαβάς. ὡς οὖν σωκράτης σωκράτεος, ὡς σωκράτου, οὕτως ἄρης ἄρεος ἄρεω. ἔστι δὲ καὶ ἄρεως γενικὴ, ἣν χρὴ γινώσκειν ἀπὸ τοῦ ἄρης, ἀλλ᾽ ἀπὸ τοῦ ἀρεὺς εὐθείας. ὅς χρῆσις παρ᾽ Ὁμήρῳ οὐκ ἔστι, παρὰ δὲ Ἀλκαίῳ εὑρίσκεται. ἐκ ταύτης τῆς εὐθείας ἀρεὺς, εὑρίσκεται καὶ ἄρηος, καὶ ἄρηι, καὶ ἄρηα. παρ᾽ Ὁμήρῳ, ἄρης βαρύνονται μόνον, ἐκ πάντων τῶν εἰς ης, ὀξυνόμενον. αἰολεῖς γὰρ ἴδιον, βαρυτονεῖν. κλίνεται καὶ ἄρευς ἄρευ, ὡς μέλης, κατὰ Ἀρίσταρχον. καὶ σημαίνει ἐνίοτε μὲν τὸν πόλεμον, ἐνίοτε δὲ τὴν ἐπιστάτην τοῦ πολέμου θεόν. ἔστι δὲ ὅτε τὸ ἰσχυρὸν, καὶ τὸ ξίφος, εἰς χρῶνται τοῖς πολέμοις. ἐνίοτε δὲ τὴν πληγὴν. καὶ ἄρης τύραννος, πολεμία. Ἀρήσασθαι, εὔξασθαι. Ἀρήσαιο, εὔξαι.

Ἄρησα, εὐχή. Ἀρήθειν, ἐπαθεῖν. Ἀρηται, ἀπήντηται. Ἀρητὴρ, εὐχέτης, ἱερεὺς, ἀπὸ τοῦ τὴν ἀρὰν καὶ τῶν εὐχῶν τηρεῖν. ἔστι δὲ καὶ ἀρὰ ἡ κατάρα, ἢ παρὰ τὸ τὰς ἀρὰς τηρεῖν, διότι τὰς εὐχὰς, ἢ παρὰ τὸ αἴρειν εἰς ὕψος τὰς χεῖρας, ἢ παρὰ τὸ ἀρέσκειν θεῷ. Ἀρητήσιον, παιδίον. καὶ ἀρητήσιον, τέχος ἀθάνατον οὕτω λεγόμενον, ὅτι θανοῦσι μετὰ τὸ ὑποσφίξασθαι ἐκ τοῦ ἄδου, ἐκπτώσεις ἑαυτῶν, ἐκεῖσε τὰς κατὰ τῶν ἐχθρῶν ἀράς. ἔτι δὲ ὁ ῥήτωρ. παρὰ τὰς ἀρὰς οὖν, ἀρητήσιον ὁ τόπος ἐκλήθη. οὕτω Φιλόχορος, ἐν τῷ δευτέρῳ τῶν Ἀτθίδων. Ἀρητύρα, ἱέρεια.

Ἀρήτη, παρὰ τὴν ἀρὰν, ὃ ἐστι τὴν εὐχὴν, ἡ ἐναντία γινομένη τοῖς γονεῦσιν. οὕτως ἀρητὸς τὸ κόσμον. ἐξ οὗ καὶ ὁ παρὰ Ἡρακλέα Λυκάστου, κατὰ διὰ τὸ ἀράν καὶ αὐτὸς γονεῦσιν. ὁ μὲν γὰρ ἀρητὸς τὸ ἐπίθετον, ὁ δηλοῖ τὸν δυσχερῆ, καὶ ὡς εἰπεῖν ἐπάρατον. ὡς τὸ, ἀρητὸν δὲ γόοισι τοκεῦσι. παρὰ τὴν ἀρὰν, τὴν βλάβην σημαίνει. ἀπὸ δὲ τοῦ ὁμοίου ἀράδων, οἱ μεθ᾽ Ὅμηρον ἔφασι. ὁ καλὸς ποιητὸς, ὁ ὁ μνησάμενος στρατηγὸς, καὶ οἱ τινὲς πρὸ ἐπί. Ἀρημάλας, ἄλλον ὡς εὑρηται καὶ ἄρητος, οὗ τὸ πατρωνυμικὸν, ὁ ἀρητιάδης. Ἀρηΐας, πάϊς ἐν ᾗ ἐστι σημαίνει ὄρνεον τοῦ ποταμοῦ, ἀπὸ συμφάλῳ τῆς ἀρηϊάδα πόλεως, ὑπὸ Ἡρακλέους λυχθεῖσα.

θῆς, Ἡσίοδος. Ἀργὼ ἡ ναῦς, ἀφ' ἧς καὶ οἱ Ἀργοναῦται. εἴρηται δὲ ὅτι Ἄργος αὐτὴν κατεσκεύασεν, ἢ ὅτι ἐν Ἄργει τῇ πόλει κατεσκευάσθη. Ἀργώ. ὁ Ἀπολλώνιος καλεῖ τὴν Ἀργὼ, ἀπὸ Ἄργου τοῦ κατασκευάσαντος. Φερεκύδης δὲ ἀπὸ Ἄργου τοῦ Φρίξου υἱοῦ. ταύτην δέ φασι πρώτην τῶν γενέσθαι μακράν. ἄλλοι δὲ λέγουσι, Δαναὸν διωκόμενον ὑπὸ Αἰγύπτου, πρῶτον κατασκευάσαι. ὅθεν καὶ Δαναῒς ἐκλήθη. ἢ ὅτι ἐν Ἄργει ἐσκευάσθη, ὥς φησιν Ἡγήσανδρος ὁ Σαλαμίνιος, ἀπὸ Ἄργου. Ἀργῷος λιμήν. παρὰ τῇ Τριτωνίδι λίμνῃ ἐστὶν, Ἀργῷος καλούμενος.

Ἄρδα, μολυσμός. Ἀρδαλίδας, αἱ μοῦσαι. Ἄρδαλος, μόλυσμα. Ἀρδάλης, ῥυπαρός. Ἀρδαλωμένος, τεθολωμένος. Ἀρδαλῶσαι, μολῦναι. ὡς οἷον ἐμπεπλήκασι τὸν ἄρδαλον. Ἀρδάνιον, ὑδρεῖον, γάστρα, ὅθεν τὰ ἀρδεύματα ποιεῖν. Ἄρδαν, γένος τις, καὶ ἀγγεῖον παρὰ τῷ Ἱπποκράτει.

Ἀρδεύεσθαι, ποτίζεσθαι. Ἀρδευμὸς, ὁ ποτισμός. καὶ ἀρδευμοῖσιν, μισημβρινόν. Ἄρδην, φορυτῶν, ἢ σφόδρα, ἢ παντελῶς, ἢ ἀθρόως, ἢ ἐξ ὁλοκλήρου. Ἄρδην, ἀπὸ τοῦ αἴρω γίνεται. καὶ ἐπὶ τὸ αἴρω δηλοῖ τὸ ὑψῶ καὶ ἀφανίζω, ἡ δὲ ἄρδην δύο δηλοῖ. ποτὲ μὲν τὸ μετεώρως καὶ κούφως, ποτὲ δὲ τὸ ἀφανιστικῶς. καὶ ἄρδην ἐπίρρημα, σημαίνει τὸ ὁμοῦ. Ἀρδηττός. Λυσίας ἐν τῷ πρὸς Ἐλπίδων, τόπος Ἀθήνησιν ὑπὲρ τὸ στάδιον τὸ Παναθηναϊκὸν, πρὸς τῷ δήμῳ τῷ ὑπένερθεν Ἀγραυλῆς. ἐν τούτῳ φασὶ δημοσίᾳ πάντες ὤμνυον Ἀθηναῖοι, τὸν ὅρκον τὸν ἡλιαστικόν. ὠνομάσθη δὲ ἀπὸ Ἀρδήττου ἥρωος ἀρχαίου, ὃς Ἀθηναίους πρῶτος ἥγνισε. Θεόφραστος δὲ ἐν τοῖς περὶ νόμων δηλοῖ, ὡς καταλέλυται τὸ ἔθος νῦν. Ἀρδήττης, τοὺς ῥαδίως ἐπὶ τοὺς ὅρκους ἰόντας. Ἀρδήττης ἐκαλεῖτο τόπος περὶ τὸν Ἰλισσὸν, ἐγγὺς τοῦ Παναθηναϊκοῦ σταδίου, ἐν ᾧ τοὺς ὅρκους ἐποιοῦντο. Ἀρδιαι, τὰ ἐκ χαρὸς ὅπλα. Ἀρδικὸς, φαρέτρα. Ἄρδις, ἀκὶς βέλους, ἢ τὰ ἐκ χορὸς ὅπλα. καὶ ἄρδις πληθυντικοῦ, ἀντὶ τοῦ φαρέτρα. ἢ ἄρδις, ἀκίς. Αἰσχύλος Προμηθεῖ δεσμώτῃ. Ἀρδμὸς, ποτισμός. καὶ ἀρδεία, ὁ ποτισμός. Ἀρδομένων, ποτιζομένων.

Ἄρδω, ποτίζω. Ἀρέθουσα, ὄνομα πηγῆς, παρὰ τὸ ἄρδω τὸ ποτίζω. Ἀραιοί. οὕτω ἔλεγον κτίσμα τὴν ἱερὰν τοῦ θεοῦ, καὶ οὐχὶ ὁμοούσιον τῷ πατρὶ πεφυκέναι. ἔστιν αἵρεσις. Ἀραιὸς, ἀπαλός. καὶ ἀραιὸς πώλους, τρώσιμος. Ἀραιὰ, ἡ ἀπαλὴ, ἢ ἀσθενὴς, ὃ καὶ λεπτύνεται. ἡ βλάβη. Ἀρειῶν λέγει Ὅμηρος, τῶν ἀρῶν, ἤγουν ἀπειλῶν. πλεονασμῷ τοῦ ε διφθόγγου. ἀντίκειται τῇ ἀρειῇ πάντως οἱ μειλίχιοι λόγοι. Ἀρειμάνιος, ὁ πολεμικός. ὥσπερ παρὰ τὴν ἄρα δωδεκάδα γίνεται ἀρείφατος ὁ πολεμικὸς, τουτέστιν ὁ ἐν πολέμοις ὀνομαζόμενος, ἢ ὁ ἀπὸ φονευομένου. ἔτι αὐτὴν φόνον καὶ ἀρειμάνιος, διὰ τοῦ ε διφθόγγου, παρὰ τὴν ἄρα δωδεκάδα. Ἀρειμανὴς, ὁ αἴδας, παρὰ Πέρσαις. Ἄρειος πάγος, δικαστήριον Ἀθήνησιν, οὕτω καλούμενον. οἱ δικασταὶ, Ἀρεοπαγῖται. ἐκλήθη δὲ Ἄρειος πάγος, ἢ ὅτι αἱ Ἀμαζόνες ἐπὶ τὸν τόπον ἐστρατεύοντο Ἄρεως οὖσαι, ἢ ὅτι ἐν πάγῳ ἐστὶ καὶ ἐν ὕψει τὸ δικαστήριον. ἄρειος δὲ, ἐπεὶ δικάζει ὁ Ἄρης τὸν φόνον. πάγος δὲ, ὁ λόφος. ὡς καὶ Ὅμηρος, πάγος δὲ οἱ ἀντεβόλησεν. ἢ ὅτι ἐκεῖ ἐπήχθη τὸ δόρυ ὁ Ἄρης, Ποσειδῶνος κατηγοροῦντος διὰ τὸν φόνον τοῦ υἱοῦ αὐτοῦ Ἁλιρροθίου, ὅτι ἀπέκτεινεν αὐτὸν, βιασάμενον Ἀλκίππην. Ἀρεσθεὶς, αἰρέσεσι. Ἀρέσκος, ἱερὸς τοῦ Ποσειδῶνος. Ἀρέσκετον λῆμα, ἰχορόν. ἀντὶ τοῦ ἄρεσκον. Αἰσχύλος Καβείροις. Ἀρείων, ὁ κρείττων καὶ βελτίων.

Ἀρθμὸς, ἡ φιλία, καὶ ἡ ἁρμονία τῆς ψυχῆς. Ἀρθμεῖν, ἁρμόζειν. Ἀρθροβοσκὸς, προβατοβοσκός. Ἀρεοπαγίτης, ὁ δικάζων καὶ σκοπῶν δι' ὅλου, κατὰ ἀναλογίαν. Ἀρθμῆσαι, κεῖται παρ' Ὁμήρῳ, καὶ ἀντὶ τοῦ ἁρμοσθῆναι, εἰς ἀριθμὸν καὶ φιλίαν ἐλθεῖν. ποιητικῶς δὲ τὰ πλεῖστα τὸ ῥῆμα τοῦτο προφέρεται. λέγεται δὲ καὶ παλαιῶς ἀπαρτίζεσθαι καὶ ἀπαρτισθῆναι. δηλοῦται δὲ διὰ τούτου τὸ εἰς φιλίαν συναρμοσθῆναι. οὕτω δὲ καὶ παρίστασθαι ἐνεργητικῶς, καὶ παρίσταμαι παθητικῶς. ὅρα δὲ καὶ τὸ ἀπὸ τοῦ ἀπαρτίζεσθαι. τὸ μὲν γὰρ ἑλληνικῶς ἔχον δοκεῖ. τὸ δὲ ἀπαρτίζεσθαι δωρικὸν καὶ δοκεῖ, ἢ τοιοῦτος ἐστιν ἑτεροῖον εἶναι καὶ ἀναλυτικός. ἴσμεν δὲ, καὶ ὅτι ἐκ τοῦ Ὁμηρικοῦ ἀρίζεσθαι καὶ τὸ μιμητικὸν τὸ ἀρεστόν λέγεσθαί φησιν Αἴλιος Διονύσιος ἀρεσκεύσας, δι' ὧν δηλοῦται ἡ πρὸς τὸ θεῖον ἀρίζεσθαι. Ἀρίζεσθαι, τὸ φιλικῶς θεραπεῦσαι, ἤγουν φιλοφρονεῖσθαι. ὅθεν καὶ ἐρίηρες, οἱ πρὸς φιλίαν ἡρμοσμένοι ἑταῖροι, καὶ ἀρθμὸς ἡ φιλία. συντάσσεται δὲ μετὰ αἰτιατικῆς, ὡς δηλοῖ τὸ αὐτὴν ἀρεσάσθω, καὶ τὸν ξεῖνον ἀρέσασθαι. καὶ παρ' Ὁμήρῳ ἀρίζεσθαι, τὸ εἰς φιλίαν ἁρμόζεσθαι. ὅθεν καὶ ἀρθμὸς ἡ φιλία. καὶ ἑταῖροι ἐρίηρες, οἱ ἀγαθοὶ ὄρεσοι, ὅ ἐστιν ἡρμοσμένοι. καὶ πρόσκειται δὲ, ἡ τῷ σώματι προσφερὴς τροφὴ καὶ ἀρέσκει, ὑπερβολικῶς φησὶ τὸ φιλοφρονεῖσθαι. καὶ τὸ ἀρέσασθαι δὲ, ἀντὶ τοῦ εὔξασθαι, ὅμοιόν ἐστι Δωριεῦσιν. καὶ γὰρ καὶ τὸ ἀρᾶσθαι ἁρμονία τίς ἐστι πρὸς τὸν θεὸν, ὥσπερ ἡ εὐχή, ἣν ὁ Αἴλιος τὰς πρέσβεις φησὶ πρὸς θεὸν ἀθυμότατον. Ἀρεσάσθω, εὐάρεστον κατασκευασάτω. Ἀρίθυρον, ἰκύλευσιν. Ἀρέσαντ', εὐφρανῶν. Ἀρέσθαι, ἤγουν συναρμοσθῆναι φιλικῶς, καὶ εἰς ἀριθμὸν, ὅ ἐστιν ἁρμονίαν φιλίας, ἐλθεῖν. Ἀρεσίτοκον, σύμματρον, ἀρέσκον. Ἀρεσκὸς, ὁ πρᾶος, καὶ ἡ διδομένη ῥάβδος τοῖς κωμικοῖς. Ἀρεσκεύεσθαι, φιλοφρονεῖσθαι. Ἀρέσκει μοι πραγματευομένῳ θεραπεύειν, καὶ ἀρέσκω μοι πάντα θεραπεύειν.

Ἀρέσκω δὲ, ἀντὶ τοῦ ἀρεστὸς αὐτῷ φαίνομαι, ἁπλῶς μετὰ δοτικῆς συντάσσεται, ὡς παρὰ Πλάτωνι, ἀλλ' εἰ μὴ σοὶ ταῦτα ταῦτ' ἀρέσκει. ἀρέσκομαι δέ σε, ἀντὶ τοῦ ἀποδέχομαι αὐτόν. καὶ ἀπαρέσκομαι, τὸ οὐκ ἀποδέχομαι. γίνεται δὲ ἐκ τοῦ ἀρῶ ἀρῶ, ὁ μέλλων ἀρέσω, καὶ πλεονασμῷ τοῦ κ ἀρέσκω, καὶ μεταφέρεται εἰς ἐνεστῶτα. ἴσον δὲ τὰ εἰς σκω λήγοντα ῥήματα βαρύτονα, μέχρι τοῦ παρατατικοῦ κλίνονται. χωρὶς τοῦ διδάσκω διδάξω, καὶ ἀλύσκω ἀλύξω. τὸ δὲ διδάξω, οὐκ ἀπὸ τοῦ διδάσκω, ἀλλ' ἀπὸ τοῦ διδάχω παράγεται. Ἀρεσόμεθα, ἐξιλασόμεθα, θεραπεύσομεν, φιλοφρονησόμεθα. ἀπὸ τοῦ ἀρῶ, ἀρᾷς. Ἄλλως. Ἀρεσόμεθα Ὅμηρος, ταῦτα δ' ὄπισθεν ἀρεσόμεθα, ἤγουν ὕστερον φιλιωσόμεθα. ἐκ τοῦ ἄρω ἀρέσω, τὸ εἰς φιλίαν συνάπτω. ἐξ οὗ καὶ ἀρεστὸν εἶδος τιμήματος, ἀρέσκοντος ὡς εἰκός. καὶ ἀρθμὸς, ὁ φιλία. καὶ ἄρθμιος, ὁ φιλικός. ἀφ' ἧς λέξεως καὶ ἀρέσαι παρὰ τοῖς ἐν ὕστερον, τὸ συγκαταθέσθαι. ὅθεν καὶ τὸ εὐάρεστον, καὶ τὸ ἀρέσκειν. Ἀρεστήριον, ἱλαστήριον, θῦμα, καὶ πέμμα πρὸς θυσίαν. Ἀρεστὴρ, ἱερεὺς πλακοῦντος, τοῖς θεοῖς ἀφιερωμένος. καὶ πόπανον, τὸ ἐν ταῖς θυσίαις ἐπιδιδόμενον, παρὰ τὸ ἀρέσκειν. Ἀρετᾷ, ὁ ὑπερέχων τοὺς ἄλλους, καὶ βελτίων τῶν ἄλλων. Ἀρέχας, κλέμματα, βόθρια. Ἀρεσὰν, εὐτομὸς Ἀρκαδικῆς χώρας. Ἀρετᾷ, εὐ ὀρθοῖ ἐστιν. οὐκ ἀρετᾷ κακὰ ἔργα, τουτέστιν, οὐκ εὐτυχεῖ εἰς ἀρετήν. ἀναγινώσκεται δὲ περισπωμένως. Ἀρετὴ, διάθεσις ὁμολογουμένη. καὶ αὐτὴ δι' αὑτὴν ἐστὶν αἱρετή. οὐ διὰ τινα φόβον ἢ ἐλπίδα, ἢ τι τῶν ἔξωθεν ἐν αὐτῇ. ἢ ἀρετή ἐστιν, ἡ τὸ ἄγαν μέσων ἐν ἡμῖν παρὰ θεῷ φυσικῶν κάλλιον, καθ' ἑκάστου καὶ ἀρέσκειν αὐτῷ χάρις. ἢ ἀρετή ἐστι διάθεσις βελτίστη, ἢ ἕξις ἀρίστη ψυχῆς λογικῆς. καθ' ἣν δεκτικὸς γίνεται πρὸς καλόν. εἴρηται δὲ παρὰ τὸ ἀρέσκειν τῇ ἀληθείᾳ τὸ γινόμενον. ἢ παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ, ἐρατή. καὶ κατὰ μετάθεσιν τοῦ στοιχείου, ἀρετή, ἡ ἐπέραστος κτῆσις, ἣν αἱροῦνται πάντες. ἢ παρὰ τὸ ἀρῶ ἀρέσω, ἀρεσὴ, καὶ ἀρετή. λέγεται ἀρετὴ, καὶ ἡ κατὰ πόλεμον δύναμις. παρὰ τὸν Ἄρην, ὃ σημαίνει τὸν πόλεμον ἡ ἀρετή, ἢ πᾶσιν ἀρέσκουσα, καὶ τοῦ καλῶν νομιζομένων ἐπιχαρία, ἢ θεία δύναμις. Διάθεσις ἀγαθὴ, καὶ βίος ἐνάρετος. Ἄλλως. Ἀρετὴν οὐ μόνον τὴν ἀνδρείαν, ἀλλὰ καὶ τὴν δεξιότητα τὴν περὶ τοὺς ἄθλους δηλοῖ παρὰ τοῖς ἔπεσιν. δηλοῖ δέ ποτε καὶ τὴν εὐδαιμονίαν, ὡς τὸ

ὀρθ

ἐπισχάρμως. ἢ παρὰ τὸ εἰς τὸ γίνεσθαι ἐκ τῆς ἀργῆς. Ἀργιόδους, ὁ μεγαλόδους. Ἀργιὸς, λευκὸς, ταχύς. Ἀργιόεντας, ἀντὶ τοῦ λαμπροὺς. Ἄργεια, τὰ ἐκ τῶν σωμάτων μέρη, ὡς διαπεπληγμένον δίκτυον. Ἀργιφόντα, κυνοφόνον. Ἀργινόεντα, τὰ εἰς ἀπάτας, ἔθνους θεοῖς λέγει Ὅμηρος. Ἀργοὶ βόες, ὅταν παρ' Ὁμήρῳ ἀκούσῃς, λέγονται ἀργοὶ βόες, οἱ ταχεῖς. καὶ μὴ νόμιζε δὲ, ἀλλὰ οἱ λευκοὶ καὶ μὴ μέλανα τοῖς τεθνεῶσι θύουσι. εἶναι λέοντάς φασιν, διὰ ἀργοὶ βόες οἱ μετὰ τὸ σφαγῆναι, ἀποδαρθῶσι, λευκοὶ τῇ πιότητι. ὅμοιοι οἱ παρὰ τῷ Πινδάρῳ ἀργαεντες. Ἀργέλαι, εἶδος οἰκημάτων. οὓς ἐπετέλει Μακεδὼν ὁ Ἀλέξανδρος ἐκ τῆς ἄργης τῆς πελαγικῆς εἰς Ἀλεξάνδρειαν. καὶ ἐνέβαλον εἰς τὸν ποταμὸν πρὸς ἀναίρεσιν τῶν ἀσπίδων, ὅτι μετέθηκε τὰ ὀστᾶ ἱερεμίου τοῦ προφήτου, ἐξ αἰγύπτου εἰς Ἀλεξάνδρειαν, οὓς αὐτὸς ὁ προφήτης ἀπέκτεινεν. ἀργέλαι οὖν, ἐκ τῆς ἄργης. Ἀργὸν, τὸ λευκὸν, ἐξ οὗ καὶ ἄργυρος. ἀργύφεον παραγωγῶς, τὸ αὐτό. Ἄργον φασὶν εἰς ταῦτα μεταβεβλῆσθαι. διὰ τοῦτο λέγει Ἀριστοφάνης, πόθεν ὄρνις εἶ σὺ, ὁ λεγόμενος ταριχός. παρὰ τὸ ταριχεύειν, ὁ παῖς. Ἄργος, τὰ περὶ τὰς μυκήνας χωρία, καὶ αὐταὶ αἱ μυκῆναι. μυκῆναι δὲ, ἡ προκαθεζομένη τοῦ ἄργους πόλις, ὥσπερ ἀνάπαλιν ἡ προκαθεζομένη πόλις τῆς λακεδαιμονίας. λακεδαιμονία δὲ, τὰ περὶ αὐτὴν χωρία. εἰσὶ δὲ τὸ ἄργος καὶ ἡ λακεδαιμονία, ἐντὸς τῆς πελοποννήσου. Ἄργος, φασὶν ἑλληνικὸς παλαιὸς τρεῖς φορεῖν γενέσθαι. οἱ τοῦ πικροῦ θανάτου, διακείμενοι τῶν ἀργείων. καὶ ὁ μὲν πρὸς ἐρυθρῷ τῷ ποταμῷ, πελασγοῦ ἔλαχε, τὸ καὶ τὴν ἐκεῖ λάρισσαν κτίσαντα. ἴασον δὲ, τὰ πρὸς ἤλιν. ἀγήνορα δὲ, ἀνατολικὰς τῆς γῆς, τὴν παραλίαν εἴληφεν ἵππον. ὅθεν ἐπὶ τῷ αὐτοῦ χρόνῳ ἐνομάσθη τὸ ἄργος τριχῶς, ἴασον, πελασγικὸν, καὶ ἱππόβοτον. ἴσως δὲ μετὰ τὴν θάνατον τῶν δύο ἀδελφῶν ἐπικρατοῦσι φασὶ τὸν ἀγήνορα παλαιὸν ἱππευόμενον ἵππον. ἀφ' ἧς κληθῆναι τὸ ἄργος ἱππόβοτον. Ἄργος, ἀποθνῄσκουσιν τῆς ἔθνης ποιοῦσι τὸν ἀργὸν, ἀλλὰ οὐχ ὥσπερ αὐτῷ ἐκέλευσεν ὁ πελίας ἀργαλέοις γόμφοις πηγνῦναι, ἵνα ταχέως ἀπόλωνται οἱ ἀργοναῦται. διὰ τοῦτο ὁ Ἀπολλώνιός φησιν ἀθηναίης ὑποθημοσύνῃσιν γενέσθαι αὐτήν. Ἄργος, υἱὸς τοῦ φρίξου παῖδων. οὓς Ἡρόδωρός φησιν ἐκ χαλκιόπης τῆς αἰήτου θυγατρός. Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος, ἐν ταῖς μεγάλαις ἠοίαις φασὶν, ἐξ ἰοφώσσης τῆς αἰήτου. καὶ οὗτος μὲν φησὶν αὐτοὺς τέσσαρας, ἄργον, φρόντιν, μέλανα, κυτίσωρον. Ἐπιμενίδης δὲ, καὶ πέμπτον προστίθησι πρέσβωνα.

Ἀργὸς ἡμέρα, καὶ ἀργὸς γυνὴ, ἀργὸν δὲ ἀργὸ.

Ἀργὸς, ὁ ταχὺς, καὶ λευκὸς, μᾶλλον δὲ παρὰ τὸ ἔργον εἰ δὲ σημαίνει τὸν καθαρὸν καὶ λευκὸν, γίνεται παρὰ τὸ ἀὴρ, ἀερὸς, ὁ ἀργός. διειδὴς γὰρ ὁ ἀὴρ καὶ διαφανὴς, καὶ διϊσμένος, ἀεὶ λευκανθίζοντος ὤν. Ἀργέσθαι, πόλις τῆς εὐβοίας ἐν τῇ Χαλκιδικῇ χερσονήσῳ. Ἀργοὺς κύνας, ἤγουν λευκοὺς, παρ' Ὁμήρῳ, ὡς τὸ λευκὸν φασὶ σωμάτων, διὰ τὸ ἀραιότερον. εὐπαθέστερον ὄντων ἤπερ τὰ μέλανα. πρωτοπαθῶς μὲν οὖν ὀρνέων καὶ κυνῶν ἐκαλοῦσαν. δευτέρως δὲ καὶ ἄλλα ζῶα, εἰ καὶ Ὅμηρος ἐκεῖνα σημαίνει πολλαχοῦ, ἐκ μέρους δηλώσας τὸ πᾶν. εἶτα καὶ ἀνθρώπους ἐπικαλοῦσι τὸ κενὸν ὄφελος ταῖς νουσὶν ἐπιχωριάζον. διά τε τὸ ἀναφερέσθαι αὐτοὺς τὸ τῆς ἐν ἀργῇ τρυφῆς αἰσθητικὸν, καὶ διὰ τὸ ἀφιέναι τὸν τόπον, ἐν οἷς οἱ φαῦλοι αὐχμοὶ ἔν αὐγῇ ἦγον, καὶ ἄλλα πολλά. Ἀργυραμοιβὸς, ὁ κολλυβιστής. δηλοῖ δὲ τὸν ἰδιωτικῶς λεγόμενον καταλλάκτην. ὃν καὶ ἀργυρογνώμονα λέγουσιν, ὅτι τὸν τὸ ἀργύριον γνωρίζοντα, καὶ δοκιμάζοντα. καὶ ἀργυραμοιβὸς, χρυσοχόος, ὁ καὶ ὁ καταλλάκτης. Ἀργυράσπιδες, τάγμα ἐν στρατιωτικόν, ὑπὸ Ἀλεξάνδρου. Ἀργυρέα, λευκὴ, ἀργυρίου στάσις. καὶ ἀργυρέα ὕσις, ἡ ἀργυρία αὔλαξ, παρὰ Θεοκλίδῃ. Ἀργυρέαι λόγχαι, οἱ μισθοφόροι. Ἀργύρεον, λαμπρὸν καὶ καθαρόν. Ἀργυραλίας, ἀργυρωνήτος.

Ἀργυρίδιον, διὰ δὲ τὸ γράφεται διὰ ποιότητα αἰτίαν. ἰστέον, ὅτι εἰσὶ παραγωγαὶ διὰ τοῦ διου, καὶ ιδιου. καὶ εἰ μὲν ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τῆς πρωτοτύπου ἀπὸ συμφώνου ἄρχεται, διὰ τοῦ ιδιου γίνεται ἡ παραγωγὴ, καὶ φυλάσσονται αἱ τρίται συλλαβαὶ αἱ τελευταῖαι συνεκτεινόμεναι. οἷον, γνώμη, γνώμης, γνωμίδιον. ψυχὴ, ψυχῆς, ψυχίδιον. ξίφος, ξίφους, ξιφίδιον. εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται, διὰ τοῦ διου γίνεται ἡ παραγωγὴ, καὶ ἐκτείνεται ἡ τρίτη ἀπὸ τέλους συλλαβή. οἷον, χαρίεον χαρίδιον, ἀγγεῖον ἀγγείδιον. καὶ εἰ μὲν εὑρεθῇ τὸ ι, ἢ τὸ ο, τὸ ι προσέρχεται, πόλεως πολίδιον, ἔρως ἐρίδιον, βοὸς βοΐδιον. Ἀργύρειον, γραμματεῖον, ὃ καὶ βουλευτικὸν καὶ ἐκκλησίαν λέγεται. Ἀργυροθήκη. Δείναρχος ἐν τῷ κατὰ προξένου λόγῳ. δηλοῖ δὲ γραμματίδια, οἷς ἐχρῶντο ἀθηναῖοι. τὰ μὲν ἦν γράφειν μόνον τι ἐν αὐτοῖς, τὰ δὲ ὥστε καὶ ἀργυρίδιον κατατίθεσθαι, ἅπερ καὶ κιβώτια ἐκάλουν. τὰ δὲ ἄλλα μαρτύρια.

Ἀργύνειος παρὰ Ἀριστοφάνει, ἀθηναῖος ἐπὶ μαλακίᾳ τοῦτον διαβάλλεται, ὡς καὶ πορδὰς ἀφιέναι. καὶ εἰς ἐρυθρότητα δὲ τὸν ἀργύνειον κωμῳδοῦσι. πέρδεται δὲ, τρίπλα πλευρῶν, καὶ ἀργύνειος υἱὸς Βοτάνης. Ἄργυρος, λιθάργυρος. Ἀργυρίτης, ὁ ἐν ἀργυρίῳ τὴν οὐσίαν ἔχων. καὶ ὁ ἐκ τῶν ἐνδογύρων μετάλλων γῆ. Ἀργυρογνώμονα λέγουσι, τὸν καταλλάκτην.

Ἀργυρογνώμων, δοκιμαστής. Ἀργυροδίνης, οὐ πλουσίου μόνον ἐπίθετον, ἀλλὰ διαυγοῦς παντὸς ποταμοῦ. καὶ ἀργυρίας δίνας, ὁ ἐπὶ καθαρῷ ῥεύματι διοικούμενον, ἢ λευκόρευθρος, ἀπὸ τοῦ ἄργυρος καὶ τοῦ δίνη. καὶ ἀργυρὶς, ἡ ἀργυρᾶ φιάλη, τὸ δὲ, ἰῶτα. τὰ διὰ τοῦ ινα, ἢ διὰ τοῦ ινη, ἀποβάλλονται τὴν ε δίφθογγον. οἷον αἰχίνας, αὐλίνας. τὸ δὲ ποιμένης, ἀπὸ τοῦ ποίμνα. ἀργυροδίνης δὲ, παρὰ τὸ ἄργυρος, ὃ σημαίνει τὸ λευκόν. Ἀργυρόηλον, τὸ ἀργυροῦς ἥλους ἔχον, ἐκ τοῦ ἀργυροῦς τῆς κτήσεως, καὶ τοῦ ἧλος.

Ἀργύριον, πᾶν νόμισμα εἴτε ἐν χαλκῷ, εἴτε ἐν ἀργύρῳ, εἴτε ἐν χρυσῷ. εἰώθασιν ἀργύριον καλεῖν, καὶ οἱ μὲν ξένοι ἑνικῶς. οἱ δὲ κωμικοὶ ἀργύρια, πληθυντικῶς. Ἀργυροκοπεῖον, ἐν ᾧ κόπτεται τὸ νόμισμα. ὃ οὗτοι ἐν τῷ συμβολαίῳ ἐκάλουν. Ἀργυροκοπικὸς, τραπεζίτης, ἢ ὁ τὰ ἀργύρια ἐργαζόμενος. Ἀργυρολόγος, τελώνης. Ἀργυρολόγους ναῦς, τὰς συλλεγούσας ἀργύριον, καὶ λήμματα ποιοῦσας, λέγει Ἀριστοφάνης. Ἀργυρόπεζα, ἡ ἀργυροῦς πόδας ἔχουσα. πέζα δὲ, ὁ πούς. καὶ ἀργυρόπεζα θέτις λέγεται, διότι αἱ ἀφραὶ πέζαι τῆς θαλάσσης, τουτέστι τὰ ἔσχατα ὅσα πρὸς τῷ αἰγιαλῷ ἀργύρια εἰσὶν, ὡς δηλοῦνται. μελάντερα δὲ, τὰ ἐν δολοτέροις. διὸ ὁ ποιητὴς ἐπὶ μὲν αἰγιαλοῦ φησι, θῖν' ἐφ' ἁλὸς πολιῆς, ἢ τὸ λευκῆς. ἐπὶ δὲ τῆς ἐμβαθυτέρου, μέλανά τι πόντον λέγει, ἢ οἴνοπα. συμβολικῶς δὲ καὶ κατὰ μῦθον, ἀργυρόπεζα ἡ λαμπρότης. οὖσα τίς ἐστι καὶ καλλίσφυρος. καὶ ἡ παρ' Εὐριπίδῃ ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί. τινὲς δὲ λέγουσι πέζαν, τὴν κόσμον τῆς ἱματίου ὄντα κάτω δέρματι. ἵνα εἴη ἀργυρόπεζα, ἡ κόσμον λαμπρὸν περὶ τὰς ὤας τοῦ ἱματίου ἔχουσα. Ἀργυρώνητος δίφρος, ὁ ξέρξου, ὃς αἰχμάλωτος ἐπωλεῖτο. ἐξ οὗ καθεζόμενος, ἐθεώρει τὴν ναυμαχίαν. ἀνέκειτο δὲ, ὡς ἐν παρθενῶνι τῆς ἀθηνᾶς. Ἄργυρος μὲν λέγεται καὶ χρυσὸς, ἡ οὐσία τοῦ ἀργύρου καὶ τοῦ χρυσοῦ. ἀργύριον δὲ καὶ χρυσίον, τὰ ἐξ αὐτῶν νομίσματα. ἀργυροῦν δὲ ἢ χρυσοῦν, σκεῦος. Ἀργυρὸς, ὁ κατὸς. ὕσταν δὲ ὀβολοί. Ἀργυρόδινος, τουτέστι λαμπρότατος. οὐ γάρ ἐστι πλάσαι τόξον ὅλον ἀργύρεον. Ἀργυροσκόπος, ἀργυρολόγος, ἐκ τοῦ πολυτελοῦς.

Ἀργυρώνητος, ὁ ἀργυρίῳ ἀγορασθεὶς οἰκέτης. Ἀργύτερον, εὐλόμενον. φρόνησις. Ἄργυρα, μέλαν ἐπίθετον, διὰ τὴν τοῦ ὄρους λευκότητα. ἀργύφεον δὲ, ἐπὶ ἱματίου τίθεται. Ἀργύφεον, μᾶλλον, ἢ λαμπρόν. Ἀργυφέοισι, λαμπροῖς, καθαροῖς. καὶ ἀργύφεον, ἄργυφον. παράγωγον ἀπὸ τοῦ ἀργόν. καὶ ἀργύφεον πλεονασμός. σημαίνει δὲ τὸ μέγα σπήλαιον, ἢ λαμπρόν. ἀργυρίζεσθαι,

ἄρασθαι φορτίον. καὶ ἄρασθαι, ἆραι, λαμβάνειν. Ἀράσιμος, ὁ καταθέσιμος. Ἀράσσειν, γίνεται ἀπὸ τοῦ ἄρης, ὁ σίδηρος. δηλοῖ δὲ τὴν ῥαδίαν καὶ ἄπονον ἐκκοπήν. καὶ ἀράσσε, συντρίβε, τύπτε, ἀμέλγε. Ἀρασσόμενα, προσρηγνύμενα, πληττόμενα, θορυβούμενα. Ἀρασσομένων, ἀντὶ τοῦ συγκεκρουσμένων ἀλλήλοις. Ἀράσω κυρίως, τὸ διὰ σιδήρου τέμνω. Ἀραχάδες, τὰ περιττὰ κλήματα. Ἀρᾶται, καταρᾶται, εὔχεται, ἐπιθειάζει τῷ πατρί. Ἀραχνιᾶσιν, καταρᾶσθαι. οἱ δὲ, σκοτίζεσθαι. Ἀράτιον, κρούων. Ἀραφὶλ, γνόφος, ὁμίχλη. Ἑβραϊκὸν ὄνομα κωλύματος. Ἀραφιῶνος, δῆμος ἐστὶ φυλῆς τῆς αἰγηΐδος. Ἀραχθεὶς, διωχθείς. Ἀράχνειον ῥᾶκα, καὶ ἀραχναῖος μίτος, ὁ λεπτότατος. Ἀράχνη θηλυκῶς, τὸ ὕφασμα. ἀράχνης δὲ ἀρσενικῶς, τὸ ζωΰφιον τὸ ποιοῦν ἐν αὐτῷ τὰ ὑφάσματα. καὶ ἀράχνιον δὲ, τὸ αὐτό. Ἀραχνιᾶται, ἀράχνια. Ἀράχνης, εἶδος ὀσπρίου. Ἀραχνία, ἀράχνη, ἀττικοί. Ἀραχνοϋφεῖς, ὡς ὑπὸ ἀράχνης ὑφασμένοι. Ἀραχωσία, χώρα.

Ἀραιῶν, τῶν αὐχμῶν, ἢ ἱδρώων. Ἀρβάκις, ὀλιγάκις.

Ἀρβάλη, τὸ γαστρόστραγγον, Ταραντῖνοι. Ἄρβελα, ὄνομα τόπου. καὶ ἀρβήλαις, ἀθηναῖοις. Ἄρβηλον, σμιλίον σκυτικὸν περιφερὲς, ἐπὶ δὲ καὶ ὅπλον. Ἀρβίννη, κρέας, σικελοί.

Ἀρβὸν, λιτὸν, ἀραιὸν, τὸ ἐλαφρὸν τοῦ ὑποδήματος.

Ἀρβύλαι, αἱ καὶ ἀρβυλίδες, ἀσκέραι, περιτικαί. ὧν χρῶνται καὶ παρὰ τῶν κωμικῶν. Ἀρβύλη, εἶδος ὑποδήματος. παρὰ τὸ ἁρμόζεσθαι τοῖς ποσίν. ἁρμύλη, καὶ ἀρβύλη. Ἀρβύσδα, λέκυθον, λάκυθος. Ἀργάδης, εἶδος φυτοῦ. καὶ ἀργαὶ γυναῖκες. Ἀργαίνειν, λευκαίνειν. Εὐριπίδης Ἀλκμαίωνι, διὰ ψοφίδος ἀργαίνοντα, λευκαίνοντος, φοινίσσοντος. Ἀργαῖον, τὸ καισάριον ὄρος. καὶ ἀργαῖον, τὸ μάγγαλον καλοῦσιν, ἀργαῖον καὶ πανσελήνιον. Ἀργαλέον, χαλεπὸν, δύσκολον. εἴρηται δὲ παρὰ τὸ ἄλγος, ἀλγαλέον. καὶ κατὰ τροπὴν τοῦ λ εἰς ρ. ὡς κεφαλαλγία, κεφαλαργία. ὁ ὥσπερ παρὰ τοῖς παλαιοῖς, τὸ δυσχερές. ἐκ δὲ τοῦ καταφέροντος ἀργαλέον ταυτὸ χεῖρον ἐκ τοῦ ἄλγος, καὶ πόνος. καὶ κακώματος. Ἀργαλέος, ὁ οὐ δεῖ ῥᾳδίως τοῖς ἀνθρώποις κατανοῆσαι. ταυτὸ λέγων ὥσπερ εἰ ἔλεγε, τὴν οὖν διὸς τούτων παρὰ ἂν ἱκανοῖς ἄνθρωποι κατανοῆσαι ζητοῦντες, καὶ ὅμως οὐ κατανοοῦσι. καὶ ἀργαλέος, χαλεπὸς, δεινὸς, παρὰ τὸ τὴν ἄρην τὸν πόλεμον, ἀραλέος. καὶ πλεονασμῷ τοῦ γ, ἀργαλέος. ἢ παρὰ τὸ ἄλγος, ὁ λύπης καὶ κακῶν ἐμποιῶν. παράγονται δὲ τὰ τοιαῦτα ὀνόματα ἀπὸ τριῶν μερῶν τοῦ λόγου, ἀπὸ ὀνόματος, ἀπὸ ῥήματος, ἀπὸ ἐπιρρήματος. ἀπὸ ὀνόματος, ὡς τὸ δίψα, διψαλέος. ἀπὸ ῥήματος, ὡς τὸ ἐδῶ, ἐδωδαλέος. ἀπὸ ἐπιρρήματος, ῥίμφα ῥιμφαλέος. τὸ δὲ ἀργαλέος. παρὰ τὸ ἄλγος, μεταθέσει τοῦ λ εἰς ρ. ὅμοιον τῷ ὑψηρὸς ὑψηλὸς, ὑψηρὸς ὑψηλός. Ἀργαλέω, ἀργῶ. Ἀργαλεώτατοι, δεινότατοι. Ἀργανθώνιον, ὄρος τῆς κίου. Ἀργαναρὸν, ἔθνος. Ἀργὰς, δεινότατος, θεσσαλὸς τὸν τρόπον. ἀργᾶν γὰρ τὸν ὄφιν ἐκάλουν οἱ ἀργεῖοι. καὶ ἀργὰς, ὄνομα τυράννου.

Ἀργαφίας, οἷον κεκαμμένους κριὼς ἔφασαν ἀργαφίας. Ἴωνες δὲ διὰ τοῦ ι, ἀπὸ γραμμάτων τοῦ ποσειδῶνος. τὸ γ ἐντελὲς ἐν τῷ ἑρμῇ, κρύφας ἀργαφίας. Ἀργεία, ἡ ἥρα, ἡ τῶν ἀργείων γῆ. καὶ ἀργεία μὲν ἑλένη, ἡ πελοποννησία, ἢ ἐξ ἄργους δηλαδή. δεῖν τὰ ῥυέντα κτήματα, ἅπερ ὁ ἀλέξανδρος. Ἀργεία σφυρά. ὡς φιλοδίκους καὶ συκοφάντας ἀργείους κωμῳδοῦσιν. Ἀργεῖαι, ὑποδήματα πολυτελῆ γυναικεῖα. Ἀργεῖον ἔχοντα. παρ' Ὁμήρῳ προπαροξυτόνως διὰ διφθόγγου, πλεονάζει μέν τι ἡ διὰ τοῦ ε καὶ τῶν δύο αι γραφή. Ἴωνες δὲ λέγουσιν ἀργίεσσιν. κεῖται δὲ σαφῶς, ἐπὶ τοῦ πεδίου, κληθὲν ὑπὸ τῶν παίδων ἀδίκως. κατὰ δὲ τὴν ἀναλεξάμενον τὰ ἐθνικὰ, ἡ ἄργυρα ὕστερον ἐκλήθη. ἣν δέ φασι καὶ τέχνος εὐβοίας ἄργυρα. ἔοικε δὲ τὴν πατρίδα ὁ ἐμὸς φονεῦσαι. ἄργεια δὲ ὠνομάσθη, ἢ ἀπὸ ἀργείων, ἢ διὰ τὸ προσκεῖσθαι τοῖς πεδίοις τῆς θετταλίας, ἣν πελασγικὸν ἄργος Ὅμηρος εἶπεν. ἐκαλοῦντο δέ φασιν οἱ ἐκεῖ καὶ λευκινοι, ἀπὸ λευκίας.

Ἀργείην ἑλένην, ἀντὶ τοῦ τὴν ἑλληνίδα. ἀπὸ τοῦ ἄργους, ἀφ' οὗ καὶ πάντες οἱ ἕλληνες ἀργεῖοι λέγονται. ὡς ἀπὸ τοῦ δαναοῦ δαναοί. Ἀργείας, κυβευτικοῦ βόλου ὄνομα. Ἀργεία, πελοποννησία, λακωνὴ δὲ Ἡσίοδος. Ἀργεῖοι, οἱ ἕλληνες, καὶ ἐκ τοῦ εἰλώτων οἱ πελασγοὶ οὕτως ἐλέγοντο, ἢ λαμπροί. ἀργείους ὁρῶ, πελοποννησίους. Ἀργεῖοι, ἀντὶ τοῦ ἀργεῖοι αἰολεῖς λέγουσιν. τοῦτον γὰρ αἱ διαιρέσεις εἰσί, καὶ συναιρέσεις. οἷον βασιλεῖ καὶ βασιλῆϊ, ἀργεῖ καὶ ἀργῆϊ. Ἀργειφόντης λέγεται, οἱονεὶ ἀργεϊφόντης. καὶ τροπῇ τοῦ ε εἰς ι, καὶ πλεονασμῷ τοῦ ι ἀργειφόντης. ὥσπερ καὶ ἀνδρειφόντης, ἀνδρειφόντης, ἀνδριφόντης. ἢ ὁ ἀργειφόντης, ὁ ἑρμῆς, ἀργοφόνος. κατὰ ἀμφίβολον, ταχυφόντης, λευκοφόντας. ὁ ἐν ἔργῳ πρῶτον ταχέως, ὁ καταλύων τοὺς φόνους. Ἀργείωνος, τοὺς ἀργείους. Ἄργελλα, οἴκημα μακεδονικόν. ἔνθα βαλανεῖα, ἐν αὐτῷ λούονται. Ἀργέματα, τὰ ἐπὶ τῶν ὀφθαλμῶν λευκώματα. Ἄργεμον, τὸ κατὰ πάθος γενόμενον λεύκωμα ἐν τῷ ὀφθαλμῷ. παρὰ τὸ ἀργὸν, ὃ σημαίνει τὸ λευκόν. Ἀργεμώνη, εἶδος βοτάνης. Ἀργέμιον, τὸ ἐν τοῖς ὀφθαλμοῖς λευκότατον, οἱ δὲ ὀφθαλμῶν. Ἀργεννὸς, ὁ λαμπρός. Ἀργεννόν, τὸ λευκὸν, ἐκ τοῦ ἀργός. ὁμοίως τῷ φαεινὸν, ἐρεβεννόν. Ἀργενναί, ἀργελόφλους. εἰσὶ δὲ αἱ τοιαῦται εἰς πολὺ ἀνέσεως φῦλαι, καὶ ὡς ἐπιτοπλεῖστον μαλλοῦσι. καθάπερ ὁ σκῦρος, καὶ αἱ λεγόμεναι ἀργεννοῦσαι. Ἀργεννάων, λευκῶν, ἢ λαμπρῶν. Ἀργεννῇσι, λαμπραῖς, λευκαῖς. Ἀργέσαι, οἱ ἐνέσιοι. Ἀργέσται, οἱ μὲν ἐπί τινος ἄνεμος, προπαροξύνεται, ὡς τὸ ἀφηλιώτης, ἀπὸ τοῦ ἀργέστης. οἱ δὲ ἐπίθετον ὄντα ἐστὶ, προπερισπῶνται, ὡς ἀπὸ τοῦ ἀργεστὴς ἀργεστοῦ, δηλοῖ τὴν ταχὺν, ἢ τὸν λευκὸν νότον. ὃν καὶ συνθέντες οἱ ὕστεροι λευκόνοτον φασίν.

Ἀργέτα δημὸν, τὸ λευκὸν λίπος λέγει. δημὸς μὲν γὰρ, τὸ λίπος. παρὰ τὸ δαίω. ἀργὴς δὲ, ἀργῆτος, ὁ λευκός. ἐξ οὗ τὸ ἀργῆτα κατὰ συγκοπήν. τοῦτο δὲ, καὶ ἐπιθετικὸν δημὸν ἀπεχθοῦ λέγει ὁ ποιητής. Ἀργέτι δημῷ, τουτέστι λευκῇ πιμελῇ. ἀπὸ τοῦ ἀργὴς ἀργῆτος ἀργῆτι, κατὰ συγκοπὴν τῆς παραληγούσης. ἢ ἴσως πρὸς διαστολὴν τοῦ, ἀργῆτι κεραυνῷ, ἤγουν λαμπρῷ. Ἀργεώδης, ὁ ἀργαλέος, πρῶτος. Ἀργὴ, ἡ πλάτη καὶ λείδον λευκό.

Ἀργῆν ἔπεφνεν ὄφιν, ἐστὶ δὲ ἐπίθετον δράκοντος. Ἀργὸν δὲ χῆνα λέγει Ὅμηρος, τὸν οἰκουρόν. ὡς καὶ αὐτός φασιν, ἥμερον καὶ σιταλλεμένην ἐν οἴκῳ. Ἀργὴς κεραυνὸς, ὀξυτόνως πρὸς διαστολὴν βαρυτόνου κυρίου μυθικοῦ τοῦ ἄργους. ὅπερ ἀδελφὸς ἦν βρόντης, καθ' Ἡσίοδον. καὶ ἀργὴς, ὁ λευκὸς, ἢ λαμπρός. ἢ ὄφις τις, οὕτως ὀνομαζόμενος παρὰ τῷ ἱπποκράτει. Ἀργῆεσσα, ἀργῆτα, λευκὸν, λαμπρόν. Ἀργῆτα κεραυνὸν, τὸν λαμπρὸν, ἢ ταχύν. Ἀργία, οὐ μόνον ἡ κοινῶς λεγομένη ἀργία, ἡ ἐκ τοῦ ἀθλίου κεκραμένου, ἀλλὰ καὶ ἡ εἰς ἔργον ἀτέλεια, διαφέρουσα τοῦ δικαστηρίου. ὁ ἐκεῖνος μὲν [illegible] δηλοῖ ψυχῆς. ὡς ἐν τῷ δικαστηρίοις, [illegible] ἀμείνων. [illegible]

Ἀργιάδης, ὁ [illegible] τῷ λόγῳ. Ἀργίλια, δῆμος τῆς ἀττικῆς. Ἀργιλλώδης, ὁ γυπώδης. Ἄργιλλος ἐστίν, ἡ λευκὴ γῆ. Ἀργίλλοψιν, γῆν μὴ βλαστάνουσαν [illegible]. Ἀργινα, ὄνομα πόλεως. Ἀργινος, ὄνομα ἔθνους. Ἀργίλοφοι, λευκόφαια κατ' ἰδίαν. οἱ δὲ τραχεῖς, καὶ μηλωταί. Ἀργιμήτου ταῦρος, τὰ χυμοῖς, ὁ λευκὸς, παρὰ γένος. λέγεται δὲ ἐπὶ τοῦ διακομίσαντος τὴν εὐρώπην. Ἀργινόεντα, λευκὸν, λευκόγειον, αἰγιαλώδη.

Ἀργινοῦσαι, πόλις τῆς αἰολίδος. ἀπὸ λευκοῦ δὲ λίθου κειμένη, καὶ μακίας καλουμένης ἄκρας. Ἀργινοῦσαι, νῆσοι κείμεναι ἐγγὺς τῆς λέσβου, ἀπὸ ἀργίνου τινός. Ἀργιόδοντες, οἱ ὀξυόδοντες. οἷς ἀργοὶ ὀδόντες, ὅ ἐστι ταχεῖς, θοοί. καὶ μεταληπτικῶς, ὀξεῖς, παρ' Ὁμήρῳ. Ἀργιόδοντος ὑὸς, ἡ πλεονασμῷ τοῦ ι, ὡς καὶ ἐν τῷ ἐπιεχέρ-

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ρ.

Ἄρα, ἐρωτηματικὸς προπερισπᾶται. οἷον ἆρά γε διαλόγους λελογχάσιν ἔτι; καὶ Ἀριστοφάνης, ἆρ' ἐκλελάληκα τὸ σοφός; Ἄρα σύνδεσμος παραλαμβάνεται. οἷον, εἰ φῶς ἐστιν, ἡμέρα ἐστί. φῶς ἐστιν, ἄρα ἡμέρα ἐστίν. ἐστὶν ὅτε σημαίνει, δηλοῖ σημαίνει τὸ αὖ. Ἄρα, οἱ ἀττικοὶ ὅταν μὲν ἐρωτηματικὸν ᾖ, προχαϊκῶς γράφουσιν. ὅταν δὲ ὡς σύνδεσμος συλλογιστικὸς λέγηται, ἀδιαφόρως. ποτὲ μὲν προχαϊκῶς, ποτὲ δὲ συνήθως. Ἄρα, λαμβάνεται καὶ ἀντὶ τοῦ ὡς ἔοικεν, ὡς παρὰ Ἀριστοφάνει, Σάλπιγξ ὁ πρωκτός ἐστιν ἄρα τῶν ἐμπίδων. καὶ παρὰ Λιβανίῳ, Οὐκ ἄρα εἶμι τῷ βιβλίῳ, ἢ Χείρων τέλειος ἀθάνατος γενέσθαι. Ἄρα, συλλογιστικὸς σύνδεσμος, ἢ ἀντὶ τοῦ δή, ἢ ὡς ἔοικεν, ἢ ὡς φαίνεται. οὕτω Πλάτων. Ἄρα, συμπερασματικὸν ὄν, καὶ ἀντὶ μακροῦ εὕρηται, ἔστι δὲ τὸ μὲν ἀποφθεγματικὸν ἄρα, μακρὸν ἀεί. τὸ δὲ, συμπερασματικὸν οὐκ ἀεὶ βραχύ. Ἄρα, ἐστὶν ὅτε καὶ ἀντὶ τοῦ ἀληθῶς λαμβάνεται. Ἄρα, ἀντὶ τοῦ ὡς ἔοικεν εὕρηται. Ἡσίοδος, Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος. οὐκ ἦν ὡς ἔοικε μία ἔρις. καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ, Οὐκ ἄρα σε γ' ἔτι ἔλαθε καὶ φρένες ἔσαν. καὶ Ἀπολλώνιος, ὁ ἄρα δύλος. ἢ ἆρα ἠθικῶς, ἀντὶ τοῦ ὡς ἔοικεν. Ἀρά, οὐ μόνον ἡ κατάρα, ἀλλὰ καὶ ἡ εὐχὴ καὶ ἡ βλάβη. ὥσπερ καὶ ἡ τύχη, κατὰ μὲν ἡ εὐτυχία, καὶ ἀτυχία. ὁμοίως καὶ τὸ ἀρᾶν.

Ἀραβάσσειν, ὅ ἐστιν ὀρχεῖσθαι, ἰωνικὴ λέξις. Ἀραβεῖν, ἠχεῖν, ἐκ τοῦ ἀραβῶ, ἀπὸ τοῦ κυρίως ἐπὶ τῶν ὅπλων κτύπου, ἄραβος. καταχρηστικῶς δὲ, καὶ ἐπὶ τοῦ στόματος. παρὰ τὸ ἄρειν, καὶ τὴν βοήν.

Ἀραβία, τόπος συρίας, καὶ κόσμος γυναικός. Ἀραβίδαι, αἱ μετὰ κονιορτοῦ πνοαί. καὶ ἀραβικὴ πνοή, ἡ τυφωνική.

Ἀράβιος ἄγγελος, παροιμία. παρὰ τὸ ἀράβιος αὐλητής, παραλαμβανομένη ἐπὶ τῶν ἀπαύστως διαλεγομένων, μετῆκται δὲ ἀπὸ τοῦ ἀραβίου αὐλητοῦ, ὃς ἐλάμβανε μὲν δραχμὴν, ἵνα ἄρξηται, ἵνα δὲ παύσηται, τέτταρας. Ἄραβος, κτύπος, κυρίως ὁ ἐν ἄρει βοή, ἀράβαος καὶ ἄραβος. ἢ κυρίως ὁ ἐν ἄρει βοή, ἄραβος καὶ ἄραβος. ἢ κυρίως, ὁ ἐπὶ τῶν ὅπλων βοή, ἄραβος καὶ ἄραβος. ἐξ οὗ τὸ ἀραβῶ. καὶ ἀραβαστήρ, ἠχητήρ, ψοφητήρ. Ἀραβύλαι, ὑποδήματος διαφορά, καὶ βοιωτικά. Ἀράβω, ψοφῶ, ἐν κλεισμένοις. Ἀραγμός, ψόφος. Ἀράσσω, θορυβῶ, ταράσσω. Ἀράττεται, κινεῖται, συγκλείεται. Ἄραδος, ἡ ἀπὸ τῶν γονάτων τῶν σκελῶν κίνησις, καὶ πόλις. Ἀράδης, βλαβεράς, λυπάς. Ἀραιαὶ γνάθοι, αἱ ἀσθενεῖς καὶ βεβλαμμέναι. ὡς γὰρ γέρων γεραιός, πλεονασμῷ τοῦ ι, οὕτω καὶ ἀρὰ ἀραιός. ἡ δὲ ἱστορία, οἷα καὶ ἕτερα τοιαῦτα ἐπονομαζομένας ἀραιάς. Ἀραιᾶς γλώσσης, τῶν λίαν φησὶν ὁ ποιητής. ἢ μετὰ ἀκριβείας ἀντὶ τοῦ σοφίας· καὶ ἐπιμόνως, ἢ μετὰ ψιλῆς, ἀντὶ τοῦ βλαπτικῆς. ἄρειον δὲ λέγεται ὕδωρ, διότι κατὰ τοὺς παλαιοὺς οὐ καθιᾶσι τὴν γλῶσσαν εἰς τὸ ὕδωρ, ὡς οἱ βόες. ἀλλὰ κατὰ λεπτὸν λάπτουσι τὸ ὕδωρ· καὶ τὸ ἐπιπολῆς ὕδατος πίνουσιν, ὡς ἐκεῖνοι καὶ ἔλαχον. Ἀραιάς, τὰς βλαπτικὰς νόσους. παρὰ τὸ ῥαίω, ὅ ἐστι φθείρω. ὅθεν καὶ ψιλοῦται, ἢ τὰς ψαλίδας, καὶ οἱ φερεῖς. Ἀραιὴ γαστήρ, τὰ λεπτὰ ἔντερα. Ἀραιὸν, ἀσθενῆ, ὀλίγην. ἀραιὴ χείρ, παρὰ τὸ ῥαίω τὸ φθείρω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀραιή. ὅθεν καὶ δασύνεται. ἀπὸ οὖν τοῦ ῥαίω γίνεται ῥαιός, καὶ πλεονασμῷ τοῦ α ἀραιός. καὶ ἀραιὴ μεταθέσει τοῦ δασέος τοῦ ρ εἰς τὸ α. ὡς καὶ ἐπὶ τοῦ ῥίζα, ἄρδα. Ἀραιώσει, ἐρημώσει. Ἀραιοῦσι, λεπταῖς, καὶ μακραῖς. Ἀραιόν, στενόν. Ἄραιθος, ποταμὸς ἠπείρου, ὡς καὶ Καλλίμαχος λέγει. Ἀραιθυρέα, ἡ ἀραιθυρέα, καὶ φλιοῦς, ὄνομα πόλεως. ἐκλήθη δέ φασιν ἀπὸ φλιοῦντος υἱοῦ διονύσου, ὡς φέρεται ἐν τοῖς περὶ ἱστορίας. ὅτι ἄραντος ἥρως ἐξ ἑαυτοῦ ἔκτισε πόλιν, καὶ θυγάτηρ ἀραιθυρέα, τούτους φλιάσιοι θεατάς φασι καὶ πολεμικούς. προσκαλεσαμένους δὲ τοὺς ἀδελφούς, ἀπ' αὐτοῦ ἡ χώρα ἐκλήθη. τὸ ὄνομα αὐτῆς, ἀραιθυρεύς. ὁ δὲ τῶν γεωγράφων ἱστορικός φησιν, ὅτι ἀραιθυρέα, ἡ νῦν φλιασία πόλις φλιοῦντος, κειμένη μέσον συνυψώσιν ἀργείων κλεωνῶν, καὶ συμπάλων. πόλιν δ' εἶχεν ὁμώνυμον τῇ χώρᾳ πρὸς ὄρει ὀνομαζομένῳ κελόσσῃ. οἱ δ' ὕστερον ἀναστάντες ἐκεῖθεν, πρὸ τριάκοντα σταδίων ἔκτισαν τὸν φλιοῦντα.

Ἄραιος, ὄνομα ποταμοῦ. Ἀραιόν, οὗ τὰ μέρη διάστασιν ἔχει πρὸς ἄλληλα ἔχει. πυκνὸν δὲ, οὗ τὰ μέρη ἐγγὺς ἀλλήλων κεῖνται. τὸ δὲ ἀραιόν, οἱ πλείονες ψιλοῦσιν. οὐ γὰρ δασύνεται.

Ἀραῖον, κατάρατον. ὡς τὸ, ὁ πρόσθεν ἐλθών, ἦν ἀραῖός μοι νέμεις. οἷον, ἀρὰν προστρίβειν, καὶ καταχέει. Σοφοκλῆς, τυλοῦσθαι. Ἀραιότερος, βαρύτερος. ἀραιός, ἀτυχής, δείλαιος.

Ἄραιον, λάβοι, κομίσειεν. ὡς τὸ, Ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπων φύσις. Ἀραίσω, φαλίζω, ἢ ἀράσσω. Ἀρακάλαι, εἶδος ὀσπρίου, παρὰ δὲ ἱπποκράτει. Ἄρακος, ὄσπριον λεπτόν. τὸ δὲ αὐτὸ, καὶ λάθυρον. Ἄραξε, ἤραξ, τεθρήνει. Ἀρακτῆρα, ἀπαλλακτῆρα. Ἀρὰμ, μετέωρος. Ἄραμα, βόρβορος. Ἀράμην, μίσιον. Ἀράμνια, τὰ ἀπέχοντα ὕδατα. Ἀράμνιαι, ἐσχάραι. Ἀραμένοι, ἐπάραντες. καὶ ἀραμένη, ὡς τό, ἐπαίρουσα τὴν ὑφήν. Ἄραμος, ἐρημαῖος. Ἀραίνη, μεσάγκυλον.

Ἀράγγαλις, ὄνομα αἰγυπτίου. Ἄρανον, τὴν θύρσαν, καὶ τὸ λοιπόν. Ἀραντες, ἀπαγγειλάμενοι. καὶ παρὰ Θουκυδίδῃ, ἐπὶ θαλάσσης εὕρηται. ἔστι δ' ὅτε καὶ ἐπὶ γῆς. Ἀραντίσιν, ἐρινύσι, μακεδόνες. ἀραντίς, ἔλαφος. Ἀράξαι, συντρῖψαι. Ἀράξης, ἀράξα, ὄνομα ποταμοῦ, παρὰ τὸ ἀράσσειν, διὰ τὸ κατωθεν καταῤῥήγνυσθαι. καὶ ἀραξός, βοτάνη τις. Ἀράραξιν, ἐρεθίζειν.

Ἀρδ, ποταμὸς τῆς κιλικίας. ἀπὸ τοῦ ἀρηρίναι ὑπὸ ῥόδαπῷ ποταμῷ. Ἀράραι, ἡρμόσαι, πλέξαι. Ἄραρε, διάκειται, κεῖται. ἀρῶ, τὸ ἁρμόζω. ὁ μέλλων αἰολικῶς, ἄρσω. ὁ παρακείμενος ἦρκα. ὁ μέσος ἦρα. καὶ κατὰ ἀναδιπλασιασμὸν ἀττικόν, ἄραρα. ἡ μετοχὴ, ἀραρώς. Ὅτι φασὶν εἶναι ἀραρώς. δωρικῇ τροπῇ τοῦ η, ἄραρα, καὶ ἄραρεν. Ἄραρε γὰρ ὅρκος ἐκ θεῶν μέγας. Ἀραρέναι, ἡρμόσθαι ταῖς φρεσίν, ἢ ἥρμοσαι. καὶ ἄραρον, ἡρμόσθη. ὁ πλαγίως διαδέχεται, ὁ κεῖνται. Ἀράρε, καὶ ἄραρον, ἐκ τοῦ ἀρῶ ὁ ἐνεστὼς γίνονται. ἀραρὼ δὲ, ἀπὸ τοῦ ἄραρα παρακειμένου. ὡς ἐκ τοῦ πέπληγα τὸ πεπλήγω, καὶ πέφυκα πεφύκω, καὶ τὰ ὅμοια.

Ἀρδίζειν, ἐπὶ τῶν κακῶν παρ' ἀθηναίοις, ἀπὸ τῆς ἄρ φωνῆς. παρ' ἡμῖν δὲ ὑλακτεῖν. Ἄρδιν, ἀράχνην. Ἀραρηνοί, ὅσοι παρὰ φωκεῦσι λιθάκια εἰς τοὺς ῥάγαλας. Ἄραρος, ἔτος κας. Ἀραρίσκειν, ἐκ τοῦ ἀράρω ἀχρήστου ῥήματος παρῆκται. ὁμοίως ὑπὸ τελέσκω, ῥύσκω, καὶ τὶς βιούσις. Ἀραρίσκω, τὸ ἁρμόζω. Ἀρῶσίμων, ἁρμοσαίμην. Ἀραρόν, πάγιον, βέβαιον, κατάρατον. Ἀρδέντες, διάχρυσον εἰς ῥύζησιν. τουτέστι, τεχνασάμενοι τεκτηνάμενοι. λέξις γὰρ τεκτονική, χρῶνται τῷ ἀστέρι ἀορίστῳ. ἐκ τοῦ ἄραρον γὰρ, ἡ μετοχὴ ἀραρών. τουτέστι, τεχνασάμενος. Ἀρδόντως, ἁρμοζόντως, ἢ παγίως, καὶ ἀσφαλῶς.

Ἀρδῆκ, συστολὴν ἔχει τοῦ η εἰς α. ἀραρυῖα γὰρ, τὸ ἐντελές, οὕτως ἀραίω, ἀρῶ. ὁ μέλλων ἀράσω, ὁ μέσος παρακείμενος ἦρα, καὶ ἄραρα ἀττικῶς. ἡ μετοχὴ ὁ ἀραρώς. καὶ τὸ θηλυκὸν ἀραρυῖα.

Ἀραρυῖαν, ἡρμοσμένην. Ἀρδυίας, σανίδας, ἃ κολλῶντες, τὰς θύρας φασὶ περιφράκτων. Ἄρας, ἰσχὺν ἄρας ἀθλήσειν. Ἀριστοφάνης ὥρας. ἔνιοι δὲ τῇ βλάβῃ λέγειν αὐτὸν ἐκδέμενον. Ἄρας, ἐπάρας, ὡς εἶδον ἐν νηὶ ἄραντα ἀχαιούς. αἴρω, ὁ μέλλων ἀρῶ. ὁ ἀόριστος ἦρα, ὥσπερ ἤγειρα. ἡ μετοχὴ, ὁ ἄρας. καὶ ἐκτάσει τοῦ ε καὶ α, εἰς α μακρόν, γίνεται ἄρας. καὶ μόνον τὸ ι προσγεγραμμένον, καὶ μὴ ἐκφωνούμενον, διὰ τὸ μέγεθος δεῖ. Ἄρας ἐπιθυμίας, ἰδίως κυρίως σπαράττειν κατὰ σοῦ ἀλὸς καταρᾶσθαι ἔστιν. Ἀράσαι, ὀμόσαι, λῦσαι.

Ἀρασάμενοι, ἀλγήσαντες, ποιοῦσι ἀράς. Ἄρασθαι, ἀποπλεῖσθαι, ὁ λαβεῖν. φροντίζεσθαι μᾶλλον γε ὄν, ἢ καθ' ἑαυτὸν

ταχέως προσάπτον φασὶ τὴν λέξιν. ἄπτοπος δὲ, ὁ ἀπόλεμος καὶ μὴ πτώξας, κατὰ τὸν κοινὸν τοῦ λόγου ἐπίθετον. ἤγουν ὁ μὴ ἀποπτὰς, ἀλλ' ἐπιμείνας τῇ γυναικί. τινὲς δὲ καὶ ἀντὶ τοῦ ταχὺς, εἰ ἰσόπτερος νοοῦσι τὴν λέξιν. ἵνα λέγῃ, ὅτι ταχὺ ἐς ψυχὴν εἰσῆλθε τῇ Πηνελόπῃ. Ἅπτεσθαι, ἀόριστον ἐστ. τὸ δὲ προσάπτεσθαι, ἔλαττον τοῦ ἅπτεσθαι. τὸ γὰρ προσάπτεσθαι, ἀντὶ τοῦ ἐπικειμένως κινεῖν, ὁ ἀγγελτικῶς ἅπτεσθαι, καὶ οἱονεὶ ἄκροις δακτύλοις ἅπτεσθαι δηλοῖ. ὥσπερ καὶ ψαύειν καὶ προσψαύειν, καὶ ἐγγίζειν καὶ προσεγγίζειν. Ἅπτεσθαι, ἀντὶ τοῦ ἐπιλαμβάνεσθαι, γενικῇ συντάσσεται. ὡς παρ' Ὁμήρῳ, ἀμφοτέρας ἐκέλευεν ἅπτεσθαι νηῶν, καὶ τινὸς ἐστὶ δ' μοιο μελαίνης. Ἄπτεται βέλη παρ' Ὁμήρῳ, ἀντὶ τοῦ πάλιν ἔχει πρὸς τὸ πίπτειν ὁρμῆς. τὰ γὰρ ἐκπέμπομενα βέλη, οὐ κάτω πίπτει, ἀλλὰ βαλλόμενα ἐποπτομένει. Ἅπτω, ῥῆμα. ὃ συντάσσεται μετὰ γενικῆς. ἐπειδὴ ἡ ἐκ τῶν αἰσθήσεων γινομένη ἐνέργεια γενικῇ συντάσσεται. οἷον, ἀκούω σου, γεύομαί σου. εἰ δὲ ἐπὶ φιλοφρονήσεως ἢ ἁπλῶς ὁμιλίας ἡ λέξις λαμβάνεται, τότε δὴ αἰτιατικῇ συντάσσεται. Ἀπτέρως παρὰ Λυκόφρονι, ὁμοπτέρως, ταχέως, αἰφνιδίως. Ἀπτέρωτα, ταχέα, αἰφνίδια. Ἀπτῶ, γίνεται παρὰ τὸ πτῶ πτόσσω, πτῶ, καὶ ἀπτῶ. ὥσπερ παρὰ τὸ ἔχω, ὀχῶ, καὶ συναιρέσει ὀχῶ. ὁ πτωχὸς, ὁ μηδὲν ἔχων. Ἀπτοῦσιν, οἱ μὴ ἐπτοῆσθαι δυνάμενοι. Ἀπτοῦσι, μηδέπω πετομένοις. Ἀπτῖνον, ἀπόπτων, ὀλοχρόων, παρὰ τῷ Ἱπποκράτει. Ἅπτομαι, ἐπὶ ἁφῆς, ἀόριστον ἔχει τὴν φωνήν. τὸ δὲ προσάπτομαι, τὸ ἐπικειμένως καὶ οἱονεὶ ἄκροις δακτύλοις ἅπτεσθαι δηλοῖ. ὥσπερ καὶ ψαύω καὶ προσψαύω, ἐγγίζω καὶ προσεγγίζω, χρῶμαι καὶ προσχρῶμαι. ὅπερ γενικῇ συντάσσεται. οἷον, ἅπτομαί σου, ψαύομαι, ψηλαφῶ.

Ἀπτοεπὴς, ὁ ὁ ἀπτόμενος διὰ λόγων, ἢ ὁ ἀπτόεπης, ὁ μὴ πτοούμενος ἐν τοῖς λόγοις. ὁ θρασύγλωσσος, καὶ ὑβριστής. Ἀπτόλεμος, πολέμου ἄπειρος. Ἀπτὸν, ψηλαφητόν. Ἄπτερος, ἰσόπτερος. Ἀπτοῦ, ψηλαφητοῦ. Ἄπτωτον, τὸ μὴ πῖπτον, ἀλλ' ἰσόν.

Ἄπτωτος, ἄφοβος. Ἄπυγοι, οἱ λεῖαι τὰς πυγάς. ἐναντίον τὸ δὲ ἐπιεικῶς Ἀθηναῖοι, εἰς αἰσχρότητα. Ἀπυθάσειν, ὑβρισθήσεσθαι, ἢ ἀποπνίξειν. Ἄπυθεν, ἄποθεν. Ἀπυθμένα, ἐπορθίον. κρυφῇ. Ἄπυξιν, ἀπατῆσαι. Τιμοκλῆς. Ἀπυλάτω, κινεῖσθαι. Ἀπυλάκωτος, ἀπόθμητος. Σοφοκλῆς Τριπτολέμῳ. ἐν δὲ Ἰφιγενείᾳ, ἀπύλακα τὴν λαβὴν τοῦ ξίφους ἔφη. Ἀπύλωτον στόμα, φύλαξ ἀθύρωτον. οἱ δὲ γραμματικοὶ ἀπύλωτον, ἀντὶ τοῦ ἀπυγμένον, καὶ πύλην μὴ ἔχον, μὴ χαλκαγγέμενον, μὴ δὲ κρατούμενον. Ἄπυρα, σῖτα. Ἄπυρος, ἀνέκαυστος. ἀπὸ τοῦ πυρὸς καυσὸς, καὶ ἄπυρος. Ἄπυος, ὁ δίχα ἕλκους. Ἀπυργος, ἀτείχιστος. Εὐριπίδης Ἑλένῃ. Ἄπυροι λέβητες, οἷς οὐδέποτε ἐπεθερμαίνετο. λουτροχόοι δὲ, ἐν οἷς ὕδωρ ἐθερμαίνετο, οἱ καὶ ἐμπυριβῆται. Δωδωναῖοι ἐτίθεντο λέβητας ἐκάλουν, διὰ τὸ τρίποδα μὴ ὑποθέματα ἔχειν. καὶ διὰ τὸ ἀρχαῖον δύο γένη λεβήτων ἦσαν, οἱ καὶ λέβητας ἐκάλουν, ἐμπυριβῆτας, καὶ ὁ λουτροχόος. Αἰσχύλος, Τὸν μὲν λέβητος ἔδειξαν εἰκὸς λίθος, ἀεὶ φυλάττων ὑπὲρ πυρὸς κάπνην. ὁ δὲ ἕτερος, κρατὴρ καλούμενος. ἐκεῖνοι οἱ παρ' Ὁμήρῳ ἄπυροι, ἐν οἷς οἶνον ἐκίρνων. ὃς δὴ καὶ ἀκαύστοι Διονύσῳ, διὰ τὴν κατ' αὐτὴν ἐν μέθῃ ἀλήθειαν. καθὰ ὁ τῷ Πυθίῳ Ἀπόλλωνι τρίποδες ἦν ἀληθείας, διὰ τὴν ἐκ μαντικῆς ἀλήθειαν. οἶνος δέ φασι καὶ ἀλήθεια, ὡς καὶ ἀνδρὸς ἔδειξε νόον. καὶ ἐν Διονυσίοις κρατήριον διὰ τοῦτο τίθεται τρίποδος. ἐπὶ καὶ τοὺς ἀληθεύοντας, ἐκ τρίποδος λέγειν φαμὲν. τοῦ κατὰ μαντικὴν δηλαδὴ ἐκληθευτικοῦ. ὃ καὶ οἶνος κεκλῆσθαι εἴρηται. λέγει δὲ ὁ αὐτὸς, καὶ ὡς τριπόδων λέξις καὶ ἐπὶ τραπεζῶν ἐκεῖτο. ὡς τὸ, ἐπεὶ δὲ ὁ τρίπους ἤρθη. τουτέστιν, ἡ τράπεζα. ἐπεὶ δὲ πάντως τρίποδας εἰκὸς, καὶ τράπεζαν. τῶν τριπόδων οἱ μὲν ἐμπυριβῆται, οἱ καὶ αἴθωνες ἴσως λέγοιντ' ἂν, ὡς πυρὶ αἰθόμενοι, καὶ οὕτω χρήσιμοι. οἱ δὲ ἀναθηματικοὶ, πρὸς κάλλος ἀνατιθέμενοι ἐν ναοῖς ἢ τάφοις, ἄχραντοι πυρὶ φυλαττόμενοι. οὓς ἀπύρους φησὶν ὁ ποιητὴς, πρὸς διαστολὴν τῶν ἐμπυριβητῶν. ἕτεροι δὲ ἀπύρους μὲν λέγουσι, τοὺς μήπω πυρὶ ὁμιλήσαντας. αἴθωνας δὲ, τοὺς ἤδη πυρωθέντας. λέβητας δὲ, ἕτεροι ἔξω τῶν τριπόδων, ὡς δηλοῖ σαφῶς ἐν Ὀδυσσείᾳ. ἢ αἴθωνες λέγονται διὰ τὸ ἐκ τοῦ γεγανῶσθαι λαμπρὸν, ὡς ἀπὸ τοῦ αἴθω τὸ λάμπω. ὅτι δὲ ἐμπυριβῆται λέβητες οἱ τρίποδες, δηλοῖ ὁ ποιητὴς ἐν τῷ ἰῶτα. ἑπτὰ μὲν ἀπύρους τρίποδας, αἴθωνας δὲ λέβητας εἴκοσι, πρὸς τοῦ βασιλέως ὑποσχέσθαι τῷ Ἀχιλλεῖ.

Ἄπυρον λίβητα λέγει Ὅμηρος, ἑρμηνεύει τὸν μὴ πεπυρωμένον, καὶ διὰ τοῦτο λαμπρὸν, ἀπὸ χρώματος δηλαδὴ κασσιτέρου.

Ἀπύρου, ἀθύτου. Σοφοκλῆς. Ἀπύρους, καινοὺς, ἱερούς. ἢ τοὺς ἀναθηματικοὺς, καινοὺς, καὶ οὐδέποτε πεπυρωμένους, ἀλλ' ἐπικείμενον ἀνακειμένους. ἐξ ἐναντίου δὲ πυριβάτας, ἐν οἷς ἐθερμαίνοντο τὸ ὕδωρ. Ἄπυρος, ἄκαυστος, νεαρὸς, καινός.

Ἀπυρωπέλη, τῇ πεῖραν μὴ ἐχούσῃ μάχης. παρὰ τῷ Ἱπποκράτει. Ἀπύρωτον, καινὸν, ἢ ἀναθηματικόν. Ἀπυστίον, δυσοῦλον. Ἀπύστην, ἀπόλαυσιν. Ἄπυστος, ἀνήκουστος. ἀπὸ τοῦ πεύθω, πευσὸς καὶ ἄπυστος. Ἀπυργωτον, ἀτείχιστον. Ἀπύω, τὸ φωνῶ, καὶ βοῶ. Εὐριπίδης, Οἰκτρὰ μελίη, τί ποτ' ἀπύσω. Ἄρα, ἀδελφὴ καὶ ἀδελφοῦ, καὶ ὑποκόρισμα. καὶ ἀπφὸς ὑποκοριστικῶς, ὁ πατήρ. παιὸς ἐς ὤν, ἢ ἀπφύς.

Ἀπφὺν, τὸν πατέρα λέγουσι Δωριεῖς. Ἀπφὺς παρὰ Θεοκρίτῳ, ὁ πατήρ. καὶ ἄπφα μὲν διὰ τῶν δύο γράφεσθαι φφ. ἀπφὺς δὲ, ἀφ' οὗ φύεται ἕως. ἀλλ' ἐπεὶ οὐδέποτε Ἑλληνικὴ λέξις διπλάζει τὰ δασέα, διὰ τοῦ κατὰ ῥυθμὸν ἐφ' ἑξῆς μεταβαλεῖ τὸ ἄπφα καθ' ὃ προθέσεως φ εἰς τὸ ἀντίστοιχον π, καὶ γίνεται ἀπφύς. Ἀπφῶ, σημαίνει τὸ ἐσχάραν, ἢ τοῦ ἀναρριβέντος. ἀπφῶ δὲ, ἀντὶ τοῦ, καὶ τὸν. καὶ ἀπφῶ πατρὸς, ἡ δεσποίνας χάους. Ἀπώγωνες, οἱ μὴ ἔχοντες πώγωνα. Ἄπωθεν, ἀναγκαίως. τὸ ἀπωθεῖν τοὺς ἐχθρούς. Ἀπωθεῖται, ἐπιτέμνεται, καὶ ἀπονεύεται. Ἄπωθεν, χωρὶς, ἢ πόρρωθεν. Ἄπωθεν, ἀπὸ διαστήματος. Ἀπώθησαν, ἐξέβαλον. Ἀπωθοῦμαι, καὶ διωθοῦμαι, τὸ ἀποδιώκω, καὶ ἀποστρέφομαι. Ἀπωθούμενος. ὠθέομαι, ὠθοῦμαι. καὶ ἡ μετοχὴ, ὠθούμενος καὶ ὠθούμενος. καὶ ἀποθούμενος, μετὰ τῆς ἀπὸ προθέσεως. Ἀπώκωσεν, ἐξωλόθρευσεν. Ἀπωκισμένοι. φασὶ τοὺς Ἀθηναίους αὐτόχθονας φῦναι, καὶ τέττιγας φορεῖν ἐκ γῆς καὶ ἡλίου. ὃς ὁ αὐτός ἐστιν Ἀπόλλων. οἱ δὲ ὅτι κρυβῆναι τῇ ἐρεχθέως μιγεὶς Ἀπόλλων, Ἴωνα ἐγέννησεν. ἀφ' οὗ καὶ οἱ Ἀθηναῖοι ποτὲ Ἴωνες ἐκλήθησαν, ἢ διὰ ταῦτα πατέρα αὐτοὺς Ἀπόλλωνα ἔχειν. Ἀπωκισμένος, μεμακρυσμένος. Ἀπώκισεν, ἐμάκρυνεν. Ἀπώλεια, ἡ διαφθορά. Ἀπώλεσας τὸν οἶνον, ἐπιχέας ὕδωρ. Ἀπωλείτων, ὅπου πῶλοι. ὡς τὸ, Καὶ ἱππαγέλην ἐκπλαύσαντες ἀπωλείτων, μᾶλλον ἀνοίκτως ἐλθόντες διέφθειραν. ἀπωλλύμην, παρατατικός.

Ἀπώμοσεν, ἀπὸ τῶν ὤμων. Ἀπωμοσία, ὅταν τις κατεσμένος σκήπτηται μὴ σχολὴν πρὸς τοὺς δικαστάς. ἀνθυπωμοσία δὲ ὁ ἀντίδικος, καὶ περὶ αὐτοῦ τούτου προσδιαζόμενοι. Ἀπώμοτον, φανερόν, τὸ ἔξω ὅρκου γινόμενον. ἢ ὅπερ ἄν τις ἀπομόσαι γεγονέναι, ἢ μὴ γενέσθαι. ἔτει, ἀνέλπιστον. Ἀπὼν, μακρὰν ὤν.

Ἀπώνατο, ὠφελήθη. ὀνῶ, ὀνήσω, ὤνησα, ὠνησάμην, ὠνάμην, ὤνου, ὤνατο, καὶ ἀπώνατο. Ἀπωνεθέονται, πέρασονται. Ἀπώρυγας, ὑψηλούς. Ἀπῶσαι, ταυτόν ἐστι τῷ ἀποπέμψαι. ὅπερ οἱ μεθ' Ὅμηρον, παθητικῶς ἀπώσασθαί φασι, καὶ ἀποπέμψασθαι.

Ἀπώσαντο, μακρὰν ἔρριψεν. Ἀπώσατο, ἀπέρριψαν. Ἀπῶσμαι, ἀπέρριμαι. ὡς τὸ, Κἀγὼ εἰπὼν ἀπῶσμαι. Ἄπωσον, τὸ διώκειν, ὤθησον. Ἀπωσθεὶς, ἐκδιωχθείς.

Ἀπωτάτω, μακράν. Ἀπωτέρω, πόῤῥω, μακράν.

Ἀποχρίμματος, ἀνεπίσμαστος. Ἀποχαρακώσεις, ἀποστερήσεις. Ἀπόχρη, σημαίνει τὸ ἀρκεῖ. ἀπὸ τοῦ χρῶ, χρῆμι, χρῇς, χρῇσι. καὶ κατὰ συγκοπὴν χρῆ, καὶ ἀπόχρη. Λουκιανός. οἷον οὐκ ἀπόχρη αὐτῷ τοσαῦτα ἔχειν; Ἀποχρημφθέντα, ἀποκυρωθέντα. Ἀποχρῶν, πεπληρωμένος πρὸς τὰς πράξεις. Ἀποχρῶσα, ἀρκοῦσα.

Ἀποχρώντως, ἱκανῶς, ἀρκούντως, αὐτάρκως. Ἀποχωρεῖ, ἀντὶ τοῦ ἀφίσταται. καὶ ὑποχωρεῖ, ἀντὶ τοῦ ὑφίσταται. Ἀποχώρησις, ἡ ἀποπορεία. Ἀποχωρῶ, τὸ ἀπέρχομαι, καὶ ἀπωλομῶ. ὡς καὶ Δημοσθένης, ἀποχωρῶν δὲ Νικίας, τί αὖθ' ἡμῖν ἀπαγγέλλειν. Ἀποψάλλειν τὰς τρίχας, τίλλειν. ἀπὸ μεταφορᾶς τῶν χορδῶν. Ἀπόψηκτον, τὸ ἀπόμακτρον τοῦ μετρουμένου σίτου.

Ἀποψηφίζονται, ἀντὶ τοῦ καταδικάζουσι. Δείναρχος, ἀποψηφίζουσιν αὐτὸν μὴ εἶναι πολίτην. καὶ τὸ πρᾶγμα Δημοσθένης ἀποψήφισιν καλεῖ. καὶ μεθ' ὃ, ἀπεψηφισμένος. Ἀποψοφεῖν, τὸ πέρδεσθαι εὐσχημόνως. εὐσχημονέστερον δὲ λέγων, ἀποπνεῖν. Ἀποψύχειν, τὸ ἀπὸ ψυχῆς γίνεσθαι λειποθυμοῦντα, ἢ καὶ θνήσκοντα. τό γε ἀπέψυξεν, ὡς οὐκ εὔφημόν ἐστιν, εἶλεν Ἡσίοδος. ἢ τὸ ἀποπνεῖν. οὐ τὸ ἀνάπαλιν, ἐμπνεῖσθαι. καὶ ἀναπνεῖν, ἤγουν ἐκπνεῖσθαι εἰς πολύ. Ἡσίοδος μὲν ἐπὶ ἐκείνου, τὸ ἀναψύχειν σημεῖον τίθησιν, ὡς δῆλόν ἐστιν. ἐν δὲ τῷ ἐμφρόνως θυμὸς ἀγέρθη, ὡς οἷά τινα τύπον καὶ εἰκὼν ψυχῆς καὶ τὰς φρένας εἶναι δοξάζει. Ἀποψώμεθα, ἤγουν καθαίρομεν τὴν πυγήν. ἀποσπογγίζομεν τὸν πρωκτόν. Ἀριστοφάνης ἐν Πλούτῳ, ἀποψώμεθα δ' οὐ λίθοις ἔτι, ἀλλὰ σκοροδίοις. ἤγουν, φύλλοις τοῦ σκορόδου. Ἄππας, ὁ Φορεύς. Ἀππελλάζειν, ἐκκλησιάζειν. Λάκωνες. Ἄπιλος, ἀσπάργανος. Ἄπιον, ὕσπληξ. Λάκωνες. Ἀππία ὁδὸς, οὕτω καλεῖται, ἀπὸ Ἀππίου Ῥωμαίου, ὃς λιθοβολίᾳ ταύτην κατέστρωσε, καὶ ἔλκυστος ἐκεῖθεν κατεσκεύασεν.

Ἀπράγμονα λέγει Ἀριστοφάνης, τὸν ἐπιεικῆ, καὶ μέτριον τοὺς τρόπους. Ἀπράγμων, ἄπονος. ὡς τὸ, ἀπράγμονας δεῖ εἶναι τοὺς εὐδαίμονας. ὁ ἀπράγμων κατὰ τοῦτο σημαίνει δύο. λέγεται γὰρ καὶ ἐπὶ προσώπου, καὶ ἐπὶ πράγματος. ὡς ὅταν εἴπῃς ἀπράγμονα ἄνθρωπον, δηλοῖ τὸν ἀνεπιχείρητον, καὶ ἀνεπιτήδειον πρὸς τὰ δημόσια. ὅταν δὲ εἴπῃς ἀπράγμονα ζωὴν, τότε λέγεται ἀντὶ τοῦ ἀπραγμάτευτον, καὶ ἀνενόχλητον. Ἀπραγμονέστατος, ὁ μάλιστα ἡσυχίαν ἔχων, ἀπολυπραγμονέστατος. Ἀπραγμόνως, ἐλευθέρως. ἀντὶ τοῦ ἐρωτᾷς. Ἰάμβλιχος, εἶτα ἴσασιν οὕτως ἀπραγμόνως ἀποθανεῖν; Ἀπραγμοσύνη, ἡ καταφρόνησις καὶ ἀμέλεια. ἡ ἀπραγμοσύνη, ἡ ἀργία. ἢ φυτὸν, ὡς Ἀριστοφάνης ὁ κωμικὸς, ἐν Ἀκαδημίᾳ φυόμενον. Ἄλλως. Ἀπραγμοσύνη, ὕλη ἀνθοῦς, οἷον πάσης εὐμιλίας ὄζον καὶ ἀσφαλείας. ἢ ἀπραγμοσύνης, ἀντὶ τοῦ πολυπραγμοσύνης. Ἀριστοφάνης. Ἀπράδαστι, ἀζήμιοι. Ἄπρακτα, ἀνεκλάλητα, ἀλεμόρητα. ἀλλὰ ταῦτα μὲν οὐχ οἷά τε εἶναι ἄπρακτα γίνεσθαι. καὶ ἄπρακτα λέγονται, τὰ μάτην πεπραγμένα. ὡς ἄπρακτος ἀνὴρ, ὁ μὴ πιπράσκων ἑαυτόν.

Ἄπρακτος, δύσπρακτος, δυσεπίτευκτος, δυσκατόρθωτος.

Ἀπρήκτους ὀδύνας λέγει Ὅμηρος, ἐφ' αἷς οὐκ ἔστιν ἐκδίκησις· αἳ καὶ μαψιδίως λέγοιντ' ἂν γίνεσθαι. κατὰ τὸ, εἰλαπινῇσι, πιστοί τε αἴθοπα οἶνον μαψιδίως. ἤγουν ἐφ' αἷς οὐκ ἔστι τίσις, ὅ ἐστιν ἀπόδοσις. Ἄπρηκτα, ἀνωφελῆ. Ἄπρατον, ἀφλόγιστον. Ἀπριάτην, ἄνευ ὠνῆς. ἀπὸ τοῦ πρίαμαι. τὸ παθητικὸν, πρίαμαι. τὸ ἐπίρρημα, ἀπριάδην, καὶ τροπῇ τοῦ δ εἰς τ, ἀπριάτην. ἢ ἀπριάτην, ἀνάποινον, ἐπιρρήματά φασιν οἱ παλαιοὶ, ἀντὶ τοῦ ἀπριάδην καὶ ἀναποίνως. ἤγουν δίχα τοῦ πρίασθαι, καὶ δίχα, ἀποίνων. Ἀπρὶξ, τὸ σφιγκτῶς κρατεῖν, καὶ μὴ ἀπολύειν. ἀπρὶξ ἐλαβεῖν λέγω, ἀλλὰ μὴ ἀμφοτέραις χερσί. καὶ παρὰ Πλάτωνι, ἀπρὶξ προσπεφυκότων ἰσχυρῶς. ὃ οὐχ οἷόν τε πεῖσαι, διὰ τὴν σύμφυσιν. Ἀπροβούλευτον, τὸ μὴ πρότερον εἰς βουλὴν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσφερόμενον ψήφισμα. ἐν γὰρ κατ' ἐμφρονίμως, νόμος παρέχεται ταῦτα δηλῶν. Ἀπροδιορίστως, ἀορίστως, μὴ πρός τι διωρισμένως. Ἀπροθέτως, ἄνευ προθέσεως. Ἀπροϊδὴς, ἀπροόρατος. ὁ ἄδηλος. Ἀπροΐκτως, ἀπρόχως. Ἄπροικος, ὁ τῆς οἰκίας μὴ ἐξερχόμενος. Ἀπροϊδῆ, ἀφανῆ. Ἀπρονόμευτος, οὐ πραιδευθείς. πρόνομὴ γὰρ, ἡ ἐκ τῆς χώρας ἁρπαγή. Ἀπρονόητος, καὶ ὁ μὴ προνοῶν, καὶ ὁ μὴ προνοούμενος. Ἀπροόπτως φέρεσθαι λέγε, ὅταν οὐ προορᾷ τὴν ὁδόν, καὶ ἀμερίμνως ταύτην διέρχεται. καὶ ἄπροπτος, ἀπρόορατος, λαθραῖος. Ἄπροπον, ἄτροπον, ἀπρεπές. Ἀπρόσβλεπτον, γενναῖον. Ἀπροσβούλευτον, τὸ μὴ πρότερον εἰς τὴν βουλὴν, ἀλλ' εὐθὺς εἰς τὸν δῆμον εἰσαχθὲν ψήφισμα. οὕτω Δημοσθένης. Ἀπροσδεής, ὁ μηδενὸς ἐνδεής. Ἀπροσδιορίστως, ἀορίστως, μὴ πρός τι διωρισμένως. Ἀπροσίλαστος, ἀπροσπέλαστος, ἀληξίτητος. Ἀπροσεξία, ῥᾳθυμία. παρὰ τὸ μὴ προσέχειν ἑαυτῷ, ἢ τοῖς πρακτέοις. Ἀπροσήκει, ἄδει.

Ἀπρόσπλεον, ὃ οὐδεὶς προσπλεῖται, ἀλλ' εὐθέως πίπτει. ἢ ἀκυμάτιστον ἀπὸ τῆς ἅλης. Ἀπρόσιτος, ἀπροσπέλαστος, ἀπάνθρωπος, ἀκύρωτος, ἀπροσήγορος, ἀλιχθὴς, μοχθηρὸς ἐλθεῖν.

Ἀπρόσιτον, ἀθεώρητον. Ἀπρόσκλητος δίκη, ἡ μὴ τυχοῦσα τῶν καλουμένων κλητόρων κατὰ τὸν νόμον, καὶ διὰ τοῦτο οὐκ εἰσαγώγιμος. Ἀπροσκοπεῖν, μὴ προορᾶν. Ἀπρόσκοπον, ἀσυνάλλακτον. Ἀπρόσμαστος, ἀπρόσιτος, ἄψαυστος. μαστεῦσαι γὰρ τὸ ἅψασθαι. ἀπρόσβατος. Ἀπρόσμαχοι, ἀκαταγώνιστοι. ὡς τὸ, Καὶ Ῥωμαίοις ἐν πεδίοις ἀνακεπταμένοις, καὶ ἐν τῇ ἐκείνων οἰκείᾳ τῇ εἰθίσθαι, διὸ οὐκ ἀπρόμαχοι εἶεν Πάρθοι.

Ἀπρόθετος, ἀνυπομόνητος. Ἀπροσπέλαστος, ἀπροσέγγιστος. Ἀπροσπέλαστον, ὧ οὐκ ἄν τις προσπελάσειεν. ἀπροσπελάστῳ, ἀσυναλλάκτῳ. Ἀπροστασίου δίκην ἔλεγον, ὁπότε μέτοικος ἐγκαλεῖν, ὡς μὴ ἔχων προστάτην. Ἀπροστάτευτος, ὁ μὴ ἔχων προστασίαν τινός. Ἀπροσίμαστον, ἀπροσδόκητον.

Ἀπρόσφορον, ἀνάρμοστον. Ἀπρόσωπον, κακόμορφον, δυσειδές. Ἀπρόσωπος, οὐκ εὐπρόσωπος, καὶ ὁ προσωπεῖον μὴ χρώμενος, ἢ λαμβάνων. Ἀπροτίμαστος, ἄψαυστος, ἄθικτος. ἢ μὴ ἐπιζητηθεῖσα γυνὴ, ἀλλ' ἄθικτος διαμείνας. Ἀλλ' ἥμην ἀπροτίμαστος ἐνὶ μεγάροισι. παρὰ τὸ μαίω, τὸ ζητῶ, ἡ μὴ ἐπιζητουμένη πρὸς μίξιν. ἢ παρὰ τὸ μαστεύω, τὸ ζητῶ, ὅθεν καὶ μαστός. καὶ ἐπιμαστίμενος, ἐπιλαβόμενος, ἁψάμενος. ἢ ἀντὶ τοῦ ἀπρόσψαυστος, παρὰ τὸ μάσσω, τὸ ἅψασθαι. ἀφ' οὗ καὶ τὸ μασᾶσθαι, καὶ μαστὸς, ὃ δεῖ βρέφει μαστεύεις. καὶ τὸ ἐσμάσατο θυμὸν, ἔτι ἥψατο. ἢ οὐ διεχθρεῖς ἐφάψασθαι τοῦ διωνάμεως. Ἀπροτίοπτα, κρύφα, λάθρα. ἀπὸ τοῦ ὄπω, τὸ βλέπω. Ἀπροσόπιτος, ἀπρονόητος.

Ἀπροτίοπτοι, ἀόρατοι. Ἀπρόφατι, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ἀπροόρατοι, ἀπροφάσιστοι. οἷον ἄνευ προφάσεως, ἃ ἐπέχει, καὶ ὑπερθέσεως. παρ' ὅσον τοῖς προφασιζομένοις παρέπεται ὑπέρθεσις. Ἀπροφάτως, ἀπροσφωνήτως, ἀπροφασίστως. Ἀπροφάτως, ἀθρόως, παρὰ τῷ Ἀπολλωνίῳ. ἢ ἀδιακρίτως, ἀδιανοήτως. Ἄπτα, φάρμακα. Ἀπταίστως, ἀκαταγνώστως. Ἀπτέρ, ἀναχώρητον. Ἀπταῖος, ὁ ἀπὸ Κρήτης. Ἄπτα γὰρ, πόλις Κρήτης. Ἀπτάρυσται, πίπτεται. Ἀπτανόν, τὸ ἐν συναφείᾳ λέγεται. σημαίνει δὲ ἄπτειν πάλαιστα, ἐν ᾧ καλύπτεσθαι. Ἄπτε βρέχον, ἢ ἅπτεται, καὶ ἅπτε πῦρ. Ἀριστοφάνης Νεφέλαις, ἅπτε παῖ τὸν λύχνον. ἢ ἅπτε, συνάπτε. Ἀπτοδοῦς, λύσας. Ἄπτερα, ἰσόπτερα, ταχέα, ὀξέα. καὶ Ἄπτερα, πόλις Κρήτης διὰ ταῦτα κληθεῖσα, ποτὲ πρὸς τὰς Μούσας εἰς ᾠδὴν ἐλθοῦσαι, καὶ ἡττηθεῖσαι, ἐκεῖ τὰ πτερὰ ἀπέβαλον. Ἀπτερέως παρ' Ἡσιόδῳ. ὥσπερ τὸ ἀφορέως. σημαίνει τὸ ἐστιν ἀπτερύγως. οὕτως Ἡρωδιανός. ἤτοι ταχέως, ἑτοίμως, ἀφροντίστως. οἱ δὲ, ἀπροθύμως, ἐλαφρῶς, ῥᾳδίως. ἄλλοι δὲ, ἠμελημένως. Ἄπτερος ἔπλετο μῦθος, παρ' Ὁμήρῳ. κεῖται δὲ τὸ ἄπτερος ἔπλετο μῦθος, εἰς ἴσον τῷ

ταχέως

προθέσεως καὶ τοῦ ὄρος, τὸ ὀροθέσιον. ὁ δυσωνούμενος, εἰ πρὸς λάβοι τὸν ῦ, ψιλοῦται. ὡς τὸ εὔπεδος, ἀπὸ τοῦ ἔπεδος, ὁ ἥσυχος. ὁ μέλλων ἀπορίσω. ἄλλοι γὰρ, οἱ ἀπορίζουσιν ἀρούρας. Ἀπορίσαι ἀρούρας, τὸ ἀφορίσαι καὶ ἀφελέσθαι. καὶ ἔστι κωμικωτάτη λέξις, λαμβανομένη καὶ ἐπὶ ἐξορίας. ἐκ δὲ τοῦ τοιούτου ῥήματος, καὶ τὸ ἀπουρας. ἤγουν μᾶλλον τοῦ προτέρου, τοῦ ἀπορίζειν. ὁμοίως ὀρθόω ὀρθόζω, καὶ ὁπλίω ὁπλίζω, ἀφορίω ἀφορίζω, καὶ τὸ τοιοῦτον ἀπορίζειν. κακορίζειν δὲ, τὸ κατ' οὖρον πλεῖν. Ἀπορίσωσιν, ἀφαιρήσονται. Ἄπους, ὁ μὴ ἔχων πόδας. Ἀπουσία, ὅταν τις ἀπῇ. ἢ ὅταν τις ἀπέχῃ, καὶ ἡ ἀπόλειψις. Ἀπουσιάσα, τῆς οὐσίας μέρος λαβοῦσα. ὁ δὲ υἱὸς τῇ αὐτοῦ θυγατέρα ἀπουσιάσα. Ἀποφαίνειν λέγεται μὲν καὶ τὸ δεικνύειν, καὶ ἐξελέγχειν ἐπ' ἀληθείας, βεβαίως ὄντα κακοῦργον ἢ ψευδῆ, ἢ μοιχὸν, ἢ ἕτερόν τι τοιοῦτον. λέγεται δὲ ἀποφαίνειν, καὶ τὸ πληροῦν. οἷον, ὑπὸ τεκμηρίου τὸ ἀποφαίνεις; καὶ ὡς παρ' Ἀντιφῶντι ἐν τῷ περὶ ..., κἀποφανῶ γε ἰδίᾳ, ὡς ἐνδίκως ἐτύχετο. καὶ ἐν πλούτῳ, κἂν μὲν ἀποφήνω μόνον ἀγαθῶν ἁπάντων αἰτίαν ἐμὲ, ἀντὶ τοῦ δείξω καὶ παραστήσω.

Ἀποφαίνομαι, τουτέστιν ἀποφαντικῶς λέγω. λαμβάνεται ὅτε, καὶ μὴ ὄντος. οἷον ἀποφαίνομαι ὅτι οὐκ ἔστιν ἐν ἐμοὶ μῖσος πρὸς τὸν φιλούμενον, ἢ ἀποφαίνομαι ὅτι ἐστί. ἀποφαίνουσι οἱ δικασταὶ ψῆφον καταδικάζουσαν, ἢ σώζουσαν. καὶ τὸ πρᾶγμα, ἀπόφασις.

Ἀποφαίνουσιν, ἀποδεικνύουσιν. Ἀποφανθεὶς, ἐν ὑπὸ φανερῷ καταστάς. Ἀποφαντικὸν κυρίως, τὸ μὴ ἐκφαίνοντα ἐννόημα. ὅτε δὲ ἀποφάσεως, ἔστι ἀντὶ καταφάσεως. σημαίνει δὲ ἰδικῶς, καὶ τὸ μὴ συγκαταθέμενον. Ἀποφαίνω, τὸ δείκνυμι. Ἀποφανῶ, κἂν μὲν ἀποφήνω μόνον ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμέ. Ἀποφάσεις δύο ἀντὶ μιᾶς τίθενται, ὅπερ τῶν ἀττικῶν ἐστιν. ὡς τὸ, μοιχεῖς δὲ οὔτε προσδοκᾶ γίνεται οὐδέν.

Ἀπόφαρξις, ἡ ἐνέργεια, ὡς Ἡσίοδος. Ἀπόφαθι. φημὶ, τὸ λέγω, φήσω, πέφηκα, πέφαμαι, ἐφάμην ἔφαθι ἔφατο. ἐκ τοῦ ἔφαθι τὸ προστακτικὸν φάσο, φάθι, φάθι, καὶ ἀπόφαθι. φιλόσοφος λέξις, καὶ δηλοῖ τὸ μὴ τίθει· ἐπιτρόμενον ἀποφαντικὸν λόγον. Ὅμηρος, ἔρχεο καὶ ἀπόφαθι, ἀπαγγείλατε, εἴπατε. Ἀπόφασις ὄνομα, ἐξ Ὁμήρου εἴληπται, εἰπόντος, ἀπεκρίθη δ' ἀπόφημι. γυναῖκα μὲν οὐκ ἀποδώσω. τὸ κ γυναῖκα οὐκ ἀποδώσω, ἀπόφασίς ἐστιν. ὥσπερ κατάφασις, τὸ ἀποδώσω γυναῖκα. ἀπὸ γοῦν τοῦ Ὁμηρικοῦ ἀπόφημι, ἐλήφθη τὸ ἀποφάσκειν, καὶ ἡ ἀπόφασις. ἡ ἀπόφασις λόγος, ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει. ὁ λόγος ἀποφαντικὸς ἴσος ἀπόλυτος. ἡ ἀντιστροφὴ τῆς καταφάσεως. οἷον ὁ ποταμὸς οὐκ ἀνέρχεται. ὁ δὲ ἄρχων, εἰσέρχεται. ὁ λόγος, σημαίνων τί ὂν τινὶ μὴ ὑπάρχειν. τὸ γὰρ τινὶ ὑπάρχειν δηλοῖ τὴν κατάφασιν, τὸ δὲ τί τινι μὴ ὑπάρχειν, σημαίνει τὴν ἀπόφασιν. ἀπόφασις δὲ, καὶ πρότασις, καὶ πρόβλημα, καὶ ζήτησις, καὶ συμπέρασμα, τὰ πάντα ταῦτα οὐδὲν κατὰ τὴν ὑπόστασιν ἀλλήλων διαφέρουσιν. ἡ δὲ διαφορὰ τούτων, κατ' ἐπίνοιαν, ἢ κατὰ ἔννοιαν γίνεται χρῆσιν. ὅταν μὲν γὰρ ἁπλῶς ἀποφαινόμεθα, ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἀπόφασις λέγεται. ὅταν δὲ ὡς μέρος συλλογισμοῦ ληφθῇ, ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστι, τὸ ἀθάνατον αὐτοκίνητον, τότε πρότασις ἐστὶ τὸ λέγειν, ἡ ψυχὴ ἀθάνατος. ἡνίκα δὲ ἐνισταταί τις πρὸς τὴν πρότασιν, ζητῶν πόθεν δῆλον ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστι, τὸ τοιοῦτον ἔνστασις προσαγορεύεται. ἡνίκα δὲ πάλιν προτείνομεν εἰς ζήτησιν, ἆρά γε ἡ ψυχὴ ἀθάνατός ἐστι; καλεῖται πρόβλημα. ὅτι δὲ ἐκ προτάσεως συνάγεται, καλεῖται συμπέρασμα. Ἀπόφασις. Δημοσθένης τὸ ἀποφαίνειν διὰ γραμμάτων κατὰ μέρος ὅπόσην οὐσίαν ἔχει, ὅπερ ἐν ταῖς ἀντιδόσεσι μάλιστα γίνεται. καλεῖ δὲ αὐτὸ καὶ ἀπογραφήν. Ἀποφάσκει, ἀπαγορεύει. Ἀποπεφασμένον, ἀντὶ τοῦ ἀποδεδειγμένον. Δημοσθένης κατὰ Νεαίρας, ἀπεφασμένως πολοῦνται, ἀντὶ τοῦ φανερῶς. Ἀποφαυλίζοντες, ἐξευτελίζοντες, ἐξουδενίζοντες. ἢ ὡς πονηρὸν ἀποστρεφόμενοι. ἀεὶ τὸ φαῦλον ἐπὶ τοῦ πονηροῦ τάττεται. Ἀποφέρεσθαι, οὐ μόνον τὸ πόῤῥω φέρεσθαι, ἀλλὰ καὶ τὸ ὑφαιρεῖν, ἀποφέρειν. καὶ ἀποφορὰ, τὰ παρὰ τῶν δούλων διὰ μισθοῦ παρεχόμενα χρήματα. λέγεται μέν τι ἀποφορὰ, καὶ ἡ δυσώδης ὀσμή. Ἀποφεύγειν δὲ, τὸ ἀναχωρήσαντά τινα, μὴ δύνασθαι ὅπου δεῖ ἐπιληφθῆναι. Ἀποφηλακίζει, βιάζεται. Ἀπόφημι, ἀποφαίνομαι. καὶ ἀποφῆναι, ἀποδεῖξαι. Ἀπόφημος, δύσφημος.

Ἀπόφημι ποτὶ ἐμοὶ, ἀντὶ τοῦ εἰπέ. προστακτικόν. Ἀποφῆσαι, ἀρνήσασθαι. καὶ ἀπόφημι, τὸ ἀπολέγω. Ἀποφθαρήσεσθαι, τὸ τὰς μυκτῆρσιν εἰς τὸ ἔξω ἦχον προϊέναι. Ἀποφθαρθείη μὲ δὴ γένοιτο οἱ ἄνθρωποι, οὐκ ἀπαλλάξειεν με. δηλοῖ δὲ, τὸ μετὰ φθορᾶς ἀπόσθει με. Ἀποφθεγγόμενος, μαντευόμενος. Ἀποφθέγγεσθαι, τὸ ὀξέως ἀποτρέχειν. Ἀπόφθεγμα, σύντομος λόγος, μάντευμα. Ἀποφθίμενον δύναμις εἰς ἄδην, πρὸς Ἀπολλώνιον ἐξῆται τῶν δίχα φθορᾶς μυθευομένων δῦναι εἰς ἅδην. ὥσπερ ὁ Πειρίθος, καὶ ὁ Ὀδυσσεὺς, καὶ ὁ Ἡρακλῆς. συγκέκοπται δὲ τὸ ἀποφθίμενον αἰολικῶς. τὸ γὰρ ἐντελὲς, ἀποφθιόμενον, ἐκ τοῦ φθίω.

Ἀποφθίμενος. φθίω, φθίσω. τὸ παθητικὸν φθίομαι. φθιμένος κατὰ συγκοπὴν, καὶ ἀποφθίμενος. Ἀποφθίμην, ἀπὸ τοῦ φθίω ῥήματος. ἐξ οὗ καὶ ἡ φθίσις, καὶ ὁ φθινόπωρον. καὶ ἀποφθίμην, ἀπολοίμην, ἀποθάνοιμι. Ἀπόφθιμον, φθαρέντα, ἀποθανόντα. ἀπὸ τοῦ φθίω. Ἀποφθινύθουσι, φθείρονται. ἀπὸ τοῦ φθίω φθινύθω. ὡς ἀπὸ τοῦ νέμω, τὸ νεμέθω. Ἀποφθίσθαι. φθίω φθίσω, ἔφθικα, ἔφθιμαι, ἐφθίμην, ἔφθισο. τὸ προστακτικὸν, φθίσο φθίσθω, καὶ ἀποφθίσθω, ἀντὶ τοῦ ἀποθανέτω. Ἀποφλᾶσαι, ῥογχάσαι, πρῶτον καὶ σῆμαι. Ἀποφλαυρίζοντες, ἐκπετάζοντες, ἐξευτελίζοντες. ἢ ὡς πονηρὸν ἀποστρεφόμενοι. Ἀποφλύειν, ἐκβάλλεσθαι. Ἀποφοιβάζειν, ἀποκαθαίρειν, ὁ χρησμωδῶν, μαντευόμενος. Ἀποφοιτᾶν, ἀποχωρεῖν, ἀναχωρεῖν. Ἀποφοίτησις, χωρισμὸς, ἡ ἀναχώρησις. Ἀποφοιτήσομαι καλλίον, ἢ ἀπορεύσομαι. οὕτως ἀπολαύσομαι, ἢ ἀπολαύσω. Ἀποφορὰ, ὀσμή. καὶ ἀπόφορα δένδρα, τὰ μὴ φέροντα καρπόν. Ἀποφορᾶν, ἀντὶ τοῦ ἀπαγγέλλειν, καὶ διάστημα τριῶν μεταξύ. ἰσαῖος ἐν τῷ πρὸς ὀργεῶνας. ἐν ᾧ φησιν οὕτως, εἶπον γοῦν ὥρισεν ταῖς ἀποφοραῖς ταύταις τῶν πολλῶν, ἀλλ' ἔτι εἶναι τὸ χωρίον. Ἀποφόρος, ἀθροιστός. Ἀποφορτίσασθαι, ἀποῤῥίψασθαι, ἀποβαλεῖν τὸ φορτίον. Ἀποφράδας, κακὰς, παρακεχωρημένας. Ἀποφράδες, αἱ ἀπαγορευόμεναι ἡμέραι. ἃς οἱ παλαιοὶ ἐκκαλεῖν καλοῦσι φθίνοντος τοῦ μηνὸς, τετράδα ἢ ἕκτην ἡμέραν. ἢ τὰς ἡμέρας ἐν αἷς τὰς φονικὰς δίκας ἐδίκαζον, διὰ τὸ οἷον ἀποτρέπεσθαι τὸ συλλέγειν φῶς ἐν αὐταῖς. καὶ τοὺς πονηροὺς δὲ, ἀποφράδας ἐκάλουν, οἷον ἄνθρωπος ἀποφρὰς, καὶ βλέπων ἀποφράδα. παρὰ τὸ φῶ ῥῆμα, φράζω. ὁ μέλλων, φράσω. ἀποβολῇ τοῦ σ, φρὰς, καὶ ἀποφράς. Ἀποφυλακίζει, βιάζεται. Ἀποφύλιοι, ξένοι οἱ μὴ ἔχοντες φυλήν. Αἰσχύλος. Ἀποφῦναι, διακοῦσαι. Ἀποφωσώσας, ἐγλύψας. Ἀποφωνεῖν, ἐκφωνῆσαι, ἐξοχάς. Ἀπόφυλοι, ξένοι, οἱ φυλὴν μὴ ἔχοντες. οὕτως Αἰσχύλος. ἢ ἀπαίδευτοι. φυλαὶ γὰρ τὰ παιδευτήρια, κατὰ ... οὐ μὴν πᾶς ἀπαίδευτος, ἀλλὰ κατὰ ψυχὴν μόνον. Ἀποφῦραι, κλάσαι. Ἀπόχαλος, ἀποχάρακος. Ἀποχανθῆ, ἀποθάνῃ, ἀπεῖχε. Ἀποχειρόβιοι, οἱ ἁλιεῖς, καὶ χειρογάστορες, οἱ τεχνῖται. Ἀποχειροβίων, τῶν ἐκ χειρῶν ζώντων, καὶ ταῖς τέχναις προσκαθημένων. Ἀποχειροτονηθῆναι, ἀπογραφῆναι, ἀποδοκιμασθῆναι. Ἀποχετεύονται, μεταφέρονται. Ἀποχλωρίας, οὐκ αἰσχύνης, ἢ μανίας, ἡ χρόα τῆς ὄψεως [illegible].

Ἀποχοιριάζειν, ἀποσβέσειν, ὡς χοῖρον ἐξελαύνειν. Ἀποχον, ἀπότεχνον. οἱ δὲ ἄγροικον, οἱ δὲ μάταιον. Ἀπόχρασμα, τὸ ἀπολειφθὲν τῶν χρωμάτων παρὰ τοῖς ζωγράφοις. Ἀποχρᾶν, ἐξαρκεῖν. Ἀπόχρεως, ἀπάλυτος, ἀπροφάσιστος.

Ἀποχρέω-

Ἀποτάδιον, ἐκτεταμένον. Ἀποταμιεύεται, ἀποκλείει.

Ἀποτάξιον, ἀπόπεμπτον. Ἀπόταξις, τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους, εἰς τὸ ὑποτελεῖν τὸν ὡρισμένον φόρον. Ἀλεξιφῶν ἐν τῷ περὶ τῆς συμμοριῶν φησί. Ἀποτάσσομαί σοι, ἀφοσιοῦμαί σοι. καὶ δὲ λέγομεν, ἀσπάζομαί σε. οὕτω γὰρ οἱ ἀρχαῖοι εὑρίσκονται λέγοντες, ἐπειδὰν ἀπαλλαχθῶσιν ἀλλήλων. Ἀπὸ ταυτομάτου, ἐξαίφνης. Ἀποταυρούμενος, θυμούμενος. Ἀπόταφοι, οἱ συνωμοσάμενοι ἢ ἐλευθέραν [illegible], καὶ μὴ συνταφέντες αὐτοῖς. Ἀπόταφος, ἀντὶ τοῦ ἐκφορᾶς τῶν προγονικῶν τάφων. Δείναρχος ἐν τῷ κατ' Ἀγασικλέους εἰσαγγελίας. Ἀποτεθρίακεν, ἀντὶ τοῦ ἐξεῖλεν, ἢ ψιλὸν εἴργασται. κυρίως δὲ συκῆς ἀποφύλλισον. θρῖα γὰρ τὰ φύλλα τῆς συκῆς. καὶ ἀποτεθρίακεν, ἀποπεφύλλικεν, ἐκκαθαρεν. Ἀποτεθειμένοι, ἀπηρχημένοι. Ἀποτεθυμένοι, [illegible]. Ἀποτείνω, τὸ εἰς ταὐτὸ τείνω, καὶ φέρω. ἀποτείνει καὶ τὸ ἐπάγει εἰς μῆκος. οἷον, ἀπέτεινε τὸν λόγον μακρόν. ὅθεν καὶ χωρὶς τῆς προθέσεως λαμβάνεται. ὡς παρὰ Σοφοκλεῖ, μὴ τεῖνε μακράν, ἀντὶ τοῦ μὴ ἀπότεινε. Ἀποτειχίσαι, τὸ βάλλειν τείχη, καὶ ἀποκλεῖσαι τῆς ἐξόδου. ἀποτετειχισμένος δέ, ὁ ἀπειλημμένος, καὶ ἀποκεκλεισμένος τῷ τείχει. Ἀλεξῶν, καὶ Θουκυδίδης. καὶ ἀποτειχίζω, τὸ ἀποφράσσω. καὶ ἀποτείχισις, ἡ τῶν τειχῶν ἀφαίρεσις. Ἀποτέλεσοι, οἱ κατὰ πόλεις ἡγεμόνες τῶν ἐκ λαῶν. Ἀποτελμῶσαι, ἀποχορχοῦν. Ἀποτέμνω, καὶ ἀποκόπτω, αἰτιατικῇ. Ἀποτεμματίζω, τὸ ἀποτελῶ. οἷον ἐνταῦθα οἱ γραμματικοὶ ἀποτεμματίζουσιν. Ἀποτετίλακα, καὶ ἀποτετίλθωμαι, οὐκ ἀπέρριφα, [illegible]. Ἀποτελευτήσει, ἀπολεῖται. Ἀποτετίμηκεν, ἀπέρριψεν. Ἀποτέτμηται, ἀπεσκίασται. Ἀπότευγμα, ἀποτυχία. Ἀποτεύξεσθαι, ἀποτυχεῖν. Ἀποτηλόθεν, μακρόθεν. Ἀποτίθεμαι, παθητικῶς ἀεί. τὸ εἰς φυλακὴν καὶ τήρησιν τίθεμαι. οἷον ἀποτίθεμαι σῖτον. Ἀποτίθεται, συνάγει εἰς τὰς ἀποθήκας. Ἀποτίθεσθαι, ἀποθέσθαι. Ἀποτίμητος, ἀνύβριστος. Ἀποτιμήματα, αἱ πρὸς τὰς φερνὰς ὑποθῆκαι. Ἀποτιμήσασθαι, τὸ λαβεῖν εἰς ὑποθήκην. Ἀποτίμησις, τὸ ἀποτίμημα, καὶ τὸ τέλος, καὶ ὁ φόρος. Ἀποτιμηταί, καὶ ἀποτίμημα, καὶ ἀποτιμᾶν, ἐπὶ τὰ ἐκ τούτων, οἱ μισθούμενοι τοὺς τῶν ὀρφανῶν οἴκους παρὰ τοῦ ἄρχοντος, ἐνέχυρα τῆς μισθώσεως παρεῖχον. ἔδει δὲ τὸν ἄρχοντα ἐπιπέμπειν τινὰς τιμησομένους τὰ ἐνέχυρα. τὰ μὲν οὖν ἐνέχυρα τὰ ἀποτιμηθέντα, ἐλέγετο ἀποτιμήματα. οἱ δὲ ἐκπεμπόμενοι ἐπὶ τῷ ἀποτιμήσασθαι, ἀποτιμηταί. τὸ δὲ πρᾶγμα, ἀποτιμᾶν. εἰώθεισαν δὲ καὶ οἱ τότε, εἰ γυναικὶ γαμουμένῃ προῖκα διδοῖεν οἱ προσήκοντες, αἰτεῖν παρὰ τοῦ ἀνδρὸς ὥσπερ ἐνέχυρόν τι τῆς προικὸς ἄξιον. οἷον οἰκίαν, ἢ χωρίον. ἐλέγετο δὲ ὁ μὲν διδοὺς τὸ ἀποτίμημα ἐνεχυριάζων, ἀποτιμᾶν. ὁ δὲ λαβών, ἀποτιμᾶσθαι. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων ὀφλημάτων. ὡς καὶ Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος δευτέρῳ, καὶ Λυσίας ἐν τῷ πρὸς Διογείτονα ὑπὲρ μισθώσεως οἴκου, εἰ γνήσιος.

Ἀποτιμῶ, ἀποτίθημι. Ἀπότιμος, ἄτιμος. Ἀποτιμοτέρας, τὰς ἀτιμοτέρας λέγουσιν ἴσως. Ἀποτινέτω, ἀποδιδότω.

Ἀποτίνω, τιμωρίαν παρέχω. Ἀποτίνυται, τιμωρεῖται. Ἡσίοδος, ὃς δ' ὀργῇ τεῖχος [illegible] ἀποτίνυται αὐτῶν.

Ἀποτίπλασον, [illegible]. Ἀποτίσαι, ἀποδοῦναι.

Ἀποτίσεις χοῖρε γίγαρτα, ἡ παροιμία. οἷον, ὧν κατέφαγες ἀποδώσεις πλείονα. ἐπὶ τῶν μείζονα τιμωρίαν ὧν ἥμαρτον διδόντων. Ἀποτίσεται, τιμωρήσεται. Ἀποτμήγουσι χαράδραι, ἀποτέμνουσιν αἱ ὑδρορρόαι. Ἀπότμημα, ἀποτετμημένον.

Ἀποτμήξαντες, ἀποτεμόντες, ἀποχωρισθέντες. Ἀπότμους, δυστυχεῖς. πότμος γὰρ οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ ἡ τύχη, παρὰ τὸ πίπτειν, ὅ ἐστι πεσεῖν. ἀφ' οὗ καὶ ἡ συμφορά. τὰ δὲ ἐν τύχῃ συμπίπτοντα λέγεται, ἤγουν συμβαίνειν. ὅθεν εὔποτμος μὲν ὁ εὐτυχής. ἀπότμος δέ, καὶ ἀποτμώτατος, ὁ δυστυχής. Ἄποτμε, δυστυχέστατε. Ἀπὸ τίν, ἀπὸ τίνος.

Ἀποτόκους, τὰς ἀπογεννήσεις τῶν γεννημάτων. Ἀποτομάδι, ξίφει, καὶ ἀκόντι [illegible]. Ἀποτομή, ἀπόσπασμα μικρόν, ἀποτετμημένον. Ἀπότομοι, οὐχ ὁμαλοί. Ἀποτομωτάτην, μὴ ἄξιον προσόψεως. Ἀποτόμως, κεκομμένως, σκληρῶς.

Ἀπὸ τοῦ πράγματος, ἀντὶ τοῦ ἀπαθῶς. Δημοσθένης κατὰ Ἀνδροτίωνος. Ἀποτραγεῖν, ἤγουν φαγεῖν. Ἀποτράγημα, λείψανον, βρῶμα. Ἀποτραχηλίζοντες, ἀπάγχοντες. Ἀποτραχύνεται, [illegible]. Ἀποτρέχει, ὁ [illegible]. Ἀποτρίβονται δ' ἐκεῖ τὰς ἐξ ἀνέμων λύματα, τουτέστιν ἀποπλύνεται, ἀπολυμαίνεται. Ἀποτριχῶσαι, κεῖραι. Ἀποτρύχει, ἀντὶ τοῦ ἐκφθίνει. καὶ ἀποτρίχει, ἀντὶ τοῦ καταφρύγει, ὡς προσήκει ὡς ὁ μέγας Βασίλειος, πείσωμεν ἑαυτοὺς ἀδελφοὶ ἐν καιρῷ τοῦ πειρασμοῦ, μὴ πρὸς ἀνθρωπίνην ἐλπίδα ἀποτρέχειν. Ἀποτρέψαι, διαλῦσαι φιλονεικίας. Ἀποτριάσαι, [illegible] τῆς λύσεως. Ἀποτριβόμενος, ἐμποδίζων, ἀπείργων. Ἀπότριχοι, οἱ κύβοι. τῆς ἀπὸ προθέσεως ἀντὶ τῆς ἐπὶ στερήσεως κειμένης. ὡς ἐν τῷ ἀποπαλαίσαντα ἀντὶ τοῦ ἀπαλαίσαντα, καὶ ἀφρονήσαντα. καὶ ἀπόλεμον ἀντὶ τοῦ ἄτιμον. Ἀποτριψάμενοι, ἀπορριψάμενοι. Ἀπότριψις, μάλαξις, ἀπάλειψις, ὄγκωσις, προάγγελσις, τέκμαρσις, κάθαρσις, πλάνησις, διάφαυσις, ἑρμήνευσις, ὕπνωσις, ξένωσις, κόθαρσις, βλάψις, ἐπίτασις, ψόφησις, διέργασις, γνώρισις, λάλησις. ὁμοιοκατάληκτα ὀνόματα. καὶ ἀποτριβόμενος, ἀντὶ τοῦ ἐμποδίζων. ὁ δὲ Ἀννίβας ἐν κακοῖς ὤν, ἔμενε τοὺς πολεμίους ἀποτριβόμενος. Ἀποτρόπαιος, φαῦλος, μισητός.

Ἀποτρέπεσθαι, ἀποστρέφεσθαι. Ἀποτροπιαζόμενοι, ἀποφαινόμενοι, καὶ ἀποστρεφόμενοι, καὶ μισοῦντες. Ἀποτροπιάσασθαι, ἐξιλεώσασθαι ἀποτρέποντα τὸ φαῦλον. Ἀπότροπον, ὃ ἂν ἀποτρέποιεν. Σοφοκλῆς Οἰδίποδι. ἢ ἀπόβλεπτον, τὸ οὐκ ἐπιστρέφον εἰς τὴν πόλιν ἀποτετραμμένον διὰ τὸ ἄγος ἐπισχομένου.

Ἀπότροπος, ὁ κεχωρισμένος, καὶ οἷον ἐξόριστος. φησὶ γὰρ Εὔμαιος ἐν τῇ Ὀδυσσείᾳ, αὐτὰρ ἐγὼ παρ' ὕεσσιν ἀπότροπος. ἐν οἷς ἑρμηνεύων τί ἐστιν ἀπότροπος, ἐπάγει, οὐδὲ πόλινδε ἔρχομαι. Ἀποτρέπε, ἐξ ὧν τρέπε. Ἀπότροφος, μακρὰν τεθραμμένος. Ἀποτρόφους, ὡς μὴ ὄντως τραφέντας τῆς φιλοσοφίας. Ἀπὸ τροχοῦ, ἐξ ἅρματος φησί. Ἀποτρωκτέον, λάθρα ἐσθίειν. Ἀπότρυγον, ἄλφιτον. Ἀποτυμπανίσαι, ἀποσφάξαι.

Ἀποτυμπανίζεσθαι, ἀποστρίπτεσθαι. Ἀποτυγχάνω, ἁμαρτάνω, ἀμηχανῶ, διαψεύδομαι. Ἀποτυλῶσαι, ἐπᾶραι [illegible].

Ἀποτυμπανίσαι, οὐχ ἁπλῶς τὸ ἀποκτεῖναι, ἀλλὰ τυμπάνῳ πλῆξαι. ἔστι δὲ ξύλον, ὅπερ σκυτάλην καλοῦσι. τὸ γὰρ παλαιόν, ξύλοις ἀνῄρουν τοὺς πολεμίους. ὕστερον δὲ τῷ ξίφει, κἂν εἰ δι' ἄλλο τι ἐλεύθερος. Ἀποτυμπανισθῆναι, τουτέστιν ἐπὶ τῷ ξίφει τὴν κεφαλὴν ἀποκοπῆναι. Ἀποτυχισθείς, ἀντὶ τοῦ ἀποκλεισθείς. καὶ ἀποτυχισθῆναι, ἐπὶ τοῦ ἀποκλεισθῆναι τὸν λίθον ἀποτύχῳ. ἔστι δὲ λιθοξοϊκὸν ὀλήριον. Ἀποτύψονται, κόψονται τὸ τύψασθαι. Ἀπ' οὔατος ἄγγελοι ἦλθον, παρὰ Καλλιμάχῳ, τουτέστι λόγιμος, μὴ ἄξιος τοῦ ἀκουσθῆναι, ἢ μακρὰν τῆς ἀκοῆς. Ἀπ' οὔλιος, ἀπὸ τοῦ ἰούλου. Ἀποῦκρατος, ἀπὸ τῆς κεφαλαίας. Ἀπ' ὑποδίας, ἀπὸ δορός, ἀπὸ δόρατος βολῆς, ἢ μέγεθος βολῆς δικαίως. Ἀπούρας. ἀπουρίζω [illegible], ἀντὶ τοῦ ἀφορίζω. καὶ ἀπουρῶ. ὁ μέλλων, ἀπουρίσω. ὁ ἀόριστος, ἀπούρισα. ἀφ' οὗ μετοχὴ ἀπουρίσας, καὶ κατὰ συγκοπὴν ἀπούρας. ἀπούρας ἐλεύθερον ἦμαρ, παρὰ τῷ ποιητῇ. ὁ ἐστι δουλώσας. καὶ ἀπούρας, ἀφελόμενος, ἢ ἀφορίσας. Ἀπουργοί, γονέας ὑπολείξας, ὡς τὰ σώματα σώζειν. Ἀπουρία, ἡ ἐξ ἀνίσων γάμων σπορά. οἷον ἐκ δούλης ἢ ἀκολούθου γυναικός. Ἀπουρίζω, ἀντὶ τοῦ ἀφορίζω, ὁ ἀπουρῶ. ἐκ τῆς ἀπὸ προθέσεως

Ἀποσπᾶν, τὸ βιαίως χωρίζειν τὰ συνεχόμενα. Ἀποσταυροῦσι, σταυροῦσι, σφίγγουσι. καὶ ἀποσταυρώσειν, ὁμοίως παρὰ τῷ Ἰσοκράτει. Ἀπόσπασμα, μέρος, ἀπότμημα.

Ἀποσπινθὴρ, ἀποσκεδάσας, ἀποκόψας, καὶ θραύσας.

Ἀποσπενδόντων, καλούντων. ὡς δ', ἀποσπένδουσι δὲ τῆς γυναικὸς καὶ τῶν παίδων. Ἀποσποδῆσαι, ἀφανίσαι. ἀπὸ τοῦ σποδοῦ. αὕτη γὰρ ἀφανίζει τὴν προϋπάρξασαν ὕλην τοῦ ξύλου. ἢ ἀποσποδοῦσαι, ἀφανίσαι. Ἀποσπυλάζειν, πενόμενος τῆς σπυλιδος, ἀμελῶν. Ἀπὸ σπυρίδος ἀγοράζειν, ὅτι σπυρίδος ἀπὸ σκίμπους ἐθηρίσθαι. Ἀπὸ σπυρίδος δειπνεῖν, ἢ δειπνίζειν, τὸ ἀντὶ δείπνου ἀργύριον καὶ μέρος ἐν σπυρίδι λαβεῖν, ἢ δοῦναι.

Ἀποσπῶμαι, μερίζομαι. Ἀποσπῶν, ἀφορῶν. Ἀποσταδὰ, ὅ ἐστι πόρρω καὶ ἐκ διαστήματος. κατὰ τὸ ἀναφανδὰ ἐσχημάτισται. ὡς γὰρ ἀναφανδὸν ἀναφανδὰ, οὕτως ἀποσταδὸν ἀποσταδά. Ἀπόσταδον, δίκτυον μεμολυβδωμένον, καὶ καλαμοπεριπεπηγμένον. Ἀποσταδὸν ὀξύνεται, ἀντὶ τοῦ ἀφεστώς, καὶ πόρρωθεν, ἐκ διαστήματος. Ἀποσταθμοῖο, ἀπὸ τῆς ἐπαύλεως.

Ἀποσταίην, μακρὰν γενοίμην. Ἀποσταλεὶ, ἀποπέμψας.

Ἀποσταλέντων, ἀποσπασθέντων. Ἀποστὰς, φυγών. Αἰσχύλος. Ἀποστάσιον. τὸ ἀπολῦσαι τὴν γυναῖκα, καὶ γράψαι ἀποστάσιον. Ἀποστασίου δίκη ἔλεγον, ὁπότε ἀπελεύθερος ὁ δοῦλος ἀποστασίου κρίνοιτο, ὡς ἀποστὰς τοῦ δεσπότου. ἀπροστασίου δὲ, ὁπότε μέτοικος ἐγκαλοῖτο μὴ ἔχων προστάτην. Ἀποστατεῖ, διεστατεῖ, καὶ ἐπιστατεῖ, συντάσσεται γενικῇ. ἔστι δ' ὅτε καὶ αἰτιατικῇ. καὶ ἀττικῶς τὸ ἐπιστατεῖ, δοτικῇ. Ἀπόστα. οὐ μόνον ἀπόστα ἀντὶ τοῦ ἀπόσταθι λέγουσιν, ἀλλὰ καὶ παράστα. Μένανδρος, παιδίον ἐνταῦθα ἀπόστα μικρὸν, δὶς ἐξαπατῶσί με, πλήσσω τὴν θύραν κόψας, ἐγὼ καλῶ ἕνα αὐτῶν. Ἀπόστασις, ἀποχώρησις ἐκ διαστήματος. Πολύβιος, Οὐδενὸς ἐπιγινώσκοντος τῶν πλειόνων, τὸ συμβαῖνον διὰ τὴν ἀπόστασιν, ἅτε μεγάλης οὔσης τῆς πόλεως. ἀπόστασις καὶ ἡ ἀποστασία, ἀπόδοσις πρὸς ἕνα. ὡς τὸ, Ὁ δὲ ἀμείβεται τὴν εὐεργέτην ἀποστάσει. ὅθεν καὶ ἀποστασίου δίκη, ἡ κατὰ τῶν ἀπελευθέρων, ὅταν ἀποστῶσι τῶν ἀπελευθέρων. Ἀποστατέον, καὶ ἀπομαρτυρητέον, καὶ χρηστέον, καὶ ὅσα τοιαῦτα, καὶ κατ' αἰτιατικὴν καὶ δοτικὴν ἐκφέρονται. οἷον ἀποστατέον μοι τοῦ πράγματος, καὶ ἀποστατέον με τοῦ πράγματος. ὅτι μὲν γὰρ πρὸς τὸ ἄξιον τὴν σύνταξιν συντέθεικε, δοτικὴν δεῖ γράφειν. ὅτι δὲ πρὸς τὸ ἀπαρέμφατον, αἰτιατικῇ. ὁμοίως δὲ χρηστέον καὶ δοτικῇ καὶ αἰτιατικῇ. δοτικῇ μὲν, ὡς παρὰ Λυσίᾳ, Μέχρι δέ μοι ἐπὶ χρηστέον. αἰτιατικῇ δὲ, ὡς παρὰ Λυκούργῳ, Ὅμως δ' οὖν χρηστέον με, τοῖς ὑμεῖς ἐργοις. ὁμοίως καὶ τὸ ἀπολουστέον, ἀντὶ τοῦ ἄξιον ἐμοὶ ἀπολοῦσαι ταῦτα, καὶ ἄξιον ἀπολοῦσαί με ταῦτα. Ἀποστατοῦσιν, ἀποχωρισθῶσιν. Ἀποστεῖον, οἷον ἀποφῦναι καὶ κωλύειν. Ἀπόστειλε, ἄπιθι, ἀναστάθμου. Ἀπόστειχε, τὸ ἀπαλλάσσου, καὶ ἀναχώρει.

Ἀποστέμβεις, ἀπείργεις, κωλύεις. Ἀπ' ὀστέφιν, κατὰ προχυματισμὸν, ἀντὶ τοῦ ἀπὸ τῶν ὀστῶν. Ὅμηρος ὀδυσσείας, μάλιστα ὀστέφιν ἰδέσθαι. ἀντὶ τοῦ ἀπὸ τῶν ὀστῶν. Ἀποστερητικὸν ῥῆμα, οὕτω καλούμενον, ὅτι μετὰ τὸ ἀποστερηθῆναι τῆς σκοπέσεως, ὕλη τῷ θεῷ ... ἀπὸ ... Χρὴ γινώσκειν, ὅτι τὰ ἀπὸ συνθέτων ὀνομάτων παραγόμενα ῥήματα οὐκ ἔτι μένουσι σύνθετα, ἀλλὰ γίνονται παρασύνθετα. οἷον, ἄπιστος ἀπιστῶ, εὐσεβὴς εὐσεβῶ. Ἀποστερεῖν, ἀρπάζειν. Ἀριστοφάνης, ἀποστερεῖν δ' ἕνι. καὶ ἀποστερῆσαι τὰ χρήματα, ἃ δανείσαντο βούλεται. Ἀποστέφεται, στρέφεται. Ἀποστέρξαι, περιτικῶς ἀποπέμψαι. ὡς τὸ, ἀλλ' ἀποστέρξαι εὐγενῶς τὸν βίον κατέστρεψεν. Ἀπόστηθι, ἀποχώρει. καὶ ἀποστῆναι, τὸ ἀποχωρισθῆναι. Ἀπόστημα ἀποστάσεως, παλαιοῦ σταθμοῦ. Ἀποστηρίγματα, ἀντιφέρσματα. Ἀποστίλβεσθαι, ἀπολεῦσαι χρίσμα. Ἀπόστολον, ἀντὶ τοῦ παράλου.

Ἀποστιλβόντα παρ' Ὁμήρῳ ἐν τῷ ῥαψῳδίᾳ τῆς ἰλιάδος τὸ Χηρὸν χρίσμα. ἐκεῖ μὲν χρίσματος ἀποστίλβοντα. οὐκ ἀλείφου δὲ τῆς σποδοῦ. ἀλλὰ θέλουσιν εἶναι ἀποστίλβοντα, ἀντὶ τοῦ λαμπρύνοντα. ἔφρασαν σταθμοῦ ἀπολοῦσιν, ἢ λάψοντα, καὶ ὅπως ἀπὸ τῆς κεφαλῆς τοῦ ἰλάσματος, αὐτοὶ σίμβλον εἰσφέρονται. γίνεται δὲ ἡ λέξις παρὰ τὸ στίλβω, ὅ ἐστι τοῦ χρυσοῦ λεγομένη. ἐξ οὗ καὶ στιλπνὸν, τὸ σίρωμα. καὶ μεταστῆσαι, τὸ συνθετικὸν μετασταθμῆσαι. Ἀποστίβων, ἀποστερητικὸς, ὁ τὴν αὐτὴν τρίβον στίβων, τουτέστι πατῶν. Σοφοκλῆς κορίας. Ἀποστιχεῖ. στίχω ἐπιδὼν, ἔσπευδον παρατατικὸς, διὰ διφθόγγου. ἔστιχον, δεύτερος ἀόριστος διὰ τοῦ ι. καὶ μετὰ τῆς ἀπὸ, ἀπέστιχον. ἀφ' οὗ προστακτικὸν, ἀπόστιχε, ἤγουν ἀπελθὲ, ἀναχώρει. Ἀποστολαὶ, δῶρα, ἀποπέμψεις. Ἀποστολεὺς, ὁ τὰ πρὸς πλοῦν παρασκευάζων εἰς τὴν τριήρειν. ἀποστολομάνοις, ἀπὸ στόλων τῶν διὰ θαλάσσης. Ἀποστολαὶ νατοῖο, πνεύστην, ὀφθαλμῶν ἀκρίβειαι, γλώσσης ἐγκράτεια, καὶ τὰ ὅμοια.

Ἀποστολεῖς, οἱ ἐπὶ τῆς ἐπιμελείας τῶν τριήρων ἀποδεδειγμένοι. ἀπόστολοι δὲ, αἱ τῶν νεῶν ἐκπομπαί. οὕτω Δημοσθένης.

Ἀπόστολος, ὁ ἀποσταλμένος, καὶ αὐτὴ ἡ ἐκπομπή. Ἀπόστολος, καὶ Δημοσθένης. Ἀποστοματίζειν, ἀπὸ μνήμης λέγειν. Ἀπὸ στόματος, ἄνευ γραμμάτων. ὁ δὲ κελεύει ἀπὸ στόματος φράζειν εἰς ἐρημίαν τῶν μαθητῶν. Ἀποστομίζειν, ἀπὸ μνήμης ἀφεστῶν λέγειν. Ἀποστομίζων, φιμοῦν. Ἀποστομοῦν, ἀποφράττειν.

Ἀποστρακισθῆναι, ἐξορισθῆναι. τὸ παλαιὸν γὰρ ἐν ὀστράκοις αἱ ψῆφοι γραφόμεναι εἰς ὑποψιαζομένους ἐνεδίδοντο. Ἀποστρατοφεῖν, ἀποστρατεῦ. Ἀπόστροφον, ἀπεχθὲς, καὶ μὴ στρεφόμενον.

Ἀποστρέφει τις εἰς τὸ πίσω τὸ πρόσωπον, ἢ τὰς χεῖρας ἑαυτοῦ, ἢ ἕτερον. ἀποστρέφεται δὲ τὸ, ὁ μισῶν. Ἀποστρέφομαι, δέομαι. Ἀποστροφὴ, προδοσία. Ἀποστροφὴν, ἀντὶ τοῦ καταφυγήν. Δημοσθένης ἐν φιλιππικοῖς. Ἀπόστροφος, συμφορὰ ἐπιβλέψεως φωνῆς. οἷον, ὡς ἔφατ' εὐχόμενος. ἀπόστροφος δὲ, διὰ τὸ ἐκθέτειν ἐπὶ τὰ ἄνω. τίθεται δὲ ἀντὶ τεσσάρων, ἀντὶ τοῦ α, ἀντὶ τοῦ ε, ἀντὶ τοῦ ι, καὶ ἀντὶ τοῦ ο. Ἀποστυγοῦντες, μισοῦντες. Ἀποστυφὸς, τῇ φωνῇ σκληρός. Ἀποσυκάζεις, συκοφαντεῖς, δοκιμάζεις. ἢ τὸ τὰ πέπειρα σῦκα διακλίνεις, ἢ συκιδίοις. Ἀποσυμβολεῖν, συναντᾶν. Ἀπὸ συμβόλων δικάζειν. ἐδίκαζον Ἀθηναῖοι ἀπὸ συμβόλων τοῖς ὑπηκόοις, καὶ τοῦτο ἦν χαλεπόν. Ἀποσφάγισμα, τὸ τρυγοῦλος παράθεμα, παρὰ τῷ Ἰσοκράτει. Ἀποσφαλεὶς, ἀποτυχὼν, καταγνωσθεὶς, ὀλισθήσας. Ἀποσφαλμόσας, ἀποπλανήσας, ἀποτυχήσας. Ἀπόσφαξ, τὸ ὑψηλόν. Ἀποσφέων, ἀφ' ἑαυτῶν. Ἀποσφήλειε πόνοιο, οἷον ἀποσφαλείη καὶ ἀποτυχεῖν ποιήσει τοῦ ἔργου. σφάλλω σφαλῶ, ἔσφαλα καὶ ἔσφηλα, ὁ μέλλων ὁ σφήλας τοῦ σφήλαντος. τὸ εὐκτικὸν, σφήλαιμι, αις, αι. καὶ αἰολικῶς, σφήλειε. καὶ ἀποσφήλειε πόνον, ἀντὶ τοῦ ἐμποδίσαι, καὶ κωλύσει τοῦ ἐνεργεῖν. Ἀποσφήλωσιν ἄλλαι, ἀντὶ τοῦ ἀποπλανήσωσιν ὁδοῦ. δηλοῖ γὰρ τὸ σφάλλειν, ἐμπόδιον ὁδοῦ σημαίνειν. οὗ διόρθωσις, τὸ ἀνασφάλλειν. Ἀποσφήλωσις, ἡ ἀποπληξία, ἡ ἀποτυχία. Ἀποσφίλωσις, ἀπορύπωσις. Ἀποσχᾶν, ἀνοίγειν. Ἀποσχάσαι, ἀπορρῆξαι καὶ διαφθεῖραι, καὶ διασχίσαι. σημαίνει καὶ τὸ φλεβοτομῆσαι.

Ἀποσχεδιάζειν, εἰκῇ καὶ παραχρῆμα λέγειν. Ἀποσχεδιάζω, καὶ αὐτοσχεδιάζω, καὶ σχεδιάζω λέγομεν. Ἀποσχεδιάσας, συντεμὼν, ὁ ψευσάμενος. Ἀποσχεῖν ἀνθρωπικῶς, τὸ διαῦξαι ὕδωρ. Ὅμηρος, αἶψα τυδίδος ἠὼ ἀπέχει ἰλίου.

Ἀποσχεῖσαι, ἀπεχθεῖσαι. Ἀποσχέσθαι, ἀποχωρῆσαι, ἀποδιῶξαι. ἔχω, ἔχον, σχῶ, σχέσω, καὶ ἀποσχέσω. Ἀποσχέσθαι, ἀντὶ τοῦ πόρρω ἕξαι, ἐκβαλεῖν, ἀφεῖσαι. οὐ τοὐναντίον, τὸ παρέξαι, καὶ τὸ παρασχεῖν. Ἀποσχοινισμένος, δεσμὸς, διαζευγμένος. Ἀποσχοινίσαντες, ἀποστρέψαντες. Ἀποσχολάζειν, κατασχολάζειν. Ἀπέχει. ἔχω ἔξω, ὁ δεύτερος ἀόριστος ἔσχον, ὁ μέσος ἐσχόμην ἔσχου. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀπέσχου.

Ἀποτάδον,

σθαι δὲ, Αἰολικῶς. καταπλὴξ δὲ τοῦ χόρτου, γενικῇ. Ἀποπτύσαι, ἀπαμύξασθαι. Ἀπόπτυστον, ἀπόῤῥιπτον, ἀπόβλητον, καταπτυστον, ἐκβλητον. Ἀπόπυστον, μυσαρόν. Ἀπυρία, ἀπὸ τοῦ πυρὸς πεποιημένον, καὶ συγκοπῇ πῦον, τὸ ἀπεπτοποιούμενον. Ἀπυρίαστος ἄρτος, ὁ ὑπ' ἀνθρώπων πυρώμενος. Ἀποπυρίζειν, ἀπὸ πυρὸς ἐσθίειν. Ἀπορεῖται, προστίθεται, παρὰ τῷ Ἱπποκράτει. Ἀπορεῖ, ἀδημονεῖ, ἀγνοεῖ. Ἀπορηματικὰ ποιητά, ἤγουν ἀπορίαν ἔχοντα, μετὰ ὑποστολῆς λέγεται. οἷον, ὦ ζεῦ τί χρήσομαι. τί γένωμαι, καὶ ποῖ τράπωμαι. Ἀπορεῦσαι, ἀφορεῦσαι. Ἀπόρθητοι, ἀναμίκτοι, ἀπολέμητοι. Ἀπ' ὄρθιν, ἐπὶ ὕψηλον.

Ἀπορία, ἀγνωσία, ἡ ἐκ τῆς ὑπεροχῆς ἑτέρου ἀσθένεια, ἔνδεια. Ἀπορούμενοι, ὁρμῶντες. Ἀπόροις, ἀμηχάνοις. Ἄπορον λέγεται, οὗ πόρον καὶ λύσιν οὐκ ἔστιν εὑρεῖν. Ἄπορος χώρα, ἀπόρευτος. καὶ ἄπορος, ἀχρήματος, ἀκτήμων. Ἄπαλος, πένης, πτωχὸς ὁ ἐνδεῶς πράττων, ἀπόρως πράττων, ἐν πενίᾳ καθεστηκώς, στενάζων. ἐξ ὧν πενία, ἀκληρία, ἀπορία, ἀχρημοσύνη, ἀχρηματία, ἀκτημοσύνη, στενότης, ἔνδεια, ἐπίληψις. καὶ ἄπορος πόρος, ὁ ἀδιέξοδος. πόρος γὰρ, ὁ περάσιμος τόπος. Ἀπορούμενοι, πενόμενοι. Ἀπορούντων, ἀμηχανούντων. Ἀποροῦσα, ἐρωτῶν. καὶ ἀποροῦσα δὲ αὐτοῦ τίνι μηχανῇ ἀνέβη, ἣν δὲ φησι.

Ἀπόρουσεν, εἶπεν ἐν ὀδυσσείας χ, ἀντὶ τοῦ ἐφυγε. ὁ ἀπόρουσεν, ἀφήλατο. Ἀποῤῥαγοί, οἱ καθαρμοί. Ἀποῤῥαγεῖς, ἀποκοπείς. Ἀποῤῥαίνειν, τὸ ἐκ πολλῶν ὀλίγα διδόναι. Ἀποῤῥαίουσι τίμαντα, λαδοῖ τὸ φθέγμα ἀποκόψουσι. γίνεται δὲ, ἀπὸ τοῦ ῥαίω, ἀφ' οὗ καὶ ῥαιστήρ, ἡ σφύρα. Ἀποῤῥαίω, τὸ ἀποχέω.

Ἀπόῤῥαξιν, παιδιὰν διὰ σφαίρας. Ἀποῤῥὰξ, ἀποῤῥῶγα, ἀπόσπασμα, ἀπότμημα. Ἀποῤῥάσαι, ἀφελέσθαι, κόψαι.

Ἀποῤῥίψαντα, ἀπομεμψάμενα, ἀπόμοιραν δόντα. Ἀποῤῥοιβεῖν, ἀπαγορεύειν. Ἀποῤῥοθεῖ, ἀντὶ τοῦ ἀποκορυχθῇ. οὕτω Πλάτων. Ἀπόῤῥημα, ἀπαγόρευσις. Ἀποῤῥῆξαι, τὴν ψυχὴν ἐκπνεῦσαι. Ἀποῤῥῆξαι, διαμάσαι. Ἀποῤῥησία, ἀντὶ τοῦ ἀπορία. οὕτως Εὔβουλος. Ἀπόῤῥησις, ἡ ἀπαγόρευσις. ὁ δὲ σὺν ἤγαγεν τὴν ἀπόῤῥησιν, ἀλλὰ θυμοῦ πληρωθεὶς ἔφη. σημαίνει δὲ καὶ τὴν ἀποκήρυξιν. Ἀποῤῥήσομαι, ἀποῤῥάξομαι, ἀπέῤῥηξα, ἀπεῤῥάγην. Ἀπόῤῥητα, τὰ ἀπειρημένα ἐν τοῖς νόμοις, ἀνεκλάλητα, ἀπόκρυφα, ἀνεκλάλητα. Ἀπόῤῥητον, ἄφραστον. μὴ δυνάμενον ῥηθῆναι. Ἀπόῤῥητος, εὔμορφος, ὁ μεγάλη.

Ἀποῤῥήτως, ἀπαγορευμένως. καὶ ἀποῤῥήτως, ἀφράστως.

Ἀποῤῥιπτεῖ, ἀποβάλλει. Ἀποῤῥίψας, ἀποκόψας. Ἀποῤῥοὴ, τὸ κατὰ ἀποκοπὴν ῥέον, ἢ ὁ λεγόμενος σκληγμὸς, ὁ ποιητικῶς ἀποῤῥὼξ λέγεται. Ὅμηρος, Στυγὸς ὕδατός ἐστιν ἀποῤῥώξ.

Ἀποῤῥοῦς, ποταμός. Ἀπόῤῥοια, ἡ ἀποῤῥοὴ τοῦ ὕδατος.

Ἀπόῤῥον, πάλιν. Ἀποῤῥύω, ἀποῤῥύπτω, ἀποπίπτω. καὶ ἀποῤῥυήσονται, ἀντὶ τοῦ ἀποπεσοῦνται. Ἀποῤῥυήσονται. ῥέω, καὶ πλεονασμῷ τοῦ υ ῥεύω. ὁ μέλλων, ῥεύσω. ὁ ἀόριστος, ἔῤῥευσα. ὁ δεύτερος ἀόριστος, ἔῤῥυον. ὁ παθητικὸς, ἐῤῥύην, ης, η. ὁ μέλλων, ῥυήσομαι, ῃ, εται, καὶ ἀποῤῥυήσονται. Ἀποῤῥυπαλίξαι, ἀπομιᾶναι. Ἀποῤῥυφθεὶς, ἀντὶ τοῦ ἀποκοφθείς. Ἀποῤῥῶγας, εἴδωλα καὶ σκιάς. Ἀποῤῥῶγες, ἐξοχαὶ ἀπεσχισμέναι, ἀπεῤῥηγμέναι, ἀπεσπασμέναι ἀπ' ἀλλήλων. ἀπὸ τοῦ ῥὼξ, καὶ τροπῇ ῥὼξ ῥαγὸς κλίνεται ῥωγὸς, καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀποῤῥώξ.

Ἀποῤῥὼξ, ἐντεῦθεν ἀπόῤῥοια. κεῖται δὲ ἡ λέξις ἐν ὀδυσσείᾳ. λαμβάνεται δέ ποτε, καὶ ἐπὶ πετρῶν ἀπεσχισμένων ἐξ ἀλλήλων. οὕτω γὰρ ἀποῤῥὼξ πέτρα πηγὴν προσβάλλειν λέγεται. χρῶνται δὲ ταύτῃ πολλαχοῦ. ἥ τε καὶ καταῤῥὼξ λεχθείη ἂν κατὰ τὴν Σοφοκλέους. παρ' ὃ προβλῆτες μὲν, ὡς καὶ παρ' Ὁμήρῳ, αἱ καὶ προβολαί. καταῤῥῶγες δὲ, καὶ διὰ τὸ μὴ ἀντέχειν κάμνουσιν, ἀποῤῥαγεῖσαι πέτραι εἰς ῥωχμούς. ἡ ἀποῤῥὼξ, καὶ ἐπὶ πετρῶν τίθεταί ποτε. αἱ ἀποῤῥῶγες πέτραι, αἱ ἀπ' ἀλλήλων ἀπεῤῥωγμέναι. ὅθεν

δὲ, ὅτι τὸ ἁπλοῦν τοῦ ἀποῤῥὼξ, ἤγουν τὸ ῥὼξ, οὐ χεῖμα, λαδοῖ καὶ ἀπέῤῥειεν, ἀλλὰ φαλαγγίου εἶδός ἐστι. καὶ ἔστιν ἐπὶ βότρυος ῥώγων εἰπεῖν, βάρβαρόν ἐστι. ῥωγὸς γὰρ, μεγάλη μικρός, κατ' Ὅμηρον. ἐπὶ δὲ τῆς καφαλῆς ῥάγος φαμέν. πάντων δὲ τῶν διφθόγγων προηγεῖται θέμα ὃ ῥέω, τὰ μὲν συστέλλον τὸ ε εἰς α, τὰ δὲ φθέγγον τὸ ε εἰς ω. καὶ ἀποῤῥὼξ, τὸ ἀπέῤῥηγμαι καὶ ἀπέσπασμαι.

Ἀπορῶ, ἀμηχανῶ, χρῄζω, παραιτοῦμαι, λογίζομαι, ἀπεβλέπω. καὶ ἀπορῶ πρὸς ἐμαυτὸν, ὅπως διακρίνωμι καλὸν ἀπὸ κακοῦ. καὶ ἀπορῶ πρὸς τοῦτο. καὶ ἀπορῶ καὶ εὐπορῶ, γενικῇ συντάσσεται. Ἀπορώτατος, ἀντὶ τοῦ πρὸς ὃν οὐδεὶς πόρον ἔστιν εὑρεῖν. ἐστιν ὢν καὶ ὑπὲρ μνηστεῖν θυγατρός. Ἀποσβεὶς, ἀποσβεσθείς, παρὰ τῷ Ἱπποκράτει. Ἀποσαλεύσαι, ἐπιτηρήσας, ἀποφυγὼν ἐκ τοῦ λιμένος. Ἀποσάξαντα. Δείναρχος, ἀντὶ τοῦ φράξαντα τὸ τρῆμα. Ἀποσβαίω, κατῶ. Ἀποσβέω, αἰτιατικῇ συντάσσεται. Ἀποσβέσας, τοὺς λύχνους ἀποσβέσας. ὁ μέλλων σβέσω, καὶ ἀποσβέσω. Ἀποσείομαι βάρος, ἤγουν ἀποτίθεμαι, ἀπωθοῦμαι καὶ διωθοῦμαι, τὸ διώκομαι καὶ ἀποστρέφομαι.

Ἀποσεισάμενοι, ἀποῤῥίψαντες. Ἀποσεμνύνω, μεγαλύνω. Ἀποσεμνύνεται, παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ ἀποτετεῖται σιωπῶν, ὑπερηφανεῖ. ἐστεῶτα Αἰσχύλος, ἐν τοῖς θεάτροις σιωπῶν. Ἀποσεσώκασι, τὰ σῦκα ἀποβέβληκε βρωθέντα.

Ἀποσηκώσας, κατακλείσας ἐν σηκῷ. Ἀποσημαίνω, ἀποδιώξω. Ἀποσημήνασθαι, ἀφομοιοῦσθαι. καὶ ἀποσημήνασα, φανερώσασα, ἐξειποῦσα. Ἀποσήχειν, ἀποδιώκειν. Ἀποσιμοῦν, ἀφέλκειν, πρὸς τὸ σιμόν. σιμὰ δὲ ἐκάλουν, τὰ προσάντη χωρία. λέγεται καὶ ἐπὶ νεῶν τὸ ἐκ διαστήματος ἐμβάλλειν. καὶ ἐπιστρέφειν τὸ ἀποστρέφειν τὴν ἀκίδα. Ἀποσιμῶσαι, τὸ ἐπικόψαι, καὶ τὴν πυγὴν προσδεῖξαι γυμνήν. οὕτω Φίλιππος. Θουκυδίδης δὲ, τὸ μετεωρίσαι τὰς ναῦς. Ἀποσιτία, ἀποσιτίαν καὶ ἀνορεξίαν ποιοῦσα, παρὰ τῷ Ἱπποκράτει. Ἀπόσιτος, ξένος. καὶ κακόσιτος, ὁ ἀπεχόμενος ἀπὸ σιτίων, καὶ ὁ ἄσιτος.

Ἀποσιώπησις, σχῆμα λόγου. Ἀποσκαρίζοντα, τὸ σπαίροντα ἀνθρωποειδῆ ἄκρα, Ξενοφῶν. Ἀποσκαρδαμύζειν, ἀπομεταστρέφειν. Ἀποσκαρίζειν, διακεχυμένως γελᾶν.

Ἀποσκελίσαι, παιδικὴν ὄρχησιν ὀρχήσασθαι. Ἀποσκεδασθέντες, ἀπόρως ἐποίει. Ἀποσκευάζομαι, τὸ ἀποβάλλω καὶ ἀποτίθεμαι. Ἀποσκευαζόμενος, ἀποχωριζόμενος, ἀποβαλλόμενος, ἀποῤῥιπτόμενος. Ἀποσκεδάζονται, ἀποφεύγονται.

Ἀποσκλῆναι, ξηρανθῆναι. Ἀποσκηνή, ἡ ἐπιτηδείως τὸ σκηνοῦν(?) . τὸ παρ' ἡμῖν λεγόμενον τοῦ ἔθους, τὰ στρώματα. σημαίνει δὲ φύσις ἡ τῶν ἀποσκηνῶν. Ἀπόσκηψις, ἀπόβασις, παρὰ τῷ Ἱπποκράτει. Ἀπόσκημμα, ἀπέσκωμμα. Αἰσχύλος ἐργάσας. Ἀποσκληρυνθέντα, σκληρυνθέντα, σκίῤῥος ὁ γύψος. Ἀποσκοπεῖ, ἀποσκοπεῖ. Ἀποσκοτίζει, ἀποθάνοι. ἢ ἀποσκοτῶσαι, ἀποθανεῖν. Ἀποσκληρύνω, σκληρύνω, παρὰ τῷ Ἱπποκράτει. Ἀποσκόλυπτε, ἀπολέπιζε, ἢ ἀποσκόλυπτε. φασὶ καὶ τὴν περιτετμημένον τὸ αἰδοῖον, ἀποσκολυμμένον. Ἀπὸ σκοποῦ, οὐκ ἐκτὸς σκοποῦ, ἢ ἀποσκοπῶν. Ἀποσκοποῦμαι κάλλιον, ἢ ἀποσκοπῶ.

Ἀπόσκοπος, ἄπωθεν σκοπῶν. Ἀποσκορακίζειν, ἀποβάλλειν, ἀποπέμπεσθαι. Ἀποσκορακισμός, ἐξουδένωσις. Ἀποσκύλλομαι, ὀργίζω, χολοῦμαι, μέμφομαι. Ἀποσκύζω, ἀπομέμφομαι.

Ἀποσκυθίσαι κορίους, τὸ ἀποτέμνειν τὸ ἐπὶ κεφαλῆς δέρμα σὺν θριξί. κατεχωρίσθη δὲ, τὸ ἀποκείρω. Ἀποσκώμματα, μυστηρίσματα. Ἀποσμήχω, αἰκίζω. ἀποκαθαίρω. Ἀποσμίλευσι, τῇ σμίλῃ ξύσαι, καὶ ἐκκαθαίρουσι. Ἀποσοβῶ, ἀπελαύνω, ἀποδιώκω. Ἀποσοβῶ, οὐ μόνον τὸ ἀποδιώκω, ἀλλὰ καὶ τὸ σοβαρῶς καὶ θαρσαλέως ἀπέρχομαι. ὡς τὸ, Καὶ σὺ ὁρᾷς, ὅλη ἀποσοβῶ παρ' αὐτῷ. Ἄποσον, τὸ ποσότητι ἢ μέτρῳ οὐχ ὑποπίπτον. Ἀποσπάλοντα, ἀποκτείνοντα.

[illegible] καὶ τὸ [illegible] οὖν παρ' αἰολεῦσι [illegible], ὡς [illegible]. οἱ [illegible], μεταθέσει τῶν δύο [illegible] λέγουσιν. Ἀποτίνουσι, τὴν ζημίαν ἀποδιδοῦσιν. Ἀπονίπτοντες, τοὺς πόδας ἐλαίῳ ἤλειφον οἱ παλαιοί. Ὅμηρος, [illegible] οὖν τὴν [illegible], καὶ ἤλειψε λίπ' ἐλαίῳ, ἐν Ὀδυσσείας [illegible].

Ἀπόνιπτρον ἐκάλουν, τὸ τῶν χειρῶν καὶ τῶν ποδῶν ἀπόνιμμα. ἐν ᾧ τρόπῳ, καὶ χερόνιπτρον λέγομεν. Ἀπονίψασθαί φασι, μετὰ τὸ φαγεῖν. πρὸ μὲν γὰρ τοῦ φαγεῖν ὕδωρ κατὰ χειρὸς τὰς ταμίας, ἢ τραπέζας εἰσφέρειν. Ἀπονομή, ἡ ἀπομοιρα, ἀπομερισμός. Ἀπόνυμφον, τὴν φιλόπαιδα, καὶ γυναικεῖα ὁμιλία [illegible], ὃν καὶ μισογύναιον [illegible]. ὡς τὴν ἐναντίον, φιλογύναιον. Ἀπόνοια, ἡ χωρίζουσα τοῦ δίκαιον, ἢ ἀποστασίαν ποιοῦσα τοῦ νοῦ. καὶ ἀπόνοια, ἄνοια, ὕβρις. σημαίνει δὲ δύο. τὴν ὑπερηφανίαν, καὶ τὴν θρασύτητα. καὶ γίνεται παρὰ τὸ ἄπωθεν εἶναι τὸν νοῦν. ἢ θρασύτης [illegible], ἢ ἄλογος τόλμα. ἡ ἀπὸ πρόθεσις [illegible] δηλοῖ. Ἀπόνοιμεν, ἀπεγνώκασιν. Ἀποσφίγγεσθαι, χορτάζεσθαι. Ἀποσφιγθέντος, ἀπαγχονισθέντος. Ἀπονόσφιν, πλεονασμὸν ἔχει τῆς προθέσεως, ὡς καὶ ἐπὶ τῶν ἄλλων γίνεται. Ἀπονοσφίσει, [illegible], ἀποχωρίσει, [illegible]. Ἀπονοσφίσω, ἀπονοσφίσομαι. Ἀπονυμοεῦσι, οὐ μνημονεύοντος. [illegible] πατέρα, ἀπὸ τῆς πόλεως. [illegible], ἀπὸ ὄχθου πόλιν. οἷον, ἀπ' ὄχθου. Ἀποξύειν, τὰς ὑπερβαλλούσας τῶν ὀνύχων ἀφαιρεῖν σημαίνει. Ἀποξυνθεῖσαν ναῦν προτεταγμένην, [illegible]. ἀφαιρέσομαι, ἀποφράξω, ἀποκλείσω, ἐκ μεταφορᾶς τῶν ὀνύχων. Ἀποξυρῶν, ἀποκοπτόμενον. Ἀποξύνονται, ἀποσβέννυνται. Ἀποξίφιζειν, ὀρχεῖσθαι ποιὰν ὄρχησιν. ὁ γὰρ ξιφισμὸς σχῆμα ἐμμελείας τῆς φρυγικῆς ὀρχήσεως. Ἀποξίφισαι, ἀποδιελομένη.

Ἀποξύσας, ἀφελών. Ἀποξυροῦνται, ἐπικείρονται, ἐκτέμνονται. Ἀποξύνονται, ἀπετίθεντο. Ἀποξύνουσιν ἐγκαταλείπεσθαι, δύναται μὲν ταύτῃ τὸ λιπόντες, ἢ ἀποξύσειν. Ἀπόπαλαι καὶ ἔκπαλαι, ἀμφοῖν ἀρχαίων, ἐκ παλαιοῦ καὶ λέγειν.

Ἀποπαλλόμενος, ἀπὸ πάλλεσθαι, πάλαι τὸ ἐξ ἀρχῆς. Ἀποπαλλοῦσι, ἀποπαλαιοῦσι, καὶ ἀποχρονοῦνται. Ἀπόπαξ, [illegible], ὁ σύμπας. Ἀποπαπάζειν, τὸν πάππον [illegible]. Ἀποπατεῖν, καὶ ἐκκρίνειν, τὰ περιττὰ τῆς γαστρὸς ὑποχωρεῖν, ὅθεν ἀπόπατημα, τὸ χοροῦνσιν. Ἀποπάτησιν, ἀποσκαμίζεσθαι, καὶ τὸ σημαίνει τὸ χέζειν. ὅθεν καὶ χέζω. καὶ τὸ ἀποσκαμιζόμενον ἀνθρώπου, [illegible], σκῶρ. ἀφ' οὗ τὰς πληγὰς οὐ λέγουσιν. ἀλλ' ἀπ' αὐτῶν, τὸ σκατὸς, καὶ τὸ σκατά. ὧν τῶν ὀνομαστικῶν οὐκ εὑρίσκεται. λέγουσι δὲ καὶ σπέλεθον, καὶ πέλεθον. καὶ σπατίλην, τὸν ἵππου κόπρον φασί. βοὸς δέ, βόλιτον. αἰγῶν, σπύραθον, καὶ ὄνθον. Ὅμηρος δέ, ὄνθον βοῶν. χοίρων, σπέλεθον. προβάτων, σπύραθον. αἰγῶν, σπυράδα, καὶ σπυράθια, καὶ σπύραθον, καὶ σφυράδες. καὶ μυῶν, μυόχοδα. Ἀπόπατον, καὶ κοπρῶνα λέγουσιν. Ἀπόπεμπτος λέγεται, τῆς ἐπιλελησμένης φωνῆς ὁ ἀποδοθείς, παρὰ τὸ ἐκπέμπεσθαι τῆς ὁδοῦ. πάθος γὰρ ἡ κοινὴ ὁδός. καὶ Ὅμηρος, πάθον ἀνθρώπων ἀλείτην.

Ἀπὸ πατρὶ φίλῳ δόμεναι, ἀπολοῦσαι τῷ προσφιλεστάτῳ πατρί. Ἀπὸ πατρὸς ἀμύντων, ἀμειψάμενος ἢ ἀποτυχὼν τοῦ πατρός.

Ἀποπαύονται, παρέχουσιν ὅπως φέρωσιν. Ἀποπαύεται, ἀποκλείει, ἀποφυλάττει. Ἀποπειθαρχῶν, ἀπειθοῦντα. Ἀποπείρα, δοκιμασία. Ἀποπειρῶμαι, γενικῇ συντάσσεται. οἷον ἀποπειρῶ τῆς φιλίας ἐκείνου. Ἀποπεμπαῖος, ὁ ἀποπεμφθεὶς ἄπρακτος, καὶ ὁ καθαρμένος. Ἀποπέμπομαι, ἀποδιοπομποῦμαι, ἀποπροσεῖμαι. Ἀποπέμποντος, παραιτοῦντος. Ἀποπεμπτοί, οἱ ἄρτοι ἀποπεμφθέντες, διὰ μοιχείαν [illegible]. Ἀποπέμπω, τὸ ἀποπέμπω, καὶ ἀπελαύνω, αἰτιατικῇ συντάσσεται. ἀποπέμπω καὶ τὸ ἀποσεῖσθαι. ὕπνον, ἀπὸ τῶν ἐνταῦθα ἐκ[illegible] πέμπω. ἐν τοῖς σημαινόμενοις, τὸ ἀπολύω. Ἀπὸ πετρῶν, ἀπὸ πετρῶν δέ. [illegible]. Ἡσίοδος, μὴ δ' ἀπὸ πετραίοις ἀὴρ ἀπὸ χλωρῶν τέμνειν αἴθωνι σιδήρῳ. [illegible] ἢ χείρ, ὥστε μὴ ἐν ὄνυξι τοὺς φυσικοὺς ἐν ἑορτῇ ξηρὸν ὄνυχα. χλωρὸν δέ, τὸ ζωὸν αἷμα. [illegible] γὰρ τὸ ὀνυχίζεσθαι ἐν ἑορτῇ θεῶν. κλῆσις δέ, ἡ πίστις τοῦ ποτέρου. Ἀποπέπαυται, ἀπεπαύθη. Ἀποπέπταται, τῶν πτερῶν ἐλήφθη. Ἀποπεφάσκομεν, συμπεφωνήκαμεν, συμπληρώσαμεν. Ἀποπεφρασμένον, ἀπεστερημένον, ἀντιλέγω. Ἀποπεφασμένα, ἀπελεύσονται. Ἀποπεφρασμέναι, ἀποσεσημασμέναι. ἀπὸ τοῦ ἀπειλημμένον, καὶ πεφραγμένον. Ἀποπεφρασμένως, φανερῶς. Ἀποπηδᾶν, ἀπελθεῖν, ἀπελαύνειν. Ἀποπηδῶσιν, ἀποτρέχουσι φόβῳ εἰσῖ. Ἀποπλαγχθείς, ἀποπλανηθείς, ἀπομονωθείς. Ἀποπλαγχθῆναι, ἔρριφθαι τὸ πόρρω πεσεῖν τὸ εὐσεβείᾳ τάχα καὶ ἐπλαγχθῆναι, καθὰ Ὅμηρος λέγει ἐπὶ οἰστοῦ, τὸ ἀποπλαγχθείς. Ἀπόπλανος, πλανῆ, γόητος. Ἀποπλαδᾶν, ἀποπλανᾶν. Ἀποπλανήσας, ἀποπλανηθέντος. Ἀποπλανηθεὶς, ἀποπρεσβευθείς.

Ἀποπλεῖν, πλεῖν. Ἀποπληκτον, θαυμαστόν, ἐκπληκτόν. Ἀπόπληκτος, ὁ ἀπονενοηθεὶς, ὁ ἠλίθιος. ἐμπληκτικὸς δέ, ὁ ἀπὸ τῆς βολῆς ὢν φρενὸς μικρός. Ἀποπληκτος, ὁ [illegible] προσπελάζειν, οἷον μοιχεύειν. καὶ ἀπόπληκτος ποδί, ἀπονενοημένος. Σοφοκλῆς, δοίης [illegible]. Ἀποπληξία, τὸ μετὰ ἀποθηρεύσεως, καὶ παρέσεως [illegible]. καὶ ἀποπληξία, ὀλίψις, μανία, ἄνοια. ἢ πλῆθος ἰχώρων τι, καὶ πνεύματος, ἐπεχόντος τὴν ἀναπνοήν. Ἀποπλεύσαι, ἐμπλευσεῖ, ἀναπλεῖν. Ἀπόπλεον, τὸ μακρὰν πρὸς πλεῦν ἐπιτήδειον ὃν πλοῖον. Ἀποπνίγειν, ἀποπνίγειν. Ἀποπνίγω, γενικῇ συντάσσεται. οἷον, ἀπὸ γὰρ τοῦ ὕδατος ἀποπνίγω. Ἀποπνιγόμενοι ὑπὸ τοῦ καπνοῦ. ἐκ τοῦ ἀποπνίγω, μέλλων λύτρον παιδικός. Ἀποποιεῖται, ἀντὶ τοῦ ἀρνεῖται. Μένιππος, Καὶ τὰ μὲν ἄλλα ἅπαντα ἀποποιεῖται [illegible]. Ἀποπομπαῖος, ὁ χίμαρος, ὁ σφάγιος καὶ ἀποπομπαῖος, θεοὶ λέγονται τοὺς ἐκλύουσι. καὶ ἀποπομπαὶ, ἀντὶ τοῦ ἀποτροπαί. Ἀποπομπὰς ἡ θυσίας, φιλίππω ἀποπομπαῖοι θεοὶ ἐκλύουσι θεοί, πρὸς ὃν ἀπελλάσσωνται ἐν ἱεροῖς θεῶν ἀπείλεκται. καὶ ἀποπομπαί, ἡμέραι ἐν αἷς θυσίαι ἐκλοῦνται τοῖς ἀποπομπαίοις θεοῖς.

Ἀποπομπεῖν, τὸ ἀπομίμνεσθαι, καὶ ἀνακαθαίρεσθαι.

Ἀποπορία, ἡ ἐπανακάμψεις, ἡ ἐπιστροφή, ἡ ἐπάνοδος. Ἐπιταχύνειν τὴν ἀπορίαν. Ἀποπορεία, ἀγαθά. γεγραφοῦν ἀποπορεία αὐτῷ λουεῖ. Ἀποπορευτέον, ἀντὶ τοῦ ἐπακτέον, ὑποστρεπτέον, ἀγαθόν. Ἀποπρέσβεις, ἀπαγγέλλουσι τὴν βασιλείαν. Ἀποπρίω, ἀντὶ τοῦ ὠνοῦμαι, καὶ ἀπολοῦ. Ἀπὸ προθέων, πατρὸς ἐστὶ τοῦ ἀπὸ ποταμῶν, ὁ ἀμαχεῖ πεῖται παρ' Ὁμήρῳ. Ἀπόπροθεν, τουτέστιν ἀπωθεν. Ἀπόπροθι, χωρίς, μακράν. Ἀποπροσωπίζεσθαι, εὐθέως λέγε ἄλλον. οὐ μὲν τὸ οὐδ' οὕτω λέγουσιν, εἶτα προσωπεῖται μὴ ἀκούειν. Ἀποπροσωπίζεσθαι, ἀποσείεσθαι, ἐκστρέφεσθαι, τὸ πρόσωπον ἐκκαλύπτεσθαι. Ἀποπταίειν, πταῖσαι, ἀπελθεῖν. Ἀποπτάμενος, ἐπιπτάμενοι ἀκλεῶς, ἐπτάμην παρατατικός, πτήσομαι μέλλων, ἔπτην ἀόριστος. λαμπρὸς ὁ μέλλων, ἐπτάμην. ἀφ' οὗ μετοχή, ὁ πτάμενος. καὶ κατὰ τῆς ἀπὸ, ἀποπτάμενος, ὁ ἀποπτάς. Ἀποπτοιηθῆναι, ἀπὸ τοῦ δηλοῦσθαι, ἀντὶ τοῦ ἀποβλέπουσιν. ἡ ἀπὸ τοῦ πτῶ, πταίω, τὸ φοβοῦμαι, ἵνα δηλοῖ τὸ πτήσσειν. ἢ ἀπὸ τοῦ πέτω, πτῶ, πταίω. γίνεται, πεπταμένος φεύγοντος. Ἀποπτύσσεται, ἀπεκδύεται τὰ πλῆθη, ἢ πόρρωθεν. Ἀπόπτολις, ὁ ἀπὸ τῆς πόλεως.

Ἀπόπτολις, ἔρημος, ἄπολις. Ἄποπτον λέγεται, ἀφ' οὗ ἐστι δύναται ἰδεῖν μακράν. καὶ ἄποπτον, τὸ ἀθέατον, ἀθέατος δέ, ὅ τις [illegible]. Ἄποπτος, ὁ πόρρωθεν καὶ ἔξω τῆς ὄψεως, ὁ ἀσφαλής, βέβαιος.

Ἀποπτύει, καὶ ἀποπτύει τὴν χαλινὸν ὁ ἵππος, αἰτιατικῇ προσ-

ὅπερ ἐπιδόσιμον χειρόμακτρον. ὃ μετὰ τὴν ἐργασίαν ἀπέῤῥιπτον ταῖς κυσίν. ἢ ἡ τῶν κυνῶν τροφή. Ἀπομάκτης, παρακαθαρτής. Ἀπομάκτρον, ξύλα, τὰς σκυτάλας, ἐν αἷς ἀποψῶσι τὰ μέτρα. Ἀπομάσσειν, τὸ ἁπλῶς ἀποσπογγίζειν. ἀπομάσσειν δὲ, τὸ ἄνω τείχειν, τῶν περὶ κεφαλήν. ἐκμάσσειν καὶ ἐκμάσσεσθαι, τὸ ἀποσπογγίζειν. μάλιστα δὲ τὸ ἐκλεῖψαι εἴπερ εἰρῆσθαι. ὅθεν καὶ ἐκμαγεῖον κατὰ τοὺς παλαιοὺς, τὸ ἀντίτυπον, σφραγίς, εἰκών. τὸ δ᾽ αὐτὸ, καὶ ἐκμαγμα. ἐκ δὲ τοῦ διαθεῖν μάσσειν. καὶ ἀπομάγματα, καὶ ἀπόμακτρα, τὰ ἀποκαθάρματα. ἡ μαγδαλιὰ παρὰ τοῖς κωμικοῖς. παρὰ δὲ καὶ ἄλλοις ἀπομαγδαλιά. καὶ ἀπομαγδαλίς, ψωμὸς εἰς ὃν ἐκματτόμενοι τὰς χεῖρας μετὰ τὸ δεῖπνον, ἐῤῥίπτουν κυσί. Παυσανίας δέ φησιν, ὅτι ἀπομαγδαλιά ἐστι ψωμὸς, ὃ ἐσθίειν ἐπὶ τὸ δεῖπνον, εἰς ὃ τὰς χεῖρας ἀποματτόμενοι, εἶτα τοῖς κυσὶν ἔβαλλον. Ἀπομαρτυρῆσαι, ἐκμαρτυρῆσαι. Ἀπομάττεσθαι, ἀναλαβεῖν, μιμεῖσθαι, καὶ ἀποτυποῦν. Ἀπομάττεται, ἀποτυποῖ. Ἀπομάττειν, οἱ μὲν ἁπλοῖ κατ᾽ αὐτὸν ἀκούουσιν, ἀντὶ τοῦ ἀποψῶν καὶ ἀπολυμαινόμενον. ἄλλοι δὲ περιεργότερον. οἷον, περιπλάττειν τὸν πηλὸν, καὶ τὰ πίτυρα τοῖς τελουμένοις. ὡς λέγομεν ἀπομάττεσθαι τὸν ἀνδριάντα ἐκ τοῦ πηλοῦ. ἤλειφον γὰρ ἐκ τοῦ πηλοῦ, καὶ ἐκ τῶν πιτύρων, τοὺς μυουμένους, ἐκμιμούμενοι τὰ μυθολογούμενα παρ᾽ αὐτοῖς. ὡς ἄρα οἱ Τιτᾶνες τὸν Διόνυσον ἐλυμήναντο, καταπλασάμενοι ἐπὶ τὸ μὴ γνώριμοι γενέσθαι. τοῦτο μὲν τὸ ἔθος ἐκλιπεῖν, πηλῷ δὲ ὕστερον ἀναπλάττεσθαι νομίμου χάριν. Σοφοκλῆς ἐν αἰχμαλώτισιν, ἱερατοῦ καθαρτὰς, καὶ ἀπὸ πραγμάτων ἰθεῖς. Ἀπομάχομαι, δοκιμώτερον λέγειν, ἢ μάχομαι. καὶ ἀπονοῶ, ἢ ἀνοῶ. καὶ ἀποδειλιῶ, ἢ δειλιῶ. Ἀπόμαχος, ὁ ἐκτὸς τοῦ πολέμου γεγονώς. Ἀπομεμφιμοιρῆσαι παρὰ τοῖς παλαιοῖς, τὸ ἀποδαρθεῖν, ὡς τοῦ κοιμωμένου καθεύδειν μεμφομένου. οἱ δὲ ὡς τόλμαν ἔχει εἶναι τὸ ἀπομεμφιμοιρίζειν καὶ ἐπὶ τοῦ ὑπνεῖν, ἀσφαλῶς ἂν ἐτόλμησεν. ἐπεὶ καὶ ἡ κοινὴ γλῶσσα ἐντεῦθεν ἴσως λαβοῦσα, λέγει ἀπομεμφιμοιρεῖν τὸ ἐπιστῆναι. Ἄλλως. Ἀπομεμφιμοιρῆσαι. μέρμηρα, ὁ εἰς ὕπνον καταφορά περὶ τὰς ἕω. λέγεται δὲ μέρμηρα καὶ φροντίς. ἐκ δὲ τούτου, τὸ καθαλύεται. οἱ γὰρ καθεύδοντες ἀποτίθενται τὰς φροντίδας. καὶ πρὸς τὸν ὄρθρον δὲ γίνεταί πως ὕπνος ἐν ταῖς ἐπισκέψεσιν ἐλαφρός, ὃν τότε τοῦ ὀνείρου καλοῦσιν. Ἀπομηνίειν, τὴν μῆνιν ἀπαγγέλλειν.

Ἀπομηνίσω, περισσὴν ἔχει τὴν ἀπὸ πρόθεσιν, ὃ καὶ ἐπ᾽ ἄλλων μυρίων γίνεται. ἢ ἐστὶ μὲν ποτὲ ἀπομηνίσαι, καὶ τὸ ἀποθέσθαι μῆνιν. Ἀπομηνίσας, ὀργισθείς. μηνίω, ἴσω, ἐμήνισα, μηνίσας, καὶ ἀπομηνίσας. ἢ ἀπομηνίσας, ἀποχωρίσας διὰ ὀργήν, ἢ παυσάμενος τῆς ὀργῆς. Ἀπομηνίσω, ἢ περισσὴν ἔχει τὴν πρόθεσιν. ἢ κυρίως ἀπομηνίσαι, τὸ ἀποθέσθαι μῆνιν. ἀλλ᾽ ἐκεῖνο μὲν τὸ ἀπομηνίσας ἀγαμέμνονι, τὴν ἐπιμονὴν δηλοῖ τῆς μήνιδος. κεῖται γὰρ ἡ ἀπὸ πρόθεσις ἀργή, ὡς καὶ ὅτι πως λέγει ἀπομεμνημονευκὼς χάριτος. ἐξ οὗ τὸ ἀπομνημόνευμα. οὕτω δὲ καὶ τὸ ἀπειπεῖν ἀδιάφορον, πρὸς τὸ ἀντειπεῖν. καὶ τὸ ἄνδρα ἀπαμύνεσθαι, ἀντὶ τοῦ ἀμύνασθαι, ὅμοιον. καὶ τὸ ἀπέχθεσθαι. περιττὴ δὲ ὁμοίως ἡ πρόθεσις, καὶ ἐν τῷ ἀπ᾽ οὐρανόθεν, καὶ ἀπὸ νόσφι. Ἀπόμισθοι, οἱ μισθὸν μὴ λαμβάνοντες. Δημοσθένης φιλιππικοῖς. Ἀπόμισθος, ἄμισθος. ὁ ὁ μισθοῦ ἔργον τι διαπραξάμενος. καὶ ἄμισθος, ἀφαιρέτος.

Ἀπομισθώματα, τὰς δημοσίας οὐσίας οἱ Ἀττικοὶ ἔλεγον.

Ἀπομισούμενοι, ἀποβαλλόμενοι διὰ ὀργήν. Ἀπομυλλαίνειν, προβάλλειν τὰ χείλη συνεσπασμένως, παρὰ τοῖς ἱπποκράτει.

Ἀπομνημονεύω, ἀντὶ τοῦ μνείαν ἔχω τινὸς, γενικῇ συντάσσεται. ἀπομνημονεύω δὲ, ἀντὶ τοῦ ἀποῤῥίπτω τὰς μνήμας, αἰτιατικῇ.

Ἀπόμοιρα, μέρος, κλῆρος. καὶ ἀπόμοιρα, τὸ ἀπὸ τῶν οἰκείων κτημάτων ἀφορισθὲν εἰς ἐκκλησίαν, ἢ εἰς μοναστήριον, ἢ εἰς γηροκομεῖον. Ἀπομόργματα, σφραγίδων ἐκτυπώματα.

Ἀπεχρῶν, ἠρκεῖτο, ἀντὶ τοῦ ἀρκεῖν ἤρχεν. Θουκυδίδης δέ, ἀπεχρῶντο, ἀντὶ τοῦ ἀνῄρουν. Ἀπέχεσθαι, τὸ φείδεσθαι καὶ ἀφίστασθαι, γενικῇ συντάσσεται. Δημοσθένης, εἴπερ τι ἀπέχεσθαι. καὶ ἀπέχεσθαι ἀλλοτρίων, ἀντὶ τοῦ ἀπέχει, ἰωνικῶς. καὶ ἀπέχω, τὸ ἀπολαβὼν ἔχω, συντασσόμενον αἰτιατικῇ. οἷον, ἀπέχω τὸ κεχρεωστημένον, ἀντὶ τοῦ ἀνεισπράξομαι. ἵνα ἀπολαβὼν αὐτὰς ἔχω. Δημοσθένης, Θηβαῖοι μὲν ἀπέχουσι τὰ οἰκεῖα. καὶ Συνέσιος, ἀπέχω τὴν χάριν, ἐκεῖνος εἰκότως μου γέγονεν. Ἀπέχεται τῶν κρεῶν καὶ οἴνου, καὶ τῶν βιωτικῶν ἁπλοτῶν. ἤγουν ἀπάγει ἑαυτόν. καὶ ἀπέχομαι τόνον, καὶ βάτην. Ἀπέχος, ἀνελέβης. ἀττικὴ λέξις. ἔνα αἰνεῖνε αὐτὴν ἀπέχος. Ἀπεχθαιθεῖς, ἐχθροποιός. Ἀπεχθαίρων, μισῶν. Ἀπεχθήσομαί σοι, καὶ ἀπεχθαίνοντο, ἐμίσουν. καὶ ἀπεχθάνεσθαι. λέγεται δὲ καὶ ἀπεχθάνεσθαι.

Ἀπέχθεια, μῖσος. καὶ ἀπεχθής, ἐχθρὸς, μισητός. καὶ ἀπεχθανόμενος, ἀντὶ τοῦ ἐχθρὸς γενόμενος. Ἀπέχθει, ἐχθρὸς γενόμενον, μισοῦνται. ἀπὸ τοῦ ἀπέχθω, καὶ ἀπεχθέρω, μισέω. Ἀπέχθονται. ἀπέχθω, ἀπέχθειν, ἐὰν ἀπέχθωμαι, ἐὰν χθῆ, ἐὰν χθῆται. Ἀπεχθῶς, ἐχθρωδῶς, μισητῶς. Ἀπεχειρίσαντο, ἀπεκείρτησαν ἀπὸ τῶν χειρῶν. Ἀπέχομαι παθητικῶς, ἀεὶ ποτε ἀντὶ τοῦ δέομαι. ἐπιεικῶς δὲ ἐστὶν αἰτιατικῇ Πλάτων, Οἷα ἀπεχόμην τὸ μὴ διὰ τοῦτο ἐλθεῖν. Ἀπέχω, ἤρκει. Ἀπεχέσατο, ἀντὶ τοῦ διέφθειρεν. Πλάτων, ἐμαυτὸν οὐ διαχρήσομαι. Ἀπεχρῶντο, ἀντὶ τοῦ ἀνῄρουν. Ἀπέχω ἀφθιτικῶς, ἀντὶ τοῦ δέομαι. δεόμενος, ἐγὼ δὲ τε-

τοῦν

Ἀπέοικα. ἔοικα, τροπῇ τοῦ ε εἰς ι ἔοικα, ἔοικας, καὶ ἀπέοικας. καὶ ἀπέοικας, ἔχει θέμα τὸ ἀπεοικέω. ἐξ οὗ καὶ τὸ ἀπεοικέναι ἀπαρέμφατον, καὶ τὸ ἀπεοικὸς φύσει τι. σημαίνει δὲ ἴσως τοιαύτην ἔχει τὸ ῥῆμα. ἐπὶ θέμα πρωτότυπον [illegible], τὸ [illegible], ἐξ οὗ τὸ ἔχω. ὡς θέλω ἐθέλω. καὶ ἐνικῶς ἔχω, καὶ πληθυντικῶς ἔχω. ὡς λέχω, λέγω, λέγω. καὶ μετὰ προθέσεως, ἐπέχω, τὸ κομίζω. ἄλλα δὲ καὶ ἔχω. ὁ γὰρ ἕως κομίζω, πολὺ πρότερον [illegible] καὶ ὁ [illegible] ἔχει. ἐκ δὲ τοῦ ἔοικα, τροπῇ τοῦ ε εἰς τὸ. ὡς ἐπὶ τοῦ εἶμι, εἶμι. τὸ δὲ [illegible] ἔχω, σημαντικὸν καὶ γεγονὸς [illegible]χω, γίνεται μέσον παρακείμενον ἔοικα, καὶ ἐπέοικα. εἰ γὰρ ὡς ἐστὶ δὲ αὐτοῦ τὸ ἔοικα ταῦτα γενέσθαι, ζητητέον οὐ μόνον περὶ ἀπολλύω τὸ ε, ἀλλὰ καὶ ποῦ εὑρέθη τὸ χ. δῆλον ὅτι ἔοικα καὶ ἐπέοικα λέγομεν, ἵνα ἡ πρὸ τοῦ α τὸ τοῦ ἐνεστῶτος σύμφωνον. εἶτα ζητέον καὶ ὅτι τὸ ἔοικα οὐκ ἔστιν ἐνεστώς, ἀλλ' ἐξ ἐνεστῶτος τὸ ῥῆμα. τὰ δὲ συνεσταλμένα χρόνου ἀορίστου ἐστὶν ἢ πρώτου ἢ δευτέρου, ὥσπερ καὶ τὸ ἔοικα δευτέρου ἀορίστου ἐστί. καθὰ καὶ τὸ ἤνεγκον, καὶ τὸ ἐνεγκεῖν, καὶ ὁ [illegible] μετοχὴ τὸ ἐνεγκών. ὅθεν καὶ τὸ ἔοικα διὰ τοῦ ι ψιλοῦ, ὡς ἐπὶ πολὺ ἔχει τῶν λεγόντων. εἰ δὲ καὶ διὰ διφθόγγου διὰ τὸ ἔοικα κεῖσθαι διαφορεῖται, ἀλλὰ τοῦ διαμεῖναι τὸ ἔοικα εἰς πρωτότυπον ἐνεστῶτος ἀξίωμα. οἱ γὰρ ἀόριστοι οὐκ ἐνεστῶτες. ἔτι δὲ καὶ ἡ σημασία τοῦ ἔοικα μέλλοντος. εἴδαμεν δὲ καὶ ὅτι σημαίνει δὶς ἐστιν, ὅτι τῶν διὰ τούτων ὁμοιοδυνάμων ῥημάτων, τὸ μὲν φέρω μέλλοντα οὐκ ἔχει. τὸ δὲ ἔοικα οὐκ ἔστιν ἐνεστώς, εἰ μὴ ἐκ τοῦ ἔχω περισπασθεὶν εἰς [illegible] ἡ τόνου παραγωγή. ἰστέον δὲ, ὅτι ἐκ τοῦ ἐοίκω δοκεῖ γίνεσθαι καὶ ὁ παρὰ Αἰλίῳ Διονυσίῳ κείμενος προὔπαρξις. ἤγουν ὁ κομίζων μισθὸν ἴσως ἐξ ἀγροῦ. Ἀπίσαμεν, ἀπεκλήρωσαν, ἐδικαίωσαν. Ἀποικισθῆναι, τὸ μετὰ ἀνάγκης καὶ βίας μεταστῆναι εἰς ἕτερον τόπον. οὕτω καὶ ἐπὶ ἐνεστῶτος φαμέν. ἀπάγεται τὴν ἐπὶ θάνατον, καὶ ἀπάγεται ἐπὶ αἰχμαλωσίαν. ὅθεν καὶ ἀπαγωγή. Ἀπινύσσων, ἄφρων, ἀναίσθητος. Ἀπιχειροῦμεν, ἀντὶ τοῦ ἀποχειροτονούμεθα. ἀποφέρομαι δὲ, τὸ ἀπολιμπάνομαι. οἷον, ἀπὸ χωρὶς καὶ μακρὰν γίνομαι. καὶ ἀποφέρομαι, τὸ ἀποκομίζω καὶ λαμβάνω, ἐπ' ἐξουσίαν κυρίως τεθειμένον. οἷον, ἀποφέρεται πολλὴν ζημίαν ἐπὶ τῆς ἀρχῆς. Ἀπινύσσω, ἀπέβαλεν. Εὐριπίδης Αὔγῃ. Ἀπενιαυτίσαι, ἐνιαυτὸν φυγεῖν τὴν πατρίδα, ἐπί τισιν ἀδικήμασιν. Ἀπολλώνιόν φασι τὴν ἐκεῖ ἀπενιαυτίσαι εἰς τὸ σκυθῶν ἔθνος, Δικαιαρχίᾳ ἱερὰ τῇ χρησάμενον. καὶ αὖθις περὶ Ἡρακλέους, ἀπενιαυτίσαντα ὡς νόμος, ἔξω. καὶ καθαράμενον, ἐπανελθεῖν ἐς Ἀθήνας.

Ἀπείζεσθε. ἐστὶ εἴκω. τὸν κατὰ τροπὴν δωρικὴν γίνεται εἴζω. οἱ γὰρ δωριεῖς τὰ εἰς ζω λήγοντα ῥήματα, ποτὲ μὲν εἰς δύο σσ, ποτὲ δὲ εἰς ζ τρέπουσιν. Ἀπέιρων, ὁ ἀπέραντον, ὄρος διὰ μέσης Ἰταλίας τεταμένον. Ἀπειρώτισαν, ἀπέστρεψαν τὰ ὦτα. Ἀπείρονι χειρί, ἀντὶ τοῦ ῥᾷστα ἀπείργειν εἰλαπίναις. ῥᾷον γὰρ τὸ ῥεῖν τὸ κόπτειν. ἔνθεν δὲ καὶ ἀπαράσσειν λέγεται. Ἀπεσιωπημένως ἀττικῶς. οὐ μὴν καὶ ἀπεοικὸς ἐπὶ μιᾶς λέγεται. Ἀπεοικός, ἀνόμοιον, ἀπρεπές. Ἀπέπαρδον. οὕτως ἀττικοί, τὸ πορδὴν ἀφεῖναι. Ἀπεπάρδαλις, λέξις οὐ σεμνή, δηλοῦσα ἢ τὸ λαξ ποδὶ κατ' Ὅμηρον, ἐνθορεῖν ἐχίῳ ἀφανίζουσιν. ἢ ἀποπατηματίσαι, ἄραντα τὸν πόδα. Ἀπεπλίξαν, ἀντὶ τοῦ ἀπέφυγε λέγουσιν ἰωνικῶς. πλὶξ γὰρ τὸ βῆμα. ἐξ οὗ πλίγματα, τὰ πηδήματα. Ὅμηρος, αἱ δ' εὖ μὲν τρώχων, εὖ δὲ ἐπλίσσοντο πόδεσσι. καὶ ἀπεπλίξαν, ἀντὶ τοῦ ἀπεδίωξαν. ἔλεγον δὲ πλὶξ, καὶ τὸ ἀπὸ τῆς χειρὸς εἰς τὸν λιχανὸν δάκτυλον διάστημα, καὶ τὸ μεταξὺ μηρῶν ὀστοῦν. Ἀπφά, ἀντὶ τοῦ ἰδοὺ. Θεόκριτος, ἄπφ ὁ θῶκος. καὶ ἀντὶ τοῦ ἀδελφοῦ. Ἀπείρατον, μέγα, ἀτελεύτητον, οὗ πέρας οὐκ ἔστιν. οἱ δὲ ἀπείρατον μετὰ τοῦ ι γράφοντες, ἀπειρατέωσιν. Ἀπειργάζομαι, τὸ εἰς τέλος τι ἄγειν προέθηκα, ποιεῖν ἀπειργασμένον, καὶ περαίνειν. ὡς Ἀριστείδης, Ὅμηρον δὲ ἐπαινοῦσιν, ὡς κάλλιστά τι ἀρξάμενον, καὶ ἀπειργασμένον ποίησιν. Ἀπειλήσειν, κηρύξειν. Ἀπειρεσίοις, ἀπεριχθείσιν. Ἀπειρίσαι, ἀπεστρέφεσαν. Ἀπείρισια, ἄπειρα, ἀγλαὰ ὡς Ὅμηρος, τὰ αἰγλήεντα, ἢ ἀγλαΐαν ἔχοντα. ἀπὸ τοῦ ἄπειρα, ἀπερίσια. καὶ κατὰ μετάθεσιν, ἀπειρέσια.

Ἀπεριγράπτον, ἀπερίσπαστον, μοναδικαὶ ὑποστάσεις, τῶν πάντων περιγραφικά. διδάσκει ὁ τρίαδα ἀπερίγραπτον ἀδιαίρετον λόγον. ἐν γὰρ τῇ περιγραφῇ τῆς μονάδος, γνωρίζεται ὁ λόγος. ἡ δὲ ἁγία ἐκκλησία, τρεῖς ὑποστάσεις ἀπεριγράπτως ὁμολογεῖ. καὶ ἀπερίγραπτον, τὸ ἀπερίσκεπτον. Ἀπεριμερίμνως, ἀμαθῶς, ἀσυνέτως. Ἀπερίοριστος, ὁ μὴ καθαρῶς ἐπιφωνῶν. περιορίζειν γὰρ, τὸ περικαθαίρειν. Ἀπερισάλπιγκτοι, ἀπειρόχαλοι, ἀπαιδεύτοι. Ἀπερισκέπτως, ἄνευ βελοῦς καὶ σκέψεως, ἀπερινοήτως.

Ἀπερίσκεπτον, μωρόν, ἀφορμὰς μὴ ἔχον. Ἀπερίτρεπτον, τὸ μὴ περιτρεπόμενον, τὸ μὴ καταστρεφόμενον. Ἀπεροπεύτευον, κωλύοντος, ἀποτρέποντος. Ἀπερράπιζον, ἀπεστρέφοντο, ἀπεπέμποντο. Ἀπερρη, ἀποφθείρου, πορεύου μετὰ φθορᾶς.

Ἀπερρίγασιν ἐς εἰκὸς γίνεσθαι. ὁ δηλοῖ, τὸ δειλιῶσι ἢ φρίττουσι. περὶ τούτου ἔχει τὴν αὐτοῦ πρόθεσιν, ὡς καὶ ἀπεμύησαν, καὶ ἀπεμήνισαν. μέσος δὲ παρακείμενος τὸ ἔρριγα, συγκοπεὶς ἐκ τοῦ ἐρρίγασιν. ὁμοίως τοῦ βέβαλα, καὶ τοῖς τοιούτοις. Ἀπερρωγότων, ἐρρωμένως ἔλεγεν. Ἀπερύκει, κωλύει. Ἀπέρωτον, ἄγριον, ἀπηνῆ, σκληρόν, ἢ δυσπαραίτητον, ἀγριον, ἀπαράιτητον.

Ἀπεσύληκας, καὶ ἀπεσύλησαν, ἐκ τοῦ ἱερά. τὸ παρὰ τὸ ἱεροσυλεῖν. σημαίνει δὲ, τὸ ἀποχωρῆσαι, ἢ ἀποχωρῆσαι.

Ἀπεσάλασ, τοῦτο ἐπὶ τινῶν λέγεται, καὶ ἐπ' ἄλλων. σημαίνει δὲ ἡ λέξις, τὰς ἐλπίδας. Ἄπεσαν, ἀπῆλθον. διατί προπαροξύνεται; πᾶν ῥῆμα εἰς αν λῆγον μόνον βραχεῖ παραληγόμενον, ἁπλοῦν ἢ σύνθετον, ὃ ἐστιν ὑπὲρ δύο συλλαβὰς, προπαροξύνεται, εἰ μὴ δωρικὸν εἴη. προπερισπᾶται δὲ, μακρᾶς οὔσης. ὅθεν τὸ μὲν ἄπεσαν, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. τὸ δὲ ἀπῆσαν, οὐκέτι. Ἀπεσβη, ἐσβέσθη. Ἀπεσείσατο, ἀπέβαλεν, ἀπώσατο. Ἀπεσθαι, ἀκολουθῆσαι. Ἀπεσσύα, ἀπεσύθη, καὶ ἀπέφυγε.

Ἀπεστιγμένοι, λελεηλατισμένοι. Ἀπεσκλήκει, τῶν σκελῶν ἀπετίθει. κυρίως δὲ ἀποσκλήναι, τὸ ἀποξηρανθῆναι τὰ σκέλη, καὶ τοῖς πολεμίοις ἀκολουθεῖν μετὰ πλείστων ἀνθρώπων. ἔκειτο ἀπεσκληκὼς, ἀντὶ τοῦ ἀπέθανεν. Ἀπεσκοσσούμην, ἀπέρριψα, ἀπεδοκίμασα. Ἀπέσκηψε, τόξον. ἔνιοι δὲ, γερουσιάν τινας τόξα.

Ἀπέσκηψεν, ἀπέθανεν. Ἀπεσκληκώς, κακοπαθήσαντα, καὶ ἀναισθήτως ἔχοντα. Ἀπεσκολόπισεν, ἀπέσπασε τὸ δέρμα. ὅθεν καὶ σκυλοδέψης. Ἀπεσκυθισμένος κυρίως, ἐξυρημένος. πάλαι γὰρ, ἡ ἐπὶ τοῦ ἄκρου θρὶξ, ἣν ἐφύλαττον ἀνιέρωτον θεοῖς ἀποκρίνοντες. καταχρηστικῶς δὲ, καὶ ἐπὶ τοῦ ἀπογεγυμνωμένου. Ἀπεσκοράκισε, κατεπεφρόνισε. Ἀπεσκυτομένα, ἐκπεπληγμένα, κεχωρισμένα. τὰς γὰρ χίονας, σκῦτα καλοῦσιν οἱ συγγραφεῖς.

Ἀπεσκύθιζον, κυρίως τὸ ἀποτεμεῖν τὸ ἐπὶ τῆς κεφαλῆς δέρμα σὺν θριξί. καταχρηστικῶς δὲ, τὸ ἀποκείρειν. Ἀπεσκόφεισαν, ἐκαθάρθησαν. Ἀπέσβεσεν, ἀπέσβεσε. λόχευθεν. Ἀπέσυμαι, λασιοφάντης ἀντὶ τοῦ ἀπέρχομαι. Ἀπεσκίκαζον, ξύλοις ἀπεδίωκον. Ἀπεσπάδαν, ἀπέσπασαν. Ἀπέσωσαν, μετὰ βίας ἐφίλειν. Ἀπεσποδῆσθαι, ἀπερρίφθαι, ἀποθανεῖν. Ἀπεσποδωμένην, φλεγομένην ἐν τῇ τέφρᾳ. Ἀπεστούλησεν, ἀμέλει, κατεφρόνει. Οὐ δὲ τῶν ἐπικύρων λόγων ἀπεστούλησεν ὁ ἀπολλώνιος. Ἀπέστω, ἐξέλιπε. σύνω γὰρ τὸ ὁρμῶ, ἢ σεύω.

Ἀπεσπάτο, ἀπεῖχεν, ἀπεχώριζεν. Ἀπετείω, τὸ ἀπετείω. καὶ ἀπετεῖον, ἢ ἀπετείσαν λέγουσιν. Ἀπέτει θύτων, καὶ ἀπέτειον θύοις, ὁ ἀπέτειος ἀπὸ τούτων. οἷον, ἀπέτειος μοσχίων ἀπὸ Ἀθηνῶν, ἢ ἀπὸ τοῦ εὐβοίας ἀθηνῶν, καὶ μεσημβρίας τούτους ἀφικέσθαι.

Ἀπέτειλεν,

[illegible]

Ἀπαταί, ἀπατῶ φέρει. Ἀπάτωρ, μακρὰν, ἢ χωρὶς. ἀπὸ τοῦ ἄτερ, ἄτερθεν, καὶ ἀπάτερθεν. Ἀπατεών, φέναξ. Ἀπάτη, τὸ ὑφ' ἑτέρου παραλογισθῆναι. καὶ ἐναντίως ἀπατῶ, καὶ ἐξαπατῶ, τὸ αὐτό. πλάνη δὲ τὸ ἀφ' ἑαυτοῦ τῆς ἀληθείας διαμαρτεῖν.

Ἀπατηλὸν, φαῦλον. καὶ ἀπατηλικὸς παραλογιστικός.

Ἀπατατὸν, τὸ ἀνωμάλως συγκείμενον, παρὰ Δημοκρίτῳ.

Ἀπατούριος, κωλυτικός. ἑορτή. Ἀπατούρια, ἑορτὴ ἐπίσημος καὶ δημοτελὴς, ἀγομένη παρὰ τοῖς Ἀθηναίοις, κατὰ τὸν πυανεψιῶνα μῆνα, ἐπὶ τρεῖς ἡμέρας. καλοῦσι δὲ τὴν μὲν πρώτην, δορπείαν. ἐπειδὴ οἱ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο. τὴν δὲ δευτέραν, ἀνάρρυσιν, ἀπὸ τοῦ θύειν. ἔθυον δὲ Διὶ φρατρίῳ καὶ Ἀθηνᾷ. τὴν δὲ τρίτην, κουρεῶτιν, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας. ἐπεὶ ἐγγράφῃ ἐν τῇ πολιτείᾳ ὁ υἱὸς ἐπὶ τὸ λοιπόν. ἡ δὲ αἰτία. πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Κελαινῶν, ὃν Χωρίον ἐν μεθορίοις. Ξάνθιος δὲ Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. οὐ δεξαμένου δὲ, Μέλανθος ἐπιδημῶν Μεσσήνιος τὸ γένος ἀπὸ Περικλυμένου τοῦ Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ. μονομαχούντων δὲ, ἐφάνη τῷ Μελάνθῳ τις ὄπισθεν τοῦ Ξάνθου τραγῆν, τουτέστιν αἰγίδα μέλαιναν ἐνημμένος. ἔφη οὖν ἀδικεῖν αὐτὸν δεύτερον ἥκοντα. ὁ δὲ ἐπιστραφεὶς, ὁ δὲ παίσας ἀπέκτεινεν αὐτόν. ἐκ δὲ τούτου ἐτέθη ἑορτὴ ἀπατούρια, καὶ Διονύσου Μελαναιγίδος ἱδρύσαντο. οἱ δέ φασιν, ὅτι τῶν πατέρων ὁμοῦ συνερχομένων, εἰς τὰς τῶν παίδων ἐγγραφάς, οἷον ὁμοπατόρια λέγεσθαι τὴν ἑορτὴν, ὥσπερ τόπον λέγομεν ἄλοχον τὴν ὁμόλεκτρον, καὶ ἄκοιτιν τὴν ὁμόκοιτον, οὕτω καὶ ὁμοπατόρια. Ἀπατῶ, παράγω, αἰκάλλω, παραβάλλω, διαβουκολῶ, δελεάζω, προσγελῶ, θέλγω, κολακεύω, θωπεύω, κολῶ. διακρούομαι, παρακρούομαι, παραλογίζομαι, καταμωκῶμαι, τίλλω, σαίνω, σοφίζομαι, φενακίζω. Ἀπάτωρ, ὁ μὴ ἔχων πατέρα καλεῖται, ὡς ὁ ὀρφανός. Ἀπαύγασμα, καὶ ἀπαύγασμα, ἡ ἀπαυγὴ, ἡ ἔκλαμψις τοῦ ἡλίου. Ἀπαύγιος, λαμπρὸς, φωτεινός. Ἀπαυδῶ, ἀπαγορεύω, ἀπολέγομαι. δοτικῇ συντάσσεται. Ἀριστοφάνης, πάσαις ἀπαυδῶ. Ἀπαυθαδιάζειν, μέγα φρονεῖν, ἑαυτῷ ἀρέσκειν. αὐθάδης γάρ ἐστιν, ὁ ἑαυτῷ ἀρέσκων.

Ἀπαυθαδιάζομαι κάλλιον, ἢ αὐθαδίζομαι, καὶ αὐθαδιάζομαι. Ἀπαυθαδισθῆναι, ἀποτολμῆσαι, ἀπαυθαδιάζεται, ἐν ὑπερηφανίᾳ ἀναστρέφεται, ἢ μεγαλοφρονεῖ. Ἀπανθρακίζειν, εὐθεμφὲς ἐκπορχεῖσθαι. Ξενοφῶν, ὥστε ἀπανθρακίζειν ἐπὶ τὸ σφάγιον. Ἀπαυλία, ἑορτὴ παρὰ Ἀθηναίοις, ὅτι τότε ἄρχεται ἡ κόρη χωρὶς τοῦ πατρὸς αὐλίζεσθαι. ἡ τότε ἐπαυλίζεται τῷ ἀνδρὶ ἡ γυνή. Ἀπαυλισθῆναι, τὸ μὴ προσαυλίζειν κατὰ τρόπον. ἀπαυλία, καὶ ἐπαυλία διχῶς λέγεται, ἡμέρα ἐν ᾗ ἐπαυλίζεται τῷ ἀνδρὶ ἡ νύμφη. Ἀπαυλὸν, ἀπόκοπον. Ἀπαυρῶ, τὸ ἀφαιροῦμαι. πρὸς αἰτιατικὴν συντάσσεται. συζυγίας δευτέρας τῶν περισπωμένων. ὁ παρατατικὸς, ἀπηύρων, ὡς ἑώρων. ἀφ' οὗ ἀπηύρα. ἄμφω θυμὸν ἀπηύρα. ἢ ἀπηύρων, ἐπὶ τοῦ γένεσθαι τῶν πληθυντικῶν, γέγονε δὲ ἀπὸ τοῦ αὔρα. ἔστι δὲ ἀπαυρῶ, τὸ ἀνάπαυσιν λαμβάνω. ἀφαιροῦμαι. ἀπαυρῶ δὲ, τὸ ἐκπνοὴν ἀναπνοῆς. εἴτα ἀπὸ τούτου ἀπαυρῶ, τὸ ἀφαιροῦμαι ἁπλῶς. ἢ ἀπαυρῶ, τὸ ἀπολαύω. Ἀπαυτοματισθεῖσα, οὐκ ἀφ' ἑαυτῆς τελεσθεῖσα. Ἀπ' αὐτομάτου, ἐξαίφνης. Ἀπαυτομολήσαντας, φυγάδας, ἀναχωροῦντας. Ἀπαυτομολήσαι, ἀφ' ἑαυτοῦ ἐλθεῖν. πλὴν τὸ μολεῖν, ὅ ἐστιν ἐλθεῖν. Ἀπαυτόφιν, ἀντὶ τοῦ ἀπ' αὐτοῦ. Ὅμηρος Ἰλιάδος κ̄. Τῆλε δὲ χαλκὸς ἀπ' αὐτόφιν οὐρανὸν ἵκεν. κατὰ προχωμάτων μόνον. Ἀπαυχενίζειν, ἀφηνιᾶν, ἀνασπᾶν. ἢ τὸν αὐχένα συντρίβειν. Ἀπάφοιτο παρ' Ὁμήρῳ, τουτέστιν ἀπατήσειεν. Ἀπαφὸς ἐστὶ, τὸ ὄρνεον. Ἀπαφυλάσσω, ἐκφυλάττω. λάκωνες. Ἀπαφῶ, τὸ ἀπατῶ. παρὰ τὸ φῶ τὸ λέγω. ὁ μετὰ τοῦ ā τοῦ σημαίνοντος τὸ κακὸν, ἀφῶ, καὶ ἀπαφῶ. τὸ δὲ ἀπατῶ, ἐκ τοῦ ἀπαφῶ. Ἀπαφίνιον, λάκωνες κέρδωον λίθινον, ἐν ᾧ μαλθάσσειν. ἣν κτητὴν καλοῦμεν. Ἀπέβαλον, ὃ ὅπερ ἀπώλεσα. ἀπεβαλόμην, ὃ ὅπερ ἔρριψα. Ἀπέβη, κατέβη, ἐγένετο. ὡς τὸ, ἀπέβης ὅμοιος ἐκείνῳ. Ἀπέθανεν, τέθνηκε πάλαι. ὁ ἀπέθανεν ὁ Ἕκτωρ ὑπὸ Ἀχιλλέως. Ἀπεβήσετο, ἀντὶ τοῦ ἀπῆλθε, παρ' Ὁμήρῳ. βαίνω ἐνεργῶς κοινὸς, ὃ δηλοῖ τὸ ἵσταμαι, καὶ τὸ πορεύομαι. μεσοδοκικῶς βήσομαι, ὡς νήσομαι. ἀφ' οὗ κατεβήσατο. βήσομαι μέλλων κοινὸς, καὶ ἔβην, ὡς ἔφθην ἀόριστος. ἀφ' ἑτέρου ῥήματος ἀρχαίου. οἱ ποιηταὶ δὲ ἐπεβήσατο λέγουσι μετὰ τοῦ σ. καὶ ἐπίβησον, καὶ ἐπιβήσεσθαι, ἐπεβήσατο ἐπιβήσεσθαι, κελεύει, ἀντὶ τοῦ ἐπεβίβασεν. Ἀπεβοήθει, ἐπὶ νόσῳ. Ἀπεβίω, ἀπέθανεν. ὡς καὶ ἀνεβίω, τὸ ἀνέζησεν. Ἀπέβλεψε θαυμαστὸν, ἀντὶ τοῦ ἀφεῖλεν. ἡ μεταφορὰ ἀπὸ τῶν κορίων, ἢ ἀπὸ τῶν τὸ γάλα ἀμελγόντων. Ἀριστοφάνης. Ἀπέβλεψεν, ἀπεκοίμισεν. Ἀπεβουκόλησε, τὸ ἐν συνηθείᾳ ἀποβόσκησε, καὶ ἐπεπτέρωσε. Ἀπεγγυαλίζειν, ἀποκαθιστᾶν. Ἀπεγλαμμένος, κτεανὰ μενος. Ἀπεγίνετο, ἀντὶ τοῦ ἀπέθανεν. οὕτως Ἀριστοφάνης, καὶ Θουκυδίδης. Ἀπεγνωσμένη, ἀπεγνώκαμεν, ἀπηλπίκαμεν. Ἀπεγνωκὼς, ἀπονενοημένος. οὕτω Δημοσθένης. Ἀπεγνωσμένος, ἀπελπισθείς. Ἀπεγνωκότες, ἀπειρηκότες. Ἀπεγραψάμεθα, ἀπήγαμεν, ἢ ἀπηριθμήσαμεν. Ἀπέδα, τὰ ἰσόχειλα. Ἀπέδα, ἐπίπεδα. ὁ δὲ φιλοπαίγμων ἄρκας ἀπέδοι πιδακίσσονος ὑφ' οὐδός.

Ἀπεδαλίαστον, ἰδιώτην. Ἀπέδειξεν, ἀντὶ τοῦ παρέδωκεν. οὕτω Ξενοφῶν. Ἀπεδέθη, ἀμοιρος ἐγένετο. Ἀπέδρα, ἐκδρὰς ὑπέλυθεν. Ἀπέδρασε, ἀπέλαβεν. Ἀπελαμπρύνθη, ἀντὶ τοῦ ἀπελαμπρύνετο. οὕτως Ἕρμιππος. Ἀπεδείλασι, κατέφαγεν. Ἀπεδίωξεν, ἐμάχετο. Ἀπεδικάσθη, κατεδικάσθη.

Ἀπεδοκίμαζεν, ἀτίμως ἔπραξεν, ἐφαύλιζεν, ἐξουθένει.

Ἀπέδοσθεν, ἀντὶ τοῦ πῶς οὐκ ἔδοξεν. Ἀπέδορ, ἐνομαλόν. Θουκυδίδης, καὶ κατέβησαν εἰς πεδίον ἀπέδοιον. Ἀπέδοσαν, ἀπεκωλύσαν. Ἀπέδυ, δύω. ὁ μέλλων δύσω, ὁ δεύτερος ἀόριστος, ἔδυν. ὁ μέσος ἐδυόμην, τὸ δεύτερον ἔδυς, καὶ ἔδυ. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, ἀπέδυ. καὶ ἀπέδυμεν ἀπηλαύνομεν. Ἀπέειπε, καὶ ἀπεῖπον τὸ λέγειν, οὐκ ἀπόφασιν, καὶ ἀπείπατον. Ἀπέειπον, ἀπείρηκεν, ὁ ἀφύλακτος. Ἀπείργω, ὃ ἐν φυλακῇ. Ἀπεῖπον ἐγὼ, τὸ πρῶτον πρόσωπον οὐχὶ ἀπεῖπον, ἀπείπαμεν ὑμᾶς, καὶ ἀπεῖπον ἐκεῖνοι πληθυντικὸν, ἀντὶ τοῦ ἐπαναχώρησαν. Ἀπείραμεν χροιᾶς τοῦ προσώπου, ἐπιτρέχει ταῖς παρειαῖς ἐρύθημα. ταῦτα πάντα τὴν ἐπιπολὴν σημαίνει. Ἀπέθεσθε, ἀπεμπολήσατε. Ἀπέλιπον, ἀντὶ τοῦ λέλοιπα, παρέλιπον. Ἀπέσπειν, ἤγουν ἁπλῶς εἰπεῖν, ὡς περιτιθεὶς τῆς προθέσεως. καθὰ καὶ ἐν τῷ, λείπεται ἀναμφισβήτητον, ἢ μάλιστα ὁμορρομεῖτερον, τὴν ἀπόφασιν ἡ λέξις δηλοῖ. Ἀπέθειν, ἀπηλάσατο. Ἀπέθου, ἀπέθου.

Ἀπέθανεν νῦν, τέθνηκε πάλαι. ἀπέθανεν ὁ Ἕκτωρ ὑπὸ Ἀχιλλέως. καὶ ἀπέθανεν, ἀντὶ τοῦ ἀπῆλθεν. Ἀπέθανον, κυρίως ἐπὶ πολέμου. οἷον εἰς τὸν πόλεμον ἔπεσον τότε, ἀντὶ τοῦ ἀπέθανον.

Ἀπέθετο, μέσος δεύτερος ἀόριστος. κανονίζεται δὲ οὕτω, τίθημι, ὁ μέλλων θήσω, ὁ δεύτερος ἀόριστος ἔθην, ὁ μέσος ἐθέμην ἔθετο. καὶ μετὰ τῆς ἀπὸ προθέσεως, καὶ κατὰ συγκοπὴν, ἀπέθετο. Ἀπέθρισεν, καὶ ἀπέθρισαν, ἀπέκειρε καὶ ἀπέκοψεν. Ἄπει, ἤγουν ἀπελεύσῃ. παρὰ Θεοκρίτῳ, εἰ μὴ ἄπει τουτέστιν. ἀπὸ τοῦ ἄπειμι, ἄπεις, ἐκβολῇ τοῦ σ̄, ἄπει. ὥσπερ καὶ τὸ εἶ. καὶ ἄπει, ἀντὶ τοῦ ἄπιθι, ἄπελθε. Ἀπέλυσεν, ἀντὶ τοῦ μετὰ φιμώσεως ἐκώλυσεν. ὁ δὲ στρατηγὸς ἐπεὶ ἀπέλυσεν αὐτόν.

Ἀπειθεῖ, ἀντιλέγει. Ἀπειθῶ, ἀντιλέγω, καὶ ἀπὸ τοῦ σ̄ Ὅμηρος γράφει. ὡς τὸ, Οὐδ' ἀπίθησεν. Ἀπείκασμα, ὁμοίωμα.

Ἀπεικὸς, μὴ πρέπον, ἄδικον, ἀπρεπές. Ἀπεικότως, καὶ ἀπεοικότως λέγεται. Θουκυδίδης, οὐδ' ἀπεικότως.

Ἀπειλεῖν, τὸ εὔχεσθαι. καὶ ἀπειλὴ, τὸ καύχημα λέγεται. γίνεται

τῶν ἰδίᾳ Δωρικῶν. οἷον ζᾶν ζῆν, πεινᾶν πεινῆν, διψᾶν διψῆν, ὁρᾶν ὁρῆν. ἐφ' ὧν τὸ ι οὐχ ὑπογράφεται κατὰ τοὺς παλαιούς.

Τύπτειν, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ ἐνικοῦ, προσθέσει τοῦ ν. οἷον τύπτω, εις, ει. τύπτειν, κοινῶς. τύπτην Δωρικῶς, καὶ τύπτεν αἰολικῶς καὶ Δωρικῶς. καὶ τυπτέμεναι, ἀττικῶς καὶ Δωρικῶς. καὶ τυπτέμεν, ἰωνικῶς. Σημείωσαι, ὅτι οἱ Δωριεῖς καὶ Ἀττικοὶ χαρακτηρίζουσι τὸ ἀπαρέμφατον τυπτέμεναι, ἀπὸ τῶν κοινῶν εἰς ειν, ἢ εἰς αν, ἢ εἰς ουν λεγόντων. ἐκβολῇ τοῦ ὑποτακτικοῦ φωνήεντος, καὶ ἐπενθέσει τῆς μεν συλλαβῆς, καὶ προσθήκῃ ἐπὶ τοῦ τέλους τῆς αι διφθόγγου. οἷον τύπτειν τυπτέμεναι, ὁρᾶν ὁρέμεναι. εἰ δὲ εἰς αι τὸ ἀπαρέμφατον, εἰ μὲν ἡ παραλήγουσα ἐστὶ δίφθογγος, ἐκβολῇ τοῦ ὑποτακτικοῦ φωνήεντος, καὶ ἐπενθέσει τῆς μεν συλλαβῆς γίνεται τὸ ἀπαρέμφατον. οἷον δοῦναι δόμεναι, θεῖναι θέμεναι, ἱέναι ἵμεναι, καὶ ἔμμεναι πλεονασμῷ τοῦ μ. ἐὰν δὲ μόνον φωνῆεν ᾖ, οὕτω. ζεῦξαι ζεύξμεναι, εἶναι εἵμεναι, ἴμεναι. Ἴωνες δὲ κατὰ ἀποκοπὴν ταῦτα προφέρουσι, τυπτέμεν, ὁρέμεν, δόμεν, θέμεν, ἵμεν, ζεύξμεν, εἵμεν, καὶ τὰ λοιπὰ ὁμοίως. Τετυφέναι, ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παρακειμένου γίνεται, προσθέσει τῆς ναι συλλαβῆς. οἷον, τέτυφα, ας, ε, τετυφέναι. τὸν τόνον ἐπὶ τῆς παραληγούσης ἔχει. ὅτι τὰ ἀπαρέμφατα εἰς ναι λήγοντα ἀεὶ ἔχουσι τὸν τόνον ἐπὶ τῆς παραληγούσης. χωρὶς τῶν Δωρικῶν, ἅπερ ἔχει τὸν τόνον ἐπὶ τῆς προπαραληγούσης, οἷον τυπτέμεναι. Τύψαι, ἀπὸ τοῦ πρώτου προσώπου τοῦ πρώτου ἀορίστου, ἀποβολῇ τῆς αὐξήσεως, καὶ προσθήκῃ τοῦ ι. ἢ ἀπὸ τοῦ τρίτου, τροπῇ τοῦ ε εἰς αι δίφθογγον. Τυπεῖν, ἀπὸ τρίτου προσώπου, ἀποβολῇ τῆς αὐξήσεως, καὶ προσθήκῃ τοῦ ι καὶ ν ἐπὶ τοῦ τέλους, καὶ ἀεὶ περισπᾶται. Τύψειν, ἀπὸ τοῦ τρίτου προσώπου γίνεται. οἷον τύψω τύψεις τύψει, τύψειν, προσθέσει τοῦ ν. Τυπεῖν, ὁμοίως ἀπὸ τοῦ τρίτου. οἷον τυπῶ, εῖς, εῖ, τυπεῖν, καὶ ἀεὶ περισπᾶται. Τύπτεσθαι, γίνεται ἀπὸ τρίτου προσώπου τοῦ ὁριστικοῦ παθητικοῦ ἐνεστῶτος. τροπῇ τῆς τελευταίας εἰς θαι καὶ ἐπενθέσει τοῦ σ. πᾶν γὰρ παθητικὸν ῥῆμα ἢ μέσον, ἔχον ἐπὶ τοῦ τρίτου προσώπου τὸ ται καθαρόν, τουτέστιν οὐδενὸς συμφώνου προηγουμένου αὐτοῦ, ἢ χρόνου, ποιεῖ τὸ ἀπαρέμφατον, τροπῇ τῆς τελευταίας εἰς θαι, καὶ ἐπενθέσει τοῦ σ. τύπτομαι τύπτῃ τύπτεται, τύπτεσθαι. τυφθήσομαι τυφθήσῃ τυφθήσεται, τυφθήσεσθαι. τυπήσομαι τυπήσῃ τυπήσεται, τυπήσεσθαι. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Τετύφθαι, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου, τροπῇ τῶν ψιλῶν εἰς τὰ δασέα, καὶ τὸν τόνον ἐπὶ τῆς παραληγούσης ἔχει μόνον. καὶ τοῦτο ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγίας γίνεται. οἷον τέτυπται τετύφθαι, λέλεκται λελέχθαι. ἐπὶ δὲ τῶν ἄλλων συζυγιῶν, τροπῇ τῆς ται συλλαβῆς εἰς θαι (ὥσπερ ἐν τοῖς ἐνεστῶσιν εἰρήκαμεν) καὶ τοῦ αὐτοῦ συμφώνου φυλαχθέντος, ὅπερ ἦν πρὸ τοῦ ται, γίνεται τὸ ἀπαρέμφατον τοῦ παθητικοῦ παρακειμένου. οἷον πέπεισαι πεπεῖσθαι, ἔψαλται ἐψάλθαι. ἐὰν δὲ οὐδὲν προηγῆται σύμφωνον, ἐπενθέσει τοῦ σ γίνεται. οἷον, ἤκουται ἠκοῦσθαι, πεποίηται πεποιῆσθαι.

Τυφθῆναι, ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ πρώτου ἀορίστου, ἀποβολῇ τῆς αὐξήσεως, καὶ προσθήκῃ τῆς ναι συλλαβῆς.

Τυπῆναι, ὁμοίως ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ δευτέρου ἀορίστου, ἀποβολῇ καὶ προσθήκῃ. Τυφθήσεσθαι, ἀπὸ τοῦ τρίτου προσώπου τοῦ αὐτοῦ χρόνου, τροπῇ τῆς ται συλλαβῆς εἰς θαι, καὶ ἐπενθέσει τοῦ σ. τυφθήσεται, τυφθήσεσθαι. Τυπήσεσθαι, ἀπὸ τοῦ τρίτου προσώπου ὁμοίως. τὸν αὐτὸν τρόπον καὶ τυπήσεται, τυπήσεσθαι. Τύπτεσθαι, γίνεται ὥσπερ τὸ τύπτεσθαι παθητικόν.

Τετυπέναι, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ μέσου παρακειμένου, προσθήκῃ τῆς ναι συλλαβῆς. οἷον τέτυπα, πας, πε, τετυπέναι. Τύψασθαι, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ πρώτου ἀορίστου, ἀποβολῇ τῆς αὐξήσεως, καὶ τροπῇ τῆς τελευταίας εἰς θαι. οἷον ἐτύψατο, τύψασθαι. Τυπέσθαι, ὁμοίως ἀπὸ τοῦ τρίτου προσώπου τοῦ δευτέρου ἀορίστου γίνεται, ἀποβολῇ τῆς αὐξήσεως, καὶ τροπῇ τῆς τελευταίας εἰς θαι, τὸν τόνον ἐπὶ τῆς παραληγούσης ἔχον μένειν. οἷον, ἐτύπετο τυπέσθαι. Τύψεσθαι, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ πρώτου μέλλοντος, τροπῇ τῆς ται συλλαβῆς εἰς θαι, καὶ ἐπενθέσει τοῦ σ, οἷον τύψεται, τύψεσθαι. Τυπεῖσθαι, γίνεται ἀπὸ τοῦ τρίτου προσώπου τοῦ δευτέρου μέλλοντος ὁμοίως, τροπῇ τῆς ται συλλαβῆς εἰς θαι, καὶ ἐπενθέσει τοῦ σ. οἷον τυπεῖται, τυπεῖσθαι.

Ἀπαρέμφατα ῥήματα τὰ εἰς αν καταλήγοντα, οἱ αἰολεῖς διὰ τῆς ην ἐκφέρουσι, βαρυτονοῦντες. φιλεῖν φίλην, καλεῖν κάλην, φρονεῖν φρόνην. τὰ δὲ λήγοντα παρ' ἡμῖν εἰς αν, αὐτοὶ εἰς αις μεταβάλλουσι. γελᾶν γελαῖς, πεινᾶν πειναῖς. τὰ δὲ εἰς ουν λήγοντα, διὰ τοῦ οις ἐκφέρουσιν. ὑψοῦν ὑψοῖς, ὀρθοῦν ὀρθοῖς, χρυσοῦν χρυσοῖς. Ἀπαρέμφατα σὺν ἄρθροις, ἀντὶ ὀνομάτων τίθενται. ἀντὶ γὰρ τοῦ εἰπεῖν, τὸν φθόνον ἔχειν ἡ ἀνδρεία, φασὶ, τὸν τὸ φθονεῖν τὸ ἐλελοῖσαι. Ἀπαρεμφάτως, ἄνευ δηλώσεως προσώπου. Ἀπαρθένευτα, οὐ πρέποντα παρθένοις. Ἀπαρθένωτος, ἄζυγος, καθαρά. Ἀπαριθμῶν, ἀντὶ τοῦ ἀποπληρῶν ἀριθμόν. Ἀπαριθμησάμενος, ἀπολύσων, καταβαλούμενος.

Ἀπαρὶς, ὑγιὲς, ἀπλήρωτον. Ἀπαρίσασθαι, εἰς ἀρίστησιν ἀγαγεῖν. Ἀπαρίνη, φυτάριον ἢ, ἵνα ᾖ, ὀροβάγχη. Ἀπαρκοῦν καλλίον, ἢ ἀρκεῖ. Ἀπαρκέσαι, ἀποσκευάσασθαι. Ἀπαρκοῦ, ἁρμόζοντα, αὐτάρκη. Ἀπαρκτίας, ταῖς ἀπὸ τῆς ἄρκτου πνοαῖς. καὶ ἀπαρκτίας ἄνεμος, ὁ ἀπὸ τῆς ἄρκτου πνέων.

Ἀπαρκτῶν, ἀποτέχειν. Ἀπαρκῶ, τὸ ἀρκέσω. Ἀπαλλος, ὁ καθόλου ἀρνούμενος. Ἀπαρνοῦντα, ἀποχωρήσαντα. ὡς τὸ, ἀεὶ ἑκάστην ἡμέραν ἀπαρνοῦντα τὴν ὁδὸν εἰς τὴν οἰκίαν.

Ἀπανύμενον, ἀφαιρούμενον. Ἀπάρουσα, ἀποχωρήσουσα. τῆς δὲ ἀλόγου ταύτης ἀπάρουσα. Ἀπαρτῆσαι, τὸ κρεμάσαι, καὶ τελειῶσαι. Ἀπαρρῆξειν, ἀποσπάσειν, ἀποχωρήσειν.

Ἀπαρτία, ὁ κατὰ τὴν οἰκίαν κόσμος, ἅτινα λεγόμενα ἔπιπλα. ἔστιν ἀπαρτῶ, παράγωγον ἀπαρτίζω. τὸ ἀρτίως, ὃ ἐστιν εὐθέως συμπληρῶ. καὶ ἀπαρτίαν, ἀποσκευήν, τέλος ἀπαρτισμοῦ. καὶ ἀπαρτίζοντος, τὸ μὴ ὑπερβάλλειν, μήτε ἐνδεῖν. ὅρος γάρ ἐστι λόγος κατὰ ἀνάλυσιν ἀπαρτίζοντως ἐκφερόμενος. καὶ ἀπαρτιλογία, ἀπηρτισμένος καὶ πλήρης ἀριθμὸς καὶ λόγος. οὕτω Λυσίας. Ἀπαρτικός, ὁ πρὸς ἄπαρσιν, καὶ ἀποδημίαν ἕτοιμος. Ἀπαρτιλογία, ἀπηρτισμένη ψῆφος. Ἀπαρτίζει, τελειοῖ, πληροῖ. Ἀπαρτὶ, ἀπηρτισμένως. ἐπίρρημα δὲ ἐστιν, ὡς ἀμογητί. παρὰ τὸ ἀπηρτισμένον, καὶ πλῆρες. κέχρηται δὲ αὐτῷ Ἡρόδοτος, λέγων, ἀπὸ τούτου εἰσὶ στάδιοι δύο ἀπαρτί. ὁ Φερεκράτης, φράσον μοι ἀπαρτὶ δή που προλαβών. συνώνυμοι δὲ ἡ λέξις. ἔστι ὅτι γὰρ καὶ χρονικὸν ἐπίρρημα δηλοῖ, ὡς καὶ Καλλίμαχος. Ἀπαρτύων, ἀποκηρύσσειν, ταρασσῖναι. καὶ ἀπαρτῦσαι, τάξαι. Ἀπαρτῶ, ἐξαρτῶ, ἀνακλῶ, ἅπτομαι, ἐξάπτω, αἰωρῶ, κρεμῶ. ἐπὶ κεφάλαιν λέγεται ταῦτα τὰ ῥήματα. Ἀπαρυσίον, ἀφαιρετέον, ἀπὸ τοῦ ἀρύω. Ἀπάρχεσθαι, παρὰ τοῖς ῥήτορσι, τὸ ἀπαρχὰς κυρίως ἀναθεῖναι δηλοῖ, καὶ τὸ μεταδιδόναι. Ἀπαρχὴ, προσφορὰ, ἀφαίρεμα. καὶ ἀπαρχὴ χιτὸς, πρῶτος χιτός.

Ἀπάρχονται τῶν μήλων, ἤγουν ἀπαρχὰς ἄγουσι. καὶ ἀπαρχόμενοι, ἤγουν ἀπαρχὰς διδόντες. Ἀπάρχε, τὰς ἀπαρχὰς πρόσφερε. Ἄπασα χαλκῆ, λαμπρὰ ὅλη. κρυπτοῦ. Ἀπασιτὴρ, τὸ δεσμωτήριον. Ἀπασπίσαντα, παμποίκιλον. οἱ δὲ, λεπτὸν χιτῶνα. οἱ δὲ, μαλωτόν. Ἀπασία, ἀγωνία, διαγωγή. παρὰ τὸ παύσασθαι. Μένωνα καὶ σαρπηδὼν υἱοὶ ὄντες Διός, ἀποθανόντες ἐν Τροίᾳ, οὕτω παρὰ θεοῖς ἐτιμήθησαν, ὡς τοῦ πατρὸς νομοθετήσαντος τὴν ἡμέραν, καθ' ἣν ἀπέθανον, ἐν πένθει καὶ ἀπασίᾳ τοὺς θεοὺς διάγειν κατ' ἔτος. Ἄπαστος, ἄγευστος.

Ἀπασιώνη, φαιδίμενος. Ἀπασπασμὸς, ἁμαρτών.

τὸ ἀντειληφέναι τοῦτό μου, καὶ ἀντιλαβεῖν βουλόμενον, ὁ μέθυσος. Ἅπαν, ὅλον, ἅπαντα. τὸ ἅπαν, οἱ μὲν ἰωνικῶς συστέλλουσι. καὶ ὁ ποιητὴς, Τῶν δ' ἅπαν ἐπλήσθη πεδίον. οἱ δ' ἀττικοὶ, ἐκτείνουσι τὴν ὑστέραν, καὶ τὸ παράπαν, ὁμοίως καὶ τὰ τοιαῦτα. Ἀπανιᾶνον, ἀπωτέρω. Ἀπαναίνομαι, ἀρνοῦμαι. Ἀπανᾶν, καλεῖν. Ἀπανάστασις, ἀποικία. Ἀπάνθισον, κάλλιστον, λάκανον. Ἀπάνευθεν, ἔχει προσθήκην τὴν πρόθεσιν. καὶ σημείωσαι ὅτι πάντα τὰ ἐπιρρήματα παρὰ τοῖς παλαιοῖς, φωνήεντος μὲν ἐπιφερομένου, ἐφέλκονται χάριν εὐφωνίας τὸ ν, οἷον ἀπάνευθεν ἔρχεται. εἰ δὲ σύμφωνον ἐπιφέρεται, δίχα τοῦ ν ἐκφωνοῦνται. οἷον, ἀπάνευθε καθῆσθαι. Ἀπανηχθῆναι, ἀποκλεισθῆναι, ἀναχωρῆσαι. Ἀπανηνάμενοι, ἀπαρνησάμενοι. Ἀπανθήσαντα, ξηρανθέντα. Ἀπανθρακίδες, οἱ πρὸς ὄπτησιν ἐπιτήδειοι ἰχθύες. καὶ πέμματος εἶδος, ἀπανθρακίς. Ἀπανθρακίζομεν, ἀντὶ τοῦ ἄνθρακι ὀπτῶμεν. ἐπὶ δὲ εἶδος ἰχθύος, ὃ παροπτῶντες ἐσθίουσιν. ἡ ἄνθρακας πυροῦμεν. Ἀπανθρωπία, ἡ κακία. ὅταν γὰρ ὥς μὴ κατὰ ἄνθρωπον ποιῇ, τοῦτο ἀπανθρωπία λέγεται. Ἀπάνθρωπος, σκληρὸς, ἀπηνὴς, ἄφρων, ἀπηλλαγμένος. Σοφοκλῆς. Ἀπανιζόμενοι, ξηραινόμενοι. Ἀπαντᾶν, ἀντὶ τοῦ ἀπολογεῖσθαι. Δημοσθένης, ἐγὼ δ' ἀπαντήσομαι ἐκείνοις βούλομαι, καὶ τὸ μάχεσθαι. δοτικῇ συντάσσεται. καὶ ἀπαντᾶν, τὸ ἀφικέσθαι, καὶ τὸ ἐμβάλλειν. Δημοσθένης, εἰς τὴν βουλὴν ἀπαντήσαντος. ἤγουν, ἀφικομένου.

Ἅπαντα τόλμης πλέα, πανουργίας. ἐπὶ τῶν ἰταμῶν, καὶ ἀναιδῶν. Ἀπαντήσαντος, παραγενομένου, φθάσαντος.

Ἀπαντλεῖται, χορεύεται, δαπανᾶται, πληροῦται. Ἀπαντίκρυς, ἐναντία. Ἀπανουργὸς ὁ λόγος. καὶ κατανουργὸς λογογράφος, ἀπανουργὸς δὲ, πανταχοῦ. σημαίνει δὲ τὸ κατὰ πρόσωπον ἴσως.

Ἀπανταχῇ, ὑπέστρεψε, ἐπέστρεψε. Ἀπανταχόθεν ἂν, ἐπανορθώσαιμι ἄν. Ἀπαντωμένων, συμβαινομένων, γινομένων. Οὐ μὴν ἀλλὰ νεόδαρτον ἀπαντωμένων, οὐδὲν ἱκανὸν ἂν πρὸς τὸ κωλύειν τὴν ὁρμὴν τῶν φυομένων. Ἅπαξ, ἐπίρρημα ἐπὶ ἀπαριθμήσεως. ὡς τὸ τετράκις, τὸ πεντάκις, καὶ τὰ τοιαῦτα. λέγεται δὲ καὶ ἀπὸ τοῦ οὐδενὸς ἐπίρρημα κατὰ ταύτην τὴν ἀκολουθίαν. τὸ οὐδ' ἅπαξ. καὶ τὸ μὲν ἅπαξ ἐφ' ὃν γίνεται ἀριθμὸν, φυλάττει τὸ αὐτὸ εἶδος. οἷον ἅπαξ τὰ τέσσαρα, δ. ἅπαξ τὰ πέντε, πέντε. τὸ δὲ οὐδ' ἅπαξ ἐφ' ὃν γίνεται ἀριθμὸν, ἀναιρεῖ αὐτόν. οἷον οὐδ' ἅπαξ τὸ ἓν, οὐδέν. οὐδ' ἅπαξ τὰ πέντε, οὐδέν. ἅπαξ, ἀντὶ τοῦ οὕτως, καὶ βεβαίως. ὡς τὸ, ἅπαξ ὤμοσα ἐν τῷ ἀγίῳ μου. Ἄλλως. Ἅπαξ, ἢ δὶς, τῆς ἡμέρας, τρὶς τοῦ μηνὸς. πεντάκις, καὶ πολλάκις τοῦ ἐνιαυτοῦ, ἐπιρρήματα ποσότητος, μετὰ γενικῆς συντάσσονται. Ἀπαξάπαντος, δύο μέρη τοῦ λόγου τὸ ἀπαξάπαντος οὔ φασι πάντως, ὡς ἐμοῦ πάντως. τὸ γὰρ ἀπαξάπαντος ἐπιτάσεως λαμβάνεται. ἐφ' ἓν δὲ ταῦτα τέθεικε καὶ προφέρονται ὡς λαλαλὰ, ἀπαραπλῶς. Ἀπαράνατα, ἀπὸ μακροῦ ἕως μεγάλου. Ἀπαξιοῖ, οὐκ ἀξιοῖ. ὑπερηφανεύεται. Ἀπαξιῶν, ἀνάξιον ἡγούμενος. Ἀπαξίωσις, καταφρόνησις. ὁ δὲ φίλιππος ἐδυσχέραινεν, ἐπὶ τῇ τῶν πρεσβευτῶν ἀπαξιώσει. Ἀπαξοὶ, μοναχοί. Ἅπαξον, ὁπωσοῦν. Ἀπάξω, ἐκεῖθεν ἄξω. Ἀπαπαὶ, συγκαταθετικὸν ἐπίρρημα. Ἀπαπαγίζειν, ἐπαίρειν. Ἀπαράβατον, ἄπιστον. Ἀπαράβλητος, ἀσύγκριτος, ἀνόμοιος. Ἀπαραγγέλτως, ἀκελεύστως. Πολύβιος. Ἀπάραξον, ἀπότεμε.

Ἀπαραίτητον, ἄφευκτον. ὃ οὐ δύνανταί τινες παραιτήσασθαι.

Ἀπαραιτήτως, ἀσυγχωρήτως, ἀσυγγνώστως. Ἀπαράκλητοι, αὐτόματοι. Θουκυδίδης, Τῶν χίων ἕκαστον ὁρμῶν, ἀπαράκλητοι ἐφ' ἁρπαγὴν ἐκκλαίουσιν. ἀπαράκλητοι, καὶ ἀπαραγόρευτοι. Ἀπαράλλακτος, ἀνόμοιος, ἀνέγκλητος. Ἀπαράκλητον, ἀπαιτητὸν, ἀπείρατον. Ἀπαράλλακτον, ὅμοιον.

Ἀπαραλλάκτως, ὁμοίως. κατὰ μηδὲν παραλλάσσοντα. Ἀπαράλλακτα, ἀπαράλλακτα. Ἀπάραξον, οὐκ ἔχει κακωτέραν δὲ μὲν εἰπεῖν ὁ ποιητὴς, ἐπὶ τῶν πλευρῶν. δηλοῖ γὰρ τὸ ἰσχυρῶς καὶ ἀθρόον ἀποκόψαι καὶ πρηνῶς, ὡς τρίχας ἄρον, ὃ ἐπισυνῆρε.

Ἀπαραπόδιστα, ἀπλανῆ. Ἀπαρασαλεύτως, ἀπλανῶς.

Ἀπαρασάλευτον, ἀπαρέγχυτον. Ἀπάρας, σπασάμενος, ὁρμήσας. Ἀπαράσημον, ἀσυμβόλευτον, ἀπαραχάρακτον. Ἀπαράσπαστος, ἀσυγκατάθετος. Ἀπαράσκευος, λαμπρὸς. καὶ ἄκοσμος τὰς τρίχας. καὶ ἐκ μακροῦ χρόνου ἀλούτων, ἢ ἄλουτος ὤν. Ἀπαράτρεπτος, ἀπαρασάλευτος. Ἀπαραδέκτος οἶνος, ᾧ οὐ προστίθεται θάλασσα. Ἀπάργματα, τὰς ἀπαρχὰς λέγουσιν. ἃς εἰώθασιν οἱ ἱερεῖς λαμβάνειν. καὶ ἀπάργματα λέγονται, τὰ ὑπὸ τῶν τραγῳδῶν λεγόμενα μαχαλίσματα. ταῦτα δὲ ἐστὶ τὰ τοῦ φονευθέντος ἀκρωτηριάσματα. τὰ γὰρ ἀκρωτήρια, εἴρεσθαι καὶ συρράπτεσθαι, διὰ τὸ τοῦ νεκροῦ μασχαλὸν καὶ τὸν τράχηλον, παρετίθεσθαι τῷ νεκρῷ, καθά φησι Σοφοκλῆς.

Ἀπαρεμποδίστως, ἀνεμποδίστως. Ἀπάρχεσθαι, τὸ τοῖς ἀγοραίοις ἀργύριον ἐμβάλλειν. καὶ ἀπάρχου, ἀρχὴν βάλλε, ἢ ἀπαρχὰς πρόσφερε.

Ἀπαρέμφατα.

Πάντα τὰ ἀπαρέμφατα, συντάσσονται μετὰ αἰτιατικῆς, ὅτι μετὰ τοῦ ἐνεργοῦντος προσώπου κεῖται, ἢ πάσχοντος. ἢ οὔτε ἐνεργοῦντος, οὔτε πάσχοντος. οἷον, λέγεται ποιεῖν τὸν Δία τόδε, ἢ πάσχειν, ἢ πλουτεῖν. ὅπερ οὔτε ἐνέργειαν, οὔτε πάθος ἔχει. συντάσσονται δὲ καὶ μετὰ εὐθείας. οἷον, βούλομαι ἐγὼ πλουτεῖν, καὶ βούλει σὺ πλουτεῖν, καὶ βούλεται ἕκαστος πλουτεῖν. εἰ δὲ μεταβαίνουσιν εἰς ἕτερον πρόσωπον, κατὰ τὴν δύναμιν τοῦ ῥήματος συντάσσονται. οἷον, θέλω πολεμεῖν σοι τὸν Δία, καὶ κατηγορεῖν τοῦ Δίωνος. Ἀπαρέμφατον μάλιστα τοῖς προαιρετικοῖς καὶ ὑπαρκτικοῖς ἐπιφέρεται. οἷον βούλομαι, ἢ θέλω γράψαι. προαιροῦμαι ἢ ἐφίεμαι φιλοσοφεῖν, ἐπιθυμῶ ἰατρεύειν, ποθῶ ἰδεῖν, προθυμοῦμαι βοηθεῖν. ἐπίσταμαι ἢ δύναμαι γράφειν. ἔτι γε, τοῖς ἀπροσώποις. δεῖ γενέσθαι, λέγεται ἀφικέσθαι πολλούς. Ἀπαρέμφατα, ἀντὶ προστακτικῶν λαμβάνονται. οἷον, εἰ λάβοις με ὑπὸ τὰ συναλλάγματα μὴ ποιεῖν. τότ' ἐλθὲ θωπεύειν, δουλεύειν ταῖς βουλαῖς, ὅπως καὶ αὐτὸ νικᾷν. ἅπαντα τὰ μελλόντων λόγων περιττώματα ἀφίεσθαι. καὶ παρ' Ὁμήρῳ, Χαρὸς δ' ἐστὶ ἄγειν βροτοῖσι, ἤγουν ἄγε, καὶ παρ' ἄλλοις ὁμοίως. Ἀπαρέμφατα, δύο τέλη ἔχει. τὸ ν ἐκ τῶν συμφώνων, καὶ τὴν αι δίφθογγον ἐκ τῶν φωνηέντων. καὶ πᾶν ἀπαρέμφατον λήγει εἰς ειν, ἢ εἰς αι. οἷον τύπτειν, τετυφέναι, τύψαι, τυπεῖν, τύψειν, τυπῆναι, τύπτεσθαι, τετύφθαι, τυφθῆναι, τυπῆναι, τυφθήσεσθαι, τυπήσεσθαι. οὕτω καὶ τὰ ἄλλα ἀπαρέμφατα τῶν βαρυτόνων ῥημάτων, καὶ τῶν περισπωμένων. χωρὶς τῶν ἀπαρεμφάτων τῆς δευτέρας καὶ τρίτης συζυγίας τῶν περισπωμένων. ὧν τὸ μὲν εἰς αν, τὸ δὲ εἰς ουν. οἷον βοᾶν, καὶ χρυσοῦν. ἃ κανονίζεται ἀπὸ τοῦ παρατατικοῦ. οἷον ἐβόων ἐβόας ἐβόα βοᾶν, ἐχρύσουν ἐχρύσους ἐχρύσου χρυσοῦν. Ἀπαρέμφατα τὰ ἔχοντα πρὸ τοῦ θ ἀμετάβολον, παροξύνονται. οἷον κεκάρθαι, ἐσπάρθαι. ὡς ἐπὶ τὸ πολὺ ῥαλέγοντα τῇ ερ συλλαβῇ, αἰολικά εἰσιν. ὡς ἐφθέρθαι, μεμάρθαι, τέτρθαι, προπαροξύνονται. ὅθεν ἡ παραλήγουσα αἰολικωτέρα ἐστὶ, καὶ ὁ τόνος ὁμοίως. Ἀπαρέμφατα γίνονται ἀπὸ τῶν τρίτων προσώπων ἑνικῶν τοῦ ὁριστικοῦ. ὧν αἱ καταλήξεις δύο εἰσὶν, εἰς τὸ ν σύμφωνον, καὶ εἰς αι δίφθογγον. εἰς τὸ ν, ποιοῦσιν, ἢ ἀπὸ ἐχόντων τὴν ει δίφθογγον, ἐπὶ τῆς τελευταίας συλλαβῆς, ἢ α ἢ ου. οἷον τύπτειν, ποιεῖν, γελᾶν, βοᾶν, χρυσοῦν, μισθοῦν. ἐπὶ τούτων δὲ τῶν εἰς αι καταληγόντων, ἀντὶ τοῦ ε τίθε-

αἰγείρων, Σοφοκλῆς. τὴν ἀπ' αἰγείρων, ἀντὶ τοῦ τὴν συκοφαντῶν. ἐπειδὴ ἐκ τῆς ἐν τῇ ἀγορᾷ αἰγείρου, τὰ πινάκια ἐξῆπτον. πρὸς ταύτην ἐξῆπτον, οἱ ἄρχοντες. Ἀπ' αἰγείρου θέα, ἡ ἐπὶ αἰγείρῳ. ἦσαν ἀπὸ τῶν ἰκρίων. αἴγειρος γὰρ ἐκεῖ ἦν τοῦ θεάτρου. ἀφ' ἧς οἱ μὴ ἔχοντες τόπον, ἐθεώρουν. Ἀπ' αἰγίλιπος πέτρας, ἀντὶ τοῦ ἀπὸ ὑψηλῆς πέτρας. Ἀπαίδευτον, τὸ μὴ λέγειν προσῆκον. Ἀπαιδευσία, ἀγυμνασία. Ἀπαίδευτοι, ἀτάκτοι, ἄτακτοι. Ἀπαίδευτος, ἐπὶ ψυχῆς καὶ σώματος λέγεται. καὶ ἀπαίδευτος, ὁ ἀκόλαστος. κολάζειν γὰρ, τὸ παιδεύειν. καὶ ἀνεπιπλασμένα ἤθη, τὰ ἀπαίδευτα. παρὰ δὲ τοῖς ποιηταῖς, ὁ ἀπαίδευτος καὶ ἀγροῖκος λέγεται. οὐ μὴν πᾶς ὁ ἀπαίδευτος, ἀλλ' ὁ κατὰ ψυχὴν μόνος. Ὁ ἀπαίδευτος, ὁ μωρὸς, καὶ ἄπειρος. Ἀπαιδία, ἠλικία. Ἀπαιδοῦνται, ἀπαισχύνονται, νικῶνται. Ἀπαιδοτρίβητον, ἀγύμναστον, ἀπαίδευτον.

Ἀπαιθριάζει, ἀντὶ τοῦ εὐδίαν ἄγει. Ἀριστοφάνης, ἀπαιθριάζει τὰς νεφέλας. ἢ ζωγραφεῖ, ἀντὶ τοῦ σκεδάζει τὰ νέφη. Ἀπαιολούμενος, ἀφαιρούμενος. Ἀπαῖξαι, ἀπελθεῖν, ἀποχωρῆσαι.

Ἀπαιόλη, ἡ ἀπάτη, καὶ ἀποστέρησις. γίνεται ἀπὸ τοῦ αἰόλλω. αἰόλος, τίθεται ἐπὶ χρυσοῦ, χρημάτων ἀπαιόλη. ἐκ δὲ τούτου καὶ ἀπαιόλημα, τὸ ἀποπλάνημα, καὶ ἀποστέρημα. ὁ καθαρολογώτατος ἐν τραγικοῖς Σοφοκλῆς, ἄλημα ὃν ἁπλῶς δόλιον καὶ αἱμύλον Ὀδυσσέα λέγει. καὶ ἄλημα τριβῶν, ὃ παράκειται εἰς ἑρμηνείαν. καὶ τὸ αἱμυλώτατον, καὶ ἀπαιόλη, Ἀριστοφάνης Νεφέλαις ὄνομα δαίμονος, σωματοποιήσας αὐτὸν παρὰ τὸ ἀπαιολᾶν, καὶ πολὺν, καὶ σοφὸν. ὁ ἐπὶ δικαστηρίων. ὡς ἂν εἴποι τις, ἡ ἀδικία. Ἀριστοφάνης ἐξηπατῆσθαι φασὶ τῶν ἐκείνου, ἀπαιολᾷ. Ἀπαιόλησις μισθοῦ, ἀποστέρησις μισθοῦ. ὡς ὑφελοῦντες τὸν μισθὸν τοὺς ὑπουργοῦντας. Ἄπαιρε, ὃ οἱ παλαιοὶ ἄρον λέγουσιν.

Ἀπαίρει, ἀποδημεῖ, ἀναχωρεῖ, ὁδεύει. ἀπαίρω, ἀπαρῶ, ὁ ἀόριστος ἀπῆρα. Ἀπαίρειν, ἀντὶ τοῦ παραγενέσθαι. Ἀπαίροντες, μεθιστάμενοι. οὕτως Αἰσχίνης. Ἄπαις, ὁ οὐκ ἔχων παῖδας, καὶ ἄτεκνος. λέγεται δὲ, καὶ ὄνομα πόλεως. Ἀπαισίως, βλασφήμως, ἀγρίως, ἀσυμβόλως, ἀσινῶς. Ἀπαισὸς, πόλις κατὰ Τρωάδα. λέγουσι καὶ δίχα τοῦ α. ὡς ἐπὶ Παισοῦ. ὁ πολίτης ἀπαισηνὸς, καὶ παίσιος. Ἀπαισχυντεῖ παρὰ Πλάτωνι, ἀντὶ τοῦ μὴ αἰσχυνθείς. Ἀπαιτίζοντα, ἀπαιτοῦντα. Ἀπαιτίζω, παραγωγὴν ἔχει, ὁποίαν καὶ τὸ ἀμμοτίζω. διαφέρει δὲ τὸ αἰτεῖν, τὸ ἀπαιτεῖν. ὡς καὶ διδόναι, τὸ ἀποδιδόναι. αἰτεῖ μὲν γάρ τις, τὸ μὴ χρεωστούμενον. ἀπαιτεῖ δὲ, τὸ χρέος. Ἀπαιτῶ, τὸ χρεωστούμενον λαμβάνω, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης, ἐπεί μ' ἀπαιτεῖς ἀργύριον διὰ τοῦτο ὤν.

Ἀπαιώνιστον, δύσφημον. Εὐριπίδης ἀλλαχοῦ, καὶ ἐν Μηδείᾳ. κέλαδον ἀπαιώνιστον, δύσφημον. Ἀπαιωρήσας, κρεμάσας, κουφίσας. ἐκ τοῦ αἴρω, τὸ κουφίζω. πλεονασμῷ τοῦ ω αἰωρῶ, αἰωρήσω. Ἀπ' ἄκρων μάχη, ἡ ἑνὸς πρὸς ἕνα μάχη. Διίκνυται. Ἀπακτέον, ὁ [illegible] μὴ δυνάμενος. Ἀπάκτευ, ἀπάγαγε, κόμισον. Σοφοκλῆς, ἀλλ' ὡς τάχος τὴν παῖδα τήνδ' ἔλα λαβὼν, καὶ δῶμ' ἀπάκτευ. ἀπὸ τοῦ ἄγω, ἄξω, ἦχα, ἦγμαι, ἦξαι, ἦκται. ὁ ἀπὸ τοῦ ἀπακτέον ῥήματος. Ἀπάλαμνον λέγει Ὅμηρος, τὸν ἄπορον. καὶ μὴ ἔχοντα τεχνάσασθαί τι. ὡς οἷον ἄχειρα καὶ μὴ ἔχοντα παλάμην, ἢ παλαμᾶσθαί τι. τὸ δ' ἐναντίον παλαμναῖος. οὐ μόνον κοινότερον ὁ βριαρόχειρ, ἀλλὰ καὶ ὁ αὐτόχειρ κατὰ τοὺς παλαιοὺς φονεύων, ἐπεὶ μιάσματι ἐνέχεται. καὶ τοὺς δέ φασι παλαμναῖος, ὁ τοὺς φονεῖς καταδιώκων. παλαμναίους δέ φασι καὶ τὰ θηρίων ἄστεα, παλαμναίους ἐκάλουν. φονικὰ δὲ λέγει ἀεὶ παρὰ τοῖς ῥήτορσι δίκη λέγει, ὁ παλαμναῖος. οὐ μὴν οὕτω καὶ ἀπάλαμνος. Ἀπάλαμνος, ἀσθενὴς, ἀμήχανος. Ἀπαλακίσκω, χιτλιζουσα. Ἀπαλαλάζοντα, [illegible] αὐτὴν καταλαλοῦντα. Ἀπαλγήσαντες, ἀντὶ τοῦ ἀπονεκρώσαντες

ἀλγεῖν. ὥσπερ καὶ τὸ ἀπολοφυρόμενοι. Ἀπαλγοῦντες, ἀπογινώσκοντες. ἀπαλγοῦντες δὲ αὐτὸς ἀπὸ τοῦ παλλεῦ γίνεται, ἐπιῤῥέοντος. Ἀπαλεῖν, ἀμαλεῖν. Ἀπαλέξασθαι, ἀντιτάξασθαι. Σοφοκλῆς, οὐδ' ἦν σθένοιμ' ἂν πρὸς ταῦτ' ἀπαλέξασθαι, σοῦ χωρὶς ἄναξ. Ἀπαλεξῆσαι, κωλῦσαι. καὶ ἀπαλέξαι, ὁμοίως. Ἀπαλεξήσει, βοηθήσει. τὸ ἀπαλεξήσει κακότητος παρ' Ὁμήρῳ, ἐπεὶ συντίθεται τῷ παρὰ τοῖς ὕστερον ἀλεξίκακον. Ἀπαλεξίκακον, ἀθώωτον. Ἀπαληθεύειν, τὸ τἀληθὲς ἐξαριθμεῖν. καὶ ἀπαληθεύω, τὸ τὴν ἀλήθειαν ἐκφαίνω. ὡς τὸ, ὁ δὲ χρόνος ὕστερον ἐφώρασε, ὅτε πάντα ἐκκαλύπτει καὶ ἀπαληθεύοντι, τότε τὸ λαθραῖον ἀναφαίνεται. Ἀπαλθέσθαι, τὸ θεραπευθήσεσθαι. ἢ καὶ ἐκ θηλείας θεραπευθῆναι εἰς ὑγείαν. ἀπὸ τοῦ ἄλθω, τὸ αὐξάνω, κατὰ τὴν συγγένειαν τοῦ δ πρὸς τὸ θ. ἢ ἔλαμψε καὶ ἐν τῷ προτέρῳ, ὃ ἐκ τοῦ τίνδω γίνεται, τροπῇ τοῦ δ εἰς θ, δηλοῦν τὴν προτέρηθεν. τὸν δ' ἐκ τοῦ σίνου φθίσιν ποιοῦσι. ὅπερ ἐναντίον τῷ ἀλθαίνεσθαι, ὅτι αὔξεσθαι. οὐ τὸ προτέρημα ἄλθω. ἢ παρὰ τὸ ἀλδῶ ἀλδήσω. ἐξ οὗ ἀλδίσκω, τὸ αὐξάνω. καὶ ἄλδησις παρὰ ἐκ τοῦ ἄλθω ἄλθομαι γίνεται, ἐπενθέσει συνήθει τοῦ λ. ἄλθονται γὰρ πᾶς ὑφοῦ. καὶ ἀλδίσκω, τὸ αὐξάνομαι. καὶ ἀπαλθήσεσθον, ὁμοίως. ἀλθέω ἀλθῶ, πρώτης συζυγίας τῶν περισπωμένων. ὁ μέλλων ἀλθήσω, ἀλθήσομαι ἀλθήσω, ἀλθησόμεθα, ἀλθήσεσθον. τὸ δὲ ἄλθω, παρὰ τὸ ἄλλω. Ἀπάλιον, θῦμα, δελφάκιον. Ἀπαλλάξαι, ἀφανίσαι. ἢ ἀπαλλάξομεν, ἀντὶ τοῦ ἀφανίσομεν. τῶν ἄλλων σκαιῶν τὰ θηρία ἀπαλλάξομεν. καὶ ἀπαλλάξαι, ἀντὶ τοῦ φυγαδεῦσαι. προσωτάτω ἁρμοῖον ἀπαλλάξαι. Ἀπαλλάξαν, ἀντὶ τοῦ πείσας ἀπολῦσαι. οὕτω Κρατῖνος, Δημοσθένης, καὶ ἄλλοι. Ἀπαλλάξειν, μεταπείσειν, πῶς καλῶς αὐτὴν ἀπαλλάξειν ἦν μετόρχιον. Ἀπαλλαξείοντες, ἐπιθυμίαν ἔχοντες ἀπαλλαγῆναι. Ἀπάλλαξις, ἀπαλλαγή. Ἀπαλλᾶσθαι, ἀπαντλεῖν. Ἀπαλλάττειν, λέγεται καὶ ἀντὶ τοῦ ῥύεσθαι, καὶ κουφίζειν, συντασσόμενον γενικῇ. οἷον ἀπαλλάττω σε τῶν κακῶν. ἀπαλλάττειν καὶ τὸ διατρίβειν, καὶ διαγίνεσθαι. Εὐριπίδης, ἀνάγκη πειρᾶν διὰ βίον, καὶ ἀθλιώτερον ἀπαλλάττειν. ἀντὶ διατρίβειν. Ἀπαλλάττεις, ἀποπέμπεις.

Ἀπαλλάττω, τὸ ἐλευθερῶ, καὶ τὸ διώκω. οἷον, οὐκ ἄμεινον ἀπαλλάττουσι τῶν τῆς ἐφημέρου τροφῆς δεομένων. ἀπαλλάττομαι δὲ, τὸ ἐλευθεροῦμαι, καὶ ἀπέρχομαι. Ἀριστοφάνης, ἀπαλλάχθητ' ἀπ' ἐμοῦ. Ἀπαλλακτὸν, θαυμαστὸν, ἔξαλλον, πολὺ παρηλλαγμένον. Ἀπαλοβραχία, ἁπαλοσκελῆ, ἁπαλῶς θάλλοντα. Ἀπαλοῖσαι, ὁμόσαι. λύκειος. Ἀπαλοῖς, μικροῖς. Ἄπαλον, ἀπαλὸν. ἀπὸ τοῦ παλαιόν. Ἁπαλὸς, ἐπὶ ζῴων καὶ φυτῶν, οἷον ἁπαλὰ βρέφη, καὶ ἁπαλὸν ῥόδον. μαλακὸν δὲ, ἐπὶ κηροῦ, καὶ τῶν τοιούτων, καὶ ἀπὸ τούτου ἐπὶ ἤθους καὶ λόγων. μαλάσσεται γὰρ ὁ κηρὸς, καὶ τὸ ἦθος, καὶ ὁ λόγος, καὶ ἔτι ὁ σίδηρος ὑπὸ πυρός. οἷον, χαυνοῦται, καὶ ἐνδίδωσι. παρὰ δὲ τῇ θείᾳ γραφῇ, καὶ λόγοι ἁπαλύνονται, ὑπὲρ ἔλαιον.

Ἀπαλότροφος φύκος, ἐπὶ τοῦ πήχεος. Ἀπαμβλύνει, ἐκκαθαίρει σκότος καὶ ἀλλοιώσεως. Ἀπαμβλύνουσι, ἀνθρίζουσι, καρτεροῦσι. Ἀπάμεια, πόλις Συρίας. ἀπὸ Ἀπαμείας, τῆς Σελεύκου μητρός. ὁ πολίτης, ἀπαμεύς. Ἀπαμείβομαι, ἀνταποκρίνομαι. Ἀπαμείρεται, ἀποχωρίζεται, ἀποστερεῖ, ἀφαιρεῖται. ἐκ τοῦ μείρω, τὸ μερίζω. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀμείρω. καὶ ἐν συνθέσει, ἀπαμείρω. Ἀπαμήσαντες χθονὶ φίλησιν, ἀντὶ τοῦ συνάξειν. ἐκ μεταφορᾶς τῶν ἀμώντων. οὕτω καὶ κόνιν τις ἐπαμᾶται χθονί, καὶ τέφραν. Ἀπαμύνεται, ἀποθεῖ. Ἀπαμυνεῖ, ἀποτρέψει. Ἀπαμυνοῦσι, βοηθεῖ. Ἀπαμφιάσαι, γυμνῶσαι. Ἀπαμφιέσαντες, ἐκδύσαντες. καὶ ἀπαμφιεῖ, ἀποκαλύψει. ὡς τὸ, Ἀπαμφιεῖ γὰρ

ρίζω. ἀφώρισμαι, ἀφωρίσθην. καὶ ἄλλα χωρὶς τοῦ ἔχοντος τὸ ρ μετὰ ἑτέρου συμφώνου, ἃ μεταβάλλουσι τὸ α εἰς ε ἐν τῷ ἀορίστῳ. οἷον ἔσταλμαι, ἀπὸ τοῦ ἐστάλην ἐστάλθην, τέτραμμαι ἐτρέφθην.

Ἀόριστος δεύτερος παθητικὸς, γίνεται ἀπὸ τοῦ δευτέρου ἀορίστου ἐνεργητικοῦ. οἷον, ἔτυπον ἐτύπην, τρεπομένου τοῦ ον εἰς ην. Ἀόριστος μέσος πρῶτος, γίνεται ἀπὸ τοῦ ἀορίστου πρώτου ἐνεργητικοῦ, προσθέσει τῆς μην συλλαβῆς. οἷον ἔτυψα ἐτυψάμην, ἔλεξα ἐλεξάμην, ἐποίησα ἐποιησάμην. Ἀόριστος μέσος δεύτερος, γίνεται ἀπὸ τοῦ δευτέρου ἐνεργητικοῦ, προσθέσει τῆς μην συλλαβῆς. οἷον ἔτυπον ἐτυπόμην. Ἀορίστως, ἀπολύτως. Ἀόρατος, ἀμυδρός.

Ἄορνις, λίμνη περὶ Κύμην. ἐκλήθη δὲ οὕτως, ὅτι οὐδὲν ὄρνεον διαΐσσει ὑπερπετάσαν. καὶ ὁ μὲν Ἀριστοφάνης, λίμνην λέγει τὴν Ἄορνιν, καὶ ἕτεροι δὲ, περὶ τὴν Ὠρικίαν. θερμὴν, ὀξώδη, ἧς οὐδὲν ζῷον γίνεται. τελευτᾷ γάρ. Ἄορνις. περὶ τὴν ἐν Βαίαις κόλπον κοῖλος ἦν τόπος, ποιῶν χερρόνησον, ἔχων ἰσθμὸν ὅσον τεσσάρων σταδίων, ἐγχωρίως φασὶ, καὶ ἀρτίχομος, περικλειόμενος ὀφρύσιν ὀρθαῖς, συνηρεφὴς ἀγρίᾳ ὕλῃ μεγαλοδένδρῳ, καὶ ἄβατος. ἐν ᾧ μῦθος, τοὺς ὄρνεις ὑπερπετεῖς γενομένους, καταπίπτειν εἰς τὸ ὕδωρ, φθειρομένους ὑπὸ τῶν ἀναφερομένων ἀέρων, ὡς ἐν τοῖς πλουτωνίοις. διὸ καὶ τοῦτο τὸ χωρίον, πλουτώνιον ἦν ὑπολαμβανόμενον. Ἄορνος πέτρα, ἐν τῇ Ἰνδικῇ. Ἀρριανός, μέγα γάρ τι χῶμα πέτρας ἐν ταύτῃ ἐστίν. ἔστι δὲ καὶ λίμνη οὕτω καλουμένη. ταύτην Ἀλέξανδρος εἷλεν, ἣν τοῦ Ἡρακλέους ἄπορος ἐγένετο ἡ πεῖρα.

Ἄοζον, μοχλὸν, πυλῶνα, θυρωρόν. κύπριοι. Ἀορτεῖν, ἣν λέγουσιν οἱ πολλοὶ νῦν, ἀβριστήν. μακεδονικὸν δὲ καὶ τὸ σκεῦος, καὶ τοὔνομα. καὶ ἀορτὴ φλὲψ, ἡ μεγάλη. Ἀορτὴρ, ὁ λῶρος, ἐν ᾧ τὸ ξίφος κρέμαται. παρὰ τὸ αἴρω, ἀρτήρ. καὶ πλεονασμῷ τοῦ ο, ἀορτήρ. αὐτὰρ περὶ κολεὸν ἦν, ἐν χρυσέοις ἀορτήρεσσιν.

Ἀορτῆρσι χρυσέοις ἀρηρὸς, ὅ ἐστι χρυσοῦς ἔχον ἀορτῆρας, ἤγουν ἀναφορεῖς. καὶ ὡς ἄστις εἶναι διαμοτευόμενος, βαστάγια. ἢ κρεμαστῆρας, ἀπὸ τοῦ αἴρω. ἐξ οὗ καὶ παρασάορ, ἀορτήρ. Ἄορτρον, τὸ ἀπηρτημένον τοῦ πνεύμονος μέρος, παρὰ τῷ Ἱπποκράτει. Ἄος, πνεῦμα, ἢ ἴαμα. Ἀοσσητὴρ, ὁ δίχα ὄσσης βοηθῶν. τουτέστιν, ὁ ἑτοῖμος καὶ ἀπροφάσιστος ἐπίκουρος. καὶ ἀοσσητῆρα λέγει ὁ ποιητὴς, τὸν σπουδαῖον βοηθὸν, καὶ δίχα ὄσσης ἀρήγοντα. Ἄοσον, ἄριστον. Ἀοῦματα, τὰ τῶν πλυνομένων κωδίων ἄχυρα. κύπριοι. Ἄοσπον, ἀνίκητον, ἄγευστον.

Ἄοψ, ἀνόφθαλμος.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Π.

Ἀπαβοῖδον, ἐμμελῶς. λάκωνες. Ἄπαγε, παῦσαι, μὴ γένοιτο. ἢ ἀντὶ τοῦ χρῶ τῇ ἀπαγωγῇ. οὕτω Δημοσθένης. καὶ παροιμία, ἄπαγε ξένον ἐν χειμῶνι, ἐπὶ τῶν ὀχληρῶν. καὶ ἄπαγε, ἀντὶ τοῦ ἀπαγωγῇ χρῶ. ἀπαγωγὴ δὲ, εἶδός ἐστι δίκης, ἢ δίξης, ἐν τῷ κατὰ Κόνωνος. ὠνόμασται δὲ, ἀπὸ τοῦ ἀπάγειν. ἀπάγεσθαι δὲ, ἐπὶ τῶν κακούργων. ἀπῆγον δὲ, πρὸς τοὺς ἕνδεκα. Ἄλλως. Ἄπαγ' εἰς μακαρίαν, Ἀριστοφάνης. γράφεται δὲ καὶ ἔρρ' εἰς μακαρίαν, κατ' εὐφημισμὸν, ἀντὶ τοῦ εἰς ὄλεθρον. ἐπεὶ καὶ οἱ τεθνεῶτες μακαρῖται λέγονται. ἦν δὲ ἡ μακαρία, Ἡρακλέους θυγάτηρ, ἣν Ἀθηναῖοι ὑπὲρ αὐτῶν ἀποθανοῦσαν, πολυτελῶς ἔθαψαν. Ἄλλως. Παροιμιῶδες, τὸ βάλλ' εἰς μακαρίαν. ὅπερ οἱ μὲν κατ' εὐφημισμὸν εἰρῆσθαι λέγουσιν, ἀντὶ τοῦ βάλλ' εἰς δυσαιώνατα. μακαρίαν γὰρ, ἐν ᾅδου χωρίον διατυποῦσιν. οἱ δὲ τὴν μακαρίαν, θυγατέρα φασὶ τοῦ Ἡρακλέους. ἥτις κατὰ τὴν ἐπὶ τοὺς Ἀθηναίους Εὐρυσθέως στρατείαν, τῶν Ἀθηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς Ἡρακλείδας, πρὸς τὸν τοῦ ἐλέου βωμὸν καταφυγόντας, χρησμοῦ δοθέντος θῦσαι Ἀθηναίοις νικᾶσαι, εἴ τις τῶν Ἡρακλειδῶν πρὸς θάνατον ἑκούσιον ἐκδῷ ἑαυτὴν, κατέσφαξεν ἑαυτήν. ὡς ἐν Ἡρακλείδαις Εὐριπίδης. ἧς τὸν τάφον ἀνθεσι καὶ στεφάνοις ἀμείψαντες οἱ Ἀθηναῖοι, ὡς τῶν ἀρίστων ἔθεσθαι, ἐπέλεγον, τὸ βάλλ' εἰς μακαρίαν. Ἀπαγγέλλειν. ὅτι τοῦτο τὸ εἶπεν, παρ' Ὁμήρῳ δηλοῦται σαφῶς. ἐν τῷ, ἢ οἳ ἀπαγγέλλουσι, καὶ σύ οἱ ἔσπερ. Ἀπαγγέλλω, τὸ μηνύω, καὶ διηγοῦμαι, δοτικῇ συντάσσεται. καὶ ἀπαγγέλλω, τὸ τὰ παρ' ἑτέρων εἰρημένα ἢ γεγραμμένα ἀπὸ στόματος λέγω. καὶ τὸ λέγω, ἢ φράζω, ἅπερ ἐγὼ εἶδον καὶ γινώσκω. Ἀπάγξ, γενικῇ συντάσσεται. οἷον, ἀπάγξω τοῦ ὅλου, δηλονότι ἐμαυτόν. σημαίνει δὲ τὸ μακρὰν πέμπω, καὶ εἰς τοὐπίσω κομίζω, καὶ ἀναστρέφω. Ἀριστοφάνης, ἄπαγε τὴν ἵππον ἐλαύνων οἴκαδε. καὶ ἀπάγει μετὰ γενικῆς ἐλλειπτικῶς, τῆς αἰτιατικῆς λαμβανομένης. οἷον, ἀπάγω τῆς ὁδοῦ, ἐμαυτὸν δηλονότι. ἀντὶ τοῦ ἐκτρέπομαι, καὶ τὴν ὁδὸν ταύτην ἰῶ. καὶ παρὰ Συνεσίῳ, ἄπαγε τοῦ νόμου, ἀντὶ τοῦ κατάλειπε τὸν καὶ ἄρθρον. Ἀπάγειν, ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι. τοῦτο ἰδίως ἐπὶ τῶν ἐπ' αὐτοφώρῳ κατηγορούντων λέγεται. ἀφ' ἑαυτοῦ μὲν πρὸς ἀπαγωγὴν ἢ δικαστήριον γίνεται, καλεῖται δικάζεσθαι. Ἀπάγελος, ὁ μηδέπω συναγελαζόμενος παῖς, ὁ μέχρις ἑπτακαίδεκα ἐτῶν. κρῆτες. Ἀπαγλαϊσάμενοι, ἐπιδεικνύμενοι τὰς ἀγκάλας. Ἀπάγχοντα, διόδους κατάγοντα. Ἀπάγεται ἐπὶ αἰχμαλωσίαν, ἔγδε περιηγμένος τὼ χεῖρε. καὶ ἐπὶ καταδίκων. οἷον, ἀπάγεται τὴν ἐπὶ θάνατον, ἢ ἀπάγεται ἁλοὺς, καὶ ἦγεν περιηγμένος τὼ χεῖρε. περιάγω γὰρ τὸ χεῖρε, ὅπως εἰς τοὐπίσω δέσμιον. περιάγω, καὶ τὸ πάντῃ καταφορῶ ποιῶ. καὶ περιηγάγετο παρὰ τῷ Συνεσίῳ, εἰς τοιαύτην σημασίαν.

Ἀπάγοντες, ἀπαυθοῦντες, ἀπελαύνοντες, τὴν ὁδὸν ἐπάγοντες.

Ἀπαγορεύει, ἀποφαίνει, ἀποκρίνεται, ἀρνεῖται. ἀπαγορεύσει τοῦ φιλίππου. Ἀπαγόρευσις, ἀπόφασις. Ἀπαγορεύω, μὴ λέγω, καὶ ἀπαγορεύω λέγειν. καὶ ἀπαγορεύω, τὸ ἀρνοῦμαι, δοτικῇ συντάσσεται. οἷον, ἀπαγορεύουσι τὴν ἐπὶ σόλον, ἤγουν ἀποκλείω. καὶ ἀπαγορεύω, τὸ ἀποκάμνω. οἷον, ἀπαγορεύοντες τὴν πρὸς στασίαν ἀπέπλεον. καὶ ἀπαγορεύω ἀμεταβάτως, ἀντὶ τοῦ ἐκδίδωμι. καὶ ἀπαγορεύω τὴν τοσοῦτον, ἤγουν ἀπελπίζω. καὶ ἀπαγορεύω τὴν ἁμαρτίαν, ἤγουν ἀποκηρύσσομαι. καὶ ἀπαγορεύω τοῖς, μὴ ποιεῖν τόδε. Ἀπάγουσιν, ὁπόσα τὸ τοῦ ἄγειν, καὶ περιττὴ κεῖται ἡ πρόθεσις. σημαίνει δέ ποτε ἡ λέξις, καὶ τὸ ἀποστρέφειν, καὶ λύεσθαι. ὡς τὸ, ἀπάγουσι βόας. Ἀπαγγελθείς, ἀφαιρεθείς. Ἄπαγχος, ἀτυχὴς περὶ τὰς ἄγρας. Ἀπαγωγὰς, αἰχμαλωσίας, ἀδυνατίας. καὶ ἀπαγωγὴ, μηνύσεως ἔγγραφος, διδομένη τῷ ἄρχοντι περὶ τοῦ δεῖν ἀπαχθῆναι τὸν δεῖνα. ὡς τὸ, ἐνταῦθα ὁ Λυκῖνος, κατὰ πρόφασιν ἀπαγωγῆς ἀφικόμενος. τὸ δὲ ἀπαγωγὴ, δίκης εἶδος. ὠνόμασται δὲ ἀπὸ τοῦ ἀπάγειν. ἀπῆγον δὲ οἱ κακοῦργοι πρὸς τοὺς ἕνδεκα. Ἀπαγωγή ἐστιν, ὅταν μετὰ τὴν ἀπόφασιν ἐξέρχηταί τις, ὡς καταδίκασας τὸ δικαστήριον. Ἀπάγω, τὸ μακρὰν ποιῶ ἵστασθαι. καὶ ἀπάγει τοῦ δεῖνος τὸν δεῖνα, ἀντὶ τοῦ δεινά. καὶ ἀπάγει τὸν δεῖνα τοῦ δεῖνος, ἀντὶ τοῦ κομίζω. ἢ ἀπάγει τὸν δεῖνα, παρὰ τοῦ δεῖνα. Ἡρόδοτος, συλλαβόντες ἀπάγετε παρ' ἐμέ. Ἀπαγὼν, ὁμαλόν. Ἀπᾴδει, ἀσυμφωνεῖ, οὐ συμφωνεῖ. ἢ ἀπᾴδει ἀπᾴδουσα. ἢ ἀπᾷδον, οὐ σύνᾳδον. Ἀπᾴδοντα, ἀλλότρια. Ἀπᾴδοντες, ἀπαρέσκοντες.

Ἀπαειρόμενον, ἀπαίροντα. Ἀπάθεια τοῦ νοῦ, ἡ ἀπὸ τοῦ αἰσίως ἀτελημία. Ἀπαθὴς, ὁ πάσης ὕλης χωρὶς, καὶ ὑπὸ ταύτης οὐδαμῶς ἐνθεῖναι δυνάμενον. ἢ τὸ πάθους χωρὶς, καὶ πάσης φθορᾶς ἀνώτερον. καὶ ἀπαθὲς, τὸ ὑγιαῖνον ἐν τῷ τεθνάναι μᾶλλον, ἢ ἐν τῷ ζῆν. Ἀπαθῆ, ἀντὶ τοῦ τὰ μηδὲ ἀληθῶς γεγονότα πάθη. καὶ ἀπαθῆ, ἄλυπον. Ἀπαθὴς παρὰ τοῖς ἀρχαίοις οὐ λέγεται ὁ ἀνελλιπὴς καὶ κατ' ἀρετὴν ζῶν, ἀλλ' ὁ ἔξω πάθους παντὸς σωματικοῦ, καὶ δυσχερείας ἄλλης δυναμένης φθορὰν ἐμποιῆσαι τῷ σώματι. καὶ ἀπαθὴς, ἀνάλγητος, ἀβλαβὴς, ἄτρωτος, ὑγιής. Ἀπαιάζειν, παριέναι, παραλείπεσθαι. Ἀπ-

αἰγείρων.

μενα, καὶ ᾄδειν περὶ τῇ ἀφροδίτῃ. Ἄορτον, τὸ ὀλέθριον.

Ἀοιδάων, ᾠδῶν, φωνῶν. Ἀοιδὴ, ἡ ᾠδή. Ἀοιδιάει, ᾄδει, ὑμνεῖ. Ἀοίδιμον, μέση λέξις ἐστί. καὶ οὐκ ἀεὶ ἐπὶ ἐπαίνου λαμβάνεται. Ἀοίδιμος, ὁ ᾀδόμενος. ἢ ἀοίδιμος, ὁ ἀοίδιμος. παρὰ τὴν ἀοιδὴν, ἀοίδιμος. ὡς φορὴ τρόφιμος. σημαίνει, ὁ ἐν ᾠδαῖς ἀεὶ μνημονευόμενος, ἢ ὀνομαζόμενος. ἢ ἀοίδιμος, ὑμνητός. Ἀοιδοὶ, περιβόητοι, ὀνομαστοί. ἢ εὔηχοι.

Ἀοιδοπόλος, ὁ περὶ τὰς ᾠδὰς ἀναστρεφόμενος. Ἀοιδὸς, μελῳδός. προϋπάρχει ῥῆμα, τὸ ἀείδω. ἔφαμεν δὲ, ὅτι εἰώθασιν οἱ ποιηταὶ, παράγειν τὰ ὀνόματα τὰ ἀφ' ὧν γεγόνασι. πτόλιζο, πόλις. μάχη, ἐμάχοντο. βοῦς, βουκολέοντο. οὕτω καὶ ἄειδε, ἀοιδὸς, ἀοιδιάουσα. ἀείδω, ἀοιδός. καὶ Ὅμηρος, καλὸν ἀοιδιάει. καὶ ἀοιδὸς, φαρμακός. Ἀοιδεὺς, ὑμνεῖς.

Ἄοιμος, ἀπόρευτος. οἶμος γὰρ ἡ ὁδός. ἢ ἄοιμος, ὁ πονηρὸς, ἢ ὄλβιος, ὁ ἀτυχὴς. καὶ ἄοιμον, ἄῤῥυθμον. Ἄοινα, ἱερὰ, τὰ ἐν νηφαλίοις. Ἀοινοὶ, ἀείμνηστοι. Ἄοινος, ἐπὶ τοῦ μὴ γευσαμένου οἴνου, καὶ ἐπὶ τοῦ μὴ ἔχοντος οἶνον. Ἀοιρεὺς, τὰς μακροτάτας πέτρας. οἱ δὲ μαγίστας. ἄλλοι ἀφυλάκτους. Ἀολλέες, ὁμοῦ συνηγμένοι, παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι. ἀπὸ γὰρ τοῦ εἰλῶ ῥήματος, τοῦ σημαίνοντος τὸ συστρέφω. ἢ ἀπὸ τοῦ εἰλῶ ῥήματος, ὄνομα ἰλλὰς, ἢ μετὰ τοῦ ἐπιτατικοῦ α, ἢ τοῦ ἀθροιστικοῦ, ἤγουν τοῦ σημαίνοντος τὸ ὁμοῦ, ἀολλὰς. καὶ τροπῇ τοῦ ι εἰς ο ἀολλάς. ἡ εὐθεῖα τῶν πληθυντικῶν, ἀολλέες. ἐκ δὲ τοῦ ἀολλὲς, γίνεται ἀολλίζω. Ἀόλλη, συνάγει, πληρ. καὶ ἀολλίσαντες, ἀθροίσαντες. Ἀολλισθῆναι, συναθροισθῆναι.

Ἀολλίζειν, φίλη λέξις ποιηταῖς. Ὅμηρος, οἱ δ' ἄρ' ἀολλίζουσι κατὰ ἄστυ γεραιάς. καὶ ἀολλίσασα γεραιάς. Ἀολλέοντες, ταχεῖς πόδας ἔχων. Ἀοίσιο Φαλακρὸς, ἀντὶ τοῦ Βοιωτικοῦ. ἀοίου, τὸ πρότερον ἡ Βοιωτία. Ἄορον, ἀθεράπευτον. Ἀορίστου, διακρίνου, ὑπηρετοῦ. Ἄοροι, μάγειροι, ὑπηρέται, θεράποντες, ἀκόλουθοι. Καλλίμαχος. Ἄορος, ἀδιάπλευστος.

Ἄοπος, ἄπορος, ὁ ἀόρατος. Ἄορα, ἀντὶ τοῦ ἀόρατα, καὶ οὐκ ὀφθέντα, ἀλλὰ δόξαντα ὁρᾶσθαι. Ἀντιφῶν ἀληθείας πρώτῳ. Ἄορ, τὸ ξίφος. κυρίως δὲ, ἡ σπάθη. ἐτυμολογεῖται δ' ἄορ, ἀπὸ τοῦ αἴρω τὸ φονεύω. ἢ ἀπὸ τοῦ α στερητικοῦ, καὶ τοῦ ὁρῶ τὸ ποιοῦν τὸν ἄνθρωπον μὴ ὁρᾶν. ἀορασίας τῆς ἐμποιητικὸν ὂν ξίφος. καὶ κλίνεται, ἄορος ἄορι. ὑποκοριστικὸν δὲ μᾶλλον εἶναι, κατὰ σῶμα ἄορ ἀνεχόμενα. Ἄορας, Ὅμηρος ἐν τῇ ὀδυσσείας, τὰς γυναῖκας λέγει, παρὰ τὸ ἀείρω, τὸ συζευγνύω. ὡς καὶ ἡ Ἰλιάς δηλοῖ, ἐκ τῶν ἀμφοτέρων ὤρεσι. τουτέστι ταῖς γυναιξίν. ἄορ γὰρ ἐκ τοῦ αἴρω, τὸ συζευγνύω. ἡ γενικὴ ἄορος, ἢ πληθυντικὸν αἰτιατικὸν, ἄορας. μετατεθέντος ὁ ἄορ, ἐποίησε τὸ ὄαρ ὄαρος, ὅθεν ὀαρίζειν, καὶ ὀπαστός. ἕτεροι δὲ ἄορα γράφουσι χωρὶς τοῦ σ, ὅπερ ξίφη. ὡς ἂν λέγη κατὰ μὲν πρώτην γραφὴν, αὐτοῦ μεγάλα, τινά. οἷον γυναικὸς δμωὰς, ἢ λέβητας, ὅπερ τοῖς ἀξίοις μεγάλοις δίδονται. ἀλλὰ ἀκολούθως, τοῖς ῥηθεῖσι. κατὰ δὲ τὴν ἑτέραν γραφὴν, εἰ τῶν οὐ ξίφη, καὶ ταῦτα τινὰ τιμῆς ἄξια, ἀλλὰ φαμὲν βραχεῖς τινάς. Ἀόρατον, τὸ καθάπαξ ἀδύνατον ὁραθῆναι. οἷον, ἡ φωνή. ἢ τὸ τῇ φύσει ὁρατὸν, μὴ ὁρώμενον διὰ ὅπερ ἐστὶ, τὸ ἐνεστῶτα. ἢ ὁ μὴ πέφυκεν ὀφθαλμοῖς σαρκὸς καθορᾶσθαι. ὡς ὁ νοῦς ὁ ἡμέτερος. ἢ ὡς ὁ ἐν τῷ βυθῷ σίδηρος. ὃς ὁρατὸς φύσει ὑπάρχων, ἀποκέκρυπται διὰ τὴν ἐπιπρόσθησιν τοῦ ἐπικειμένου αὐτῷ σώματος. Ἀόρατος, ὑπὸ τὸ καλύπτεσθαι τὴν γῆν ὑπὸ τοῦ ὕδατος. ὡς τὸ, Ἡ δὲ γῆ ἦν ἀόρατος. φύσει γὰρ ὁρατή. διὰ δὲ τὴν ἐπιπρόσθησιν τοῦ ἐπικειμένου αὐτῇ ὕδατος, ἦν ἀόρατος. Ἀόργητος, ὁ μὴ ὀργιζόμενος. Ἄορθο, αἱ γυναῖκες διὰ γονήν, καὶ τρίποδες.

Ἄορι, τῷ ξίφει. Ἄορνος, λιμὴν, ἢ λίμνη. Ἀόριστον, τὸ ὅρον μὴ ὑποβεβλημένον, καὶ κατεχόμενον. οἷον, τὸ κατ' οὐσίαν θεὸς, τὸ μόνον ἄκτιστον. ζήτει περὶ ἀορίστου, ὡς τὸ τίς ἐστιν ὅρος. ἐν τῷ περὶ ὁρισμοῦ. Ἀόριστος πρῶτος, ποτὲ μὲν φύσει μακρᾷ παραλήγεται, ὡς ἐπὶ τοῦ ἐποίησα, ἐκόσμησα, ἐσφάλησα. ποτὲ δὲ θέσει, ὡς ἐπὶ τοῦ ἔγραψα, ἔτυψα. ποτὲ δὲ φύσει καὶ θέσει, ὡς ἐπὶ τοῦ ἤλειψα. ποτὲ δὲ βραχεῖα, ὡς ἐπὶ τοῦ ἐτέλεσα, ἐπόρισα, ἐτέλεσα. ὅθεν καὶ ἀναλογώτεροι εἰσὶν οἱ ποιηταὶ διπλασιάζοντες τὸ σ, ἵνα μακρᾷ παραλήγῃ. ἐτέλεσσα γὰρ, καὶ ἐπόρισσα, καὶ ἐτέλεσσα λέγουσιν. Ἄλλως. Ἀόριστος πρῶτος ἐνεργητικὸς, εἴτε παραλήγει ἀπὸ τῶν βαρυτόνων ῥημάτων, εἴτε ἀπὸ τῶν περισπωμένων, εἴτε ἀπὸ τῶν εἰς μι. ἀεὶ γίνεται ἀπὸ τοῦ μέλλοντος, τροπῇ τοῦ ω εἰς α, καὶ προσλήψει κατὰ τὴν ἀρχὴν τῆς αὐξήσεως συλλαβικῶς, ἢ χρονικῶς. καὶ ἀεὶ φυλάττει τὸ τοῦ μέλλοντος σύμφωνον. οἷον τύψω, ἔτυψα, λέξω ἔλεξα, πείσω ἔπεισα, φράσω ἔφρασα, φανῶ ἔφηνα, τιμήσω ἐτίμησα, ποιήσω ἐποίησα. βοήσω ἐβόησα, χρυσώσω ἐχρύσωσα. θήσω ἔθησα ὤφειλεν εἶναι, ἀλλὰ ἔθηκα ποιεῖ. στήσω ἔστησα. δώσω ἔδωσα ὤφειλεν εἶναι, ἀλλὰ ἔδωκα ποιεῖ. ἄξω ἦξα, ἀγερῶ ἤγειρα, ὀρύξω ὤρυξα. χωρὶς τοῦ εἶπα, ἀπὸ τοῦ ἔπω. ἤνεγκα ἀπὸ τοῦ ἐνέγκω. ἔθηκα, ἀπὸ τοῦ τίθημι. ἔδωκα, ἀπὸ τοῦ δίδωμι. καὶ ἧκα, ἀπὸ τοῦ ἵημι, τὸ πέμπω. ἀντὶ τοῦ ἧψα, ἤνεγξα, ἔθησα, ἔδωσα, ἧσα. Ἀόριστος δεύτερος, ἐπὶ τῶν βαρυτόνων ῥημάτων ἀεὶ συστέλλει τὴν παραλήγουσαν, χωρὶς τοῦ εἶπον, καὶ ἦλθον, ἦκον, εἶδον, εἶλον, εἷλκον, ἦγον, ὅθεν ἤγαγον. ἔπαρθον, ἔδαρκον, καὶ ἔδρακον κατὰ μετάθεσιν. ἔπραξον, ἤνεγκον, καὶ ἔτραφον. ἐπὶ δὲ τῶν περισπωμένων ποτὲ μὲν φυλάττει μακρά. ὅτι τὰ ἔχοντα δύο σύμφωνα, φυλάττουσι μακρὰν τὴν παραλήγουσαν τοῦ δευτέρου ἀορίστου, ἐπὶ τῶν περισπωμένων. οἷον χθεμῶ ἔχθεμον, ὀλισθῶ ὤλισθον, βλαστῶ ἔβλαστον, ἀλαλκῶ ἤλαλκον, ἁμαρτῶ ἥμαρτον. τὰ δὲ μὴ ἔχοντα δύο σύμφωνα, συστέλλουσι τὴν παραλήγουσαν τοῦ δευτέρου ἀορίστου. οἷον, λακῶ ἔλακον. χωρὶς τοῦ δουπῶ ἔδουπον, σπῶ ἔσπον, καὶ νῦν ἔστορον. Ἄλλως. Ἀόριστος δεύτερος, ἐνεργητικὸς, ἀπὸ τοῦ πρώτου γίνεται, τροπῇ τῆς τελευταίας εἰς ον βραχύ. πρὸ τοῦ ον τιθεμένου τοῦ τῆς συζυγίας τοῦ χαρακτηριστικοῦ συμφώνου. οἷον, τύψω ἔτυπον, γράψω ἔγραφον. καὶ φιλεῖ ἐν τῇ παραληγούσῃ ἔχειν τὸ δίχρονον φωνῆεν. ὅθεν ἐὰν μὲν ἐν δισυλλάβῳ ῥήματι γένηται τὸ η, ἢ τὸ ει ἀμετάβλητον, ὡς ἐπὶ τὸ πλεῖστον τρέπεται εἰς α ἐν τῷ δευτέρῳ ἀορίστῳ. οἷον δέρω ἔδαρον, πέρθω ἔπραθον, πλήκω ἔπλακον, εἴλω ἔαλον. τὸ δὲ λίγω καὶ φλίγω, ἔλιγον καὶ ἔφλιγον ποιοῦσιν. ἐὰν δὲ η, τρέπεται εἰς α βραχύ. ὡς ἐν τῷ λήθω ἔλαθον, λήθω ἔλαθον. ἐὰν δὲ ω, εἰς α ὁμοίως. οἷον τρώγω ἔτραγον. ἐὰν δὲ δύο δίχρονα γένηται, τὸ δεύτερον ἐκβάλλεται. οἷον καίω ἔκαον, φαίνω ἔφανον, παύω ἔπαον. ἐὰν δὲ ει δίφθογγος, ἐκβάλλεται τὸ ι. οἷον πείθω ἔπιθον, λείπω ἔλιπον. χωρὶς τῶν δισυλλάβων ῥημάτων τῆς πέμπτης συζυγίας, ἐφ' ὧν τὸ ι ἐκβάλλεται, καὶ τὸ ε εἰς α τρέπεται. ὡς ἐν τῷ σπείρω ἔσπαρον, φθείρω ἔφθαρον. ὀφείλω δὲ ὤφιλον, διὰ τοῦ ι. καὶ ἐγείρω ἤγερον, καὶ ἀγείρω ἤγερον. τρισύλλαβα γάρ εἰσιν. ἐὰν δὲ αι, ἐκβάλλεται τὸ ι. οἷον φεύγω ἔφυγον, τεύχω ἔτυχον. ἐὰν δὲ ου, ἐκβάλλεται τὸ ο. οἷον, ἀκούω ἤκουον. Ἀόριστος πρῶτος παθητικὸς, ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου γίνεται, τροπῇ τῆς τελευταίας εἰς ην, καὶ ἐκβολῇ τοῦ συμφώνου κατὰ τὴν ἀρχὴν, καὶ τροπῇ τῶν ψιλῶν εἰς δασέα. οἷον, τέτυπται ἐτύφθην, λέλεκται ἐλέχθην, πέπεισται ἐπείσθην, πέφρασται ἐφράσθην, κέκλιται ἐκλίθην. ἐκρίθην δὲ καὶ ἐκλίθην, ποιητικά. πεποίηται ἐποιήθην, βεβόηται ἐβοήθην. ἐμνήσθην, προσέλαβε τὸ σ. ὤφειλε γὰρ εἶναι ἐμνήθην, ἀπὸ τοῦ μέμνηται. ὁμοίως ἐῤῥώσθην, ἀπὸ τοῦ ἔῤῥωται. ἀλλὰ ἐσώθην ἀπὸ τοῦ σέσωσαι, ἀντὶ τοῦ ἐσώθην, ἀπέβαλε τὸ σ. ἐσπάρται ἐσπάρθην, μεμίανται ἐμιάνθην, καὶ πέφανται ἐφάνθην. καὶ τὴν παραλήγουσαν τοῦ παρακειμένου φυλάττει. ὡς τέτυμμαι ἐτύφθην, λέλεγμαι ἐλέχθην. χωρὶς τοῦ εὕρημαι, εὑρέθην. καὶ οὐχ εὑρέθην. καὶ ἐπιθύμαμαι ἐπιθύθην. καὶ χωρὶς τῶν συντιθεμένων ἀπὸ τοῦ αἱρῶ περισπωμένου ῥήματος, οἷον καθῄρημαι καθῃ-

ρέθην,

Ἄνωμος, ὁ μὴ ἔχων ὦμον. Ἀνωμολογῆσθαι, ὁμοῦ ὡς γενναίως γεγενῆσθαι. Ἀνωμαλλάσειν, ἀνωμάλως μερίζειν.

Ἀνωμαλοκρῶς, ἀνωμάλως κειμένη. οἱ δὲ, ἀτελῶς.

Ἄνων, ἀνύων. Ἀνώνυμος, ἄδηλος. Ἀνωνύμως, ἀδόξως. Ἄνωξις, βούλευσις. Ἀνώπιστον, ἀόρατον, ἀπέραντον, ἀνεπίστροφον. Ἀνωργισμένον, τὸ ἀναμεμαλαγμένον. οὕτως Ἱπποκράτης. Ἀνωρίας, οὐκ ἀπολλυμένως. Ἀνωρθίαζον, ἀντὶ τοῦ ὄρθιαι βοῶντες ἔλεγον. οὕτως Ἀνδοκίδης. Ἀνωρθιασμένον, τὸ ὀρθότατον. Ἀνωρθιάσαμεν, ἀνωρθίαζον. Ἀνώσαντες, ἀναστρέψαντες πλεῦν εἰς πόλιν. τουτέστιν ἀνωθήσαντες τὴν ναῦν ὑπὸ τοῦ ἐν ποσὶν, ὥς τι πλέον. κυρίως γὰρ ὤθειν τὸ ἀπὸ χθαμαλωτέρων ἀνάγειν εἰς ὑψηλότερον. Ἀνωσόν, ἐγκλειστέον.

Ἀνωφέλητος, ὁ μὴ ὠφελημένος. ἀνωφελὴς δὲ, ὁ μὴ ὠφελάβος. Ἀνώφλιον, τὸ ὑπέρθυρον. Ἀνωφόρως, ἀναβλασταίνοντα. Ἄνωχθι, κέλευσον. κατεπλέχθη ἐκ τοῦ ἄνωγε, ὃ παρὰ τὸ ἀνώγω, τὸ προστακτικὸν ἀνώγεθι. τροπῇ οὖν τοῦ γ εἰς χ, καὶ συγκοπῇ, ἄνωχθι. ἢ ἄνωχθι, ἐκ τοῦ ἀνωγῶ περισπωμένου γενέσθαι φασίν. οὐ παρατατικός, ὁ ἠνώγεον. ἀνωγῶ γὰρ, ἀνώγημι, ὅθεν ἀνώγηθι, καὶ ἐν συγκοπῇ ἄνωχθι. τρεπομένου τοῦ γ συνήθως εἰς χ. ὡς καὶ ἐπὶ τοῦ βρέγμα βρεχμός, καὶ τοῖς ὁμοίοις. ὅτι δὲ δοκεῖ ἡ μεταπλάσσεσθαι ἐκ τοῦ ἄνωγε καθ' ἕτερον προστακτικὸν, δεδήλωται καὶ αὐτό. Ἄνωχμον, κελευστικόν.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ξ.

Ἄξαι, κολάσαι. προστακτικόν. Ἄξαντος, κατεάξαντος. Ἄξιον γυναικῶν, ἐπὶ αἰχμαλωσίᾳ κεῖται παρ' Ὁμήρῳ. ὅθεν καὶ ἡ ἀπαγωγὴ, παρὰ τοῖς ὕστερον. ἔτι δὲ καὶ τὸ πολεμικὸν ἀγώγιμον. οὐ περιεκτικόν ἐστι, τὸ ἄξαν ἐν τίσι γυναικῶν. Ἄξενον, τὸν εὔξεινον πόντον φησὶν ὁ Ἀπολλώνιος. οἱονεὶ, κακόξενον, τοῦ α σημαίνοντος τὸ κακόν. πρότερον μὲν γὰρ ὑπὸ λῃστῶν περιοικούμενος, ἄξενος ἐκαλεῖτο. καθαρθεὶς δὲ, εὔξεινος τὸ μετὰ ταῦτα ἐκλήθη. Ἀξέμεναι, ἐπάξειν. Ἄξενοι, οἱ μὴ ἔχοντες τὸν ξενοῦντα. Ἄξιος, ἀντίτιμος.

Ἄξεσθαι, ἀγαγέσθαι, ἀφίξεσθαι, παραγενέσθαι. Ἀξίας, τραχείας. Σοφοκλῆς Σίνωνι. Ἀξία, τιμή, καθῆκον, ἀξίωμα.

Ἀξιάγαστος, ἀξιοθαύμαστος. Ἀξιαφηγητότατα. ἄξια ἀφηγήσεως, ἄξια τοῦ ἀφηγεῖσθαι. Ἄξετε, ἀντὶ τοῦ ἀγάγετε. ὁ ἄξω μέλλων ἀνέβη εἰς ἐνεστῶτα. καὶ τὸ προστακτικὸν, ἄξον ἀξέτω, ἄξατον ἀξάτων, ἄξατε ἀξάτωσαν. Ἀξιεπιθύμητον, ἐπέραστον. Ἀξιέπαινος, ὁ ἄξιος ἐπαίνου. Ἀξιέραστος, ὁ ἀξιεπιθύμητος, ὁ ἄξιος ἐπιθυμεῖσθαι. Ἀξίνη, δίστομος πέλεκυς.

Ἀξιοῖ, ἀντὶ τοῦ δικαιοῖ. Ἀριστοφάνης, σὺ δ' ἀξιοῖς ἴσως με σὺν ταῦτα καὶ φράσαι. καὶ Ἀριστείδης, οὐ γὰρ ἠξίωσαν αὐτοὶ δι' ἣν τὸν κρύψαντα ἐξελθεῖν. καὶ ἀξιοῖ, ἀντὶ τοῦ καθικετεύει. Λιβάνιος, ἀξιῶ δέ σε μὴ δυσχερῶς ἀκούειν, μετὰ πολλῆς καὶ κλαυθμονῆς. καὶ ἀξιοῖ, ἀντὶ τοῦ νομίζει, ὡς Ἀλκίφρων. Ἄξιον παρ' Ἀττικοῖς, τὸ εὔωνον. Ἀριστοφάνης, οὐ πώποτ' ἀφύας εἶδον ἀξιωτέρας. ἤγουν εὐωνοτέρας τὴν ἀξίαν τιμῆς. ἀξιωτέρα, εὐωνοτέρα.

Ἄξιον, τὸ ἔντιμον. Ἀξιόλεκτον, ἐπαινετόν. Ἀξιομαχε, δυνατώτεροι. Ἀξιόμαχοι, ἱκανοὶ μάχεσθαι. Ἀξιομνημόνευτος, ἄξιος μνημονεύεσθαι. Ἄξιον, εὔωνον. Ἀξιόπιστος, ἀξιόχρεως. Ἄξιον ἄλφοι, παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. ἢ σύνδετον, ἀντὶ τοῦ εὕροιτο τὸ ἄξιον, ἤγουν τὴν ἀξίαν τιμήν, ἢ κατὰ γένος ἀρσενικόν, ἀλλ' ἀττικῶς. τὸ γὰρ τέλειον, ὦνον ἄλφοι. ὡς καὶ ἀλλαχοῦ κεῖται. ὅτι δὲ τὸ ἄξιον καὶ ἐπὶ τοῦ εὐώνου ἐκεῖνο παρὰ τοῖς ὕστερον Ἀττικοῖς, δηλοῖ σαφῶς καὶ ὁ κωμικός, ἔν τε ἄλλοις, καὶ ἐν τῷ ἀξιωτέρας ἀφύας. Ἄξιον. ὅτι ἀντάξιον Ὅμηρος λέγει, δεδήλωται ἀλλαχοῦ. οἱ δὲ ὕστερον Ἀττικοί, ἄξιον καὶ τὸ εὔωνον εἶπον. σημαίνει δέ ποτε ἡ λέξις καὶ τιμιότητα, ὡς δῆλον καὶ ἐκ τῶν ἐν ἀξίαις, ὅ ἐστι τῶν ἐν ἀξιώμασι. τοιοῦτον δέ ἐστι, καὶ τὸ τῆς παροιμίας. τὸ ἐξ ἀξίας γοῦν ξύλον ἀπάγξασθαι. γίνεται δὲ τὸ ἄξιον, ἐκ τοῦ ἄγω ἄξω. οἱονεὶ τὸ ἐπαγωγόν, ὡς δῆλον. ὡς δὲ καὶ ὄνομα ποταμοῦ, ὁ Ἀξιός, οὐκ ἄδηλόν ἐστιν. Ἀξιόλογος, ἀξιομνημόνευτος. ἀττικώτερον, ἄξιος λόγου, ἄξιος μνήμης. Ἀξιοπηγεστάτην, ἀξιολογωτάτην, ἀξίαν ὑφηγήσεως. Ἀξιοπιστία, ἡ πίστωσις. καὶ ἀξιόπιστος, οὐχὶ ὁ κατάπλαστος λέγεται. Ἄξιος τριοβόλου ἄνθρωπος. καὶ ἄξιος, οὐχ ὁ περὶ πολλοῦ. καὶ ἄξιός ἐστι μεγγῖσθαι ὑπὸ τῆς πόλεως ἐκεῖνος. καὶ ἄξιος, ποταμὸς Μακεδονίας. Ἀξιούμενος, παρακαλούμενος τυγχάνων. Ἀξιόχρεως, ἀξιόπιστος. ἀξιοχρέως, ἱκανῶς. ἐπὶ μάρτυρος ταυτὸν λέγεται τῷ ἀξιοπίστῳ. ὡς ἐνταῦθα καὶ παρ' Ἀριστείδῃ, ἀξιόχρεως μάρτυρας τοὺς κωμικοὺς ὀνομάζων. ὅτι δὲ λαμβάνεται ἀντὶ τοῦ ἁπλῶς ἀνθρώπου, ἤγουν λέγεται τῆς ἀξιοπιστίας. τίθεται γάρ ποτε, ἀντὶ τοῦ ἁπλῶς ἀξίου. Ἀξιόμαχος, ἰσοδύναμος. ἦν δὲ ἔχων στρατὸν ἀξιόμαχον. Ἀξιοζήλως, ἐπαινετῶς. Ὁ δὲ ἐν ὀφθαλμοῖς τῶν ἁπάντων ἑαυτὸν ἀξιόζηλον δεικνύς. Ἀξίοχος. Αἰσχίνης ἐν τῷ σωκρατικῷ διαλόγῳ ἔγραψε, ἀξίοχος καλούμενος. Ἀξιομνημόνευτος, ὁ ἄξιος μνημονεύειν. Ἀξιῶ, τὸ παρακαλῶ. αἰτιατικῇ συντάσσεται μόνῃ. οἷον, ἀξιῶ ὑμᾶς ὦ ἄνδρες, ἀντὶ τοῦ παρακαλῶ ὑμᾶς. Ἀξιῶ, ὅταν γενικῇ συντάσσηται, σημαίνει ἄξιον κρίνω. οἷον, ἀξιῶ σε τοῦ θρόνου. καὶ ἀξιῶ σε τιμῆς, ἤγουν ἄξιον κρίνω. καὶ ἀξιῶ σε ἐλθεῖν. καὶ πρὸς ἀξίωσιν τὴν γεγενημένην τῆς ἀθανασίας. Ἀξιῶ, τὸ ὑπολαμβάνω. σημαίνει καὶ τὸ ἱκετεύω, καὶ τὸ νομίζω. ὡς ἀξιῶ σε ποιεῖν τάδε. καὶ ἀξιῶ σε τοῦδε, ἢ ἀμφότερα ἀντὶ τοῦ ἄξιον κρίνω. Ἀξιῶ τὸ παρακαλῶ, τὸ ἄξιον κρίνω, καὶ τὸ τιμῶ. ἀφ' οὗ ἀξιούμενος, ὁ τιμώμενος. καὶ ἀξίωμα, ἡ τιμή, καὶ ἡ παράκλησις παρὰ τῇ θείᾳ γραφῇ. καὶ τὸ μέγεθος. Ἀριστείδης ἐν τῷ παναθηναϊκῷ, τὸ μὲν οὖν ἀξίωμα τοῦ παρόντος ἀγῶνος, ἤγουν μέγεθος. ὡς αὐτός, καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς, ὡς ἐλευθέρων τὴν ἑλλάδα. φέρεται καὶ ἡ ἀξιωματικὴ παρὰ φιλοσόφοις, ἡ λεγομένη κατὰ ἴωνας, οἷον ἀξιοῦσι πάντες τὸν οὐρανὸν σφαιροειδῆ εἶναι. Ἀξίωσιν, τιμήν. ὡς τὸ, τὸν δὲ βασιλέα ὄντα κατ' ἀξίωσιν τῆς τρίτης μοίρας, μεγέθει τε χώρας, καὶ πλήθει τῶν ὑπηκόων. Ἀξίωμα, ἡ ἱκετεία. ὡς ὁ Δαβίδ, εἰσελθέτω τὸ ἀξίωμά μου ἐνώπιόν σου κύριε. καὶ ἀξίωμα, βούλημα. Ἀξιῶται, ἔθνος τρωϊκόν. Ἄξομαι, κάλλιον ἢ ἄξω.

Ἄξον, ἄγε, τὸ κλῶ. ὁ μέλλων ἄξω, ὁ ἀόριστος ἦξα, καὶ τὸ προστακτικὸν ἄξον. Ἄξοον, τὸ ἄτμητον. Ἄξονες, ἐν οἷς οἱ ἰδιωτικοὶ ἐγράφοντο νόμοι. οἱ δὲ τετράγωνοι ὑπῆρχον πίνακες. ἄξονες, καὶ αἱ πράξεις τῶν ἀρχῶν. Ἄξος, ὕλη παρὰ Μακεδόσι, καὶ πόλις Κρήτης. Ἄξων, ξύλον τὸ τοὺς τροχοὺς φέρον. Ἀξύλιστον, ἄκοπον. Ἄξυλον, πολύ. ὅθεν οὐδεὶς ξυλοφορεῖ. ἢ ἱερὸν τόπον. Ἀξυγγενὴς, ἀλλότριον κατὰ γένος. Ἀξυρὶς, ἄξυρον, ἄτομον, ἄτμητον, ἀμβλύ. Ἀξύμβλητος, ἀνεπάντητος. ἢ ἀσύνετος. Ἀξύστην, οὐ συνεστῶτα, οὐδὲ πυκνόν, ἀλλ' ἀραιόν.

Ἀξυλία, ἡ ἔνδεια τῶν ξύλων. Ἄξυλος, ἀκοινώνητος, πολύξυλος. Ἀξύμμετρον, τὸ ὑπὲρ τὸ μέτρον. Ἄξυλος ὕλη, ἡ δασεῖα καὶ πολύξυλος, κατὰ ἐπίτασιν. ἢ κατὰ Πορφύριον, ἀφ' ἧς οὐδεὶς ἐξυλεύσατο. ἣν ξύλοχον λέγει Ὅμηρος. Ἄξω, ἀγάγω, φέρω. καὶ ἄξω ἐνταῦθα, καὶ ἐκεῖσε. ἀπάξω δὲ, τὸ ἐκεῖ ἀπάξω.

Ἄξων, ὁ διάμετρος τοῦ κόσμου εὐθεῖα, διὰ τῶν πόλων ἐκβαλλομένη, μέσον μὲν ἔχουσα τὴν γῆν, τοὺς δὲ δύο πόλους πέρατα. καὶ περὶ ταύτην μένουσαν ἡ σφαῖρα στρέφεται. καὶ ἄξων, τὸ διὰ τῶν τροχῶν διϊὸν ξύλον, περὶ ὃ στρέφονται.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ο.

Ἀοζέου, διακονέου, ὑπηρετέου, ὑπουργέου. Ἄοζοι, πολύοζοι, παλαιὰ ξύλα καίοντες. λέγει δὲ τοὺς μαγείρους. ὄζος γὰρ, ὁ κλάδος. Ἀοία, δένδρα κατηλόμενα.

μος, ὁ λόγος, ὁ δίκαιος θεοῦ. Ἀντωπὸς, ἴσος, ὅμοιος, ἐναντίος.

Ἀντωδὴ ἡ ἀντιστροφὴ παρὰ τῷ Ἀριστοφάνει, ἐπειδὴ ἔστι τῇ ᾠδῇ ἡ στροφὴ, κατά τε τὰ κῶλα, καὶ τὰ μέτρα. ὡς τὸ παρὰ τῷ Ἀριστοφάνει, Ἀμφί μοι αὖτε φοῖβ' ἄναξ Δήλιε κυνθίαν ἔχων. Ἀντωμένη, ὑπαντήσασα, συναντήσασα, ἐντυχοῦσα, ἱκετεύσασα. Ἀντώμενοι, συμβαλόντες. Ἀντωμοσίαν λέγει Ἀριστοφάνης, γράμματα ἐν γραφαῖς περὶ ὧν ἡ δίκη, ὅ,τι κατηγορούμενος, καὶ ὁ κατηγορῶν ἀποφέρουσι πρὸς τὴν ἀρχήν. καλεῖται δὲ οὕτως, ἐπειδὴ ἑκάτερος αὐτῶν ἀντόμνυσιν. ὁ μὲν τἀληθῆ κατηγορήσειν, ὁ δὲ τἀληθῆ ἀπολογήσασθαι. ἄλλως. ἀντωμοσία, γραφὴ καθ' ἣν ἕτερος ὤμοσε, περὶ ὧν ἠδικῆσθαί φησι. διωμοσία δὲ, ὁ ἑκατέρωθεν γενόμενος ὅρκος ὑπὸ τῶν δικαζομένων. τῶν μὲν ὡς πράξαντα δίκαιον, τῶν δὲ ὡς οὐκ ἔπραξεν ἀποφαινόντων. ἐξωμοσία δὲ, ἄρνησις σὺν ὅρκῳ, ὡς ἀδυνατοῦντος, ἢ παρὰ καιρὸν ὄντος αὐτῷ τοῦ λειτουργεῖν.

Ἀντονομασία ἐστὶ, λέξις ἐπιθέτων ἢ συνεχῶν ὀνομάτων, ἐπὶ δὲ τὸ κύριον σημαίνουσα. ὡς ἐν τούτῳ, Πηλείδης δ' ἐξαῦθις ἀταρτηροῖς ἐπέεσσιν Ἀτρείδην προσέειπε. δηλοῖ γὰρ διὰ τούτων τόν τε Ἀχιλλέα, καὶ τὸν Ἀγαμέμνονα. καὶ πάλιν, Θάρσει τριτογένεια φίλον τέκος. ἐν ἄλλοις, φοῖβος ἀκερσεκόμης. τὸ μὲν γὰρ τὴν Ἀθηνᾶν, τὸ δὲ τὸν Ἀπόλλωνα δηλοῖ. Ἄλλως. Ἀντονομασία ἐστὶ, λέξις ἢ φράσις, διὰ τῶν ὁμωνύμων ὀνομάτων τὸ κύριον παριστῶσα. ὡς ὅταν δύο ὄντων ἐγνωσμένων ἀνθρώπων τὸ αὐτὸ κύριον ἐχόντων, θέλομεν ἐξ αὐτῶν ἑνὸς μνήμην ποιήσασθαι, καὶ οὐ λέγομεν κύριον ὄνομα διὰ τὴν ὁμωνυμίαν, ἀλλ' ἐκ τῶν συμβεβηκότων ὀνομάτων τὸν Χαλκέα, ἢ τὸν τέκτονα λέγοντες. εἰ δὲ σωματικὰ ἔχει πάθη, τὸν Χωλὸν, ἢ τὸν φαλακρὸν λέγοντες. καὶ πάλιν διὰ μὲν λέξεως φοῖβος λέγει, ἀντὶ τοῦ Ἀπόλλων. καὶ ἐννοσίγαιος, ἀντὶ τοῦ Ποσειδῶνος. διὰ δὲ φράσεως, οἷον, Λητοῦς καὶ Διὸς υἱὸς, ἀντὶ τοῦ Ἀπόλλων. ἐπεὶ δὲ τὴν ἔλλειψιν καὶ τὴν ἀντωνυμίαν ὑποστέλλει τῇ συμπλοκῇ. Ἀντωνυμίαι πρωτότυποι, οἷον, ἐγὼ, σὺ, ἓ, οὗτος, αὐτὸς, ἐκεῖνος, καὶ τὸ σφί, ἄρθροις οὐ συνάπτονται· παραγόμεναι δὲ συνάπτονται. οἷον, ὁ ἐμὸς, ὁ σὸς, ὁ ὃς, ὁ ἡμέτερος, καὶ ὁ σφέτερος. ὅταν μὲν οὖν φῶμεν ὁ αὐτὸς, οὐκ ἔστιν ἀντωνυμίαν φαμὲν, ἀλλὰ ὄνομα. δηλοῦμεν γὰρ τὸ ὅμοιον. οὐχὶ δεῖξιν προσώπου. Ἄντωπες, οἱ ὀφθαλμοί. ἐξ οὗ καὶ ἀντωπὸν οἱ ὀφθαλμοί. ἄντωπα, ἀντὶ τοῦ κατὰ πρόσωπον, ἐναντίως. Ἀντωπήσαι, ἀντοφθαλμήσαι. Ἀντωπὸς, λαμπρὸς, ἀντίος τοῖς ὄμμασιν.

Ἀνυδρευόμενος, ἐκ φρέατος ἀντλῶν. Ἀνυδρεύεσθαι, ἀντλεῖσθαι. Ἀνύδρευτος, ἄταφος, οὐ λελυμένος, οὐδὲ τῶν νομιζομένων τυχών. Ἀνύει, πληροῖ, ἀπαρτίζει. Ἀνυλάκιστα, κατὰ τὸν ὕλακα. Ἀνύμενος, ὁ μὴ ἔχων ἄνθη. Ἄνυμφον, κακόνυμφον. ὁ τὴν μὴ δικαιωμένην νυμφευθεῖσαν. Ἄνυμφος, ὁ μὴ ἔχων γυναῖκα. Ἀνύξιον, ἄβροτον. εὐκλείδης. Ἀνυπαίτιος, ὁ ἀμέμπτος. Ἀνύπαρκτον, τὸ μὴ ὑπάρχον. Ἀνυπέρβλητος, προὔχων. Ἀνυπέρβατον, ἀνυπέρβλητον. Ἀνύπεικτον, τὸ ἀνένδοτον, ἀνυποχώρητον. Ἀνύπνος, ἄγρυπνος. Ἀνυσσάλαο, ταχύτηλας. ἀπὸ τοῦ ζῆς ποτὶ ἀνύειν. Ἀνυπόδετος, οὐκ ἀνυπόδετος, ὁ γυμνόπους. Ἀνύποιστον, ἀφόρητον, ἀνυπομόνητον. Ἀνυπομένετον, ἀνυπόστατον, ᾧ βέλος τις. Ἀνυπόκριτος, ἄδολος, ἀπροσωπόληπτος, καὶ μὴ ἐν πλάσματι ὑποκριτῶν. ὡς ὁ Ἀπόστολος, Ἡ ἀγάπη ἀνυπόκριτος. καὶ μὴ πλάσμα ἀγάπης ἔσω. Ἀνυπόστατον, τὸ μὴ ἔχον ὕπαρξιν ἐν οὐσίᾳ, οἷον τὸ ἐνύπνιον. ἀνυπόστατον, καὶ ἀνύπαρκτον, καὶ φανταστικόν. ἢ ἀνυπόστατον, πᾶν τὸ μὴ ἐκ θεοῦ γεγονὸς, ἀλλ' ἐν οὐσίᾳ τοῦ κρείττονος ὑφιστάμενον. ὡς σκότος, νόσος, ἁμαρτία, θάνατος. καὶ ἀντὶ τοῦ ἀφόρητον. Ἀνυποστόλως, ἀνυποστάτως.

Ἀνύπουλος, ἀνύποπτος. Ἄνυσις, ἄδικος, ἀσεβής. Ἀνύστως, ταχέως. Ἄνυσις, τελείωσις, κατόρθωσις, δύναμις, πρᾶξις, ποιητικῶς. ἢ ἄνυσις, ἀνάβασις, πρᾶξις, αὔξησις, ἐπίδοσις, ὑπόθεσις, κατόρθωμα. Ἀνυσίμως, ἐνεργῶς, πρακτικῶς, τελείως. Ἄνυσαι, ἤνυσαι, καὶ ἀνύσειον, δι' ἀνύειν. Ἀνύσ[illegible]

κῶς, ἀντὶ τοῦ κακῶς. ἀνύω τὸ τελειῶ, καὶ ἀνύω τὸ μετὰ σπουδῆς τρέχω. Ἀριστοφάνης, Οὐ μέλλειν χρόνια, ἀλλ' ἀνύειν. ἀνύω τὴν ὁδὸν, ἀντὶ τοῦ τελειῶ. καὶ ἀνύω τὸ βραβεῖον, ἤγουν ἀποδόσας λαμβάνω.

Ἀνωφισῶτα, ἀνεκαθισῶτα. Ἀνύω, παρὰ τὸ ἄνω τὸ πράττω γίνεται. οἷον μάλα τίς ἄντει. καὶ οὐκ ἀνύω φθονέουσα, ἀντὶ τοῦ οὐδὲν ὠφελῶ πράττουσα. ἰστέον ὅτι τὸ ἀνύτω, καὶ ἀρύτω, ἀπὸ τοῦ ἀνύω καὶ ἀρύω γέγονε, κατὰ πλεονασμὸν τοῦ τ. τὸ μὲν ἀνύω ἀεὶ ἐν συστολῇ. τὸ δὲ ἄνω, διαφορεῖται κατὰ τὸν χρόνον. καὶ ἀνύω, τὸ πληρῶ. ἡ ἄνω, τὸ ἀπέχον πλέον τοῦ μέσου. Ἄνω, καὶ ἀνωτέρω, ἐπιρρήματα. ἀνώτερος συγκριτικόν, ὁ ἀνώτατος ὑπερθετικόν. ἄνω κάτω, ἔξω, πόρρω, δεῦρο, ὧδε, τῆδε, εἴσω, ποτὲ μὲν ἐπὶ στάσεως, ποτὲ δὲ ἐπὶ κινήσεως τίθενται. τὸ δὲ αὐτόθι, ἀεὶ ἐπὶ στάσεως. τὸ δὲ ἐκτὸς, ἐπὶ κινήσεως ἀεί. Ἄνωγα, μέσος παρακείμενος τοῦ ἀνώγω ἐνεστῶτος. καθὰ ἐκ τοῦ ἀνοίγω, τὸ ἀνέῳγα. Ἀνώγεων, τὸ οἴκημα, ἀνώγαιον καὶ κατώγαιον διὰ διφθόγγου καὶ μικροῦ.

Ἄνωγε. Λαοὺς δ' Ἀτρείδης ἀπολυμαίνεσθαι ἄνωγεν. ἐκέλευε, προσέταξε. τὸ θέμα, ἀνώγω, συζυγίας πρώτης τῶν περισπωμένων. ἐξ οὗ γίνεται ἀνωγῶ. τοῦτο παρὰ τὸ ἄνω, τὸ ἐγκελευσματικὸν ἐπίρρημα. ἢ παρὰ τὸ ἄγω ἀγῶ, ἀγῶ. καὶ ἀνωγὴ ἡ ἐγκέλευσις, δι' ἧς ἄγομεν καὶ φέρομεν. ὁ παρατατικὸς, ἤνωγον. τὸ τρίτον ἤνωγε. διέξαι δὲ ἀνώγει ὦ ξεῖνε. ὁ μέλλων, ἀνωγήσω. ὁ ἀόριστος, ἠνώγησα. ὁ δεύτερος, ἤνωγον ἤνωγες ἤνωγε, καὶ κατὰ συστολὴν ἰωνικὴν ἄνωγε. ἢ ἐκ τοῦ ἀνώξω μέλλοντος, ὁ μέσος παρακείμενος ἄνωγα. καὶ ὥσπερ ἐκ τοῦ πέπληγα μέσου παρακειμένου ἐγένετο ῥῆμα πεπλήγω, οὕτω καὶ ἀπὸ τοῦ ἄνωγα μέσου παρακειμένου, γίνεται ῥῆμα ἀνώγω. τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, τὸ ἄνωγα. ὡς τὸ, Πλαθεῖν δὲ ποτὶ νῆας ἀνώξομεν. ἡ ἄνωγε μέν τι, ἀντὶ τοῦ ἐκέλευε προπαροξυτόνως. οἷον, Παιήονα ἄνωγεν ἰέσθαι. ὁ καὶ ἀνώγει γράφεται, ἀπὸ τοῦ ἀνώγω ῥήματος. οὗ μέλλων, ἀνώξω. ἐπὶ δὲ τοῦ ἐνεστῶτος προπερισπᾶται. οἷον, Οὔτις θεὸς ἄλλος ἀνώγει. ἐκ τοῦ ὑγρῶς ἔχειν ἀνώγειν, κατέχει, ὑπὸ λόγου τῶν τοιούτων τροχαϊκῶν.

Ἀνωγὴ, ἡ παρακέλευσις. Ἀνώγεω, καὶ ἀνωγέω ἀνωγῶ, γράφεται διπλῶς. Ἀνωδόρκας, βρύαχος ὁ ἰχθὺς, ὑπὸ Θηβαίων.

Ἀνωδόρκη, ἰθμώξ, ἐκλάμψη. Ἄνωθεν οἱ φίλος εἰμί, ἀλλ' οὐκ ἀπὸ ἀρχῆς. τὸ γὰρ ἀπ' ἀρχῆς, ἐπὶ τόπου λαμβάνουσιν οἱ Ἀττικοί. ἄνωθεν τοῦτο ἔφησε, καὶ κάτωθεν τόδε εἴρηται. ἔστι δ' ὅτε καὶ τὸ πόρρωθεν λαμβάνεται ἀντὶ τοῦ ἄνωθεν. ἐπεὶ τὸ πόρρωθεν διπλῶς λαμβάνεται παρὰ τοῖς ῥήτορσι. λέγεται μὲν γὰρ πόρρωθεν, καὶ ἀντὶ τοῦ πρὸ πολλοῦ, καὶ ἐκπαλαι, τῷ ὅπερ ἁρμόττει τὸ ἄνωθεν. λέγεται δὲ πόρρωθεν, ἀντὶ τοῦ μακρὰν ἐπὶ κινήσεως. καὶ ἄνωθεν ἐκ τόπου, ἢ χρόνου. Ἀνωθοῦσαν, ἐπὶ τὰ ἄνω κινοῦσαν. Ἄνωθεν, ὀξύν. Ἄνω ποταμῶν, παροιμία ἐστὶ λεγομένη, ὅταν τἀναντία ὧν ἐλπίζει τις ἀποβῇ. καὶ ἐπὶ τῶν σκαιουμένων διαπράξασθαι καὶ ἀγαθὸν μὲν δοκοῦν, εἰς αὐτὸ τοῦτο πρὸς κακὸν ἀποβῇ. ἀπειλεῖται δὲ ἡ παροιμία, ἀπὸ τοῦ τῆς φαίδρας Εὐριπίδου. φάσκοντος, Ἄνω ποταμῶν χωροῦσι παγαί. ἀντὶ τοῦ, ἅπαντα τἀναντία γεγόνασι τῶν ἐλπιζομένων.

Ἀνώιστον, τὸ ἀνέλπιστον. καὶ γίνεται ἐκ τοῦ οἴω τὸ ὑπολαμβάνω, καὶ τοπῶ. ἔπαθεν δὲ τροπὴν τοῦ ο εἰς ω. Ἀνωίστως, ἀνυπονοήτως. καὶ ἀγνώστως, ἢ ἐξαιφνῆς. Ἀνωκισμένος, ἐν τῷ ἀνωτάτῳ γενέσθαι, ἄνω οἰκῶν. Ἀνῶπται, κυλίεται.

Ἄνω κάτω, τὸ πάντα λίθον κινεῖν. ἢ ἐπὶ τῶν τὴν τάξιν μεταστρεφόντων. Ἄνω κοιλία. παρὰ τοῖς ἰατροῖς λέγεται, ἢ τὰ ποτὰ καὶ τὰ σιτία δεχομένη. Ἀνωκωλόμενον, ἔλεον.

Ἀνωμίσατο, ἀντὶ τοῦ ἀπηνίσατο. καὶ ἀπεχώρησαν, παρὰ τῷ Ἀριστοφάνει. Ἀνωλέθρευτον, ἀδιάφθορον. Ἀνώλεθρον, ἀδιάφθορον, ἀπόλλυτον. ὄλεθρος γὰρ ὁ θάνατος, καὶ ὁ φθόρος. Ἀνώλιως, ἰσχυρῶς. Ἀνώμαλον, ἀνίσαστον.

Ἀνώμοτος, χωρὶς ὅρκου. Ἀνωμαλία, ἡ τραχύτης.

Ἄνωμος,

σαι, ἀντιπαθοῦσαι. Ἀντιτυπία, ἀντίστασις, σκληρότης. λαμβάνεται δὲ καὶ ἐπὶ ὁμοιότητος ἐν ἐπιγράμμασι, καὶ λίθον ἀντιτύπῳ κρούσματι πυρστοτόκον. Ἀντίτυπον, τὸ σκληρὸν, καὶ τὸ ἀντιβαῖνον τῇ ἁφῇ. καὶ ἀντίτυπα, τὰ μετακεχαραγμένα, καὶ τὴν αὐτὴν τύπωσιν ἔχοντα. ἀπὸ τοῦ τύπου. Ἀντιφέρνα, ἡ ζώνη παρὰ συρακουσίοις. παρὰ τὸ φέρω, ὃ δωριεῖς φάρω λέγουσιν. ὡς τί μοι τὰ μῆλα, καὶ τρία φάντι. εἰ δὲ παλλακὴν, ἄλλοι μητρυιάν. Ἀντιφθὶς, ἐναντίον. Ἀντίφασις, ἀντικείμενον, κατάφασις καὶ ἀπόφασις. ἡ μάχη καταφάσεως. μέσον γὰρ λαμβανομένη τῆς καταφάσεως καὶ ἀποφάσεως, μίαν ἀληθῆ ποιεῖ, τὴν δὲ ἄλλην ψευδῆ.

Ἀντιφάτης, καὶ ἀντιφατικὸς λέγεται, ὁμοίως τῷ γαργάρης καὶ γαργαρικός. καὶ ἀντιφάτης, ἐκαλεῖτο ὁ τῶν λαιστρυγόνων βασιλεύς.

Ἀντιφερισθῇ, ἀντικατασταθῇ. ὁ ... λέγεται ἀντιφερίζειν. γίνεται δὲ παρὰ τὸ ἀπ' ἐναντίας φέρεσθαι. Ἀντιφερίζειν, ἐξισοῦσθαι, ἀντιοῦσθαι, ἐρίζειν, ἐναντιοῦσθαι. οἱ δὲ ἀντιλέγειν. Ἀντιφῆς, ἀντὶ τοῦ ἀντιλέγεις. Ἀντιφιλοτιμούμενος, πρὸς τὴν οἰκείαν ἕκαστος ὁ, ὥσπερ φιλοτιμίαν, καὶ δόξαν. Ἀντιφονικός. μέρος τῆς πολιτικῆς ... Ἀντίφρασίς ἐστι, λέξις διὰ τοῦ ἐναντίου τὸ ἐναντίον σημαίνουσα. ὡς ὅταν τις τὴν τυφλὸν πολυβλέπουσαν εἴπῃ, ἢ τὴν αἰθίοπα μαργαρίτην καλέσῃ. καὶ πάλιν διὰ τὴν ἐναντίαν ἀντιφράζεται οὕτως, ἐπεὶ σὺ μὲν ἀφαυρότατος βάλλ' ἀχαιῶν, ἀεὶ ἰσχυρὸς ... καὶ, Οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν ἀχιλλεύς. ἀντὶ τοῦ ἐλυπήθη, καὶ ἐλυπήθη. ἐνίοτε καὶ αὐτὸ προστίθεται τὸ ἐκ τοῦ ἐναντίου. οἷον, οὐχ ὁ ἥκιστος τὴν καλὸν πράττει. ἐντεῦθεν δηλοῦται, ὅτι ὁ ἄριστος ἢ οὐκ ὀλίγον καιρὸν ἐστίν. τὸ δὲ δηλοῦν, διὰ πολλῶν. διὰ δὲ τοῦ προκειμένου, τὰ ἀπ' εὐφημισμοῦ λεγόμενα. ὡς ὅταν λέγωμεν τὸ μὴ δ' ἐλθόντα, ἄλλων ἐλθόμενον, καὶ τὰς ἐριννύας, εὐμενίδας. καὶ τὴν χάροντα τὴν λύπης ποιητικὸν, καὶ τὴν δυσώδη, καλλίαν, ἢ ὀσμιώτατον. ἢ τὸν σκαιὸν, εὐώνυμον. καὶ τὸ πάνυ θερμὸν, ἄγαν ψυχρὸν, καὶ τὰ ὅμοια. Ἄλλως. Ἀντίφρασίς ἐστι, λέξις τὸ ἐναντίον καὶ τὸ παρακείμενον σημαίνουσα. ὡς ἐν τούτῳ, Οὐδ' ἄρα τώγ' ἰδὼν γήθησεν ἀχιλλεύς. βούλεται γὰρ εἰπεῖν τὸ ἐναντίον, ὅτι ἰδὼν αὐτοὺς ἐλυπήθη. διὰ ἐναντίου τὸ ἐναντίον σημαίνουσα ἐστὶν ἀντίφρασις, ὡς ὅταν τὴν τυφλὸν εἴποι τις, πολὺ βλέποντα, ἢ τὸ ὄξος. Ἀντίφρουροι, οἱ τὴν ἴσην ἔχοντες φρουράν. Ἀντιφυλάττεται, φυλάττεται. Ἀντιφῶν, εἷς τῶν δέκα ῥητόρων. φιλοσόφου μὲν υἱὸς, ἀπὸ τῆς φυλῆς δὲ ῥαμνούσιος. Ἀντιφωνοῦσι, ἐγγυῶμαί σοι. σημαίνει καὶ τὸ ἀντιλέγω. Ἀντίφωνα, σύμφωνα. Ἀντίχειρ, ὁ μέγας τῆς χειρὸς δάκτυλος, ἢ διὰ ἀντίκειται τοῖς ἄλλοις, ἢ ὅτι τὴν ἴσην δύναται τῇ ὅλῃ χειρί. Ἀντιχεῖσθαι, προσεῖσαν, ἀντιλαμβάνειν. Ἀντίχορδα, σύμφωνα, σύγχορδα, ἰσόχορδα. Ἀντίχειρας, ἔνια τῶν βαρβάρων ἐθνῶν, τοὺς ἀντίχειρας ἀποκόπτοντα τοῖς γονεῦσι, καὶ τοὺς δακτύλους ἐκτείνοντα, προσκυνοῦσι τοὺς ἡγεμόνας αὐτῶν. Ἀντιχάλκωμα, μέρος τι τῆς μακρᾶς νεώς. Ἀντίχορνοι, σωφρόνες. Ἀντιψάλλων, ἀντὶ τοῦ ἀνακρούων. ψαλμὸς δὲ κυρίως, ὁ τῆς κιθάρας ἦχος. Ἀντιψάλμους, ἀντιφόνους. Εὐριπίδης ἰφιγενείᾳ τῇ ἐν ταύροις. Ἀντίψοχοι. οὕτω καλοῦνται οἱ μίμησον ὄρνιθες. Ἀντλοῦσα. ἐστὶ δευτέρας συζυγίας τῶν περισπωμένων, καὶ ἔστιν ὁμώνυμος ἡ λέξις. ὅτι μὲν δηλοῖ τὸ ἀπολαύω, γενικῇ συντάσσεται. οἷον, ἀντλοῦν ταύρων τε καὶ αἰγῶν. ὅταν δὲ τὸ δεικνύω καὶ λαμβάνω, αἰτιατικῇ. οἷον ἐμὸν λέχος ἀντλήσουσαν. ὅτι δὲ τὸ σημαντικῶ, δοτικῇ. ἐστὶ δὲ πλεονασμὸς τοῦ ὃ ἐστὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, κατὰ τινάς. οἷον ἀντλέω ἀντλῶ, καὶ ἀντλέα. Ἀντλεῖν, τὸ συνεχῶς ἐρείδεσθαι. ἀντλῶ, ἀντμῶ, ὁ, ... καὶ ἀρύτομαι. λέγεται καὶ τὸ ἀντλεῖν, καὶ ἐκχεῖν. οἷον, ἀντλεῖ δὲ ἀπὸ φρέατος ὕδωρ, ἤγουν συνεχῶς ἀρύεται καὶ ἀντλεῖ. ἐκ τοῦ ἀντλούμενον, ὥστε ταυτὶ συνάγεται, ὥσπερ αἷμα καὶ δῶρον. καὶ ἀντλεῖν ἀμφοτέραις, λείπει χερσί. παροιμία ἐπὶ τῶν ... Ἀντλεῖς ἐκ πίθου, παροιμία παρὰ θεοκρίτῳ, ἐπὶ τῶν ἐν περιουσίᾳ ζώντων. ἀφθόνως φασὶ καὶ πλουσίαν ἀπόλαυσιν τῶν πραγμάτων. Ἀντλείτῃ, ἐλκύεται. Ἀντλητὴρ, κάδος ναυτικός. Ἀντλία, ἡ τοῦ πλοίου κοιλία. τὸ σκαφίδιον ἢ κοιλὰς ἐκ τῶν ἐχόντων τὰς δεσμίδας ... καὶ ἀντλία, ἡ σκαφὴ, ἐν ᾗ ματεύουσι, καὶ ὁ κάδισκος. Ἄντλον, κάδον, ἀντλητήριον. λέγεται δὲ καὶ ἡ θάλασσα, καὶ ἡ ... τῶν πραγμάτων. Ἀντλεῖ, γεμίσας. Ἀντλῶ, ἀναπλῶ. Ἀντίσωμον, ἀντιπροσώπουν, ἀντιλύσομεν. Ἀντιμῶσι, ὑπαντῶσαι. τῷ ἀντιάσαι. ἀπὸ βαρυτόνου ῥήματος γίνεται τὸ ἄντω, καὶ δηλοῖ τὸ συναντήσασθαι. οἶδεν Ὅμηρος καὶ περισπᾶσθαι τὸ τοιοῦτον ῥῆμα. ὡς δηλοῖ τὸ, καὶ κ' ἐγὼ ἀντιάσω. πολλὰ δὲ καὶ ἄλλα οὕτω διαφορεῖται. ὥσπερ ... ἀνθρώπων. καὶ, οὐδέ τι μ' αἰδέονται. καὶ τὸ κοινῶς μὲν λεγόμενον ὀφρυᾶσθαι, ἄλλως δὲ ὀφρυοῦσθαι. ὡς ἐλέλικτο τὸ κόρυμβος ὀφρύεται, καὶ ἀναπαύεται. Ἀντόμενος. ἐναντίως αὐτῷ συναντήσας ὁ Ὅμηρος, τὸ ἄντω βαρύτονον. ἐξ οὗ τὸ ἄντομαι, καὶ ἀντόμενος. οἱ μέντοι μετὰ Ὅμηρον περισπῶσιν, ὡς τὸ βοῶ. Ἀντόμης, συλλοχίσας. Ἀντομοῦσαι, παρακαλοῦσαι. Ἀντοὶ, αἱ τῶν χειρῶν φοραί. Ἄντος, ὕβρος. Εὐριπίδης. Ἀντοφθαλμεῖν, ἀντιβλέπειν, ἐξεναντίας βλέπειν. Ἀντόφρυς, βοτάνης εἶδος. Ἀντραχνία, σκοτεινὰ σπήλαια. Ἀντρίσας, ἀναφοβηθείς. Ἄντρον, τὸ σπήλαιον. κυρίως ἐπὶ τῆς ξηρᾶς, καὶ ἐφ' ᾧ πηγή. ἐπὶ δὲ θαλάσσης, ὁ ὑποσκαπτόμενος ἀπὸ τῶν κυμάτων, λέγεται σπιλάς. ὁ δὲ ἐπανεστηκὼς, προβλής. ὁ ὑπὸ τοῖς κύμασι δὲ πέτρα, λέγεται ἕρμαδος. ἄντρον δὲ λέγεται τὸ σπήλαιον, ἀπὸ τῶν ἄνω τετράφθαι. ἄντρον, τετρημένην εἶναι. Ἀντριάδες, σπηλαιάδες. Ἀντρώδων, ἀνακάμπων, ἢ σπηλαίων. Ἀντρῶνα, τοὺς μὲν βαρυτονοῦσιν, ὡς τὸν ἴτωνα. τοὺς δὲ, ὀξυτονοῦσι φασιν, ὡς πυλῶνα. Ἡρωδιανὸς δὲ φησιν, ὡς πλαγιῶνα. ὠνόμασαι δὲ οὕτω, διὰ τὸ τοὺς ἐκεῖ τόπους ἀντρώδεις, τουτέστι σπηλαιώδεις, καὶ ὑπονόμους εἶναι. ὁ δὲ τὰ ἱστορικὰ συλλέξας, καὶ τὴν ἐν περιβολαῖς ἀντρῶνα ὄνομα, ἐντεῦθεν εἰρῆσθαι λέγει. εὐφυεῖς γάρ φασι πρὸς μύλωνας ἔχει λίθους. ὅθεν κατὰ τοῦτον τὸν λόγον ἀντρώνιος ὄνος, ὃς πρὸς ἀλετὸν δεξιός. καὶ ἀντρῶνα, ἢ ἀντρῶνες, πόλις ἐν θετταλίᾳ. Ἄντυ, ἄντα. ῥόδιοι.

Ἄντυα, τὸ περικέφαλον. Ἄντυγος, τῆς περιφερείας τοῦ ἅρματος. Ἀντυγώνοισι, οἱ τοῦ ἅρματος τροχοί. Ἄντυγες, αἱ περιφέρειαι τοῦ ἅρματος, οἱ τροχοί. Ἀντυγωτὸς, συνδεδεμένος, ἐπειδὴ αἱ ἄντυγες καταδέονται. παρὰ τὸ ἀντυγοῦ ῥῆμα. Ἄντυξ. λέξις λέγεται οὐ μόνον ἐπὶ ἅρματος, ἀλλὰ καὶ ἐπὶ τοῦ κιθάρας, κατὰ τοὺς παλαιοὺς ὁ πῆχυς. καθ' ὃ σημαινόμενον ἄντυγα χορδῶν Εὐριπίδης φασὶν ἐν ... ἔνθα κεῖται ἡ ἄρβυλα οὐκ ἐπὶ ... ἐν τῷ αὐτῷ ... πόδας. αἱ δηλοῦσι τὸ περὶ ἄντυγα τοῦ ἅρματος μέρος. ἔνθα φασὶν ... ἔστι. δῆλον δὲ ὅτι ... ἄντυγα, καὶ ἴτυν, καὶ κύκλον, ἀρσενικῶς ἢ οὐδετέρως. καὶ ἀψῖδα, ἣν ἀψῖδα εἶπεν. καὶ τὴν οὐρανοῦ ἄντυξ, ὥσπερ καὶ ἀψῖς. εὕρηται Φοινικώτερον. καὶ ἄντυξ, Ὅμηρος, ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα, ἄντυξ ἣ πυμάτη θέεν ἀσπίδος ... λέγει δὲ καὶ ἄντυγα εἶναι ἐν τῇ τοῦ ἰατροῦ ἀσπίδι δέρμα, οὐ πρὸς ἀσφάλειαν ..., πρὸς τὸ ... μᾶλλον ὀρχαῖον, καὶ κατεσκευασμένον ὅπλισμα. φησὶ γοῦν τὸ ὅλον οὕτως. ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινὸν, ἄντυξ ἣ πυμάτη θέεν ἀσπίδος ὀμφαλοέσσης. καὶ σημαίνουσι τὸ κανόνα τοῦ σχήματος. ἐλθεῖν γὰρ εἰπὼν ἄντυγα, ὁ πυμάτη, τουτέστιν ὅπερ δέρμα ἔχοντι ἦν ἄντυξ. ὁ δὲ πρὸς τὸ ἄντυξ, ἐπαναφέρει τὸν κατὰ γένος σχηματισμόν. ... καὶ τὸ ἐγένοντο ... ἀεὶ πρέπει οἰκονομίας θεοῦ. καὶ ἐκλάσθη ὁ κάλαμος, ὅπερ ἐστὶ δίκη θεοῦ. καὶ ὅσα τοιαῦτα, γενομένης τῆς ἀπολύσεως ἐν τοῖς τοιούτοις, οὐ πρός τι πρᾶγμα προηγούμενον, ἀλλὰ πρὸς τὸ ... ἤγουν πρὸς τὸ ἄντυξ, ἢ πρὸς τὸ γένος, ἢ νόμος.

μέγας ἰσὸς. ἢ ναῦς, ἤγουν πλοῖον. ἐπὶ δὲ φιάλης, ἴσως διὰ τὸ ἐοικέναι στρογγύλῳ πλοίῳ. Ἀντίθετα ἰδίως. οὐκ ἐναντιώτατα ἀεὶ σημαίνει, ἀλλὰ τὸ ἁπλῶς, ἐκ τῶν ἔμπροσθεν συνιστάμενα. Ἀντίφρων, ἐναντίον φρονῶν. Ἀντιοχεῖ, ἐναντιοῦται. Ἀντίοχις, ὄνομα φυλῆς. Ἀντιόων, ὑπαντῶν, ἢ μεταλαμβάνων. Ἀντιόωσαν παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ λαμβάνειν ἁπλῶς, κατὰ μεταφοράν. ἀπὸ τῶν ὑπαντώντων καὶ ὑποδεχομένων ταῖς χερσίν, ἐπὶ δεξιώσει καὶ λοιπῇ διὸ καὶ πρὸς αἰτιατικὴν λέγεται, ὡς παρὰ Πινδάρῳ, ἢ ἀντιόωσαν ... σημείωσαι τὴν λέξιν, ὡς σαφηνῶς τὸ μετέχειν ... ἀντιᾶν, ἢ ἀντίον γίνεσθαι. Ἀντιόωσιν. Ὅμηρος, ἐμὸν μένος ἀντιόωσι. τοῦτο δ᾽ ἀντιάᾳ εἰπεῖν, ἐμὸν λέχος ἀντιόωσαν. καὶ ἔστιν ἰδεῖν τὸ ἀντιλαμβανόμενον ἐπὶ τοῦ συναντᾶν, δῆλον ὅτι λέγεται ἐπὶ τοῦ ἀπαντᾶν. ὡς τὸ, ἀντιόων ἑκατόμβας. καὶ ἐπὶ τοῦ ἐπιμελεῖσθαι ἀξιοῦν, ὡς τὸ, ἐμὸν λέχος ἀντιόωσαν. Ἀντιπαγὲς, τὸ ἐναντίως συμπαγές. Ἀντίπαις, ὁ ἐγγὺς ὢν τοῦ ἔφηβος γίνεσθαι, ὁ τὴν παίδων ἡλικίαν ... οἱ δὲ ἀντιπαῖδας, τὸν πρόσβον καὶ ... καὶ ἀντίπαις, ὁ ἴσος παῖς. Ἀντίπαλος, οὐ μόνον τὸν ἐξ ἐναντίου πάλην ἐρίζοντα, ἀλλ᾽ ὥστε καὶ τὸν ἴσον, ὡς οὕτω λεγόμενον ἰσοπαλῆ. καὶ ἀντίπαλος, ἐπὶ παλαιστρῶν. ἀντήλικος, ἐπὶ ἡλικίας. ἀνταγωνιστὴς, ἐπὶ παντὸς ἀγῶνος. ἀντίβιος, ἐπὶ μάχης. ἀντίτεχνος, ἐπὶ τῶν ἐναντίως ἐχόντων τεχνιτῶν. Ἀντιπαλαίειν, ἀντιπαλεῦσαι, ἀνταγωνίσασθαι. Ἀντίπατρον, ὄνομα φιλοσόφου. Ἀντιπελαργεῖν. πελαργὸς, ζῶόν ἐστιν, ἀφ᾽ οὗ ἀντιπελαργεῖν, καὶ ἀντιπελάργωσις, ἐπὶ τοῦ ἀποδιδόναι χάριν ὑφ᾽ ὧν εὖ ἐπάθομεν ... διὰ τὴν τῶν πελαργῶν πρὸς τοὺς πατέρας, ὅταν γηράσωσι, κηδεμονίαν, καὶ ἀντίδοσιν τῆς γενέσεως αὐτῶν, καὶ ἀνατροφῆς. Ἀντιπέμπει, τὸ ἐξ ἐναντίας πέμπει. ἤγουν εἰς τοὐναντίον καὶ ἐξ ἀντιστροφῆς πέμπει. αἰτιατικῇ συντάσσεται. Ἀντιπέρα, τὸ ἐν τῷ πέρα, ἢ ἀντικρύ. πέρα τῆς θαλάσσης, ἐξ ἐναντίου. Ἀντιπέραια, πεδινὴ μέν ἐστι ἡ παραλία, αὐτὴ δὲ παρήκει ἀπὸ τῆς ... ὡς γὰρ ... οὕτω καὶ περαία ... ὁ δὲ Πορφύριος λέγει, ὅτι τὰ ἀντικρὺ τῶν νήσων βούλεται λέγειν ... κατάλληλα καὶ ἀκαρπίαν. ἐνθάδε φασὶν ἀντιπέραια, τὰ ἐξ ἐναντίας τῆς Ἤλιδος κείμενα χωρία. Ἀντιπέρας, παροξυτόνως ἀναγνωστέον. ὄνομα γάρ ἐστι θηλυκὸν γενικῆς πτώσεως ... ἀντιπέρας ... Ἀντιπεριθεῖν, ἐξ ἐναντίας. ὥσπερ αὐτὴ ἡ θρὰξ τῷ λόγῳ. Ἀντιπεριλαχεῖν, ἀντιπεριφορεῖν. Ἀντιπερίστασις, ἀντικίνησις. Ἀντιπεποιθέναι ... Ἀντιπεφρασθαι, ἀντιτεθεῖσθαι, ἀνταιρεῖσθαι. Ἀντιπεφυκότων, ἐναντίως πεφυκότων. Ἀντίπηγα, κύκλω. ... Ἀντίπηξ, τὸ κιβώτιον. παρὰ τὸ ἀντὶ ... καὶ τοῦ ... τὸ πηγνύω. Ἀντιπίπτει, ἀντίκειται.

Ἀντιπιφαύσκω, ἀνταποδείκνυμι. Ἀντίπλασον, Σοφοκλῆς ... πατὴρ δὲ ποταμὸς ... τὴν ἀντίπλασον ἔχει νόμον ... ἀντὶ τοῦ ἰσόπλασον, ὅμοιον. Ἀντίπαιδος, ... Ὅμηρος ὀδυσσείας χ. τοῦτο ἐστι ἀντὶ παιδός. εἰς παρθενίαν ... ἀντὶ κακοῦ ... κακόν. ἣν δὲ σοφὸς ... ὁ καταρξάμενος ... ὅς καὶ ... ὡς ἐκ τοῦ κατακλυσμοῦ ... καὶ ... ὡς ἐκ τοῦ οὕτως ἐγὼ ... Ἀντιποιοῦμαι τῆς ἀρχῆς, καὶ ἀντιποιοῦμαι βασιλείας τῆς ἀρχῆς. Ἀντιπολίμιος, πολέμιος. Ἀντὶ πολλῶν λαῶν ἐστὶν ἀνὴρ, ὅντε Ζεὺς κῆρι φιλήσῃ. ἀντὶ τοῦ, ἰσότιμος ὁ εἷς ἀνὴρ πολλοῖς, ὅταν ᾖ θεοφιλής. Ἀντιπράττει, ἀντιμάχεται, ἐναντιοῦται. Ἀντίπρεμνα, τὰ ἐκφύματα ἢ ἐκ ... Ἀντιπροῖχον, ἀντιδοῦναι. Ἀντιπροκλήσεις, ἀντιλογίαι, ἀντεγκλήματα. Ἀντίπρωρα, ἀντιπρόσωπα. πρῶρα γὰρ τὸ πρόσωπον. καὶ ἀνδρόπρωρον, ἀνδροπρόσωπον. Ἀντίπτωσις ἐστιν, ἀπόλεσις τοῦ ἰδιότητος. πτῶσις ἀντὶ πτώσεως. τρία ζητεῖται ἐν ἀντιπτώσει, τὸ ὑποκείμενον, ἰδιότης. ἐπεὶ ἡ πτῶσις ἀντὶ πτώσεως

τίθεται. οἷον τῶν πόλιν, τὸ βλέπω, ἐμαυτὸν λέγειν. Ἀντίπυργος, ἰσόπυργος, ἴσον κατὰ τὸ ὕψος τοῦ μήκους, τὸ ἀντικαθημένον. Ἀντίῤῥοπον, ἀντίῤῥιζον. οἱ γὰρ βοτάνης εἶδος. Ἀντίῤῥησις ἐστι, λόγος τὸν πιθανὸν ἑτέρου λόγου διαβάλλων. Ἀντίῤῥοπον, τὸ ἀντισταθμον, ἰσόζυγον. Ἀντιῤῥυῇ, ἀντὶ τοῦ ἀνακινήσῃ. Ἀντισηκοῦντα, ἐξισάζοντα, ζυγοστατοῦντα. ἐκ τοῦ ἴσος ὀνόματος, γίνεται ῥῆμα ἰσῶ. ὁ μέλλων ἰσώσω, ἰσώκω. καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν ἰσηκῶ καὶ ἀντισηκῶ. ἢ παρὰ τὸ σηκῶ. ὃ σημαίνει τὸ ἰσχύω. ἐξ οὗ καὶ σηκὸς, ὁ ἰσχυρός. σηκὸς ἑρμαῖος, σηκὸς δὲ ὁ ἑρμῆς.

Ἀντισήκωσις, ἡ ἀνταπόδοσις, διόρθωσις, ἰατρεία. Ἀντισηκῶ, τὸ ἀντισταθμίζω. Ἀντισπᾶται, ἀντιβάλλεται. Ἀντισπᾶν, ἐναντιοῦσθαι. Ἀντισσαμία, πόλις τῆς ἐν Λέσβῳ. Ἀντιστάτης, ὁ ἀνθιστάμενος ἐν τῇ μάχῃ. σημαίνει δὲ καὶ ἐναντιωτικόν. Ἀντιστῆναι, διαλελεγμένος ἐφ᾽ ἑαυτὸ ἵστασθαι, καὶ ἄντα εἶναι. τὸ δὲ ἄντα, ποιητικὴ λέξις. Ἀντιστηρίζει, βοηθεῖ, ἀντιλαμβάνεται.

Ἀντιστοιχεῖ, ἀνταλλάξεται. Ἀντιστοιχεῖν, κατὰ στοῖχον ἑστάναι. Ἀντίστοιχον, τὸ ἴσον. Ξενοφῶν γὰρ ἀντίστοιχον φησὶν ἵχνος, τουτέστιν, ἴσον γενικῶς ἀντιστοίχως. Ἀντίστομος, παρὰ τὸ τακτικὸν τάξις, ἡ ἐξ ἑκατέρου μέρους ἔχουσα τοὺς μαχίμους. Ἀντιστρατευόμενον, ἀνθιστάμενον. Ἀντιστρέφω, ἀνταξιῶ. Ἀντιστροφὴ δέ, τὸ ἐναντίον ἐπαναφορᾶς. ὡς ὁ ἐκεῖνα ἀπὸ τῆς αὐτῆς ἀρχῆς, οὕτως καὶ αὕτη εἰς τὸ αὐτὸ λήγει. Ἀντιστρόφως, ἀντὶ τοῦ ἰσοστρόφως.

Ἀντίσχαδον, τὸ μονωτὸς ἄριον. Ἀντίσχειν, ὑπομένειν. ἀντέχειν γὰρ δεῖ ζῆν μὴ διωνθέντας, ὑπομονητικὸν. Ἀντισχέσθε φαρέτρας ἰῶν, ἀντὶ τοῦ προβάλλεσθε ἄντα, ἢ ἄντην. καὶ ἐξ ἐναντίας τῶν βελῶν, ἔχετε δίκην ἀσπίδων. Ἀντιτάξειν, ἀντὶ τοῦ ἀντιτάσσειν, ἀντιπαραστῆναι, ἀντίστημι. Ἀντιτάλαντον, ἀντίσταθμον, ἴσον. Ἀντιτάσσεται, ἀντίκειται. Ἀντιτίθημι, τὸ ἀντισηκῶ καὶ ἀνθίστημι. ἀντιτίθεμαι, οὐκ ἔστιν, οὐδέ γε μὴν εὕρηται παρὰ τοῖς ἀττικοῖς, ὥσπερ οὐδὲ τὸ ἐπαντίθεμαι. Ἀντιτοίχως, ἀντιαντιπρούσως, καὶ ἀντιβαίνω, ὡς ἀν φαίνοιτο. Ἀντιτεχνεῖσθαι, ἀντικατασκευάσαι.

Ἀντιτιθέναι, τὸ παραθέσθαι βλέπειν, καὶ συγκρίνειν. ἁρμονίοις, δεῖ δὲ ἀντιτιθέναι τοῖς μάρτυσι τοὺς μάρτυρας. Ἀντίτιμα, τὰ ἄξια, τὰ ἀντίτιμα. Ἀντιτιμᾶσθαι, ὁ χρὴ παθεῖν ἐν τοῖς δικαστηρίοις, ἢ ἀποτίσαι τὸν ἁλόντα. Ἀντιτίμημα, ὁ ἀντιτίμησις. Ἀντιτίσασθαι, ἀνταποδοῦναι. Ἀντιτίσειν ἐκεῖνος, ἴσως ἐκτείσειν. Ἀντίτομον φάρμακον, ἀλεξητικόν. ὅπερ ὁ πιὼν οὐ βλάπτεται ὑπὸ ἰοῦ, ἀλεξιφάρμακον. Ἀντίτορον, ὄνομα κεῖται μὲν κυρίως ἐπὶ ξύλων, ἃ τρυπῶνται τρυπάνῳ. δηλοῖ δὲ τὸ ἄντικρυς τετορημένον, τὸ διόλου τετρυπημένον. ἐρεῖ δέ που ὁ ποιητής, καὶ ... τις, οἰκίαν ἀντίτορον. ἐκ δὲ τοῦ τορῶ κατὰ συγκοπὴν μὲν γίνεται τὸ τρῶ, τρήσω. κατὰ πλεονασμὸν δὲ, τὸ τετρημένα. ὡς τρήματα τετρημένα. ἐξ οὗ τὸ, τέτρηνα δ᾽ ἄρα πάντα. Ἀντιτορῆσαι, τὸ μὴ ἁπλῶς, ἀλλ᾽ ἀντικρὺ, καὶ ὡς εἰπεῖν διαμπὰξ τρυπῆσαι. καὶ ἔστι τὸ τρῆσαι τρυπῆσαι τὸ τρῆμα. ἀφ᾽ οὗ καὶ τὸ τρύπανον καὶ ἡ τρυπάνη, καὶ τὸ τρύπανον. Ἀντιτορήσας, διορύξας, κατασκάψας. Ἀντιτάττω, καὶ παρατάττω, τὸ ἕτερον τοῖς πολεμίοις μαχόμενον δηλοῖ, καὶ τάττω, αἰτιατικὴν καὶ δοτικὴν ἐφελκόμενον. οἷον, παρατάττει θεοῖς, θεβαίοις ... φιλίππῳ. παρατάττομαι δ᾽ ἐγὼ, κυρίως ἐπὶ πολέμου. ἀντὶ τοῦ, παρασκευάζομαι πολεμήσων. ὥσπερ δὲ καὶ τὸ ἀντιτάττω αἰτιατικὴν καὶ δοτικὴν, καὶ αὐτὸ ἐπαγόμενον. ὡς καὶ Σωσίστρατος, ταῦτα μὲν σὺν τῇ πληγῇ, σφοδρῶν ἀντιτάξεται ὁ θεός. ὁμοίως καὶ τὸ ἀντιτάττομαι, παρὰ τὸ ... παρατάττομαι. πλὴν τὸ μὲν παρατάττω καὶ παρατάττομαι, εἴποις ἂν κυρίως ἐπὶ πολέμου καὶ πλήθους. τὸ δὲ ἀντιτάττω καὶ ἀντιτάττομαι, καὶ ἐφ᾽ ἑνός. ἐπιτάττω καὶ προστάττω, τὸ αὐτό. καὶ ἐπίταγμα, καὶ πρόσταγμα. πλὴν ἀκριβέστερον τὸ ἐπιτάττω, καὶ ἐπίταγμα. ὡς καὶ Λυσίας, ἔλεγον ἀπέρχεσθαι τῆς τοῦ βασιλέως ἐπιταγμάτων. Ἀντιτυπῶ

γορ Ἀντιδικασίας ἀντιγραφὴ καλεῖται, ὅταν τις ὡς ἄπαιδος ὄντος τοῦ τετελευτηκότος ἑαυτῷ φάσκῃ προσήκειν τὸν κλῆρον κατὰ γένος Δεινάρχου. κοινῶς δ' ἐν ταῖς δίκαις ταῖς δημοσίαις, τὰ τῶν δικαζομένων γράμματα, ἃ ἐδίδοσαν περὶ τοῦ πράγματος. καὶ τὰ τῶν διώκοντος, καὶ τὰ τοῦ φεύγοντος ἀντιγραφὴ, καὶ τὰ μαρτύρια. Δημοσθένης ἐν τῷ περὶ στεφάνου, καὶ Ὑπερείδης. Πλάτων δὲ ἐν τῇ Σωκράτους ἀπολογίᾳ, τὸ αὐτὸ καλεῖ ἀντωμοσίαν, καὶ ἀντιγραφήν. Ἀντιγραφεὺς, ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι αὐτά. διττοὶ δὲ ἦσαν ἀντιγραφεῖς. ὁ μὲν τῆς διοικήσεως, ὁ δὲ τῆς βουλῆς. Ἀντιδιαστέλλεται, ἀντιμερίζεται. Ἀντιδιαστέλλεται, ἀντιδιαιρεῖται, ἢ χωρίζεται, καὶ ἀντιβάλλει. Ἀντιδικεῖν, τὸ ἐν δίκῃ ἀντιβαίνειν. Ἀντίδικός μοι κατέστη, καὶ ἀντίδικος πρὸς ἐμὲ καθέστηκεν. ὁ ἀντίδικος παρὰ τῇ θείᾳ γραφῇ, ὁ διάβολος, καὶ ἡ συνείδησις ἡμῶν, ἡ ἀντικειμένη ὑπὸ κακοῦ ἡμῶν θελήματος. κατὰ δὲ τὴν ἀπόδοσιν, ἐὰν ἡ συνείδησις ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν θεόν. Ἀντιδικῶν, κατηγορῶν, καὶ ἐναντιούμενος. Δημοσθένης, ὅπως ἀπεψήφισας ἂν ἀντιδικῶν δίκην μέλλων ὀφλήσειν;

[illegible]

Ἀντικρὺ, τὸ φανερῶς καὶ ὡς ὅλως ἐστὶ, ἐξ ἐναντίας, καὶ κατὰ ἀντιπρόσωπον. τὸ μὲν τῷ ἄντικρυς, τὸ καθ' Ὅμηρόν ἐστι, καὶ ἰσοφόρον σημασίαν ἔχει. ἡ ἀντικρὺ κατὰ τοὺς παλαιοὺς, ἀντὶ τοῦ διόλου. Θεὸς εἶπεν Ἀμφικρατίς. [illegible]

Ἄντικρυς καὶ ἀντικρὺ, διαφέρει. ἄντικρυς μὲν γὰρ λέγεται, ἀντὶ τοῦ φανερῶς. ἀντικρὺ δὲ περισπωμένως χωρὶς τοῦ σ, λαμβάνεται ἀντὶ τοῦ ἐξεναντίας, καὶ ἀντιπρόσωπον. οἷον ἀντικρὺ κάθηται.

Ἄλλως. Ἀντικρὺ κατὰ τοὺς παλαιοὺς γίνεται παρὰ τὴν ἀντὶ πρόθεσιν, καὶ τὸ κάρα. [illegible]

[illegible]

ἀνήροτον, καθαρὸν, ὑγιεινὸν λέγομεν. ὁμοίως, εὐήροτον, εὐηραὲς, εὐκαίρευν ταῖς ὥραις, εὖ ὥρας ἔχον, ἄριστα κεκραμένον, ἀναπνοὰς ἔχον, ἀναπεπταμένον, πνεύματα διαῤῥέοντα ἔχον, ἀνέμους διαθέοντας, εὔπνουν, ἀναψύχον, αὔραις διαπνεόμενον, εὐάερον, ἐλεύθερον, εὔσκιον, σκιερὸν, καλλίσκιον, ψυχεινὸν, εὐχείμερον, ἀλεεινὸν, ὑπόθερμον, εὐήλιον, ταῖς ὥραις δίκαιον, καλῶς οὐρανοῦ κείμενον, εὖ ἔχον, εὖ ἧκον ὥραν, καλῶς ἔχον πνευμάτων, αἴθριον, ἀνέφελον. εἰς τοὐναντίον, νοσῶδες, νοσῶδες, νοσερὸν, ἐπίνοσον, ἐπίκηρον, ἐπισφαλὲς, σφαλερὸν, ἐπικίνδυνον, κινδυνῶδες, φλαῦρον, δύσκρατον, βαρὺ, ζοφῶδες, σκοτῶδες, δυσφαὲς, ἀνήλιον, ἄχραον, ἄωρον ταῖς ὥραις, χαμαίζον, δυσχείμερον, κρυῶδες, κρυμῶδες, πνιγῶδες, πύκνηρον, συμπεφραγμένον, δύσπνοον, ἔμπυρον, πυρῶδες, φλογῶδες, καυματῶδες, ξηρὸν, πνιγηρὸν, ὑγρὸν, τελματῶδες, λιμνῶδες, κατάψυχρον, ὑλῶδες, κλυδωνῶδες, αὐχμηρὸν, αὐχμηρὸν, ἀνάμβροχον, νοσηρὸν, φθοροποιὸν, ἄζωον, δεινῶς, κακῶς ἔχον οὐρανοῦ, καὶ τὰ ἄλλα ὁμοίως. Ἄνισος, ὁ ἐκ διαίτης πολύπους, σκώληξ. Ἀνοήμων, παρὰ τὸ νόος, νῦν παρὰ τὸ νῦν τὸ πορεύομαι, καὶ μετὰ τοῦ σφαλερὸν, ἀνοήμων. Ἄνοσοι, οἱ μὴ ἐπιστρέφοντες εἰς ἄλλον. Ἄνοσος, ἀνεπιστρέπτους. νόσος γὰρ ἡ εἰς τὰ οἰκεῖα ἐπάνοδος. Ἀνοχὴν, ἀνοχήν. Ἀνίσωσιν, ἀθρόως. Ἄνθ, ὁ ἄνω. Ἀνούλαγοι, ἀνώλεθροι.

Ἄνοροι, ἄβρωτοι, ὑψηλοί. Ἄνους, ἄφρονες. Ἀνοδηγῶν, ἀντὶ τοῦ ἄνω ὁδὸν ἔχον. Ἀνόστεον, τὸ ἄνευ ὀστέων, καὶ ἀνόητον. Ἀνόητον, τὸ ῥῆμα λεγόμενον, ἐν οὐσίᾳ ἡ ὑποστάσει μὴ γενόμενον. οἷον, ὁ θάνατος, ὁ ἄλλος, ὁ πόνος. Ἀνούστατος, ἄγροικος, μωρὸς, ἀσύνετος. Ἀνούτατος λέγεται, ὃ δὲ μὴ τὸ ἐν διακὸν πρόβολον, ὁ ἀπὸ τῆς μητρὸς οὐκ ἔχει τὴν ἐγγὺς φύσιν. νῦν γὰρ ἀμφὶς ἡ βολὴ γυμνῶς. Ἀντανεῖ, ἄνω ψύσεως. Ἀνοχὴ, ἀναβολὴ. Ἀνοχλίζω, τὸ ἀνέχω. παρὰ τὸ ὄχλος. Ἀνοχὴ, ὁ ἀναμονὴ, ἡ μακροθυμία. Ἀνοχλίζειν, ἀνακινεῖν. ἐκλίνως ἐν τῷ ἀνακλίζειν, καὶ ἀνακινεῖν τὰ κάτωθεν καὶ τοὺς λίθους. Ἀνοψίη, ἀπορία τοῦ ὄψου. Ἀνοψοφεῖν, τὸ μὴ βλέπειν. Ἀνσφαλεῖν, βραδύνειν. Ἀνσυμβίβασθ, τὸ μόνον πρὸς τὸν σῶμα. Ἀνσχὸς, καὶ ἀνισάσθαι, ἀντὶ τοῦ ἀνισοῦν, κατὰ συγκοπήν. Ἀνσχὸν, ἀνάσχον. Ἀνσχὼν, ἀνύσσαι. Ἀνσχὼς. Ἄνχιζα, ἀνάχιζε, συγκέκληται. ὡς ὁ ἀμφελὸν, καὶ ὁ ἀμπελος, ἔτι ἀνάπαλος, ἔτερον ἀναλογισμὸς. ὁ ἐκ λαζύρου καὶ ἄλλος, ὃ ἐπὶ κλῆρος. Ἀντανιλιος, πεῖσιν ἀπὸ τοῦ ἄλλου.

Ἀντα ἀλεξάνδροιο, ἀντὶ τοῦ ἀντία. κατὰ συγκοπήν. Ἀνταγορίδαι, γένος ἀθήνησιν. Ἀνταγορίων. Ἀκροφάνης, ἀνταγορίων τὴν ἀρχὴν τοῦ πόλεως. Ἀνταγωνίζομαι. Δοτικῇ συντάσσεται. Ἀνταγωνιστὴς λέγεται δὲ καὶ ὁ κατὰ τὴν πάλην, καὶ ὁ κατὰ τὸν πόλεμον ἐναντίος, ἔνιοι δὲ ἐπὶ τοῦ πολέμου ἐπὶ τοῦ ἀνθοπάλου. Ἀντάδελ, Δοτικῇ συντάσσεται. ἀντάδελ δὲ τοὺς ἰσίους ἐκκλόμενοις. Ἀντάδειται, συνάδουσαι. Ἄνται, ἄντμοι.

Ἀνταία, ἐναντία. ἐχθρὰ. Αἰχύλος σεμίλη. σημαίνει δὲ καὶ δαίμονα, καὶ τὴν ἑκάτην δὲ ἀνταίαν λέγουσιν, ἀπὸ τοῦ ἐπιπέμπειν αὐτά. καὶ ἀνταίαν, ἐχθρὰν, χαλεπὴν. καὶ ἀνταίου, πολεμίου, ἐχθρᾶς. Σοφοκλῆς. Ἀνταίο. ἡ γὰρ οὕτω λέγεται, διότι ἐναντία ἐστὶ τὰ λοιπὰ γίνεται. ὡς δὲ διὰ ἀνταίς, ἡ εὐλαβεία δὲ ἐναντίος.

Ἀνταίρω, τὸ ἀνθίσταμαι καὶ ἀνθέλκω, καὶ φιλονεικῶ. Δοτικῇ συντάσσεται. Ἀριστείδης. εἰ δὲ βούλει, τίς πρῶτος ἀνταίρειν τῷ ἀγαμέμνονι τὸ πρῶτον, ἢ τὸ ἐπικουρεῖν. ἀνταίρειν κυρίως ἐστὶ τὸ ἀνδισταμένου λέγεται, χείρων αἰρόμενος, ἢ ῥάβδοις, ἢ διαστὰς ὄντι. καὶ ἐπὶ τούτο καὶ ἐπὶ γνώμης, ἢ διαίρεσιν λοιπόν. οἷον, ἀνταίρει γνώμην, καὶ ἀνταίρει κῦρος. Ἀντανίς, ταμίων. Ἀνταχοδε, σύμφορον. Ἀνταλλάγαι, ἀνακυκλῶσαι. Ἀντάλλαγμα, ἀντάλλαξις. καὶ ἀντάλλαγμα, οἱ κατὰ τὸν τρόπον τοῦ χρόνου, οὓς ἴχνη καὶ ἀντάλλαγμα ἐκάλουν οἱ ἐκ δεκάτου ἐρχόμενοι. Ἀνταλλακτὸν καλοῦσι, τὸ ἀντὶ ἄλλου ἀλλαγμένον. οὐχὶ ἀπαλλὸν. Μένανδρος. Ἀνταλλάττειν, τὸ ἄλλο ἀντὶ ἄλλου εἰσφέρειν. Ἀνταλλὰς, τοὺς τὸν ἀμείνω. Ἀντ' ἄλλης ἀρχῆς ἐστὶ τῶν ἀρχῶν. πίσειν, ἀντὶ τοῦ ἄρχειν, τὸ ἀποσπᾶν, τὸ δὲ ἀρχαῖον ἀμελεῖν. Ἀνταμείψεις, ἀντιμεταβολὰς. Ἀνταμείβεσθαι, ἀντιδίδειν. Ἀνταμείβομαι, ἀλλάττομαι, ἀντιδίδωμι. Ἀνταποδοῦναι, ἀνταλλάσσειν βιβλίον. Ἀντανακλῶ, ἀντακριβῶ. Ἀνταναίρεται, ἀφαιρεῖται. Ἀντανάκλασις, ἡ ὅταν λόγος ἐπὶ τὸ ἐναντίον, καὶ ἐξ ἐναντίας πάλιν, ἐξ οὗ πρεσβεύειν, ἀντιστροφή. ὡς ἐπὶ τοῦ σφαίραν. ἡ ἀντανάκλασις, ἡ κατὰ ἀνάκλασιν ἀπό τινος μετατεινόμενα. γίνεται δὲ τοῦτο ἐπὶ φωνῆς, ὅταν ἀπὸ τειχῶν καὶ ἐπὶ φωνῆς ἀλιακοῦ, ὅταν λείῳ τινὶ, ἢ λαμπροτέρῳ ὕλαις προσπέσῃ. Ἀντανακλωμένη, κατ' ἀνάκλασιν διά τινος μεταγομένη. γίνεται δὲ τοῦτο ἐπὶ φωνῆς, ἣν καλοῦσιν ἠχώ. καὶ ἐπὶ φωτὸς, ὁ ἀνταπίπτει. Ἀντανέλαβε, ἀντιλαβεῖν χείρονα. Ἀνταπλοῦν, ἁπλοῦν, ἁπλοῦν. Ἀνταπέφυσι, καὶ ἀντιφύσι, οἱ ἀδελφοῖς καὶ παῖδες. Ἀντανίσχω, ἀνατέλλω. Ἀνταπίχομαι, προσβαλλόμενα. ὁ ἀνταπέχον, ἀντὶ τοῦ πολιτεύεσθαι. Ἀντάντην, ἐπίδοξον, ἀντίδικον. Ἄνταξ, ἐν μέρει. Ἀντάξιον, ἴσον κατὰ τὴν ἀξίαν. Ἀνταπαθοῦνα χειμῶνι προβλημα, πεῖσιν, προβλήματα ἀντιθεμένη τὰς πληγὰς. τοιοῦτον ἐστὶ τὸ παθὸν πολλαχῶς μὲν λέγεσθαι. ἐν ταῖς πλαίσιον δὲ τὸν χειμῶνα, ἐν χρόνῳ δὲ ᾗ ὁ μισθὸς ἀπέστη, ἐξ οὗ καὶ τὸ χιλῶ, καὶ ἀναχιλῶ. ἀντὶ δὲ τῷ προσίχθεῖ τὸν χρόνον. ὃ καὶ προβιβάσας κελλόμενος, ἀπειλοῦσι διάφορα σημαινόμενα, χρυσὰ τῆς φανησομένης. Ἀνταπαιτοῦσι, ἀπαιτοῦσι. Θουκυδίδης ἐν τῇ τρίτῃ ἢ τετάρτῃ. ἀνταπολούσαι ἡ ἀνταπολαμβάνειν, Δημοσθένης, ἐν τῷ κατὰ Λεπτίνου. Ἀνταποδιδόμενα, παρὰ τῷ ἀποδρῶσιν, ἀντὶ τοῦ κτυποῦσιν, ἢ ἀντηχοῦσιν κατὰ τῇ βροντῇ. ἐπιφερομένην αὐτῇ, τὴν τοῦ πορθεῖν ἀλλὰ ἦχον. Ἀντάπαις, συνήλικος. Ἄνταρ, αὐτὸς. ὑπὸ τοῦ γένους. εὐφροσύνη δὲ, λίσμα. Ἀντάρτης, ὁ ἐξ ἐναντίας ὁρμῶν. Ἀντάρτης, τύραννος, ἀνθαίρων βασιλεῖ. Ἀντὰς, πρὸς. Ἀντᾶν, συναντᾶν. Ἀντάρης, ὡς τηλεῖς ἔφησι, φησὶ Σοφοκλῆς. Ἄντα σαίνε. Ὅμηρος, εἴσατο ἄντα σαίνει. ἀντὶ τοῦ εἶναι ἀντίος μοι. τὸ δὲ μὴ ἀντίος ἴσος ἐμοί, καὶ εἴσθησιν ἐχθρότερον. ὡς ἐν ἄλλαις ἀρχῆς ἐστι. τὸ ὀρθὸν μὴ δὲ ἀντίον ἴσασθαι ἐμοῦ. ἡ εἶον γὰρ, ὃ δὲ τὸ ἀντίον ἴσασθαι, ὅτι ἐν δύναι πρὸς τοῦ πολέμου λέγω. ἀλλὰ χοῦ δὲ ἀντίον ἐλθεῖν. ὡς ἐναντίον ἐστὶ τὸ ἀναχωρῆσαι. Ἀνταποτεινόμενος, ἐξ ἐναντίας ἀντιτεινόμενος.

Ἀντανῆς κύρου ὀρίζον, ἀντὶ τοῦ τὰς κόρας συναντιπροσεῖν μοι ὀρίζον. Ἀνταφῶ, τουλὰ, ἔτεροι ἀντιλέγεις. Ἀντιβόλεις, ἀπόλυτος. Ἀντιγράφειν, ἀντιλεκτόν. Ἀντιλόγιον, ἀντί, ἀνθ. Ἄντει. παρ' Ὁμήρῳ ἡ αἰτιατικὴ ἀντὶ ἐνιθίζουσι ἀντιβολοῦσιν, ὡς Εὐριπίδης, καθὰ ὁ μιμητής καὶ ὁ κωμικός. Ἄντειον, ἀντὶ τοῦ ἀνάτειον λέγουσι Δωριεῖς συνθέσει γὰρ ἡ ἀνά. ὡς ἄγρος ἀγορὰν, ἀντὶ τοῦ ἀνὰ τὴν ἀγοράν. Ἀντέρων, ἀντὶ τοῦ ἀντεῖκον.

Ἀντέχειν, κατέχειν. Ἀντεκκρινεῖν, ἐκτινᾷν. Ἀντεκπνευσάσης ἀντιπνεῖν. Ἀντεκπεσεῖν, ἀντιπορεύεσθαι, ἀντιπορεύουσι. Ἀντεκπλεύσεις, ἀντιπεσεῖσθαι, καὶ ἀντεκπεσεῖν. Ἀντεκτείνειν, ἀντιταπεινοῦν. Ἀντεμβάλλειν, ἀντεμβιβάσαι. Ἀντεμβαίνειν, ἀντιμεταβαίνειν.

Ἀντεμπλησθῆναι, ἀνταπολαβεῖν, ἐπιπλῆσαι. Ἐυσεπίδης πολιτικοῖς. Ἀντεμπῖπτον ἀντεπιτίθεσθαι. Ξενοφῶν. Ἀντιμφερῆς, ἀντιβαίνει. Ἀντιπίπτεις ἐστὶν, ὅταν ὑπὲρ τὸ βιβλίον, οὗ τὸ ἐναντίον ἀναλύειν. οἷον, ἴσους σὺ τοὺς ἀλλήλων ἰσότιμος φυλάττων. Ἀντίφαται, ἀντιπαραταξάσθαι, ἀνταπάσθαι. Ἀντιφέρονται, ἀντιφέρονται. Ἀντιφέρω, ἀντιφέρω, ἀντέχειν.

Ἀντιπαίρω, ἀντεμβάλλω. Ἀντιαιτία, ἀντισπάσιν. Ἀντέπεσε, ἐναντιοῦν. Ἀντεπίῤῥημα, ὅμοιον ἐστὶ τῷ ἐπιῤῥήματι. γὰρ τὰ εἰς τὸ ἐπίῤῥημα. Ἀντεπιτίθεσθαι, ἀντὶ τοῦ ἀντεπισπᾶσθαι. οὗ τοις ἔσοιτο. Ἀνταπιχειροῦν, πρὸς τὰ λεγόμενα φέρειν ἐνστασιν.

καὶ τὸ ἀνθοκρόκοισι πέπλοις, παρὰ Εὐριπίδῃ. καὶ τὸ, Οὐ γάρ σε μὴ γνῶσιν, ἀλλ' ἠνθισμένον, παρὰ Σοφοκλεῖ. ἀντὶ τοῦ κεχρωματισμένον. Ἀνθοσμίας οἶνος, εὐώδης, ὁ ἄνθος ἔχων. Ἀνθοσμίας, μέλαινος, παρὰ τῷ Ἀριστοφάνει. μέλανος, ἐρυθροῦ. Ὅμηρος, μέλανος οἴνοιο. ἀνθοσμίας, ἡδύς, εὔοσμος ὥσπερ τὰ ἄνθη ἔχει. ἢ τὸν ἀνθοσμίαν, ὡς ἀπὸ Ἰδαίας ἀμπέλου, ἢ τὸ μέλανος ἐπιτεθειμένος, καὶ ἀνθηροῦ. τὸν δὲ λευκὸν οἶνον, παραβαίνειν εἶχεν.

Ἀνθ' ἔδει δέ, ἀνθ' οὗ ἔδει. Ἀνθοῦσα, βλαστάνουσα. ἄνθος ἄριστος. ἐκ τοῦ ἄνθος εἰς ὄμφακα μεταβάλλεται. Ἀνθοφόρος, ἀνθηρός, εὐώδης, ἀνθομαλακός. Ἀνθρακιά, χωρίον ὑπὸ χαμαί. Ἀνθράκιον, τὸ μικρὸν τρικέλιον. καὶ λίθος τίμιος, ἐν Ἀκακαλίδι, κυθροπόδιον, ἡ πᾶσα μικρὰ λάμπος. Ἄνθραξ, τὸ ἐκκαυθὲν ξύλον, καὶ ἔτι διαλάμπον. ὁ ἄνθραξ, πῦρ γίνεται, μετὰ τὸ παῦσαι τῆς φλογὸς παράδοσιν, τῷ καχρύων καὶ γεωδῶν ὕλης ἀναπεμπομένων. μετὰ γὰρ τὸ παύσασθαι τὴν ὁρμὴν τῆς φλογός, ὁ περὶ τῆς παχείας ὕλης τῆς πυρὸς ἐμμονῆς, ἄνθραξ ὀνομάζονται. παρὰ τὸ ἄνθρον, τὸ θερμαίνω, θέρω, καὶ ἐν συγκοπῇ ἄνθραξ. Ἀνθρέξ, πρίσμα.

Ἀνθρήνιον, συγγενὲς τῇ μελίσσῃ Ἀριστοτέλης φησί. καὶ μικρότερον δέ τι τῆς μελίσσης, τὰς ἀνθρήνας λέγεσθαι. ἔστι δὲ εἶδος μελίσσης, ὅμοιον σφηκί. Ἀνθρήνιον, τὸ τῶν μελισσῶν πλάσμα. Ἄνθρυσκα, ἄγρια λάχανα τὰ παραπλήσια ἀπίοις, οἷα καὶ μάλαθρα.

Ἀνθρωπαρέσκεια, ἡ πρὸς ἀνθρώπους ἀρέσκεια. Ἀνθρωπείους ἀρετάς, τὰς ἀνθρωπίνας. ῥᾴδιοι. Ἀνθρωπίζω, τὰ τῶν ἀνθρώπων φρονῶ. Ἀνθρώπιον, σύμμικρον, μικρὸν. καὶ ὁ Ἀπόστολος, Ἀνθρώπινον λέγω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. Ἀνθρωπος, ἀνθρώπου μ. ἀνθρωπίσκος, ἀνθρώπιον, ἀνθρωπικόν. ἀνθρωπικῶς, ἀνθρωπικόν, ἀνθρωπικαλός. καὶ ἀνθρωπεία τέχνη. ὡς ἐν πολιτείᾳ. καὶ ἀνθρωπίνη φύσις, ὡς Πλάτων. ἀνθρωπίσεται φασὶν Ἀριστοφάνης. τὸ δὲ τοῦ ἀνθρώπου δέρμα, ἀνθρωπίνη, ἡ, ὁ λεγόμενον. προσκεῖται δ' ὁ ρῆμα ἀνθρωπίζω, φιλάνθρωπος, φιλανθρωπία, φιλανθρώπως, φιλανθρωπευτικῶς. ἀπανθρώπως, ἀπανθρωπία, ἀπάνθρωπος, πολυάνθρωπος καὶ πολυανθρωπία. Ἀνθρωπόλεθρος, ὁ φονεύς. Ἀνθρωπώ, ἡ γυνή, παρὰ λάκωσιν. Ἀνθρωποιδῶσι, ἄνθρωποι, ὁ ὄχλος. Σοφοκλῆς. Ἀνθυπέμεινε, τὸ ἀντεβάλλετο, ὁ Χαρωνίτης μὲ ὁ ἔρχεσθαι. Ἀνθυπουργεῖ, ἀντευεργετεῖ. Ἀνθυπουργοῦσιν, τὸ χάριν ἀνταποδοῦναι.

Ἀνθυποφορά, ἡ ἀνταπόκρισις, ἀντιπαραίρεσις. Ἀνθυπωμοσία, ἀντὶ τοῦ ὑπὲρ τῆς ὑπωμοσίας. Ἀνθώπλιζον, ὥπλιζον. Ἀνθωπλισμένοι, ἀντιτεταγμένοι. Ἀνία. σημαίνει τὴν χαλεπωτάτην ὀδύνην λύπην. ἡ ἀνία, θλῖψις, λύπη. παρὰ τὸ ἰῶ, ὃ σημαίνει τὸ νοσεῖν, καὶ θεραπεύω, γίνεται αἶα κατὰ σύνθεσιν, καὶ πλεονασμῷ τοῦ ν ἀνιῶ. ἢ ἀπὸ τοῦ ἀνίας εὑρίσκεται τὸ ἰάομαι. τὸ διὰ τοῦ ι, μακρὸν ἔχει τὸ α, μὴ ἔχοντα ῥῆμα ἀναλογοῦν διὰ τοῦ αω, καὶ διὰ τοῦ ι γράφεται. οἷον, μανία, πενία, φυλακία, ἰσχνία, ἡ ἴσα πράσις. οὕτω καὶ ἀνία. πρόσκειται μὴ ἔχοντα ῥῆμα ἀντιπαθῶς κείμενον διὰ τοῦ αω. διὰ τὸ ἑρμηνεύω ἑρμηνεία, σαλακωνεύω, σαλακωνία. σημαίνει δὲ τὴν βλακείαν. πρόσκειται μακρὸν ἔχοντα τὸ α, διὰ τὸ σαφήνεια, ἀγνοία, ἀπάθεια. ἡ μανία δὲ τοῦ ἀντίκειται, ἐπεὶ οὐκ ἔστιν ἐκ τοῦ διὰ τοῦ αω ῥημάτων. Ἀνιάζειν, ἐκ τοῦ ἀνιῶ, κατὰ ὁμοιότητα τοῦ ἀμφιχαίζειν, καὶ τὸν ὁμοῖον.

Ἀνιάζων ἄχθομαι, ἀντὶ τοῦ ἀνιῶν, ἀνίαν εἶχον. Ἀνίασαν, ἔσχον. Ἀνιαθείς, λυπηθείς. Ἀνιαρόν, τὸ λύπην ἔχον, ἢ ἀλγεινόν. ὁμοίως καὶ λυπηρόν, καὶ ἀργαλέον. Ἀνίασιν, ἀνιάρχονται. Ἀνιᾶσι, τὸ ἀφιᾶσι, καὶ ἐκλιθῶσι. λυποῦσιν σωματικῶς. Ἀνιᾶται, ὀδυνᾶται, λυπεῖται. Ἀνίατον, ἀθεράπευτον.

Ἀνιγροδίτας, θυρθρίδιος. Ἀνιγρόν, ἀκάθαρτον, φαῦλον, κακόν, δυσώδες, ἀηδές. Ἀνιγρός, βλαβερός, λυπηρός. παρὰ τὸ ἀνία ἀνιαρός, καὶ κατὰ συγκοπὴν, καὶ πλεονασμῷ τοῦ γ, ἀνιγρός. παρὰ δὲ τὸ ἀνία ἀνιαρός, τὸ ἀνιῶ ῥῆμα. Ἀνιδεῖν, ἀναφαν-

τί. Ἀνίδροβρ, ἀκάθαρτον. Ἀνιδρυτος, ἀντὶ τοῦ ἀνιδρύτως. Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος. Ἀνιδροῦσι, ἵνα ἱδρῶτες. Ἀνίει, ἑλίσσει, ἐλαύνει. καὶ ἀνίει, ἀνίημι μετά. Ἀνισοφαλος, ἐπὶ ἴσου δ' ὅσα τάχιστα. ἀνίεις, ἐπιδίδου, ἐχαλάσαν.

Ἀνιείς, ἀναλύσεις, ἀφιείς, παρεργμὸν ἐγχεῖ ζων. Ἀνιέσαι, ἀναπνέεται. Ἀνιμῶντες. Ὅμηρος, ἐδέσσασθαι γ' ἀντὶ τοῦ ἐκλιμήσεται. Ἀνιμῶν, κάλπιν ἀνέλκει, καὶ ἀναχαλοῦσα, ἢ ἀπὸ γυμνοῦ τὸ κατὰ τοὺς μακροὺς κάλπα με. καὶ αἴγας ἀπομένους.

Ἀνιέναι, ἤτοι ἀναχωρεῖν. λέξις Ὁμήρου συνήθης, πολλαχοῦ κεκώμωδηται τὸ, μαργαίνειν ἀνίημι ἀθλοῦν. ταυτὸν ἔστι παρὰ ἀνίημι, διεγείρειν, ἐρεθίζειν. τὸ δὲ μαργαίνειν, ὅ ἐστι μαίνεσθαι, καὶ ὁ πολύτροπος αὐτοῦ μάργος. Καρυστόνιος ὁ μαργὸς ὀξυτόνως, κατὰ Τυραννίωνα. ἐκ τοῦ μὴ ὁρῶ λεχοῦ, καὶ τὸ ἔργον, γίνεται κατὰ τὰς παλαιούς. ἐκ τοῦ μὴ ἀρήσαι. οὐ γὰρ ἔργον τι συνελθεῖν παρὰ μὴ γαίνοντα. Ἀνίκητα, ἀνίκητα. Ἀνιμος, βίβλοι, αἴσχος, μεμιασμένος. Ἀνιρροῦσθαι, εἰς ὕδωρ ἀγίνεσθαι. Ἀνισοῦντες, ἀναζητεῖς. Ἀνισοῦν, τὸ ἀπαλλάσθαι, συγχωρῆσαι, ἀποσφίγξασθαι. Ἀνίσχειν, ἀντὶ τοῦ ἀναλάμπειν. Ἀνισθεῖσα, ἀνισθεῖσα. Ἀνισαμι, στοχεύω. Ἄνισος, βοτάνη τις. Ἀνισοφρονοῦντες, μὴ εἶναι ἀκριβῆς τῷ τρόπῳ, μέρος δὲ χάριν οὕτω καλοῦνται. ὡς ἐν τοῖς λοιποῖς τρόποις. καὶ λυπηροῖς τρόποις, προσφέρεται εἰς τὸ τοῦτο, ἰσότητα. Ἀνίσοι καὶ ἀφιάσι, καὶ ἀνιᾶν καὶ παύειν, ἐπὶ τοῦ ἰᾶσθαι λέγομεν. καὶ ἀνίησιν ὁ γῆ τὰ φυτά, ἀντὶ ἀναδίδωσι τὸ φυτόν. Ἀνίησι, ἀνῆκε. Ἀνίστημι, ἐπὶ εὐθείας, κατὰ τὸ ὀρθὸν καὶ φοράν τοῦ πολέμου, ἀνὰ δὲ μὲν, εἰ ἀπὸ τοῦ ἐν αὐτῷ, ἀντὶ τοῦ κατὰ παραλαμβάνειν. Ἀνίστανται εἰς τὸ ἀναπίπτειν, παρὰ τὸ ἐμπεσεῖν. Ἀνικλώμενον, ἀνακαμπτόμενον.

Ἀνιπτος, ἐν ὄχλῳ, φορά. Ἀνίπτοισι, κακῶς παραμένει. πορίσας δὲ ἀπολλῦσθαι, τὸ ἀναζητεῖν. Ἀνιλεωσῶ, ἀνίλεως.

Ἀνιμῶσαι, ἐκλελυμένα. Ἀνιμᾶν λέγεται, τὸ ἐκ τοῦ φρέατος ἀνέλκειν. ἀνιμᾶ ὁ λέκτρον, ἤγουν ἀναπνεῖ. Ἀνιμῶσθαι, ἀντλεῖν, ἐγκεῖσθαι, ἀναφέρειν. καὶ ἀνιμῶμενος, ἀντλῶν, ἀνέλκων. ἀνιμᾶ γάρ, τὸ ἀνέλκειν ἀπὸ τοῦ ἱμὰς. καὶ ἱμονιά, τὸ ἀνέλκειν. ἀνιμᾶσθαι, διὰ τοῦ ι. Ἀνιμώμενος, ἀντλῶν, ἀναφέρων.

Ἀνιμῶν τὰς κόρας, ἀντὶ τοῦ ἀνέλκων. Ἄνιος, ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος. Ἀνίοντα, ἐπέρχοντα. Ἀνιόντος, ἀναχειμένου, ἀνατέλλοντος. Ἀνιππασία, καὶ Ἀνιππασία, ὁ τοῦ ἵππου ἅμιλλα. ὥσπερ λαμπαδηδρομία, καὶ ἀνθιππασία, τὸ ἐν ἵππῳ διελαύνειν.

Ἄνιππος, ἵππων ἐστερημένος. Ἀνισάμενος, ἀνισώμενος. Ἀνισοστάσιος, ἀνισότης. Ἀνιστάμενος, κατάμενος, ἀνισωμένος. Ἀνίσταμαι, ἀνίστημι. Ἀνιστάμενοι χαμαιεῦναι. οἱ μὲν τούς τοὺς σελλοὺς, οἱ ἔλλεπος ἀγροικοῦντες. καὶ χαμαιεῦνας μὲν, ὡς ἀεὶ περὶ γῆν αὐτοὺς κοιμωμένους, καὶ μὴ ἐπὶ κλίνης ὑποδεχομένους. ἀνιπτόποδας δὲ, ὡς μὴ προϊέντας τοῦ ἱεροῦ, καὶ διὰ τοῦτο μηδὲ ἰδίας κτήσεις λούεσθαι, ὡς οὐκ ἂν ἐπ' ἄλλοι λουόμενοι. εἰσὶ δὲ Ἑλλοὶ, οἱ σελλοὶ. λοιπὸν δὲ, σημαίνει ταῦτα καὶ ἐπὶ τοῦ σώματος ἀγαπητοὶ. ὅτι ἔτι ὁ τὸν οὐρανὸν ἀνιέναι. χαμαιεῦναι μέν, ἀνιπτόποδες δὲ, πάντας οὐκ ἀφαλέστατοι, ὡς τῇ κάτω τοῖς διαιτᾶσθαι, διὰ τοῦτο ὡς ἐστὶ μαντικῆς φιλοσοφίαν. ἔρα δὲ, ὡς τὸ χαμαιεῦναι συλλαβὴν τοῦ παραλλαγῇ εἰς ἰδία ἐγγενομένων ἐπικαλεῖν, χαμαιεῦνας λέγει. ὥστε οἱ μέσοι ὁ παλαιοὶ συνίλλει τῶν λιγνύσι, ὡς φαῦλον ἐκ τοῦ πρὸς ἀκεραίως, ἀλλὰ καὶ τὸ χαμαί. τὸ μὲν δὲ χαμαιτύπιον, καὶ ὁ χαμαιτύπος, οὐκ ἐν ἄλλοις ἐν μίσει, εἰπεῖν συλλαβὴ τῶν κατὰ συλλαβήν. ὅρα δὲ, ἔν χαμαιεῦναι μὲν ἀνθρώπου ἐκεῖνα εἶναι τῶν χαμαιεῦνας, ὡς ἐκεῖ ἐστὶν αἱ χαμαιπετεῖς, οὐ πεπορευμένοι. γὰρ ἡ δὲ κωμῳδία τὰ σωματικὰ παίζουσα, τοὺς χαμαιεῦνας καὶ ἀνιπτόποδας καλεῖ, πρὸς ἀναλογίαν τοῦ ἀρπάλεα, ἢ φιλάλαγας, καὶ τὸ ὅμοιον. ἢ ἀνιπτόποδες, εἰ δὲ ἄγριον χεῖραν μὴ τὸ νιπτόμενον. Ἀνισον, ἀντὶ τὸ ὀρθόν. Ἄνισον, τὸ μὴ ἴσον.

παλαιστινή. οἱ ἀπ' αὐτῆς, ἀνθεμούσιοι. καὶ ἀνθεμοῦς, χώρα, ποταμὸς, καὶ λίμνη τῆς μαρειωτικῆς. Ἀνθεμουσία, τάγματι παρὰ μακεδόσιν. Ἀνθεμώδης, ἄνθος ἔχοντα. Ἀνθέμων, ῥόδων. Ἀνθοφάνης, ἔχων στέφανον ἀνθέμων. Ἀνθέρεται, ἀνέλκεται, ἢ λύει. Ἀνθέξομαι, κρατήσω. Ἀνθερεὼν, ὁ ἐπὶ τοῦ γενείου τόπος, περὶ ὃν ἀνθεῖ τὸ γένειον. ἢ διὰ τὸ δι' αὐτοῦ φορεῖν τὸ πόμα. λέγεται δὲ ποτὲ καὶ ἐπὶ γυναικὸς καταχρηστικῶς, τόδε, ὑπ' ἀνθερεῶνος ἑλοῦσα. ἢ ἀντὶ τοῦ κάτωθεν τοῦ ἀνθερεῶνος, ἢ ἀντὶ τοῦ ὑφελοῦσα καὶ ὑφαψαμένη ἀνθερεῶνος. ἢ ἀνθερεὼν φανερῶς, ὁ ὑπὸ τὸ στόμιον τῆς φάρυγγος ὤν, οὗ ἅπτονται οἱ ἱκέται. σημαίνει δὲ ἰδίως, τὸ τέλος τῆς ὑπήνης. ἀνθερεὼν δὲ κυρίως, ὅπου τῆς περικεφαλαίας ὑποδέεται ὀχεύς. ἴσον δέ ἐστι τὸ ὑπ' ἀνθερεῶνος, ἤγουν ὑποκάτω τῆς ἀνθερεῶνος, ὑπ' ἀνθερεῶνα ἢ κατὰ φάρυγα. ὀχεὺς δὲ οὐ μόνον ἐπὶ μοχλοῦ θύρας, ἀλλὰ ἰδίως καὶ ἱμὰς ὁ στυπτικὸς τῆς περικεφαλαίας, ἀπὸ τοῦ ἔχειν περιεχόμενος. ὅθεν καὶ τὸ τῆς ἀσπίδος ὄχανον. καὶ ἀνθερεὼν, βοτάνη τις.

Ἀνθέρικες, τὰ τῶν ἀσταχύων ἄκρα καὶ προβολαί. καὶ ὁ τοῦ ἀσφοδέλου καρπός. Ἀνθέρικοι, παρὰ Θεοκρίτῳ. ἀνθέρικος, ὁ τοῦ ἀσφοδέλου καρπός. καὶ ὁ καυλὸς, ὥς φησιν Ἰσαῖος τε, καὶ Θεόφραστος. Ἀπολλόδωρος δὲ ὁ Ἀθηναῖος, τὸν καυλὸν μόνον οὕτω καλεῖσθαι βούλεται. Ἀνθέρικος, ὁ τοῦ ἀσφοδέλου καρπός, ἢ καυλός. ἡ δὲ χάρις, καὶ παρὰ Θεοκρίτῳ. οἱ δὲ ἀνθέρικας, ἐπὶ τοῦ εἴδους φασὶν, ἀκολουθοῦντες Ἡσιόδῳ, εἰπόντι περὶ Ἰφίκλου τοῦ καὶ ἐν Βοιωτίᾳ γενομένου, ὅτι ἐπὶ πυραμίδας ἀθέρας, ἐκ τοῦ ἀθέρος. καὶ γίνεσθαί φασι τὸ ἀνθέρικος, ἐκ τοῦ ἀθὴρ ἀθέρος, πλεονασμῷ τοῦ ν. καὶ ἀρίσκεσθαι μάλιστα εἰς ἄνθη λέγοντες, καὶ ὅτι ὁ Ἰφίκλου ἄρουραν οὐκ ἀσφοδέλους φέρει, ἀλλὰ πυρῶν ἀνθέρικας. ὅτι δὲ ἀθὴρ καὶ ἐπὶ δόρατος λέγεται ἀπὸ μεταφορᾶς τῶν ἀσταχύων, δηλοῦσιν οἱ παλαιοί. οἱ παρὰ δὲ λέγουσι, καὶ ὅτι ἀνθερίκων ἡ εὐθεῖα, ὁ ἀνθέρικος. φέρονται χαῦνοι τὸ, λέγουσιν οἱ κομάδες οἰκίας ἔχοντες ἐξ ἀνθερίκων πεποιημένας μικρὰς, ὅσον σκιᾶς ἕνεκα, ἃς καὶ περιφέρονται ὅπου ἂν φέρωνται. εἰ μὴ ἄρα οἱ τοιοῦτοι σκιαπόδων γλαμυροίς ἐδέοντο. ἐκείνοις γὰρ αὐτοφυὴς ἡ σκιὰ, ἐκ τοῦ τῶν ποδῶν ἄγαν πλατύνεσθαι, ὡς αἱ ἱστορίαι περιηγοῦνται. εἰ μὴ ἄρα αἱ τῶν κομάδων, σκιᾶς χάριν ἐκ τῶν ἀνθερίκων σκηναὶ τοῦ βάρους τοῦ παρὰ τοῖς σκιάποσι ποδῶν ἐλαφροτέραι εἰσίν. Ἀνθέριξ, παρὰ τὸ ἄνθος. σημαίνει δὲ τὸ ἄκρον τῶν ἀσταχύων. ἢ φυτόν ἐστιν, ὃς καὶ ἀνθέρικος λέγεται. οὗ ὁ τύπος, κατὰ τὸ ὄρυξ, καὶ ὁ κόρυξ ὁ κόρυκος.

Ἄνθεσι μῆλον, τοῖς ἀκροδρύοις. ἀπὸ μεταφορᾶς τῶν μήλων πᾶς καρπὸς δένδρου μῆλον λέγεται. Ἀνθεστήρια, τὰ Διονύσια. φησὶν Ἀπολλόδωρος καλεῖσθαι κοινῶς, τὴν ὅλην ἑορτὴν Διονύσου ἀγομένην ἀνθεστήρια. κατὰ μέρος δὲ, πιθοιγίαν, χόας, χύτρας. Ἀνθεστηριῶνας, τὰς ἐχούσας ὥρας γάμου. ῥόδια. Ἀνθεστηριών. ὄγδοος μὴν ἐστὶ παρ' Ἀθηναίοις, ἱερὸς Διονύσου. ἱστορεῖ δὲ ἐν τοῖς τῆς συναγωγῆς, καλεῖσθαί φησιν αὐτὸν οὕτω, διὰ τὸ πλεῖστα τῶν ἐκ τῆς γῆς ἀνθεῖν τότε. Ἀνθεῖ, ἐλεύθεροι, πάντα παρανόμως. Ἄνθη, ἡ ἄνθησις, καὶ τὰ χρώματα. ἀπὸ τούτου τοῦ ὀνόματος ἡ γενικὴ τῶν πληθυντικῶν, τῶν ἀνθῶν. ὡς τὰ βέλη τῶν βελῶν, καὶ τὰ γένη τῶν γενῶν. ἀλλὰ τὰ μὲν ἄλλα περισπᾶται ὁμολογουμένως. τὰ δὲ ἄνθη, οὐκέτι τῶν ἀνθῶν. ἐπειδὴ ἄλλο ἐκ ἐμφαίνει. οἷον, ἀπὸ τοῦ ἐλαύνω, ἀπὸ ὧν ἐλήλαται. ὅθεν τοῦτο μόνον διαιρεῖται τῶν ἀνθέων γραφόμενον. ὡς Φιλόστρατος εἰκόσι, τῶν ἀνθέων ἡ ἐλευθερία. Ἀνθεφρών, ὁ τοῦ θερμολών. Ἀνθηδών. καλεῖται οὕτω, διὰ τὸ αὐτῆς ἀνθηρόν. ἢ ἀπὸ Ἀνθηδόνος, ἢ Ἀνθου ἀπογόνου ποσειδῶνος. συνῴκουν δὲ αὐτὴν Θρᾷκες. διὸ καὶ Λυκόφρων Θρηικίαν Ἀνθηδόνα φησίν. ἐκ ταύτης Γλαῦκος ὁ θαλάσσιος δαίμων, κατὰ τὸν μῦθον. ὃς ἰχθὺν εἰς γῆν ἐκθεὶς ἑαυτῶ λειπόμενον τοῦ ζῆν, καί τινος βοτάνης ψαύσαντα καὶ ἀναζωπυρηθέντα εἰς ὕδωρ ἥλατο, καὶ τῆς θαλάσσης θεὸς γενόμενον, μιμεῖται. καὶ τῆς αὐτῆς πόας ἐμφαγὼν, καθήλατο εἰς θάλασσαν. καὶ ὡς ἐκεῖνος μετεβλήθη, καὶ ἀπαθανατίζεται. φασὶν ἁλιέων ἦν ἄκρος, καὶ σαγηνευτὴς δεινότατος, καὶ ἐμβαθύνειν περὶ βυθὸν, καθὰ καὶ οἱ λοιποὶ ἔσθ' ὅπλοις. καὶ ταύτην, τὴν περὶ αὐτοῦ μῦθον πλασθῆναι πιθανῶς ἐχορήγησαν. παρὰ δὲ τοῖς παλαιοῖς, γένος τοῦ Γλαύκου ἐστὶ ποιεῖται θεῖον.

Ἀνθηδόνα τότε νύμφην ἐπὶ πλευραῖο θαλάσσης, ἀντίον Εὐβοίας, ὅθεν ἐγὼ γένος εἰμί. πατὴρ δέ μοι γείνατο Κοπεύς. ποντικὸς δέ φασι καὶ κολυμβητὴς γενόμενος, πόντον ἐκάλεσεν σώματος ἰχθύος. ἢ ὁμώνυμος ὁ ἐν κορίᾳ νῆσος σώμα. ἄλεται δὲ καὶ τοῦ Ἀργοῦς δημιουργὸς γενέσθαι. θεσθαι αὐτὸν, ὅτε Ἰάσων τοῖς ἥρωσιν ἐναυμάχει, μόνος αὐτὸς ἄτρωτος ἐν τῇ ναυμαχίᾳ μεῖναι. τὴν δὲ βοτάνην, ἣν φαγὼν ἄφθιτος, ἢ καὶ ἀθάνατος ἐλέχθη γενέσθαι, ἄγρωστιν εἶναι ὁ γράφων τὸ, καὶ θεῶν ἄγρωστιν εὗρε, ἣν Κρόνος κατέσπειρε. μαθεῖν αὐτὴν λέγεται κατὰ μὲν ἐνίους, ὑπὸ ἰχθύος. κατὰ δὲ ἄλλους, ὑπὸ λαγωοῦ τεθηραμένου. ὅν φασι καταθνῄσκοντα ἐκ δρόμου, ἀποχθῆναι ὑπὸ κυνῶν. καὶ πόας παρακειμένης ἀπογευσάμενον τὸ ζῆν, ὅλον ψυχόμενον. ὡς δὲ ἀνεζωπύρησεν ὁ λαγωὸς τῇ βοτάνῃ, ἐπιγνοὺς ὁ Γλαῦκος αὐτῆς τὴν δύναμιν, ἐνέφαγε. καὶ οὕτως ἔνθεος γενόμενος, εἰς θάλασσαν ἑαυτὸν ἐξέρριψεν. καὶ τὸ ἐντεῦθεν, λαβὼν ἐν δελφῖνι τῷ μύθῳ, ἀείδιμον θέσθαι αὐτόν. τοιαῦτα μὲν τὰ περὶ τοῦ Ἀνθηδονίου Γλαύκου. κατὰ δὲ ἐνίους Ἀνθηδὼν, πόλις Βοιωτίας ἐσχάτη παραλίας τῆς πρὸς Εὔβοιαν. Ὅμηρος, Ἀνθηδόνα τ' ἐσχατόωσαν. ἢ καὶ πόλις Παλαιστίνης. καὶ ἀνθηδὼν ἡ μέλισσα, παρὰ τὸ τὰ ἄνθη ἔδειν. Ἀνθηλά, περιδέραια.

Ἀνθηλεῖν, τὸ πρὸς ἄνθη ἀνθήσειν. Ἀνθήλη, πύγων, ἢ περίλημμα. Ἀνθήλιος, ἡ σελήνη, καὶ τὸ ἀποσκίασμα τὸ τοῦ ἡλίου ἀνταυγείας. ἐνίοτε δὲ ἔστι τὸ μίμημα, ὃ ἀντάλλαγμα. ὡς Θεόπομπος. σημαίνει δὲ καὶ τὰ ἐπισκιάζοντα τὸν ἥλιον νέφη, ἃ καὶ ἀνθήλια καλεῖται. Ἀνθήμαστιν, ἐξανθήμασιν. Ἀνθ' ἡμέρας, δι' ὅλης τῆς ἡμέρας. Ἀνθήμερον, τὴν σήμερον ἡμέραν. Ἀνθήνας, ὁ προσφάτως συντεθειμένος τυρός. Ἀνθηρὸν, ἀνθηρόν, βαπτόν. Ἀνθήνη, πόλις τῆς Λακωνικῆς. Ἀνθηρημένος, ἀντιλαμβανόμενος, ἢ προκεκαμμένος. Ἀνθηρόν, τὸ σανδαράκιον.

Ἄνθης βαρύτονον, καὶ πάτης τὸ ἀρσενικόν. τὸ δὲ θηλυκὸν, ποτῆς ποταῦτος. Ἀνθίας. ὄνομα ἰχθύος. Ἀνθίαν οἶνον, ἤτοι τὸν ἀνθισμένον, ἢ τὸν ἐκ τῶν ἀνθέων ἠνθισμένον. Ἀνθινὸν, βαπτὸν, ἀνθηρόν. Ἀνθιππασία, ὁ ἱππικὸς ἀγών. Ἀνθίσασθαι μουσικῆς. καὶ ἀνθισμένοι μαστικῆς, οἱ ἀθροισάντες τὰ ἄνθη τῆς μουσικῆς. Ἀνθοβόσκον, ἀνθοτρόφον. Σοφοκλῆς. Ἀνθολεῖν, ἀνθολογεῖν. Ἀνθολκὴν, ἀντίρροπον, ἰσορροπεῖν. Ἀνθομολογούμεθα, εὐχαριστοῦμεν, ὑπὲρ τῆς εὐεργεσίας ὁμολογοῦμεν χάριτας. Ἀνθοπωλεῖν, οἰνοπωλεῖν, φαρμακοπωλεῖν. Ἀνθοριθήσονται, ἀντιστήσονται. Ἄνθος λευκὸν, τὴν ἀφρισμὸν τῆς ἐλαίας φησὶν Ὅμηρος, κατὰ τοὺς παλαιούς. οἵ φασι καὶ καρποφόρους ὡς τὰ πολλὰ, τοὺς ὑψηλοὺς εἶναι τόπους. ἀμέλει φασὶ καὶ ἐν ἀκροπόλει τῆς Ἀττικῆς, πρῶτον ἐλαίαν φῦναι. Ἄνθος, παρὰ τὸ ἄνω θεῖν ἐν τῷ οὐρανῷ. οὐκ ἀποστρέφουσι δὲ καὶ ἐτυμολογίαι. οὐ γὰρ εἴ τι ἄνω θεῖ καὶ αὔξεται, τοῦτο καὶ ἄνθος λέγεται. ἰδοὺ γὰρ πάντα τὰ φυτὰ ἄνω θέουσι, καὶ ἄνθη οὐ λέγονται. ὁμοίως δὲ καὶ ἔλαφος, παρὰ τὸ ἐλαύνειν τοὺς ὄφεις, ἐπεὶ ποιεῖ τοῦτο τὸ ζῶον θεωρούμενον. καὶ οὐκ εἴ τι τοῦτο ποιεῖ, ἔλαφος λέγεται. ἡ γὰρ δίκταμνος βοτάνη κειμένη τοῦτο ποιεῖ, καὶ οὐδέποτε ὠνομάσθη ἔλαφος. ἢ ἄνθος, τὸ τῶν βοτανῶν. ἀφ' οὗ καὶ ἄνθινος στέφανος, ὁ ἐξ ἀνθέων. ὥσπερ χρύσινος στέφανος λέγεται, ὁ τοιοῦτος ὢν ἐκ χρυσοῦ. ἀλλὰ τὸ μὲν ἄνθινος εἰ μὴ τὸ στέφανος ἔχει προσκείμενον, ἐνδεές ἐστι. τὸ δὲ χρύσινος, μόνον ἀεὶ λέγεται, καὶ δηλοῖ νόμισμα ἐκ χρυσοῦ. ἀπὸ δὲ τοῦ τῶν βοτανῶν ἄνθους, λέγεται ἄνθος κατὰ μεταφορὰν καὶ τὸ χρῶμα. ὡς παρὰ Φιλοστράτῳ, τῷ τοῦ ἴλλος ἄνθος φαίνεται. ἤγουν τῷ χρώματι τοῦ ἴλλος. ἴλλος δὲ ἴλλα, βοτάνη τις. καθὸ λέγεται

Ἀνεμώλιος, ὁ ἐξηρτημένος, ἢ ὁ ἀνέμῳ φερόμενος καὶ σαλευόμενος. Ἀνῆκεν. ἵημι. ὁ μέλλων ἥσω, ὁ ἀόριστος ἧκα, καὶ ἀνῆκα. τῶν πληθυντικῶν τὸ πρῶτον, ἀνήκαμεν, καὶ συγκοπῇ ἀνῆμεν. Ἀνημιοβελιαῖα. δηλοῖ, τὰ ἡμιωβελίου ἄξια. Ἀνήμερος, ἄγριος.

Ἀνήνασθαι, δηλοῖ τὸ ἀρνήσασθαι. γίνεται δὲ ἀπὸ τοῦ ἀναίνω. ἀναίνεσθαι δέ, ταυτόν ἐστι τῷ μὴ αἰνεῖν. ἤγουν συναινεῖν, καὶ συγκατατίθεσθαι. κατὰ δὲ ἑτέρους, ἀπὸ τοῦ στερητικοῦ, καὶ τοῦ αἶνος. ὁ δηλοῖ τὴν συγκατάθεσιν. κυρίως ἐπὶ γάμων, ἢ ἀφροδισίων.

Ἀναπτύξεις, ἑρμηνεία, διασάφησις. καὶ ἀναπτύξω, ἀντὶ τοῦ ἐκπλέξω. Ἀναπτύξαντες, ἀνακαλύψαντες. Ἀναπτύσσειν, δοκιμάζειν, καὶ διακρίνειν. Ἀναπτυχαί, ἀναπλαί. Ἀναπτύω, ἀναχείρω. Ἄναπυστα, τὰ ἄκουστά, φανερά. καὶ κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ἀνὰ στόμα πᾶσι κείμενα ἀναπυστά. γίνεται δὲ ἡ λέξις ἀπὸ τοῦ πεύθω, πεύσω. ἐξ οὗ πεῦσις, ἡ δι' ἐρωτήσεως μάθησις. ἐκ δὲ τοῦ πεῦσις, ἄπυστον καὶ ἀνάπυστον. ἢ ἐκ τοῦ πέπυσμαι πέπυσαι, πυστόν. τὸ ἀκουστὸν καὶ ἄπυστον, καὶ ἀνήκουστον, καὶ μετὰ δευτέρας στερήσεως ἀνάπυστον, τὸ μὴ ἀνήκουστον. ὅπερ δηλοῖ ἀκουστόν. καὶ πλεονασμῷ τοῦ ν διὰ εὐφωνίαν, ἀνάπυστον. οὕτω καὶ γνωστὸν ἄγνωστον, ἀάγνωστον, καὶ ἀνάγνωστον. κατὰ τὸν εἰπόντα, μαθὼν ἐθέλειν κακὸν ἔχειν ἀνάγνωστον, ἀντὶ τοῦ πᾶσι δηλαδὴ γνωστόν. Ἀναπυλοῦν, τὸ διανοίγειν τὰς πύλας καὶ ἀναπετάσαι ὁμοίως. καὶ τὸ ἔργον, ἀναπέτασις. καὶ τὰς τοῦ τοιούτου, ἀναπεπτασμένας, καὶ ἀναπυλοῦντας. καὶ τὰ λύτρον πεπρασμένα, ἀνακεκλειμένα, ἀναπεπτασμένα, παλίμπρατα. παλίμβολα. καὶ ὁ τοῦτο ποιῶν, παλίμπρατος, παλιγκάπηλος. τὰ δὲ ἐκ τοῦ διαλαμβάνεσθαι πεπρασμένα, διαπέπρατα. τὸ δὲ οὖν ἄλλῳ πεπρᾶσθαι, προσπεπρᾶσθαι, λέγουσιν. Ἄναρ, ὄναρ, ἢ ἤκουσα. Ἀναράβυλα, τὰ μὴ ἐξεσμένα. ἄρβυλα γὰρ τὰ δέρματα. Ἀναραβαγῆσαι, ἀναψοφῆσαι, ἀναπηδῆσαι. Ἀναραιῶσαι, χαυνῶσαι. Ἀνάρακτος, ἀράκτος. Ἀνάργυρος, ὁ ἀργύριον μὴ κεκτημένος. εἰ καὶ εἰς αὐτὸ ἱκανὸν οὐκ ἐκ ξένων κεκτημένον. Λυσίας, ἐν τῷ περὶ τῆς ἐπιγόνου ἀνθρώπου. ἐπειδὴ εἴπομεν ἐπιγόνους ἀσθενεῖς πρεσβύτερον χείρω ἀναγκαῖον ἀνάργυρος ὤν, καὶ τὰς γε τῶν παλαιῶν κεραμίων. Ἀναρῆξαι, ἀνιάλγεσθαι, κεῖσθαι. Ἄναρθρα, ἄσημα, ἀσήμαντα, ἀκρίτα. Ἄναρθρος, ἄτονος, ἀσθενής. Ἀναρῥᾶσθαι, ἀντὶ τοῦ διακόψαι τῶν τεμνομένων ὀρῶν. οὕτω καλλιάδης.

Ἀναρίθμητος, ἄπειρος. Σοφοκλῆς. Ἀλλ' ὁ μακρὸς κἀναρίθμητος χρόνος, φύει τ' ἄδηλα, καὶ φανέντα κρύπτεται. καὶ ἀναρίθμοι, πλεῖστοι, ἄπειροι. ὡς ἡμεῖς ἀνθρώποις τρισμύριοι. οἱ δ' ἀναρίθμοι οὐδεὶς ταῦτ' εἶδε, ἢ παρὰ προσφόροις φασὶν Ἡράκλειτος.

Ἀνάριθμον, ἰχθύος. Ἀναρίτης, ζῶον κοχλιῶδες.

Ἀναριχᾶται, ὀξὺ λέγει. δηλοῖ δὲ, τὸ ταῖς χερσὶ καὶ τοῖς ποσὶν ἀντεχόμενον, ἀναβαίνειν πρὸς τὸ πρόσαντες. γράφεται δὲ διὰ τοῦ ρ. γίνεται δὲ ἐκ τοῦ ἀράχνη, ἀραχνῶ. καὶ ἐν ὑπερβιβασμῷ, ἀναριχῶ.

Ἀναρκτεῖ, ἀναπόδειξιν. Ἄναρκτον, τὸ ἀνυπότακτον.

Ἀνάρμοστος, ἀκατάλληλος, μηδενὶ ἁρμοζόμενος. Ἀναρπαλισθῆναι, ἀναβλυσθῆναι. Ἀναρροιζεῖ, φονεύει. Ἀναρροῦς, κόρος. Ἀναρθος, ἄγγελος, ταραττίνοι. Ἀνάρπασοι, οἱ ἄμισθοι. Ἀναρρηχθῆναι, ἀνακεχυθῆναι. καὶ ἀνάρρημα, κάθαρμα. καὶ ἀνάρρησις, ἀνατέχνησις. Ἀναρρήξει, ἐπὶ γῆς κεκαλυμμένης. κάθα καὶ ἐπὶ γαστρὸς ἐν ἀναρρήξει λίθων. δηλοῖ δὲ ἡ λέξις, τὸ διαχέσαι, διαχάνεσαι. ὅμοιον δὲ καὶ τὸ, τεῖχος ἀναρρήξασθαι. Ἀναρρήσεως, ἀνακηρύξεως. Ἀνάρρησιν, τὴν τελευταίαν. Ἀνάρρησις, εἴρεσις. ἢ ἀνακήρυξις. πρόρρησις, προαγόρευσις. Ἀνάρρηξιν, τὸ διὰ τῆς φωνῆς παλιγγενεσίαν, παρὰ τῷ Ἱπποκράτει. Ἀναρριχίζειν, κενοῦν, ἀνηλεῖν. Ἀναρριπτεῖν, διδάσκειν. Ἀναρριχᾶσθαι, ἀναδιδόσθαι τὸ ὕδωρ, καὶ τὸ σκαλοβατεῖν. ἀναρριχάω, ἀναρριχῶ, ἀναρρίχων, ἀναρρίχων. οἷον, τρέχειν ἀράχνης, τοῖς ποσὶν ἀντιλαμβανόμενον, ἀνιέναι πρὸς τὸ πρόσαντες. ἀραχνῶν, ἀραχνιᾶσθαι, καὶ ἀναρριχᾶσθαι. ἤτοι ῥίον, τὸ ἀκρωτήριον. ἐκ δὲ τούτου γίνεται ῥιᾶσθαι, καὶ πλεονασμῷ τοῦ χ, ἀναρριχᾶσθαι. ἀναρριχᾶσθαι δὲ λέγουσι κυρίως, τὸ τοῖς ποσὶ καὶ χερσὶ βιαζόμενον εἰς ὕψος ἀναβαίνειν.

Ἀναρροιβδεῖ, ἀναρροφεῖ. Ἀναρροίβδησις, ἡ ἀναφορὰ τοῦ ὕδατος. Ἀνάρροιαν, ἐπιθέσιμον. Ἀναρρύει, θύει, καὶ σφάττει, ἔθυσεν. καὶ ἡ θυσία δὲ, ἀνάρρυσις ἢ ἐπανάρρυσις, ἐκ τοῦ ἀνέλκειν τὰς φάρυγγας τῶν θυομένων, ἐπὶ τὰ ἄνω φέροντες. Ὅμηρος, αὐέρυσαν. καὶ ἑορτὴ, οὕτως ἐκαλεῖτο παρὰ Ἀθηναίοις. Ἀνάρρυσις, ἡ θυσία, καὶ ἡ ἐλευθερία. Ἀναρρυήτου μεγάροιο, τὰς ἐν τῷ μεγάρῳ διόδους. εἰ ἢ, τὸ ἀνάρρηγμα τοῦ τείχου, ἢ τὰς ῥαγάδας. οἱ δὲ, τὰς ἀναβάσεις. Ἀνάρσιοι, ἄδικοι, ἐχθροί. ἐκ τοῦ ἀρῶ τὸ ἁρμόζω. ὁ μέλλων αἰολικῶς, ἄρσω. ἐξ οὗ ἄρσιος, καὶ ἀνάρσιος, κατὰ στέρησιν τοῦ α, πλεονασμῷ τοῦ ν. ὁ ἀνάρμοστος, καὶ ἀσύμφωνος, πολέμιος. Ἰωνικῶς, ἀνάρσιος, νεῖκος, πόλεμος. Ἀνάρσιον, ἀβάσταχτον, ἀκαταφρόνητον, ἄλογον. Ἀνάρσιος, ἀνάρμοστος, ἄφιλος, ἐχθρός. οἱ γὰρ ἐχθροί, ἀλλήλοις οὐ συμβαίνουσιν. Ἀνάρτησις, ἀνακρέμασις. καὶ ἡ ἐπὶ ξύλου κατάλυσις. Ἀναρύτειν, ἀναντλεῖν. ἀπὸ τοῦ ἀρύεσθαι.

Ἀναρρυσάτω, ἐν ᾧ ὁ οἶνος ἀντλεῖται. Ἄναρχοι, ἀντὶ τοῦ ἀβασίλευτοι, δίχα ἄρχοντος. Ἄναρχον, ἐξ οὗ ἅπαντα γεγένηται. αὐτὸ δὲ, ἀγένητον. Ἀνασοβρῶσαι, εἰς ὀργὴν ἐμπλῆσαι. Ἀνασῶσαι, γεράσαι, ἀναλαβεῖν. Ἀνασείειν. ἐκδιώκειν. Ἀνασείσεις, ἀναπείθεις. Ἀνασειράζει, ἀνθέλκει, ἀνατρέπει, ἐν ἐπιγράμματι. ἀφ' ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω. Ἀνασπᾶν, ἀναφέρεσθαι. Ἀνασειράζω, τὸ τὸν ἵππον ἀναχαιτίζω. καὶ ἀνασειράζω, τὸ ἀναχαλινῶ, ἀνακόπτω. Ἀνασεσοβημένην, τὴν ἐσχημένον ἔχουσαν τὰς τρίχας, ἢ ἀνατεταμένας εἶναι. Ἀνασεσυρμένη, ἡ συρόμενον ἱμάτιον ἑταίρας, καὶ μέρος γυμνοῦσα, καὶ ἀνασεσυρμένην, ἄκοσμον, ἀσχημονοῦσα. τὸ, κωμῳδίαν ἀνασεσυρμένην, ἀπλημμελῆ. καλοῦσι δὲ τὴν μὲν σκωπτικὴν, ἐπίχαριν. τὴν δὲ σὺν γέλωτι, εὐτράπελον, ἀναιδέστερον. τὴν δ' ἀνασεσυρμένην, ἄπλαστον, καὶ ἁπλοῦν. οἷς ἐπακολουθεῖ καὶ τὴν ἀκαιρὸν, ἄηθεικὴν ἢ γελοίαν. τὴν δὲ λίπανον, οὐ καλλιστὴν, οὐ δὲ ὅμοιον. Ἀνασηκοῦν, τὸ προστιθέναι τὸ ἐλλεῖπον. Ἀνασηκῶσαι, ἀνταποδοῦναι, ἢ ἀναλαβεῖν.

Ἀνάσιλλος, ὁ ἀναφαλαντίας, ὅ ἐστι φαλακρός, ἄκοσμος τῆς κεφαλῆς. φέλα γὰρ, κόσμος τις. Ἀνάσιμον τρίχωμα, τὸ διὰ

τοῦ μετώπου

τος καὶ ἀκόρεστος, ὥς φησιν ὁ ποιητὴς ἐν Ὀδυσσείᾳ, Ὡς οὐδὲν ἅλις, μετὰ δὲ ἔσχατα γαστέρα μάργην, ἀρχῆς φαγέμεν καὶ πιέμεν. καὶ ἐπιφέρει, Ὃς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἐπέπεμψεν. ἀντὶ τοῦ πλανᾶσθαι, παρὰ τὸ ἅλις τὸ δαψιλῶς, γίνεται ἄλτος. καὶ κατὰ σύγκοπιν, ἄλδος. καὶ πλεονασμῷ τοῦ ν, ἄναλτος. ὃν ἀλθαίνεσθαι μὴ δυνάμενον, βαρύν. Ἀναλύει, ἀντὶ τοῦ συμπλοκὰς τινὰς πραγμάτων ἐξ ἀρχῆς διαλύει. ὅθεν καὶ ἀναλυτικὰ παρὰ Ἀριστοτέλει. καὶ ἀναλύει, ἀντὶ τοῦ ἐπανέρχεται. [illegible], Κἂν αἰσχρῶς ἀνάλυσιν ἐκ [illegible] ἀλίσκηται. καὶ ἀνάλυσις λέγεται, τὸ τοὺς συνθέτους συλλογισμοὺς ἀναγαγεῖν εἰς τοὺς ἁπλοῦς, καὶ εἰς τὰς προτάσεις, ἐξ ὧν αὐτοῖς τὸ εἶναι. Ἀναλέξων, ἀναπείθων. Ἀναλυθῆναι, τὸ καθαρτικῷ τινὶ χρήσασθαι φαρμάκῳ. Μένανδρος Ἥρωσιν. ἐπιφαρμακεύσει [illegible] ἀναλυθεὶς μόλις. Ἀναλῦσαι, τὸ βεβλαμμένον ἐπανορθῶσαι [illegible]. Ἀναλυσάμενος, ἀνακαλύψας. Ἀνάλυσις, ἐξάπλωσις. ὅρος γάρ ἐστι, λόγος κατὰ ἀνάλυσιν ἀπαρτίζων, ἐκφαινόμενος τοῦ ὁρισμοῦ κεφαλαιωδῶς. ἢ ἀνάλυσις, ἡ ἀπὸ σχήματος ἐπὶ σχῆμα τῶν τρόπων ἀναπλήρωσις. καὶ ἀνάλυσις ἡ ἀναφορά. Ἀναλύω, τὸ τὰ συντεθειμένα διαιρῶ, εἰς τὰ ἐξ ὧν συνετέθη. Ἀναλφάβητος, ἀμαθὴς γραμμάτων ἁπάντων. καὶ τὸ δὴ λεγόμενον, ἀναλφάβητος. Ἀναλῶ, ἐξ οὗ τὸ ἀναλίσκω παράγωγον. σημαίνει δὲ δύο, φθείρω, καὶ δαπανῶ. καὶ ἀνήλωσεν, ἀντὶ τοῦ ἔπλησε. Προκόπιος, Ὅσα δὲ τὴν ἐπισιτισμὸν ἀναλώσας, ἐκκόπτων. Ἀναλώτων, ἀχαρίστων. Οὐδὲ τοὺς ἀναλώτους ἄλλως ἀτυχεῖ. κυρίων γὰρ ἦν αὐτοῖς, πανταχῇ κρυπτῆναι ἐντυγχάνειν. ὅθεν ἀνάλωμα, καὶ προανάλωμα, ἡ ἔξοδος. Ἀνάλωσα, καὶ ἀνάλωσα, ἀττικοί. τὸ δὲ μετὰ αὐξήσεως ταῦτα λέγειν, οἷον ἀνήλωσα, κοινόν. ὡσαύτως καὶ ἐπὶ πάντων τῶν χρόνων τοῦ ποιοῦντος ῥήματος, τῶν διχρόνων αὐξήσεις. Ἀνάλωτος, ἀπόρθητος, ἰσχυρός. Ἀναμαθεῖν, ἐξ ἀρχῆς μανθάνειν. Ἀναμαιμάει, ἀναφαίνεται, ἀναφλέγει, ἀναζεῖ. Ἀναμαλάττεσθαι, ἀναφυρᾶν. καὶ ἀναμάττεσθαι, ὁμοίως.

Ἀναμάξεις, ἀντὶ τοῦ προστρίψεις. [illegible] δὲ, ἀντὶ τοῦ προσκολληθῆναι ποιήσεις. ὡς Ὅμηρος Ὀδυσσείας τ. καὶ ἀναμάξεις, ἀναψήσεις, ἀποτυπώσεις, ἀναλείψεις. Ἀναμασώμενοι, ἀντὶ τοῦ διαλογιζόμενοι, ἀναμιμνησκόμενοι, ἀναφανταζόμενοι. ὡς τό, Μόλις τὸ πρᾶγμα ἔγνωσαν, ἀναμασώμενοι οἱ ἱππεῖς. καὶ ἀναμασώμενοι, ἀναμασώμενοι, πρὸς τὸ χειμῶνα [illegible] Ἀριστοφάνης, ἐν [illegible]. Ἀναμασώμενος, ἀναλαβών. Ἀναμάσσων, ἀναξύων.

Ἀναμαχλιστήν, εἶδος γυναικείου κόσμου. Ἀναμάττεσθαι, ἀναφυρᾶν. Ἀναμάττει, ἄμακτα μὴ ἔχοντος. Ἀναμάχεσθαι, τὸ πάλιν μάχεσθαι. καὶ ἀναπαλαίειν, τὸ ἐκ δευτέρου παλαίειν. καὶ ἄλλα μυρία. καὶ ἀναμαχούμενον, ἐκ δευτέρου μαχεσόμενον. ὡς τό, Ὁ δὲ Νικίαν αὖθις ἧκεν, ἀναμαχούμενος τὴν πρόσθεν ἧτταν. Ἀνάμεινον, ἀντὶ τοῦ ὑπόμεινον. καὶ ἔστι μεταβατικόν. Εὔπολις, ἀνάμεινον δὲ φασγάνου τομάς. καὶ ἀνάμεινον, ἀντὶ τοῦ προσκαρτέρησον. Ἀριστοφάνης, ἀνάμεινον ὦ δαιμόνι' ἐὰν ξυμβῶσι. Ἀναμελλῆσαι, ἀναπαῦσαι, ἀρνήσασθαι. Ἀναμέλποντος, ὑμνοῦντος. μολπὴ γὰρ ὁ ὕμνος. Ἀνὰ μέρος, ἐν μέρει.

Ἀνὰ μέσον, ἐν μέσῳ. Ἀναμετρήσωμαι, διαπεράσωμαι. Μήποτε εἰς ῥᾳδίαν ἔκπλειν, μήτε τὴν πολλὴν θάλασσαν ἀναμετρεῖν.

Ἀναμετροῦνται, ἀντὶ τοῦ ὑφίστανται. Αἰλιανός, Οἱ τὴν θάλατταν ἐμπλέοντες, οὐ μικροῦ κέρδους ἕνεκα ἀναμετροῦνται κινδύνους. Ἀναμιγῶ, ἀντὶ τοῦ διαμιγῶ, αἰολικῇ συντάξει. ἀναμιγῶ, τὸ μιχθὲν ἐξ ἀρχῆς ἀναλαμβάνω πάλιν, ἐφ' ᾧ γε μιχθῆναι. Ἀναμιμνήσκει, μὴ ἀπολέσθαι. Ἀναμέρεσθαι, ἀναστῆναι. Ἀναμίλλητον, ἀφιλόνεικον, καὶ ἀναμφίλεκτον.

Ἀναμιμνήσκομαι, σὺν ἐπιρρ. [illegible] ἀναμιμνήσκω δὲ ἕτερον. Ἀριστοφάνης, ἀναμίμνησκέ με τοῦ ὀλοκληρίου. καὶ ἀναμιμνήσκομαι τοῦ [illegible]. Ἀναμιμνήσκουσι τῶν δ', ἄγουσι, ἃ ἀνεβάλλοντο τοῖς καμοῖς, αὖθις τούτων σε εἰς μνήμην ἄγω. ὁ οὗτος ὑπομιμνήσκω σε τῶν γεγενημένων. καὶ ἀναμνησθὲν [illegible], ὁ τοῦ ἐπείσατο.

Ἀναμίξ, ἀναμίγδην, ἀναμεμιγμένως. Ἄναμμα, πρῆσθαι δὲ τὰ ἔμπυρα καὶ τὰ ἄλλα ἄστρα, τὸν μὲν ἥλιον ἐκ μεγάλης θαλάττης νοερὸν ὄντα, ἄναμμα. τὴν δὲ σελήνην, ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν, καὶ πρόσγειον οὖσαν. Ἀνάμνησις, μνήμης ἐξίτηλου γενομένης ἀνανέωσις, ἢ εὕρεσις φαντάσματος. ἀρξαμένη γὰρ ἀπὸ τῆς ψυχῆς, διαβαίνει ἐπὶ τὸ ἐγνωσμένον. ἀναμνησθέντες γὰρ φοβεροῦ τινος ἡμῖν γεγονότος, ὠχριάσαμεν. ἢ τοῦ γλυκέος ἀναμνησθέντος, ἐμειδιάσαμεν. Ἀναμονή, μακροθυμία. Ἀναμορμύρουσαν, ἀνίσχει, ἀνταράσσουσαν. Ἀναμοχλευόντων, ἀνορυσσόντων, ἀνασκοπούντων. Βιαζομένων δὲ αὐτῶν, καὶ τὰς θύρας ἀναμοχλευόντων. Ἀναμπλάκητοι, αἱ εἰς μηδὲν ἁμαρτάνουσαι, ἀλλὰ πάντων κρατοῦσαι, ἢ ἄφυκτοι, ἀπαλλακτοι, ἀπροσπέλαστοι, ἄφευκτοι. ὡς οὐκ ἔστιν ἀποφυγεῖν. Ἀναμύειν, ἀναβλέπειν. Ἀναμυρισάμενος, χρηματισάμενος. Ἀναμφιλέκτως, ἀναντιλέκτως, ἀναμφισβητήτως. Ἀναμφίλογον, ἀναμφίβολον. καὶ ἀναμφίλογος, ὁ ἀναμφισβήτητος. Ἄναυ, ἄνευ.

Ἄνανδρος, οὐκ ἐνεργόν, ἢ ἀληθές. Ἄνανδρον, χήραν.

Ἄναυδος, ἄφωνος. Ἀνανέμειν, ἴσον τῷ ἀναγιγνώσκειν. οὕτως Ἐπίχαρμος. Ἡρόδοτος δὲ ἀνανέμεσθαι, ἐπὶ τοῦ καταλέγειν τὸ θανεῖν. Ἀνανεοῦμαι τῇ μνήμῃ τόδε, κάλλιον λέγειν, ἢ εἰς μνήμην λαμβάνειν. Λιβάνιος, ἀνανεοῦμαι τῇ μνήμῃ τὴν ὀργὴν [illegible]. καὶ ἀνανεοῦμαι τὴν οἰκίαν, ἤγουν ἀνακαινίζω, ἀνανεῶ ἐπὶ [illegible] ἀλόκισμον. Ἀνανεύων, παραιτούμενος. Ἀνανεωσάμενος, ἀνακαινίσας, ἢ ἀνεγείρας, ἢ ἀναμνησθεὶς, εἰς ἔννοιαν ἐλθών. Ἀνανιόν, οὐ συντίθεται πρός τι. Ἀνανεύσας, διακλίνουσα. Ἀναξασθαι, ἀνακαλύψαι. Ἀνανῆψαι, σωφρονῆσαι. Ἀνάνιον, ἄλυπον, κατὰ στέρησιν τῆς ἀνίας, ἀβλαβές. καὶ ἀνάνιος, ἀπράγμων, ἄλυπος. καὶ ἀνανίως, τὸ ἀλύπως.

Ἀναντικόν, ἀναλογισμόν. ἀνάντημα γὰρ τὸ ὑψηλόν, Εὔπολις. Ἀνανταπόδοτον, σχῆμα ἔλλειψις τῶν ἀποδόσεων. ὡς παρ' Ὁμήρῳ. τό, Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί. λείπει τό, παύσομαι, ἢ ἡσυχάσω. Ἄναντα, τὰ προσάντη καὶ ἀνωφερῆ. κάταντα δὲ, τὰ κατωφερῆ. πάραντα δὲ, ὡς ἐν ῥητορικοῖς κεῖται λεξικοῖς, τὰ πλάγια, ἐγκεκλιμένα, ἢ προσήμαλα, καὶ γεώλοφα. λόχμια δὲ, τὰ πλάγια. τούτοις δὲ πᾶσιν ἡ πεδιὰς ἀντικειμένη [illegible]. ἴσιον δὲ, ὅτι τὸ ἄναντα, ἐκ τοῦ ἀναβαίνειν δοκεῖ συγκεῖσθαι. ὡς γὰρ ἐξ ἐλαίας ἐλάϊνον, καὶ ἐξ [illegible], οὕτω καὶ ἀνάντης, ἄναντος. ὅθεν τὸ ἄναντα. τὸ δὲ αὐτὸ, καὶ ἐκ τοῦ κάταντα, καὶ πάραντα, πρὸς ὁμοιότητα τοῦ ἐναντία, ἔναντα. Ἀνανταγώνιστος, ἀκαταμάχητος. ἀνανταγώνιστος ἦν ἡ ῥωμαίων ὁρμή, καὶ δυσάλωτος τοῖς ἐντυγχάνουσιν. Ἀνάντης τόπος, ἤγουν ἀνωφερής. ὁ ἐναντίον ἐστὶ τὸ κατάντης, ἤγουν κατωφερής. λέγεται δὲ καὶ ἀνάντη ξύλα, καὶ κατάντη, τὰ ἄνω φερόμενα καὶ κάτω, καὶ ἀνωφερῆ, καὶ κατωφερῆ, ἐπὶ τῶν αὐτῶν.

Ἀναντίῤῥητον, τὸ ἀντιλογίαν μὴ δεχόμενον. Ἄναξ, θεός τε ἡ λέξις. παρὰ τὸ τὴν ἄνω τάξιν ἔχειν. ἢ ὁ ἄνω ἄγων, κατὰ δύναμιν τοῦ κρείττονος, ἢ πρὸς ὃν πάντα ἀναφέρομεν. δηλοῖ δὲ καὶ Εὐριπίδης τὴν τῆς λέξεως θειότητα. εἶχεν ἐν φαλάγγι. ἄναξ. θεοὺς γὰρ ἀνάσσοντας καλεῖν χρεών. καὶ ἄνακες, οἱ Διόσκουροι, ὡς φαρμακοί. τὸ δὲ ἄναξ ὄνομα, σημαίνει τρία. τὸν θεόν, ὡς τό, Ὃς φίλαπον ἄνακτα. τὸν βασιλέα, ὡς τό, Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν. τὸν δεσπότην, ὡς τό, Αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο. Ἀλλως. Ἄναξ γίνεται παρὰ τὸ ἀνακῶς, ὅ ἐστιν ἐπιμελῶς. ἔστι γὰρ ἐν χρήσει ἀνακῶς, ἀντὶ τοῦ φροντιστικῶς, ἐπιμελῶς, πεφυλαγμένως. ἔστι δὲ θεία τις λέξις τὸ ἄναξ, ἀπὸ τῶν Διοσκούρων. Αἴλιος γοῦν Διονύσιος ἄνακας τοὺς Διοσκούρους φησὶ λέγεσθαι, ὡς ἀνακῶς καὶ κατανέχοντας φησίν, ἀνακοῦν διοικεῖν. Παυσανίας δὲ

λέγων

πάντας καθόλου. οἱ δὲ ἔφασαν ἀνακρατέστερον. Ἀνακρεμάσας, σείσας, βαλών. Ἀνάκρατος, ἰσχυρὸς ἐν κεφαλαίῳ. ἢ κατὰ τὴν κεφαλήν, ἢ παντελῶς. Ἀνάκρασις, ἡ ἀνάκρασις. Ἀνακρίνειν, ἐξετάζειν, ἀναπυνθάνεσθαι, ἐπερωτᾶν, ἐλέγχειν, βασανίζειν, εἰς ταὐτὸν φέρουσι. τὰ μὲν ἁπλῶς οὕτωσί, τὰ δὲ καὶ μετὰ βίας. Ἀνακρίνω, τὸ πραχθὲν ἐξετάζω, εἰ καλῶς ἢ κακῶς ἐπράχθη. Ἀνάκρισις, ἡ ἐξέτασις. Ἀνακρούσασθαι, ἐπανέσθαι, ὑποστρέψαι. ὁ δὲ πολέμιος, πάντα ἐκεῖθεν ἀνακρούσασθαι, τοῦ εὐφανοῦς αὐτὸν ἀπαλλαχθέντος. Ἀνακρούεσθαι, ἐπὶ τῶν κρουομένων ὀργάνων. λέγεται καὶ ἀντὶ τοῦ μέλλειν ἁπλῶς. Ἀνακρούεται, ἀναχαιτίζει. Ἀνακρουόμεθα, ἀναχαιτιζόμεθα. Ἀνακρούσασθαι, ἐπὶ ναυμαχίας, τὸ συμβάλλειν, καὶ πάλιν ἀναδύεσθαι. Ἀνακρουσία, παιδιᾶς εἶδος ἐπὶ σφαίρας. Ἀνακτᾶσθαι, ἀντὶ τοῦ θεραπεύειν. Θουκυδίδης. τίθεται δὲ ἡ λέξις, καὶ ἐπὶ τοῦ, τὸ προαπολωλὸς αὖθις κτήσασθαι, καὶ ἀπολαβεῖν. Ἀνακτᾶται, ἐξ ἀρχῆς κτᾶται. Ἄνακτες, οἱ θεοί, καὶ οἱ βασιλεῖς. ἄνακτες δὲ εἴρηται παρὰ τὸ τὴν ἄνω τάξιν ἔχειν. ἢ ὁ ἄνω εἰδώς, ἢ πρὸς ὃν πάντα ἀναφέρομεν. σημαίνει δέ, τὸν βασιλέα, καὶ τὸν οἰκοδεσπότην. ὡς τό, αὐτὰρ ἐγὼ οἴκοιο ἄναξ ἔσομ' ἡμετέροιο. σημαίνει καὶ τὴν φυλακήν. Ἄλλως. Ἄνακτες, καὶ ἄνακτες, Διοσκούρους ἐν τῇ κυρίᾳ ἐκάλουν. καλοῦνται δὲ οἱ μὲν υἱοί, καὶ ἀδελφοὶ τοῦ βασιλέως, ἄνακτες. αἱ δὲ ἀδελφαί καὶ γυναῖκες, ἄνασσαι. καὶ ἀνάκτορα, τὰ ἱερά, ἢ τὰ βασίλεια. Ἀνακτοτελεστήρ, τελεστήρ(?). Ἀνακτόρων, ἀνακτορίων(?). Ἀνακτορίαν, δεσποτείαν, βασιλείαν. Ἀνακτορίας ὕδωρ παρ' Ὁμήρῳ. Ἀρίσταρχος μέν, τὰς δεσποτικάς φησιν. Ἀπολλόδωρος δέ, ὧν ἐπιστάτης ἀρέσκειν(?). ὁ ἱερεύς, ἄρχει. ἀπὸ τοῦ πιεῖν δὲ ἀνάσσειν, γίνεται καὶ χρήματα, ὅτι χορός, ἢ τοῦ ἐν χρείαις ἀνάσσειν. Ἀνακτορίοισι, ταῖς δεσποτικαῖς, ἢ βασιλικαῖς θεραπείαις. Ἡσίοδος, παῖς ὤν ἀνακτορίας δεσπόσυνος, ἀμύνειν ἀνακτορίοισιν ἐπίσχες(?).

Ἀνακτόρου, ἱεροῦ. καὶ ἀνακτόρων, ἱερατειῶν. Ἀνάκτορον, ἄδυτον. Δημοσθένης ἐν τῷ περὶ στεφάνου, ἱερὸν τῶν Διοσκούρων, λέγεται δὲ ἀνάκειον. καὶ τὸ τῆς Δήμητρος ἱερόν, ὃ καὶ μέγαρον καλοῦσιν, ὅπου τὰ ἀνάκτορα τίθεται. Ἀνακτόρων, οἴκων. ἢ οἴκων βασιλέων. Ἄνακτος, γυναικός, ἐκ τοῦ ἄναξ. διὰ πλεονασμὸν ἔχει τὸ τ, διδοὺς τὸ ἀνάκτορον(?) Διόσκουροι. Ἀνακτοτελεσταί, οἱ τὰς τελετὰς ἐπιτελοῦντες τῶν ἱερῶν. Ἀνακυκῶμαι ἀττικῶς, τὸ λέγεις ἢ φαρμάσσεις τὴν ἀθροισθέντα ζωὴν ἔχειν πως. Ἄνακτορ, θεός, βασιλεύς. Ἀνακυκλοῦν, τὸ ὀρθόν. Ἀνακυκλεῖν, ῥήγνυσθαι(?). Ἀνακυπτῆσαι, ἀνατρέψαι. Ἀνακυρτοῦσαι, ἀνακυρτοῦσαι, ἀνατιθεῖσαι. Ἀνακῶς, ἀντὶ τοῦ ἐπιμελῶς λέγουσιν οἱ ἴωνες, καὶ φυλακτικῶς. ἢ βασιλικῶς. Ἀνακωχεύειν, παρὰ Σοφοκλεῖ, τὸ ἀνακράζειν. καὶ ἀνακωχεύειν, τὸ ἐν πελάγει χειμῶνος ὄντος, συστείλαντας τὰ ὀθόνια σαλεύειν. ἢ ἀνακωχεύειν κυρίως μὲν λέγεται, ὅταν χειμῶνος ὄντος, ἐν πελάγει στείλαντες τὰ ἄρμενα, σαλεύωσιν αὐτόθι μὴ διαμαχόμενοι τοῖς πνεύμασι. μεταφορικῶς δέ, καὶ ἐπὶ ἅρματος λέγεται. ὡς τό, οὐ διαμιλλώμενοι, ἀλλ' ἀφιέντες τὸν τῶν ἵππων ἐλαύνοντα, καὶ ἠρέμα ἐλαύνειν. σημαίνει καὶ τὸ ἐν πολέμῳ ὁμιλεῖν, παρὰ τὸ ἄνω τὰς ἀνοχὰς ἔχειν. καὶ τὸ ἀναχωρεῖν. Ἀνακωχή, ἡ πρὸς καιρὸν ἀναβολὴ τοῦ πολέμου. διὰ εἰρήνην ἄγοντα τὰ στρατεύματα, ὅτε τὰς ἀνοχὰς ἔχουσι, τουτέστι τὰς αἰχμάς. ἀνακωχὴ οὖν, καὶ ἀνακωχή. ἐκ μεταφορᾶς τῆς λέγεται, καὶ ἐπὶ τῶν ἐμφρονούντων, εἶτα πρὸς καιρὸν διαλειπόντων. Ἀνακωχεύοντες, ἀναχωροῦντες. ἢ μετεώρους κατέχοντες τὰς ναῦς. Ἀναλαβεῖν, ἀντὶ τοῦ ἀνακαλέσασθαι. καὶ εἰς ὀρθὸν στῆσαι. Ἀναλάμπτα(?), τὰ οἱ πρὸς ἠλακάτην ἐργαζόμενα. Ἀναλαμβάνει, ἀντὶ τοῦ ἀναλίσκεται. καὶ ἀναλαμβάνει ἑαυτὸν ἐκ νόσου, ἢ ἀναλαμβάνει τὸ σῶμα τῆς νόσου, ἀντὶ τοῦ ἀνακομίζεται καὶ ἀναλαμβάνεται. ὅθεν ἀναληπτικὴ τροφή, παρὰ τοῖς μεγάλοις βασιλεῦσι. καὶ ἀναλαμβάνων, τὸν ξένον διαιτίζων, φιλοφρονεῖσθαι. Ἀναλαμβάνομαι, τὸ ἀναλίσκομαι, καὶ ἐπανακτῶμαι, αἰτιατικῇ συντάσσεται. ἀναλαμβάνομαι δὲ ἐγώ, ἐπὶ παθητικῆς. Ἀναλέγειν, ἀποσυλλέγειν, ἀναγινώσκειν. Ἀναλγής, ὁ μὴ ἀλγούμενος νοσήματι. ἀνάλγητος δέ, ὁ τοῦ προσήκοντος μὴ ἐπιστρεφόμενος. καὶ ἀνάλγητος, δυσμετάβλητος, ἀναλγής, ἀπαθής, ἀναιδής, σκληρός, δυσμετάβλητος. Ἀναλγησία, ἀναισθησία. Ἀνάλγητοι, ἀναιδεῖς, ἢ ἀμέριμνοι. Ἀναλδές, ἄτροφον, παρὰ τὸ ἀλδαίνω, ἢ ὅ ἐστιν αὔξω. Ἀναλδίσκοντες, ἀναλδόμενοι, αὐξανόμενοι. Ἀναλδον, ἄναυξες, ἀνυπέροχον. Ἀναλέγομαι, ἀπολέγομαι, ἐκλέγομαι, ἀπολέγω. Παρθένος ἀπολέξας, καὶ ἐκλέξας. καὶ ἐπιλέγομαι, τὸ αὐτό, καὶ τὸ ἀναγινώσκω. Ἀρριανός, ἐπιλεγόμενος τῶν τεθνηκότων τὰ ὀνόματα. Ἀναλέγειν κυρίως, τὸ τὰ διεσπαρμένα, καθ' ἕν ἄνω ἕλκειν τινά. οἷον ἀναλέγουσιν αἱ ὄρνιθες ἀπὸ γῆς τὰ σπέρματα. Ἀναλέγεται, αἰτιατικῇ. τὸ ἀναμφιβόλως ἔχει, ἐνοεῖτο(?). Ἀναλεῖ, χολαῖς(?), ταραττομένοις(?). Ἀναλείφθαι, ἀναλῦσαι(?). Ἀναλειφθεὶς, ἀνακεχρισμένος, νόσους(?). ὁ δὲ ἀναλειφθεὶς τὴν ἐπιστολήν. Ἀνάλημμα, ὕψωμα, οἰκοδόμημα. Κατανοήσας τὸ βάθος τῶν ἀναλημμάτων, καὶ ὡς ἀδύνατόν ἐστι σαλεῦσαι τὰ τείχη, ἐκ χειρὸς τὴν μάχην ἐποίησεν. Ἀναλῆσαι, ἀναστρέψαι.

Ἀναλήψεσθαι, ἀνακτήσασθαι. ὁ δὲ ἔλεγεν ἀναλήψεσθαι τὸ πρότερον πταῖσμα, ταῖς εἰς τὸ μέλλον ἀρεταῖς. Ἀνάληψις, ἡ ἀνάρρωσις. Ξενοφῶν ἐπεύχετο, ὑπὲρ ἀναλήψεως καὶ θεραπείας τῶν ἀνθρώπων. Ἀναλθής, ἀνίατος, ἀνυπέροχον, ἀναίσθητον. Ἀναλιβόγορα, τόπος. Ἀναλίγκιον, ἀνόμοιον. Ἀναλίσκω, τὸ τρέφω, καὶ δαπανῶ. Ἀναλκατάλλα(?), ἄνευ βίας(?). Ἄναλκις, ἀσθενής, ἀδύνατον. Ἀναλκής, ἄνανδρος, ἀσθενής. Ἀναλκίδα, ἀσθενῆ. Ἀναλογεῖον ἐν ᾧ τίθεται τὰ βιβλία. Ἀναλλάττειν, καὶ ἀναλλάξ, ἐπὶ τῶν ταναντία ποιούντων λέγεται. Ἀναλλοίωτος, ἄτρεπτος. Ἀναλδύρεσθαι, ἀναθρηνοῦσι, λυπαίνουσι. ἔστι δέ τι πάθος γινόμενον τοῖς μετὰ συμπαθείας πολλῆς κλαίουσιν.

Ἀναλογάδην, κατ' ἀναλογίαν. Ἀναλογία, τὸ λέγειν, ὃν λόγον ἔχει ὁ δύο ἀριθμὸς πρὸς τὸν τέσσαρα, τοῦτον ὁ τρία πρὸς τὸν ἕξ. ἀμφότερα γὰρ διπλάσια, ἢ ἀναλογία ἐστίν, ἢ τὸ πολυχιδὲς τῶν ἀνθρώπων φθέγμα, συντόμως παραδίδωσιν. ἢ ἀναλογία ἐστίν, ἡ τῶν λεγομένων ὁμοιότης. οἷον, ὡς τόδε, πρὸς τόδε, οὕτω καὶ τόδε πρὸς τόδε. ὡς ἂν λέγοιμι νόημα πρὸς τὴν ἁπλῆν φωνήν, οὕτω καὶ σύνθετον νόημα πρὸς τὴν σύνθετον φωνήν. ἢ ὁμοίωσις ἑτέρου πρὸς ἕτερον κατά τι. οἷον, ὡς ἔχει ἐπὶ ποιμένος πρόβατον, καὶ ἐπὶ ἐπισκόπου. καὶ ὡς ἐπὶ σοφῶν πραββάτι(?), καὶ ἐπὶ σοφῶν κτλ. ἀμφότεροι γὰρ ὅλον τὸ σῶμα βαστάζουσιν. γίνεται δὲ παρὰ τὸ λόγος, λογία, ἀλογία, καὶ ἀναλογία. αἱ γὰρ δύο στερήσεις ὁμοῦ οὖσαι, κατάφασιν ποιοῦσιν, ὡς πυστά, ἄπυστα, καὶ ἀνάπυστα, τὰ περιβόητα. καὶ πηρόν, ἄπηρον καὶ ἀνάπηρον τὸν πεπηρωμένον. Ἀναλογίζομαι, τὸ ἐνθυμοῦμαι, αἰτιατικῇ συντάσσεται. καὶ ἀναλογίζομαι, τὸ ἀναπεμπάζομαι, ἀναπολῶ, ἀναπεμπάζω. Ἀνάλογος, ἰσχυρός. Ἀναλόγως, ὁμοίως, ἴσως. Ἀναλογώτερον, τὸ ὑψηλότερον, τὸ σοφώτερον, τὸ ἀναλογώτερον. Ἀναλοῦντες, ἀντὶ τοῦ ἀναιροῦντες. οὕτω Θουκυδίδης. καὶ ἀναλῶν, καὶ ἀναλοῦν.

Ἀναλῶ, ἐξ οὗ τὸ ἀναλίσκω παράγωγον. σημαίνει δὲ τὸ φθείρω, καὶ δαπανῶ, ἐξ οὗ καὶ ἀνάλωμα. Ἄναλτον, τὸ χωρὶς ἁλός, ἤγουν ἄχυρον, καὶ μὴ ἅλμην ἔχον, καὶ ἀνήρτυτον, καὶ ἀηδές, ὡς ἐκ μεταφορᾶς ἐλεγμένων τῶν οὐκ ἐχόντων ἅλας. σημαίνει ἔτι παρ' Ὁμήρῳ καὶ τὸν ἀπλήρωτον, ἤγουν ἀκόρεστον. οἷον, ἄναλτος γαστήρ, ὁ ἀπλήρωτος, καὶ μηδέποτε ἅλις ἔχουσα. ἢ διὰ ἐν ταπεινότητι οὖσα, καὶ μὴ ἀλδαινομένη. ὅ ἐστιν, αὐξομένη ἐν τῷ κορέννυσθαι. Ἄναλτος, ὁ ἄναλος, ἀπὸ τῶν ὄψων τῶν μὴ ἐχόντων ἅλας, καὶ ἀναλῶν ὄντων. σημαίνει δὲ καὶ τὸν ἄχαριν, ὁ ἀναπαιδής(?). ἢ ἄναυξες, καὶ ἀτελής, παρὰ τὸ ἄλδω τὸ αὐξάνω. ἢ ὁ ἀπλήρω-

θεὸς οὐδὲ ἐσθίουσιν. περὶ τοῦ ἁγίου Δανιὴλ φησίν, ὁ λογοθέτης εἰς ἐπίγραμμα, λῦσον τοῦ κλοιοῦ αὐτοῦ. Ἀναίμων, ἀναιμάκτων.

Ἀναιμωτὶ διακριθῆναι, παροιμιώδης γέγονε. δηλοῦσι, τὸ δίχα μάχης λυθῆναι. Ἀναίνεσθαι, κοινῶς μὲν τὸ ἀρνεῖσθαι. ἰδίως δέ, ἐπὶ τοῦ κατὰ τοὺς γάμους καὶ τὰ ἀφροδίσια. καὶ ἀναίνομαι, ἀπαρνοῦμαι, παραιτοῦμαι. ἢ τὸ ἀναίνεσθαι, ταυτόν ἐστι τῷ μὴ αἰνεῖν, ὅπερ ἐστὶ ἐπαινεῖν, ἢ συγκατατίθεσθαι. παρὰ τὸ α στερητικόν, καὶ τὸ αἶνον, ὃς δηλοῖ συγκατάθεσιν. ἐξ οὗ καὶ ἡ συναίνεσις, καὶ τὸ συναινεῖν, καὶ συγκατανεύειν. Ἀναίνεται, καὶ ἀναίνετο, ἀρνεῖται, παραιτεῖται. ἀρνεῖται, καὶ παραιτεῖται. ἐκ τοῦ ἀρνῶ, ἐξ οὗ καὶ τὸ ἀρνοῦμαι, γίνεται ἀρναίνω. καὶ ἐν ἐνδείᾳ τοῦ ρ ἀναίνω, καὶ ἀναίνομαι. Ἀναιρεθείς, ἀντὶ τοῦ ἀναληφθείς. οὕτως ἐν Θυράτης. Ἀναιρεῖ, ἀττικῶς, ἀντὶ τοῦ φονεύει. καὶ ἀναιρεῖ, ἀντὶ τοῦ ἐκβάλλει, καὶ ἀφανίζει. Μάξιμος. καὶ τὰ μαντεῖα ἀναιρεῖ, καὶ ταῖς φήμαις ἀπιστεῖ. καὶ ἀναιρεῖ, ἀντὶ τοῦ νικᾷ. Ἡρόδοτος, Ὀλυμπίαν ἀνῃρηκώς. ἀναιρεῖται δὲ παθητικῶς, ἀντὶ τοῦ φονεύεται, καὶ ἀντὶ τοῦ ἀναλαμβάνει, καὶ ἰδιοποιεῖται. Ἑρμογένης, Ἐριφίδιον ἀθλοφορεῖ τὰ γένη, μεγαρεῖς ἀναιρούμενοι ἔτρεφον. Ἄλλως. Ἀναιρεῖν, φονεύειν, κτείνειν, ἀποκτείνειν, ἀποκτιννύειν, ἀνακλεύειν, σφάττειν, ἀποσφάττειν, δολοφονεῖν, μιαιφονεῖν, ἀπαγχθῆναι, καὶ διαχρᾶσθαι. καὶ τὰ ὅμοια, ταῦτα σημαίνει. τὰ δὲ πράγματα, ἀναίρεσις, φόνος, σφαγή, μιαιφονία, ἀνδροφονία. ἐπίρρημα μόνον, φονικῶς. ὀνόματα δὲ ἀνδροφόνος, φονεύς, φονικός, σφαγεύς, μιαιφόνος. Ἀναίρεσις ἡ τοῦ κάρφου ἐκβολή, καὶ τὸ ἄλλως θανατοῦσθαι, καὶ ἡ ἐκ... ἀφαίρεσις. λαμβάνεται δὲ καὶ ἐπὶ ἀνατροπῆς. Ἀναιρετής, φονευτής, ἰατρικός. Ἀναιρεῖσθαι, ἀπολέσθαι τι διαρρήδην κείμενον. τοιοῦτόν ἐστι, καὶ τὸ πρὸ ὀλίγου μετὰ φ... τὸ αἴθλιον πατρός, καλὰ ἀπολέσθαι. Ἄνακρον, ἄγριον. κρυπτόν. Ἀναιρεῖ, οὐ μόνον τὸ φονεύει, ἀλλὰ καὶ τὸ μαντεύεται. καὶ ἀναιροῦμαι, οὐ μόνον τὸ φονεύομαι, ἀλλὰ καὶ τὸ ἀναλαμβάνω, καὶ τὸ ἀνέλκω. ὡς τό, ἀνῄρητο τὸν βωμόν, βαρὺ κινάξας. καὶ τό, πάντας εἰς ἔπαινον ἀνῄρηται. καὶ ἀναιροῦμαι, τὸ μαντείαν δέχομαι. Ἀρχίλοχος, Πῶς οὐκ εὔλογον, καὶ πάλαισον, παρὰ θεοῦ ... ἀνῃρῆσθαι. ἀντὶ μαντεύεσθαι. καὶ τὰ πράγματα, ἀναίρεσις, ὁ φόνος. καὶ ἀναίρεσις, ἡ ἀνάληψις. οἷον, ἀναίρεσις τῶν ὅπλων, καὶ ἀναίρεσις τῶν νεκρῶν. Ἀναισθητεύομαι, τὸ μὲν ὄνομα ἀναίσθητος, Δημοσθένης. τὸ δὲ ῥῆμα, οὐκέτι. λέγει οὖν, οὐκ αἰσθάνομαι. διὸ ἀναισθητεύομαι μὴ εἴπῃς, ἀλλ' ἀναισθήτως ἔχω. Ἀναισιμοῦν, δαπανᾶν, ἀναλίσκειν. Ἀναισιμώματα, ἀναλώματα.

Ἀναίτιος, ἀθῷος, ἀνέγκλητος. Ἄναιτος, ἀβλαβής, ἀναίτιος. Χερσονήσου πόλις ... ἀπαλλαχθῇ. Ἀνακαγχάσαι λέγεται, τὸ ἀσμένως γελᾶν. Ἀνακαθαίρομαι, οὐ μόνον τὸ καθαρὸς γίνομαι, ἀλλὰ τὸ καθαίρω. Λιβάνιος, Πάντα τὸν τρόπον ἐπῆλθεν ἀνακαθαιρόμενος γῆν τε καὶ θάλασσαν. Ἀνακάθαρσις, διάκρισις, διασάφησις, ἐπίλυσις, διακρίνησις. Ἀνακαθίζομαι, τὸ ἀνακαθίζω. Ἀνακαίνισις. ... φυλῆς ἐπιδοθείσης ἡ ἀνακαίνωσις. Ἀνακαίειν, ἀνάπτειν. Ἀνακαίνισις, ἡ ἀνανέωσις. λέγεται δὲ καὶ ἀνακαίνωσις. Ἀνάκαιον, τὸ δεσμωτήριον, εἰς ὃ κατετίθεντο τοὺς πονηροὺς δούλους, καὶ τοὺς ἀπειθοῦντας τῶν ἀφειμένων. Ἀνακαλεῖ τις ἐκεῖνα, ὑποστρέφει εἰς τὴν προτέραν ... ἀνακαλεῖται δέ τις, ὁ ἀνακαλούμενος. Ἀνακαλοῦμαι παθητικῶς προφερόμενον, οὐδεμίαν ἔχει σημασίαν, καὶ τίθεται ἀντὶ τοῦ ἀναδέχομαι, καὶ ἀντὶ τοῦ ἀναλαμβάνω. οἷον, ὀργισθεὶς ὁ βασιλεύς, εἶτα ἀνεκαλέσατο αὐτόν. καὶ ἀντὶ τοῦ ἐπικαλοῦμαι. οἷον, ἀνακαλεῖν τὸν ἥλιον. ἀντὶ τοῦ ... ἀπολλύειν ... τῶν ἐχθρῶν. εἶτ' αὖθις ... πολέμια ταῦτα ἀνακαλεῖ. ἀντὶ τοῦ πολεμῶν ἐκκαλεῖ καὶ ἐπανίστησιν. Ἀνακαλούμενος, ἀνακτώμενος. Ὁ δὲ ἐπειρᾶτο ἀνακαλεῖσθαι τὰς τῶν ὑποτεταγμένων εὐνοίας καὶ προθυμίας. Ἀνακαλυπτήρια, τὰ διδόμενα δῶρα ταῖς νύμφαις, ὅταν πρῶτον ἀνακαλύπτωνται, ὥστε ὁρᾶσθαι τοῖς ἀνδράσι. καλεῖται δὲ αὐτὰ καὶ ἐπαύλια. ταῦτα δ' εἰσὶ τὰ παρ' ἡμῖν θεώρετρα. Ἀνακαμψέρως, φυτόν τι, ὃ καὶ ἄρθεν αὖθις ζῇ. Ἀνακαμψίπνοος, ὁ κατὰ κίον καλούμενος ἄνεμος. Ἀνάκανθα, ... ἀκανθώ.

Ἄνακες, οἱ Διόσκουροι. τὸ ἄνεκας, ἐν ὕψει, ἄνω. Ἀνακάψαι, καταφαγεῖν, ἀποτρῶξαι. Ἀνακείμενος, ὁ ἀνακεκλιμένος, καὶ ... θυμῶν. καὶ ἀνακείμενος, ὁ ἀνατεθειμένος. οἷον, ἀνακείμενος ἀνδριάς. Ἀνάκεια, Διοσκούρων ἑορτὴ τὰ ἀνάκεια. Ἀνάκειον, ἱερόν. ἢ τὸ τῶν Διοσκούρων ἱερόν. Ἀνακείσθαι, ἀνατεθῆναι. Ἀνακεῖσθαι, λέγεται κυρίως ἐπὶ τῶν ἀναθημάτων, καὶ ἐπὶ τῶν ἀνδριάντων. κατακεῖσθαι δὲ καὶ κατακεκλίσθαι, ἐπὶ ζώντων. καὶ ἀνακεῖσθαι πολλάκις, ἀντὶ τοῦ κατακεῖσθαι. Ἀνάκειται, λέγεται ἐπὶ ἱερῶν, ἀντὶ τοῦ ἀνατίθεται. οἷον, ἀνάκειται δῶρον τῷ θεῷ, τὸ τοῦ βασιλέως διάδημα. καὶ ἀνάκειται ἀνδριὰς τοῦ βασιλέως τῷ θεῷ. ἐξ οὗ, καὶ ἀνάθημα. ἀνάκειται καὶ τὸ ἐπὶ κλίνης κεῖσθαι. ἀνάκειται, καὶ ἐπὶ συμποσίου λέγεται. οἷον, ἀνάκειται ὁ εὐνοῦχος ... σκώμμασιν, ἀντὶ τοῦ σκώπτεται. καὶ ἀνάκειται λοιδορίαις, καὶ ἀνάκειται πόρνοις καὶ κώμοις, συμποσίοις, ἀντὶ τοῦ προσέχεται ἰσχυρῶς. Ἀνακεκαλυμμένως, ἀπαρακαλύπτως, φανερῶς.

Ἀνακεκώφηκας. Ἀριστοφάνης, Τὰς ἀκοὰς ἡμῶν κεκώφηκας ... βοῶν ἀπληρώτως. Ἀνακεφαλαιοῖ, ἀναπληροῖ, ἀνακτίζει, καὶ ἀνακεφαλαιοῦται, συμπληροῦται, ἐπαναλαμβάνεται.

Ἀνακεφαλαίωσις, ἡ ἐξ ἀρχῆς ἐργασία. Ἀνακεχυμένη, ἀνειμένη, κεχαυνωμένη. Ἀνακεχωρηκότων. Ὁ δὲ ἐκτὸς ... τρεῖς, καὶ δύο ... συλλαβὼν καὶ ἀνακεχωρηκότων. ἀντὶ τοῦ ἀπογεγονότων. λέγει, περὶ ... τοῦ Χερσωνος. Ἀνακηκίει, ἀναφέρεται. καὶ ἀνακηκίειν, τὸ ἀναπηδᾶν, ἀπὸ τοῦ κίω. κατὰ ἀναδιπλασιασμόν, κηκίω. καὶ πλεονασμῷ κηκίω. ἄλλως γὰρ οὐκ ἔστιν εὑρεῖν ἀναδιπλασιασμὸν ἐκτεταμένον. τοιοῦτον δὲ καὶ γίνεται ἐπὶ τοῦ ... ἐπὶ τοῦ ..., καὶ ἐπὶ τοῦ κυκάζω. Ἀνακῆσαι, ἡσυχάσαι. Ἀνακλαύσας, ἐκ...

Ἀνακλίνεσθαι, ἀναχωρεῖν. Ἀνάκλησις, ἡ προσφώνησις. διὰ δὲ τοῦ ι, ἡ ἀνάπαυσις, καὶ τόπος τις ἐν τῇ νηΐ. Ἀνακλητικόν, μέλος σάλπιγγος, ἀνακαλοῦντος τοὺς φεύγοντας εἰς πόλεμον. καὶ Μάρκος Ἀντωνῖνός φησιν, ἔστω ἀσφαλὲς τὸ ἀνακλητικὸν ... μήτε ὅρκου δεόμενος, μήτε ἀνθρώπων τινὸς μάρτυρος. Ἀνακλῖναι, τὸ ἀνοῖξαι. ἐπικλῖναι δέ, τὸ κλεῖσαι. ἀνακλίνεσθαι γάρ, καὶ ἀνακλίνεται πρὸς τῇ γῇ, ὅμοιόν ἐστι τῷ κατατεθεῖναι εἰς γῆν, καὶ θεῖναι εἰς γῆν. καὶ Ὅμηρος, Καὶ τὸν μὲν εὖ κατέθηκε τανυσσάμενος. ὃ καὶ τανύσαι λέγεται. ἀνακλῖναι, ἐπὶ θυρῶν ἀνοῖξαι. ὡς Ὅμηρος ἐν Ἰλιάδι. ... ἀντίθετον, ἐπιθεῖναι. ὡς ἐν Ὀδυσσείᾳ, ἀλλ' ἴθι νῦν, θύρας ἐπίθες θαλάμοιο. τουτέστι, κλεῖσον.

Ἀνακλιθέν, ἀνακεκλιμένον. Ἀνακλώμενον, τὸ ἀποχεόμενον. Ἀνακλῶνται, κινοῦνται, κατὰ ἐπιφοράν. Ἀνακογχυλιάσαι ὕδωρ, καὶ ὕδασι. οἷον, ... ἀνακογχυλίσαι. καὶ πάλιν, ἀνακογχύλιζε ὕδασι. ἀνακογχυλιάζειν δὲ λέγει Ἀριστοφάνης, ἀντὶ τοῦ κυλίειν. καὶ ἀνακογχυλιάσαι, τὸ ἀνακλύσαι ... τὴν φάρυγγα, ὕδατι. Ἀνακοιλίνθη, ἀνάσπαστον.

Ἀνακοινοῦσθαι μετά σου, τὰ ἐμὰ πράγματα βούλομαι. Ἀριστοφάνης, Βουλομένης ἀνακοινοῦσθαί σοι πράγματα ... λέγομεν ἀνακοινοῦμαι μετὰ σοῦ, καὶ σοι. Ἄνακοι, οἱ Διόσκουροι παρὰ Ἀττικοῖς. παρὰ τὸ ἀνάσσω, ἄνακος. ὡς φυλάσσω φυλακός, μαλάσσω μαλακός. ἢ ὅτι ἀνακῶς, ὅ ἐστι φιλανθρώπως, ἐχρῶντο τοῖς ἀθλίοις ... ὄντας. ἢ ἄνω καὶ ... ὄντας. καὶ τὸ ἄνω δέ, συνεθέντο ... Ἀττικοὶ ἀνακῶς λέγειν. Ἀνακομιδή, ἀναγωγή, ἐπάνοδος. Ἀνακομίσαι, θεραπεῦσαι, ἀνεγεῖραι. Ἀνακομπεῖν, ἀναστρέφειν. Ἀνακοπῆναι, τὸ ἀναφῦναι. Ἀνακραγεῖν κάλλιον, καὶ ἐγκραγεῖν. ἢ ἀναφωνῆσαι. Ἀνακραθεῖν, ἀνακραθῆναι. Ἀνακραῖος, μετὰ

πάσης

ανα. Ἀναδίδωμι, ἀνίσχω, ἀναβλαστάνω, ἀνίημι, ἐκφύω. καὶ ἀναδίδωσιν, ἀντὶ τοῦ ἀναβλαστάνει, καὶ ἀναπέμπει. Ἀνάδικα, τὰ ἄλλα δικαζόμενα. ὡς τὸ, Ἀνάδικα τὰ δικαζόμενα παιδῶν, αἰσχροὺς φιλεῖ [illegible]. Ἀναδικάζεσθαι, τὸ ἐκ δευτέρου δικάζεσθαι. Ἀνάδικοι κρίσεις, αἱ ἄνωθεν δικαζόμεναι, ὅταν ἁλῶσι τινὲς μάρτυρες ψευδομαρτυριῶν. Ἄλλως. Ἀνάδικοι, ὅτας ἐλέγετο, εἶτα δίκας εἰς ἀνθρώπων ἐγκαλεσάμενοι. ὅτι δὲ αὕτη ἡ αἰτία, ἢ τῶν μαρτύρων ἁλόντων ψευδολογιῶν. Ἀνάδικτος, εἶδος παγίδος. παρὰ τὸ δίκειν, τὸ βάλλειν, ἐστὶν ὁ δίκτυος ὁ [illegible]. Ἀναδινέω, ἀνακινέω. Ἀναδινεῖ, σφίγγει. Ἀναδιπλασιασμός, ὅταν τὸ ἴσον τῆς λέξεως σύμφωνον ἔχῃ. οἷον, τέτυφα. Ἀναδίπλωσις δὲ, πρώτως ἡ δευτέρα συλλαβὴ τῆς αὐτῆς συμφώνου, ἢ ἀπὸ φωνήεντος, ἐπεὶ ἄλλως ἰαφεῖ. γίνεται δὲ ἐπὶ ῥημάτων, καὶ μετοχῶν, καὶ ὀνομάτων. πλεονάζει παρά τισι καὶ κέλευσιν. οἷον κεκμηκασιν ἀντὶ τοῦ κάμωσι, λελάχωσιν ἀντὶ τοῦ λάχωσιν, ἀγαγὼν ἀντὶ τοῦ ἄγων, ἐνένιπεν ἀντὶ τοῦ ἔνιπεν. Ἄλλως.

Ἀναδίπλωσις, ἡ ἐπανάληψις, ἡ παλιλλογία ἐστὶν, ὅταν ἐπαναληφθῇ μέρος τι λόγου, ἢ πλείονες λέξεις. οἷον ἐστὶ, τὸ τίς ἐγὼ αἰδοῖ εἰμι. καὶ εἰ περὶ χειρῶν ἔσται, εἰ περὶ χειρῶν ἐστιν. ποτὲ δὲ παρενθέμενοι ἄλλων λέξεων, ἐκ τῶν αὐτῶν πάλιν ἀναλαμβάνομεν. ὡς ἐν τῷ, ἐγὼ δὲ μὲν αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας, αἰθίοπας, τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν. Ἀναδιφήσω, ἀνασπαράξει. Ἀναδασμός, ἀναδασμὸς. ἐγὼ δὲ λέγω, ἐκώλυσα. Ἀναδουμένη, στεφανουμένη. ἀναδουμένη οὕτω μέγα, πρὸ πάντων ἀνθρώπων. Ἀναδούμενος, ἀναδασμούμενος. λέγω, λέγεται δεδόμενος. κατὰ συναίρεσιν ἢ κρᾶσιν, ἀναδούμενος. Ἀναδεῖσθαι, ἐγκλεῖσαι. Ἀνάδοχον, οὐκ ἀναδοχὴν λέγουσιν. Ἀναδραμεῖν, ἀναβῆναι. Ἀναδρᾶσαι, ἀναπρᾶξαι. Ἀναδρομεῖ, κινοῦσα, βλαστάνουσα. Εὐριπίδης ἐκβάλλειν ὑφαίνειν. Ἀναδρομήματα, θύματα. Ἀναδρόφξ, ἀναξηρανεῖ.

Ἀναδύς, μεταβολαία. Ἀναδύεσθαι, κατὰ τοὺς παλαιοὺς, τὸ ῥᾳθυμεῖν. ἃ προθύμως μὲν ἔχοντα δεῖται ὑπὸ ζυγὸν. μὴ προθυμεῖσθαι δὲ, ἀναδύεται. καὶ ἄλλως δὲ ἐστιν εἰπεῖν. ὡς Δημοσθένης, καὶ καταλῦσαι ὅμιλον, τὸ θαρρεῖν ὡς μάχην δηλοῖ, καὶ τοῦτο εἰς βάλλει αὐτοὶ χωρεῖν. ἀναδύεσθαι δὲ, τὸ ἄλλως ἀναχωρεῖν, ἐμοίως τῆς ἐπὶ ὀλίγον δυομένοις φύσις. καὶ ἀναδύεσθαι λέγεται, ἐπὶ τῶν ἀποδυομένων, καὶ εἰς ἀγῶνα ἑρμηνευόντων, εἶτα διὰ δειλίαν ὑποφευγόντων τὸν ἀγῶνα, καὶ ἐκδυομένων. λέγεται τὸ ἀναδύεσθαι, καὶ ἐπὶ τῶν ἀπονηχομένων ἐκ τῆς θαλάττης, ὃ ἐναντίον τοῦ καταδύεσθαι. οἷον, καταδύεται ἕως εἰς τὸν βυθὸν, καὶ ἀναδύεται ἐκ τοῦ βυθοῦ. Ἀναδύεται, ὑποστέλλεται, καὶ βραδύνεται. Ἀναδῦναι, ἀνάπαλιν ἔχοντος τὸ καταδῦναι εἰς πόλιν. ὃ εἰς ὅμιλον δηλοῦσι. σημαίνει καὶ τὸ ἀναχωρῆσαι, ἀναφανεῖν, καὶ ὑποστρέψαι. Ἀναδυόμενος, φεύγων, ἀναβαλλόμενος. καὶ ἀναδύομαι, ἀντὶ τοῦ μεταβουλεύομαι. Ἀναδύεσθαι, ἀναβάλλεσθαι, ἀπωθεῖσθαι, μὴ βούλεσθαι. Ἀναδυομένη, βασιλεύουσα δυνάστευομένη. Ἄνεδνον, ἄπροικον, χωρὶς ἕδνων. ἕδνα δέ ἐστι, τὰ πρὸ τῶν γάμων ταῖς γαμεῖσθαι μελλούσαις, παρὰ τῶν μνηστήρων διδόμενα δῶρα. Ἀναζεῖραι, τὸ ἀναψῦσαι, καὶ ἀναζέσαι. δηλοῖ καὶ τὸ ἀναβαστάσαι, κοινὴ γὰρ ἡ λέξις ἐστί. διὸ καὶ ἐσημείωσε αὐτῷ ὁ παιστὴς πολλαχοῦ. Ἀνάζαρβα, πόλις Κιλικίας, ἣν ἀνάζαρβα ὁ κτίσας αὐτήν. ὁ πολίτης, ἀναζαρβεύς. ὡς καρνασσεύς. ἀφ' ἧς Διοσκουρίδης ἰατρὸς χρηματίζων, καὶ Ἀσκληπιάδης ὁ ἀναζαρβεύς. Ἀναζεύξας, ἀναχωρητικὸς ὢν, ὑποστρέψας. Ἀναζυγαῖς, ἀναστροφαῖς, στρατηγικαῖς ἀναλύσεσι τῶν στρατευμάτων. Πολύβιος, ὁ δὲ φίλιππος οὐδενὶ κόσμῳ κεχρημένος τὴν ἀναζυγὴν, καὶ τὴν ἀνάπαυλιν, δεξιοῖς εἰς κεφαλαίαν κατέβησαν. Ἀναζωγονεῖν, τὸ ἀναζωπυρεῖν, ὃ τὴν ἐπὶ

τῇ θύρᾳ λέγεται. λέγεται δὲ καὶ ζωγονεῖν ἀναζωγονοῦντος, ἀντὶ τοῦ ἀναγοντος εἰς τὸ ἄνω φῶς. Ἀναζωπυρῆσαι, ἀνεγεῖραι, ἀναπνεῦσαι, ἀνάψαι. Ἀναζυγῶσαι, τὸ τὰς θύρας ἀναπετάσαι. Ἀριστοφάνης, Τὴν θύραν ἀναζυγώσας. Ἀναθαρρήσει, θαρσαλεώτερος γίνεται. Ἀναθεὶς, βασιλεύσας. Ἀναθεῖναι τὴν φορτὴν, οὐκ ἐπιθεῖναι. Ἀριστοφάνης ἐν τῇ τετάρτῃ τῶν ἐθνῶν, Μὴ κυρίως τὴν ἀρχὴν ἀναδεξάμενος. καὶ ἀναθεῖναι, ἀντὶ τοῦ ἀφιερῶσαι. ὁ καὶ τὸ ἐν τῷ αὐτῷ, Ἐδόκει χρῆναι ἀναθεῖναι φιάλην ἀργυροῦν. καὶ ἀνατίθημι, ἐπὶ φορτίων καὶ ἀφιερωμάτων. ἀνατίθεμαι δὲ, τὸ ἀναβάλλομαι, καὶ ὑποτίθεμαι. οἷον ἀνατίθεμαι τὰ κατηγορημένα, ἀναθεῖτό γε κατθανεῖν, παρὰ Σοφοκλεῖ. οἷον, ὑπέρθεσιν ποιήσαιτο τοῦ θανάτου. Ἀναθεὶς, ἐπιτρέψας. ἐπὶ ἀψύχων τάττεται. ἐχρήσατο δὲ Ἀριστοφάνης καὶ ἐπὶ ἐμψύχων, ἀπλῶς τὴν ἄνθρωπον ἐπὶ κρημνὸν εἰς ἀναθείς. Ἀναθεματισμένος, ἐπάρατος, ὁ ἀκοινώνητος. Ἀναθέντας, ἀντὶ τοῦ ἐπιθέντας. οὕτω Ξενοφῶν.

Ἀναθέσθαι, ἀντὶ τοῦ ἀναβιῶναι. οὕτως Ἀριστοφάνης. καὶ ἐπὶ τῶν πεσσῶν ἔλεγον οἱ παίζοντες. οὓς γὰρ μὴ κατὰ τὸ δέον ἐκίνησαν, τούτους ἀντιθέντες. καὶ ἀναθέσθαι, τὸ ἀναβάλλειν τὰ λελεγμένα, καὶ μηκέτι ταῦτα λέγειν. Ἀνάθεσις, ὑπέρθεσις. Τὰ χρήματα δύσιν ὑπέχειν, τριῶν ἡμερῶν ποιησάμενοι ἀνάθεσιν. Ἀναθήκη, ἀνάθεσις. Ἀναθηλήσει, παρὰ τὸ ἀναθηλῶ. ἢ παρὰ τὸ θάλλω, ὁ μέλλων θαλῶ, καὶ θαλήσω. καὶ ἀναθηλήσει, ἀναβλαστήσει.

Ἀνάθημα, ἄγαλμα, κόσμος. Ἀναθήματα, ὡς ἐπιτοπλεῖστον λέγονται στέφανοι, φιάλαι, ἐκπώματα, θυμιατήρια, χρυσίδες, ἀργυρίδες, οἰνοχόαι, ἀμφορίσκοι. καὶ ἀναθήματα δαιτός, ἡ μολπὴ, καὶ ἡ ὀρχηστύς. ὥσπερ ἐν ναοῖς ἀναθήματα, οὕτω καὶ αὐτὰ κόσμος τις ἀναγκαῖος τῇ δαιτί. Ἀναθήσει, κεῖται ἀντὶ τοῦ ἀνάψει, ἤγουν ἐκκρεμάσει, παρ' Ὁμήρῳ. ἐκ μεταφορᾶς τῶν ἀναθημάτων, ἀντὶ τοῦ ἐπιθήσει. ἀττικῶν δὲ ἡ λέξις, οἱ καὶ ἀναθεῖναι φορτίον φασὶ, τὸ ἐπιθεῖναι. τοιοῦτον δέ ἐστι καὶ τὸ τοῦ κωμικοῦ, ὃ ἐπὶ κρημνὸν ἀναθείς. Ἀναθολώσει, ἀνατάραξει, μολύνει. Ἀναθορεῖ, ἀνατρέχει. Ἀναθορόντες, ἀναπηδήσαντες. Ἀναθρεόμενα, ἀνασκοπούμενα. Ἀναθρείξας, ἀναβλέψας. Ἀναθρώσκων, ἀναπηδῶν. Ἀναθύειν, τὸ ἀναλαμβάνειν τὸ πρᾶγμα διὰ μέσου. Φερεκράτης, Πάλιν αὖθις ἀναθύουσιν αἱ γεραίτεραι. καὶ ἀναθύειν, τὸ ἀνασκιρτᾶν, καὶ αὖθις ἐξ ἀρχῆς ἀνακάζειν.

Ἀναθυμιάσεις, ἀναδόσεις. καὶ ἐπὶ τῆς γῆς, καὶ ἐπὶ τῶν βρωμάτων. Ἀναθύοντες, ἀναιροῦντες, παραβαίνοντες. Ἀναθῶ, προσφέρω. Ἀναθωΐξας, ἀναβοήσας. Ἄνεια, χώρα, πόλις, καὶ τόπος, αἰγιαλὸς λεγόμενος. ἐκλήθη δὲ Ἄνεια, ἀπὸ γυναικὸς, μιᾶς οὔσης τῶν ἀμαζόνων γυναικῶν. Ἀναίδεια, παρὰ τὸ ἀναιδής. τοῦτο παρὰ τὸ αἰδὼ, αἰδὴς ἀναιδὴς, καὶ ἀναιδής. Ἀναιδὲς, τὸ θρασύ. καὶ ἀναιδὲς βλέπων, ἀντὶ τοῦ θρασὺ, θρασέως. καὶ ἀναιδῶς, ἀθρόως, σφοδρῶς, ἀπροσωποπολήπτως. καὶ ἀναιδῶς, ἀναισχύντως. καὶ ἀναιδὴς, καὶ ἀναίδεια, ἡ ἀναισχυντία. Ἀναίδητον, ἄπειρον, ἄδηλον. Ἀναιδιζόμενος, ἀμεταβάτως. Ἀναίδιον, μανικὸν ἐσθιόμενον. Ἀναιδὴς λίθος, ἐκ τῶν λογικῶν παρῆκται εἰς τὴν λίθον. καθὰ καὶ τὸ ἀπηλεγὴς, εἰς τὸν σίδηρον. Ἀναιδῶς, ἀντὶ τοῦ ἀλαμπρῶς, καὶ ἀναισχύντως. ἀπὸ τοῦ ἀναιδὴς, ὁ ἀναίσχυντος, τῶν ἀναιδῶν, ἀφ' οὗ τὸ ἀναιδῶς. Ἀναιδὴ, τροφὸς, λεβεῖν. Ἀνὰ ἔθος, ἤγουν καθ' ὁρμήν. ὁμοίως τοῖς μάλιστα συνήθη πᾶσιν ἐπ' ἔθει. οἱ δὲ παλαιοὶ, ὡς ἓν μέρος λόγου λαμβάνοντες, οἷα ἐπίρρημά φασιν. Ἀναθέσσου, ἀνασπίω. Σοφοκλῆς σίνασι. Ἀναίκλεια, ἄλειπτα. Ἀναίλεκτος, ἀνυπόλυτος. Ἀναιμαντὶ, ἄνευ αἵματος. καὶ ἀναιμονεὶ, καὶ ἀναιμωτί. Ἀναιμοὶ, χωρὶς αἵματος. Ἀναιμόδετην, ἡ ἀναφάλακρος. Ἀναίμονες, ἀναίμωτοι. καὶ ἄναιμος, ὁ μὴ ἔχων αἷμα, καὶ ἀναιμωτὶ, ἄνευ αἵματος, καὶ ἀναίμονι δίψει, θυσίαν ἀδιάλειπτον. αἷμα γὰρ οὐκ ἔχουσιν οἱ ἄγγελοι. κα-

θὲ

σκει τὶς τὴν βίβλον, ὅτι ἤδη ἔγνω ταύτ. ἢ ἀναγινώσκει τὶς τὴν βίβλον, ὅτι οὐ τοῦτο πρῶτον, ἀλλὰ ἀρξάμενος καὶ ἀναγνοὺς μέρος αὐτῆς, μέλλει ἀναγνῶναι καὶ τὸ ἕτερον. Ἀναγινωσκόμενος λόγος, καὶ ἀναγινωσκόμενος ἄνθρωπος, ἀντὶ τοῦ ἀναπειθόμενος. ὡς παρ' Ἀλεξάνδρῳ, καὶ Ἡροδότῳ. Ἀνάγνωθι, ἤγουν ἀναγίνωσκε.

Ἀναγινώσκω, τὸ βιβλίον διέξειμι. καὶ ἀναγινώσκω, τὸ ἀναγνωρίζω. ἀφ' οὗ καὶ ἀνάγνωσις, ἡ τῶν πρότερον μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις, ὡς προειρήκαμεν ταῦτα. εὕρηται δὲ καὶ παρ' Ἡροδότῳ τὸ ἀναπείθω. καὶ ἀναγινώσκω ὅλην τὴν νύκτα, καὶ δι' ὅλης τῆς νυκτός. Ἀναγκάζω, ἐπὶ ἐμψύχου μόνον, βιάζομαι ἐπὶ ἀψύχου. οἷον, ἐβιάζετο τὸ ῥεῦμα τοῦ ποταμοῦ τὴν ναῦν. ἀναγκάζω σε τοῦ τὸ ποιεῖν, καὶ ἀναγκάζω σε φεύγειν. ὡς καὶ ἡ τύχη ἀναγκάζει τοὺς ἀνθρώπους πάντα ποιεῖν. Σημείωσαι ὅτι τὸ ἀναγκάζω, ὁμοίως καὶ τὸ κατανταγκάζω, ἀεὶ ἀπαρεμφάτῳ συντάσσονται, αἰτιατικῇ ἐφελκομένῳ. ὡς τὸ, ἀναγκάζω σε λαβεῖν βιβλίον μετὰ χεῖρας. ἀμφοτέρων τε, τοῦ ῥήματος, καὶ τοῦ ἀπαρεμφάτου, τῆς αἰτιατικῆς ἐχομένων. οἷον, ἀναγκάζω σε λαβεῖν βιβλίον. Ἀναγκαία, ἐξ ἀνάγκης. καὶ ἀναγκαία τράπεζα, ἡ εὐτελὴς, καὶ πενιχρά. Ἀναγκαίη ἐπεί γε, ἀντὶ τοῦ ἀνάγκη. ὁμοίως λέγεται ἀλκαίη, καὶ προνομαίη ἐλέφαντος, ἀντὶ τοῦ ἀλκὴ, ἡ προνομή. Ἀναγκαίοισμα, ἀναγκάσμα. Ἀναγκαῖοι δμῶες, κατὰ τὴν Ὁμηρικὴν ἑρμηνείαν, οἱ φίλα ἐργαζόμενοι. καὶ ἀναγκαῖοι πολεμισταὶ, οἱ κατὰ ἀνάγκην πολεμικοὶ γεγονότες, γέροντες ὄντες. ὅ, τε Λαέρτης καὶ Δολίων.

Ἀναγκαῖον ἦμαρ, τὸ τῆς ἁλώσεως ἢ δουλώσεως, ἐν ᾧ τις ἀνάγκην πάσχει. ὅθεν καὶ παρὰ Σοφοκλεῖ ἀναγκαία τύχη, ἡ δουλικὴ, καθ' ἣν οὐ ζῇ τις ὡς βούλεται, ἀλλὰ δουλικῶς. διὸ καὶ ἀντιτέθη, τὸ ἐλεύθερον ἦμαρ, καὶ τὸ ἦμαρ ἀναγκαῖον. καὶ ἀναγκαῖον, τὸ δεσμωτήριον. Ἀναγκαίῳ μύθῳ παρ' Ὁμήρῳ, ἤγουν ἀναγκαστικῷ, καὶ βιαίῳ. Ἀνάγκη, διττή. ἡ μὲν πρὸς βίαν, ἡ δὲ κατὰ φύσιν. γίνεται παρὰ τὸ ἄγω, ἄγη. καὶ πλεονασμῷ τοῦ ν, ἄγκη, καὶ ἀνάγκη. ἢ παρὰ τὸ ἀνάσσω, ἡ πάντων ἀνάσσουσα. καὶ ἀνάγκη, ἡ δεσποτικὴ κλεψίδρα. Ἀνάγκας, δρυὸν τι Ἰνδικὸν, ὅμοιον φαρμάκῳ.

Ἀναγκομένων ἀρχὸς, ὁ τύραννος. Ἀναγκοφαγεῖν, πρὸς ἀνάγκην ἐσθίειν. ὅπερ οἱ ἀθληταὶ πάσχουσιν. Ἀναγνοῦσα, ἀναπείσασα. Ἀναγνῶναι, ἀναπεῖσαι. Ἀναγνωρίζω, ἐπιγινώσκω, μιμνήσκομαι, ἐνθυμοῦμαι, ἀνακαλῶ, ἀναλογίζομαι, ἀναμιμνήσκομαι. ἐπὶ ἀναγνωρισμοῦ ταῦτα λέγεται. ἐκ τούτων παράγεται ἐπίγνωσις, καὶ μνήμη, καὶ ἐνθύμημα, καὶ ἀνακάλεσις, καὶ ἀναλογισμὸς, καὶ ἀνάμνησις. Ἀναγνωσθεὶς, ἀντὶ τοῦ ἀναπεισθείς. ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς, ἔργον οὐχ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. Ἀνάγνωσις κατὰ φιλοσόφους, ἡ τῶν πρότερον μαθημάτων τῆς ψυχῆς ἀναμνήσις. ἢ ἀνάπεισις, οὕτως Ἡρόδοτος. ἢ ἀνάγνωσις κατὰ τοὺς γραμματικοὺς ἐστι ποιημάτων, ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά. ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν. ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως, τὴν ἀρετὴν, ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην, ἐκ δὲ τῆς διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν. ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγνῶμεν, τὴν δὲ κωμῳδίαν βιωτικῶς, τὰ δὲ ἐλεγεῖα λιγυρῶς, τὸ δὲ ἔπος εὐτόνως, τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶς, τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶς. τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν, καὶ τὰς τῶν ποιητῶν ἀρετὰς καταῤῥιπτεῖ, καὶ τὰς ἕξεις τῶν ἀναγινωσκόντων καταγελάστους παρίστησιν. Ἀνάγεται ἡ ναῦς ἀπὸ λιμένος εἰς πέλαγος, κατάγεται δὲ καὶ καταίρει ἀπὸ πελάγους εἰς γῆν. κατάγονται οἱ φυγάδες, εἰς τὴν πατρίδα ἐπανιόντες. κατάγεται ὁ ὁδοιπορῶν τὶς εἰς καταγώγιον.

Ἀνάγομαι παθητικῶς, τὸ ἀναπλέω. ἔτι, ἐκ τοῦ λιμένος εἰς τὸ πέλαγος πλέω. οὗ τὸ ἐναντίον, κατάγομαι. Ἀναγρὶς, διὰ μὲν τοῦ α, ἢ ἀνάγνους. διὰ δὲ τοῦ ε, ἢ ἐνόχους ἄγει καὶ κινδυνεύει. οὕτως Αἰσχίνης. Ἀναγυμνάσιον, ἀναλόγιον. Ἄναγρον. Ὅμηρος, ἐς μίσθον ἄναγρον. περιττὴ ἡ πρόθεσις ἐν τῷ ἄναγρον. ἐκείνην δὲ φασὶν ἡ λέξις. κεῖμαι καὶ ἐν τῷ, Τάχα γάρ μιν ἀνάξομεν ἐκπεράσαι. τοιοῦτον καὶ τὸ, εἰς ἐλίκην τε καὶ αἰγὰς δῶρον ἀνάγουσιν, ἀντὶ τοῦ ἄγουσιν. Ἀνάγεον, ἀνάπλεον. Ἀνάγεως, ἀνάπλεως. Ἀνὰ γουνὸν, ἀνὰ τὴν γόνιμον γῆν. Ἀνάγουσιν, ἀντὶ τοῦ ἁπλῶς ἄγουσι. καὶ ἐν Ὀδυσσείᾳ πολλαχοῦ τοιαῦται λέξεις κεῖνται. Ἀναγραπτέον ἐστὶν ἡμῖν ἐκεῖνον εὐεργέτην. ἀντὶ τοῦ γραπτέον. Ἀνάγραπτος, ἀνάπηρος, ἀναπλέως. ὁ δι' ὅλου πεπληρωμένος. Ἀναγράψασθαι, ὑπογράφεσθαι. Ἀνάγραπτον, τὸ ἀναγεγραμμένον. Ἄναγρον ἢ ἄγριον, ἐσπρός. Ἀναγραφεύς. Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. δῆμός ἐστιν Ἀναγυράς, τῆς Ἐρεχθηΐδος φυλῆς. ἔνθεν ὁ δημότης Ἀναγυράσιος. ἢ ἀναγυροῦς, δῆμος Αἰαντίδος. ἀφ' οὗ Ἀναγυράσιος. Ἀναγχατιεῖν, τὸ μετὰ ἀνάγκης ἐπιτεύειν. Ἀνάγρυψις, ἀνάκοψις.

Ἀνάγω, τὸ παιδεύω καὶ διδάσκω, αἰτιατικῇ συντάσσεται. καὶ ἀνάγει ὁ κυβερνήτης τὴν ναῦν ἀπὸ λιμένος ἐπὶ τὸ πέλαγος. καὶ ἀνάγω τὴν ναῦν ἐπὶ ἀναπλεύσεως. οὗ τὸ ἐναντίον, κατάγω. καὶ ἀνάγω, τὸ ἐρεθίζω, καὶ ἐμβιβάζω. οἷον, ἀνάγω σε πλέειν εἰς Πειραιᾶ. καὶ ἀνάγω σε εἰς τὴν καταλογὴν τοῦ φίλου. τουτέστιν, ἐρεθίζω σε καταλέξασθαι αὐτόν. Ἄλλως. Ἀνάγω, τὸ ὑπομιμνήσκω, δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται, οἷον, ἀνάγει τῷ βασιλεῖ τὰ περὶ αὐτοῦ. ἀνάγω καὶ τὸ εἰς ὕψος ἄγω, οἷον, ἀνάγει ταύτην τὴν ὑπόθεσιν, ἀντὶ τοῦ ἐφ' ὕψος ἀνάγει. Ἀναγωγὴ, ὁ ἀνάπλους. καὶ ἀνάγεσθαι μὲν, τὸ ἐξ ὅρμου ἀναπλεῖν. κατάγεσθαι δὲ, τὸ καταπλεῖν καὶ προσορμίζεσθαι. ἢ ἀναγωγὴ, ἡ τῶν πραθέντων ἀνδραπόδων ἀνάδοσις, ἐχόντων αἰτίαν τινά. ἢ ὁ ἐκ τοῦ ἰλλόδος εἰς τὴν τροίαν ἀπόπλους. καὶ ὁ ἐκ τοῦ ναυστάθμου, ἐπὶ τὴν ἀδελφὴν Ἡλιόδωρος. Ἀναγωγία, ἡ ἀπαιδευσία. ὁ δὲ δι' ἀναγωγίαν ταῦτα ἔπασχεν, ἔχων γαστέρα ὑπὸ μέθης καὶ ἀναγωγίας ἐμπεπλησμένην, καὶ διεφθαρμένον. Ἀνάγωγος, ὁ ὑβριστής. ἢ ὁ μὴ τυχὼν τῆς δεούσης ἀναγωγῆς. ἢ ὁ φιλάδικος, καὶ ἀπαίδευτος.

Ἀναγωγότερον, ἁμαρτητικώτερον, ἀτακτότερον. Ἀναγωγῶς, ἀτάκτως. Ἀναγώνιστος, ὁ μὴ ἀγωνισάμενος.

Ἀναδαιμονίζειν, τὸ ἐκ δευτέρου κληροῦσθαι. Ἀναδάσασθαι, οὐκ ἀναμερίζεσθαι. καὶ ἀναδασμὸς, ὁ μερισμός. Ἀναδάστος, ἀνωμάλως. ἔχων τὶς τοῦ σώματος ἀναδάστως. Ἀνα δὲ, ἐνίοτε δὲ καὶ ἄνα, ἀντὶ τοῦ ὦ ἄναξ. Ἀνὰ δ' ἐβόασε ὁ λαός. ἀντὶ τοῦ, ἀνεβόησε δὲ ὁ λαός. Ἀναδέδραμεν, ἄνω ἔδραμεν. καὶ ὡς ὕψος ἀνῆλθεν, ἢ ἐχώρησεν εἰς ὕψος. Ἀναδεῖμασθαι, ἀνοικοδομοῦσι. Ἀνάδενδρος, μέσος παρακείμενος, ἀπὸ τοῦ ἀρ-ρεῦτε ἐναντίος τοῦ δρύμου. ἀφ' οὗ καὶ δρυμός. Ἀναδέσματα, ἐνίας τὰς περὶ τραχήλους. καὶ τὰ ἐν ταῖς τραγικαῖς σκηναῖς εἴδωλα δεσμούμενα. Ἀναδεῖ, ἀναπλέκει, σφίγγει, καὶ ἀναδεῖσθαι, στεφανοῦσθαι. καὶ ἀναδέεσθαι, στεφανοῦσθαι. καὶ ἀναδῆσαι, τὸ ταινιῶσαι νικῶντα, καὶ ἀναδέονται, οἴσονται. ὡς τὸ, ἀναδήσαντα στεφάνῳ, χρυσῷ πεποιημένῳ. ἢ τὸ ἀναδεῖν παρὰ τοῖς ἀρχαίοις, ταινιοῦν τοὺς στεφανοῦντας. ἐξ οὗ ἀνάδεσμος, γυναικεῖος κόσμος. ὃς καὶ ἀνάδεσμα λέγεται. ἔχει δὲ ἀντικείμενον πρὸς τὸ ἀναδεῖν, τὸ ὑποδεῖν. ἐξ οὗ ὑπόδημα. τὸ μέν τι διάδημα, ἐπὶ κόσμου βασιλικοῦ τῆς περιδεδεμένης δι' ὅλου τοῦ σώματος. Ἀναδενδράδα, ἀμφιλαφὴς γῆ. οἱ δὲ τὴν ἀνάμιξιν οὕτω καλεῖσθαι, εὕρηται δὲ, καὶ παρ' Ἐπιχάρμῳ, καὶ Σαπφοῖ τὸ ὄνομα. Ἀναδέξασθαι, ὑποσχεῖν, ὑπομεῖναι, ἀναλαβεῖν, ἐκδέξασθαι. Ἀναδέρειν, γυμνοῦν. Ἀναδέρω, περιτίθεμαι, ἀναβάλλομαι. Ἀναδέσμη, ἦν δὲ τὶς κόσμος τῆς κεφαλῆς, ὥσπερ κεκρύφαλος.

Ἀναδεύειν, φυρᾶν. καὶ ἀναδεῦσαι, φυρᾶσαι, μαλάξαι. Ἀνὰ δ' ἔφλυεν, ἀνέβαλεν. Ἀναδέχομαι, τὸ ἐπ' ἐμοὶ δέχομαι.

Ἀναδήματα, στεφανώματα. Ἀναδήσονται, οἴσονται.

Ἀναδιδάξαι, ἀντὶ τοῦ πάνυ διδάξαι. ἐπιτατικὸν γὰρ ἡ ἀνά.

καὶ ἡ ἀναβαίνειν λέγεται, τὸ ἐπὶ τὸ λογιστήριον εἰσιέναι. καταβαίνειν δὲ, τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν, ἀπὸ τοῦ παλαιοῦ ἔθους. Ἀριστοφάνης, ἀναστρέψασα(?), δεῦρο δεῦρ' ὦ φίλτατ' ἀνάβαινε, σωτὴρ τῇ πόλει καὶ νῷν φανείς. Ἀναβαίνω, αἰτιατικῇ συντάσσεται. οἷον ἀναβαίνω τὸν ἵππον, καὶ ἀναβαίνω τὸ ὄρος. Ἀναβαλλαγόρας(?), φαρμακός(?), ὁ λίθος ἐν σώματι(?). Ἀναβάλλει, ἀναβολὴν δίδωσι, καὶ ἀναβάλλει. Ἀναβάλλει ὕδωρ ἡ πηγή, ἀντὶ τοῦ ἀνάγει.

Ἀναβάλλειν, οὐ μόνον τὸ ἀνάγειν, ἐξ οὗ καὶ λέξις ἀμβολάδην, καὶ [illegible] γόνος, καὶ ἀμβλίσκειν, καὶ ἀμβλῶσαι. ἀφ' ὧν καὶ ἀμβλωθρίδιον καὶ ἄμβλωμα, τὸ οἷον ἀναβληθὲν ἐκ τῆς μήτρας. καὶ τὸ ἀναβάλλειν σφαῖραν ἄνω, καὶ ἡ αὐτῆς εἰς ὕψος ἀναβολή. καὶ τὸ εἰς ἵππον ἀνάγειν, ἢ ἐπέχειν τινά. ὅθεν καὶ ἀναβολεύς, οὐ μόνον τὸ [illegible], ὃ [illegible] ἐφίππιοι γίνονται [illegible] ἄνθρωπος, ὃς εἰς τὸ τοιοῦτον ἔργον κατέχεται(?). οἷον, τὸν βασιλέα ἐπὶ τὸν ἵππον ἀνεβίβασαν, ἤγουν ἀνεβίβασαν, ἀλλὰ καὶ τὸ ἀναβάλλεσθαι λέγεται, καὶ ὄνομα ἐκ τούτου ἡ ἀναβολή. ἀναβάλλεσθαι δὲ τὸ ἀναλαβεῖν(?) τὸ ἔργον, ἀντὶ τοῦ ὀκνεῖν καὶ ἀναδύεσθαι. ὅθεν καὶ ἀναβολὴ ἡ ἀνάπαυσις(?). καὶ ἀμβολιεργός, ὁ ἀναπίπτων εἰς ἔργον. ἴσως δὲ καὶ ἀμβλὺ τὸ ἀνάπαλιν τοῦ βάλλοντος ὀξέος, ὃ δηλοῖ ἀναβάλλεσθαι. οἷον, τῶν ἐν λαπάρῃ τομῶν(?). Ἀναβάλλεσθαι, τὸ στρέφεσθαι(?) [illegible] καιρὸν τῆς πράξεως. Ἀναβάλλεται δὲ ὕδωρ, διὰ σωλῆνος ἢ [illegible], ἢ οὕτω πῶς ἀναβαῖνον, ἢ ἄλλως ἀναπηδῶν. ὡς δηλοῖ παρὰ Καλλιμάχῳ, τὸ κρηναῖον ὕδωρ ἀνέβαλλεν. ἀναπηδᾶν δηλαδή, καὶ ἀναβλύζειν. καὶ κήρυκες(?) δὲ ἀναβάλλουσιν κάτωθεν χοῦν. ὅπερ ἐναντίον τοῦ καταβάλλειν ἐστίν, ὅ ἐστι κάτω βάλλειν. πίπτειν, ῥίπτειν. Καὶ ἀνεβάλλετο παρ' Ὁμήρῳ ἐν α' τῆς Ὀδυσσείας, ἀντὶ τοῦ προοιμιάζετο ὡς ἀοιδός. ὅτι προοιμιάζετο. ἀναβολὴ γὰρ, οὐ μόνον ἐπὶ [illegible] τίθεται καὶ ἱματισμοῦ, ἀλλὰ καὶ ἐπὶ προοιμίου. καθὰ δηλοῖ καὶ ὁ κωμικὸς ἐν τοῖς ὄρνισιν. ἢ τὸ ἀνεβάλλετο, ἀντὶ τοῦ [illegible], ὥς φασιν οἱ παλαιοί. ἢ μᾶλλον ἀντὶ τοῦ ἀνῆγεν. ἀναβάλλειν γὰρ καὶ τὸ ἀνάγειν. οἱ γοῦν ὀρχούμενοι(?) ἀναβάλλειν [illegible] λέγονται. καὶ ἡ τοιαύτη [illegible], ἀμβολὰς λέγεται. Ἀναβαλλίδια(?), ταινίαι. οἱ δὲ, σφαίρας ἀποδιδόμενοι(?). Ἀναβάλλομαι τὸ πρᾶγμα, ἀντὶ τοῦ χρόνῳ(?) ὑπερτίθεμαι, αἰτιατικῇ συντάσσεται. καὶ ἀναβάλλομαι, τὸ ἐνδύομαι. ἐξ οὗ ἀναβολή. ἐν τῷ μέλλειν ὡς τὸ, ἀνεβάλλετο καλὸν ἀείδειν. καὶ ἀναβάλλομαι, τὸ ἀνακρούομαι ἐπὶ μέλους. ὡς τὸ, ὅπερ ἀναβάλλεται μέλος. Ἀναβαλλόμενος, ἀντὶ τοῦ προοιμιασάμενος. λέγεται δὲ ἀναβαλλόμενος οὐχ ὥσπερ [illegible] βραχὺ [illegible] ὕμνον. καὶ ἀνεβάλλετο, ἀντὶ τοῦ ἐσχηματίζετο. Ἀναβάλλω, σημαίνει τέσσαρα. τὸ προοιμιάζω, ὡς τὸ ἀνεβάλλετο καλὸν ἀείδειν. τὸ ἀνακρούω καὶ ἀναπέμπω(?), ὡς τὸ, καὶ οἱ μὲν [illegible] μουσικὴν ἀνεβάλλοντο σύντονον. τὸ ἐνδύομαι, ὡς τὸ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. καὶ τὸ ἀπαρνοῦμαι. ὡς τὸ, ἀναβάλλομαι [illegible] τοῦ πράγματος. Ἀναβαλοῦ, [illegible]. Ἀναβάσεις καρδίας, αἱ προκοπαί, οἱ ὑψηλοὶ λογισμοὶ πρὸς θεοῦ. ὡς ὁ προφήτης Δαβίδ, ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο. εἰς δὲ τὸ ἐναντίον, καταβάσεις λέγονται. Ἀναβασμοί, ἀναβαθμοί. Ἀνάβατα, μετέωρα. Ἀναβάτας ἵππος, [illegible]. Ἀναβεβηκυῖαι(?), ἀντὶ τοῦ ἀναβάτην ἔχοντες. οὕτω Ξενοφῶν. Ἀναβεβλημένος ἱμάτιον, καὶ ἱματίῳ. Ἀναβεβυσμένος(?), [illegible]. Ἀναβέβρυχεν, [illegible]. Ἀναβέβροχεν, ὅπερ σημαίνει [illegible], τὸ ἀναπηδᾶν δηλοῖ. [illegible] καὶ ἀναβέβροχεν, ὅ ἐστι πίνεται. ὅθεν καὶ τὸ καταβρόχειν. δῆλον δὲ ἐκ τοῦ ἀναβεβρυχέναι [illegible] τὸ ἀναβλύζειν εἶναι. αὐτὸ δὲ καὶ ἀναβεβρυχέναι(?) λέγεται. ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ. Ἀναβῆναι(?). Ὅμηρος τὸν ἐπὶ [illegible] πλοῦν, ἀνάβασιν λέγει. λέγεται δὲ καὶ τὸ ἀναχωρῆσαι. Ἀναβῆσαι, ἐνίοτε σημαίνει τὸ [illegible] ἐκ τοῦ λιμένος. καὶ ἀναβῆναι ὡς [illegible], τὸ ἀναπλεῦσαι.

ἄλλον δὲ, ἵνα καὶ βῆναι τὸ τοιοῦτον λέγεται. οὐχ ἁπλῶς μέν τι, ἀλλὰ μετὰ νεώς. ὡς δηλοῖ τὸ, Ἔνθ' ἄλλοι ἀργείων οἱ ἄριστοι ἔβαν, κοίλαις ἐπὶ νηυσίν. Ἀναβιβασάμενοι, ἀναβιβασθέντες ἐπὶ τῶν ἵππων(?). Ἀναβιβῶμαι, [illegible] ἐπὶ τὰ ἐξ ἀρχῆς.

Ἀναβιβάζω, αἰτιατικῇ. καὶ ἀναβιβάζων, ἀναφέρων. Ἀναβιβῶμαι, ἀντὶ τοῦ ἀναβιβάζομαι. Ἀναβιώμην, ἐκ τοῦ βιῶμι τοῦ τελευταίας εἰς μι λήγοντος, ἀττικῶς. Ἀναβιῶναι, ἀναζῆσαι. καὶ ἀναβιώσομαι(?) ἐγώ, ἀμεταβάτως. μεταβατικῶς δὲ Πλάτων ἅπαξ ἐν τῷ Φαίδωνι, ἐάνπερ γε ἡμῖν ὁ λόγος τελευτήσῃ, καὶ μὴ δυνώμεθα αὐτὸν ἀναβιώσασθαι. Ἀναβιώσονται, μᾶλλον λέγουσιν οἱ ἀττικοί, ἢ ἀναβιοῦ. Ἀναβίωσις, ἀνανέωσις ζωῆς. Ἀναβιώσκεσθαι, τὸ ἀναζῆν(?). Ἀνάβλησιν λέγει Ὅμηρος, τὴν ἀναβολὴν καὶ παράτασιν. ἀπὸ τοῦ ἀναβάλλεσθαι, ὃ δηλοῖ τὸ ἀργεῖν. ὅθεν καὶ ὁ ἀμβολιεργός. ἰστέον δὲ, ὡς οἴδασι μὲν ἀνάβλησιν, οἱ βλῆσιν λέγοντες. ἀφ' ἧς παρὰ αὐτοῖς, τὸ βλησίδιον. καὶ ἀνάβλησις, ὑπέρθεσις, καὶ ἀναβολή. Ἀναβλέει, ἀναζεῖ, ἀναβρύει. Ἀναβλύει, πηγάζει. Ἀναβλύζοντος, ἀναβρύοντος.

Ἀναβλυστάνουσι(?), τὸ ἀναβλῦσαι, καὶ τὸ ἀναβλαστῆσαι. Ἀναβοθρεύουσιν, ἀνασκάπτουσιν, ἀναμοχλεύουσιν. Ἀναβολαί, αἱ βραδυτῆτες λέγονται, καὶ τὰ προοίμια, καὶ αἱ ἀνακρούσεις, καὶ αἱ ἀρχαί. καὶ ἀναβολάς, τὰς ἀρχὰς τῶν ᾀσμάτων λέγει Ὅμηρος, Ἤτοι ὁ φορμίζων, ἀνεβάλλετο καλὸν ἀείδειν.

Ἀναβολεύς, ὁ ἐπὶ τὸν ἵππον ἀνάγων. Ὁ δὲ βασιλεύς, τὸν ἀναβολέα προσκαλεσάμενος, καὶ ταχέως ἀναβὰς ἐπὶ τὸν ἵππον, ἔτρεχε(?) πάλιν. καὶ ἀκράτου ἐμπεπλησμένος(?) πλειστάκις, ἐνέφαινεν ὡς [illegible] πράξων. ἀναβολεύς, καὶ ἡ παρὰ ῥωμαίοις λεγομένη σκάλα. καὶ αὖθις, Ὁ δὲ [illegible] γηράσας, ἵππου χωρὶς ἀναβολέως ἐπέβαινεν. Ἀναβολή, ἀνοχή. [illegible], [illegible] καὶ [illegible] πατήρ, ἀναβολὴν θανάτῳ ἐψηφίσατο φυλάσσεσθαι, ἔτη δύο.

Ἀναβόλιμοι, δίκαιοι(?). οἱ διὰ [illegible] εἰς ὑπέρθεσιν ἐμπίπτουσιν. Ἀνάβραστα, ζεστά, ἑψημένα. Ἀριστοφάνης βατράχοις, Καὶ κρέα γε πρὸς τούτοις, ἀνάβραστ' εἴκοσιν. Ἀνάβραχεν, ἤχησε. [illegible]. Ἀναβρόξειν(?), ἀναρροφεῖν. Ἀναβρόξειεν, [illegible], ἀναρροφήσειεν. Ἀναβροχεῖν, [illegible], ῥοφεῖν. Ἀνὰ βωμόν, ἀνὰ τὸ βωμίον(?), ἀνὰ ὄρος. Ἀναβωλεύς(?), βαθμοῦ εἶδος. Ἀναγαγών, ἀντὶ τοῦ ἀπαγαγών. οὕτω Ξενοφῶν. [illegible], ἀνέκραζον, ἀνεβόων. Ἀνὰ γαῖαν, ἀνὰ τὴν γῆν. Ἀναγαλλίς, ἡ κερκυραία γραμματική(?). ἣν τὴν τῆς σφαίρας εὕρεσιν [illegible] τῇ ἀλκινόου θυγατρὶ ἀνατιθέασι. καὶ ἀναγαλλίς, εἶδος βοτάνης, καὶ πόα τις.

Ἀναγάργαρον, [illegible], [illegible]. Ἀναγαργαρισμός, διάχυσις. Ἀναγγέλλει, κηρύσσει, λέγει. Ἀναγγελοῦνται(?), διηγηθήσονται. Ἀναγγέλλω, τὸ ἀναφέρω. ἀπὸ ἐλάττονος εἰς μείζον πρόσωπον λεγόμενον. οἷον, ἀναγγέλλει ὁ δοῦλος τῷ δεσπότῃ. ὡς καὶ Ξενοφῶν, [illegible] δ' ἐλθὼν κύρῳ περὶ πάντων ἀναγγέλλει. Ἀνάγγελλον. [illegible] καταλειφθῆναι ἵνα μάχην [illegible] ἀνάγγελλον, ἄλλος ἐπ' ἄλλον πέμποντες. Ἀνάγειν, τὸ μισθοῦν τὸν [illegible], καὶ ἐπὶ ἐκείνου εἶναι. Λυσίας ἐν τῷ πρὸς Βοιωτόν, [illegible]. καὶ ἀνάγειν, ἄγειν, πείθειν, [illegible]. καὶ ἄψ ἐπὶ [illegible], ἀντὶ τοῦ ἀναχωρεῖ ὀλίγον ὑπὸ πόδα. παρὰ τὸ γόνυ γουνὸς ἀμείβων. Ἀναγής. Αἰσχίνης κατὰ κτησιφῶντος. διὰ μὲν τοῦ α, [illegible]. ἐὰν δὲ ἐναγής, ἡ ἐν τῷ ἄγει, τουτέστιν ἐν τῷ μιάσματι. Ἀναγείς(?), ἀπαλλαττόμενος. Ἀνάγεσθαι, ἀνέρχεσθαι, ἀποπλεῖν ἐκ βυζαντίου, ἢ ἀπ' ἑτέρας πόλεως. [illegible], μαῖα. ταραντῖνοι. Ἀνάγεται, [illegible]. [illegible], ἡ ταῖς τικτούσαις ὑπουργοῦσα γυνή, παρὰ ταραντίνοις. ἣν ἀττικοὶ μαῖαν καλοῦσιν. Ἀναγής, ὁ ἐναγής, καὶ βέβηλος. καὶ ἀναγὴς ὁ καθαρός, κατὰ στέρησιν τοῦ α λαμβανομένου. Ἀναγινώ-

σκω

γαλλέλαν ἔννοιαν. Ἄμοργις, ἡ ἀμοργίνη, ποταμὸς ἐοικώς λίαν, προπαροξύνεται. γράφεται δὲ καὶ διὰ τοῦ β, ὡς Διονύσιος.

Ἀμφιβάλλεσθαι πύργον, παρ' Ὁμήρῳ, τὸ ἐνδύεσθαι. οὐ γὰρ φορεῖται ἄλλως ἡ πύρα. ὡς ἐν ὀδυσσείας γ. Ἀμφίδυμα τῇ χειρί, ἐκπεταννύντα. Ἄμφω, ἀμφότεροι. ἐκ τοῦ μέγα. τὸ ἄμφω, καὶ δύο, δυαδικά, διότι οὐ γίνεται ἀπὸ ἑνικῶν. τὸ δὲ συμπαιόμενον ἐκκλίνει. καὶ τί διαφέρει τὸ ἄμφω τοῦ δύο; ὅτι τὸ δύο γράφεται καὶ διὰ τοῦ ο μικροῦ, καὶ διὰ τοῦ ω μεγάλου, ἀττικῶς. τὸ δὲ ἄμφω, διὰ τοῦ ω μεγάλου πάντοτε. καὶ ὅτι τὸ μὲν δύο, μετὰ τοῦ ἄρθρου συντάσσεται. οἷον, οἱ δύο. τὸ δὲ ἄμφω, ἄνευ τοῦ ἄρθρου, καὶ σημαίνει τὸ ἀμφοτέρους. ὡς τό, ἄμφω ὁμῶς φιλέουσα. καὶ ἄμφω ὁμῶς φιλέουσά τε, κηδομένη τε. Ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν ὀδυσσεύς, ἐπὶ κεφαλῆς. ὤφειλε μὲν τὸ ἢ ἀλλὰ τὸ ἰσοκατάκτως εἰπεῖν, ἀμφοῖν δ' ἑζομένοιν. ὁ δέ, οὕτως ἔφρασεν ἑκατέρων, διὰ τὸ ἄρξασθαι μέν, ὡς ἐν χιασμῷ. ἀπὸ δυϊκοῦ ἀρχῆς. εἶτα μὴ ἔχων ἓν ἑκατέρῳ ῥῆμα περὶ ὀδυσσέως καὶ μενελάου εἰπεῖν. οὐ δὲ χρῆσιν ὁμοίως ἄμφω γεραρώ. διεῖλεν καὶ τό, σὺν τε δύ' ἐρχομένω. καὶ τὸ πρὸ ὅ, τοῦ ἐνόησεν. καὶ τό, οἱ δὲ δύο σκόπελοι, ὁ μὲν εἰς οὐρανὸν ἱκάνει. καὶ ἄλλα πολλά. Ἄμφω δ' ἔθελον, ἀμφότεροι ἐπεβάλλοντο. ἢ προϊεμένων. Ἀμφώδοντα ζῶα. οἷον ἄνθρωπος, ἵππος, ὄνος, καὶ ὅσα οὐκ ἐκλελοιπημένους τοὺς ὀδόντας ἔχει. οἷς συμβέβηκε κεράτων, οἷα οὐ κέρας ἔχειν. Ἀμφόδον, ὄνομα. καὶ ἐπὶ τῶν ἄνω καὶ κάτω ὀδόντας ἐχόντων μερικῶς. Ἀμφῶες, ἢ ἀμφωτίδες, καὶ ἀμφωτίδας, τῶν δύο ὦτα ἐχουσῶν. καὶ παροιμία, μέχρι τῶν ἀμφωτίδων. ἐπὶ τῶν ἄγαν πεπληρωμένων. ἀντὶ τοῦ μέχρι τῶν ὤτων. ἃ ἦνα ἦσαν χαλκᾶ ἐκεῖ, ἃ περιετίθεσαν οἱ παλαιοὶ τοῖς ὠσίν. ἀμφῶες δὲ παρὰ τὸ οὖας, ἐκθλίψει τοῦ ου ὦας. ὡς δοῦλος δῶλος, καὶ ὡς γῦνος γυναικός. οὕτω καὶ ἄμφω, ἀμφῶες. Ἄμφω μὲν ἔσθω, ἀντὶ τοῦ ἀμφότεροι μὲν ὑπῆρχον. Ἀμφ' ὤμοισιν, ἀντὶ τοῦ περὶ τῶν ὤμων. Ἀμφώμοις, ἀνεβλήμασιν, ἀναθήμασιν. Ἀμφῶνος, ἐν ταῖς ὀνομασίαις, ὁ λεβανωτός.

Ἀμφωμοσία, ὅταν τῶν δικαζομένων ὁ μὲν προσμόσῃ, ὁ δὲ ἀπομόσῃ. λέγεται δὲ καὶ ἀμφορκία. Ἀμφώνυξ, τετρίμαρτος, ἀκρατής. Ἀμφωξίς, ὑψηλὸν ξύλινον, ὡς ὁ ἀμέλγουσιν. Ἀμφώτιδες κατὰ Παυσανίαν, ἃς οἱ παλαισταὶ περὶ τοῖς ὠσὶν εἶχον ἄλλως δέ γε, καὶ ἐκπώματος εἶδος αἱ ἀμφώτιδες.

Ἄμφωτον, δίωτον, ἑκατέρωθεν ὦτα ἔχον. Ἀμφωτος, χιτῶνος εἶδος. Ἄμφω χεῖρε, ἄμφω τὰς χεῖρας. Ἀμῶν, ἀμώσιν, θερίζειν. Ἀμώμητος, ἄμωμος, ἄψογος, ἀγαθός. ἢ σώματι, ἢ ψυχῇ. Ἀμώμενοι, θερίζοντες, καὶ ἀμῶσιν, ὁμοίως.

Ἄμωμος, ὁ καθαρὸς καὶ ἀναίτιος. ὡς τό, Τοῦ κατατρίψουσι ἐν ἐπιτηδεύσεσιν ἄμωμον. Ἀμώνας, τὰς ἀνημμένας αἰθαλεῖς.

Ἀμωνίς, ἡ τοῦ ἄμμωνος ἱερὰ τριήρης, Δείναρχος ἐν τῷ κατὰ ἱμεραίου. Ἀμώντων, θεριζόντων. Ἀμωρίας, πτωχικὸν εἶδος ἦν. Ἄμωρος, πλακοῦντος εἶδος. Ἀμώς, προφήτου γένος. καὶ ἀμὼς ἑρμηνεύεται κυριώτης, ἢ ἰσχύς. Ἀμῶσγε, κερμάτιον. ταραντῖνοι. Ἀμωσγέπως, ὅπως δήποτε. καὶ ἀμωσγέπως, ἀντὶ τοῦ ἑνί γέ τῳ τρόπῳ. καὶ ἀμωσγέπως, ὅθεν δήποτε. ἔστι δὲ κυρίως ἡ λέξις παρὰ τὸ ἀμὸς ὄνομα, σημαινόμενον τὸ τίς, δωρικῶς. ὥς φησιν Ὅμηρος, τῶν ἀμόθεν γε θεά, ἀντὶ τοῦ ἀπό τινος μέρους. ὥσπερ τὸ καλὸς γίνεται ἐπίρρημα καλῶς, οὕτω καὶ ἀπὸ τοῦ ἀμὸς γίνεται ἐπίρρημα ἀμῶς. καὶ ἐν συνθέσει ἀμωσγέπως. ἔτι ἀπὸ τοῦ ἀμός, γίνεται ἀμόθεν. ἐξ οὗ τὸ οὐδαμόθεν ἐπίρρημα. καὶ ὥσπερ ἀπὸ τοῦ καλῶς γίνεται ἐπίρρημα καλά, οὕτω καὶ ἀπὸ τοῦ οὐδαμῶς οὐδαμά, ἀντὶ τοῦ οὐδαμῶς.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ν.

Ἄν, δυνητικὸς σύνδεσμος τοῖς εὐκτικοῖς κατὰ τὸν παρατατικὸν καὶ ὑπερσυντέλικον καὶ ἀόριστον συντάσσεται. τοῖς δὲ εὐκτικοῖς καὶ ὑποτακτικοῖς, κατὰ πάντα χρόνον. ἀλλὰ τῷ ὑποτακτικῷ προτάσσεται. μόνοις δὲ εὐκτικοῖς καὶ προστακτικοῖς προτάσσεται καὶ ὑποτάσσεται. Ἂν σύνδεσμος ἐπὶ τέλει λεγόμενος, μετὰ παρεληλυθότος ῥήματος, εἴτε μετὰ εὐκτικοῦ, εἴτε μετὰ μετοχῆς, μὴ γινόμενον πρᾶγμα, ἔχον δὲ γενέσθαι ὑποφαίνει. Ἂν σύνδεσμος, ἐνίοτε μὲν ἐπὶ πράγματος κεῖται, δύναμιν ἔχοντος γενέσθαι. καὶ διὰ τοῦτο δυνητικὸς καλεῖται. ἐνίοτε δὲ λέξει ἀργός. καὶ διὰ τοῦτο οὐδὲν κωλύει δύο συνδέσμους τιθέναι ἐπὶ λόγῳ κεῖσθαι. διὸ καὶ ἀντὶ τοῦ δή, τὸ δεύτερον ἂν τίθεται. οἷον, ὥστ' οὐκ ἂν αὐτὴν γνωρίσαιμ' ἂν εἰσιδών. Ἂν σύνδεσμος, εἰ μὲν δύναται τεθῆναι πρὸ τοῦ ῥήματος καὶ ὕστερον, συντάσσεται μετὰ εὐκτικοῦ. ὡς τό, οὐκ ἂν γένοιτο, καὶ οὐκ ἂν δυναίμην. εἰ δὲ οὐ δύναται τεθῆναι καὶ ὕστερον, ἀεὶ ἐστὶ μετὰ ὑποτακτικοῦ συντάσσεται. Ἂν σύνδεσμος ὑποτάσσει, ἀοριστολογικὸς ὤν. ὅσα ἂν λέγῃς, ὅσα ἂν εἴπῃς. δυνητικὸς δέ, κατὰ μὲν ἐνεστῶτος καὶ μέλλοντος πρὸς εὐκτικόν. οἷον, οὐκ ἂν λέγοις, οὐκ ἂν φαίνοις. οὐκ ἂν λέξοις. εἴτε προτάσσειν, εἴτε ὑποτάσσειν. καὶ πρὸς ὁριστικόν, οὐκ ἂν ἔγραψα, ἀλλὰ συνεχῶς ἐστὶ. κατὰ δὲ παρῳχημένου, πρὸς ὁριστικόν. οἷον, οὐκ ἂν εἶπον, ἢ ἔλεγες. Ἂν σύνδεσμος ἀοριστολογικὸς ὤν, ὑποτάσσεται. οἷον, ὅσα ἂν λέγῃς, ὅσα ἂν εἴπῃς. δυνητικὸς δέ, μετὰ ἐνεστῶτος, καὶ μέλλοντος τοῦ εὐκτικοῦ. οἷον, οὐκ ἂν λέγοις, οὐκ ἂν φαίνοις, οὐκ ἂν λέξοις. καὶ ὁριστικοῦ, παρῳχημένοις συντάσσεται, οἷον οὐκ ἂν εἶπον, οὐκ ἂν ἔλεγον. εἴτε ὑποτάσσεται, εἴτε προτάσσεται. καὶ ἀττικόν ἐστι χρῆσθαι πολλάκις ἐν τῇ αὐτῇ περιόδῳ τῷ ἄν. Ἄν, ἤν, κἄν, σύνδεσμοι ὑποτακτικοί, οὐδέποτε συντάσσονται μέλλοντι. Κἂν Λεωνίδης ἅπαξ συνέταξε λέγων, ἂν μηδενὸς ἀνθρώπων μιμνήσκηται. Ἀνὰ πρόθεσις, ἀναβιβασθέντος τοῦ τόνου, λαμβάνεται ἀντὶ ῥήματος τοῦ ἀνάστηθι. Σοφοκλῆς ἐν αἴαντι τῷ μαστιγοφόρῳ. ἀλλ' ἄνα ἐξ ἑδράνων, ἀντὶ τοῦ ἀνάστηθι ἐκ τῶν θρόνων. Ἀνὰ ῥοῦ, ἐκ τοῦ ἀνὰ προθέσεως παρονομασθῆναι δοκεῖ, τὸ τὴν ἄνω τόπον δηλοῦσα. οὕτω καὶ τὸ ἀνερρύην τὰ θυόμενα, τὴν ἄνω τόπον δηλοῖ, ὡς ἀνακχοῦ ἐρρίφθη. πρὸς ὃν ἀπονεύει τὰ τῶν θυσιῶν. ὁμοίῳ λόγῳ καὶ ὀδυσσεύς, ἀθανάτων λοιβαῖς, ἀνέχειν γὰρ τοῦ δόλου τόξα. ὡς ἐκεῖνο ἀναθέσθαι αὐτά. Ἀνὰ πρόθεσις, ἐπὶ αἰτιατικῇ συντάσσεται. οἷον, ἀνά τε ἔντεα καὶ μέλαν αἷμα. δηλοῖ δὲ τὴν ἄνω φοράν. οἷον ἀνέρχομαι, ἀνίσταμαι. καὶ τὴν εἰς τὸ πίσω κάμψιν. ὡς ἀνέστρεψεν, ἀναχωροῦσι. καὶ τὴν δευτέραν ὑπαρξιν, ἢ ἐνέργειαν. οἷον, ἀναβιοῖ τις, ἀντὶ τοῦ αὖθις ἦλθεν εἰς τὴν ζωήν. καὶ ἀνεκαίνισε τὸ πρᾶγμα, ἀντὶ τοῦ νέον αὐτὸ αὖθις εἰργάσατο. Ἀνα, ἀντὶ τοῦ σὺν δοτικῆς λαμβάνεται. Ὅμηρος, χρυσέῳ ἀνὰ σκήπτρῳ. καὶ Πίνδαρος, χρυσέαις ἂν ἵπποις. Ἄνα, ἀλλ' ἄνα εἰ μέμονας, ἀντὶ τοῦ ἀνάστηθι. ὅλη ἡ λέξις ἀπεσπάσθη. οὐκ ἔστιν ἀττικὸν ἐπὶ τοῦ νεύειν. Ἀναβάλλω, τὸ ἀφ' ὕψους ἄνω τοὺς πόδας ἔχειν, καὶ κοιμᾶσθαι. Ἀριστοφάνης πλούτῳ, Νῦν δὲ πεινῶν, ἀναβάλλομαι ἀνακλινόμενος. ἐφ' ὑψηλοῦ τόπου κατακείμενος. ἢ κατά τινας λέγει, νῦν δὲ πεινῶν, ἄνω ἔχω τοὺς πόδας κοιμώμενος. οἱ γὰρ διάκενοι τοὺς πόδας ἄνω εἶχον, πρὸς τὸ μὴ βαρεῖσθαι ὑπὸ τοῦ στομάχου. Ἀναβαθμοί, αἱ ἀναβάσεις. λέγονται δὲ τὴν ἀπὸ βαβυλῶνος τοῦ λαοῦ ἐπάνοδον. Ἀνάβαινε παρ' Ὁμήρῳ, ἤγουν ἀνάπλει, ἐν ὀδυσσείας ω. Ἀναβαίνω, ἐπὶ διαφόρως τόπων, καὶ μετὰ προθέσεως λέγεται. οἷον ἀναβαίνω πρὸς δικαστήριον, καὶ ἐπὶ βῆμα, λέγεται ἀναβαίνειν, καὶ ἐπὶ ὀχείας ἀλόγων ζώων. καὶ ὥσπερ ἀναβαίνειν, οὕτω καὶ ἀνάγεσθαι τὸ ἐκ τοῦ λιμένος ἀναπλεῖν. οὗ τὸ ἀνάπαλιν, καταπλεῖν καὶ κατάγεσθαι, ὡς ἄνω γῆς κειμένου. καὶ οὕτως ἀναβαινομένου τοῦ πλεομένου ὕδατος, διὰ τὸ ὕψους κεῖσθαι. Ὅμηρος, Οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα. ἐπὶ τὴν ναῦν δηλοῦσι. εἰ γὰρ τὴν ἀπὸ τοῦ λιμένος ἐπὶ τὸ πέλαγος ἤθελε δηλοῦν ἀναγωγήν, ἀναχθέντες ἂν ἔλεγε. τὸ δὲ ἀναβάντες, τὴν διὰ τῶν ἐπιβάθρων σημαίνει ἀνάβασιν.

παῖδα μὲν τοῦ θανόντος ἑαυτὴν μὴ εἶναι. λέγει δὲ ἄλλως κατὰ γένος αὐτῷ προσῆκον, τὴν κλῆρον παρακαταβάλλειν αὐτὴν οἱ νόμοι κελεύουσι, πλὴν ἀμφότερα ἐπὶ ἀναλογίας τάσσεται. Ἀμφὶς ἐλθεῖν, φανερῶς. Ἄμφις, κωμικὸς Ἀθηναῖος. ἀμφὶς δὲ, ἀντὶ τοῦ χωρίς. Ἀμφὶς φρονεῖν, ἐναντίον ἐστὶ τῷ ὁμὰ φρονεῖν, ὅπερ συνήθως ὁμοφρονεῖν λέγεται. καὶ τὸ ἐξ αὐτοῦ ὄνομα ἐν Ὀδυσσείᾳ, ὁμοφροσύνη. ἐκ τοῦ ἀμφὶς φρονεῖν, ὅμοιόν ἐστι τῷ παρὰ τοῖς παλαιοῖς διθυμία. ὅ ἐστι διχοστασία, καὶ ὡς εἶχεν διψυχία. τοῦτο δὲ ἀνάπαλιν ἔχει πρὸς τὸ ἕνα θυμὸν ἔχοντες. τὸ δὲ ἀμφὶς φρονέειν, ἑκαχοῦ ἀμφὶς φράζεσθαι ἔφη. Ἀμφίσβαινα, ζῶον. ὁ ὄφις ἑκατέρωθεν βαίνων. ἐκ τοῦ ἀμφὶς ἐπιρρήματος γίνεται. οὗ χρῶνται καὶ ἐν τῷ ἀμφὶς φράζονται. Ἀμφισβατα, τὰ ἀμφισβητούμενα. οὕτως Ἑλλάνικος. Ἀμφισβατεῖν, ἀμφιβάλλειν. καὶ ἀμφισβατεῖν, ἐπὶ φίλων. ἐρίζειν, ἐπὶ ἐχθρῶν. Ἀμφισβήτησις. οἷον φασίν, ἡ ἀμφισβήτησις, κρίσιν ἐμπεριέχει. ἡ δὲ κρίσις, ἐὰν ἔλεγχον βεβαιῶσιν. ὁ δὲ ὅρος γεγράφθω. τὰ δὲ γεγραμμένα, κυρούσθω. τὰ δὲ κυρωθέντα, βεβαιούσθω τοῖς ἔργοις. καὶ πᾶσα ἀμαχία, εἰκέτω, καὶ πάλιν φιλία χωρείτω, καὶ οὐ δεῖ ἄπειρα σπείρειν τοὺς κρίσεις. Ἀμφισβητοῦντες, ἀμφιλογοῦντες. ἐκ τοῦ ἀμφὶς καὶ τοῦ βαίνειν. πολλάκις δὲ πλεονάζει τὸ β, ὡς ἐν τῷ ἄλογον ἄβλαρον, καὶ σίλα σίβλα. ἢ παρὰ τὸ ἀμφὶς ἐπίρρημα, τὸ κεχωρισμένως βαίνειν. τοιοῦτοι γὰρ οἱ διαφέροντες.

Ἀμφισβατῶ, γενικῇ συντάσσεται. οἷον ἀμφισβητοῦντων τῶν πραγμάτων. καὶ ἀμφισβατοῦσι τῆς ἀρχῆς, καὶ περὶ τῆς ἀρχῆς, καὶ τὸ ἐριστικόν. Ἀμφὶς ἦλθεν, ἤγουν χωρὶς ὢν ἰδίᾳ τοῦ Διός. Ἀμφισκιοῦσι, οἱ περιοικοῦντες τὰς κώμας. Ἀμφίσσης τῇ χαρί, κεκρυμμένην. ἴσως δὲ τὸ διῶκον. Ἀμφισσεῖν, διαλύειν.

Ἀμφισσα, πόλις τῆς Λοκρίδος. Ἀμφίσατο, περιέσατο, ἀμφίσασθαι διαστῆναι ὅπλον. καὶ ἀμφίσκαρ, τὸ ἐξετάζειν. Ἀμφισφαῖ, τὴν κατοχὴν τῆς ἐντολῆς. διαλεκτός. Ἀμφισφίξεν, διαδεῖν. Ἀμφιστεφὲς. τρεῖς κεφαλαί, ἤγουν κατὰ κύκλον κείμεναι. ἢ ἀμφιστεφές, ὅ ἐστιν ἀλλήλαις συμπεπλεγμέναι. ἢ περιστεφὲς πλήρης. Ἀμφίστομος φάλαγξ καλεῖται, ἡ τῇ ἡμισείᾳ τῶν ἐν τῷ λόχῳ ἀνδρῶν ἀποτεταγμένας αὐτῶν ἔχουσα, ὡς ἀντιπρόσωπον εἶναι. Ἀμφιστροφὴ, ἰσχύρησις, ὑποστροφή. Ἀμφισφαῖρα, εἶδος ὑποδήματος γυναικεῖον. Ἀμφίσωμον, περίβλητον. Ἀμφιταλάντων, ἀμφοτέρωθεν ῥίψαι δυνάμενον.

Ἀμφιτάπητας, Αἴλιος Διονύσιος φησὶ, ἢ μὴ ἑτερομάλλους, ἀλλὰ τοὺς ἐξ ἑκατέρων μερῶν δασεῖς. Παυσανίας δὲ λέγει, ὅτι ἀμφιτάπητες, οἱ ἀμφίμαλλοι. οἱ δὲ ἑτερόμαλλοι, τάπητες. Ἀμφιτιθεῖσα, περιθεῖσα. Ἀμφίτιμον, ἀντιτετιμημένον. Ἀμφὶ δ᾽ ἄρα ὀφρύς, περὶ τῶν αὐγῶν. Ἀμφιτρισβείσθαι, ποιὸν μίγμα ἀποτελεῖν. Δημοσθένης. Ἀμφίτροι, ἄλφιτα ἐλαίῳ δεδευμένα. λάκωνες. Ἀμφιτρίβαν, περιτεθὲς τετριμμένον.

Ἀμφίτρητον, τὸ ἐξ ἑκατέρων τῶν μερῶν τετρημένον. Ἀμφιτρίτη, ὄνομα τοπικόν. λέγεται δὲ παρὰ τὴν πανταχόθεν φέρεσθαι. ἢ παρὰ τὸ ἀμφίβολον τοῦ φόβου, ἢ παρὰ τὸ πανταχόθεν ἀναδοῦν καὶ κάτωθεν τρίβειν εἶναι στοιχεῖον. λέγεται δὲ, ὅτι ἐν ταῖς χερσὶ κατέχει ἐκ τῶν ἐλλήνων, ἤγουν. καὶ ἀμφιτρίτη, ἡ θάλασσα. ἢ γὰρ παρὰ τὸ ῥεῖν ἐστιν, ἡ περιρρεομένη. ἢ παρὰ τὸ τρίβειν. φέρειν γὰρ ἐστι, καὶ ὁμαλὰ διαφθείρειν εἶναι. ἐκ τοῦ ἐτυμολογικοῦ. καὶ τὰ εἰς τι λέγοντα θηλυκὰ βαρύτονα, ὑπὲρ μίαν συλλαβὴν, ἐπὶ φωνήεντι θέλουσι παραλήγεσθαι. οἷον, ἔριτα, μελίτη, ἀφροδίτη, καὶ ἀμφιτρίτη. Ἀμφιτροπὴ, δῆμος τῆς ἀντιοχίδος φυλῆς. Ἀμφιτροχῆ, κατεῤῥυγυῖα. Ἀμφιφῶν, παῖς ἄλσεως. Ἀμφίτυπα, ἐπίσημα. Ἀμφιφαλον, ἀμφοτέρωθεν φάλους ἔχουσαν περὶ αὐτήν. φαλοὶ δ᾽ εἰσὶν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀστερίσκοι, χάριν κόσμου τιθέμενοι.

Ἀμφιφαεῖς, ἄστρα δὶς φαινόμενα. καὶ ἀμφιφαῆ, περιλαμπῆ. Ἀμφιφορεὺς, κεράμιον ὦτα ἔχον ἀμφοτέρωθεν φορούμενον. ὅ ἐστιν, ἄμφωτον, δίωτον. ὃ ἀμφιφορεὺς Θεόπομπος λέγεσθαί φησι, τῆς ὑπὸ οἴνου μετρητῆς. Παυσανίας δέ φησι τὴν ἀμφιφορέα, ὑπὸ Ἀθηναίων ἀμφορέα καλεῖσθαι. καὶ ἀμφιφορεὺς, θρὸς, ὑδρία, κέραμος. ἢ μέτρον ἐλαίου. καὶ ἀμφιφορεῖς, ὅπερ ἐν ἐπιγράμματι. Ἀμφιφῶν, πλακοῦς, ποιὸς ἀρτέμιδι μετὰ δᾳδῶν προσφερόμενος. Ἀμφιφῶντες, πλακοῦντος εἶδος. οἱ δὲ οὕτως ἐγίνοντο, ὅτι ὁ ἥλιος καὶ ἡ σελήνη πρωὶ ὑπὲρ γῆς φαίνονται. ὅθεν ἐνόμιζον αὐτὴν δᾳδία ἡμμένα περιπεττομένους ἐπ᾽ αὐτῷ, ὥς φασιν Ἀπολλόδωρος. Ἀμφιχαλκοφάλαρα, ἀντὶ τοῦ πολυχαλκα, λέγει Ἀριστοφάνης. Ἀμφιχανόντες, κατακτείναντες.

Ἀμφιχυθεὶς πατέρα παρ᾽ Ὁμήρῳ, ἐμφαντικώτερόν ἐστι τοῦ ἀμφὶς καὶ τοῦ περιφύς. δηλοῖ τὴν ὅλην δι᾽ ὅλου περιπλοκήν. ὁρμηθεὶς ἐκ τοῦ κύλινδος ἀμφιχυθεὶς. Ἀμφίχυτον, κατὰ μὲν τὸν Βοιωτικὸν, τὸ ἀμφοτέρωθεν κατακεχωσμένον, τῷ ἐξ ὑψηλοῦ ἐφ᾽ ἑκάτερα χθαμαλότερον. οἱ μέν τι πλείους ἀμφίχυτον φασι, τὸ μὴ ἐκ λίθων, ἀλλὰ περικεχωσμένον, ἤγουν τὸ ἐξ ἀναχώματος ὄν. ὡς τὸ χεύαντες δὲ τὸ σῆμα, ἤγουν ἀναχωματίσαντες. τοιοῦτον δὲ ἦν τεῖχος ἐν Τροίᾳ. ἢ ἀμφίχυτον, τὸ περικεχυσμένον ἔξωθεν καὶ ἔσωθεν. Ἀμφιῶ, κέρατα εἰς τὸ κεραμοῦ. Ἀμφίων, καὶ Ζῆθος, τὰς Θήβας ἐτείχισαν. ὡς καὶ Ὅμηρος φησίν, Οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο. Φερεκύδης δὲ, καὶ τὴν αἰτίαν παραδίδωσι τῆς οἰκοδομῆς. διὰ Φλεγύας πολεμίους ὄντας εὐλαβοῦντο, βασιλεύοντα Κάδμου. Ἀμφίβολα, ἡ διὰ τῶν σπλάγχνων μαντεία.

Ἀμφοδα, αἱ ῥῦμαι, ἀγυιαί, δίοδοι. Ἀμφοῖδις, παρὰ τὸ οὖδας. ὁ δὲ Ἡσίοδος ἀμφοτέραις ταῖς χερσὶν, εἰς τὸ οὖδας ῥίπτων. Ἄμφοδος, ἡ ῥύμη. Ἀμφοῖν, τῶν δύο. καὶ τοῖς δυσὶν, ἐπὶ ἀμφοτέρων. Ἀμφόου, ἀκρατὴς, ἁμαρτωλὸς, μὴ δυναμένη σκεῦος. Ἀμφόνον, περὶ τὸν φόνον. Ἀμφοράσαντο, ἐσχίσαντο. Ἀμφορεὺς, φόρος τῆς μέθης, ἃ ἐν τῷ κεράμῳ φέρονται. Ἀμφορίδιον, ὁ μικρὸς ἀσκός. καὶ ἀμφορεὺς, φορτίον. Ἀμφ᾽ ὀχεύειν, περὶ τοῖς ὀχοῖς. Ἀμφότερα, δύο.

Ἀμφότεροι γράφουσιν, οὐ γράφοιεν. τὸ δὲ ἄμφω καὶ δύο δυϊκῶς, ὡς τῇ σημασίᾳ οὕτω καὶ τῇ φωνῇ δυϊκοῖς τε καὶ πληθυντικοῖς συντάσσεται ῥήμασι. τὸ μὲν διὰ τὴν φωνικὴν σημασίαν, τὸ δὲ διὰ τὸ ἐμπεριέχεσθαι ὑπὸ πληθυντικοῦ ἀριθμοῦ, τὸν ἐν κατὰ δύο. ἄμφω οὖν τρέχετον λέγομεν, καὶ ἄμφω τρέχουσιν. Ἀμφότερον βασιλεύς τ᾽ ἀγαθὸς, κρατερός τ᾽ αἰχμητής. ὡς ἐπίρρημα τὸ ἀμφότερον εἴληπται νῦν. καὶ ἀμφότερον, μάντιν τ᾽ ἀγαθὸν, καὶ δουρὶ μάρνασθαι, παρὰ Πινδάρῳ. ἀντὶ τοῦ κατὰ ἀμφότερα, ἐπιρρηματικῶς. ὁμοίως, τὸ παλιός τε νέον, παλιός τε κάρηνον. Ἀμφοτερόπλουν, ὅταν τις ναυτικὸν δανείσῃ δάνειον, ἐπὶ τῷ ἐκπλεῦσαι, πάλιν κἀκεῖθεν ἐκπλεῦσαι, τοῦτο ἀμφοτερόπλουν καλεῖται. οὕτω Δημοσθένης. Ἀμφοτέρωθεν. Κανών. Τὰ εἰς θεν ἐπιρρήματα, τὰ ἀπὸ ὀνομάτων γινόμενα, διὰ τοῦ ο μικροῦ γράφεται. οἷον, κύκλοθεν, οὐρανόθεν. πλὴν τοῦ ἀμφοτέρωθεν, ἑκατέρωθεν, ἑτέρωθεν. καὶ ἀμφοτέρωθεν ἀπηχημένον, τὸ ἀμφίκοπον λέγεται.

Ἀμφοτέραν ἑλεῖν χεῖρα, εἶχε μὲν εἰπεῖν δυϊκῶς χεῖρε. ἀλλὰ διὰ τὸ κακόστροφον οὕτως εἶπε. καὶ νοητέον, ὡς ἡ ἰδίᾳ τῶν ἑκατέρων ἔλαβε χεῖρα ἑκατέραις ταῖς αὐτοῦ χερσὶν, ἢ μίαν ἐξ ἑκατέρων τὰς δεξιὰς, τῇ αὐτοῦ δεξιᾷ δηλαδή. Ἀμφοτέρωσε, εἰς ἑκάτερον μέρος. Ἀμφοῦδις, παρὰ τὸ οὖδας. ἐπίρρημα σημαίνει οὐ μέλλον, οὐδὲ νῦν, ἀλλὰ ἐπὶ τὸ ἔδαφος, οὐδὲ μὴ καὶ ἐν συνθέσει, ἀμφοῦδις. παρὰ τὸ οὖδας, τὸ ἔδαφος. οὐδὲν διαφέρει τοῦ ἀμφ᾽ οὖδας. πλὴν αὐτὸ ἐπίρρημά ἐστιν ἐκεῖθεν παραχθέν. ἀμφοῦδις ἐρείσας, τὸ πρὸς τῇ γῇ ῥῖψαι. καὶ ἔστι ταυτὸν τῷ πρὸς γῆν ἐλάσας. ἀείρας δὲ ἀμφοῦδις, τουτέστιν ἐκ γῆς πρὸς γῆν αὖθις ἐλάσας, τὴν ἐκείνου κεφαλήν. ὁ καὶ ἄλλος, ἀείρας βάλλει τὴν κεφαλὴν πρὸς γῆν. ἀμφοῦδις, κατὰ μέσον ἀμφοῖν τὸν λάξιον ἐκ πα-

γὰρ μίαν βάσιν, δύο δὲ περὶ τὰ ὦτα εἶχεν. ὥσπερ τὸ ἀμφικύπελλον. ὁ μὲν ἐκτὸς, ὁ δὲ ἐντός. Εὐσέβιος, Ἰλιάδος α. Ἀριστοτέλης μὲν οὖν ὡς ἐκ δόλων τὸ ἀμφικύπελλον, ἰσόρροπα τὰ τοῦ μέλιτος. νῦν δὲ καὶ τὸ μέλι κατασκευάσασθαι, ἵνα σαφῶς καλῶς ἐξ αὐτοῦ τὸ ἀμφικύπελλον. τίνος μὲν οὖν ὡς ἐν εἰκασμῷ, δοκεῖ ταύτην εἶναι ἀμφικύπελλον εἰκότως καὶ δικύπελλον, ὡς κατὰ τὰς ἐκλείψεις σύμφωνα, ἢ θέσιν τοῦ μέλιτος. μιᾶς βάσεως, τουτέστι πυθμένι, δύο κυπέλλων διοικούμενον. Ἀμφικόμῳ, φυλλώδει. Ἀμφικλασθεὶς, περικλασθείς. Ἀμφιλάφεσιν, συγκρότησιν, ὠφέλειαν. Ἀμφιλαφεῖς πλατάνιστοι, ἀνθηραὶ μεγάλαι καὶ περίσκιοι, καὶ παρὰ Ἀπολλωνίῳ ἀμφιλαφὴς, ἀντὶ τοῦ [illegible] ὁ μέγας, ὁ ἀμφοτέρωθεν [illegible] κεχαρισμένος. Ἀμφιλαφὶς, κατάσκιον, ἀμφιλαβὲς ἐὸν, τὸ ἑκατέρωθεν ληπτόν. τροπῇ τοῦ β εἰς φ. ἢ παρὰ τὴν ἀφήν.

Ἀμφιλαφῆ, μέγαν, δαψιλῆ. Ἀμφιλαφὴς [illegible], Ἀπολλώνιος, ἀμφοτέρωθεν ἐκπετάσας πρὸς ὅρμον ἔχει. Καλλίμαχος δὲ, ἀμφίδυμον εἶπε τὸν ἀμφιλαφῆ λιμένα. ἰσοδυνάμως δὲ Ἀπολλώνιος ἀμφιλαφῆ τὸν λιμένα φησί. ἔοικε ἀντὶ τοῦ ξυλώδους [illegible]. Ἀμφιλάων, περικεκλοῦντων. Ἀμφίλαστος, ἀμφίβολος. Ἀμφιλέξαντος, ἀμφισβητήσαντος, καὶ [illegible]. Ἀμφίλινα, ἱερουργία, [illegible]. Ἀμφιλίτης, [illegible]. Ἀμφιλυχῆ, περιμάχητον. Ἀμφίλογον, ἀμφιβαλλόμενον, ἐνδοιάζοντα. Ἀμφιλύκη. ἐκ τῆς λύκη γίνεται, ὃ σημαίνει κατὰ τοὺς παλαιοὺς τὴν σκιάν. προσλαβὸν δὲ τὸ α, ποιεῖ τὸ ἀλύγη, ὃ δηλοῖ σκίασιν, σκιάν. ἐξ οὗ παρὰ Πλάτωνι ἐπηλυγασάμενος, ὁ προβαλλόμενος, καὶ ἐπισκιασάμενος. διὸ καὶ νυκτερινοὶ κύνες λέγονται ἀλύκαι, ἐστὶν εὑρεῖν ἐν τοῖς παλαιοῖς. καὶ ἀμφιλύκη νὺξ λέγεται, ἣν [illegible] λυκόφως λέγομεν. καὶ ἀμφιλύκη νὺξ, τὸ παρ' ἡμῖν λεγόμενον λυκόφως. ὅτε οὔπω ἡμέρα ἤλθεν, [illegible]. καὶ ἄλλως ὁ ποιητὴς ἀμφιλύκην νύκτα καλεῖ, τὴν ἤδη πρὸς τῇ ἡμέρᾳ οὖσαν, ἢ προσημαίνουσαν τὸν ἥλιον, ἤτοι τὸν ὄρθρον. καὶ ἄλλως δὲ καθ' Ὅμηρον ἀμφιλύκη νὺξ, καθ' ἣν ὁ ἥλιος νέον προβάλλει. τῇ γ' οὔπω [illegible] νύκτα. οὐ μὴν ἤδη προβέβληκεν, ὡς καὶ [illegible]. ἐτυμολογεῖται δὲ, ἢ παρὰ τὴν λύγην, ὅ ἐστι τὴν σκοτίαν (λυγαῖον γὰρ, ὁ ἐπισκοτῶν, τὸ τηνικαῦτα φῶς.) ἢ παρὰ τὸ λυκὴ [illegible], τουτέστι λευκὸν [illegible]. [illegible] ἡ λύκη, καὶ οὐκ ἀκραιφνὲς ἔχει τὸ μέλαν. καὶ ἀμφιλύκην, σκοτεινήν. λύγη γὰρ ὡς εἴρηται, ἡ σκοτεία, καὶ λευκόφως ἐξ αὐτοῦ, ἢ λυκόφως. Ἀμφίμακρος, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, συντάττεται. οἷον, ἡγεμών. καλεῖται δὲ ἀμφίμακρος, διὰ τὸ ἑκατέρωθεν δύο μακρὰς ἔχειν. Ἀμφίμαλλος, [illegible] ἐν τοῖς ἱεροῖς [illegible]. [illegible] δὲ, τὴν μίτραν [illegible]. Ἀμφιμάντρα, ἄλφιτα μέλιτι δεδευμένα. [illegible] καὶ [illegible], [illegible]. Ἀμφιμάσασθαι, περιψήσασθαι, περιμάξαι, ἀπομάξαι. ἐκμάσσω, ἀφ' οὗ ἐκμάξειεν, καὶ ἀπομάσσειν.

Ἀμφίμασχα, ψαυστά. Ἀμφιμασχάλη, χιτὼν τοῦ ἱματίου. οἱ δὲ δουλικοῦ, ἢ μικροῦ χιτωνίσκου. ἦν καὶ ἑτερομάσχαλος, ὁ τῶν ἐργατῶν. οὗ τὴν μίαν μασχάλην ἔρραπτον. ἢ ἀμφιμάσχαλος, ὁ ἑκατέρωθεν χειρίδας οὐ μακρὰς, ἀλλ' ἕως τῶν μασχαλῶν ἔχοντος. Ἀμφιμεμήνασι, ἀπολῦσαι. Ἀμφιμέλαινα, βαθεῖα, σκοτεινή. Ἀμφιμέμυκε, περιηχεῖ, μυκᾶται. Ἀμφιμήτριος, ὁ [illegible]. Ἀμφιμήτορες, οἱ ἐκ διαφόρων μητέρων γεγονότες ἀδελφοί. Ἀμφιμήτρια, τὰ μετὰ τὴν [illegible] τῆς [illegible] ἐξ ἑκατέρου μέρους ἐπιβεβλημένα. καὶ ἀμφιμήτριον, τὸ σημαντικὸν τῶν περὶ τὴν μήτραν παθῶν. Ἀμφιμιγὲς, πολυμιγές. ὁ [illegible], καὶ ἐναντίον πρὸς ὃ τὴν μήτραν αἱ γυναῖκες [illegible].

Ἀμφιμύστιον, [illegible] καὶ ἀμφιμύστιον, ὁ [illegible].

Ἀμφίνεικος, περιμάχητος, [illegible] ἔχων λόγους. Ἀμφιξοντίζοντα, προσπελάζοντα, προσφερόμενον. Ἀμφιοπτὸς, κυ-

[illegible] κρῦνες. Ἀμφίξουν, καλῶς ξεστὸν, ἀμφίξεστον τὸ [illegible]. Ἀμφίον, ἱμάτιον, ἔνδυμα. καὶ ἄμφιον, [illegible]. Ἀμφιόνη, καθέδρα. Ἀμφιορκία, ὅταν οἱ δικαζόμενοι ἀλλήλοις ὀμνύωσι. ἡ ἀμφιορκία, [illegible] ὅ,τι φεύγων, [illegible] ὁ διώκων ὀμνύωσι, κλοπῆς ἔγκλημα τινὶ ἐπιφέροντες.

Ἀμφίπαλοι, [illegible]. Ἀμφίπασα, ἄλφιτα ἀναδεδεμένα ἐλαίῳ. Ἀμφιπέλλεια, πελίκιον δίστομον. Κυρηναῖοι. ὁ δὲ Ἀρίσταρχος, τὴν τοῦ [illegible]. Ἀμφιπέλεται, περιγίνεται. Ἀμφὶ περὶ, ἐξ ἑκατέρου μέρους, περὶ αὐτούς. Ἀμφιπεριστρωφᾷ, περιίστησι. Ἀμφιπήρεις, [illegible] λέγονται. Ἀμφιπλήκτος, [illegible]. Ἀμφιπλῆγες, ἰσθμοῖς, ἤγουν ἀμφιθαλάσσοις. παρ' ὅσον ἑκατέρωθεν θαλάσσῃ πλήττεται. Ἀμφιπλὴξ, ἡ ἑκατέρωθεν ἐλαυνομένη. Ἀμφίπ[illegible], ἀμφίμαλλοι. Ἀμφιπολεύειν, τὸ συμπεριέρχεσθαι δηλοῖ. καὶ ἀμφιπολεύειν, ἐργάζεσθαι. Ἀμφιπολεύοι, ὑπηρετοίη, φροντίζοι, περιέποι, ἢ ἀναστρέφοιτο. Ἀμφίπολις, Ἀττικῶν περὶ τὴν [illegible]. πόλις αὕτη τῆς Θρᾴκης. πρότερον δὲ Ἐννέα ὁδοὶ ἐκαλεῖτο, ὡς Ἀνδροτίων ἐν Ἀτθίδι [illegible]. Μαρσύας δ' ἐν Μακεδονικοῖς, διὰ τὸ περιοικεῖσθαι τὸν τόπον Ἀμφίπολιν ὀνομασθῆναι, πρότερον ἄρα καλουμένην. οἱ δὲ, [illegible] πόλις. Ἀμφίπολοι, αἱ δοῦλαι. καλοῦνται δὲ οὕτω, διὰ τὸ ἀμφὶ τὰς δεσπότιδας πολεῖν. ἐκ τούτων δὲ αἱ πρόσπολοι, καὶ πρόπολοι. οἱ δέ φασιν ὅτι πρόσπολος μὲν ἐπὶ ἀρρένων, ἀμφίπολος δὲ ἀεὶ ἐπὶ γυναικῶν. Πίνδαρος δὲ ἔφη, τέμενος ἀμφίπολον, τὸ κύκλῳ περιπολούμενον. καὶ ἀμφίπολον τέμενος πόλεως λέγουσι τινὲς, τὸ περιπολούμενον διὰ τὸ ἐν μέσῳ εἶναι τῇ πόλει. οἱ γὰρ οἰκισταὶ, ἐν μέσαις ταῖς πόλεσιν ἐθάπτοντο ἐξ ἔθους. ἄλλοι δὲ ἀμφίπολον, τὸ περιπολούμενον ὑπὸ τῶν ἀγωνιζομένων. ἐν γὰρ τῷ σταδίῳ ἐστὶν αὐτοῦ ὁ τάφος. ἢ ἀμφίπολον, τὸ περιπολούμενον, ὡς τῶν ἐπιχωρίων διὰ τὸ ἄγαν τῆς κατασκευῆς ὑπερβολὴν, κύκλῳ περιιόντων καὶ θεωμένων. ἔνιοι δὲ, ὅτι οἱ ἔφηβοι εἰς [illegible] τοῦ Πέλοπος ἔκαμπτον. Ἀμφίπολος, ὁ δοῦλος. Τὰ παρὰ τὸ πολῶ καὶ χέω, μὴ μετὰ προθέσεως συντιθέμενα, καὶ μικρὸν ἔχουσι τὸν τόνον, οἷον οἰκοπόλος, ὀνειροπόλος, οἰνοχόος. τὰ δὲ μετὰ προθέσεως, παροξύνεται. οἷον, ἀμφίπολος. ἔστι δὲ καὶ ἐπὶ θηλυκοῦ, πρόσπολος. Ἀμφιπρύμνους, ὅλον τὸ πλοῖον. ἔμπαλιν [illegible] τὸν [illegible] ἐν ταῖς ἀμφιπρύμνοις τῶν νεῶν. Ἀμφὶ πυρὶ, περὶ τὸν πυρσόν. Ἀμφίπυρον, πανταχόθεν πυρούμενον. Ἀμφὶ ῥὰ ἕ, περὶ δ' αὐτόν. Ἀμφιρραφία, ἑκατέρωθεν [illegible]. Ἀμφιρραφὲς, ἑκατέρωθεν ἐρραμμένον. Ἀμφήριστον, ἀμφίλογον, ἀμφίβολον. ἐκ τοῦ ἐρίζω γίνεται ἐρίσω, ἤρισα, ἤριστον, ἐριστόν, καὶ ἀμφήριστον. Ἄμφιρον, ἀμφορεύς. Ἀμφιρρύτη, περιρρεομένη κύκλῳ. ἐν ἐπιγράμματι, [illegible], καὶ πάλιν [illegible] ἔχει, οἷον [illegible]. Ἀμφιρρῦτας, [illegible].

Ἀμφιρρώτις, περιφερής. κεφαλὴν ἔχων ἑκατέρωθεν. Ἀμφί[illegible], οἱ κεχωρισμένως βοσκοῦντες. οἱ μὲν τῇδε, οἱ δὲ τῇδε.

Ἀμφίς. ἀπὸ τοῦ ἀμφὶ προθέσεως, ἀμφὶς ἐπίρρημα, ὃ σημαίνει τὸ χωρίς. καὶ [illegible], καὶ τὸ ἐκτός. οἷον ἀμφὶς ὁδοῦ [illegible]. σημαίνει καὶ τὴν περὶ πρόθεσιν. ἀμφὶς, ἡ περὶ, ταυτόν. καὶ ἀμφὶς, ἀντὶ τοῦ κύκλῳ, ὅταν [illegible]. ἀμφὶς [illegible], ἤγουν κύκλῳ. καὶ ἀμφὶς ἰδὼν, ἀντὶ τοῦ κύκλῳ, ἤτοι πάντοθεν. καὶ ἀμφὶς, ἀντὶ τοῦ ἀμφοτέρωθεν ἐνίοτε λαμβάνεται, καὶ ἀντὶ τοῦ μεταξὺ, ὡς τὸ ὀλίγη δ' ἀμφὶς ἄρουρα. Ἀμφὶς εἴργει, χωρίζει. Ἀμφίσ[illegible], οἱ [illegible]. Ἀμφὶς, περὶ, χωρὶς, δίχα. Ἀμφὶς ἕκαστον, περὶ ἕκαστον. Ἀμφὶς ἐόντες, χωρὶς ὄντες, ἀποδημοῦντες.

Ἀμφὶς ἔχουσιν, περιέχουσιν. Ἀμφισβητεῖν, ἡ παρὰ [illegible], ὅταν τελευτήσας τις, [illegible] εἶναι δοκεῖ. φάσκει δέ τις ἑαυτὸν ἐκείνου υἱὸν, οὗτος ἀμφισβητεῖν τοῦ κλήρου λέγεται. οἱ δὲ

παῖδα

ἐπὶ τοῖς γενομένοις παιδίοις. ἐν ᾗ τὸ βρέφος περὶ τὴν ἑστίαν ἔφερον τρέχοντες, καὶ ὑπὸ τῶν οἰκείων καὶ φίλων, πολύποδας καὶ σηπίας ἐλάμβανον. ἢ κατὰ λέξιν, ἀμφιδρόμια, ἡμέρα πέμπτη τῆς βρέφους ἐκ γενέσεως. οὕτω κληθεῖσα, καθ' ἣν ταύτῃ καθαίρουσι τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως. καὶ τὸ βρέφος περὶ τὴν ἑστίαν φέρουσι τρέχοντες κύκλῳ, καὶ τοὔνομα τίθενται τούτῳ. δῶρά τε πέμπουσι τῷ παιδί, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας, οἵ τε φίλοι, καὶ οἰκεῖοι, καὶ ἁπλῶς οἱ προσήκοντες. Ἄλλως.

Ἀμφιδρόμια, ἑορτὴ ἐστὶν Ἀθήνησι τελουμένη. καθ' ἣν ἐγκαταφέρουσιν ἄρτι ὀμφαλιζομένους ἐπὶ τὴν ἑστίαν, ἐπιτρέχουσι τὸ δ' αὐτὸ γενόμενον, καὶ μετὰ σπουδῆς τὰ βρέφη περὶ τὴν ἑστίαν περιφέρουσιν. ἐπειδὴ κυοφορος, ὁ φορὸς ἐπὶ λεχὼ πεφάμεσαι. μέμνηται Πλάτων ἐν Θεαιτήτῳ, Τοῦτο μὲν δὴ ὡς ἔοικε, μόγις ἐγεννήσαμεν, ὅτι δή ποτε τυγχάνει ὄν. μετὰ δὲ τὸν τόκον τὰ ἀμφιδρόμια, ὡς ἀληθῶς ἐν κύκλῳ περιδραμητέον τῷ λόγῳ. Ἀμφίδρομον, ἐλευσίδες. εἰλυθίας οἷον ἄρα κῶμα φονίαν ὑπὸ ζάλης ἀμφίδρομον ἐκαλεῖται.

Ἀμφίδρομος. Αἰσχύλος σεμίλη, ἔπλασε δαίμονα ἑκατὸν περὶ τὰ ἀμφιδρόμια. ὡς εἰ ἔλεγε τὴν γενέθλιον. δηλοῖ δὲ ἐξ ἑκατέρου μέρους διοίμενον, ἢ προσαγόμενον, ἢ ὁρμῶν δυνάμενον.

Ἀμφιδρυφὴς, ἡ ἀπὸ ἀμφοτέρων δρυπτομένη, ὁ ἐστὶ ξεομένη τὸ πρόσωπον, ὅ δύνασθαι ὑπερβολῇ δηλοῖ. ἐκ δὲ τοῦ δρύπτω, γίνεται τὸ ἀμφιδρυφές. ὡς ἐπὶ γῆ κυρίως, τὸ ἀπὸ δένδρων δρυ, ἤγουν ξύλον δρυφθὲν τὸ δρύπτω, ὡς κορέπτω, καὶ ἐν συνηθείᾳ δρύπτω. ἢ ἀμφιδρυφὴς, ἡ ξεομένη ἀμφοτέρωθεν, καὶ περικατατεμνομένη τὸ πρόσωπον, διὰ τὸ ἀνδρὸς πένθος. δρύψαι γὰρ τὸ ξέσαι. Ἀμφίδρυφοι, παῖδες ὑπερβολῇ, ὅτι οὐ μία παρειὰ δρύπτεται, ἀλλ' ἀμφότεραι. ἀπὸ δρυὸς δὲ τὸ δρύπτω, ὅ ἐστι ξύλον. λέγεται γὰρ τὴν φλοιάν.

Ἀμφίδυμοι λιμένες, δίδυμοι. διὰ τὸ ἐξ ἑκατέρου μέρους ἔχειν εἰσδύσεις. ἢ ἀμφίδυμοι, οἱ πανταχόθεν κατάδυσιν ἔχοντες καὶ σκέπην. οἷον ἀμφίδυοι, ἀπὸ τοῦ δύνω τὸ σκεπόμενον. λέγεται δὲ καὶ ὁ λιμὴν ὁ κυρίως ἀμφίδυμος, διὰ τὸ εἰσόδους ἐξ ἑκατέρου μέρους ἔχειν. Ἀμφιδὺς, ἐνδυσάμενος. Ἀμφίδυσις, ἐπίθετον φιάλης, παρὰ Ἀναξανδρίδῃ. Ἀμφίδυρον, τὸ πανταχόθεν περιέχον σκότος. ὡς τὸ ἀμφιδέρκει σκότος, ἀχαιθία. ποταμὸς, ἐλάφου δέρμα. Ἀμφὶ ἑ, περὶ αὐτόν. ὡς τὸ, ἀμφὶ ἑ γινώσκων ἑταίρους ἀγρόμενος. Ἀμφιέμενος ἐνδυσάμενος, ἤγουν ἐνδεδυμένος. παρὰ τὸ ἕω, ὃ σημαίνει τὸ ἐνδύομαι. ὁ μέλλων ἕσω, ὁ παρακείμενος εἷκα εἷμαι. εἱμένος ὁ μετοχή, καὶ ἐν συνθέσει ἀμφιεμένος. Ἀμφίεστος χιτὼν, διπλοῦς. Ἀμφιελίσσαι, αἱ νῆες, αἱ ἀμφοτέρωθεν ταῖς κώπαις ἐλαυνόμεναι. ἢ ἐκάτερα τὰ πλευρὰ στρεφόμεναι. Ἀμφιελὸν, ἄφθονον. Ἀμφιέννυμαι, ἐνδύομαι κοινῶς, ἀπὸ τοῦ ἕω. ὡς ἀπὸ τοῦ ἄγω τὸ κλῶ, σβέννυμι. καὶ τοῦ ἕρω ὄρνυμαι. μέλλων παλαιὸς μὲν ἕσομαι. ἀπὸ τοῦ ἕω ἀχρήστου. κοινὸς δὲ ἀμφιέσομαι, μετὰ τῆς προθέσεως ἀεί. ὁ ἀόριστος παλαιὸς μὲν, ἑσάμην. κοινὸς δὲ, ἠμφιεσάμην, καὶ ἀμφιέσομαι καὶ ἠμφιεσάμην, ἐπὶ τὸ αὐτὸ παρὰ τοῖς κοινοῖς. ὡς ἀπὸ τοῦ ἀμφιάζω. καθὸ καὶ ἀμφια τὰ περιβάλματα λέγεται. παρακείμενος μὲν παλαιὸς εἷμαι. ἀφ' οὗ καὶ εἱμένος, καὶ ἐπιειμένος, ἀπὸ τοῦ ἕω ἀχρήστου. ἀπὸ τούτου γὰρ εἷμαι, ὅμοιον, κατὰ ἀκολουθίαν μὲν τοῦ τίθημι. ἤγουν, θέω, ὡς θεῖμαι. καὶ ἀπὸ τούτου εἷμαι, ὡς τέθειμαι. κοινῶς δὲ ἠμφίεσμαι. ἀπὸ τοῦ εἷμαι, εἷμα τὸ ἔνδυμα παλαιῶς, ἀλλ' ἱμάτιον κοινῶς. ὡς μᾶλλον μὲν τὸ πρόβατον παλαιῶς, μαλλωτὴ δὲ τὸ δέρμα κοινῶς. Ἀμφιέννυται, ἐστὶν ἀμφιεννύω. καὶ ἐξ αὐτοῦ παράγωγον, ἀμφιέννυμι. τὸ παθητικὸν ἀμφιέννυμαι, ἀμφιέννυσαι, ἀμφιέννυται. παρὰ τὸ ἕω, τὸ ἐνδύομαι.

Ἀμφὶ ἕπε σκιάσας, περιβλέψας αὐτόν. Ἀμφίεπον, περιέπον, περιεκάλυπτον, ἢ περὶ ἔργον εἶχον. Ἀμφιέποντες, περὶ ἔργον ποιούμενοι, καὶ ἀσχολούμενοι. ἢ περὶ τὴν αὐτὴν σπουδάζοντες.

Ἀμφιέσασθαι, περιέχεσθαι. Ἀμφιέσων, περιβάλλων. Ἀμφιζευγνυμένας, τὰς καθ' ἑαυτὴν περιεχομένας. Ἀμφίζευξις, τὸ κατ' ἔτος. ἔτι δὲ ἀντὶ τοῦ κατ' ἐνιαυτόν. ἀσεβὲς δὲ καὶ ἀμφιετηρικόν, ἤγουν, καθ' ἐνιαυτόν. Ἀμφιετηρὶς, ἡ κατ' ἔτος γινομένη ἑορτὴ καὶ θυσία. Ἀμφίζειν, περικαθίζειν. Ἀμφιηκὲς, ἀμφοτέρωθεν ἀκονημένον. Ἀμφιθαλεῖς παῖδες, οἷς ἄμφω περίεισιν οἱ γονεῖς. καὶ ἀμφιθαλὴς παῖς, ὁ ἀμφοτέρωθεν θάλλων, ὅτι εὐδαιμονῶν. ἤγουν ᾧ ὁ πατὴρ καὶ ἡ μήτηρ περίεισιν. ἅπαξ δὲ ἡ λέξις εἴρηται παρὰ τῷ ποιητῇ, ἑτεροθαλὴς μέν τι, ᾧ ὁ ἕτερος τῶν φυσάντων κλάδων ἀπέστραται. καθ' ἂν ὥσπερ καὶ παῖδες, ἃς πρὸς οἱ μὴ ὁμομήτριοι, ἑτεροθαλεῖς λέγονται. ἴσα δὲ τῷ τεθηλότι θάλλειν, καὶ θάλεια φασὶν ἐν τοῖς ὁ ποιητὴς τὰ ἀγαθά, ὧν ἐμπίπλανται παῖδες εὐδαίμονος πατρός. ὅς καὶ φίλον θάλος τοῖς τεκοῦσίν ἐστιν. οἱ δὲ παλαιοὶ λέγουσιν, ὅτι ἀμφιθαλεῖς, οἱ ἔχοντες ζῶντας τοὺς δύο γονεῖς. Ἀμφιθέατρον, τόπος πανταχόθεν περιεσκεπασμένος. ὁ δὲ τῶν φράγγων ἡγεμὼν, ἐν ἀμφιθεάτρῳ τε ἀνῆρχεν. Ἀμφιθέοντα, περιβάλλοντα, δρομικῶς. Ἀμφίθετος, ἱερεὺς ὁ ἀμφίπατρος καὶ τριπόλεμος. παρὰ τῷ Ἀριστοφάνει. Ἀμφίθετον φιάλην, κατὰ πᾶν μέρος αὐτῆς τιθεμένην, ἀπύθμενον. οὐ τὸ παρ' ἡμῖν ποτήριον, ἀλλὰ γένος λέβητος, ἐκ παντὸς μέρους δυνάμενον ἕδραν ἔχειν. Ἀμφιθῆ, ἐπιθῆ. Ἀμφίθυρος οἰκία, ἡ ἔχουσα ἀμφοτέρωθεν θύρας. Ἀμφικαλύπτω, πάντοθεν καλύπτω. ἀπὸ δικτύων μετάγεται. ἃ καταπετασθέντα, ὄρνιθας καλύπτει ἔσω. καὶ ἀμφικαλύπτειν, σκέπειν, περιέχειν. Ἀμφικαλύψω, ἔσω παραδέξεται. Ἀμφίκαυσις, ἡ ῥινὴ κριθή. ἣν ἡμεῖς εὔζωρον καλοῦμεν. καὶ οὕτω μὲν οἱ τραγικοί. οἱ δὲ κωμικοὶ τὸ αἰδοῖον, ἀμφίκαυτις. Ἀμφικέφαλος, κεφαλίδος, περικέφαλος. Ἀμφικίλλαστης, ἡ κατ' ὤμων περικρέμασις ἐνδεδεμένη. Ἀμφικέφαλος κλίνη, ἡ ἑκατέρωθεν ἔχουσα ἀνακλιντήριον. Ἀμφικίλλαμον, ἀμφοτέρωθεν σχέλλον, καὶ συριζόμενον. Ἀμφίκισον, περιτμητὸν, ἢ περιγεγραμμένον. Ἀμφικιόθων, περικρύπτων. Ἀμφικέφαλος, κλίνης εἶδος, παρὰ τὸ ἑκατέρωθεν ἀνάκλισιν ἔχειν, καὶ προσκεφάλαιον. Ἀμφίκλαστον, πάντοθεν κεκλασμένον. Λείψανον ἀμφίκλαστον. Ἀμφίκλυσις, ἡ πρώτη τῆς ἀσταχύων ἐκφυσις. λέγεται δὲ καὶ κλῦσις. Ἀμφίκοιλον ξύλον, ἀνάφορον. ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται, βαστάζουσιν. ἀμφίκυρτον οὖν χαλκεῖον, ὃ πρὶν καὶ ἀληθές. Ἀμφίκνιτος, ὁ τάχης.

Ἀμφίκορος, ὁ μέσος τῶν τριῶν ἀδελφῶν. ἀμφίκουρος γὰρ, ὃν ἑκατέρωθεν ἄνδρες περιλαμβάνουσιν. Ἀμφίκρανον, ἀμφοτέρωθεν ἔχον κεφαλάς. Ἀμφικρημνον, ἑκατέρωθεν ἐπικίνδυνον.

Ἀμφίκρημνος, περίκρημνος, ἢ βραχύτατος. Ἀμφικτύονες, συνέδριον Ἑλλήνων. συναγόμενοι ἐπὶ Πυλαίαν. οἱ καὶ Πυλαγόραι, καὶ ἱερομνήμονες. ἢ ἀμφικτύονες, οἱ περιοικοῦντες. τὸ γὰρ κτίσαι, ἐπὶ τοῦ οἰκῆσαι, ἔλαβον οἱ παλαιοί. ὥς φησιν Ὅμηρος. Εὐκτίμενον πτολίεθρον, καὶ ἐϋκτιμένην κατ' ἀλωήν. ἔστιν οὖν οἰκίζω, οἰκίσω, οἰκιῶ, οἰκτῶν, κατὰ πλεονασμὸν τοῦ τ. καὶ μετὰ τῆς ἀμφὶ προθέσεως, ἀμφικτίων. καὶ τροπῇ τοῦ ι εἰς υ, ἀμφικτύων, ὡς τριφάλεια, τρυφάλεια. ἔστι δὲ συνέδριόν τι Ἑλληνικὸν, συναγόμενον ἐν Θερμοπύλαις. ὠνομάσθη γὰρ ἀπὸ Ἀμφικτύονος τοῦ Δευκαλίωνος. ὅτι αὐτὸς συνήγαγε τὰ ἔθνη βασιλεύων. ταῦτα δέ ἐστι Αἰολικά, Ἴωνες, Δωριεῖς, Περραιβοί, καὶ οἱ λοιποί. Ἀμφικύπελλον, ἤγουν, στρογγύλον ποτήριον. παρὰ τὸ κύφον, κύφελλον, καὶ κύπελλον. ἢ παρὰ τὸ χέω, χύπελλον. ἔστι ὁ πελὸς, ἤγουν ὁ οἶνος χεῖται. καὶ μετὰ τῆς ἀμφὶ, καὶ πλεονασμῷ ἑτέρου λ, ἀμφικύπελλον, τὸ ἐκ περιφερείας κύφον. ὅθεν καὶ τὰ πρὸς ἡμᾶς κάτω νεύοντα κύφα, κύφελλα λέγονται. Ἀρίσταρχος δέ φησι, σημαίνειν τὴν λέξιν, τὸ διὰ τῶν ὤτων ἑκατέρωθεν περιφέρεσθαι. ἐφ' ὧν καὶ ῥητῶς ἀμφίδετον λέγει. Ἡ τι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλε, χρύσεον, ἄμφωτον. ἤγουν, οἷον ἀμφίκυρτον. χρὴ δὲ εἰδέναι, ὅτι τὸ ἀμφικύπελλον, ὡς Ἀριστοτέλης ἐμφαίνει, καινήν τινα κατασκευὴν ἔχει. φασὶ γὰρ ἐκεῖνος, ὅ τι αἰθυρίδι τοῦ μέλιτος ἀμφίσεμαι. περὶ

ἀμφὶ περὶ κῦμα τρίπαλλε. ἢ ἀντὶ τοῦ ἐπὶ, οἷον ἣν κτέρας ἀμφ' ἕμαι, ἀλλὰ σημαινούσης τὸ δύο, ὡς ἐν τῷ ἀμφίσημος, ἀμφίσημος. Ἀμφίβαλλον, ἀμφοτέρωθεν φάλλους ἔχον. φάλλοι δὲ οἱ ἀστερίσκοι. οἷον, ἀμφίβαλλον ἀσπίδα. Ἀμφιβαλὼν παρ' Ὁμήρῳ ἐν τῇ τοῦ ὀλυμπίου, ἀντὶ τοῦ ἴσου περιβαλὼν, περικλινὴς. ἢ μαχόμενος περιβάλλων. Ἀμφίβασις, κύκλωσις, ὁρμὴ, ἢ ἡ περὶ νεκροῦ μάχη. περιβάντες γὰρ τὸν νεκρὸν, ἐμάχοντο περὶ τοῦ σώματος, ἵνα μὴ σκυλευθῇ. ἀπὸ δὲ τῶν ἀλόγων ζώων ἡ μεταφορά. Ἀμφίβατον, ἀμφισβητεῖν. Ἀμφίβιον, τὸ κόμιον τῆς μήτρας, παρ' Ἱπποκράτει. Ἀμφιβέβηκας παρ' Ὁμήρῳ, τὸ περιέχειν σημαίνει. ὡς τὸ, Ὃς Χρύσην ἀμφιβέβηκας, περιβέβηκας, ὑπερμαχεῖς. ἀπὸ μεταφορᾶς τῶν τετραπόδων. ὡς ὅτι λέων ἀμφιβαίνειν τοῖς σκύμνοις λέγεται, ἢ κύων τοῖς σκυλακίοις. οὕτω δὲ καὶ ἐν μάχῃ νεκροῦ τις ἀμφιβαίνει, ὑπερμαχῶν ἐκείνου. καὶ πόνος ἀμφιβέβηκεν, ἤγουν κατείληφε, περιέσχεν. ὡς τι οἱ παρ' ὅτι ἡ λέξις τὸ σκέπειν καὶ βοηθεῖν δηλοῖ. καὶ ἀμφιβεβήκεις, ἀντὶ τοῦ ὑπερμαχεῖν, καὶ ἀντὶ τοῦ ἀμφικαλύπτειν. ὡς τὸ, Καίμιν ἄχος φρένας ἀμφιβέβηκεν. ὅμοιον τῷ ἀμφικαλύψειν. καὶ ἀμφιβέβηκας, περιέχεις. ἀπὸ τῶν ὑπερασπιζόντων ἐν πολέμῳ τῶν πιπτομένων, ἢ πεφονευμένων. τῶν μὲν, ἵνα μὴ σκυλευθῶσι. τῶν δ', ἵνα μὴ φονευθῶσι. καὶ τὸ περιέρχεσθαι. ὡς τὸ, Ἥλιος μέσον οὐρανὸν ἀμφιβεβήκει. ὁμοίως δὲ καὶ εὐαγγέλιος, ἐν τῷ, πολὺν ταραγμὸν ἀμφιβαίνοντες εἶχον μάχης. ἤγουν ἀμφοτέρωθεν βάντες. Ἀμφίβια ζῷα, τὰ ἐπὶ τῆς χέρσου καὶ ὕδατος, ὁμοίως διαπλοῦντα. καὶ ἀμφίβιον, τὸ ἐν γῇ καὶ ὕδασι ζῆν δυνάμενον. Ἀμφὶ βίῳ, περὶ τῶν δυνάμεων. Ἀμφίβλημα, ἀναβόλαιον. Ἀμφίβληστρον, τὸ δίκτυον, ἀπὸ τοῦ ἀμφοτέρωθεν βάλλειν. ἢ παρὰ τὸ βάλλω βαλῶ βαλοῦσα, βλῆτρον, καὶ μετὰ τῆς ἀμφὶ πλεονασμῷ τοῦ σ ἀμφίβληστρον.

Ἀμφιβολεῖς, ἁλιεῖς. Ἀμφίβολος ἐστὶ, λέξις, ἢ λόγος, δύο ἢ πλείονα πράγματα δηλοῦσα. λέξις δὲ εἴρηται, ὅτι αἱ ὁμωνυμίαι ἀμφίβολοι εἰσίν. οἷον, αἶας ἄδηλον ὁπότερος τῶν αἰάντων δηλοῦται. λόγος δὲ, οἷον ἅρματα δ' ἔκλυσαν πρὸς ἐνώπια παμφανόωντα. καὶ δότε μ' ἄνθρα τὸν δ' ἐλθεῖν, καὶ ἐς ὄρμον ἔγχος ἐλθεῖν. Ἀμφίβολος ἡ ὄψις, καὶ οὐκ ἂν διακρίνοις, εἴτ' ἔφηβος ἐστὶν, εἴτε καὶ παρθένος. καὶ ἀμφίβολος ἡ γνώμη, καὶ ἀμφίβολοι παρὰ Ἀρριανῷ καὶ ἑτέροις, οἱ ἀμφοτέρωθεν βαλλόμενοι. ἢ οἱ πανταχόθεν βαλλόμενοι, ἢ ἀπορούμενοι, ἢ διαφόροις συνεχόμενοι λογισμοῖς. Ἀμφιβράχιον, τὸ περὶ τὰ περίθυμα κεκλημένων χωρίον, παρὰ τῷ Ἱπποκράτει. Ἀμφίβραχυς, ὁ ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, τρίχρονος. οἷον, σιληνὰς, στεγνὸς, βοηθός. καλεῖται δὲ ἀμφίβραχυς, ὅτι ἑκατέρωθεν δύο βραχείας ἔχει. Ἀμφιβρότη ἀσπὶς, ἡ ἀμφὶ τὸν βροτὸν ἄνθρωπον. ἢ ἡ σκέπουσα ὅλον τὸν ἄνθρωπον. Ἀμφίβροχος, πανταχόθεν βεβρεγμένος, τουτέστι μεθύων. Ἡ δὲ μέθη βλύζων ἀμφίβροχος εἵματα βάκχου. Ἀμφιβῶντας, περιβόντος, ἐμπιόντων. Ἀμφὶ γόμον παρ' Ὁμήρῳ, ἤγουν περὶ γόμου. ἐκφωνητικώτερον ἔχει τὴν ἀμφὶ πρόθεσιν συντεταγμένην δοτικῇ. Ἀμφιγενῆ, παρὰ δὲ καὶ οὐδετέρως λέγεται, τὸ ἀμφιγένειον. ὁ πολίτης αὐτοῦ, ἀμφιγενειάτης, καὶ ἀμφιγενειός. λέγει δὲ λαθοῦσ' ἐφ' ἣν ἐπεὶ φασὶν ἐκεῖ λητὼ παραγενομένην, τεκεῖν ἀπόλλωνα. Ἀμφιγύεις, ἀξίνη. Ἀμφιγνοεῖν, ἀντὶ τοῦ ἀγνοεῖν, ἢ ἐνδοιάζειν περὶ τῆς γνώσεως. καὶ ἀμφιγνοῖς, ἀμφισβατεῖς. καὶ ἀμφιγνοεῖν, τὸ μὴ ἀκριβῶς γινώσκειν. Ἀφιγνοῦ καλλίων, ἢ ἀμφιβάλλων. Πλάτων ἐν Γοργίᾳ, Ἀμφιγνοῶ μὲν τι ὦ Πῶλε, ἐφ' ἑκάστου ὧν λέγεις.

Ἀμφίγονον ὕδωρ, τὴν ἐκ προτέρας γυναικός. Ἀμφὶ γούνασι βάλλειν χεῖρας, περιφραστικὸν τοῦ γουνάζεσθαι. Ἀμφιγυήεις λέγει Ὅμηρος, ἢ τὰ ἀμφοτέρωθεν ἐκάρφοντα γύον, ἀπό τε τοῦ ἐμπεσεῖν αἰχμοῖς, καὶ τοῦ ἐν τῷ πέρατι σιδηρᾶς εὐρακος. ὡς οἶον τὸ ἀμφίγυα, καὶ αἰολικῶς ἀμφίγυια. ἢ τὰ ἀμφοτέρωθεν γυῶσαι, δύναται βλάψαι διαμάρτυρα. ὡς ἀμφίστομα, ἢ τὰ ἀμφοτέρωθεν ὀξύντα καὶ στρατικά, παρὰ τὰ γυῖα. ὃ σημαίνει χεῖρας δηλοῖ, ὡς εἴρηται ἀλλαχοῦ. γυῖα γὰρ ἐστὶ δόρατος ὁ πρὸς τοῖς ἄκροις ἐπὶ γγὺς σίδηρος. τὰ μὲν τοίνυν ναύμαχα οὐκ ἀμφίγυα κατὰ τοὺς παλαιοὺς, ἀλλὰ κατὰ στόμα μόνον ἐπικάλυπτε, χαλκὸν μὴ ἔχοντα οὐραχόν. ἄλλοι δὲ ἀμφίγυα εἶπον, τὰ ἀμφοτέρους γυίους, ὅ ἐστι χερσὶν ἀμφοῖν, τοῖς τῶν ἐπιλιμένων ἐπιτεθειμένα σώμασιν. Ἀμφιγυήεις λέγεται ὁ χωλός. ὁ ἀμφοτέρων δηλαδὴ τῶν γυίων, ἤγουν τῶν ποδῶν πεπηρωμένος. γίνεται οὖν ἀμφιγυήεις, καὶ τροπῇ τοῦ ο εἰς μακρὸν εἰς ῃ, ἀμφιγυήεις. ὥσπερ χάρις χαρίεις, τιμὴ τιμήεις, αἴγλη αἰγλήεις. γυῖα, αἱ χεῖρες, καὶ οἱ πόδες. ἀφ' οὗ γυιοῦν, τὸ τὰ σκέλη βλάπτειν. καὶ ἀμφιγυήεις τουτέστι κυλλοπόδης. ἤγουν ὁ βεβλαμμένος τοὺς πόδας, καὶ χωλός. ὀνομάζεται δὲ οὗτος παρὰ ποιηταῖς καὶ τὸ παρ' ἡμῖν πῦρ, καὶ ὁ ἐπιστάτης τῶν διὰ τοῦ πυρὸς ἐνεργουμένων τεχνῶν. τὸ μὲν, ὡς ἄνω τοῦ τῶν ξύλων παραθέσεως οὐ δυνάμενον πορευέσθαι. ὥσπερ ὁ βεβλαμμένος τοὺς πόδας, οὐκ ἂν σταίη μὴ ὄντος τινὸς τοῦ στηρίζοντος. ὁ δὲ, ὡς ἐπιστάτης καὶ ἔφορος αὐτοῦ τούτου τοῦ πυρὸς, καθὰ εἴρηται συμβολικῶς ὀνομαζόμενος, καὶ ἀμφιγυήεις, ἤγουν ἀμφοτέρους τοὺς πόδας γυιός, ἤγουν χωλός. τὸ γὰρ ὁ ἀμφιγυήεις δηλοῖ. ἀμφοτέρωθεν γὰρ σκάζει, μὴ ἔχων ὅλως τὴν ὑπερείδουσαν. οἷον, κάτω μὲν ξύλα, καὶ εἴ τι ἄλλο ἐξάπτεται γήϊνον. ἄνω δὲ, τὴν ξηρὰν καὶ κατώτερον ἐκ τῆς ἀναθυμιάσεως. Ἀμφιγυῶσαι, ἀμφοτεριάσαι, ἢ ἑκατέρωθεν εἰς γῆν πῆξαι. Ἀμφὶ γυναικὶ, περὶ γυναικός. Ἀμφιδαής, ἡ ἀμφοτέρωθεν κόπτουσα μάχαιρα. Ἀμφιδάσεια αἰγίς, ἡ ἐξ ἑκατέρου μέρους κροσσοὺς ἔχουσα, ἢ κυκλόθεν δασεῖα. ἢ μονιμῶς μὲν, ἢ ἀμφοτέρωθεν ἢ πάντοθεν δασεῖα. οἷα τις θυσανωτή. διὸ καὶ θυσανόεσσα ἡ αὐτή. ἀλληγορικῶς δὲ διὰ τῶν ἐν τοῖς ἄνω τόποις συνεστῶτα τῆς τῶν κατὰ Δία, ἤτοι τῶν ἀερίων αἰγίδων συστάσεως, ὅτε ποτὲ γίνοιντο. ὁ δὲ τόνος, ὡς τὸ ἐπιδάσεια. Ἀμφίδεα, ψέλλια, βαρχίονα. Ἀμφιδέας, ἀλύσεις, κρίκους, παρ' Ἡροδότῳ. οἱ δὲ ψέλλια, ἢ περισκελίδας, ἢ δακτυλίους. Ἀμφιδήριτον. Ὅμηρος, Πόλεμός τε ἄστυ τόδ' ἀμφιδέδηεν, ἤγουν ἐκκέκαυται. ἐξ οὗ ῥήματος καὶ δαΐς καὶ δηΐς, ἡ μάχη, ὅ ἐστι πόλεμος. ἀμφιδέδηεν ἐμφατικώτερον τοῦ συνέβη, ἢ τοῦ ἐγένετο, καὶ τοῦ συνέρρηξεν, ἢ συνερράγη, καὶ τῶν ὁμοίων λαβεῖν. ἐκ τοῦ ἐμφαίνειν δίκας πυρὸς, ἤγουν, ὡς πῦρ δαιόμενον δηλαδή. ἐξ οὗ καὶ τὸ μεταδέδηε, καὶ τὸ δῆον, ἢ ἐξέκαιε, διεγήγερται. Ἀμφιδεδίνηται, ἀντὶ τοῦ κύκλῳ περιῆκται. Ἀμφιδαίατο, ἢ μετανεικάδι ἡμέρα, παρὰ ἀρκάσιν. Ἀμφιδέξιον, τὴν ἑκατέροις μέρεσι τῆς μήτρας, ἄρρεν καὶ θῆλυ γεννᾶν δυναμένην ἐστιν. Ἀμφιδέξιος, τουτέστιν, ἀμφοτεροδέξιος. λέγεται καὶ περιδέξιος, παρὰ τῷ ποιητῇ. τουτέστιν ὑπερδέξιος, κατὰ τοὺς παλαιούς. δῆλον δὲ, ὅτι ὥσπερ ἀμφιδέξιος, οὕτω καὶ ἀμφαρίστερος παρὰ τοῖς παλαιοῖς, ἐναντίως τῷ ἀμφιδεξίῳ. ὅτι δὲ ἀγαθὰ καὶ ἐπισήμαντα παρὰ τοῖς παλαιοῖς τὰ δεξιὰ ἐκρίνοντο, οὐ τοιαῦτα δὲ τὰ λαιά, ἐκ τε τοῦ οἰωνοσκοπικοῦ δῆλον, καὶ τοῦ ἐπαρίστερον. Ἀμφιδιασφάγατον, ῥῦσαι τι πολύσπορον, καλόπτηθρα καλούμενον. Ἀμφὶ δ' ἦχος, περὶ δὲ τὰ πλοῖα. Ἀμφὶ δὲ, περὶ δέ. Ἀμφιδήριτον, ἰσοστάσιον, ἀμφίδοξον, συνέβη γενέσθαι τὴν μάχην ἀμφιδήριτον. Ἀμφιδινὲς, περιδινής. Ἀμφιδίσκος, ἀμφισβητήσιμος. Ἀμφιδίτιοι, ὡς κρίκοι διάκενοι, παρὰ Δημοκρίτῳ. Ἀμφιδόξασαι, ἀσταθμήσασθαι. Ἀμφιδίδυμον, διπλοῦν. ἢ τὸ ἔχον κατάδυσιν καὶ σύστασιν. Ἀμφίδοξοι μῦθοι, οἱ διχογνωμονούμενοι. καὶ ἀμφίδοξον, ἀμφίβολον. Ἀμφίδουλος λέγεται παρὰ τοῖς παλαιοῖς, ὁ ἐξ ἀμφοτέρων γονέων δοῦλος. Ἀμφίδοχμοι, λίθοι μέγεθος ἔχοντες. Ἀμφιδρόμια, ἱμάτιον διαπρέσσωπον ἐν τῷ πεποικίλθαι, τὴν αὐτὴν ἔχον ἐπιφάνειαν. Ἀμφιδρόμια. ἀντὶ δὲ περὶ τῆς ἀμβλώσεως, ὁ γνῶστος ὁ λόγος. ἡμέρα τις ἦγεν

ἐπὶ

φανῆς. Ἀμφαρίστερος, οὐκ αἴσιος, οὐ δεξιός, ἀμφοτέρωθεν ἀριστερός. Ἀμφῆμεν, λίπαλλα. λάκωνες. Ἀμφασία, ἀφωνία, ἀλαλία, ἀγλωσσία. Ἄμφασμα, ψαιστά, οἷον ἀπὸ ἐλαίου καὶ ἑψηθέντα ἐν θυσίαις. στρατιώτου. ἀμφαυγῆ, ἀπολάμπει.

Ἀμφαῦον, περίεχον. Ἀμφ᾽ αὐτούς, ἐπ᾽ αὐτούς, περὶ αὐτόν. Ἀμφαφάασθαι, ἃ μεταχειρίσασθαι. παρὰ τὸ ἀφῶ. ἀφ᾽ οὗ καὶ τὸ, ῥῆμα ἀμφαφόων, ὅ ἐστι περιψηλαφῶν τῇ χειρί. Ἀμφαφόωντος, ψηλαφῶντος. Ὅμηρος, κοῖλον λόχον ἀμφαφόωντος. Ἀμφαφόων, ψηλαφήσειν. Ἀμφαφόωσα, διὰ χειρὸς ἔχουσα, καὶ περιψηλαφῶσα. Ἀμφίβιος, περίβιος. Ἀμφ᾽ εἰκάς, ἡ περὶ εἰκάδα. Ἀμφικαλύψει, περιποιήσει, περιέχων. ἢ πρὸς ὕπνου ἐστὶ ἀμοιότατα, καθ᾽ ὃ καὶ ὁ ὕπνος τῆς ψυχῆς ἄλλου γεγονὼς, ἢ ἐκ διαιτῶν μεταστῇ. ἃ καταπεπαθέντα, καλύπτει τὰ ἀλισκόμενα. ὁ καὶ ἄλλως, ἁπλῶς περιελάχθη, ἐκ τοῦ ὁ ταῦτα κρυπτόντων τὸ καλυπτόμενον, ὁ καὶ ἀφανιζόντων τέλεον. Ἀμφικτίον, περιεστίον. Ἀμφίλλοις, μάζα ἐλαίου πλήρης. Ἀμφιλάβωσι, περιγράψωσι, κυκλώσωσι. Ἀμφιλάχαινε, περιέσκαπτε, περιέσκαλλε, περιέτεμνεν. Ἀμφ᾽ ἅλωϊ, τῶν ἀμφὶ πρόθεσιν λοιπῇ συντάσσειν, ὥσπερ εἶπεν ἐπὶ τῇ ἅλω καὶ τοῖς κτήμασιν. ἢ ἀντιστοιχικῶς, περὶ ἅλωνος καὶ κτημάτων. Ἀμφίμαχον, τὸ ἐν μάχαις καὶ λοιδορίαις ὑφίστασθαι, καὶ μεγαλοψυχεῖν. λάκωνες.

Ἀμφιάμενος, ἐνδυσάμενος, ἐλεεινόν. Ἀμφίξη, ἤγουν ἀμφιάσεται. ἐκ τοῦ ἀμπέχω, ἀμφέξω, ἀμφέξομαι. Ἄμφεξιν, ἐνεργεῖ.

Ἀμφίνει, περιέχει, θρηνεῖ, περικαλύπτει. Ἀμφικύπτεσθαι παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ ἐπέγνων, ἀπὸ φθορᾶς, ἤδιον, ὑπερέτειν.

Ἀμφίπλεον, περίπλεον. Ἀμφιπονεῖσθαι. οἷον, ἐν μεγάροισι Λαέρτης πονεόμενος ἀμφιπονεῖτο. ἀντὶ τοῦ, διέφθειρεν. Ἀμφιέθειν, περιέθειν. Ἀμφιπελάζειν, ἤγουν περιήρχετο. Θεόκριτος, ὅς ὄρος ἀμφιπολεῖν. Ἀμφίπολος, τουτέστι περὶ αὐτὸν ἐσπουδασμένος. παρ᾽ Ὁμήρῳ ἐν Ὀδυσσείας τ, ἔδει περὶ τὴν Ὀδύσσεια. ἔτος δὲ καὶ περὶ τὸν σῦν, ὥσπερ καὶ τὸν πιοτεύτερον βοῦν ἀμφίπολον. Ἀμφιστάν. ἔχει τι ἄπορον ἐπὶ τῇ γραφῇ τοῦ παραληγούσης. εἰ γὰρ παρὰ τὸ ἵσταμαι, καὶ ἐξ αὐτοῦ στάς ὁ παρακείμενος, ὡς δῆλον ἐκ τοῦ παρὰ Θεοκρίτῳ ἐν Ὀδυσσείᾳ, διατί μὴ τὸ αὐτοῦ ῥῆμα, καὶ τὰ ἐξ αὐτοῦ μεγεθύνουσι τῶν ἐν συλλαβῶν, κατὰ τὸ τρέχω, τροχός, φυλάσσω, καὶ τὰ ὅμοια; δῆλον δὲ ἐὰν ταῦτα ἡ σύνθεσις. τὸ γὰρ ἀπλοῦν τούτου ἐκεῖνο ἐστὶν ὅτι τῶν λέγοντων. ὡς δῆλον ἐκ τοῦ λίθοι ποιοῦνται δυσμοί. Ἀμφίεστο, ἀμφίεστο. Ἀμφιεργής, πάνθηρ περιεργασάμενον. Ἀμφίχυτος, περιβάλλετο. Ἀμφιγεγωνός, περιεγχηρισθέντος. Ἀμφίχανε, κατεπίε. τοὺς δ᾽ ὁ μέλας ἀμφέχανεν θάνατος. ἢ περιεκάλυψεν.

Ἀμφίχυτον, περιχυτόν. ἀπὸ τοῦ ἀμφὶ προθέσεως, καὶ τοῦ χύω ῥήματος. τὸ πρόσωπον, χύσω. τὸ παθητικὸν χύομαι. ὁ παρατατικὸς ἐχύμην ἔχυτο ἔχυτο, καὶ ἀμφίχυτον. Ἀμφιωρία, περιεσπασμένη. Ἀμφικαῆ, λέγομεν ἀμφοτέρωθεν κεκαυμένον. ἀπὸ τοῦ καίω τὸ ἔρχομαι, ἥκας, καὶ ἀμφήκης. ἐξ οὗ τὸ οὐδέτερον, ἀμφηκές. ἀπὸ τοῦ ἀμφήκης εὐθείας. Ἀμφήλυθεν, ἀπῆλθεν.

Ἀμφήμερον, τὸν ἀμφημερινὸν πυρετόν. Ἀμφίων, αὐχλὼν, φάκελος. Ἀμφήρεες ὄντες, ἀμφοτέρωθεν ἐρεσσόμενοι.

Ἀμφηρεφής, ἀμφίστεγος, πλήρης. καὶ ἀμφηρεφία ἀμφηρεφῆ, τῶν ἀμφοτέρωθεν ὀροφωμένων, ὅ ἐστι περισκεπασμένην, ἢ τῶν ἔσωθεν περιφραγμένων. περὶ ἧς ἐστιν, ἄλλοι μόνον ἐν τῷ ἐρέφειν ἐπὶ φαρέτρας τίθεασι, μετενεγκόντες ἀπὸ τῶν οἰκοδομημάτων εἰπόντες, ἐφ᾽ ὧν κυρίως τὸ ἐρέφειν καὶ ὁ ὄροφος λέγεται, ἀλλὰ καὶ ὅτι οὐκ ἐθέλει τὸ ἀμφηρεφὲς ἐπὶ οἴκων λέγεσθαι. εἰ καὶ ἀπὸ τοῦ ἐρέφειν γίνεται, ἀλλ᾽ ἀποκεκλήρωται ἡ λέξις μόνη τῇ θήκῃ τῶν βελῶν, διὰ τὸ φέρειν τὰ φύσει δυνάμενα. ὥσπερ ὁ γορτὸς τὸ τέλος, διὰ τὸ χορὸν τὸ φέρειν, ὅ ἐστι τὸ βίον ἐλκυστὸν. τοιαῦτα δὲ οὐ μικροῖ βέλη παλαιοῖς αἱ φαρέτραι ὧσι, οὐδὲ γὰρ οἰστοὺς ἔξω προεκπίπτοντας εἶχον, ἀλλὰ ὅλους αὐτοὺς ἔσω εἶχον. καὶ δῆλον, ἐκ τοῦ ἀμφηρεφία φαρέτραν εἰπεῖν τὸν Ὅμηρον. Ἀμφήρης αὐλός, ὁ ἑκατέρας χεῖρας κατεχόμενος, ἢ σύμφωνος. καὶ ῥῆμα ἀμφῆρες ὁμοίως, τὸ ἀμφοτέραις γνάθοις ἰδίον. Ἀμφήρικα, ἀκάτιον λησρικόν, ἐν ᾧ εἰσελαύνουσι δύο κῶπαι. Ἀμφήριστον, τὸ ἐξ ἀμφοτέρων ἐριστόν, ἐπίμαχον, ἄκριτον, ἀμφίβολον, ἐπιφιλόνεικον. Ἀμφίας, οἶνος εὐτελής. οἱ δὲ μέλανα οἶνον. Ἀμφὶ ῥέεθρα. περὶ τὰ ῥέεθρα.

Ἀμφὶ Πρίαμον, καὶ ἀμφὶ μιλλαον, καὶ ἀμφὶ Ἀγαμέμνονα, καὶ τὰ τοιοῦτα, Ὅμηρος χρῆται ἀντὶ τοῦ, ὁ Πρίαμος, καὶ ὁ Μενέλαος, ἢ ὁ Ἀγαμέμνων. ὥσπερ ἐν τῷ γ τῆς Ἰλιάδος φαίνεται, ἀμφὶ Πρίαμον, καὶ τὰ λοιπά. ἤγουν ὁ Πρίαμος, καὶ ὁ Πάνθοος, καὶ ὁ Θυμοίτης, καὶ ὁ Λάμπος, ἢ ὁ Κλύτιος, καὶ Ἱκετάων, ἐκάθηντο ἐν τοῖς πύργοις. καὶ ἀμφὶ παιδὶ βάλε πήχει, ἀντὶ τοῦ ἀμφέβαλε τὸν υἱὸν τοῖς πήχεσι. καὶ ἀμφὶ περὶ κρήνην, αἱ δύο προθέσεις τὸν περὶ τὴν αὐτὴν τόπον συναγωγὴν ὁμοῦ δηλοῦσι παντὸς τοῦ τόπου.

Ἀμφίαλος, τῇ ὑπὸ θαλάσσης περιεχομένῃ, πάντοθεν. Ἀμφιάνακτα, ἀρχὴ νόμου κιθαρῳδικοῦ. Ἀμφιανακτίζειν, τὸ προοιμιάζειν, κατὰ Τερπάνδρου, οἷον, Ἀμφί μοι αὖθις ἄνακτα. ἢ καὶ ὡς Λακεδαιμόνιοι, ἀμφί μοι αὖτε φοῖβε ἄναξ δῆλε. ἀμφιάνακτας ἔλεγον, καὶ τοὺς διθυραμβοποιούς. συνεχῶς γὰρ ἐχρῶντο ταύτῃ τῇ λέξει. ἢ ἀμφιανακτίζειν, τὸ ᾄδειν κατὰ τὸν Τερπάνδρου νόμον, τὸν καλούμενον ὄρθιον. ὃν γὰρ αὐτῷ προοίμιον, ταύτην ἔχον τὴν ἀρχήν, Ἀμφί μοι αὖτον ἄναχθ᾽ ἑκατηβόλον ἀείδετω φρήν. Ἀμφίβρακον φιλεῖν ὁ Ζεὺς λέγεται, ὡς βασιλικὸν ἄνδρα, καὶ διὰ τοῦτο Διογενεῖ καὶ Διοτρεφεῖ. ὁ Ἀπόλλων δὲ, ὡς μάντιν. Ἀμφίας, μέτριος οἶνος. Νικόστρατος οἰνοποιῷ, καὶ Σωκράτης. Ἀμφίασιν, στολήν. Ἀμφίασμα, ἔνδυμα.

Ἀμφὶ αὐτὸν ἰόντο, ἀντὶ τοῦ ἀμφεκολούθουν, ἢ ἀντὶ τοῦ ἀμφίεπον, ὅ ἐστι ταυτὸν τῷ ἀμφιπίπτειν. ἢ ἀλλαχοῦ Ὅμηρος, ἀμφ᾽ Ὀδυσσῆα τρῶες ἕποντ᾽, ἤγουν ἀμφέπον ἔπεφνον. Ἀμφιαχυῖαν, ἀμφιαχυῖα. ἔστι ἡ ἐκπεπληγμένη φωνῇ, ἀπὸ τοῦ ἰαχέω ἰαχῶ ἰαχύς. ἰαχήσω μέλλων, ἴαχεν δεύτερος ἀόριστος, ὡς ἔλακον. ἴαχα μέσος παρακείμενος. ἀφ᾽ οὗ ἰαχυῖα, καὶ μετὰ τῆς ἀμφὶ ἀμφιαχυῖα, παρ᾽ Ὁμήρῳ. ἤγουν ὀδυρομένη περὶ τῶν τέκνων, ἢ κραυγάζουσα, ἢ βοῶσα. Ἀμφίβασις, ὑπερμάχησις. κυρίως ἡ περὶ τοῦ νεκροῦ μάχη. Ἀμφιβαίνειν παρ᾽ Ὁμήρῳ, ὡς ἐπὶ πολὺ τὸ σκέπειν, καὶ περιέχειν σημαίνει. ὡς ὅ τι λέων ἀμφιβαίνει τοῖς σκύμνοις λέγεται, ὁ κλών τοῖς σπλαγχνίοις. οὕτω καὶ ἐν μάχῃ νεκρῶν, ὡς ἀμφιβαίνει ὑπερμαχῶν ἐκείνου. ἀμφιβαίνειν, καὶ περιβαίνειν τινί, ταυτό. φυλακὴν καὶ στάσιν δηλοῦσι συμμαχικήν. ἢ ἀμφιβαίνειν, τὸ ὑπερμαχεῖν τοῦ κειμένου. Ἀμφίβαιος, ὁ Ποσειδῶν, παρὰ Κυρηναίοις. Ἀμφιβαλοῦμαι, καθοπλισθήσομαι. Ἀμφιβάλλεσθαι, περιθέσθαι. Ἀμφιβάλλω, ἢ διστάζω, ἢ ἐνδοιάζω, περὶ τοῦ δε. ἢ ἀμφιβάλλειν, τὸ μὴ ἐφ᾽ ἓν σκοπὸν βάλλειν τὸν λογισμόν, ἀλλὰ ἐπὶ δύο, ἀφ᾽ οὗ ἀμφίβολος, ὁ ἐν διπλῇ γνώμῃ κείμενος. ἢ ἀμφιβολία, ἡ διπλῆ γνώμη. ἢ ἀμφιβάλλειν, οὐ μόνον τὸ ἐνδοιάζειν, ἤγουν ἀμφοτέρωσε ῥίπτειν τὸν νοῦν, ἀλλὰ καὶ τὸ ἑκατέρωθεν βάλλειν, ὡς δῆλον ἐκ τοῦ ἀμφίβολον. ὃς τὸν ἀμφοτέρωθεν βαλλόμενον σημαίνει. δηλοῖ γοῦν καὶ τὸ περιβάλλειν, ἤγουν κυκλοῦν. ὅθεν καὶ ἀμφίβληστρον, καὶ ἀμφιβάλλειν, ἢ ἀμφιβατεῖν, ἢ ἀμφιλάκτως ἔχον, ἀμφὶς φράζεσθαι λέγει. οὕτω δὲ Χαρονδικὸν καὶ τὸ ἀμφὶς φρονέοντι. σημαίνει δὲ ποτε ἡ λέξις, καὶ τὸ ἐκτός. οἷον ἀμφὶς ὁδοῦ δραμέτην. ἔστι δὲ καὶ τὸ ἀμφότερος, ὡς τὸ ἀργαλέῳ ἀμφίς. ἰστέον δὲ, ὅτι καθάπερ ἀπὸ τῆς εἰς προθέσεως, καὶ τῆς ἐξ, καὶ τῆς πρός, καὶ τῆς ἀνὰ καὶ κατά, γίνονται ἐπιρρήματα, τὸ εἴσω, τὸ ἔξω, τὸ πρόσω, ἀφ᾽ οὗ τὸ πόρρω. τὸ ἄνω, τὸ κάτω. ἐκ τοῦ περί, τὸ πέριξ, ὅθεν τὸ ἄντιξ κατὰ συγκοπήν. ἢ ἐκ τοῦ ἀπό, τὸ ἄψ. οὕτω καὶ τὸ ἀμφίς, ἐκ τῆς ἀμφί, οὐ τῆς ἀμφὶ λαμβανομένης ἀντὶ τῆς περί. οἷον ἀμφ᾽ ἀγαθὸν θεράποντα. ἢ ἀντὶ τῆς ἐν. οἷον

νος, καὶ ἀμύμων. Ἀμυλῆναι, κρύψαι. Ἄμυδις, αἰολικόν ἐστι. διὰ τοῦτο καὶ ψιλοῦται, καὶ δηλοῖ τὸ ὁμοῦ, καὶ καθ' ὁμοιότητα τοῦ ἄλυδις ἐσχημάτισται. Ἀμυδρά, τὰ ἀσθενέστερα. Ἀμυδρός, παρὰ τὸ μύδρος, ὃ σημαίνει τὸν πεπυρακτωμένον σίδηρον. ἀμυδρός, ὁ ἀλαμπής. Ἀμυδρῶς, σκοτεινῶς, λεπτῶς, ἀσαφῶς. Ἄμυδροι τόποι, οἱ κάθυγροι, καὶ ἄγαν ῥέοντες. παρὰ τὸ μυδᾶν, ὅ ἐστιν ὑγρόν. Ἀμυδρότερα, ἀμαυρότερα. Ἀμύειν, τὸ σπεύδειν, παρ' Ἀττικοῖς, καὶ δασύνεται. Ἀμύητος, βέβηλος, ἀμαθής, ἀδίδακτος, μὴ μετασχὼν μυστηρίων. Ἀμύθητον, ἄλεκτον, ἀνεκδιήγητον. Ἀμύκλαι, τῶν τεξικῶν βελῶν αἱ ἀκίδες. παρὰ τὸ ἀμύσσειν. Ἀμυκλαΐδες, εἶδος ὑποδήματος πολυτελοῦς, λακωνικοῦ. Ἀμύκλαι, κώμη ἐστὶ. ὠνομάσθη ἐπειδὴ εἶχεν ἱμαντοδεσμίδας. εἶχε γὰρ χαλκοῦν σῆμα ἐπὶ τῆς κεφαλῆς, καὶ ἀμύκλας ἐν τοῖς ποσὶ χαλκᾶς. καὶ ἀμύκλαι, μία φασὶ τῶν ἑκατὸν τῆς λακωνικῆς πόλεων, Ἀπόλλωνος ἱερά. ἣν Ἀμύκλας ὁ Λακεδαίμονος υἱὸς ἔκτισεν. ὃ καὶ παρισοσυλλάβως κλίνεται, ἀμύκλαντος. καὶ ἰσοσυλλάβως δὲ, ἀμύκλα. ὁ πολίτης ταύτης, ἀμυκλαΐτης, ἔτι δὲ ἀμυκλαῖος. ἐξ οὗ καὶ ἀμυκλαιεύς. ἔστι δὲ καὶ ἀμύκλαιον, πόλις ἐν κρήτῃ, καὶ ὅρμος. αἱ δὲ ἀμυκλαΐδες, εἶδος ὑποδήματος ἐν ἀμύκλαις. Ἀμυκλύς, γλυκύς, ἡδύς. Ἄμυλα, μῆτρα. Ἀμυλίδωτον, χιτῶνος εἶδος. Ἄμυλος, βρῶμα τὸ μὴ συμπηκτὸν ὑπὸ μύλων. ἀρσενικῶς, καὶ ψιλοῦται. Ἄμυλον, σεμίδαλις, ἄκλαστον. Ἄμυλοι, πλακοῦντες τινές. οἱ δὲ, ζωμοὶ πλακουντώδεις. ὃν νῦν ἀμυλατόν φασιν. Ἀμύμων, ἄψογος, ἀμώμητος, ἀγαθός. παρὰ τὸ μύω, τὸ καμμύω. ὁ μέλλων, μύσω. ἐξ οὗ ῥηματικὸν ὄνομα, μύμων, καὶ ἀμύμων, ὁ μὴ καμμύων. φασὶν οἱ παλαιοὶ, ὅτι τὸ τοιοῦτον ἐπίθετον, θνητοῖς ὁ ποιητὴς ἐπιλέγει. διὸ καὶ τὸν παρθένον πίδακος, τὸν τοῦ Ἀχιλλέως ἵππον, ὡς θνητὸν ἀμύμονα λέγει, διαστέλλων αὐτὸν τῶν ζυγιτῶν, οὓς ὁ μῦθος ἀθανάτους λέγει. καὶ ἀμύμων, προσώποις μόνοις ἡρωικοῖς ἐπιτίθεται. ἤγουν θνητῶν ἐνδόξων ἀνθρώπων. Ὅρα δὲ, ὅτι εἶπεν αἴγισθος ἀμύμων, οὐ μέγα ὄντα, ἀλλ' ὑπὲρ μοιχοὶ φαῦλοι μὲν ἄλλως, ἄμεμπτοι δὲ κατ' ἀνδρίαν, ἢ γένος, ἢ τὶ τοιοῦτον. Ἀμυμώνη, ἡ θυγάτηρ Δαναοῦ, ἀπὸ τοῦ ἀμύμονος γενικῆς. πολλὰ γὰρ τῶν θηλυκῶν ὀνομάτων εἰς η λήγοντα, γίνεται ἀπὸ τῆς εἰς ος γενικῶν τῶν ἀρσενικῶν ὀνομάτων. οἷον, πέρατος περάτη, κάλυκος καλύκη, ἅρπαγος ἁρπάγη. βαρύνεται ἐπὶ τοῦ ἐργαλείου. σώφρονος σωφρόνη, Χίονος Χιόνη, ὄνομα ἡρωΐδος. οὕτω καὶ ἀμύμονος ἀμυμόνη, καὶ κατὰ ἔκτασιν ἀμυμώνη. Ἄμυνα, καὶ ἐπὶ ἀμοιβῆς, καὶ ἐπὶ εἰς πράξεως δίκης. Ἀμυνάθειν, ἀμύνειν, βοηθεῖν. Ἀμῦναι, ἐκδικῆσαι, βοηθῆσαι, ἀπαλεξῆσαι, τιμωρῆσαι. Ἀμύναμ μὲν εἴπης. ἀπὸ εἰς ῥῆμα μεταβάλλων, ἀμύνασθαι. πάντα γὰρ τὰ ῥήματα, εὐλογῶ, ἀμυνοῦμαι, ἀμύνασθαι, ἠμυνάμην, ἀμυνοῦμεν. Ἀμύνανδρος, ὁ δυνάμενος ἄνδρας ἀμύνασθαι. Ἀμυνεῖ, ἀνταποδώσει.

Ἀμύνειν, ὀνοματικῶς μὲν δηλοῖ τὸ ἀποσοβεῖν τοὺς πολεμίους, ἔτι βοηθεῖν τοῖς πλημμελοῦσι, σωτηρίαν ἐμποιοῦντα, ὡς τὸ ἀπὸ λοιμὸν ἀμῦναι. καὶ τὸ, πολὺν ἤμυνε σοῦ σώματι θάνατον. παθητικῶς δὲ ἀμύνομαι, τὸ παθὼν ἐκεῖνος δεινά, ἀνταποδίδωμι ταῦτα, ἔτι τιμωροῦμαι. καὶ ἀμύνατε νηυσὶ πῦρ, κατὰ τὸ πλῆρες τῆς φράσεως. καθὰ καὶ τὸ, ἀλεξέμεναι κακὸν ἦμαρ. ἄλλως δὲ τὸ ἀμῦναι μόνον τὸ ἀλέξασθαι, ἐλλιπές ἐστι. καὶ ἀμύνειν, τὸ βοηθεῖν. οἷον ἀμύνω σοι, βοηθῶ σοι. ἀμύνομαί σε, ἀντὶ τοῦ τιμωροῦμαι, καὶ κολάζω σε. καὶ ἀμῦναι, τὸ ἀντιβοηθῆσαι. Ὅμηρος. Ἀμύνεσθαι, τὸ κολάζειν τοὺς προαδικήσαντας. Θουκυδίδης δὲ ἀντὶ τοῦ ἀμείβεσθαι. Σιμωνίδης, ἀντὶ τοῦ χάριτας ἀποδοῦναι. Σοφοκλῆς, ἀντὶ τοῦ ἀπαλεξῆσαι. ἐπὶ τῶν προαδικησάντων, ὡς εἴρηται, τάσσουσιν οἱ ῥήτορες τὸ ἀμύνεσθαι, ὅτι οἱ κακόν τι παθόντες, ἀντιπράσσουσι τοῖς προαδικήσασι. Ἀμυνίας, ὁ ἀμυντικός, παρὰ τὸ ἀμύνειν. Ἀμυνόμενοι, τοὺς κακόν τι πράξαντας ἀνταδικοῦντες. οἱ δὲ ῥωμαῖοι ἔθος εἶχον, μὴ πρότερον φαίνεσθαι χαρὰν ἀλίκην, ἀλλ' ἀεὶ δοκεῖν ἀμυνόμενοι.

Ἀμύνου, ἀνταπόδιδου. Ἀμύντωρ, βοηθός, ἐπίκουρος, ἢ καὶ ὁ τιμωρητικός. ἐκ τοῦ ἀμύνω. ἐξ οὗ καὶ κύρια, ὁ ἀμύντας, καὶ ὁ ἀμυνίας. ἰδίον δὲ, ὅτι θεόθεν ἐπικουρίας, καὶ τιμῆς δηλωτικόν ἐστιν. Ἀμυντήριον, ξίφος, ἢ βακτηρία, ἢ ῥόπαλον, ἢ ἀξίνη, ἢ ἄλλο τι τῶν πληττόντων. Ἀμύνων παισὶν ἦμαρ, ῥητέον ἀντὶ τοῦ ἀποσοβῶν τὴν κακὴν ἡμέραν. Ἄμυξα, ἔξυσε, ἐσπάραξα.

Ἄμυξ, ἐπίρρημα. σημαίνει δὲ τὸ ἀμυντικῶς. καὶ ἄμυξ, ἡ ἀμυχή. Ἀμύξαι, καταμάξαι, καταξῦσαι, κνίσαι, σπαράξαι τὴν ψυχὴν ἀνιώμενος, ἀντὶ τοῦ αἱμύξαι. τὸ οὐ μόνον ἰωνικόν, ἀλλὰ καὶ ἀττικόν ἐστι. λέγεται δὲ ἔλλειψις, ἤτοι ἀποβολὴ φωνήεντος κατὰ τὸ μέσον, οὐ ποιοῦντος συλλαβήν. ἥτις ἐστὶν ἐναντία τῇ παρενθέσει. Ἀμύξεις, κνήσεις, λυπήσεις. ἐκ τοῦ ἀμύσσω, ὁ μέλλων ἀμύξω. Ἀμυρεῖν, μὴ ἔχειν μέρος. Ἀμύρητον, τὸ ἀτέλεστον, καὶ τέλος μὴ ἔχον, εἴρηται εἰς τὸ ἀμύρατος. Ἀμυρόβρεκτος, ὁ μὴ μυστηρίοις τὸ ῥαίνεσθαι μύρῳ. Ἄμυροι τόποι, κάθυγροι, καὶ διαρρέοντες. ἀπὸ τοῦ μυρεῖν, ὅ ἐστι ῥεῖν. Ἄμυρος, θεσσαλίας ποταμός, προσαγορευόμενος ἀπὸ τοῦ ἀμύρου υἱοῦ τοῦ ποσειδῶνος. ἔστι δὲ καὶ πόλις αὐτόθι. Ἀμυρτόν, ἱμάτιον. κρῆτες.

Ἀμύσσων, ἀφαιρῶν, καὶ λαμβάνων. παρὰ τῷ ἱπποκράτει.

Ἀμύς, ὁμοῦ, σὺν αὐτῷ. Ἀμύσκαρον, τὸ ἀγνόν. Ἀμύσσειν, ταράσσειν, ἑλκοῦν, ξέειν, σπαράσσειν. ποτὲ μὲν τῆς ὄνυξιν, οἷον ἀμύσσων τὰς παρειάς. ἐκ τούτου ἡ ἀμυχή, ὡς τὸ, ἀμυχὰς ξεσμάτων. καὶ τὸ ἄμυγμα, οἷον πολιᾶς ἀμύγματα χαίτης. καὶ ἀμυχὴ περόνης. ἢ ἀμύσσειν κυρίως, τὸ ξέειν, ὡς καὶ αἷμα ῥεῖσαι, οἱονεὶ αἱμύσσειν, κατὰ δασύτητα, ἐν ἀποβολῇ τοῦ ι ἀμύσσειν, μετὰ ψιλοῦ. ἀμύσσειν γοῦν τις λέγεται σαρκῶν, ἐξ οὗ καὶ ἀμυχαὶ σαρκῶν, ἢ ἀμυχαὶ ξεσμάτων, τὸ ὅπερ λέγεται, οἷον ἐν βίβλοις ἢ ξύλοις. τὸ δὲ τὴν ψυχὴν ἀμύσσειν, μεταφορικόν ἐστιν ἀπὸ σώματος. Ἄμυστος, κύτος. λάκωνες. Ἀμύσσω, τὸ διὰ ξυροῦ τὴν σάρκα τέμνω. ὅθεν καὶ ἀμυχαί, αἱ τοῦ δέρματος τομαί. Ἄμυστιν, τὴν συνεχῆ πόσιν. Ἀμυστίς, μέτρον τι. Ἀμυστί, ἀθρόως, ἄνευ τοῦ μῦσαι τοῖς χείλεσι, παρὰ τῷ ἱπποκράτει. Ἄμυστις, ἡ ἀπνευστὶ πόσις καὶ ἀθρόα. παρὰ τὸ μὴ μύειν, ὅ ἐστι χανδὸν πίνειν. ἐπὶ πολὺ μὴ μύοντα καὶ συνάγοντα τὰ χείλη. ἢ παρὰ τὸ ἅμα πίνειν χωρὶς τοῦ διαπνεῦσαι. ὥς τε ἀπνευστί. ἔστι δὲ καὶ εἶδος ποτηρίου φιαλώδους. Ἀμύχαιος, οἰνάνθη, ἡ ἀναλιθῆς. Ἀμυχθέντας, κνιζομένους, σπαραχθέντας. Ἀμυχή, ἡ μὴ εἰς βάθος πληγή. ἐπιπόλαιον ἕλκος. ἤτοι μὴ ὁρωμένη ἐπὶ τοῦ δέρματος. παρὰ τὸν μυχόν, μυχή, καὶ ἀμυχή. ἢ παρὰ τὸ ἀμύσσειν, ὅπερ ἐκ τοῦ αἱμάσσειν γίνεται. Ἀμυχί, ἐπιπολαίως. Ἀμυχθεῖσαι, ξυσθεῖσαι ἐπιπλέον. Ἀμυχόν, καὶ ἀμυγνόν, τὸ καθαρόν, καὶ ἀμόσκαρον. Ἀμφαγαπαζόμενος, πάνυ φιλοφρονούμενος. Ἀμυτήμων, ἁμαρτωλός.

Ἀμφαγαπάζω, φιλῶ, καὶ φιλοφρονοῦμαι. Ἀμφαγαπῶντος, ἤγουν περιθάλποντος, περισσῶς ἀγαπῶντος. ἓν κακὸν ἀμφαγαπῶντος. ἐντὶ τοῦ σφέτερον. ἐὰν γὰρ ὃ μόνον ἔχει τις, σφέτερον δὲ ὃ πολλοὶ ἔχουσιν. Ἀμφαγνοεῖ, ἀμφιβάλλει. Ἀμφαγέροντο, περιεθροίζοντο. Ἀμφαδά, ἀκουστά, φανερά.

Ἀμφαδόν, φανερῶς. φαίνω, φαδόν, καὶ ἀμφαδόν. Ἀμφαδίας, φυλακῆς, καὶ ἀμφαδίην. Ἀμφασιοῦς, κύκλῳ σοβουμένους. Ἀμφαὴς οἶκος, περίσκεπτος. Ἀμφακής, ὀξύς.

Ἀμφ' ἀκίοιο ῥοάς. ἄκιος, ποταμός. Ἀμφ' ἅλα, περὶ τὴν θάλασσαν. Ἀμφ' ἄλωα, περὶ τὰ ἄχυρα. Ἀμφαλλάξαι, διαμφοδεῦσαι. οἱ δὲ, ὁμοῦ βαδίζοντας, ἐφ' ἑτέρας ὁδοῦ χωρισθῆναι. Ἀμφαντήρ, χιτὼν διπλοῦς. Ἀμφαρύσσεται, περιχεῖσθαι. Ἀμφάσια, μάλιστα. Ἀμφαζοσίν, λέγεται παροιμιακῶς, τὸ πορεύεσθαι κατ' ὀρθόν. τίθεται δὲ κατὰ τοποθεσίαν, καὶ ἐπὶ τῶν τὰ γόνατα ἀθλούντων, καὶ ἐκλυομένων.

Ἀμφαρής, περιορωμένη, καταλιμπανομένη, καὶ γυμνὸς ἐπιφανής.

μὴ δεόμενον μοῦ. ἄλλως. ἄμοτον. ὡς τό, ἄμοτον μεμαῶτε μάχεσθαι. παρὰ τὸ μόνος γίνεται μοτός, καὶ ἄμοτος. καὶ ἄμοτον, ἀντὶ τοῦ ἀμέτρως. ἔστι δὲ τὸ α ἐπιτατικόν. ὁ μοτὰ λέγεται τὰ ῥάκη, τὰ ἐπιβαλλόμενα τῶν πληγῶν. καὶ ἄμοτον κατὰ ἀπόφασιν, τὸ μὴ ἀναπληρούμενον. ἀπὸ μεταφορᾶς τῶν μὴ ἀναπληρουμένων τραυμάτων, τουτέστι, μοτῶν. οὕτω μὲν Ὠρίων. ἐγὼ δὲ εὗρον ἐν ὑπομνήμασιν Ἰλιάδος, ὅτι ἄμοτον λέγεται τὸ ἄπληστον, ἰσχυρὸν καὶ μετά. ἴσως ἀπὸ τοῦ μοτοῦ, ἄμοτον, καὶ ὅμοτον. ἢ ἄτρωτον, ἄρρητον, ἰσχυρόν, ἄπλητον.

Ἄμοργοι, λαμπτῆρες. Ἄμοχθος. παρὰ τὸ μόχθος, ἄμοχθος. σημαίνει δὲ τὸν μὴ κακοπαθοῦντα. Ἀμόωλον, ἀγγεῖον ἁλιευτικόν. Ἄμουσος, ἄπειρος. Ἀμπαιάσονται, ἀναπαύσονται. Ἀμπαιδες, οἱ τῶν παίδων ἐπιμελούμενοι, παρὰ Λάκωσιν.

Ἀμπαλίνορσον, τὸ ἀνακάμψαι πάλιν τὴν αὐτὴν ὁδόν. Ἀμπαλίνορσος, ὁ τὴν αὐτὴν ὁδὸν ἀναστρέφων. Οἴκαδ' ὦ παῖ ἄπιθι, ἀμπαλίνορσος. Ἀμπάξαι, παῦσαι. Λάκωνες. Ἀμπασόν, ἀναπαυστόν. Ἀμπαυλίς, ἡ τὰ πράγματα φέρουσα. Ἄμπαυμα, ἀνάπαυμα, καὶ κατὰ συγκοπὴν ἄμπαυμα. καὶ ἀμπνύνθη, ἀπὸ τοῦ ἀναπνέω, ἀνέπνευσα, ἀνέπνευμαι, ἀνεπνύνθη. καὶ πλεονασμῷ τοῦ υ, ἀμπνύνθη, ὡς τὸ ἀρτύνθη. Ἀμπαυόμενος, ἀναπαυόμενος. Ὁ δὲ ἀμπαυόμενος αὐτός, ὅταν τὴν πρώτην φυλακὴν τῆς νυκτὸς ἀπελθεῖν. Ἀμπάζονται, ἀναπαύονται. Ἀμπαυδίαν, φανερῶς. Ἀμπεδίον, κατὰ τὸ πεδίον. Ἀμπελίαν, ἀμπελίδα. φυτὸν δὲ οὕτω καλεῖται παρὰ τοῦ ἀμπέλου. Ἀμπελόεσσαν, ἀμπέλους ἔχουσαν. καὶ ἀμπελόεσσαν φρυγίην κατὰ Ὅμηρος, τεκμήριον ὡς εἰκὸς οὖσαν. ἤγουν τὴν κατὰ ἄμπελον εὐφοροῦσαν. φρυγίαν δὲ νῦν ἐν τῷ τῆς Ἰλιάδος κατὰ τοὺς παλαιοὺς ἐστὶ, τὴν μεγάλην, τὴν παρὰ τῷ ποταμῷ Σαγγαρίῳ, οὐ τὴν μικράν. περὶ ἣν καὶ ἡ Τροία ἐστίν. Ἀμπέλων, ὁ βότρυς, βότρυς, σταφυλή, γίγαρτα, οἱ ἐν ταῖς ῥαξὶ κόκκοι. οἴναρον, τὸ φύλλον τῶν κλημάτων, τρίχα σταφυλῶν. καὶ ἀσταφίδες, αἱ σταφίδες. οἶνος δὲ ὁ μὲν μοῦχος, λέγεται γλεῦκος. ὁ δὲ καλὸς ἡδύς καὶ παλαιός, ἀνθοσμίας. ὁ δὲ ἀστεῖος, ἐκτροπίας καλεῖται, καὶ ὄξινος. Ἀμπελών, ἡ ἀμπελόφυτος γῆ. Διττὸς δ' ὁ Χιδὸν ἀμπελίων. Ἄμπελος, παρὰ τὸ ἀναπελὸς εἶναι. ἡ μὴ ἔχουσα ἐν ἑαυτῇ τὸν πηλόν, ἄγειν τὸν οἶνον. ἢ παρὰ τὸ πάλλειν καὶ σείειν ὑπὸ τῶν ἀνέμων αἰεί. Ἀμπελοθαλὴς βότρυς, ὁ τῆς ἀμπέλου. ἀμπελος δὲ κύριον, διὰ τοῦ ι. Ἀμπελόπρασον, πόα τις. ἔστι δὲ καὶ βοτάνη. Ἄμπελος, ἡ μυχαία. καὶ ἄκρα Μυκάλης, ἤγουν ὄρους. κορυφαὶ δέ, αἰγιαλός, καὶ πόλις Θρᾴκης, καὶ ἡ ἄμπελος. Ἄμπεσιν, τὸ χοίνιον τὸ ἕλκον τοὺς βόας. Ἀμπερέως, διαμπάξ.

Ἀμπεπαλών, διασείσας, κινήσας, κραδάνας. Ἦ ῥα καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος. ἀντὶ τοῦ ἀνασείσας, ἀνατείνας. ὁ πλεονασμὸς μετοχῆς δευτέρου ἀορίστου. τὸ ῥῆμα ἀνέπαλλον. εἰ μὴ ἐστίν ἐν τοῖς ῥήμασι καὶ ταῖς μετοχαῖς, εἰώθασιν ἀναδιπλασιάζειν. εἶον, λάχωσι, λελάχωσι, λάθη, λελάθη. Ἀμπέσαι, κατελίσαι. Αἰολικῶς. Ἀμπέτασον, ἀνακάλυψον. Ἀμπέχειν, ὅμοιον τὸ περιέχειν, ἤτοι ἐνδύειν. καὶ ὡς εἶπεν, ἀμφιέχειν, ἀφαιρέσει τοῦ φ εἰς τὸ ἀντίστοιχον π, κατὰ Ἴωνας. ὅθεν καὶ τὸ ἀμπέχονον, καὶ ἡ ἀμπεχόνη. καὶ τὸ ἀμπέχεσθαι. ὅτι δὲ τὸ ἀμπέχω καὶ ἐπὶ τοῦ ἐνδύειν, τὸ ἀμπέξω, ἀντὶ τοῦ ἐνδύσομαι, ὁ Ἀθήναιος δηλοῖ.

Ἀμπεχὶς, ἔνδυμα, ἀπὸ τοῦ ἀμπέχειν. Ἀμπέχονον, σίνδονα περιβόλαιον. Ἀμπέχει, περιέχει, κατέχει. Ἀμπεχόνη, καὶ ἀμπεχόνιον, λεπτὸν ἱμάτιον, παλλίον. Ἀμπεχόμενος, περιβαλλόμενος. καὶ ἀμπέχω, ἀντὶ τοῦ περιβάλλεσθαι.

Ἀμπίσχειν, ἀμπίσχειν. Ἀμπείρας, διχάσας. Ἄμπειρος, ἄπειρος. Ἀμπείραντες, διαπείραντες. πείρω γὰρ, τὸ βάλλειν καὶ κεντεῖν. Ἀμπελόπολιον, πόλιον. Ἄμπηρον, πεπηρωμένον. Ἀμπίτυον, παλλάκια, παραστάται. Ἀμπιστατήρ, ἱερατικός. Ἀμπιστοῦν, ἱστάναι. Ἀμπίχειν, περιβάλλειν.

Ἀμπιχόμενον, περιβαλλόμενον. Ἀμπλακεῖν, ἁμαρτεῖν.

Ἀμπλάκημα, ἁμάρτημα. ἐκ τοῦ πλέκω πλακῶ, πλάκημα, καὶ ἀμπλάκημα. ὃ παρὰ τὸ ἀποπλέκεσθαι ἡμᾶς. Ἀμπλακήμασιν, ἁμαρτήμασιν. Ἀμπλακών, ἀποτυχών, ἁμαρτών. Ἄμπνευσις, ἀνάψυξις. Ἀμπνοάς, ἀντὶ τοῦ ἀναπνοάς. Ἀμπνύνθη, πρωτότυπον ἔχει τὸ πνέω. ἐξ οὗ καὶ ὁ πεπνυμένος. αὐτὸ δὲ προϋπάρχει τὸ πνύω. ἔστι δέ, ὡς τὸ θύω θύω, ῥῶ ῥύω, οὕτω πνῶ πνύω. ἐξ οὗ κατὰ πλεονασμὸν καὶ τὸ πινύω. ὅθεν καὶ πινυτός, ὁ συνετός. ἐκ δὲ τοῦ πινύω γίνεται τὸ πινύσσω, ὃ ἐστι συνετίζω, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀπινύσσειν, τὸ ἀσυνετεῖν, ἤτοι ἀφραίνειν. καὶ ἀμπνύνθη, ἀπὸ τοῦ ἀναπνέω, ἀναπνεύσω, ἀνέπνευκα, ἀνέπνευμαι, ἀνεπνεύσθην, καὶ πλεονασμῷ τοῦ υ καὶ συγκοπῇ, ἀμπνύνθη, ὡς τὸ ἀρτύνθη. Ἄμπνυτο, ἀνεσωφρονίσθη, ἢ ἐς φρένα ὁ θυμὸς ἀγέρθη. ὁ δὲ Ἀθηναῖος ἐγρήγορεν ἐνηκοοῦ πέφρασται. Ἀμποίχοντες, ἐν συρακούσαις ἀρχή.

Ἀμπόνων. Ὁ μὲν αὐτὸς ἴσα θεός, ἀμπόνων ἀνέβαινεν. σημαίνει τὸ ἐπὶ τὸν πόλεμον. Ἀμπρακόν, μακρόθεν. Ἀμπρεύσουσιν, ἐμπορεύσουσιν, κακοπαθήσουσιν. Ἄμπρον, τὸ χοινίον τὸ ἕλκον τοὺς βόας, ἢ τὸ ξύλον τὸ ὑποκείμενον τοῖς αὐχέσι τῶν ὑποζυγίων. ἢ ἄμπρον, χοινίον, ὅπερ διὰ τῶν ζυγῶν διατείνεται. ἢ χοινίον μεθ' οὗ εἰώθασιν ἕλκειν, ἤτοι παρακομίζειν μεγάλα φορτία. Ἀμπρεύειν, ὁ μὲν Καλλίμαχος κυρίως ἐπὶ τοῦ ἕλκειν ἔλαβε τὴν λέξιν. ἄμπρον γὰρ τὸ χοινίον. ὁ δὲ Λυκόφρων, ἐπὶ τοῦ κακοπαθεῖν. ἄλλοι δέ φασιν, ὅτι ἀμπρεύειν ἐστὶ κυρίως, τὸ μετὰ ἁμάξης πορεύεσθαι. Ἀμπυκάζειν, τὸ τὰς ἐμπροσθεν ἀπὸ προσώπου τρίχας ἀναπλέκειν. εἴρηται οὕτω καὶ ὁ τροχός. καὶ Δωριεῖς δέ, ἄμπυκας. Ἄμπυκες, κεκρύφαλος κόσμος γυναικῶν. ἢ ἄμπυκες, τὰ διαδήματα, ἢ χαλινοί, ἢ τροχοί. οὕτω Σοφοκλῆς ἐν Φιλοκτήτῃ. διὰ τὸ κυκλοτερές. Ἀμπυκτήρια, τὰ φάλαρα, Σοφοκλῆς Οἰδίποδι τῷ ἐπὶ Κολωνῷ. Ἄμπυξ ἀρσενικῶς κατὰ τοὺς παλαιούς, διάδημά τι πρὸς ἀνάδεσιν τριχῶν, ἃς περιειλίσσοντο οἱ παλαιοὶ ὑπὸ τούτων παρατρόν. ἡ δὲ τοιαύτη φράσις οἷον τινα κύφων ἰδιωτικῶς εἰπεῖν, διαχαράξ τὴν ἄμπυκα. καὶ νῦν δέ φασιν ἀμπυκίζειν, τὸ τὰς ἐμπροσθίας τρίχας ἀναδεῖν. ἐντεῦθεν καὶ χρυσάμπυκες ἵπποι, διὰ τὸ δεῖσθαι τροφίου τὰς κορυφὰς τῶν τριχῶν. ἐν δὲ ῥητορικοῖς λεξικοῖς, εὑρέθη καὶ ταῦτα. ἀμπυκάσαι, ἀναδῆσαι, χαλινῶσαι. καὶ ἄμπυξ, χαλινός, συγκάθαμμα, ἐπίκρανον, κεκρύφαλος, διάδημα, στεφάνη. καὶ ὅτι ἄμπυκες διαδήματα, κατὰ μεταφοράν, καὶ ὅτι ἀμπυκίζεται διαδήματα, ἴσως διὰ τὸ ἀμπέχειν τὰς τρίχας, ὥς φησι Παυσανίας, ὃ καὶ ἀμπυκίζειν ἐλέγομεν. ἐκ μεταφορᾶς δέ φασι καὶ ὁ τροχός, διὰ τὸ κυκλοτερὲς εἶναι. δῆλον δὲ καὶ ἡ κοινὴ γλῶσσα, παραμπύκια ἐπὶ τριχῶν λέγειν εἴωθεν. εὕρηται δὲ καὶ παρὰ τοῖς ἀρχαίοις, ὅτι παραμπυκίζεται, καὶ τὸ παραπλέκεται τὰς τρίχας σημαίνει. κεκρύφαλος δέ φασι, κόσμος τίς περὶ τὴν κεφαλήν, καὶ αὐτὸς λεγόμενος κεκρύφαντος. ἀναδέσμη δέ, σειρά, ἣν κύκλῳ περὶ τοὺς κροτάφους ἀναδοῦσιν. ἢ ἄμπυξ ἐστί, κεφαλόδεσμον γυναικεῖον. ὡς καὶ Ὅμηρος, ἄμπυκα, κεκρύφαλόν τε, ἰδὲ πλεκτὴν ἀναδέσμην, καὶ ἄμπυξ ἐκαλεῖτο, σειρὰ κατάχρυσος, τὰς περὶ τὸ μέτωπον τῶν ἵππων τρίχας συνδέουσα. ἐξ ἧς καὶ οἱ τοῦ Ἄρεος ἵπποι, χρυσάμπυκες λέγονται.

Ἄμπωτις, ξηρασία, καὶ ἀνάπωσις. ὅπου ἀναδίδωσι τὸ ὕδωρ, καὶ πάλιν ἐπανέρχεται. τοῦτο δὲ γίνεται κατὰ Βρεττανίαν, καὶ τὴν περὶ τὰ Γάδειρα ἑσπερίαν θάλασσαν, καὶ εἰς τὴν ἐὰν τρὶς ἐκ τοῦ πίνειν πόσω, πόσις καὶ ἀνάπωσις, καὶ ἄμπωσις κατὰ συγκοπήν, καὶ τροπῇ ἄμπωτις. ἢ ἄμπωτις, αἱ περὶ τὸν ὠκεανὸν ἀναφοραί, καὶ διαστάσεις. Ἀμυγδαλῆ, παρὰ τὸ ἐν τῷ καλύφει τὸ μετὰ τὸ ἔσω χλωρόν, πολλὰς ἀμυχὰς ἔχειν. εἶδος. καὶ ἀμυγδαλῆ, τὸ δένδρον. ἀμυγδάλη δέ, ὁ καρπός. Ἀμύγμασι, ξέσμασιν. Ἄμυγον, τὸ μὴ μεμιασμένον, ἀλλ' ἁγνόν, καὶ καθαρόν. οὕτω Σοφοκλῆς. Ἄμυμος, ἀγαθός, ἀμίμητος, ἄμεμ-

ὁ γύης, παρὰ Ἀριστοτέλει. Ἀμμοῦν, ἑορτὴ Ἀθήνησιν ἀγομένη. καὶ ὄφις, Κυρηναῖοι. Ἀμμώνιον, ἐν τῷ περὶ βωμῶν καὶ θυσιῶν. ἔστι δὲ ἱερὸν Ἄμμωνος, ὃ Ἀμαζόνες ἱδρύσαντο. Ἄμμωνος, υἱός, ἀπόγονος. Ἄμμωχιν, ὀργήν. Ἀμνάδας, παρθένους. ἢ πρόβατα. Ἄμναμοι, οἱ ἀπόγονοι, Κυρηναϊκῶς. κυρίως δὲ ἄμναμοι, οἱ τῶν ἀρνῶν ἀπόγονοι ἢ παῖδες. Ἀμνάμων, ἢ ἐγγόνους. Ἀμνασμός, ὁ γεωργός. Ἀμνίν, θερίζων. Ἀμνισὸς ὁ ποταμός, διὰ τῆς ει διφθόγγου. ἄμνις δὲ, ὁ ἀμνός, διὰ τοῦ ι.

Ἀμνημονῶ, γενικῇ συντάσσεται. οἷον, ἀμνημονεῖ τῶν παραινέσεων. Ἀμνημονεῖ, ἐπιλανθάνεται. Ἀμνημονεύσαντος, ἀθυμοῦντος. Ἀμνήστευτον, ἀθεεὶ ἐπιόντα. Ἀμνησία, ἡ εὐλάβεια. Ἀμνησικακία, τὸ μὴ μιμνήσκεσθαι κακῶν. Ἀμνηστία, τὸ μὴ μιμνήσκεσθαι, ἢ ἡ ἀγνωσία, διὰ διφθόγγου. ἀμνησία δὲ ἡ λήθη, διὰ τοῦ ι. Ἀμνίον παροξυτόνως, τὸ τοῦ αἵματος δεκτικὸν ἀγγεῖον. ὅ ἐστι τοῦ ἀποσφάγματος, ἀμνίον ὄν. τουτέστι, [illegible] ἤγουν αἵματος σφαγεῖον. Κράτης δὲ, ἀμνίον φησὶν ἀγγεῖον, εἰς ὃ τὸ αἷμα τῶν ἱερείων ἐδέχοντο, αἱμνίον ὄν, παρὰ τὸ αἷμα. Ἀμνισός, Μίνωος ἐπίνειον. ὡς ὁ Στράβων φησίν. ἔστι δὲ, Κρητικόν. ἔστι δέ φασι καὶ ποταμὸς Κρήτης ἀμνισός. παρ' ὃν δὲ ἐκεῖ ὁ μῦθος ἐκδίδωσιν τὸν ἀμνισόν, τῇ Εἰλειθυίᾳ εἰς διατριβήν. ἐπειδὴ τὸ βρέφος τετοκυῖα εἰς φῶς ἐλήλυθεν, ὅθεν Εἰλειθυίας ἔργον δεῖν, ὃ πλεῖστα οὐ λύεται μόνον κατὰ γονάς. νῦν δὲ ὁ ἀμνισός, ὡς οἷα καὶ ἀμνισιάδες, τῶν ἄχρι λέξεως παραιτοῦνται. εἰ δὲ καὶ ἀγαθὸς ὁ ἐπὶ τόκοις ὢν ταῖς λεχοῖς, καὶ διὰ τοῦτο τῇ Εἰλειθυίᾳ ἀνέκειτο, οὐκ ἔστιν ἀπεχθανομένως εἰπεῖν. Ἀμνός, πρόβατον. οἱ δὲ, ἀμνός. Ἀμνοὶ δὲ Φώκεις, ἀντὶ τοῦ πρᾶοι, εὐήθεις, ἁπλοῖ, ὡς οἱ κριοί. ἢ μαλακοί. τὸ γὰρ ἄρρεν πρόβατον ὅταν ἔχῃ τὴν μέσην ἡλικίαν, ἀμνὸς καλεῖται. οἱ δὲ τὸν ἐνιαύσιον ἄρνα, ἀμνὸν καλοῦσιν. Ἀμνοκόπος, ζημιῶν. Ἀμνοκῶν, προβατώδης, μωρός, εὐήθης. τινὲς δὲ τὰ πρόβατα. Ἀριστοφάνης ἱππεῦσι, Καὶ σκοπεῖς γε τῶν πολιτῶν, ὅστις ἐστὶν ἀμνοκῶν πλούσιος, καὶ μὴ πονηρὸς καὶ τρέμων τὰ πράγματα. πολλοὶ γὰρ διὰ δειλίαν, καὶ τρόπων ἐπιείκειαν, αἱροῦνται ζημιοῦσθαι μᾶλλον, ἢ συγχωροῦσι διὰ δίκης. Ἀμνόν, ὃν ἐνιαυσιαῖον ἄρνα λέγουσι. τρεῖς γὰρ αὐτῶν ἡλικίαι, ἀμνός, ἀρνός, ἀρνειός. γίνεται δὲ παρὰ τὸ μνῶ, ἄμνος, καὶ ἀμνός. ἢ παρὰ τὸ μνοῦς, ὃ σημαίνει τὴν ἐκ γενετῆς αὐτοῦ μαλθακὴν θρίκα, ἐξ οὗ μνοώδης, γίνεται ἀμνός. οἷον, ὁ ἐστερημένος τῆς παχείας θριχῶν. Ἀμογητί, χωρὶς βίας, ἢ κακοπαθείας. Ἀμόγητοι, ἀμοχθοί, πρᾶοι, ἀκαταπόνητοι, χωρὶς μόχθου. Ἀμόγω, ἀκηδεῖσθαι. Ἀμόθεν, ἀντὶ τοῦ ἀπό τινος μέρους ὁπόθεν θέλεις. Τῶν ἀμόθεν γε θεὰ θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν. ἀμὸς παρὰ Ἀθηναίοις ὁ τις. ἀμόθεν δηλοῖ τὸ ποθέν, καὶ ἀπό τινος ὡς. σχηματίζεται δὲ οὕτως. ἀμὸς λέγεται ὁ εἷς, ἢ ὁ τις, Ἰωνικῶς, εἶτα καὶ Δωρικῶς. ἐξ οὗ ἀμόθεν μὲν, τὸ ποθέν, καὶ ἀπό τινος ὡς. οὐδαμόθεν δὲ, τὸ οὐδέποθεν. Ἀμοιβαί, χάριτες, καὶ ἀμοιβαί, ἀνταποδόσεις, καὶ ἐκτίσεις χρεῶν.

Ἀμοιβαδίς, ἀντὶ τοῦ ἀμοιβαίως, κεῖται παρὰ τῷ Ἀπολλωνίῳ. καὶ ἀμοιβαδὶς ἐλίνυσεν, ἀντὶ τοῦ ἐναλλάξ. πρῶτον ἀνθεσάμενος οὗτος, εἶτα ἐκεῖνος, μεθ' οὓς ἄλλος. ἢ ἀμοιβαδίς, ἀντὶ τοῦ κατὰ λαχμὸν ἵνα καὶ κλῆρον ἄλλο τε ἄλλος. Ἀμοιβαδόν, ἐναλλάξ. παρὰ μέρος ἢ κατ' ἐναλλαγήν, ἐφεξῆς. Ἀμοιβαίαν, ἀνταλλαττομένην. Ἀμοιβάς, χαριστήρια, ἐκτίσεις. Ἀμοιβή, ἀντικαταλλαγή, ἀνταπόδοσις. Ἀμοιβοί, οἱ διαδεχόμενοι τὸ στρατευσάμενον. ἢ ἀμοιβοί, οἱ ἀμφιπάλληλοι. ἔτι, οἱ ἐξ ἀμοιβῆς, ἢ καὶ ἐναλλὰξ παραγενόμενοι συμμαχῆσαι τοῖς Τρωσίν. Ἀμοιγέπῃ, εἰς ἕνα τόπον, ἢ καθ' ἕνα τρόπον. Ἀμοίη, ὁ τῷ πλείονι παραλλάξ, ἐκκλίνει εἰς τὴν αὔξησιν, παρὰ τῷ Ἱπποκράτει. Ἄμοιος, ὁ κακός. σικελοί. Ἀμοίρημα, ἀπέχθημα.

Ἀμοιροῦσι, γενικῇ συντάσσεται, τὸ ἀποστεροῦσιν. ἀμοιρῶ γὰρ, τὸ οὐ μετέχω. οἷον, ἀμοιρῶ τοῦδε. καὶ ἄμοιροι, οἱ ἀμέτοχοι, ἢ κακόμοιροι. Ἀμοιροί, ἀνέρατοι. Ἄμοιροι, ἄχωροι, ἄκληροι.

Ἄμορος, ἐκτός, ἄνευ. Ἀμοίρων, ἀσέχων. Ἀμολγάζει, μεσημβρίζει. Ἀμολγοί, οἱ ἀμέλγοντες τὰ δημόσια. ἀμολγὸς δὲ σημαίνει τὸ μέλαν, ἄγριον, σκότος. ἢ φλογμός. Ἀμολγὸν νυκτὸς λέγει Ὅμηρος, ὅτι οὐ μετιοῦμεν, πλεονασμῷ τοῦ α. ἢ καθ' ὃν οὐ μολοῦμεν ἐν ἐπιθέσει τοῦ γ. ἢ τὸν τοῦ ἀμέλγειν καιρόν. δηλοῖ δὲ αὐτός, ἢ ὄρθρος, ἢ ἑσπέρα. Ἄλλως. Ἀμολγὸν νυκτός. τὸ πυκνόν. καὶ ἔστι λέξις σημαντικὴ τινὸς καὶ παρ' Ἡσιόδῳ, ἐν τῷ μάζα τ' ἀμολγαίη. ὅπερ ἐστὶ ποιμενικὴ καὶ ἀκμαία, κατὰ τὸν Δίδυμον. ὅς εἰς μάζαν ἀναγράφει τὴν τῶν μαλακωτάτων, καὶ τῶν σιτουμένων. ἔνιοι δὲ καὶ τὸ κρεῖττον, οὕτως ἑρμηνεύουσιν πλατεῖαν δηλοῦν, λέγει καὶ ὅτι χυμὰ ἢ χοινικὸς ἐκπέσοις ἐλέγετο κρεῖττον. ἀχαιοὶ δὲ κατὰ τὴν ἀμφιδοξίαν, ἀμολγὸν τὴν ἀκμὴν φασίν, ὡς εἶναι νυκτὸς ἀμολγὸν τὴν ἀκμήν, ἤτοι τὸ μέσον, κατὰ τὸ εἴρους ὂν ἀκμή. ὁ μέν τι παρὰ Θεοκρίτῳ ἀμολγεύς, τὸ ποιμενικὸν ἀγγεῖόν ἐστιν, ἐν ᾧ ἀμέλγουσι. καὶ ἀμολγῷ νυκτὸς παρ' Ὁμήρῳ ἐν Λ τῆς Ὀδυσσείας. ἀσφαλέστερον νοῆσαι ἀμολγὸν νυκτός, οὐ τὴν ἑσπέραν, ἀλλὰ μᾶλλον τὴν πρὸς τῇ ἡμέρᾳ, ὅτι καὶ εἰκὸς ἀληθεύειν τὰ ἐνταῦθα φανέντα ὀνείρατα. ἔλεγον ἀληθεῖς οἱ περὶ τὸν ὄρθρον ὄνειροι. Ἀμολγῷ, Ὅμηρος, Νυκτὸς ἀμολγῷ. τῇ ἑσπέρᾳ, ἢ τῷ μεσονυκτίῳ, καθ' ὃ οὐκ ἀμέλγουσιν. ἑσπέρας γὰρ καὶ ἡμέρας εἰώθασι τοῦτο ποιεῖν. ἢ ἐν καιρῷ, ἐν ᾧ συμβέβηκεν ἀμέλγεσθαι τὰ πρόβατα. ἢ παρὰ τὸ μολῶ, πλεονασμῷ τοῦ γ μολγῷ. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀμολγῷ, ἐν ᾧ οὐδεὶς μολύνει. οὕτως Ὠρίων.

Ἀμόρα, σεμίδαλις ἑφθή, σὺν μέλιτι. Ἀμορβάδας νύμφας λέγει Ἀπολλώνιος, τὰς ἀκολούθους. Ἀμορβεύεσθαι, ὁδοιπορεῖσθαι, ἑρμηνεῦσαι. Ἀμορβεύων, ἀκολουθῶν. ἀπαλλαττόμενος. Ἀμορβὸς, καὶ ἀμορβεύς, σημαίνει τὸν μισθωτόν, παρὰ τὸ ἔργον. καὶ ἐναλλαγῇ τοῦ ε, καὶ τροπῇ τοῦ φ εἰς β. ὡς ἐν τῷ κύφος κύβος, ἀφρόνη βροτεία(?). σημαίνει δὲ καὶ τὸν ἀκόλουθον, ὁ ἅμα τοῖς ὁρμῶν, τροπῇ τοῦ μ εἰς β. ἀμορβὸς καὶ ἀμορβεύς, καὶ ἀμορβίς. Μαθόλιος. Ἀμορβὸς καὶ ἀμορμός, ὁ ἅμα τινὶ ὁρμῶν. Ἀμοργίας, σινδόνας, ὁ ἀμόργη. Ἀμόργινα, χρώματος βυσσίνου εἶδος. ἀπὸ νήσου ἀμοργοῦ ὄντος. ὡς θήρεια, τὰ ἀπὸ θήρας νήσου. Ἀμοργίς, καλάμη τις, ἐξ ἧς ἔνδυμα γίνεται. ἢ ὕφασμα, ὁ χιτών. Ἀμοργίδια, ἐξεβάκχευσαν τὸ γάλα. Ἀμοργμα, σύλλεγμα, ἄρτυμα. Ἀμόργη, φυγία, ἐλαίου ἰλύς.

Ἀμόργινα, λεπτὰ ἐφ' ἑνὶ ἐνδύματα. Ἄμορος, ἀμέτοχος.

Ἀμοργίτας, πλακοῦντας. Ἀμόρφωτον, ἀδάπανον. Ἀμορφωσίν, οὐ δεόντως πράττειν. Ἀμόρφωτον, ἀδιατύπωτον. Σοφοκλῆς θεὶς ἐν τῷ ἐν σικυῶνι. Ἄμπελος, ἄτρωτε, ἀδολε, ἀπείραστα. Ἀμοῦσι, θερίζουσι. Ἄμοχα, καθαρίος. λάκωνες. Ἀμόργινος χιτωνίσκος, παρὰ τὴν ἀμόργην, ὅ ἐστιν εἶδος χρώματος, ὅμοιον βύσσῳ. καθὰ καὶ θηραῖον, τὸ ἀπὸ θήρας τῆς νήσου. σημαίνει δὲ, καὶ τὴν πολυτελῆ ἐσθῆτα. Ἀμοργία ἡ ἀμόργη καὶ ἀμοργίς, ἡ λινοκαλάμη. ἢ τοῦ ἐλαίου ὑπόστασμα, ὁ τρυγία. Ἀμόργιον, ὅμοιον βύσσῳ πολυτελές, λέγεται καὶ ἀμοργίκα θηλυκῶς. Ἀμοργίς, ἡ καλάμη τοῦ ἀνθύλλου τὸ λεπτότατον μόριον. ἔθεν ἀμόργη. Ἀμορμάθησαι, συνοδεῖσθαι. Σὺν δ' ἡμῖν ὁ πελαργὸς ἀμορμάθησιν. ἀπὸ τοῦ ἀμορμάθειν, καὶ ὁρμᾶν, καὶ ὁρμᾶσθαι. ἢ δὲ ἀμορμάθειν, ἀπὸ τοῦ ἅμα ὁρμᾶν. Ἀμός, ὁ ἡμέτερος. ἀπὸ τοῦ ἁμέτερος δωρικῇ διαλέκτῳ. ὡς ἀπὸ τοῦ σφέτερος σφός, οὕτω καὶ ἀπὸ τοῦ ἁμέτερος ἀμός. Ἄμοτον, ἀκαταπαύστως, παρὰ τῷ Ἀπολλωνίῳ. καὶ ἄμοτον ἐν τῷ Τ τῆς ἰλιάδος, τὸ πλῆθος. καὶ ἀπαυστί, καὶ μακρόν. ὡς ἐκ μεταφορᾶς τῶν μοτουμένων τραυμάτων. ἀπεναντία δὲ ἡ ἔννοια τῆς λέξεως, εἰς τὸ λίαν. καὶ ἄμοτον τανύοντο, τουτέστι, ἀνενδότως ἐπονοῦντο. ἄμοτον δὲ, τὸ ἀπλῶς κυρίως, καὶ ἀπλήρωτον, ἐκ μεταφορᾶς σημάτων, ἢ τραυμάτων, τῶν

μὴ

συστρεφόμενον τὸ μέτωπον, διὰ χαρὰν καὶ αἰδῶ. Ἀμέγαρτον, ὑπερμέγεθες. οὕτως ἀμέγαρτον, ἀντὶ τοῦ ἀνεπίφθονον, ἀπόφθεγμα. Ἄμετα λέγει Ἀριστοφάνης, ὑπὸ τοῦ ἐπισπαστικοῦ γελάσαντος, ἄμετα προστιθέμενον ἡμῖν πόσι. Ἀμεταστρεπτί, εὐθέως, ἀπὸ τοῦ ἁμᾶν. Ἀμήτωρ, ὁ μὴ ἔχων, ἢ ὁ μὴ ἔχουσαν μητέρα λέγεται. ὥσπερ ἡ Ἀθηνᾶ. ὁ κακομήτωρ, Σοφοκλῆς ἠλέκτρᾳ. Ἀμηχανία, ἀπορία, λέγει. οὗ τὸ ἐναντίον εὐμηχανία.

Ἀμηχανεῖ, πλεῖ. Ἀμήχανον ἔργον, ὅπερ οὐ δυνατὸν, ὡς τὸ μεμηχανῆσθαι αὐτὸ ὑπό τινος, οὐδὲ διὰ μηχανῆς ἀφικέσθαι τούτου ἀμήχανον, τὸ ἀπεῖρον λέγω, καὶ ἀνεπιχείρητον. ὃ ἀδύνατον.

Ἀμήχανος δύο σημαίνει. τόν, τε μὴ ἔχοντα μηχανὴν, οἷον ἄπορον καὶ τὸ βαθὺν τὰς φρένας, καὶ τὸν δεινὸν καὶ δυσμεταχείριστον, πρὸς ὃν οὐκ ἔστι μηχανήσασθαι. καὶ ἀμήχανος γυνὴ, ἡ ἐναντία τῇ πολυμηχάνῳ. τουτέστιν, ἀφελὴς καὶ ἁπλοϊκὴ, ἢ ἄλλος, ἢ ἀπάνουργος. ἑτέρα οὖν παρὰ τῷ Ὁμήρῳ ἀμήχανον ὕπνον. καὶ ἀμήχανον γυναῖκα, λέγει Εὐριπίδης τὴν εὐήθη, καὶ ἐναντίαν τῇ πολυμηχάνῳ. καὶ ἀμήχανος ἐστὶ γέρων, ὁ ἐπιμελητὴς, ὁ ἄπορος, καθ᾽ ὃν οὐκ ἔστι τι μηχανήσασθαι. ἢ ἀμήχανος, ὁ ἄπειρος λόγον καὶ ἀνεπιχείρητος. ὁ ἀδύνατος. ὡς τὸ, Χεῖρες δὲ φοινίσσουσ᾽, ἀμήχανος ἡ χαρὰ παρῆν πρὸς τὸ πάθος. καὶ ἀμήχανος, ὁ ἀφόρητος, καὶ ἀκατάσχετος, καὶ ἄπιστος. καὶ ὁ ἀπρονόητος, καὶ ἀμήχανοι ὄνειροι, περὶ οὓς οὐκ ἔστι κρίσιν εἰκὸς ποιήσασθαι τεχνάσασθαι, ἢ μηχανήσασθαι, ὅθεν καὶ ἀκατανόητος. Ἀμηχάνητι, ἀντὶ τοῦ πολλοὶ, οὕτω Ξενοφῶν. Ἀμηχανῶ, τὸ ἀπορῶ. καὶ οὐχ εὑρίσκω μηχανήν. καὶ ἀμηχανῶ τὸ ἀποτυγχάνω. Ἡρόδοτος ἐν τῇ πρώτῃ, ἔνθα ἀμηχανέειν ἔχρηματος οὐδενός. Ἀμηχάνως, καὶ ἀμηχανεστάτως, ἰσχυρῶς λίαν, τὸ μὲν ὑπὲρ ῥώμην παθεῖν ἐπὶ ἰσχυρῶς, ἐπιδείκνυσι δηλοῖ τὸ μεγαλυνθῆναι, καὶ τὸ κακὰ μηχανᾶσθαι. Ἀμίδα, τὴν οὐράνιδα, τὸ οὐρητικὸν ἀγγεῖον. λέγεται καὶ ἀμίδας, τὰ οὐρητικὰ σκεύη, ἀπὸ τοῦ ἀμὶς ἀμίδος. Ἀμία, φυλακή. καὶ ἀμία, ἰχθύς, ὥς φησιν Ἀριστοτέλης. καρχαρόδοντα καὶ τῶν συναγελαζομένων καὶ σαρκοφάγων. χολὴν δὲ ἔχει, ἰσόμηκες τῷ ἐντέρῳ καὶ σπλάγχνα. παρὰ τὸ ἅμα ἰέναι τοῖς πλείοσιν. ἔστι γὰρ συναγελαστικόν. Ἀμιγὲς, καθαρὸν, ἄδολον.

Ἀμίθρα, ἀμμώδης, ἐρημία. Ἀμιθα, ἔδεσμα ποιόν. καὶ ἀρτυμα, ὡς Ἀναξαγόρου. Ἀμιθος, μῆλον. Ἀμιθρεῖν, καταλογίζεσθαι, ποιητικὸς μετάθεσις τὸ ἀριθμεῖν, λέγω ἀμιθρεῖν. Ἀμιθρεῖσθαι, μισθοῦσθαι, καὶ ἀριθμεῖσθαι, παρὰ Καλλιμάχῳ. Ἀμικτός, ὁ ἄγριος. ἢ σπαρτιάτης. Ἀμικτος, μικτόν, χωρὶς σῖτος. Ἀμικτος, ὁ μὴ μιγνύμενος. Ἀμίλικτον, σκληρόν. Ἅμιλλα, ὁ ἀγὼν, ἡ ἔρις, καὶ δρόμος ἀγωνιστικὸς καὶ φιλονεικία. Ἀμιλλᾶν, τὸ ἐρίζειν, καὶ εἰς τάχος γράφειν, ἢ ἄλλο τι ποιεῖν. Ἀμιλλᾶσαι, οἷον ἐκβαίνει. Ἀμιλλᾶται, ἐρίζει. Ἀμιλλᾶσθαι, φιλονεικεῖν, ἀγωνίζεσθαι. Ἀμιλλητήριον, τόπος ἐν ᾧ ἀμιλλῶνται. καὶ ἀμιλλητήριος ὁ περὶ τοῦ ἐρίζειν. Ἀμιλλητικοὺς λόγους, τοὺς ἐν ἀγῶσι. Ἀμιλλώμενοι, ἐπιπλέον ἐρίζοντες. Ἀμίλλεια, σφάλακον. κλάδοι. Ἀμιλλώμεθα, φιλονεικῶμεν.

Ἀμιλλώμενος, ἐρίζων. ἢ ὀρίζων. Ἀμιλλῶμαι, τὸ δεῖν. ἐγὼ ἀμιλλῶμαι δὲ, τὴν δεῖ, ἀντὶ τοῦ ἀγωνίζομαι. Εὐριπίδης, τίνες ποτε ἐξαμιλλῶνταί μοι γῆς. Ἀμὶν, ἀντὶ τοῦ ἡμῖν λέγουσιν οἱ Δωριεῖς, συστέλλοντες τὸ ι, καὶ ὀξύνουσιν. Ἀμισαῖον δὲ ὡς ἐστὶ, ἣν οἴσιν λέγουσιν. ἡ γὰρ πλεονασία, ἀμισαία λέγεται. Ἀμισθί, ὀλίγον μοι. Ἀμίξαι, οὐρῆσαι. ἢ ὀχεῦσαι, ἢ ὀμίξαι. Ἀμίπποι, δύο ἵπποι συνεζευγμένοι. ἐπ᾽ αὐτοῦ δὲ τεμενικοῦ, οἱ σὺν ἵπποις πεπαιδευμένοι. ὥς δέ φασιν. ὅτι ζεύγνυνται ἵπποι πρὸς ἀλλήλους ἴσοι καὶ ἄλλοι. ὁ δὲ ἐλαύνων αὐτοὺς, τὸν ἕτερον μὲν παρέλκει, ἐπὶ δὲ τοῦ ἑτέρου ἔχεται. οὕτως ἄμιπποι λέγονται. τουτέστι, τὸ παρ᾽ Ὁμήρῳ θρώσκων, ἄλλοτ᾽ ἐπ᾽ ἄλλον. πεζοὶ δὲ εἰσὶν οἱ ἄμιπποι, ὡς δῆλόν ἐστιν ἐκ τοῦ Θουκυδίδου καὶ Ξενοφῶντος, ἐκ τῶν ἐλληνικῶν. καὶ μὴ ὄντα πρόδρομοί τινες εἰσὶν, εἰ τὰ μὲ τοῖς ἱππεῦσι τεταγμένοι. Φιλόχορος οὖν ἐν τῇ ἑκκαιδεκάτῃ φησὶ, καὶ προδρόμους. Ἀμὶς, τὸ οὐρητικὸν ἀγγεῖον. παρὰ τὸ ὀμιχῶ τὸ οὐρῶ. ἢ παρὰ τὸ ἅμα ἀμὶς, ὡς σκάφη σκαφίς. Ἀμισθος, ἀμισθί. Ἀμισθωτὸς, ἀπὸ τούτου. Ἀμισθὶ, χωρὶς μισθοῦ.

Ἀμίσυλλον ταῦρον, σημαίνει δὲ τὸν μὴ κεκομμένον, ἀδιάκοπον. καὶ ἀμίσυλλον, τὸ μὴ κεκομμένον. Ἀμίσγαλος, ὁ ἀνεπίμικτος, ὁ μὴ ἄλλῳ μεμιγμένος. καὶ ἀμίσγαλος, οἷον, ἀμισγαλαὶ αἶγες, κατ᾽ ἔλλειψιν τοῦ γ. Ἀμιτρα, μικρά. κρυπτά.

Ἀμιτροχίτωνας, τοὺς ἀζώστους ἔχοντας χιτῶνας. καὶ ἀμιτροχίτωνας λέγει Ὅμηρος, οὐχ ὡς ἀζώστους, ἀλλὰ τοὺς μὴ ὑπεζωσμένους μίτραν τοῖς χιτῶσιν, ὅ ἐστι τοῖς θώραξιν. ἀλλὰ ἅμα τῶν θωράκων συνηρτημένην ἔχοντας καὶ τὴν μίτραν, καὶ οὐ συμβληθεῖσαν κατὰ τὸ παλαιόν. ὥστε τὸ α ἐνταῦθα, καὶ σύνεσιν δύναται δηλοῦν, διὰ τὸ μ[redacted]οζώννυσθαι μίτρας, καὶ ἀντὶ τοῦ ἅμα λαμβάνεται, διὰ τὸ ὁμοῦ τῷ θώρακι συνηρτῆσθαι αὐτάς. Ἀμιχθαλόεσσαν, ἀπροσόρμιστον ἐκ θαλάσσης. καὶ Λέσβος. καὶ ἀμιχθαλόεσσα Λῆμνος, οἱονεὶ ἀμικτόεσσα. τροπῇ τοῦ ψιλοῦ εἰς δασύ, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, ἐκ τοῦ ἄμικτος. ἀπρόσμικτος γάρ ἐστιν ἡ Λῆμνος τοῖς πλέουσιν. ἐκεῖ σίνται οἱ λήσται καὶ πειρατικοί. Ἀμμὰ, ὀξυτόνως ἡ τροφός. καὶ ἡ μήτηρ, κατὰ ὑποκόρισμα. καὶ ἡ ῥέα λέγεται ἀμμάς. καὶ ἀμμία. Ἀμμα βαρυτόνως, ὁ δεσμός. Ἀμμάθω, μεταμέλομαι. Ἀμμαλὰς, ἀνοσία. Ἀμμαρχῶ, ὁ ἀκαρχῆς. Ἀμμαλῶ, ἑορτὴ ἀγομένη Διΐ. Ἀμμαμαθόδας, ὅλως μάλα στομαχόν, διὰ κριθῶν εἰς μικρὰ κεκομμένων, δι᾽ ἀρτυμάτων. Ἀμμάξαι, ἐρίζεσθαι, καὶ κερμᾶσθαι. ἢ ἀποπνῖξαι.

Ἀμμὰς, ὁ τροφὸς ἀρτέμιδος. καὶ ἡ μήτηρ, καὶ ἡ ῥέα, ἢ δημήτηρ. Ἀμματίζει, ἀφιλίνω, δεσμεύω. Ἄμμι, αἰολικόν ἐστιν, ὡς δῆλον ἐκ τοῦ βαρυτόνως, καὶ τοῦ ψιλοῦσθαι, καὶ τοῦ τὸ ἀμα τοὔλον διπλοῦσθαι. καὶ ἄμμες ἀντὶ τοῦ ἡμᾶς, αἰολικῶς. ἄμμες δὲ οἱ Δωριεῖς. Ἄμμεναι, ἀπὸ ὀργῶν τετράφθογγον ῥῆμα. σχηματίζεται δὲ οὕτως. ἐκ τὸ κορίσμαι, οὗ ἀπαρέμφατον ἄειν, καὶ Δωρικῶς ἆεν. ὥσπερ καὶ ἴδω, τὸ ἰδεῖν, ἴδειν καὶ ἴδεν. εἶτα γίνεται ἔδμεναι τετρασυλλάβως, καὶ ἐν συγκοπῇ ἔδμεναι κατὰ τρισυλλαβίαν, οὕτω καὶ αἴμεναι, καὶ ἐν συγκοπῇ ἄμεναι, καὶ ἴσως διπλασιασμῷ αἰολικῷ, ἄμμεναι. Ἀμμελάγιον, ἐγχώσιον. Ἄμμες, ἡμᾶς, ἢ ἡμεῖς, ἢ ἡμῖν. Ἀμμίσγων, ἤγουν ἀναμίσγων, συγκοπῇ τοῦ α. τὸ δὲ ν συνήθως ἔχει πρὸς τὸ ἑπόμενον σύμφωνον τὸ μ. οὕτω καὶ τὸ κατέβαλε, κάββαλε, καὶ τὸ κατέπεσε, κάππεσε, καὶ ἕτερα. Ἄμμια, μήτηρ, τροφός. Ἀμμιάξαι, ἀποπνῖξαι. Ἄμμι δὲ, ἡμῖν δέ. Ἀμμιγρὸς, πεπληρωμένος. Ἄμμιν λέγουσιν οἱ αἰολεῖς, βαρύνοντες αὐτὸ, καὶ συστέλλοντες τὸ λήγουσαν. Ἀπολλώνιος, ἄμμι γε μὴν νόον ἔνδον ἀτύζεται. Δωριεῖς δὲ ἀμῖν, συστέλλοντες τὸ ι καὶ ὀξύνοντες. Θεόκριτος, πολλάκι δὲ ἀμῖν κακὰ κρατὸς λαοῦ. ἴσως δὲ πολλάκις καὶ αἰολεῖς προπερισπῶσιν ἐν συγκοπῇ τοῦ ι. Ὅμηρος, ὦ φίλοι οὐ μὰν ἄμμιν ἀκλέεις ἀπονέεσθαι. Σοφοκλῆς οἰδίποδι, ὅπως λύσειν τίν᾽ ἄμμιν εὕροιμι πόρους. Φρύνιχος μύσης, ἐβουλόμην ἂν ἄμμιν ὥσπερ καὶ πρότου. ἀτεχνῶς δὲ παραδείγματα ταῦτα τὰ δύο. οἱ δὲ αὐτοὶ παλαιοί φασι, καὶ ὅτι τὸ ἄμμες, ἄμμες λέγουσιν οἱ Δωριεῖς, ἄμμες οἱ αἰολεῖς. χρῶνται δὲ τοῦ ῥηθέντος ἄμμιν ἐν ὀδυσσείᾳ. Ἄμμιγα, ἀναμεμιγμένως. εἶπεν ἀμαθῶς πεντάφρονος, ἣν ὁ μαλακὸς, Ἡσυχαστὴ μουσῶν ἄμμιγα καὶ Χαρίτων. Ἀμμιγρὸς, πεπληρωμένος. Ἀμμοσκάμισον, στενόμικρον ἄρτον. Ἀμμοδύτης, εἶδος ὄφεως. Ἀμμορίαν, τὴν κακὴν μοῖραν. κακομοιρίαν. Ἄμμορον, δύσμορον, κακόμορον. μόρος γὰρ ὁ θάνατος. καὶ ἀμμορίην, τὴν κακὴν μοῖραν. καὶ ἀμμόρον ἄλμην, ἢ ἀθάνατον, ἀμέτοχον. ὡς τὸ, ἄμμορον. ἢ ἀμέτοχον, ὡς τὸ, οἴη δ᾽ ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο. Ἄμμος, ψάμμος. Ἀμμοῦς, ὁ ζυγός.

ὼκ δὲ, εἰ καὶ Λεωνίδης λέγει. εἴτε παίζων, εἴτε σπουδάζων. λέγει γάρ. ἔπειτα δὲ καὶ αὐτὸς, ἃ μὲν προϊόντι δῆλος κατὰ τὴν ὁδὸν, ἃ δὲ καὶ παραινῶν. Ἀμεῖναι, πληρωθῆναι. Ἀμενὲς, ἀσθενές.

Ἀμενηνὰ, ἀσθενῆ. κατὰ στέρησιν τῆς δυνάμεως. μένος γὰρ ἡ δύναμις, ἡ ἀποχή. Ἀμένηνα, τὰ ὑμένα. αἰολεῖς. Ἀμένητος, ὁ μὴ δυνάμενος. Ἀμεννεὶ, χωρὶς τῆς ἐπιμονῆς. Ἀμενηνοὶ ὄνειροι, παρ' Ὁμήρῳ, οἱ φαντασιοῦντες μὴ ἐρρωμένως τὰ ἐσόμενα, καὶ ὡς εἰπεῖν μετὰ ἰσχύος μένους. εἴρηται καθ' ὁμοιότητα τῶν ἀμενῶν, ἐν ᾅδου εἰδώλων, τῶν ἐν τῇ νεκυίᾳ, διὰ τὸ συγγενῶς ἐκείνοις πρὸς τὴν ὄψιν ἔχειν. Ἀμενήνωσεν, ἀσθενῆ ἐποίησεν. Ἡ αἰχμὴ [illegible] δὲ, ἐπὶ τοῦ [illegible]. Ἀμενηνὰ κάρηνα, τὰ ἀδύνατα ἀπόλωλεν. Ἀμενηνὸς, ἀσθενὴς, λεπτὸς, μάταιος, ἐκ τοῦ μένος ἡ δύναμις γίνεται ἀμενὴς ὁ ἀσθενής. καὶ πλεονασμῷ τῆς νη συλλαβῆς, ἀμενηνός. οὕτω δὲ καὶ τὸ [illegible], τὸ σημεῖον, καὶ προσθέσει τῆς νη συλλαβῆς ἐν κατάρχῃ, [illegible]. ἐξ οὗ ἐπιτείνομεν ἐν [illegible]. Ἀμενηνῶν, ἀσθενῶν. Ἀμενήνωσεν, ἀντὶ τοῦ ἀμενηνὸν ἐποίησε, καὶ ἠχρείωσεν. Ἀμήτωρ, σημαίνει τὴν παῖδα. παρὰ τὸ μὴ ἔχειν μένος, καὶ κλίνεται ἀμέντος. ὥσπερ ἀμέλας ἀμέλαντος, ὄνομα [illegible]. εἰσὶ [illegible] εἰς ας ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ α ἀμετάβολον, καὶ πρὸ τοῦ ἀμεταβόλου φωνῆεν, μήτε τὸ α, μήτε τὸ ε, μήτε τὸ ο, μήτε τὸ ω. ἃ ἴσα διὰ τοῦ ντος κλίνεται. [illegible]. Ἄμ' ἴπεος, ἅμ' ἐρχομένοις. Ἀμέραν, τὴν ἡμέραν λέγουσιν οἱ Δωριεῖς. Πίνδαρος. ἐν ἀμέρᾳ φαεννὸν ἄστρον. Ἀμερβὲς, τὸ μεγαλεῖον. παρὰ τὴν ὀργὴν, ἀμορφεὺς, καὶ ἐκλείψει τοῦ ο, καὶ τροπῇ τοῦ φ εἰς β, ἀμερβεύς. ὡς ἐν τῷ κῦφος κύβος, φερενίκη βερενίκη, καὶ ἀμορφὸς ἀμορβεὺς, ὅ ἐστιν ἀκόλουθος, ὁ ἅμα [illegible] ἀκολουθῶν, τροπῇ τοῦ φ εἰς β. Ἄμοργος, νῆσος. Ἀμεργόν, εἱμαρμένην. Κρητῶν. Ἀμέργει, ἀποστερεῖ. Ἀμέρδειν, τὸ ἀμαυροῦν, καὶ ἀποστερεῖν τοῦ μέρδειν, ὅ ἐστι τοῦ βλέπειν. ἢ τὸ ἐναντίον, σμέρδειν διὰ τοῦ σ, παρὰ τοῖς ἀρχαίοις, ὅ ἐστιν [illegible] βλέπειν, ἐν τῷ μερίζειν τὰς ὀπτικὰς δυνάμεις. ὅθεν καὶ σμερδαλέον, κυρίως τὸ τῇ ὄψει καταπληκτικόν. Σημείωσαι, ὅτι οὐ μόνον τὸ σμέρδειν, ἀλλὰ καὶ ἕτεραι πολλαὶ λέξεις ἐν ἀρχῇ προσέφερον τὸ σ. καὶ ὡς ἀπὸ τοῦ σα ἐπιτατικοῦ μορίου, τὸ τοιοῦτον σ δοκεῖ εἶναι ἐν τῷ σμικρὸν, καὶ ἐν τῷ σμέρδειν, καὶ ἐν τῷ σμαραγδῶ. καὶ ὡς ἐκ τοῦ μερίζω γίνεται, ἀλλαχοῦ ἱκανῶς δεδήλωται. καὶ ἀμέρδει κακὸς τεύχεα, ἀντὶ τοῦ σκοτίζει. στερίσκει τοῦ μέρδειν, ὅ ἐστι λάμπειν. ὡς ἐντεῦθεν μὴ δεῖν εἶναι καλὰ αὐτὰ, ἀλλὰ κατανιᾶσθαι. καὶ δωρικῶς ἀμέρδεσθαι, τὸ στερίσκεσθαι, ἀπὸ τοῦ μερίζειν. ἔστι δὲ ἀμέρδειν, τὸ μερίδος ἀποστερεῖν. καταχρηστικῶς δὲ, ἐπὶ τοῦ στερεῖσθαι. Ἀμέρσαι, ἀντὶ τοῦ μερίδος στερῆσαι, τίθεται ἐπί τινος. ἀλλὰ κυρίως ἐπί τινος τυφλότητος λέγεται. ὡς τὸ, Ὀφθαλμῶν μὲν ἄμερσε. καὶ ἐπὶ σκοτώσεως, ἤτοι ζοφώσεως. οἷον, Ὄσσε δ' ἄμερσεν αὐγὴ χαλκείη. καὶ ἀμέρσαι, ἀμαυρῶσαι, ἄμειρον [illegible]. καὶ ἄμερσεν, ἄμειρεν ἐποίησεν, ἐστέρησεν. Ἀμέρσας, ἀπὸ τοῦ ἀμέρδω, τὸ ἀφανίζω. τοῦτο δὲ ἀπὸ τοῦ ἀμῶ, τὸ θερίζω.

Ἀμερσίφρων, βλαψίφρων. Ἀμέρτος, ἀνεπίληπτος, ἀτέλεστος. Ἀμερφὲς, αἰσχρόν. Ἀμετάβατα ῥήματα προσαγορεύεται, ὅτι οὐδαμῶς μεταβαίνουσιν εἰς ἕτερον πρόσωπον, τὴν σύνταξιν ἐν τῷ λόγῳ ἔχει. οἷόν ἐστι τὸ ζῶ, τὸ πλουτῶ, τὸ ὑγιαίνω, καὶ τὰ τοιαῦτα. ἐν γὰρ τούτοις μόνον ἐμφαίνεται πρόσωπον, τὸ τοῦ ζῶντος, ἢ τοῦ πλουτοῦντος. ὅθεν οὐδὲ παθητικὰ τὰ τοιαῦτα ῥήματα ἔχει. μηδὲν ἐμφαινομένης ἐν αὐτοῖς ἐνεργείας εἰς ἕτερον πρόσωπον, δῆλον ὡς οὐδὲ πάθος δύναται ἔχειν. Ἀμετάβολοι, ἡ [illegible] προσηγορία. οὐχ ὅτι [illegible], ἀλλ' ὅτι ἐκ τοῦ μὴ μεταβάλλεσθαι προσηγόρευται. εἰ τύχοι τὰ μὲν ἀμετάβολα οὐ μεταβληθήσεται, τῶν ἀμεταβόλων δὲ, τὸ μ μὲν ὀνομαζόμενον, οἱ δέ ποτε τὸ σ ἐπὶ τῆς λέξεως ἔχεται. τοῦ δὲ ν καὶ τὸ [illegible], ὡς τὸ [illegible], καὶ [illegible]. τοῦ δὲ ρ, καὶ εἰς πλάτος, ὡς τὸ [illegible], καὶ [illegible]σὸς, διὰ τὸ φωνήεντος ἔχειν δύναμιν. καὶ μαρτυρεῖ [illegible] τὸ πνεῦμα. ἐλλείπει δὲ τὸ τραχυφωνεῖν, ὡς [illegible] φιλοῦσιν ἐκκλίνειν. διὰ ταῦτα ἐπὶ τῆς πέμπτης συζυγίας οὐ προσέθηκαν τὸ σ. αἰολεῖς δὲ τὸ [illegible] παραιτοῦνται. καὶ μάλιστα ἐν ὅσοις [illegible] ὁ ἰωνικὸς διὰ τοῦ ρ ἐκφέρεται, διὸ ἂν εἴποιεν τὸ ρ δύναμιν. [illegible] λέγονται, καὶ σπείρω σπέρσω, καὶ ὀρῶ ὄρσω. καὶ [illegible] καὶ ἐν τισὶ δὲ [illegible] μέλλουσι τὸ σ τιθέναι, ὡς σπέρσω λεγομένου αἰολικῶς, οὕτω καὶ κλίνουσι, καὶ νέμσω. καὶ ὅταν μάθοις ἂν ἐκ τοῦ [illegible] τὸ τραχυφωνεῖν, μάλιστα πάντων ἑλλήνων ἀττικοὶ φεύγουσι. καὶ δῆλον ὂν, ὅτι τῶν δύο συμφώνων ἀφελεῖν τὸ σ, λέγω καὶ [illegible], τὸ μᾶλλον ἀφεῖλον καταλιπόντες τὸ θ, εἰ [illegible] ἀνάγκη πάντα μᾶλλον διὰ τοῦ σ [illegible] τὴν προφορὰν ἔχειν. Ἀμετάβατος, ἄτρεπτος, ἀκίνητος, ἀμετακίνητος. Ἀμετάδοτον κυρίως ἐπὶ σωμάτων λέγεται, τῶν διὰ ἰσχὺν μὴ τρεπομένων. ἢ διὰ ἰδιότητα μὴ μεταβαλλόντων. κατὰ μεταφορὰν δὲ λέγεται ἡ ἐπιστήμη, ἀμετάπτωτος.

Ἀμετάστρεπτον, ἀμετάθετον. Ἀμεταστρεπτὶ, χωρὶς ἐπιστροφῆς.

Ἀμεταχείριστα, δυσλήπτα. Ἀμετείναι, ἀπελθεῖν. Ἀμετασείστον, ἀμέτοχον. Ἀμέτοχον, ἀμετάληπτον. Ἀμέτρητα, ἄπειρα, ἀπέραντα. Ἀμετρία, ὑπερβολή. Ἀμετρὶ, χωρὶς μέτρου. καὶ παροιμία, ἀμετρὶ μάζαν ἐσθίοντα. Ἀμέτρητον, ἀμέτρητον, ἄπειρον. Ἀμετροεπὴς Θερσίτης ἦν, ὁ ἀπεραντολόγος, κατὰ τοὺς παλαιούς. καὶ μὴ μέτρον εἰδὼς λέγειν. διὸ καὶ ἀκόσμα φησὶν αὐτὸν εἰδέναι, καὶ πολλά. πολλὰ μὲν, ὡς πολυλόγον. ὅτι πάντων σιγώντων, αὐτὸς λαλεῖ. ἀκόσμα δὲ, διότι μάλιστα, οὐ κατὰ κόσμον ἤριζε τοῖς βασιλεῦσι. τοὺς δὲ ἀμετροεπεῖς λέγουσι, τὸν ἐν τῷ λέγειν ἄτακτον. μέτρον γάρ φασιν ἡ τάξις. διὸ καὶ πολλὰ ὑπερβολῇ ἐνδείκνυται ἀφροσύνας. πολλὰ μὲν οἶδε καὶ μωρία, κατὰ τὸν ποιητὴν, ὁ σοφιστὴς καὶ πολύπειρος. ἀκόσμα δὲ οἶδεν, ὁ ἀφραίνων. ὁ δὲ Θερσίτης ἄκοσμά τε εἰδὼς καὶ πολλὰ, πάνυ ἂν εἴη πόρρω τῆς εὐκοσμίας. διὸ ἐχθρός ἐστι τοῖς βασιλεῦσιν. Ἀμεύσασθαι, ἀμείβεσθαι, διελθεῖν, περαιοῦσθαι. Ἀμεύσιμον, ἀμεύω τὸ περαιοῦμαι, παρὰ τὸ ἅμα καὶ τὸ σεύω. ἢ παρὰ τὸ [illegible], καὶ [illegible], [illegible], ἢ πλεονασμὸν [illegible]. τροπῇ τοῦ [illegible] εἰς μ. οἷον [illegible], καὶ [illegible], περάσιμον. Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά. Ἀμησιπὴς, ὁ διακαλλάσσων καὶ ἀμειβόμενα τοῖς λόγοις. Ἄμη, σιδηροῦν σκεῦος, καὶ σκάφη εἰς ἣν ἐβάλλοντο [illegible], πρὸς τὸ μὴ βαίνειν. ἢ τὸ γεωργικὸν, καὶ οἰκοδομικὸν καὶ τεκτονικὸν ἐργαλεῖον. καὶ ἄμη, ὁ [illegible]. Ἀμῆγε, ἀμηγέπη. ἀμηγέπη κάλλιον, ἢ ἀμωσγέπως. δηλοῖ δὲ τὸ καθ' ἕνα ἕνα τρόπον. καὶ ἀμηγέπη, ὅπως δήποτε, καθολικῶς. λέγεται δὲ καὶ ἀμωσγέπως, καὶ ἀμόθεν, καὶ ἀμογέπω, καὶ ἀμογέπη, καὶ ἀμοσύπη. Ἀμὴ θέμις, ἢ μὴ πρέπει. Ἀμήκανα, δεινά, ταραχώδη. Ἄμηλον, ἀκατάληπτον. Κρῆτες. Ἀμήμυκει, σῖτον συλλέγοντες. Ἄμ' ἡμέρᾳ, Ἀλκαῖος ἄμ' ἠοῖ. Ἀμὴν [illegible], [illegible]. καὶ ἀμὴν, [illegible]. Ἀμὴν, πεπιστωμένως, ἀληθῶς. ἢ ἀντὶ τοῦ γένοιτο. Ἀμήνιτος, ἀμέμπτως, ἀχαρεί. Ἀμηροὶ, ἄμηροι. Ἄμηρον, τὸ νῆστιν. καὶ ἄμηρον [illegible], ὄνομα ὄρους. Ἀμήρυτον, ὁ καὶ ἀμάρυτον παρ' Ἀπολλωνίῳ, ἀκατάπαυστον, ἀτέλεστον. καὶ διηνεκῶς ἐκτεῖνον, ἀπέραντον, ἄσβεστον, ἀτελεύτητον, ὃ τέλος μὴ ἔχον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μηρυομένων ἐρίων. Ἀμῆσαι, τὸ συναγαγεῖν, ὃ μάλιστα θερίσαι. ὅθεν ἀμητὸς, ὁ καιρὸς ὅτε ἀμῶσι. καὶ ἀμητὸς, ὁ [illegible]. [illegible] καὶ ἡ ἐνέργεια. οὕτω καὶ ἀλοητὸς, καὶ φυτευτὸς, ὁ καιρὸς ὅτε ἀλοῶσι ἢ φυτεύουσι. καὶ ἡ ἐνέργεια. ἀροτὸς δὲ, ὁ καιρὸς ὅτε ἀροῦσι, καὶ αὐτὸ τὸ ἀροῦν. ἤγουν ὅ, τε καιρὸς, καὶ ἡ ἐνέργεια. Ἀμησάμενος, ἀντὶ τοῦ συνελὼν χερσί, καὶ συναγαγών. ὡς καὶ Ὀδυσσεὺς φύλλα ἐπαμησάμενος ἐκαλύψατο. καὶ Πρίαμος ἐπαμησάμενος κόνιν κατεχέετο. ἐντεῦθεν καὶ [illegible] ἄμητος, συναγωγή

συναγωγὴ

Ἀματροχίαι, αἱ ὁμοδρομίαι. ἢ μᾶλλον, αἱ ὁμοῦ συμβολαὶ τῶν τροχῶν κατὰ ἴσον. Ἀματροχόωντα, ἀντὶ τοῦ ἀκολουθοῦντα, δυσάμμορον ἅμα δεῖ φέρειν. γράφεται δὲ ὁματροχόωντα, τουτέστιν, ἐν τῷ συμπορεύεσθαι καὶ φυλάσσοντα αὐτόν. Ἀμαυρῇ φωνῇ, ἀσύχῳ. Ἀμαυροῖ, ἀναιρεῖ, μαραίνει. Ἀμαυρὸν, σκοτεινόν. ἀπὸ τοῦ ἅμα ταῖς αὔραις φερόμενον. Ὅμηρος [illegible], εἴδωλον ἀμαυρόν. Ἀμαυρούμενοι, σκοτιζόμενοι. Ἀμαυρώσας, σκοτώσας. Ἀμαχεὶ, ἀμάχως. Ἀμαχιστορία, νῖκος ἀναίμακτον.

Ἄμαχον λέγεται, τὸ ὑπερφυὲς, καὶ οὗ ἕνεκα οὐδεμία μάχη καὶ φιλονεικία, καὶ ὅσα πέφυκε περιγενέσθαι. καὶ ἀμήχανον, δυσκαταμάχητον. Πίνδαρος, ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος. καὶ ἄμαχον τὸ ἀμήχανον, περὶ οὗ τις οὐ δύναται μάχεσθαι εὑρεῖν. ὡς καὶ ἄμαχον κάλλος, ἀντὶ τοῦ ὑπερφυὲς λέγεται. ἄμαχον καὶ τὸ ἀπρόσιτον, ὡς πρὸς πόλεμον. ἐξ οὗ καὶ ἄμαχον τὸ ἀνίκητον. ὡς καὶ Λιβάνιος τὴν τοῦ ἔρωτος φύσιν. ἄμαχος ὁ θεὸς, ὡς ἀνίκητος, ἀντὶ τοῦ ᾧ οὐ δύναταί τις μάχεσθαι. Ἀμάω ἀμῶ, τὸ θερίζω, καὶ ἀμῶ τὸ συνάγω. ἐξ οὗ καὶ ἄμητος ὁ καιρὸς τοῦ θέρους, ἀμητὸς δὲ ὁ καρπός. καὶ ἀμησάμενοι, ἀντὶ τοῦ συνάξαντες. σεσημείωται δὲ γράφεται καὶ ἄμητος, ὁ καιρὸς ὅτε ἀμῶσι, καὶ ὁ καρπὸς ὁ ἀμώμενος, καὶ ἡ ἐνέργεια ἤγουν αὐτὸ τὸ ἀμᾶν, ὥσπερ ἀλητὸς ὁ καιρὸς, ὅτε ἀλοῶσι, καὶ ὁ καρπὸς ὁ ἀλοώμενος, καὶ τὸ ἀλοᾶν. καὶ τρυγητὸς ὁ καιρὸς ὅτε τρυγῶσι, καὶ ὁ καρπὸς ὁ τρυγώμενος, καὶ τὸ τρυγᾶν. ἄροτος δὲ ὁ καιρὸς ὅτε ἀροῦσι, καὶ τὸ ἀροῦν. δοκοῦσι δὲ ὀξύνεσθαι, ὡς σκαπτὸς, ἐπαινετὸς, ποιητὸς, ἀγαπητὸς, θετὸς, ὑμνητὸς, καὶ ἁπλῶς πάντα τὰ εἰς ΟΣ ἁπλᾶ, ὅσα ἀπὸ τῶν παθητικῶν παρακειμένων περισπωμένων γίνεται ὀξύτονα. αἰτία δὲ οὐ φαίνεται, δι' ἣν ἐπὶ τῶν μὲν τοῦ συμπεπτωκότος ὀξυτονοῦνται, ἐπὶ δὲ τῶν προπαροξύνονται. Ἀμβαδίως, ἀφροντίστως, ἀπρονοήτως. Ἀμβαινα, ἀνάλειμμα.

Ἀμβακεῖν, ἁμαρτεῖν. Ἀμβαλλόμενοι ἔργον, ἀντὶ τοῦ εἰς ἄλλον καιρὸν παραπέμποντες. τὸ ἀνὰ προθέσεως δευτέρας ἐπὶ λαμβάνεται παρ' Ὁμήρῳ. ὡς καὶ ἐν τῷ ἀνεπάλλειν, καὶ ἀναμάχεσθαι, καὶ ἀναψηφίζεσθαι, τὸ μεταψηφίζεσθαι. ἵνα εἴη ἀναβάλλεσθαι, τὸ ὑπερτίθεσθαι τὸ πρᾶγμα. ἐκ τούτου τὸ ἀναβαλλόμενοι ἔργον, σύγκειται παρ' Ἡσιόδῳ. καὶ τὸ ἀμβολιεργὸς, ὅς ἐστι παλαιός.

Ἀμβάσονται, ἀπὸ τοῦ ἀμβάτοις σίτοις σφάξει. Σοφοκλῆς φοίλῳ. Ἄμβασις, ἀνάβασις. Ἄμβατος, ἀντὶ τοῦ ἀνάβατος, ἐν συγκοπῇ. Ἀμβὶς, λέκανον. ἡ ἀβλαβής. Ἄμβη, ἡ τοῦ πέτρου ὀφρῦς. καὶ ἄμφη, τὸ χεῖλος τῆς λοπάδος παρὰ τὸ ἐν ἀναβάσει εἶναι. καὶ ἄμβων, ὁμοίως, διὰ τοῦ ω μεγάλου. καὶ ἄμβη, ἡ ὀφρυώδης ἐπανάστασις, παρὰ τῷ Ἱπποκράτει. καὶ ἄμβη, ἡ τῆς ἴτυος ὀφρῦς τῆς κοιλότητος ἀσπίδος. Ἀμβαλοῦ, ἐπιτυλῶν περιβάλλων κύκλῳ τὰ τοῦ ἱερείου. Ἄμβικα, χύτρα, κάδιον. Ἀμβιοῖ, ἀναζοῖ, ἀναζεῖ. Ἄμβροτα, θεῖα, ἀθάνατα, τεύχεα, ὅπλα. Ἀμβροτεῖν, ἁμαρτεῖν, ἀποτυχεῖν βροτοῦ, ὅ ἐστιν ἀνθρώπου, καὶ τοῦ κρείσσονος. Ἀμβρότεο, κακῶς ἀποτυχών. Ἀμβρόσιον, ἄνθρον. Ἄμβροτος, ἄφθαρτος, θεῖος, ἀθάνατος. Ἀμβροτίζαι, ἀπαρέμφατον. λέγεται. Ἀμβρόσιον, θεῖον, ἄφθαρτον, ἀθάνατον, οὗ βροτοὶ οὐχ ἅπτονται. αἰθέριον, ὁλόλαμπρον, λαμπρὸν, εὐῶδες, καλόν. καὶ ἄμβροτα, κεκρυμμένα. παρὰ τὸ ἁμαρτῶ, ἁμαρτήσω, ἡμάρτηκα, ὁ δεύτερος ἀόριστος ἥμαρτον, καὶ ἐν ὑπερθέσει τοῦ ρ, καὶ πλεονασμῷ τοῦ β καὶ τροπῇ τοῦ α εἰς ο, ἄμβροτον. Ἄμβροτι, διὰ ἀθάνατοι οἱ θεοί. τῶν ἀμοίρων εἶναι βροτοῦ, ὅ ἐστιν αἵματος. Ἀμβρυσσὸς, εἶδος ἐχίνου θαλασσίου. Ἀπολλώνιος δὲ αὐτοὺς βρύσσους καλεῖ. Ἀμβροχαὶ, αἱ τῶν χειρῶν ἐμβολαί.

Ἄμβων, ἡ τοῦ πέτρου ὀφρῦς. εὕρηται δὲ καὶ ἄμβη. Ἀμβώνων, χωρίον τῆς Ἑλλάδος. Ἀμβῶνες, αἱ προσαναβάσεις τῶν ὀρῶν.

Ἀμεγάλητος, ἡ μεγάλως ἀθλία ἢ δυστυχής. οὗτος γὰρ ὁ μόρος ὁ θάνατος, ἀλλὰ καὶ πᾶν τὸ λεῖον. Ἀμέγαρτος πόθος, ὁ ὀρθῶς, ἐκ τοῦ μεγαίρω τὸ φθονῶ. ὁ ἀπαίτου εἰς μέγα αἰρόμενος. ὁ ἀφθόνητος διὰ τὴν κάκωσιν. οὐδεὶς γὰρ φθονεῖ ἐπὶ κακοῖς.

Ἀμέθυσος, βοτάνη καὶ λίθος. Ἀμείβεται, παραμείβεται, ἐκλείπει. Ἀμείβεσθαι, ἀποκρίνεσθαι, διέρχεσθαι, καὶ τὸ ἐν μέρει τι ποιεῖν. Ἀμείβων, ἀντὶ τοῦ διέρχεσθαι, αἰτιατικῇ συντάσσεται. οἷον τὴν θάλασσαν ἀμείβοντες. καὶ ἀντὶ τοῦ ἀμάττειν, ὡς παρ' Ἰουλιανῷ. Πρᾶτος εἶτα, εἰ ὁ βίος πολλὰ ἀμείβειν χρώματα, ὥσπερ ὁ χαμαιλέων. καὶ ἀντὶ τοῦ διαβαίνειν. οἷον, Πολλοὺς τόπους ἀμείβει, ἀντὶ τοῦ διέρχεται. ἐξαμείβειν δὲ, τὸ ἐκφεύγειν καὶ ἀπέρχεσθαι. Ἀμείβομαι, τὸ περιβάλλομαι, ἢ ἀμπέχομαι. καὶ ἀμείβομαι ἐν λόγοις, ἢ δώροις, ἀντὶ τοῦ ἀνταποδίδωμι, καὶ ἐπαινῶ. καὶ ἀμείβομαι, τὸ ἀντικαταλλάσσομαι. καὶ τὸ ἀντιχαρίζομαι, ἐξ οὗ ἠμείβε, καὶ τὸ ἀνταποκρίνομαι. ἐνεργητικὸς δὲ τὸ περιπατῶ, ὅπερ καὶ μετὰ προθέσεως γράφεται. οἷον παραμείβει τὴν παιδικὴν ἡλικίαν. καὶ παρήμειψεν, ἀντὶ τοῦ διέβη. Ἀμείβοντα, ἀλλάσσοντα.

Ἀμείβοντες. λέγονται δὲ παρ' Ὁμήρῳ, ξύλα τὰ ὑπερέχοντα τῶν στεγῶν, ἅπερ σταυροειδῶς ἐξ ἀποστάσεως τῶν κάτω συναγόμενα, ἀντερείδουσιν ἄλληλα. οἷς δεξιῶς εἴκασεν ὁ ποιητὴς τοὺς ἥρωας, ἀλλήλοις ἐν τῇ παλαίστρᾳ ἀντερειδομένους. καὶ τὰ μὲν ἄνω, εἰς ἓν ἥκοντα, κατὰ τὰς δοκοὺς καὶ ἐρηρεισμένους. τὰ δὲ κάτω διεστῶτα.

Ἀμείψας, ἀνταποδίδους. Ἀμείβω, τὸ ἀλλάττω. ὡς τὸ ἀμείβω τὸ χρῶμα. ἀμείβω καὶ τὸ πορεύομαι, ὡς τὸ ἀμείβω τὴν ὁδόν. καὶ ἀντὶ τοῦ διέρχομαι τὸ πορεύομαι. καὶ ἀμείβω, τὸ ἀνταλλάσσω, ὡς καὶ Ὅμηρος, Πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβεν. ἀμοιβαῖς γὰρ οἱ παλαιοὶ ἐχρῶντο, καὶ οὐ νομίσμασιν. ὡς παρ' Ὁμήρῳ, ἔνθεν ἄρ' οἰνίζοντό φησιν ἀχαιοὶ, ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ, ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτῇσι βόεσσιν, ἄλλοι δ' ἀνδραπόδεσσιν. ὃ καὶ παθητικῶς παρὰ τοῖς ῥήτορσι γράφεται. οἷον ἀμείβεται τὰ ὤνια πρὸς χρυσίον, ἐπὶ παντὸς λαμβανόμενον. ὡς καὶ παρ' Ἰουλιανῷ, Παρ' ἡμῖν δὲ διὰ τῶν ἀρίστων φρονούντων, ἀμειβομένων πρὸς χρυσίον. καὶ ἀμείβομαι, τὸ περιβάλλομαι, ὡς παρ' Εὐριπίδῃ, Ἀμφίβλημα δ' ἱμάτια σκότῳ ἀμείβομαι. Ἀμειδὲς, στυγνὸν, ἀγέλαστον, σκυθρωπὸν, καὶ σκυτασόν. Ἀμειδήτως, σκυθρωπῶς. μειδιᾶν γάρ ἐστι τὸ γελᾶν. Ἀμείδητον, ἀγέλαστον. Ἀμειλεῖς, ἀθλίως. Ἀμείλικτον, πικρὸν, οὐ προσηνῆ, ἄμικτον, ἀπάνθρωπον. Ἀμείνονα, βελτίονα. Ἄμεινον, κάλλιον, βέλτιον, κρεῖσσον. Ἀμεῖναι, πληρωθεῖσαι. Ἀμείρεσθαι, στερεῖσθαι. Ἀμείροντες, στερίσκοντες, ἀφαιρούμενοι.

Ἀμὶς, οὐράνης. Ἀμειφθήσεται, ἀλλαγήσεται. Ἀμείψασθαι, ἀποκρίνασθαι. Ἀμείψειν, ἀλλάξειν. Ἀμείψεσιν, τὸ ἀλλάσσειν τὴν σύνταξιν, ἢ μεταμορφωθῆναι. Ἀμειψίχροα, μεταβάλλοντα. Ἀμειψικοσμία, ἡ μετακόσμησις. Ἀμειψόμεθα, ἀνταποδώσομεν. Ἀμείψομεν, ἀντὶ τοῦ κατάξομεν. Ἀμειψισομεῖν, μεταμορφοῦσθαι. Ἀμέλγω, ἀποσπῶ τὸ γάλα, αἰτιατικῇ. οἷον, ἐγὼ πρῶτος ἀμέλγω τὰς αἶγας. Ἀμέλδω, τὸ στερίσκω. Ὅθεν δὲ ἄμφηλις αὐτὴ ἡ Χαλκίς. Ἀμέλεια, καταφρόνησις. ἀμέλεια, καὶ ἀμελία, ἀμφότερα Ἑλληνικά. καὶ γὰρ διὰ διφθόγγου, καὶ διὰ τοῦ ι γράφεται. Ἀμέλδειν, τήκειν, σφίγειν. Ἀμελῆσαι, ἀφροντιστῆσαι. Ἀμέλει, τοιγαροῦν, τὸ λοιπὸν, ἁπλῶς, καὶ διὰ τοῦ βεβαιωτικῶς. Ἀμελητὶ, χωρὶς βραδυτῆτος, καὶ ἀφροντίστως. καὶ ἀμελητὶ, ταχέως, μελλήσεως χωρίς. Ἀμελοῦς γωνία, χωρίον λιβύης. Ἀμελίου, δίκη ζημίου. Ἀμελῶ, ὀλιγωρῶ, ἀφειδῶ, ἀφροντιστῶ, γενικῇ συντάσσεται. οἷον, οὐκ ἀμελήσειν τούτων τῶν πραγμάτων. Ἀριστοφάνης, Τοῦ συνουλάζων ἀμελήσας. Ἀμεμάχητον, ἀκαταμάχητον. Ἄμεμπτος, καὶ ὁ μὴ μέμψιν δεχόμενος, καὶ ὁ μὴ μεμφόμενος δέ. τῷ δευτέρῳ χρῶνται οἱ ἀττικοὶ, ὥσπερ καὶ ἀσινής, ὁ μὴ βλάπτων κρεῖττον, ὁ μὴ βλαπτόμενος δέ. λιθόνος, ἄθεατος ἱμάτια μοναχῶν. Ἀμέμφως, ἀμέμπτως, ἀφελῶς. Ἀμὲν, τὸ δὲ μὴ εἶπας. ἀλλὰ, ἐπεὶ μὲν,

ἐπὶ

γματα σῖτα, παρὰ τὸ ἅμα ἀολλίζεσθαι χερσὶ τοὺς στάχυας. ἢ παρὰ τὸ ἀμᾶσθαι, ὅθεν φασὶ καὶ ἀμαλλοδέτην, τὸν δραγματοδέτην. καὶ ἀμάλλιον σχοινίον, τὸ καὶ σύνδεσμον, ἐν ᾧ δεσμεύουσι τὰς ἀμάλλας. οἱ δὲ αἰολεῖς καὶ τὸ ἀμᾶν, ἐκ τοῦ ἅμα παράγουσιν. ἵνα δηλοῖ τὸ ἐφ᾽ ἓν πολλὰ ἕλκειν. ἑτέρωθι δὲ φέρεται καὶ ταῦτα. ἀμάλλιον, ὃ νῦν λέγεις σύνδεσμον. οἱ δὲ ὠρίδεσμον τὸν ἐκ τῆς καλάμης πεφυρμένον δεσμόν, ᾧ δεσμεύουσι τὰ δράγματα, καὶ τὴν ἐκ τούτων συγκειμένην ἀμάλλαν. ἀμάλλαι δὲ, αἱ ἐκ τῶν δραγμάτων ἀγκαλίδες. Ἀμαλλός, πέρδιξ. πελληρικαῖοι. Ἀμαλῶς, ῥᾳδίως, εὐκόλως, ἀθρόως, ἁπλῶς. καὶ ἀμαλόν, ἁπαλόν, ἀθρόον. Εὐριπίδης Ἡρακλείδαις δηλοῖ. Ἄμματα, σχοινία. λέγεται δὲ ἐπὶ τῶν σκελῶν τῆς τρίποδος ἀπὸ τοῦ ἐν κονίᾳ παλαιόντων. οἱ φασὶ τέχνῃ ἅμματα ἔπλεκον, δεσμοὺς ἐπὶ δεσμοῖς συνάπτοντες.

Ἀμμαξὸς, ἡ ἀναδενδράς. παρὰ τὸ ἀμμίξαι, ἡ συνδεδεμένη. ἀναδεσμοῦνται γὰρ αἱ ἀναδενδράδες. Ἀμάμυξ, ἄμπελος, ἢ γένος σταφυλῆς. εἴρηται δὲ ἐπὶ χωλοῦ ἰδὼς, δοκεῖ βακτηρίας ὑπὸ τὰς μασχάλας ἐρειδόμενον, καὶ ἐκκρεμάμενον ἔχοντα τὴν πόλιν, ὡς βότρυν. Ἀμᾶν, τὸ θερίζειν, ἀπὸ τοῦ ὁμοῦ σπᾶν. οἷον, ἀμασπᾶν. Ἀμάξην, ἄμαξαν. Ἀμάνδαλον, τὸ ἀφανὲς παρὰ Ἀλκαίῳ. παρὰ τὸ ἀμαλδύνω, ἀμάλδανον, τὸ ἀφανὲς καὶ ἀφανιζόμενον, καὶ καθαιρέσει ἀμάνδαλον. Ἀμάνορες, λοθίευθ. ἔλαιοι. Ἄμαντες, οἱ περὶ Ἐλεφήνορα μετὰ τὴν Τροίας ἅλωσιν, διέβησαν εἰς τὴν Ἤπειρον, καὶ ᾤκησαν παρὰ τὰ Κεραύνια ὄρη. ἐκάλεσαν δὲ Εὔβοιαν. ὅθεν Ἄβαντες ἐκλήθησαν.

Ἀμάντευτος, ὁ μὴ μαντευόμενος, καὶ περὶ οὗ οὐ μαντεύεταί τις. ὥσπερ ἀθέατος, καὶ ἄπυστος. Ἀμαξὶς, εἶδος ὑπερυλακόν.

Ἀμαξάων, ἁμαξῶν. Ἄμαξα, παρὰ τὸ ἄγω, ἄμαξα. ἔστι καὶ Ἄμαξα χωρίον Βιθυνίας. ὁ χωρίτης Ἀμαξάτης. Ἀμαξεία, ὁ τῶν ἁμαξῶν φόρτος. Ἀμαξεὺς, ζευγηλάτης. Ἀμαξιτὸς, ἡ δημοσία ὁδός. Ἀμαξαντεία, δῆμος τῆς Ἱπποθοωντίδος. ὁ φυλέτης, Ἀμαξαντεύς. Ἀμαξίποδες, τῆς περιφερείας τὰ ξύλα, τὰ τοῖς ἄξοσι προσκείμενα, τοῖς στρεφομένοις περὶ αὐτά. Ἀμαξὶς, τὸ μικρὸν ἁμάξιον. ἢ πλακοῦντος εἶδος. καὶ ἀμαξὶς, ἐκ γένους σταφυλῆς ἀπ᾽ ἀναδενδράδος. Ἀμαξιτόν, ὁδὸν δημοσίαν, καὶ ἁμάξαις διαπορευτήν. Ἀμαξιτὸς, ἁμάξαις διοδευτός. καὶ ἀμαξιτὸς, τὸ πολίχνιον τῆς Τρωάδος. ὁ πολίτης, ἀμαξιτηνός.

Ἀμαξουργοί, καὶ ἀγιοπηγοί, εἶδος τεκτόνων, οἱ τὰς ἁμάξας τεκταίνουσι, καὶ πάντων τῶν ἀγρίων ξύλων εἰσὶν ἐργάται.

Ἀμαξουργὸς, ὁ τὰς ἁμάξας κατασκευάζων. Ἀμάρα, ὀχετός. ἡ ὑδρορρόη, παρὰ τὸ ἀμαρεῖν τὸ ὕδωρ. διὰ τὰ φυόμενα πλησίον, οὐκ ἐᾷ μαραίνεσθαι. ἢ διὰ τὸ παρὰ τὰς αἱμασιὰς ῥεῖν.

Ἆμαρ, ἦμαρ, ἡ ἡμέρα. Ἀμάρακος, γένος μύρου. ἀπὸ φυτοῦ ἀμαράκου καλουμένου. Ἄμαρον, αὔλακα. Ἀμαράντινον, ἀειθαλές. καὶ ἀμαράντινον, ἄσηπτον. Ἀμάρακος, εἶδος φυτοῦ, ἀφ᾽ οὗ στέφανοι πλέκονται. Ἀμαραντὸς, πόλις ἐν Πόντῳ. ὡς ἡ Ἡρωδιανός φησιν, ὄρη τῆς Κολχίδος, ἐξ ὧν ὁ Φᾶσις ποταμὸς καταφέρεται. εἰς δὲ Ἀμαράντια ὄρη ἐπὶ Κόλχων, ἱστορεῖ Κτησίας ἐν δευτέρᾳ. ὁ δὲ Φᾶσις φέρεται μὲν ἀπὸ τῶν Ἀρμενίων ὀρῶν. ὥς φησιν Ἐρατοσθένης. ἐκδίδωσι δὲ εἰς Κόλχους, κατὰ θάλασσαν. Ἀμαρυγαί, ἀκτῖνες, λαμπηδόνες, ὄψεις. Ἀμάρασαι, αἱ ὁδοί. οἱ δὲ, κῆποι. Ἀμαργομένου, φθειρομένου, ἀφαιρουμένου. Ἀμαρεῖν, ἀκολουθεῖν, πείθεσθαι, ἁμαρτάνειν. Ἀμάρευμα, ἀθροίσματα βορβόρου. Ἀμαρεύειν, διοδεύειν. Ἀμάρα, ἡ ἐν τοῖς κήποις ὑδρορρόη. παρὰ τὸ ἅμα, ἴσως, καὶ ὁμαλῶς ῥεῖν. ὃ οἷον ἀμαρρέα τις οὖσα. ἢ παρὰ τὸ τῇ ἄμμῳ αἴρεσθαι.

Ἀμάρυσι, πόροις. Ἀμαρία, παρὰ τὸ ἅμα ἄγω. παραγωγῆς τὸ αὐτὸ σημαινόμενον. ἢ ἀμάραι, αἱ ἐν γῇ οὖσαι κοιλότητες.

Ἀμαρὶς, ὑδρορρόης ὀχετός. Ἀμαρτάδας, ἁμαρτίας. ἀπὸ τοῦ ἁμαρτὰς εὐθείας. Ἀμαρτάνειν, δίχα μὲν προθέσεως κατὰ λέγεται καὶ ἀμεταβάτως, καὶ μεταβατικῶς. ἀμεταβάτως μὲν, ὅτε δηλοῖ τὸ πλείω ἁμαρτίαν ἐργάζομαι. ὡς τὸ, ἥμαρτον εἰς τὸν οὐρανόν. μεταβατικῶς δὲ ἀντὶ τοῦ ἀποτυγχάνω, συντασσόμενον γενικῇ. οἷον, ἥμαρτον τοῦ σκοποῦ. καθὸ καὶ ἤμβροτεν ποιητικῶς, ἀντὶ τοῦ ἀπέτυχεν. τὸ κοινῶς λεγόμενον ἀστόχησε. μετὰ δὲ προθέσεως γράφεται ὁμοίως. μετὰ μὲν οὖν τῆς διὰ, δηλοῖ τὸ ἀποτυγχάνω, συντασσόμενον γενικῇ, καθὰ καὶ τὸ ἥμαρτον. οἷον, διήμαρτε τῆς ἀξίας. μετὰ δὲ τῆς ἐκ, τὸ πταίειν. κυρίως ἐπὶ θεοῦ λεγόμενον, ὃ καὶ ἀμετάβατον. οἷον, ἐξήμαρτον εἰς θεόν, ἐξύβρισεν εἰς ἀνθρώπους.

Ἀμαρτάνω, ἀλιτραίνω, ἀλιτῶ, πλημμελῶ. καὶ ἁμαρτάνω, τὸ ἁμαρτίαν ποιῶ, ἢ τὸ πταίω, ἀμεταβάτως. ἁμαρτάνω δὲ, τὸ ἀποτυγχάνω, μεταβατικόν. καὶ συντάσσεται γενικῇ, οἷον ἁμαρτάνω τοῦ σκοποῦ, καὶ τῆς ἀληθείας. ὁμοίως καὶ ἐξαμαρτάνω τοῦ σκοποῦ, διαμαρτάνω τοῦ ὀρθοῦ. ἐν ἥμαρτον, ἀντὶ τοῦ ἀπέτυχον. καὶ ἁμαρτία λέγεται ἡ ἀποτυχία. Ἁμαρτεῖν, γενικῇ καὶ δοτικῇ συντάσσεται. ἀντὶ τοῦ ἀκολουθεῖν, ἀποτυχεῖν. Ἥμαρτον, ἀπέτυχον, ἐψεύσθη. Ἁμαρτῇ, ὃ σημαίνει τὸ ἅμα καὶ ὁμοῦ. Ἀρίσταρχος ἁπλῶς εἶναι βούλεται τὸ ἁμαρτῆδην, ἢ οὐ προσγράφει τὸ ι. ἐλέγχει δέ φησιν αὐτὸν ἡ παράδοσις περισπῶσα αὐτὸ, καὶ σὺν τῷ ι γράφουσα, ὑπὸ χαρακτῆρα τῶν ἐπιρρημάτων. Ἁμαρτῆσαι, στερηθῆναι. Ἁμαρτήσαντες, συντυχόντες, ὁμοῦ γενόμενοι. ἢ ὁμοῦ προϊέμενοι, ὅ ἐστιν ἐκπέμψαντες. Ἁμαρτήσεσθαι, τὸ διὰ ἁμαρτίαν κολασθῆναι. Ἁμαρτοῦν, ὁμοῦ προϊέντα δόρατα. εὐεπίδας σπείρουσι. Ἁμαρτία, ἡ τοῦ καλοῦ ἐκτροπή, εἴτε τὴν κατὰ φύσιν, εἴτε τὴν κατὰ νόμον. Ἁμαρτίνοος, ὁ καθ᾽ ἑαυτῶν ἁμαρτών. Τὰ ἀπὸ περισπωμένων ῥήματος γινόμενα, ἢ διὰ τοῦ ο μικροῦ γίνονται, οἷον, μισῶ μισογύνης, φιλῶ φιλόθεος. ἢ διὰ τοῦ ι. οἷον, ἁμαρτῶ ἁμαρτίνοος, οἰδῶ οἰδίνοος. Ἁμαρτοεπὴς, ὁ ἁμαρτάνων ἐν τῷ λέγειν. ὁ κατὰ ποίημα ἀπιθανώτατα. ὁ κατὰ λέξιν, ἢ τὰ περὶ αὐτήν. Ἁμάρτοις, ἀποτύχοις. Ἁμαρτωλοὶ, οἱ ἑκουσίως ἁμαρτάνοντες. μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας. Ἁμαρτωλὸν, πανοῦργον, μοχθηρὸν, αἱμύλον. Ἁμαρτῇ, ἀκολουθῶν, ἀγχιστής. Ἀμαρυγὰς, τὰς οἷον συνεχεῖς κινήσεις. ἢ ἐπὶ τοῦ πυρὸς λέγεται ἀμαρύσσειν, ἀπὸ τοῦ τὴν φλόγα συνεχῶς αἴσσειν. Ὅμηρος, ἀμαρυγὰς θεῖεν παίδων, τὴν κατὰ πάλλαδον ποδῶν κίνησιν. Ἀμαρυγὴ, ἡ λαμπηδών. Ἀμαρύγκεια, ὄνομα κύριον. Ἀμαρυγκυσία, βοστρυχία. Ἀμάρυγμα ἢ ἀμαρυγὴ, λαμπηδὼν, αἱ τῶν ὀφθαλμῶν ἐκλάμψεις. Ἡσίοδος, Χαρίτων ἀμαρύγματ᾽ ἔχουσα. σημαίνει δὲ καὶ τὰς τοῦ προσώπου ῥυτίδας. αἱ ἐντεῦθεν εἴρηνται ἀπὸ τοῦ ἀμαυροῦ, διὰ τὸ ἀλαμπεῖς εἶναι καὶ ἀμυδραί. ἢ παρὰ τὸ ἀμάραις ἐοικέναι, ἤγουν ὀχετοῖς. ὡς γὰρ ἐκεῖναι τὸ ὕδωρ, οὕτω καὶ αὗται τὴν ἰκμάδα μετάγουσιν ἐπὶ τὰ παρ᾽ ἑκάτερα μέρη τῆς κεφαλῆς. αἱ γὰρ ἐκλάμψεις εἴρηνται, παρὰ τὸ μαίρω τὸ λάμπω, ἐξ οὗ καὶ τὸ μαρμαίρω, καὶ μαρμαρυγὴ. καὶ μάρμαρον, ἀφ᾽ οὗ καὶ Μάρων κύριον ὄνομα. ἐκ τοῦ μαρῶ μέλλοντος, γίνεται μαρύσσω. ἐξ οὗ, καὶ πλεονασμῷ τοῦ α, ἀμαρύσσω, ἀμάρυγμα. ἢ ἀπὸ τοῦ μαρυγμὸς, ἀμαρυγμὸς, καὶ ἀμάρυγμα. Ἀμαρυλλὶς, ἡ ποιμενία. Ἀμαρύζω, καὶ ἀμαρύσσω, τὸ λάμπω. Ἀμαρὶς, ἄπλετος, πολύς. Ἀμαρυσία, ἑορτὴ Ἀθήνησιν. Ἀμαρύσσει, στίλβει, λάμπει. Ἀμαρύσσω, τὸ λάμπω καὶ ἀστράπτω. Ἡσίοδος, ἐκ δ᾽ ὀφρύσι πῦρ ἀμάρυσσε. μαίρω, μαρῶ, ἐξ οὗ μαρύσσω. καὶ πλεονασμῷ τοῦ α, ἀμαρύσσω. Ἀμὰς χεῖρας, ἤγουν ἡμετέρας χεῖρας. Ἄμας, τὰς πυξίδας. ἐργαλεῖά τινα ἐπιτήδεια πρὸς τὸ ἀνορύττειν. Ἀμᾶσθαι, ἐφέλκεσθαι τὴν γῆν.

Ἀμαθύνει, ἀμαθεῖν. ἔστι δὲ ἀμαθεῖν, τὸ θερίζειν. Ἀμασύκαλλα, οἱ σὺν τοῖς σύκοις γινόμενοι ἄπιοι. Ἄμασος, ὁ ἀμάσητος. ὡς ἄκαυσος, ὁ ἄκαυστος. Ἀματίζει, ἀναφυρᾷ. Ἀματὶς, ἅπαξ. Ταραντῖνοι. Ἅμα τίσι, σὺν τίσι. Ἄμοτον, ἀντὶ τοῦ ἀμέτρως, ἢ ἀκορέστως. Ἀμάτορος, ματέρα μὴ ἐχούσας.

Ἀματροχίαι,

τα φυτ. ἔγγιον ἐν τῷ αὐτῷ τόπῳ. καὶ ὁμοῦ ἴσχων ἐκεῖνος ἵππους, ἐγγὺς ἐν τῷ αὐτῷ τόπῳ. ἰστέον ὅτι δὲ τὸ ὁμοῦ, καὶ ἐπὶ χρονικοῦ φασὶν ἐπιῤῥήματος τίθεται, ὡς τὸ, εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς· καθά φασιν Ἀσκληπιάδης, εἰ μὴ ἄρα κἀκεῖ εἴπῃ καὶ ἐνταῦθα τὸ ὁμοῦ, ἀντὶ τοῦ ἐν τῷ αὐτῷ τόπῳ, ἐγγὺς ἐν τῇ Τροίᾳ. ὁ Ναύκρατος δὲ εἰπών, καὶ αὐτὸς τὸ μὲν ἅμα χρονικόν. τὸ δὲ ὁμοῦ καὶ χρονικὸν καὶ τοπικόν, πλατύνουσι καὶ ὁ ἀμάμηλις σύνθετον, ὃ ἅμα μῆλα ἀνθοῦν. καὶ μῆλον ἀμάσυκον, τὸ ἅμα σύκῳ ἀνθοῦν. ἕτεροι δὲ φασὶν ἀμάμηλιν ἢ ἀππίος, παρὰ Ἀττικοῖς λέγεσθαι. καὶ ἀμαδρυάδας φασὶ νύμφας, αἳ ἅμα δρυσὶ γίνονται, καὶ ἀπογίνονται. καὶ ἅμα, κατὰ χρονικὴν ἔννοιαν γένεσιν λέγεται. οἷον, ἅμα ψυχὴ καὶ σῶμα. καὶ κατὰ τὸ ἀντιστρέφον, οἷον ἅμα ἥμισυ καὶ διπλάσιον, καὶ ἅμα διπλάσιον καὶ ἥμισυ, καὶ κατὰ τὸ διῃρημένον ἐκ τοῦ αὐτοῦ γένους. ἅμα ἐκ τοῦ γένους, τὸ λογικὸν καὶ ἄλογον. ἅμα, καὶ ὁμοῦ τοῖς ἄλλοις, ἐπιῤῥήματα ἀθροιστικά, δοτικῇ συντάσσονται, οἷον ἐγὼ ἅμα τῷ Ὀρέστῃ ἐπιος. Ἄλλως. Ἅμα. Δημοσθένης ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξε. παρὰ τὸ δαμά. καὶ ἀποβολῇ τοῦ δ ἅμα. τὸ δὲ πυκνῶς γινόμενον, κατὰ τὸν αὐτὸν ἐντελῆ χρόνον. τὸ δὲ θαμά, ἐκ τοῦ θαμός. ἐξ οὗ τὸ θαμειός, ὡς ἀδελφὸς ἀδελφειός. τὸ θηλυκόν, θαμειά. τοῦ οὐδετέρου ἡ εὐθεῖα τῶν πληθυντικῶν, θαμά. καὶ τὸ ἐπίῤῥημα, θαμά. οὐκ ἀπὸ τοῦ θαμὸς θαμειός. ἀφ' οὗ τὸ, θαμειαὶ δὲ ἄκοντες. Ἀμάδιος, ἀμάδαρ τὴν ναῦν Αἰσχύλος ἐπιῤῥηματικῶς, ἅμα τῷ προσπλεῖν. ἀπὸ τοῦ ἅμα ἀμάδιος παράγωγον, ἐκ τοῦ διος. καὶ πλοῦς ὁ τοιοῦτος χαριτάρ. Ἀμάδοκος, ὁ Θρᾴκης Φιλιππικῷ. δύο γεγόνασιν οὗτοι, πατὴρ καὶ υἱός, ὃς καὶ Φιλίππῳ συμμαχέσειν, ἦλθεν ὡς τὸν Κερσοβλέπτου πόλεμον. ἀμφοτέρων μέμνηται Θεόπομπος, ἐν πρώτῳ τῶν Φιλιππικῶν. Ἀμαδρυάδας, νύμφας Μνησίμαχός φησι, διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι. ἢ ἐπεὶ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι, νύμφαι ἀμαδρυάδες λέγονται. Ἀμάδρυα, κοκκύμηλα. σιπόντιοι. Ἀμαξεύσιμον, ἅμαξα. Ἀμαξοπάρας, τὸ πολὺ μέν, πέρσαι. Ἀμαξαπίδες, αἱ μηλέαι. Ἀμαζόνες, καλοῦνται οὕτω, ἢ παρὰ τὸ στερεῖν τὸν ἕτερον τῶν μαζῶν, οἱονεὶ μονόμαζοι, ὡς ἂν μὴ ἐμποδίζοιτο ἐν τῷ τοξεύειν, εἴτε παρὰ τῷ ὤμῳ ἐπὶ τῶν τρεφόντων. πάνυ μὲν μαζῷ πάλλουσι, τόξα δὲ οἴδασι. ἢ παρὰ τὸ τὰ πολλὰ μὴ χρῆσθαι μάζαις, κρέασι δέ, καί τε χελώναις, ὡς αἱ ἱστορίαι φασί, καὶ σαύραις καὶ ὄφεσιν. διὸ τὸ ᾱ σημαίνει στέρησιν, δῆλον ἐκ τοῦ ἁπλοῦ. ὅπερ ἐστὶ μόνον πόλον, ὥσπερ ἔμπολος, οἷον ἄπιλον, ἤγουν ἐν πόλον. Ἀμαζόνες δὲ Ἄρεως μυθεύονται ἀπόγονοι εἶναι, καὶ Ἁρμονίας νύμφης ναΐδος. ἐλέγοντο δέ, καὶ ἐπὶ σκυθῶν ἵππων ὀχούμεναι, ἄλλους τε τόπους καταδραμεῖν, καὶ τὴν Φρυγίαν, ὑπομένουσαι ταῖς τῆς στρατηγίας Μελανίππης καὶ ἑτέρων ἄλλων. ἐπιφανεῖς δὲ ἱστοροῦνται Ἀμαζόνες ἄλλαι τε, καὶ Ἱππολύτη ἡ Θησέως ὕστερον γυνή. Ἀντιόπη, Ξάνθη, Ἀνδρομάχη, Δηΐνη, Πενθεσίλεια. διὰ δὲ τὴν δεξιὰν μαζὸν ἐκ νηπίων πάσας Ἀμαζόνας ἐπικαίειν, διὸ καὶ Ἀμαζόνες ἐλέγοντο, καὶ ἡ τοῦ Γεωγράφου ἱστορία δηλοῖ.

Ἀμαζών, μία τῶν Ἀμαζόνων. Ἰουστῖνος ἐν τῷ πρὸς Διοκλέα, περὶ τῆς ἀθανασίας αὐτοῦ ἀφροδισίοις ἱστορεῖ. Ἀμάν, Ἑβραϊστὶ σημαίνει τὸ Βαάλ. στασί δὲ καὶ ἑλληνιστί, σύγχυσιν. Ἀμαθαίνει, ἀγνοεῖ ἐστιν. Ἀμαθαίνω, ἀγροικίζομαι. ὅθεν ἀμαθής, καὶ ἀμαθία.

Ἀμαθεῖ, ἀδιδάκτως. Ἀμαθέστερος, καὶ ἀμαθής, ἀντὶ τοῦ ἀπαίδευτος, ἀκόσμητος. οὕτω Πλάτων. τάσσεται δὲ ἐπὶ τοῦ δυσμαθοῦς, καὶ ἐπὶ τοῦ μὴ μαθόντος. φέρει δὲ ἐπισημασίαν. Ἀμαθής, ἀδίδακτος, ἰδιώτης. ὁ δὲ ἄπειρος ταῦτα, καὶ μὴ ὢν ἀμαθὴς οἴκοθεν, ἣν παιδεία ἐπηνώρθωσεν ὡς τρέφει ὡς γνήσιον. ὁ δὲ ἰδιώτης, ἀμαθὴς ὢν γραμμάτων ἁπάντων, καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος. καὶ ἀναιδής, σκαιός, καὶ βίαιος. Ἀμαθία, ἀντὶ τοῦ ἀπαιδευσία, παρὰ Πλάτωνι. Ἀμάθιοι, τὸ πεδίον κοινός. Ἄμαθος, ὁ ψαμμώδης ἄμμος. ἀπὸ τοῦ ψάμαθος, ἀποβολῇ τοῦ ψ, ἢ ἄμαθος ἐστίν, παρὰ τὸ ἅμα θεῖν ἐπικινούμενος. ψάμμος δὲ λέγεται, ὁ περὶ θάλασσαν. Ἀμαθύνω, ἀφανίζω. Ἀμαθύνει, ἀντὶ τοῦ ἀπλώνει, ὡς εἰς ἄμαθον. καὶ ὡς οἱ παλαιοί φασιν, εἰς κόνιν παλάσσομεν. ἢ ἀμαθύνει παρὰ τὴν ἄμαθον, ὅ ἐστι κόνις. καὶ ἀμαθύνω, τὸ ἀφανίζω καὶ φθείρω. Ἀμαία, ἡ Δημήτηρ. ἀχαΐα δὲ ἡ κόρη. Ἀμαιμακέτην χίμαιραν, ἥτις ἄγαν μαιμῶσα, ἢ πεπαιμένην. ἐκ τοῦ ᾱ ἐπιτατικοῦ μορίου, καὶ τοῦ μάκος Δωρικῶς, ὃ δηλοῖ τὸ μῆκος, τῆς μα συλλαβῆς ἀναδιπλασιασθείσης. καὶ πλεονασμῷ τοῦ ῑ. καθ' ὁμοιότητα τοῦ παιπάλης, καὶ τοῦ παιφάσσω, καὶ τῶν ὁμοίων. καὶ ἀμαιμάκετος ἰσός, ὁ πάνυ μέγας, καὶ ὡς εἰπεῖν ἀμάκετος. ἥτις ἄγαν μακρός, τῆς μαι συλλαβῆς ἐξ ἀναδιπλασιασμοῦ μὲν οὔσης, ἐκτασθείσης δὲ κατὰ τὴν τοῦ διχρόνου ἐπένθεσιν. καὶ ἀμαιμάκετος, ἀκαταγώνιστος. κατὰ δὲ ἄλλους, ἀμαιμακέτην τὴν φοβεράν. παρὰ τὸ μαιμάω, μαιμάκετον. ἐξ οὗ τὸ θηλυκὸν ἀμαιμακέτην. οἷον πρῶτον μὲν χίμαιραν ἀμαιμακέτην. ἢ παρὰ τὴν μάχην, ἀμαιμάχετος καὶ ἀμαιμάκετος. Ἀμάκιον, ἄβαξ. λάχανον. Ἄμακις, ἅπαξ. Ἰωνικόν. Ἀμακαλίδας, εἶδός ἐστι μεσπίλου ἐν Ἰταλίᾳ γινόμενον, παρὰ Ἱπποκράτει. Ἀμαλὰν τὴν ναῦν, ἀπὸ τοῦ ἀμᾶν τὴν ἅλα. Αἰσχύλος, πρωτεῖ σατυρικῷ.

Ἀμαλδῦναι, τὸ διὰ τοῦ πυρὸς ἀφανίσαι. ἀπὸ τοῦ μαίρω τὸ λάμπω. ὁ μέλλων, μαρῶ. ἀφ' οὗ τὸ μαραίνω, καὶ προσθέσει τοῦ ᾱ, ἀμαρῶ. καὶ τροπῇ τοῦ ρ̄ εἰς λ̄, ἀμαλῶ. καὶ κατὰ παραγωγήν, ἀμαλύνω. καὶ πλεονασμῷ τοῦ δ̄, ἀμαλδύνω. ὃ τὸ ἁπλῶς ἀφανίσαι. ἢ τὸ ὁμαλίσαι παρὰ τὴν ἄμμον. οἷον, ἄμμος ὁμμῶ, ὡς δοῦλος δουλῶ. οὕτως Ὠρίων. Ἀμαλδύνειν, λέξις μέν ἐστι ποιητική. πεζῷ δὲ λόγῳ Λύκουργος. γίνεται δὲ ἀπὸ τοῦ ἀμαλόν, ὃ δηλοῖ τὸ ἁπαλόν. πλεονασμῷ τοῦ δ. ὅθεν καὶ ἀμαλάπτειν, παρὰ Σοφοκλεῖ, τὸ διὰ τὸ ἁπαλὸν καὶ εὔφθαρτον ἀφανίζειν. ὡς δηλοῖ τὸ, ἠμάλαψε Κάρχαρος κύων. ἐντεῦθεν δὲ καὶ ἐν Ὀδυσσείᾳ τὸ, ἄρς ἀμαλῇσιν ἐν σιπαλοιφῇ. ἤγουν, τῆς ἀμαλῆς, ὅτι ἁπαλῆς ἀρνός. ἐνίας δὲ καὶ ἔργα φασὶ μαλλῶν ἐντελῶς ἐν διασυλλαβίᾳ. ὅθεν καὶ παρὰ Θεοκρίτῳ μαλοκάρυος. καὶ μαλθακόν, τὸ εὔφθαρτον, διὰ ἁπαλότητα. ἢ τὸ μαραντικὸν τῶν ἁπαλῶν σωμάτων. ἢ τὸ σκληρὸν κατὰ ἀντίφρασιν. τὸ δὲ διεῦρον διασυλλαβὸν μαλόν, πλεονασμῷ τοῦ ᾱ γίνεται καὶ αὐτό, ἀμαλόν. ἐξ οὗ, τὸ ἀμαλδύνειν παράγεται. Ἀμαλδύνομεν, ἀφανίζομεν, μαραίνομεν. Ἀμαλακίδαλος, ὁ θόρυβος. Ἀμαλῶν λέγει Ὅμηρος, ἢ τῶν ἁπαλῶν, ἢ τῶν μαλακῶν, τριχῶν, κατὰ τοὺς παλαιούς. ὧν ἔνιοι καὶ μαλῶν διασυλλάβως γράφουσι. τὸ μαλὸν δὲ καὶ τὸ ἀμαλὸν τί σημαίνει, ἐξ ὧν καὶ τὸ ἀμαλδύνειν πλεονασμῷ τοῦ δ̄, ἡ Ἰλιὰς δηλοῖ. Ἀμαλή, ἁπαλή, νέα, εἰ ἐξ ἔσω. ἢ δράγματα παροξυνόμενον. Ἀμάλθακτος, ἀνένδοτος. Ἀμαλθάκτους, σιδηροῦς, σκληρούς, ἀμαλάκτους.

Ἀμάλθεια. ἡ τροφὸς τοῦ Διός. εἶναι γὰρ αὐτήν φασιν ἀμαλακισίαν. ὅθεν καὶ πεπλάσθαι τὸ ὄνομα, παρὰ τὸ μὴ μαλάσσεσθαι. διὰ τοῦτο καὶ τὸν Ἡρακλέα καρτερικώτατον γενόμενον, ἔχειν αὐτῆς τὸ κέρας ἐμυθολόγησαν. Ἀμαλθείας κέρας, διὰ τὸ πάντων ἐπιτυγχάνειν. ἐπειδὴ οἱ εὐχόμενοι τῇ οὐρανίᾳ αἰγί, ἐπιτυγχάνουσιν. ἢ ὅτι Ἑρμῆς Ἡρακλεῖ ἔδωκε τὸ κέρας, ὅταν τὰς Γηρυόνου βοῦς ἔμελλεν ἐλαύνειν. Ἀμαλθεύει, πληθύνει, πλουτίζει, ἢ τρέφει. Ἀμαλακίζειν, τὸ μὴ ῥιγοῦν. Ἀμάλλα, ὁ δέσμος τῶν σταχύων. ἢ ἀμάλλαι, τὰ δράγματα τοῦ σίτου, παρὰ τὸ ἀμᾶσθαι. ἢ παρὰ τὸ ἅμα ἀθροίζεσθαι ταῖς χερσί, τὴν τοῦ σίτου μετὰ τῶν ἀσταχύων καλάμην. Ἀμαλλεῖον, δραγμεῖον. καὶ ἀμαλλίον χοινίον, ἐν ᾧ δεσμεύουσι τὰς ἀμάλλας. Ἀμαλλοῖ, ἀφανίζει. Ἄμαλλοι, φυτὰ σικύων, ἢ τῶν ὁμοίων.

Ἀμαλλόν, ἰσχυρόν. Ἀμαλλοδετῆρες παρ' Ὁμήρῳ, οἱ τὰς ἀμάλλας δεσμοῦντες. ἀμάλλη τὸ ἐν ἀγκάλαις συμπίεσμα τῶν δραγμάτων, ὅπερ οἱ δραγματεύοντες παῖδες παρεκόμιζον. ἀπὸ ταύτης τῆς ἀμάλλης, καὶ Δημήτηρ ἀμαλλοφόρος, ἣ ἰουλὼ ἐκαλεῖτο. ἀμάλλαι δὲ κατὰ τοὺς παλαιούς, δρά-

σά ἐστιν, ὡς εἰκὸς, ἐξαίρετον. ἦν ἀχίλλεια ἔλεγον τὰ ἄλφιτα, ὧν μνημονεύειν καὶ τὸν κωμικὸν ἐν ἱππεῦσι φασὶ τινές. Ἀλφιταμοιβὸς, παρὰ Ἀριστοφάνει ἐν ἀφίλαις, ὁ τὸ ἀλφιτάμα. εὗ παρακείμενον Αἰσχίνου. καὶ ἀλφιτόπωλις, ἡ τὰ ἄλφιτα πωλοῦσα. Ἀλφιτεῖς, οἱ τὰ ἄλφιτα πιπράσκοντες. οὕτως Ἀριστοφάνης. Ἀλφιτόμαντις, ἡ ἀλφίτοις μαντευομένη. Ἀλφιτοπωλεῖον, ἐν ᾧ τὰ ἄλφιτα ἐπωλεῖτο. Ἀλφοι, εὗροι παρ' Ὁμήρῳ. οἷον, τὸ μὲν μυρίον ὤνον ἄλφοι, ὃ ἐστιν εὗρήσει. ἀφ' οὗ ἡ ἀλφεσίβοια, ὁ βόας ἄλφων. λόγῳ ποιητικὸς, διὰ κάλλος. ἐν οἷς ἴδιον, ὅτι τὸ μὲν ἄλφοι, κατὰ τὸ ἐλλειπτικὸν, ἔλλειπον εὑρήκασιν ἐπιτυχὸν, ἐχαίσματος ἐχαισμὸν γίνεται, ἀπὸ τοῦ ἀλφῶ ἀλφήσω, ἀφ' οὗ ἀλφηστής. Ἀλφὸς, πάθος τι. παρὰ τὸ συλλάσσειν τὴν χροιὰν, ἀλλόφως τις ὤν. ὁ ἀλλοιοφανὴς, τὸ χρῶμα ποιῶν. Ἀλφοὺς, λευκοὺς, ἢ λευκάς. Ἀλφὸς, παρὰ τὸ ἀλλοφανής τις εἶναι. σημαίνει δὲ τὴν λεπίδα. Ἀλχαρὰς ὕπνος. ἀκηλής, οὐκ ἔχων χαράν.

Ἀκαμάδος, ἢ ἄκων. παρὰ τὸ αἰκάλλειν ἐκ Δίας διαιτᾶν. Μεθόδιος. Ἀκαμπὴς, σκληρός. Ἀκαμπος, ἀκατάκλαστος, ἀκαμπής. Ἀκαμπίσιον, ὁ εὐθύδρομος. Ἀκάμπτος δρόμος, ὁ μακρὸς, καὶ διὰ εὐθείας περιπάτου. παρὰ τὸ κάμπτειν μὴ ἔχειν. Ἀκάμπτον πῦρ λέγεται, οὐ τὸ ἀπόλλυον ἀναπομένον, ἀλλὰ τὸ τῇ αἰτίᾳ φύσει τοιοῦτον. ὑπὸ γὰρ καὶ κάμνει τῇ σβέσει, οἷα τὸ πῦρ ἀκάματον, ἀκάμα ὂν ἐστιν. Ἀκόμαστρον, ἀκαπίασον. παρὰ τὸ κάμνω. ἐστὶ δὲ καὶ ἀκάμαντον παρὰ τὸ κάμω κάματος, καὶ ἀκάματος. Ἀκάμαντα, ἀντὶ τοῦ ἀκαμάτας. καὶ ἀδιαλείπτως, ἢ οὐ κεκμηκότως. Ἀκανθος, ἄχαρις. καρδίας δὲ, χόρις δέρ.

Ἀκανθα, τὸ φυτὸν, καὶ ἡ ῥάχις τοῦ κήτους. Τὸ δὲ θηρίον ἑρμῇ βιαίῳ προσπεσὸν, διακόψῃ τῇ ἀκάνθῃ τοῖς λισμοῖς. καὶ ἐπὶ τῶν ἀρχόντων καὶ ἀμαθέσιν παροιμία, ἀκάνθιος τέττιξ. καὶ ἄκανθα, ἡ ἁμαρτία. ὅθεν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν. ὡς ἄμυσον βλέμμα, καὶ ὡς κέντρον πικρὸν. καὶ ἄκανθα λευκὴ, ἡ μελαμφυλλος. Ἀκανθὶς, ἡ ἀκανθυλλὶς, στρουθίον ἐν ταῖς ἀκάνθαις καθήμενον. καὶ ἀκάνθιος, εἶδος τέττιγος. οἱ δὲ τὸν ἄφωνον. Ἀκανθὸς, κάνθαρος εἶδος. ἐστὶ δὲ καὶ ἡ ῥάχις τοῦ σφονδύλου τοῦ ἰχθύος. Εὐφορβίας τῷ ὕδατι, ἀκανθαίνει. Ἀκάνθεια, ἀκανθαί, ἐβολαί.

Ἀκανθὶς, ἀκανθυλλὶς. Ἀκάνθινον, ζάμιον καὶ ἰχθύς.

Ἀκανθίας, οὐκ εἶδος τέττιγος. ὅτι ἐπὶ τὴν τέττιγος. ἀπὸ τοῦ ἤχους ἐν ἀκάνθαις. ὥσπερ καὶ ὁ τέττιξ, οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον ἀπὸ τοῦ ἤχου. Ἀκάνιον, ἀκάνθιον. Ἄκανθον, ἄτοκτον. Ἀκανθοτὸς, ὁ ἐχῖνος. Ἄκανος, περίτεμμα ὑφασμένον, καὶ ξύλον, φυτὸν, καὶ ἀκάνθιον. Ἀκαπνόλαλον, ἄλαλον, καθαρὸν, ἀρχαιολόγητον, ἀνόθευτον. Ἀκαρὰ, τὰ σκέλη. κρέα. καὶ ἀκάρηαν, τῶν ἀκαρῶν. Ἀκαρῆ, ἐν βραχεῖ, ταχέως.

Ἀκαρίδιον, ὁ βραχύτατος. καὶ ἀκαριαῖος ὁ ἀνθρώπινος βίος, καὶ μὴ ὀλίγον πάντες ἐγεννήθημεν. Ἀκαρῆ, γίνεται παρὰ τὸ ἀμέρος τοῦ χρόνου. ὡς καὶ τὸ κείρομαι τρίχας. ἀκαρὴς ὁ ἄτομος. ἄλλως. διὰ τοῦ ἐλαχίστου οὐχ οἷόν τε ἀποκεῖραι, διὰ τὸ βραχύτατον τοῦ χρόνου. γίνεται δὲ ἀπὸ τοῦ μικρῶν τριχῶν τὸ διὰ βραχύτητα μὴ δυναμένων κείρεσθαι. ἄλλως. ἐπίρρημα τὸ ἀκαρῶς, ἀφ' οὗ τὸ ἀκαρὴς ἐπιρρηματικὸν ὄνομα. Ἀκαρῆ, ἐπίρρημα, ἀντὶ τοῦ βραχὺ, καὶ ὀλίγον, καὶ τοῦ ἐρίου. ἀπὸ μεταφορᾶς τῶν τὰ ὦτα ἀλγούντων, καὶ διὰ ἐρίου ἐπιπασσομένων ἔλαιον καταστάζει. ἐκ γὰρ τοῦ τριβώνου φερόμενοι, καὶ εἰς καταστάσιν ἱματίου ἐλαχίστου ὀλίγον διὰ πολλοῦ χρόνου μόλις συνάγουσι τῶν πλόκων κομῶν τοῦ ἱματίου. ὥσπερ ἄλλο γὰρ ἀκαρῆ, ἀπὸ τοῦ σφαῖρα ἀθροιζόντων. οἱ τῆς κατὰ μικρὸν βουλόμενοι βάλλειν, ἔριον ἐπισάσσειν. Ἀριστοφάνης. Ἀκαρεῖον, τὰ μὴ δυνάμενον καρῆναι. ἢ τὸ εἶδος

 ἀίσθα-

θυον, παρὰ τὸ αἴθειν ῥῆμα. καὶ αἰτωλοὶ τὸ ἔθνος, ἀπὸ αἰτωλοῦ καλοῦνται ἥρωος ἐνδυμίωνος. ὃς ἐκ πισσῶν πίσης τὸς ἐν πελοποννήσῳ ὑπὸ σαλμωνέως, συνῴκισε τὴν ἀπ᾽ αὐτοῦ κληθεῖσαν αἰτωλίαν. πρότερον δέ φασιν, κουρῆτις ἐκαλοῦντο. ἦν δέ φασι καὶ πελοποννήσου πόλις αἰτωλία. ὀξύνεται δὲ τὸ αἰτωλός, ὡς τὸ παιπαλός καὶ ἁμαρτωλός, καὶ ὅλως τὰ ἔχοντα τὸ τ πρὸ τοῦ ω ἀρσενικά. διὸ τὸ μαυσωλός προπαροξύνεται, ὡς μὴ ἔχον τὸ τ. ἱστορεῖται δὲ, ὅτι εὐδοκίμουν οἱ αἰτωλοὶ περὶ σφενδόνην μακροβολωτέραν διὰ τὸ ἔργον χάριν εἰπεῖν οὕτως, ἐκ τόξου ἐκβολίας. τὸ αἰτωλός ὄνομα, ἐχρησίμευσε τῇ κωμῳδικῇ παροιμίᾳ τῇ λεγούσῃ. τὼ μὲν χέρ᾽ ἐν αἰτωλοῖς, ὁ δὲ νοῦς ἐν κλωπιδῶν. ἤγουν ὀλίγα, καὶ δωροδοκεῖται καὶ ῥᾳδιουργεῖ, ταῖν χεροῖν μὲν αἰτῶν, τῷ νῷ δὲ κλέπτων. Αἰτῶν, ὡς ἀεὶ ἔχων. καὶ αἰτῶν, ζητῶν, παρακαλῶν.

Αἴφνης, ἐξαίφνης. Αἰφνίδιον, τὸ ἐξαίφνης, παρὰ τὸ ἀφανὲς ἀφανίδιον, καὶ ἐν συγκοπῇ, αἰφνίδιον. Αἰχάσεται γυναῖ, διὰ ἀφελῶς καὶ φανερῶς χαρίζεσθαι. ἢ ὅτι οἱ ἀχάσασι, τὸν ἑαυτῶν κόσμον περιέρχονται. Αἰχθῆναι, ὁρμηθῆναι. Αἰχθέντα, ὁρμηθέντα. δωρικῶς. Αἰχμαί, πόλεμοι. Αἰχμάζω, τὸ ἀκοντίζω, καὶ τὸ ὁπλίζω. αἰχμητής, ὁ τῇ αἰχμῇ χρώμενος. Αἰχμάσσουσι, δορατομαχήσουσιν. Αἰχμαλωτεύσας, προνομεύσας. Αἰχμάλωτον ποιῶ, καὶ αἰχμάλωτος γίνομαι. αἰχμαλωτίζω δὲ, καὶ αἰχμαλωτίζομαι, καὶ πάντες οἱ ἀπὸ τούτων χρόνοι παρὰ τοῖς ἀττικοῖς ἀδόκιμοι. Αἰχμαλωτίζοντος, ἀντὶ τοῦ αἰχμαλώτους ἐκ τῆς τοῦ πονηροῦ τυραννίδος λαμβάνοντος, ἀπὸ δουλείας εἰς ἐλευθερίαν. ὡς ὁ ἀπόστολος, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ. Αἰχμάλωτος, ὁ αἰχμῇ ληφθείς, ἢ ὁ ἐκ πολέμου λαμβανόμενος. γίνεται παρὰ τὴν αἰχμὴν τὸ ξίφος, καὶ τὸ ἁλῶναι, ὃ σημαίνει τὸ πορθῆσαι. οὕτω μεθόδιος. ὃς καὶ αἰχμάλωτος λέγεται. Σοφοκλῆς αἰχμαλωτίσιν. Αἰχμάς, αἰχμάσσουσι. πόρθοι ἀττικοί. ὡς τὸ δαίνυ δαῖτας καὶ ἱδρῶθ᾽, ὃν ἵδρωσα. καὶ ἁπλῶς ἡ πολλαχοῦ συγκαμένη θέσις τῶν ῥημάτων, καὶ τῶν ἐντεῦθεν γενομένων ὀνομάτων. ἴσως δὲ καὶ ἡ παράχρησις τοῦτο δεῖ καθὰ καὶ τὸ γέρας γερόντων. αὐτὸ δὲ καὶ εἰς ἐτυμολογίας ἐμπίπτει χῦμα. παρὰ τὸ γέρας τῆς, οἱ γέροντες.

Αἰχμαῖος, ἀκοντιστὴς, πολεμικός. Αἰχμὴ κυρίως, μέρος ἔγχους τὸ πλατύτερον. δῆλον δὲ ὅτι ταυτόν ἐστι ἔγχος αἰχμή, καὶ δουρὸς ἀκωκή. αἰχμὴ δὲ παρὰ τὸ αἷμα χέειν τῇ ὀξύτητι. ὅθεν ἡ τριγωνία, κλαμίσβασα αἰχμὴν βέλους εἶναι, τὴν ὀξύτητα τοῦ σιδήρου, δι᾽ οὗ οἱ λίθοι τετρῆσθαι. κυρίως δὲ ἡ ἐπιδορατίς, ἤγουν τὸ ξίφος τοῦ δόρατος, παρὰ τὸ αἷμα χέειν, μετατεθέντος τοῦ χ. ἀπὸ δὲ τούτου ὡς χρησιμωτάτου μέρους, καὶ ἅπαν τὸ δόρυ αἰχμὴ συνήθως καλεῖται. ὡς δηλοῖ τὸ, ἀγνάμφθη δὲ οἱ αἰχμὴ ἀσπίδι ἐν κρατερῇ. Αἰχμηταὶ ἁπλῶς, οἱ πολεμισταί. καὶ καλοῦνται οὕτως ἀπὸ ἑνὸς μέρους τῶν ὅπλων. ἤτοι τῆς αἰχμῆς, ὥσπερ ἀπὸ τῶν κνημίδων, ἐϋκνήμιδες, οἱ καθόλου εἰπεῖν εὔοπλοι. καὶ ἀπὸ θώρακος θωρηκταί, καὶ ἀπὸ ἀσπίδων ἀσπιδιῶται, καὶ ἀσπισταί. καὶ ἀπὸ κόρυθος, ἤγουν περικεφαλαίας, κορυθαίολος, καὶ κορυθαίολοι. κορυσταί προστεθέντων καὶ τῶν ἵππων, ἱπποκορυσταὶ δορυκλυτοί. ὁπλῖται μέντοι μεθ᾽ Ὅμηρον, ἀπὸ γενικοῦ ὀνόματος τῶν ὅπλων ἐκλήθησαν. ὅθεν καὶ ὁπλότεροι οἱ νέοι, καὶ ὑπέροπλοι οἱ αὐθάδεις. Αἰχμητής, ὁ πολεμικός. ἀπὸ τοῦ αἰχμάζω, ὁ μέλλων αἰχμάσω. αἰχματὴς, καὶ τροπῇ τοῦ α εἰς η, αἰχμητής. εἰ γὰρ ἦν παρώνυμον ἀπὸ τοῦ αἰχμή, ὤφειλε βαρύνεσθαι. ὥσπερ ὑπήνη ὑπηνήτης, καὶ κορώνη καὶ κορωνίτης. Κανών. Τὰ γὰρ ἀπὸ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα ὑπὲρ δύο συλλαβὰς, ὀξύνεται. οἷον, ἐρασής, θεατής, λωβητής, δαπανητής. τὸ δὲ πολίτης καὶ κωμήτης, καὶ ὁπλίτης, οὐ παρὰ ῥῆμα, ἀλλὰ παρὰ τὸ πόλις, καὶ κώμη, καὶ ὅπλα. τὰ δὲ δισύλλαβα βαρύτονα ὀνόματα, δῆλον ὅτι ἀπὸ περισπωμένου τῆς δευτέρας συζυγίας ἐγένετο, καὶ βαρύνονται. οἷον, κτῶ, κτήτης, φιλοκτήτης. βῶ, βώτης, δωδώτης. ἐλῶ, ἐλάτης. πτῶ, πτήτης. ὁ εὐθεῖα τῶν πληθυντικῶν, οἱ αἰχμηταί. ἡ γενικὴ, τῶν αἰχμητῶν, καὶ δωρικῶς αἰχμητάων. Κανών. Τὰς γὰρ εἰς ων γενικὰς, τὰς ἀπὸ τῶν εἰς αι εὐθειῶν γενομένας, διὰ τοῦ αων προφέρουσιν αἰολεῖς. οἷον μέλισσαι μελισσάων, μέλαιναι μελαινάων. οἱ δὲ δωριεῖς, διὰ τοῦ ᾶν, πύλαι, πυλᾶν. ὡς τὸ, ὣς εἰπὼν, πυλέων ἐξέσσυτο. Αἴχμιον, τὸ δόρυ. Αἶψα, θᾶττον, δέχεο ἐρμίνασα κεθινὰς ὑποπόδιος, αἶψα τάδ᾽ εἰ κλυτὰ δῶρα διανίδλιο. καὶ αἶψα, ἀντὶ τοῦ ταχέως, εὐθέως ὠκέως. καὶ αἰψάκιν, εὐθέως ἄν. καὶ αἶψα λίθοισιν, εὐθὺς καταλίθωσιν.

Αἶψια, τὰ μέλη. οἱ δὲ, ἄψεα. Αἰψηρὰ, ταχέα, κοῦφα. Αἰψηρός, ὁ ταχύς, ἀπὸ τοῦ ψαίρειν, ὃ σημαίνει τὸ ταχύνειν. Αἰψηρὸς, ἀντὶ τοῦ λαιψηροί. ἴωνες καὶ αἰολεῖς εἰώθασιν αἴρειν τὰ πρῶτα σύμφωνα τῶν λέξεων, ἄν τε ἓν ᾖ, οἷον λαιψηροὶ, αἰψηρός. ἄν τε δύο, οἷον τὸ παρὰ πλευρὰν ἐκάστου πλήσσειν, εἶπεν ἐν ποιήμασιν Ὅμηρος, εὐρὰξ, ἀντὶ τοῦ πλευρὰξ. οὕτω καὶ πλάτη, καὶ πλευσῆσθαι, ἀπολειπόντων κατάρχεται δύο συμφώνων ἄλλη γίνεται. καὶ ἀλῆσθαι, ἐπιλείπουσι τοῦ τ εἰς ξ ὑπαλείπουσι δωριεῖς. ἐν γὰρ φίλτατος φίλτατος, ἦλθεν ἔνθεν, φίλας φίλας, ἔλθε ἐνθ. καὶ δωρικῶς γίνεται, ἔλθε κείνη παρὰ ἀλκμᾶνι. Αἰδλῆς, κατοικητικὸς νόμος, οὕτω καλούμενος. Αἰδέσιμα, τὰ ἀπὸ φύλου, εὐάσιμα.

Αἴω, παρατατικός, ἄϊον. τινὰ εἰσὶ ῥήματα τὰ οὐ φέροντα τὸ α εἰς η ἐν τῷ παρῳχημένῳ, τὰ ἰωνικὰ καὶ τὰ ποιητικά, καὶ τὰ ἀπὸ προθέσεων ἀρχόμενα, καὶ τὸ συνθέω, σύνθεον, καὶ τὸ ἀνδίζομαι, ἀνδιζόμην. ἵνα μὴ ἐπάλληλον γίνηται τὸ η. καὶ τὸ αἴω, ἄϊον, τὸ ἀκούω. καὶ ἄω, τὸ πνέω, ἄον. ἵνα μὴ συμπέσῃ τῷ ἦν, τὸ ὑπῆρχεν. Αἰωνάσος, ὁ ἰσοτονάδος πολύ. οὕτως ἑρμηνεύσας λογγῖνος αὐτὸν βιάζεται, ὡς ἐπὶ αἰῶνος πατέρα. Αἰὼν, ὁ τοῦ σώματος μυελὸς, καὶ ὁ χρόνος, καὶ ἡ ζωή, καὶ ὁ βίος. Σοφοκλῆς, ὡς οὐκ ἀμειδὴς ἐκμάθης βροτῶν. γίνεται δὲ αἰὼν, ἐκ τοῦ ἀεὶ καὶ τοῦ ὤν. ὁμοίως ἐκ τοῦ ἀεικίζειν, τὸ αἰκίζειν δηλονότι. ἢ αἰὼν τὸ μέτρον τῆς ἀνθρωπίνης ζωῆς, καθ᾽ ὃ σημαινόμενον καὶ ἡρόδοτος τελευτῆσαι ἐν αἰῶνι φησί, τὸ θανεῖν. καὶ Σοφοκλῆς ἡ ζωὴ ἀνθρώπου, τὴν ἀεὶ βιωτὸν φησί. διοῦν ἡ παρ᾽ αὐτῷ, καὶ τὸ, τὸν εἰς ἀεὶ λειπόμενον χρόνον. ἤγουν, ἕως οὗ ζῇ. οὐ μόνον δὲ ἀρσενικῶς, ἀλλὰ θηλυκῶς ὁ ῥηθεὶς αἰὼν λέγεται ποιητικώτερον, οἷον σχετλίην αἰῶνα. λέγεται καὶ ἀντὶ τῆς ζωῆς. Ὅμηρος. ἐπεί με καὶ λείπει αἰών, ἤγουν ζωή. ἢ αἰὼν ζωή, ἡ συμπεριληψις χρόνου πολλῶν.

Ἄλλως. Αἰὼν, ἡ ζωὴ θηλυκῶς. Ὅμηρος, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς. παρὰ τὸ ἄειν, τὸ πνέειν. καὶ ἆσμα, τὸ πνεῦμα. καὶ ἀήτης, ὁ ἄνεμος. καὶ ἔμπνουν δὲ τὸν ζῶντα φαμέν. ἢ παρὰ τὸν αἰῶνα τῆς ζωῆς. οἱ γὰρ ζῶντες, ἐν χρόνοις καὶ ἔτεσι διάγουσιν. ἢ παρὰ τὸ ἀεὶ ὤν, καὶ κρᾶσις τοῦ ε καὶ ω, καὶ ἐν συναιρέσει, αἰών. περισπαστικόν ἐστι, καὶ σημαίνει πέντε. τὴν ζωὴν τοῦ ἀνθρώπου, ὡς τὸ, ἐπεί με καὶ λείπει αἰὼν ἐν πόλει. αἰὼν, καὶ ὁ τῶν χιλίων ἐτῶν ἀριθμός. αἰὼν, καὶ ὁ ἀΐδιος καὶ ἀτελεύτητος, ὡς ὁ θεολόγος λέγει. αἰὼν γὰρ οὔτε χρόνος, οὔτε χρόνου τι μέρος. οὐδὲ γὰρ μετρητός. αἰὼν λέγεται, καὶ οἱ ἑπτὰ αἰῶνες, ἀπὸ τοῦ οὐρανοῦ καὶ τῆς κτίσεως, μέχρι τῆς κοινῆς τῶν ἀνθρώπων ἀναστάσεως. αἰὼν λέγεται, καὶ ὁ νωτιαῖος μυελός. ἱπποκράτης. ἄνθρωπος κενωθεὶς τὸν αἰῶνα, ἑβδομαῖος ἀπέθανεν. Αἰωνίζειν, τὸ διὰ παντὸς μένειν. Αἰωροῦμαι, ἐν ἀέρι φέρομαι. ἀπὸ τοῦ αἰώρας. Αἰωρούμενοι, μετεωριζόμενοι. Αἰωρηθέντος, κρεμασθέντος, μετεωρισθέντος. καὶ αἰώρημα, καὶ αἰωρήσεις, καὶ αἰωροῦνται. ὡς τὸ, κατὰ τὴν καλχηδονίων αἰωροῦνται πράγματα. Αἰωρῖος, ἐκκρεμαστός. Αἰώρα, ἑορτὴ ἀθηναίων, ἣν καλοῦσιν εὔδειπνον. ἣν οἱ μὲν ἐπὶ ἠριγόνῃ τελεῖσθαι φασίν, οἱ δὲ ἐπὶ ἀλήτιδι

ἐγὼ, ἐφ' οἷς ἐπλημμέλησα. αἰχύνω μὲν, μακρὸν τὸ υ. αἰχυνῶ δὲ ὡς μέλλοντος βραχύ. διὰ τὸ ὡς συμφώνου λείποντος, ἐμεινε βραχύ. καὶ γὰρ ἐπὶ τοῦ ἐνεστῶτος φωνῇ μακρᾷ πάντα, πλὴν τοῦ παραληγομένου τοῦ ε ἐπὶ τοῦ μέλλοντος, ὅμως εἰς θέσει μακρὰν μεταπίπτουσι. σπείρω, σπερῶ. κατὰ γὰρ τὴν ἀναλογίαν μελλόντων, ἀπὸ τοῦ ε ὤφελον ἐχει οἱ ταύτης τῆς συζυγίας προφέρεσθαι μέλλοντες. ἀπέλειψε δὲ ἡ χρῆσις, διὰ ἀμετάβολον ὄντα, τὸ δ' οὐχ ἅπτεται. ὁ παρακείμενος, ᾔσχυγκα. διὰ παραλόγου τὴν αἰτίαν ἔχει ὁ παρακείμενος ἀπὸ μέλλοντος. ὁ ἀόριστος, ᾔσχυνα. διὰ τί περισπᾶται ὁ μέλλων, καὶ τὴν παραλήγουσαν ἐκτείνει ὁ ἀόριστος. τοῦτο δὲ ἐπὶ πάντων ἁπλῶς τῶν τῆς πέμπτης συζυγίας συμβαίνει. Αἰχμύδλου παρ' Ἀριστοφάνει, ὡς τοῦ αἰχμύδλου μᾶλλον τῶν ἄλλων ἔχοντος καρπίμους μερίζεσθαι, ἢ ἀπὸ τῶν καρπῶν. ὁ ὄνομα κύριον αὐλητοῦ, ὁ φίλος. Αἴσχιον, οὐκ αἰσχρότερον. καὶ αἰχμητὴς, οὐκ αἰχμαλωτός. Αἴσχεας ἄνδρας, ἀμόρφους. Αἴσχιστος, ἀντὶ τοῦ δυσειδέστατος. Αἴσχιον, ἄμεινον, χεῖρον, κρεῖττον, ἀττικῶς. κοινῶς δὲ, αἴσχιστα, ἄμεινα, χείρονα, κρείττονα. Αἰσχροκερδὴς, ἐπιθυμητὴς κακῶν. Αἰσχρουργίαι, αἰσχρὰς ἐργασίας. Αἰσχρῶς, τοῖς αἰσχύνην ἐπιφέρουσι διακρίνουσι. Αἰσχροῦ δὲ εἴδη τέσσαρα, ἄδικον, δειλὸν, ἄκοσμον, ἄμορφον. Αἴσων, ὁ ἥρως, παρὰ τὴν αἶσαν. δοκεῖ ἀπὸ πλεονασμοῦ γεγονέναι. αἴσων μὲν πατὴρ, ἰάσων δὲ υἱός, κατὰ διάλυσιν τῆς αι διφθόγγου, καὶ μετάθεσιν τοῦ ι. καὶ αἵμων μὲν πατὴρ, μαίων δὲ υἱός, ὃν τελείως ἀνεῖλε. τῆς ἐν τῇ ἀρχῇ διφθόγγου ὑπερθέσεως. μαίων γάρ φησιν αἱμονίδης. Αἰσώπου γελοῖα, οὕτως ἔλεγον τοὺς αἰσωπείους μύθους. καὶ ἐν τοῖς κωμικοῖς διασκευαῖς, ἔστιν ἐν τοῖς αἰσωπείοις ἐχρῶντο μύθοις. Αἰχμοστάμ, κατασχών. Αἰχμὰ, ἐπιρροή. Αἶτα, ποιῶ. Αἴτων, ἑταῖρον. Αἴτας, ἑταῖρος. Αἰτία, πρόφασις. Αἶται, θυγατέρες Διὸς, αἱ τοῖς δαιμόνιοις βοηθοῦσαι. Αἰτῇ, ἀπλέρωτον.

Αἰτοτὰ, τὰ κατ' ἔρανον διδόμενα. Αἰτιαμάτων, ἐγκλημάτων. Αἰτιατὰ, τὰ ἐκ τῆς αἰτίας γινόμενα. Αἰτιατικῇ ἀντὶ δοτικῆς οἱ ἀττικοὶ ἐχρήσαντο. ὡς Θουκυδίδης, εἰ οὖν κοινὸν ἀρέσκει, πέμπειν ἄνδρα πιστόν. ἀντὶ τοῦ σοί. ἔτι τὰς αἰτιατικὰς πτώσεις λαμβάνειν ἀντὶ γενικῶν, ἀττικῶν ἴδιόν ἐστιν, οἷον μάτην ὅτι ἀγαθὸς περὶ τῶν ἀπαιρέτων κούρην, ἀντὶ τοῦ ἀπ' αὐτῶν. καὶ Ἡσίοδος, ὅν τε διὰ βροτοὶ ἄνδρες. ἀντὶ τοῦ, δι' οὗ. καὶ δι' ὃν ὀρίνονται, ἀντὶ τοῦ δι' οὗ. καὶ αἰτιατικὰς ἀντὶ εὐθείας παραλαμβάνειν, ἀττικῶν ἐστιν. Ἀριστοφάνης ἐν ὄρνισιν, ὡς τὸ, Δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν. ἀντὶ τοῦ, δεινόν γε εἰ μὴ νοστήσει πάλιν ὁ κῆρυξ, ὁ παρὰ τοὺς βροτοὺς οἰχόμενος. Αἰτία, ἡ ἀρχὴ τῆς ἀρχῆς. ἤγουν, ἡ πηγὴ, ἢ ἡ ῥίζα. αἰτία καὶ ὁ τρόπος. αἰτία, ἡ ἀφορμὴ, καὶ ἡ κατηγορία.

Αἰτιᾶται, μέμφεται. Αἰτιατικῇ εἰς τὴν τοῦ λέγοντος, διὰ τὸ ὡς εἰδέναι καὶ διαιρεῖν προφέρουσιν. οἷον τὴν ἀνθρώπους, τοὺς ἀνθρώπους λέγουσιν. Αἴτνη, πόλις οὕτω καλουμένη.

Αἴτας, πτωχός. Αἰτίζειν ἐπιταλικῶς, ἀντὶ τοῦ αἰτεῖν. ὡς τὸ, αἰτίζων ἀκόλους οὐκ ἄορας, οὐδὲ λέβητας. Αἰτητὸς, ἀπαιτητός. Αἴτημα, ζήτημα, καὶ ἡ ἐπιθυμία. Δαυίδ, καὶ ἐπλήρωσεν τὸ αἴτημα αὐτῶν. Αἰτεῖσθαι, χρῄζειν. Αἰτέσθω, ὁ αἰτῶν. Αἴτας ὑπὸ τῶν θεσσαλῶν λέγεται, ὁ ἐρώμενος. εἰσπνήλας ὑπὸ λακώνων ὁ ἐραστὴς, ὡς παρὰ Θεοκρίτῳ.

Αἰτοταὶ, οἱ παρά τινος κεκλημένοι. οἱ δὲ ῥήτορες τοῦ προσθεῖναι αἰτηταὶ τοῦ εἰρωνείας μᾶλλον, ἢ δεῖται ὄντος. Αἰτίαι, αἱ πρόφασις. αἰτίαι δὲ, αἱ ἀφορμαὶ καὶ μέμψεις. Αἰτίας, ἐρυθρὰς χορδὰς σημαίνει. Αἴτιος, ὁ τῶν ἀφορμῶν δεκτός. ὡς τὸ αἴτιος ὁ ταύτης τῆς παρρησίας. καὶ αἴτιος, ὁ ποιητὴς καὶ κτίστης.

Αἴτησις. παρὰ Ἀριστοτέλει αἴτησίς ἐστι, τὸ ἐπιτίθεσθαι ἐν λόγοις παραγωγὴ, τὸ λαμβάνειν τι παρὰ τοῦ ἀποκρινομένου, καὶ μὴ τὰ ταῦτα παραδοῦναι τὸ ἀντικείμενον αὐτῷ παρ' αὐτοῦ λαμβάνειν, ὃ διὰ τοῦδε τοῦ τρόπου δεῖξαι τὴν συλλογίαν τῶν ἀποκρίσεων.

Αἴτιον. ἰστέον δὲ ὅτι αἴτιον ἀεὶ παρ' Ὁμήρῳ, τὸ τὴν αἰτίαν τοῦ γινομένου ἔχον. οἱ δὲ μεθ' Ὅμηρον, καὶ ἐπὶ ὑπευθύνου τὴν λέξιν ἐκτείνασιν. ὡς δηλοῖ ὁ γράψας τὸ, Αἴτιος ὁ γράψας. αἰτίαν Καλλίμαχον, ἤγουν ὑπεύθυνος καὶ κολάσεως ἄξιος. αἴτιος οὖν παρ' Ὁμήρῳ λέγεται, ὁ αἰτιατέος καὶ μεμπτέος, καὶ ὁ ὑπὸ μέμψιν καὶ αἰτίασιν κείμενος. καὶ ἀπολύτως λαμβάνονται. οἷον, Οὔ τι μοι αἴτιοι εἰσὶν, εἰ δ' ὅδε, καὶ οὔ τι μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν. Ἄλλως. Ἰστέον ὅτι τὸ αἴτιον πολλαχῶς λέγεται. λέγεται γὰρ ποιητικὸν αἴτιον, ὡς ὑποδειγματικῶς εἰπεῖν. ὁ τέκτων τῆς κλίνης. τελικὸν αἴτιον, ὡς ἡ ἀνάπαυσις, δι' ἣν ἡ κλίνη. ὑλικὸν αἴτιον, ὡς τὸ ξύλον, ἐξ οὗ ἡ κλίνη. εἰδικὸν αἴτιον, ἡ διατυπουμένη ἐν τῷ νῷ τοῦ τεχνίτου, καὶ διαπλαττομένη κατὰ διάθεσιν, καὶ ἐπιλεπτυνομένη διαμόρφωσις. παραδειγματικὸν αἴτιον, ὡς ἑτέρα κλίνη, πρὸς ἣν ἰδὼν ὁ τεχνίτης, τὴν εἰς ἔργον αὐτῷ προκειμένην ἐδημιούργησε. φυσικὸν αἴτιον, ὡς ὁ πατὴρ τοῦ υἱοῦ. καθὸ καὶ μόνον ὁ θεὸς καὶ πατὴρ τοῦ μονογενοῦς εἶναι λέγεται. τὸ δὲ κτίστης ποιητικὸν αἴτιον εἶναι λέγομεν τὸν θεόν. τελικὸν αἴτιον τὴν τῶν δημιουργηθέντων εὐεργεσίαν, καὶ τὴν περὶ αὐτὰ ἀγαθότητα. εἰδικὸν αἴτιον, τὴν ἐν αὐτῷ τῶν δημιουργηθέντων γνῶσιν φαμέν. ἣν ἐξ ἀϊδίου καὶ προαιώνιον ἔχει, οὐχ ὑστέρως αὐτῷ ἐπιγινομένην, ἀλλὰ συνυπάρχουσαν καὶ συμπαρεκτεινομένην ἀεί. τὸ δὲ ὀλικὸν αἴτιον καὶ ὀργανικὸν, καὶ παραδειγματικὸν, πόρρω τῆς θείας καὶ ἀπεριορίστου φύσεως. Αἰτιολογικὸς ψευδὴς, ὁ ἀπὸ ψευδοῦς ἄρχεται, ἢ μὴ εἰς ἀκόλουθον λήγει. ὁ ἔχει τοῦ λέγοντος τὸ ἀρχόμενον ἀκόλουθον. οἷον διότι νύξ ἐστι, δεῖ μὴ περιπατεῖν.

Αἰτῶ, μέμφομαι, προστακτικὸν, αἰτοῦμαι. παρατατικός, ᾐτούμην, ᾔτω, ᾐτεῖτο. τὸ προστακτικὸν, αἰτῶ, αἰτείσθω. Αἰτοῦμαι, ᾐτούμην, αἰτήσομαι, ᾐτησάμην, αἰτοῦμαι, διὰ τὰ γράμματα οὐκ ἐπιμφα. Αἰτναῖος πῶλος, ἀντὶ τοῦ μεγάλος. αἰτναίων, ἐπὶ πώλων βεβαίων. καὶ αἰτναῖος κάνθαρος, ὁ μέγας. Αἰτναῖον λέγει Ἀριστοφάνης κάνθαρον, τὸν ὑπερμεγέθη. μέγιστον γὰρ ὄρος ἡ Αἴτνη. ἢ διὰ διάφοροι κάνθαροι εὑρίσκονται, ἢ ἀντὶ τοῦ μέγα ὡς ἡ Αἴτνη, ἢ διὰ οἱ αἰτναῖοι ἵπποι ταχεῖς καὶ διαβόητοι πρὸς τὸν δρόμον, ἢ διὰ μεγάλοι οἱ αἰτναῖοι κάνθαροι. Αἴτνη, σικελίας ὄρος ἐν κατάνῃ τῆς γῆς. ἀπὸ Αἴτνης τοῦ οὐρανοῦ καὶ γῆς, ὥς φησιν Ἀλκιμος. Σιμωνίδης δὲ ἐν τῷ περὶ σικελίας, Αἴτνην φησὶ κρῖναι ἥφαιστον καὶ δημήτραν περὶ τῆς χώρας ἐρισάντων. Δημήτριος δὲ ὁ καλλατιανὸς, τὸν βριάρεω ἕνα τῶν κυκλώπων παῖδας γενέσθαι, σικανὸν καὶ αἴτνην, ἀφ' ἧς τὸ ὄνομα, ἐν ᾗ καὶ τὸ αἰτναῖον πῦρ ἀναδίδοται. Αἶτος, ὄνομα κύριον. Αἶτος, τὸ ἐνδιαίτημα. οἷον, Διὸς αἰτεῖ πανδόκῳ. Πίνδαρος ἐν ὀλυμπιονίκαις, κατὰ τοῦς.

Αἰτῆσθαι, διαπράξειν, ἢ διαπράξασθαι. Αἰτῶν, ἐρημῶν. Αἴτερον, θάλλον. Αἰτοῦμαι λέγουσιν, ὅταν ζητῇ τις ὃ μέλλει ἀποδώσειν. οἷον ἐπὶ δανείου. αἰτῶ δὲ ἄρτον, ὃν δηλονότι οὐκ ἀποδώσω. εὕρηται δὲ καὶ αἰτοῦμαι ἀττικῶς, ἀντὶ τοῦ ἁπλῶς αἰτῶ. Λιβάνιος, Τί δεῖ νῦν αἰτοῦμαι. ἔστι δὲ αἰτοῦμαι, καὶ τὸ παρά τινος ζητοῦμαι, ὡς ὁ αὐτὸς πολλάκις ἔφασκε ἀλγῆσαι, μηδὲν αἰτούμενος παρ' ὑμῶν. Αἰτῶ ἐπὶ τοῦ ἁπλῶς τι λαβεῖν, καὶ μὴ ἀποδοῦναι. τὸ δὲ αἰτοῦμαι, ἐπὶ τοῦ χρήσασθαι εἰς ἀπόδοσιν. αἰτῶ, τὸ ζητῶ. αἰτοῦμαι, τὸ μετὰ παρακλήσεως αἰτῶ, καὶ ἱκετεύω. Αἰτούμενος, ὁ λαβὼν, καὶ αὖθις ἀποδώσων. καὶ αἰτούμενος, ὁ κεχρημένος.

Ἀτρυτώνη, ἀκαταπόνητος. Αἰτωλός. διαφέρεται ὁμοίως τῷ δαίδαλος δαιδάλειος, καίνος καίνιος, καίρος καίριος, ἰκανὸς ἱκάνιος. ὁ καὶ ἄμορφος, παρὰ Σοφοκλεῖ. ἐγχώριος, οὗ χρῆσις παρὰ Αἰσχύλῳ, ἐγχώριος. Αἰτώλιον, τὸ αἰτωλικὸν τὸ γένος. Αἰτωλὸς, ἀπὸ τοῦ αἰτεῖν παραχθῆναι δοκεῖ. ὡς δηλοῖ καὶ ὁ τοιοῦτο γράψας, αἰτῶν, διὰ ἐπὶ τοῦ αἰτωλοῖς ἐπί-

τοῦ αἰθόμενος, ὡς τὸ αἴθοπα σιδηρον, μετῆλθεν εἰς ῥῆμα αἰθίσσομαι. ὅθεν οἱ ἀστέρες, ἀντὶ τοῦ πολύστιλβοι καὶ ζωτικοὶ ἔχουσι. κρεῖσσον δὲ τὸ πρῶτον. ἔστι γὰρ αἴθω ῥῆμα, ἐξ οὗ τὸ, φίλον αἴθε ἦτορ. ὥσπερ μέλλων, αἴσω, ἦχε πληθυντικὸν· ἐξ οὗ πληθυντικὸν τοῦ ε ἐπενθέσει αἴθω, ὡς βιβῶ βιβάσω βιβάσθω. οἷον, μακρὰ βιβάσθω. ἴσλω, ἴσω, ἴσθω. Ἄιον, ἐξήκουσεν, ἐκ τοῦ ἀΐω, ὃ σημαίνει τὸ αἰσθάνομαι. τὸ δὲ ἀΐω, ἐκ τοῦ ἴω, ὃ σημαίνει τὴν φωνήν. Ἄϊς, καὶ κλίνεται ἄϊδος. γίνεται παρὰ τὸ α στερητικοῦ, καὶ τοῦ εἴδω εἴσω, τὸ βλέπω. καθάπερ καὶ ἐκ τοῦ στερητικοῦ, καὶ τοῦ εἴδω εἴσω ἀ γνώσκω, ἴσις, ὁ ἄπειρος καὶ ἀνεπιστήμων. ἔστι γὰρ ἄϊς, τόπος σκοτεινὸς ὑπὸ γῆν, ἀφωρισμένος τοῖς ψυχαῖς. διὸ καὶ ἀΐδης λέγεται ὁ ᾅδης, καὶ ἀϊδωνεύς. ὡς δὲ ἄλλοι φασὶ, καὶ ἄλλως, κατὰ συναίρεσιν τοῦ ἀΐδας. καὶ ἄϊς, ὁ μὴ βλεπόμενος, καὶ ὁ ἀνίχνευτος, ἀπὸ τοῦ ἴς, ἡ δύναμις. Αἴσακος ποταμὸς, οὗ μᾶλλον ὕδωρ λέγει ὁ ποιητής. ἢ κατὰ ἐπίθετον, καθ' ὃ καὶ Λεωνίδαν λέγει ἀμφιβίτην, καὶ ποσειδῶνα κυανοχαίτην. καὶ ταύρους μᾶλλον ἐοικότας ποσειδῶνι λέγεται. ἡ δὲ τὸ βαθύ. Καλλίμαχος δὲ παραφράσας, ἑλικώτερον ὕδωρ αἰσάκου φησίν.

Αἴσια, σύντια, δίκαια, δεξιὰ, ἢ εἱμαρμένα, καὶ καθήκοντα.

Αἴσιμα πάντα, ὅ ἐστι καθήκοντα, καὶ δίκαια. καὶ παρ' Ὁμήρῳ, δμηθεὶς δ' αἴσιμα πάντα. ἐγγύς ἐστι τοῦ εἰπεῖν, ὡς πάντων μέτρον ἄκρον. Αἴσιμον ἦμαρ παρίσταται παρ' Ὁμήρῳ ἐν τῷ τὸν ὀδυσσείαν. ποτὲ εἶπεν ἐγγὺς αὐτῶν ἵσταται, ὄλεθρος ὁ αἴσιμος. καὶ ἐν ἰλιάδι, εἰς ταυτὴν ἄγεσθαι τῇ ταλαντευομένῃ κηρί. ὡς ἴσον δὲ, τὸ ῥέποντος εἰπεῖν κῆρα, καὶ ῥέπων αἴσιμον ἦμαρ, ἡ μεμοιραμένη ἡμέρα. ὥσπερ δὲ ἀπὸ τοῦ φορὰ φόριμος, οὕτω καὶ παρὰ τὸ αἶσα αἴσιμος. ἔτι δὲ τὸ αἰσιμία. Αἴσιμα ᾔδει φρεσὶν ᾔδει. ἔστι δὲ αἴσιμα, ἡ παρὰ τὸ αἴσιον, ἤτοι καθῆκον, καὶ δίκαιον. ἢ γίνεται ἐκ τοῦ αἴσιμος, ὁμοίως γὰρ ἔρημος ἔρημα, καὶ χρήσιμος χρήσιμα. Αἰσιμίδαι, εἰκός γένος. ἱστορία. Αἴσιμος. αἴσιμος ὁ Ἀθηναῖος ἀδελφὸς, οἴνωνα γένει. ὃς ἀκισάμενος ἑαυτὸν ἐπλήσιον τῆς Δουρίας ἵππου ἐκάθητο. εἰ δὲ ἄλλως, ὥς φησι τρυφιόδωρος, Πῦρ ὡς εἶδον πυκταίσιν ἐπὶ κλισίῃσι, βάλλοντες πρὸς τὸ πεδίον κατὰ τὴν, καὶ τὰς περὶ τῶν τρωϊκῶν καλυδῶνας μέσσας. ἀφ' ὧν νῦν δὲ δὴ ἀκοντίσας πόρκης τε καὶ Χαρίβοια διαπυξάμενοι, τὴν παῖδα τοῦ λαοκόωντος ἄνωθεν μίαν παντὸς τοῦ λαοῦ, εἰ γὰρ δούρατι βαλὼν τὸν δούρειον ἵππον ἐτόλμησε. τότε δὲ τῶν τρώων καταλαβόντων, καὶ ἀπατηθέντων δόλοις τοῦ σίνωνος, καὶ ἑλκυσάντων αὐτὸν περὶ τὴν πόλιν, καὶ μέθῃ καὶ χαρᾷ καὶ ὕπνῳ συσχεθέντων, αὐτὸς ὁ σίνων, ὡς ἦν αὐτῷ συντεθειμένον, φρυκτὸν ὑποδείξας τοῖς ἕλλησιν, ὡς ὁ Λέσχης φησὶν, Νὺξ μὲν ἔην μέσση, λαμπρὰ δ' ἐπέτελλε σελήνη, προσκαλέσας αὐτοὺς διὰ τοῦ φρυκτοῦ εἰς τροίαν, καὶ εἷλον. Αἴσιον, τὸ δίκαιον, μέτριον, δεξιὸν, ἀγαθόν. καὶ ὑπεραίσιον, τὸ ὑπέρμετρον. ἐξαίσιον, τὸ θαυμαστόν. ἀπαίσιον, τὸ μισητόν. κυρίως δὲ, ἐπὶ τῶν ὀρνίθων μαντικῶς λέγεται τὸ ἀπαίσιον. καὶ ἀπὸ τούτου, καὶ ἐπὶ ἄλλων. οἷον ἀπαίσιοι ὄρνιθες, οἱ δυσοίωνοι. αἴσιοι δὲ τὸ ἐναντίον οἱ εὐσύμβολοι, τουτέστιν οἱ τὰ ἀγαθὰ σύμβολα δηλοῦντες, ὡς τὸ, Πολλοὶ ὄρνιθες πωτῶνται, οὐ δὲ πάντες ἐναίσιμοι, ἤγουν σημαίνοντες τὸ μέλλον. αἴσιος ὄρνις καὶ ἀπαίσιος, ἐκ τοῦ καθ' εἱμαρμένην αἶσαν παρεσόμενος. Αἰσίως, καλῶς, δεξιῶς. Εὐαγγέλιον ἐμέ. Αἴσιμα, ἄσμα. καὶ αἰσμάτων, δεχαντηκάτων. Αἴσσεται, διασείεται, κινεῖται, κρέμαται. Αἶσσε, ἔσσει, ὑπὸ τυρρηνῶν.

Αἶσθον, ἄισθον, ἄπνουν. Αἴσθω, φρασμοί. Αἰσύτην, χειροβοσκός. Αἶσι, ἀφανῶς. Αἴστωσιν, ὁρμῶσιν. Αἴστερον, ἀπορεῖ. Αἰστώσει, ἀφανιδεῖν. Αἶσυρ, ἄπειρος, ἀμαθής. Αἰστώθεντα, ἀφανισθέντα. Αἴσσον παρὰ Ἀπολλωνίῳ, ἀντὶ τοῦ ὑπαΐσσων, καὶ ὑπεκφεύγων. καὶ ἀΐσσω, τὸ ὁρμῶ. καὶ αἴσσων παρ' Ὁμήρῳ, ποιῶν. Ἄϊστος, ἄπυστος. τὴν τελείως ἀφανῆ σημαίνει, περὶ οὗ μηδὲν ἴσασιν. οὕτως αὐτὸς ἔλεγον, οὕτως οὐδ' ἀπὸ νηπίων, ἤτοι μαθεῖν ἔτι. καὶ ἄιστον, ἀφανῆ, ἄπιστον. ὁ ἄιστος εἰ μὲν σημαίνει τὸν ἀφανῆ, ἀπὸ τοῦ εἴδω τὸ βλέπω. ὁ μέλλων, εἴσω. ὁ παρακείμενος, εἶκα. ὁ παθητικὸς, εἶσμαι. ἐκ τοῦ τρίτου προσώπου, ἰστὸς καὶ ἄιστος. εἰ δὲ σημαίνει τὸν ἄπυστον, ἀπὸ τοῦ εἴδω τὸ γινώσκω ὁμοίως. ἐκ τούτου καὶ τὸ ἀϊστῶσαι. Ἀϊστῶσαι, ἀπὸ τοῦ ἄιστος, τοῦ σημαίνοντος τὸ ἀφανίζω. τοῦτο παρὰ τὸ ἰστῶ. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀϊστῶ καὶ ἀϊστῶσαι, καὶ ἀϊστώσασθαι. Ἀΐστωσις, ἀφανισμός. Αἰσυήτης, δημογέρων, ἀρχαῖος, παλαιός. ἴσως γὰρ αἰσυήτου παιδὸς, ἀντὶ ὠραίου φασὶ καὶ εὐηλίκου. ἕτεροι δὲ ἱστοροῦσι, τὴν αἰσυήτου υἱὸν ἔγγονον ὄντα τοῦ συγκαλέσαντος. Αἰσυητοῦ, χειροβοσκοῦ. Αἴσυλα, ἄδικα, ἁμαρτωλά, παράνομα, ἀπρεπῆ. Αἴσυλα ῥέζεις, ἃ δὲ δικαίως ἐτυμολογοῦσι τὴν λέξιν, φασὶ τὰ συλημένα τῆς αἴσης, τουτέστιν ἁμαρτωλά. βέλτιον δὲ, τὸ μὴ δικαίως ἐπαρθῆ τὰ συλημένα. οὐκ ἔστι δὲ ἡ αἶσα φαίνεται ἐγκειμένη. ἔστιν οὖν αἴσυλα κατὰ παράληψιν ἑτέρου α δηλοῦντος τὰ ἀαίσυλα, ἤγουν τὰ ἐστερημένα τῆς αἴσης, τουτέστι τοῦ καθήκοντος. καὶ αἴσυλα ῥέζει, ἀπρεπῆ πράξεις. ἢ αἴσυλα, τὰ ἄδικα, καὶ τῆς αἴσης, ἤγουν τοῦ καθήκοντος συλημένα. ὡς συγκείμενα ἀπὸ τοῦ αἴσα καὶ σύλα. ἢ αἴσυλα τὰ ἁμαρτήματα, οἱονεὶ αἰσόσυλα, ἤγουν δι' ὧν συλᾶται τὸ αἴσιον. ἢ τὰ βλαπτικά. παρὰ τὸ ἄσαι κατὰ παραγωγὴν καὶ πλεονασμὸν τοῦ ι. ἢ αἴσυλα, ἄδικα. ἐκ δὲ τοῦ αἴσυλα ῥέζειν, ἡ σύνθεσις ἐπενόηθη τοῦ αἰσυλοεργός. αἴσυλον δὲ, οὐ μόνον δι' οὗ συλᾶται τὸ αἴσιον (ἵνα ᾖ αἰσόσυλον, καὶ κατὰ συγκοπὴν αἴσυλον) ἀλλὰ καὶ δι' οὗ βλάβη γίνεται. παρὰ τὸ ἆσαι, ὅ ἐστι βλάψαι. μάλιστα δὲ παρὰ τὸ α στερητικὸν καὶ τὸ ἴσον, κατὰ συναίρεσιν, αἴσυλον, τὸ ἐστερημένον ἰσότητος, ἀντὶ τοῦ δικαίου. Αἰσυμνῆται κατὰ τοὺς παλαιοὺς, βραβευταὶ, ἀγωνοθέται, ὁ γὰρ ἀγῶνος ἐπίσκοποι, οἷς τὸ αἴσιον νέμεται. ἢ ἄλλως δ' εἰπεῖν, οἱ τὸ αἴσιον ἀπονέμοντες τοῖς ἀγωνιζομένοις, ὅ ἐστι τὸ κατὰ μοῖραν, καὶ τὸ καθῆκον. ἢ τὸ αἴσιον ὑμνοῦντες, γὰρ εἰρημένου αἰσίου συντεχνῆ. καὶ τὸ αἴσιμον, ἐξ οὗ καὶ τὸ ἐναίσιμον. τὸ δὲ ἐναισίμω, ῥῆμα αἰσιμῶ. καὶ ἐναισιμῶ. τούτων δὲ αἰσιμοῦν μὲν ἐξ ἄπαντος, τὸ εἰς δίκην ἀναλίσκειν καὶ δαπανᾶν. ἀναισιμοῦν δὲ, ἴσως τὸ ἐνέχαλιν, ὡς δῆλον. Τὰς γυναῖκας ἀπεστερεῖσθαι ἐν πολιορκίᾳ. δηλαδὴ, ἵνα μὴ ἀναισιμῶσι τὸν σῖτον. Αἰσυμνᾶ, βασιλεύει, ἄρχει. Εὐριπίδης Μηδείᾳ. Αἰσυμνήτης, ὁ βασιλεὺς, ὁ τὸ καθῆκον νέμων ἢ σῶζων. ἢ αἰσυμνητὴς, ὁ ἐν γὰρ καθήκοντι μένων. εἰ δὲ, παρὰ τὸ αἴσυμνον, ὅ ἐστι τὸ αἴσιον μνήμην ποιεῖν. ἢ αἰσιομήτης, ὁ αἴσια βουλευόμενος. ὁ γὰρ τύραννος τοὐναντίον. Αἰσύμη, πόλις θρᾳκική. Αἰσυμνῆται, οἱ τοῦ ἀγῶνος προεστῶτες. ἢ ὑπηρέται, ἢ οἰκεῖοι. Αἰσχάλαι, δειλοὶ, φαῦλοι, ἀπατεῶνες. Αἴσχεα πολλὰ ὁρόων, ἀντὶ τοῦ, πολλὰ ἔλεγον μὴ καλά. ὀνείδη, ὕβρεις. ἐναντίον γὰρ τὸ αἶσχος, καὶ τὸ αἰσχρὸν, πρὸς τὸ καλόν. Αἰσχίδες, αἰσχύνας. Αἴσχιστος, αἰσχρότατος, κακὸς, μιαρός. Αἰσχίων, χείρων. Αἰσχρὰ, μιαρά, κακά. Εὐριπίδης πρώτῳ. Αἰσχραίγκη συνήθως, οἱ ἐν ζᾳλαστικοὶ, ὅ ἐστι ψευδῆ λέγει. ὥσπερ ἀνάπαλιν, καλὰ ἔπη. καὶ ὡς εἰπεῖν ἐναυλεῖ τὰ ἐγκωμιαστικά. Αἶσχος, ἀτιμία, ὕβρις, καὶ ἡ αἰσχύνη. Αἰσχρός, αἰσχρότης, κακότης, κακία, λοιδορία, μῶμος, αἰσχύνη. παρὰ τὸ αἶσχος. τοῦτο παρὰ τὸ ἴσχειν τὰς λαμβάνοντας αὐτό. Αἰσχύνει, αἰκίζεται, λυμαίνεται. Αἰσχύνομαι, αἰδοῦμαι. αἰσχύνομαι ταῖς προτέραις ἁμαρτίαις.

Αἰσχύνω ἕτερον, καὶ αἰσχύνομαι ἐγὼ, ἐφ' οἷς ἐπλημμέλησα. ἢ αἰσχύνομαι τὰς ἐμαυτοῦ συμφοράς. καὶ αἰσχύνομαί σε, ἢ τὴν σὴν ἡλικίαν. αἰσχύνω, ῥῆμά ἐστιν ἀντίθετον τοῦ καλὸν εἶναι. καθὰ καὶ τὸ αἶσχος, τῷ κάλλει ἀντίκειται. αἰσχύνεται δὲ νεαρὸς, ὅτε ἐπιγραφῇ, ἢ ἄλλο τι τοιοῦτον πάθῃ. τὰ δὲ τοῦ αὐτοῦ, ὡς αἰσχύνω, ἢ πλατύνω, μακρὸν τὸ υ ἔχουσιν. καὶ αἰσχύνω, ἐπὶ ἀτόπων πράξεων λέγεται. καὶ αἰσχύνομαι, ἐνθεν ἀναισχυντῶ, ὁ μὴ αἰσχυνόμενος ἐπί τισιν ἀτόποις. καὶ ἀναισχυντία, τὸ πρᾶγμα. αἰσχύνω ἕτερον, αἰσχύνομαι δὲ ἐγώ.

συγκείμενον. ἡ δὲ γεῦσις ἀκριβῶς τῶν διακρινομένων. ἡ δύναμις τῆς ψυχῆς, ἀντιληπτικὴ τῶν ὑλικῶν, ἤγουν διαγνωστική. αἰσθήσεις δέ εἰσι πέντε, ὅρασις, ἀκοή, ὄσφρησις, γεῦσις, καὶ ἁφή. ὁμοίως καὶ αἰσθητήρια πέντε. πρώτη μὲν οὖν αἴσθησίς ἐστιν, ὅρασις. αἰσθητήρια δὲ καὶ ὄργανα τῆς ὁράσεως, τὰ ἐξ ἐγκεφάλου νεῦρα, καὶ οἱ ὀφθαλμοί. αἰσθάνεται μὲν ἡ ὄψις κατὰ πρῶτον λόγον τοῦ χρώματος. συνδιαγινώσκει δὲ τῷ χρώματι, τὸ κεχρωσμένον σῶμα. καὶ τὸ μέγεθος αὐτοῦ, καὶ τὸ σχῆμα, καὶ τὸν τόπον ἔνθα ἐστί, καὶ τὸ διάστημα τὸ μεταξύ, καὶ τὸν ἀριθμόν, κίνησίν τε καὶ στάσιν, καὶ τὸ τραχὺ καὶ λεῖον, καὶ ὁμαλὸν καὶ ἀνώμαλον, καὶ τὸ ὀξὺ καὶ τὸ ἀμβλύ, καὶ τὴν σύστασιν, εἴτε ὑδατώδης ἐστίν, εἴτε γεώδης, ἤγουν ὑγρὰ καὶ ξηρά. δευτέρα δὲ αἴσθησίς ἐστιν, ἀκοή. τῶν φωνῶν καὶ τῶν ψόφων οὖσα αἰσθητική. διαγινώσκει δὲ αὐτῶν τὴν ὀξύτητα, καὶ τὴν βαρύτητα, λειότητά τε καὶ τραχύτητα, καὶ μέγεθος. ὄργανα δὲ αὐτῆς, τὰ νεῦρα τὰ ἐξ ἐγκεφάλου τὰ μαλακά, καὶ τῶν ὤτων ἡ κατασκευή. μόνος δὲ ὁ ἄνθρωπος, καὶ ὁ πίθηκος, οὐ κινοῦσι τὰ ὦτα. τρίτη αἴσθησίς ἐστιν, ἡ ὄσφρησις. ἥτις γίνεται μὲν διὰ τῶν ῥινῶν, ἀναπεμπουσῶν τὰς ἀτμοὺς ἐπὶ τὸν ἐγκέφαλον. περαιοῦται δέ, εἰς τὰ πέρατα τῶν ἐμπροσθίων κοιλιῶν τοῦ ἐγκεφάλου. αἰσθητικὴ γάρ ἐστι καὶ ἀντιληπτικὴ τῶν ἀτμῶν, ἧς γενικωτάτη διαφορά ἐστιν, ἡ εὐωδία, καὶ δυσωδία, καὶ τὸ μέσον τούτων. ὃ μήτε εὐῶδές ἐστι, μήτε δυσῶδες. γίνεται μὲν εὐωδία, τῶν ὑγρῶν τῶν ἐν τοῖς σώμασιν, ἀκριβῶς πεφθέντων. δυσωδία δέ, μέσως ἢ κακῶς τούτων πεφθέντων. τετάρτη αἴσθησίς ἐστιν ἡ γεῦσις. τῶν χυμῶν οὖσα ἀντιληπτική. ὄργανα δὲ αὐτῆς, ἡ γλῶσσα. καὶ ταύτης πλέον, τὸ ἄκρον καὶ ἡ ὑπερῴα, ἣν καλοῦσί τινες οὐρανίσκον. ἐν οἷς ἐστι τὰ ἐξ ἐγκεφάλου φερόμενα νεῦρα πεπλατυσμένα, καὶ ἀπαγγέλλοντα τῷ ἡγεμονικῷ τὴν γενομένην ἀντίληψιν, ἤγουν αἴσθησιν. αἱ δὲ καλούμεναι γευστικαὶ ποιότητες τῶν χυμῶν, εἰσὶ ταῦτα, γλυκύτης, δριμύτης, στρυφνότης, αὐστηρότης, πικρότης, ἁλμυρότης, γλισχρότης. τούτων γάρ ἐστιν ἡ γεῦσις διαγνωστική. τὸ δὲ ὕδωρ, ἄποιόν ἐστι κατὰ ταύτας τὰς ποιότητας. οὐδεμίαν γὰρ αὐτῶν ἔχει. ἡ δὲ στρυφνότης, ἐπίτασίς ἐστι καὶ πλεονασμὸς τῆς αὐστηρότητος. πέμπτη δὲ καὶ τελευταία αἴσθησίς ἐστιν, ἡ ἁφή. ἥτις κοινή ἐστι πάντων τῶν ζώων. γίνεται δὲ ἐκ τῶν ἀπὸ ἐγκεφάλου πεμπομένων νεύρων, εἰς ὅλον τὸ σῶμα. ἀλλὰ καὶ τὰ λοιπὰ αἰσθητήρια, τὴν τῆς ἁφῆς ἔχουσιν αἴσθησιν. ὑποπίπτει δὲ τῇ ἁφῇ, τὸ θερμὸν καὶ ψυχρόν, τό, τε μαλακόν, καὶ σκληρόν, καὶ γλίσχρον, βαρύ τε καὶ κοῦφον. διὰ μόνης γὰρ τῆς ἁφῆς, ταῦτα γνωρίζεται. κοινὰ δὲ τῆς ἁφῆς καὶ ὄψεως, τό, τε τραχὺ καὶ λεῖον, καὶ ξηρόν, καὶ ὑγρόν, παχύ τε καὶ λεπτόν, ἄνω τε καὶ κάτω, καὶ ὁ τόπος, καὶ τὸ μέγεθος, ὅταν ᾖ τοιοῦτον, ὡς κατὰ μίαν προσβολὴν τῆς ἁφῆς περιλαμβάνεσθαι. καὶ τὸ πυκνὸν δέ, καὶ τὸ μανόν, ἢ τὸ ἀραιόν, καὶ τὸ στρογγύλον, ὅταν ᾖ μικρόν, καὶ ἄλλα ἔνια σχήματα. ὁμοίως δὲ καὶ τοῦ πλησιάζοντος σώματος αἰσθάνεται, σύν τε μνήμῃ τε καὶ τῇ διανοίᾳ. ὡσαύτως δὲ καὶ ἀριθμοῦ μέχρι δύο ἢ τριῶν. καὶ τούτων μικρῶν, καὶ ῥᾳδίως περιλαμβανομένων. τούτων δὲ μᾶλλον τῆς ἁφῆς, ἡ ὅρασις περιλαμβάνεται. χρὴ δὲ γινώσκειν, ὡς ἕκαστον τῶν ἄλλων αἰσθητηρίων, διπλοῦν ὁ δημιουργὸς κατεσκεύασεν. ἵνα τοῦ ἑνὸς βλαπτομένου, τὸ ἕτερον ἀναπληροῖ τὴν χρείαν. δύο γὰρ ὀφθαλμούς, καὶ δύο ὦτα, καὶ δύο πόρους τῆς ῥινός, καὶ δύο γλώσσας. ἀλλ' ἐν μὲν τοῖς τῶν ζώων διῃρημένας, ὡς τοῖς ὄφεσιν. ἐν τοῖς δὲ ἡνωμένας, ὡς ἐν τῷ ἀνθρώπῳ. τὴν δὲ ἁφήν, ἐν ὅλῳ τῷ σώματι, πλὴν ὀστέων καὶ νεύρων, ὀνύχων τε καὶ κεράτων, τριχῶν τε, καὶ τῶν ὁμοίων. ἰστέον δὲ καὶ τοῦτο. ὅτι ἡ μὲν ὄψις, τὰς κατ' εὐθεῖαν γραμμὰς ὁρᾷ. ἡ δὲ ὄσφρησις, καὶ ἀκοή, οὐ κατ' εὐθεῖαν μόνον, ἀλλὰ καὶ πανταχόθεν. ἡ δὲ ἁφή, καὶ ἡ γεῦσις, οὔτε κατ' εὐθεῖαν, οὔτε πανταχόθεν γνωρίζουσιν, ἀλλὰ τότε μόνον, ὅταν αὐτοῖς πλησιάσωσι τοῖς ἰδίοις αἰσθητοῖς. Ἄλλως περὶ αἰσθήσεως. Αἴσθησις, νόησις. εἰσὶ δὲ τοῦ ἀνθρώπου σώματος αἰσθήσεις πέντε, ὅρασις, ὄσφρησις, ἀκοή, γεῦσις, καὶ ἁφή. τιμιωτέρα δὲ ἡ ὄψις τῆς ἀκοῆς, καὶ αὕτη τῆς ὀσφρήσεως, ἡ ὄσφρησις τῆς γεύσεως καὶ τῆς ἁφῆς. ἡ μὲν διαφή, δοκεῖ μὴ δὲ αἴσθησις εἶναι. ἑκάστη τῶν ἄλλων αἰσθήσεων, περὶ μίαν τινὰ τῶν αἰσθητῶν τὴν ἀντίθεσιν ἐνεργεῖ, καὶ τὰ ταύτης μεταξύ. οἷον ὄψις μὲν περὶ τὸ μέλαν, καὶ τὸ λευκόν, καὶ τὰ ὄντα μεταξὺ χρώματα. ἀκοὴ δὲ περὶ τὸν βαρὺν καὶ τὸν ὀξὺν φθόγγον, καὶ τὰ μεταξύ. ὄσφρησις, περὶ τὸ εὐῶδες, καὶ τὸ δυσῶδες. γεῦσις, περὶ τὸ γλυκύ, καὶ τὸ πικρόν, καὶ τὰ ὄντων μεταξύ. ἡ μέντοι ἁφή, περὶ πλείους ἀντιθέσεις ἔχει, οὐκ οὔσας ὑπαλλήλους. περί τε γὰρ τὸ θερμόν, καὶ τὸ ψυχρόν, καὶ τὸ ὑγρόν, καὶ τὸ ξηρόν, καὶ τὸ σκληρὸν καὶ μαλακόν, τὸ βαρὺ καὶ τὸ κοῦφον, τὸ μανόν, καὶ τὸ πυκνόν. ἅπερ ὑπάλληλα εἶναι οὐ δύναται, ὅτι αἱ αἰσθήσεις τῶν μειζόνων αἰσθητῶν ἀντιλαμβανόμεναι, οὐκέτι μετ' ἐκείνων τῶν ἡττόνων ἀντιλαμβάνεσθαι δύνανται. ὁ γὰρ πλεονεκτέρων χυμῶν γευσάμενος, τῶν ὑφειμενεστέρων οὐκ ἐπαισθάνεται. καὶ ὁ μεγάλων ψόφων ἀκηκοώς, πρὸς τοὺς ἥττους ἐστὶν ἀναίσθητος. καὶ ὁ πρὸς ἥλιον ἀτενίσας ἀναχωρήσας, οὐ δύναται οὐδὲ τῶν ἄλλων ἀκριβῶς ὁρατῶν ἀντιλαμβάνεσθαι. ὁμοίως καὶ ἐπὶ τῆς ἁφῆς. ὁ δὲ νοῦς, οὐδεὶς ἐναντίως ἔχει. ὅσῳ γὰρ τῶν μειζόνων νοητῶν ἀντιλαμβάνεται, τοσούτῳ καὶ ἀκριβέστερός ἐστι πρὸς τὴν ἀντίληψιν τῶν ἡττόνων. καὶ τὰς μὲν αἰσθήσεις, αἱ ὑπερβολαὶ τῶν αἰσθητῶν φθείρουσιν. ὑπερβολὴ τῆς φωτὸς ἢ ζόφου, ἔφθειρε τὴν ὄψιν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. τὸν δὲ νοῦν τῶν μειζόνων νοητῶν ἡ ἀντίληψις ὀξυδερκέστερον ποιεῖ. ἔστι κοινὰ αἰσθητὰ πέντε. πρῶτον κίνησις, δεύτερον ἠρεμία, τρίτον ἀριθμός, τέταρτον σχῆμα, πέμπτον μέγεθος. κοινὰ δὲ ταῦτα εἶναι λέγονται, οὐχ ὅτι τὸ ἕκαστον αὐτῶν πάσαις ταῖς αἰσθήσεσιν ὑποπίπτει, ἀλλ' ὅτι ἕκαστον πλείοσι, καὶ οὐ μιᾷ. ἔνια δὲ καὶ πάσαις ἅμα. τὸ μὲν γὰρ μέγεθος, κοινόν ἐστιν αἰσθητὸν ὄψεως καὶ ἁφῆς. ὁρῶμεν γὰρ ὅτι μέγας ἐστὶ τυχὸν ὁ ἄνθρωπος. καὶ ἁπτόμενοι αἰσθανόμεθα, ὅτι μέγας ἢ μικρὸς ὁ προσπίπτων ὄγκος, καὶ τὸ διάστημα. ἤδη δὲ καὶ ψόφον λέγομεν ἀκοῦσαι, μεγάλου ἢ μικροῦ. ἀλλ' ἐνταῦθα τὸ μέγεθος, κατὰ ἀναλογίαν εἴληπται οὐ κυρίως. μέγεθος γὰρ λέγομεν τὸ συνεχές, τὸ κοινὸν εἶναι αἰσθητόν. ὁ μέν τι μέγας ψόφος, ποιότητός ἐστιν ἐπιτεταμένης δηλωτικός. διὸ τὸ ἀμυδρὸν ἢ σφοδρὸν κυρίως ἐπὶ τῶν ψόφων ἁρμόζει λέγειν. τὸ δὲ σχῆμα, κοινὸν ὄψεως καὶ ἁφῆς. σχῆμα δέ, οὐ τὸ τετράγωνον, ἢ ὀκτάγωνον. τοῦτο γὰρ λέγω δεῖ, τὸ εἰπεῖν ὅτι σχῆμά ἐστι, τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἢ ὑπὸ τριῶν, ἢ ὅσων δήποτε, ἀλλ' ὅλως ἁπλῶς περιγεγραμμένον. πᾶσα δὲ περιγραφή, κατά τε τῶν σχημάτων γίνεται, καὶ τὰ ἄλογα ζῶα, ὅταν ἐπὶ μικρὸν ὕψος ἢ διάστημα γῆς ἐμπέσωσιν, ἐπιβαίνουσι δειλιῶσι, δὲ ὑψηλὸν καὶ ἀπόκρημνον ἐμπεσόντα, οὐκ ἐπιχειροῦσι παραλλεῖν, συναισθόμενα τοῦ μεγέθους τοῦ σχήματος. ὁ δὲ ἀριθμός, κοινόν ἐστιν αἰσθητὸν πασῶν. ὁρῶμεν γὰρ ὅτι πεντεκαίδεκα ὄντες, ἀλλὰ καὶ ψηλαφῶντες τοῦτο αὐτὸ ἴσμεν, καὶ μὴν ἀκούοντες.

Αἰσθητικόν, πᾶν ζῶον αἴσθησιν φέρει καὶ ἑκάστοτε ἔχον, ἢ αὐτὸ τὸ ζῶον τὸ κεκτημένον τὰς αἰσθήσεις. Αἰσθητά, τὰ ὁρώμενα, τὰ πεφυκότα ταῖς αἰσθήσεσιν ὑποπίπτειν. οἷον χρῶμα, σχῆμα, καὶ ὄγκος, καὶ ποιότης, καὶ ἀντιτυπία, καὶ μαλακότης, ψόφος, καὶ ἀτμοί, καὶ χυμοί, λειότης, τραχύτης, καὶ τὰ τοιαῦτα. αἰσθανόμενόν ἐστι ζῶον ἀντιληπτικόν, κατὰ δύναμιν φυσικὴν τῶν αἰσθητῶν. Αἰσθητήρια τὰ ὄργανα, ἤγουν τὰ μέλη, δι' ὧν αἰσθανόμεθα. καὶ αἱ αἰσθήσεις τοῦ ἀνθρώπου, ἢ ἐν οἷς καθίστανται ἡ αἴσθησις. Αἴσθω, γίνεται ἀπὸ τοῦ ἄω τὸ πνέω, ἐξ οὗ καὶ τὸ ἆσθμα, καὶ τὸ ἀσθμαίνειν. ἐκ δὲ τοῦ τοιούτου αἴσθω, καὶ ἡ αἴσθησις κατὰ συναίρεσιν γίνεται. Αἴσων, ὁ ἀμαθής. Αἰσῶσαι, ἀφανίσαι, φωνῆσαι. Αἴσθειν, ἀντὶ τοῦ ἀποπνεῖν, ἐκ τοῦ ἄω. τινὲς δὲ ἀντὶ

ριοις δὲ ἐπὶ δύο πραγμάτων, ὅταν ἓν ἐκ δύο προκειμένων τὸ ἕτερον. αἱρῶ οὖν τὸ κρατῶ, αἱρήσω, ᾕρηκα, αἱροῦμαι αἱρήσομαι, καὶ ᾑρέθην. ἀπὸ τοῦ αἱρῶ, τὸ κρατῶ καὶ καταβάλλω, γίνεται ἀναιρῶ τὸ φονεύω, καθαιρῶ, τὸ καταβάλλω. διαιρῶ, τὸ τὰ ἡνωμένα χωρίζω. συναιρῶ, καὶ συναιροῦμαι, τὸ δύο εἰς ἓν συνάγω. περιαιρῶ, τὸ μερικῶς στερίσκω. ὑφαιρῶ, τὸ κλέπτω. ἀφαιρῶ, τὸ μέρος τι ἐκ παντὸς λαμβάνω. ἀφαιροῦμαι δὲ, τὸ πᾶν. ἀπὸ δὲ τοῦ αἱροῦμαι, ὃ σημαίνει τὸ βούλομαι καὶ προκρίνω, γίνεται ἐξαιροῦμαι, τὸ ἐλευθερῶ. προαιροῦμαι δὲ, τὸ προκρίνω τόδε τοῦδε. ἀναιροῦμαι, τὸ φονεύω καὶ ἀναλαμβάνω, καὶ ἀναπτύσσομαι. ὡς τὸ, ἀναιροῦνται οἱ ἡμῖν, καὶ τὸ ἀναλαμβάνω. οἷον, ἀναιρεῖται ξίφος, καὶ ἀναιρεῖται μετὰ χεῖρας βυβλίον. καθαιροῦμαι, τὸ καταβάλλομαι. παραιροῦμαι, τὸ παρασύρω, καὶ ἀφαιρῶ. λιβανωτὸς, τὰ μέγιστα καὶ ἀμείνονα τῶν ἑτέρων, τὰ μὲν ὕλη παραιρούμενος. διαιροῦμαι, τὸ ἕτερον ἀπὸ ἑτέρου προκρίνω. οἷον, διαιρεῖ καὶ ζωὰς ἐκ τῶν. ἀφαιροῦμαι, τὸ ἀναιρῶ καὶ ζημιῶ, ἁπλῶς συντασσόμενον. οἷον, ἀφαιρεῖται τὴν ἄνθρωπον τὴν οὐσίαν, καὶ ἀφαιρεῖται τὴν οὐσίαν ὁ ἄνθρωπος, ἐπὶ πάθους καὶ ἐνεργείας λαμβανόμενος. οὗ ὁ παρακείμενος, ἀφῄρημαι, ἀφῄρησαι, ἀφῄρηται. ὥσπερ τὸ ἐνήργημαι, καὶ εὕρημαι, καὶ ἀφεῖμαι. μέσου τοῦ καὶ οὗτοι παρακείμενοι. ἔστι γὰρ μέσος ὁ πάθος, καὶ ἐνέργειαν παρασημαίνει. ἀφῄρημαι τῆς, ἀντὶ τοῦ ἐστερήθην, καὶ ἀντὶ τοῦ ἐστέρησα. συντάσσεται δὲ τὸ ἀφῄρημαι καὶ γενικῇ καὶ αἰτιατικῇ. καὶ γενικῇ μὲν, ὅτι μὴ ἔχων πρᾶγμά τι. λέγομεν δὲ οὕτω κτήσασθαι, καὶ ὁμιλίας οὐ λάβω. οἷον, ἀφῄρημαι λόγων, ἀφῄρημαι παιδείας. ταῦτα τῆς οὐκ ἔχων, τὴν λόγον φησὶ, καὶ τὴν παιδείαν. ἀναγκάζει μὲν ἐκ κτήσασθαι, καὶ διὰ ὁμιλίας οὐκ ἔλαβον. τὰ ταῦτα οὖν συντάσσεται γενικῇ, ὡς προείπομεν. ὅταν δὲ ἔχω τι καὶ στερηθῶ τότε, τότε ἀφῄρημαι συντακτέον αἰτιατικῇ. οἷον, ἀφῄρημαι τὸ ἱμάτιον. καὶ ὑφαιροῦμαι τὸ κλέπτω. Ἄλλως. Αἴρω, ἐνεργ. ἐπιτιθέασιν, παρατατικός. ἆρον. μέλλων. ἦρα, ἀόριστος. αἴρομαι, ἐπιτείνω, παρατατικός. ἀροῦμαι, μέλλων, ἀντὶ τοῦ λήψομαι. ἀρθήσομαι, ἀντὶ τοῦ μετεωρισθήσομαι. ἠράμην, ἀόριστος, ἀντὶ τοῦ ἔλαβον. ἤρθην δὲ, ἀντὶ τοῦ ἐμετεωρίσθην. λέγεται καὶ ἐπαρκὰς, ἐπὶ τοῦ γαλακτοπαρακειμένου. καὶ ἐπηρμένος, ἐπὶ παθητικοῦ. καὶ αἴρω, τὸ αὐτὸ καὶ ἀναιρῶ τὰ ἴδια. αἴρω, τὸ ὑψῶ καὶ ἀφανίζω, καὶ τὸ ἐπαμὴν ἐπὶ ἀνακαλυπτῶ. ὡς τὸ, Ἧρεν ὁ φέρων τὴν αἶσαν. καὶ τὸ ἄγω καὶ προσφέρω. ὡς Σοφοκλῆς, Αἶρε αὐτὴν αἶρε δεῦρο. ἀντὶ τοῦ, ἄγε καὶ προσφέρε. διαίρω, τὸ ἀνοίγω ἐπὶ σώματος. ἐξαίρω, τὸ ὑψῶ. μεταίρω, ἐπὶ μεταθέσεως. ἀνταίρω, τὸ μάχομαι. ὑπεραίρω, τὸ ὑψῶ. αἴρω, τὸ προσφέρω. ἀφ' οὗ καὶ περίζωμα, ὁ ἄρτος.

Αἱρῶ, καὶ αἱροῦμαι, τὸ κρατῶ καὶ τὸ λαμβάνω. οἷον αἱρῶ, ἀντὶ τοῦ λαμβάνεις. οἷον, ξίφη τε αἱρῶ, τὴν αὐτὴν ἐποίησε, καὶ πόλιν παραχωρῆσαι. ἢ αἱρῶ, τὸ κρατῶ καὶ καταβάλλω καὶ νικῶ. ἀφ' οὗ ἀναιρῶ, τὸ φονεύω. καὶ παθητικῶς ἀναιροῦμαι, ὃ σημαίνει τὸ λαμβάνω, καὶ τὸ φονεύομαι. συναιρῶ, τὸ συνάγω. καὶ καθαιρῶ, τὸ καταβάλλω. καὶ διαιρῶ, τὸ χωρίζω. περιαιρῶ, τὸ ἐκδύω, καὶ στερίσκω. καὶ ἀφαιρῶ, καὶ ἀφαιροῦμαι ἴσα τὰ ὅπλα, ὕφαιρῶ κλέπτω. καὶ αἱροῦμαι, τὸ βούλομαι, καὶ προκρίνω. ἀφ' οὗ τὸ προαιροῦμαι, ὅταν δύο ὄντων προκειμένων, τὸ ἕτερον προκρίνω. αἴρω, τὸ ὑψῶ. ἀφ' οὗ ἄρσω. ἀντὶ τοῦ μετεώρως καὶ κούφως, καὶ ἀντὶ τοῦ ἀφανιστικῶς καὶ ὁμοίως. ἀφ' οὗ ἐξαίρω, τὸ ὡς ἐξαίρεθεν ἐξελθεῖν, καὶ τὸ μεγαλύνω, καὶ ἐκβάλλω. καὶ καταίρω, τὸ ἐλλιμενίζω. καὶ ἀπαίρω, τὸ ἀναλύω, ἀπὸ τῶν πλεόντων καὶ ἐπαιρόντων τὰ ἱστία μετεωριζομένων. ἐπαίρω, τὸ ἐγείρω καὶ ἀνιστῶ. καὶ αἴρω, τὸ ἀφανίζω. ἀφ' οὗ, Ἧρεν ἐνεδρεύων ἐξ ὑμῶν ἰσραήλ. καὶ αἶρε στενάζων, μετὰ τοῦ στίχου ἀναφερόμενον διὰ τοῦ δίφθογγου. Αἶσα κατὰ τοὺς παλαιοὺς, παρὰ τὸ αἰῶ, τὸ μερίζω. ὅθεν καὶ μοῖρα λέγεται. ἡ εἱμαρμένη δὲ, ὡς ἀπὸ τοῦ μείρω, ὅπερ ταυτόν ἐστι τῷ δαίω, τὸ μερίζω. κατὰ τὴν αὐτὴν δὲ πρότερον καὶ ζωὴν φασί, τὴν τῆς ζωῆς αἰτίαν. καὶ δία, διὰ δὲ αὐτοῦ πάντα. καὶ πανεμπιπλώσειν, καὶ πάντα εἰς πέρας φέρει. Ὅμηρος, οὐδ' ὑπὲρ αἶσαν. ὅ ταυτόν ἐστι τῷ, κατ' αἶσαν. ὅμοιον γὰρ παρὰ φιλομέρῳ Σοφοκλεῖ. τὸ, Γινώσκουσα γνωστά μοι. καὶ ἐπὶ δέ, οὐδὲ μητρὶ λοχείας. καὶ τὸ, οὐδὲ ἐκ τοῦ μὴ ὄντος προμηθεῖς. ἡ αἶσα, ἡ μοῖρα. τὴν σοι ἐθέλειν αἶσαν ἔχειν. καὶ αἶσα, ἡ μανία. Σοφοκλῆς, Τὸν αἶσ' ἀπλατος ἴχει. γίνεται, μοῖρα. παρὰ τὸ δαίω τὸ μερίζω, ὁ μέλλων δαίσω, γίνεται δαῖσα, καὶ ἀποβολῇ τοῦ δ αἶσα, ἡ ἑκάστῳ μεμερισμένη, ἐπεὶ ἐστὶν αἶσα μήπω δέ καθὰ μήτε τὸ αὐτὸ ἴσα εἶναι, ἡ μὴ μεταβαλλομένη. διὸ καὶ ἴσον ἐποιεῖτο. Αἴσα βούλεται, αἰθάλη, κατανεῖ. Αἴσακος ὁ τῆς δάφνης κλάδος. ἢ ὁ τῆς μυρσίνης. ὃν κατέχοντες οἱ ᾄδοντες, ὕμνουν τοὺς θεοὺς αὐτόν. καλεῖται δὲ καὶ τὸ ξύλον ὁ αἴσακος, αἴσακος. Αἴσαλον, αἰθάλωσαι. Αἴσαλον, εἶδος ξύλου.

Αἴσηπος, ποταμὸς οὗ μέσος τῆς πόλεως, τῶν Κρητικῶν ἔμπορον. ἐστὶ δὲ καὶ ἄλλος ποταμὸς στενοῦ εἶδος. Αἰσάκων, εἶδος ἱέρακος. Αἴσυμνος, στεναγμὸς, καὶ στόμα κύκλον.

Αἴσιμα, τὰ προσήκοντα παρὰ τῶν αἰθέρων. ὅτι τὰ καθήκοντα, ἢ τὰ σοφά. ἰδὲ ἐπὶ δὲ, τὰ εἱμαρμένα. Αἴσιμος, ὁ χαλός, καὶ ἔλιμος, καὶ ἀμαθής. Αἰσιμῶ, τὸ καταναλίσκω.

Αἴσιον, τὸ καλὸν, μέτριον, δίκαιον. καὶ ὑπεραίσιον, τὸ ὑπὲρ τὴν μοῖραν, ὑπὲρ τὸ προσῆκον. Αἴσιος, ὁ καθήκων, ἀληθής. Αἰσχρὰ γυνή, ἄμορφος. Αἰσχύνη, ἡ διὰ κατεγνωσμένοις ἐπιγινομένη αἰδώς. Αἰσθάνομαι, τὸ νοῶ. μετὰ μετοχῆς συντάσσεται. οἷον, αἰσθάνομαι ἔξω τοῦ καιροῦ καὶ τοῦ μέτρου φερόμενος. εἰ δὲ πρὸς ἕτερον πρόσωπον, μετὰ αἰτιατικῆς συντάσσεται. οἷον, αἰσθάνομαί σε ποιοῦντα τόδε. αἰσθάνομαι, τὸ αἴσθησιν λαμβάνω. οἷον, αἰσθάνομαι καλῶς ὁ Ἄξις ἀκούσειε τραπέζης καὶ αἰσθάνομαι ψύχους, ἢ αἰσθάνομαι τοῦ λυπητικοῦ. αἰσθάνομαι οὖν τόδε τὸ πρᾶγμα, καὶ οὕτως. ἢ αἰσθάνομαί σε ποιοῦντα τόδε, ἢ αἰσθάνομαι τοῦ ψόφου. ὁ μέλλων αἰσθήσομαι, ἤσθημαι, ᾐσθόμην.

Αἴσθω, παρὰ τὸ αἰθῶ. ὁ μέλλων αἰθήσω. ὁ δεύτερος ἀόριστος, ἦθον. ὁ μέσος ἄεθμαι, ἔθον, ἔθεσθε. τὸ ἀκριβῶς κρίνω, αἰσθέσθαι. Αἰθέντης, οὗτος δύο σημαίνει. τὸ κατὰ δύναμιν, καὶ κατ' ἐνέργειαν. αἰθέντας γὰρ λέγονται καὶ οἱ κυριεύοντες, δύναμιν ἔχοντες τοῦ αἰθέντου. διαφέρει δὲ τὸ αἰθέντης, τοῦ αἰθέσθαι. τὸ μὲν γὰρ αἰθέντης, ἐπὶ τοῦ ἀκούειν ἀλλὰ τὸ δὲ αἴσθεσθαι, ἐπὶ τοῦ ἀκριβῶς εἰδέναι τι. καὶ περὶ μὲν οὖν αἰσθέσθαι, διαφορὰν ἐγκατέθηκεν ἐν πρὸς ἐγκεφάλῳ τούτῳ τῶν χειρῶν, καὶ ἐν τῷ Διονυσίῳ τὸ δεῖ πλείονας αἰσθομένους ἀπολειπομένους, καὶ ἄλλους πολίτας. περὶ δὲ τοῦ αἰσθέσθαι, ἤτοι, οὐ τὸ παρεῖναι, καὶ οὐ βεβαίως εἰδέναι, ἀναγκαῖον ἐπὶ τοῦ πρὸς ἀληθειαν φασίν, Οἶμαι μὲν ὑμᾶς, καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ἀλλ' ἀκριβῶς ἄλλως, οὐκ ἄλλο τι ἐστὶν κομίσασθαι, ἀλλὰ τὸ ἀληθὲς ἀμφισβητεῖται. ἐνταῦθα ἦν αὐτὸς ἐπὶ τοῦ εἰδέναι. ἐπ' αὐτοῦ, τὰ μὲν αὐτοῦ σπουδάσθαι, ὅτι ὑγίαινον ὁ παῖς, τῶν ἀκριβεστέρων αἰσθομένοις μαρτυρούντων. τὰ δὲ, ἀκοῇ παραδεδομένα. Αἶθε ἀντὶ, τοῦ εἴθε.

Αἶθε, εὐκτ. ἀντὶ τοῦ, εἴθε. Αἴθων, ὁ δὲ ἐστὶ θερμὸν αἴθων, ἐκκαίων. αἴτιον ὁ, θερμὸν αἴθει. ὃ ἔργησαν, ἀπὸ τοῦ αἴθω, ῥήματος σημαίνοντος τὸ καίω, παραγωγὸν ἔχομεν τὸ αἴθω. ἐν τῷ γίνεται αἴθω. ἢ φασὶν οὗτοι εἰς δὲ αἴθω. ἐξ οὗ ἡ μετοχὴ, αἴθων, καὶ κατὰ συναίρεσιν αἴθων. ἢ καὶ ἀπὸ τοῦ αἴω ἐστὶ παραγωγὴ αἴθω. ὡς ὄρματος, ὁρμαθός. ἀφ' οὗ ζύμη. αἴθω. Αἰθήρ, ὁ αἰθήρ ὁ ἰχωρ. ὅπερ αἰθέρος. Αἴθω, αἰθέριον αἴθει, καὶ ἀπὸ τῶν αἴθουσιν. καὶ νοῦς, τὸ νοερὸν, καὶ τὸ νοούμενον. καὶ ἀπὸ τοῦ, Νοῦς μὲν οὖν ἄλλο καὶ αἴσθησις. ἤγουν, τὰ νοητὰ, καὶ τὰ αἰσθητά. πάντα γὰρ οὕτως αἴσθησιν, ἐκεῖνα αὐτὸν διότι λέγεται. ἡ αἴσθησις ἐστι πνεῦμα νοερὸν, ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα συμ-

ἢ αἰπόλε, αἰπόλιον παρὰ τὸ μέγα. αἰπόλος δὲ, εἷς ἐστι τῶν ὀρχηστῶν παίδων, ὃς ἂν βασιλεὺς ἁρπάζων. Αἰπόλιον, αἰγονόμιον. Αἰπόλιε, αἰγιλίε. Αἰπόλος, αἰγονόμος, τιμὸν τῶν αἰγῶν. αἰπόλια δὲ, ὁ τῶν αἰγῶν ἀγέλη, καὶ ἐκπολος. Αἰπείας σε, αἰ ἐλείοις. Αἶπος, κάματος, ὁ ὑψηλὸς τόπος, ἡ ὑλώδης.

Αἰπυβαρύθοιας, ὄνομα πόλεως. αἰπὺς γὰρ ὀξυτόνως, ὁ χαλεπὸς καὶ σκληρὸς, ὁ ὑψηλὸς καὶ μέγας. ἢ αἰπὺ, βαρυτόνως λεκτέον. ὄνομα γάρ ἐστι πόλεως. τὸ δὲ ὀξυτονούμενον, ἐπίθετόν ἐστι, σημαίνει τὸ ὑψηλόν. τῶν μὲν τοῖς σ λεγόντων οὐδετέρων ἀρσενικῶν, τὰ θηλυκὰ εἰς α λήγει, τῇ ει διφθόγγῳ παραληγόμενα. οἷον αἰπὺ, αἰπεῖα κολώνη, ὀξὺ ὀξεῖα, ταχὺ ταχεῖα. Αἰπύματος, ὑψηλὸς, ὑψηλὰ κέρατα ἔχων. Αἶρα, ἡ τοῦ σίτου διαφθορά, διὰ διφθόγγου. ἔρα γὰρ ἡ γῆ, ψιλόν. σημαίνει δὲ καὶ τὴν σφαῖραν, καὶ ὄνομα πόλεως. Αἶρα, σφῦρα, ἀξίνη. Αἶρα, αἱ ὑπὸ δὲ, ἂν χειρί. Αἴρων, ἀγρίας βοτάνας. αἴρω, ἐστὶν αἴρω, ὁ μέλλων αἰρῶ, ὁ ἀόριστος ἦρα, ὁ μέλλων ὁ αἴρας. καὶ ἄρσαι τὸ α καὶ τὸ εἰς α μακρόν, αἴρειν. καὶ μέσα τοῦ τὸ μὴ ἐκφωνούμενον, διὰ τὸ μέγεθος τοῦ α. Αἰρεῖ πλήκτρον, πτύον ἢ πᾶλιν ἀμυντήριον. ἡ μεταφορὰ, ἀπὸ τῶν ἀλιευόντων. ἐκεῖνοι γὰρ ἔχουσι πλῆκτρα, οἷς μάχονται, ἢ ἡμεῖς ἐκεῖθεν λέγομεν τὸ ἐρίζειν, οἱ δὲ πλήκτρα. πλῆκτρα δέ εἰσι τὰ ἐμβαλλόμενα τοῖς πλοίοις τῶν ἁλιευόντων τὰ χαλκᾶ. Αἰρ, ἐξέβαλον. Αἰρεῖν, ἑλεῖν. Αἱρεῖσθαι, προαιρεῖσθαι. Οὐ σ' ἐμαίρεσθαι, οὐχ ὑπὸ λαχεῖν μέρος. Αἱρετίζω, τὰ τῶν αἱρετικῶν φρονῶ, καὶ τὸ προαιροῦμαι. ἐξ οὗ καὶ αἱρετισάμενος. Αἵρεσις, βούλησις. Αἱρέομαι, ἐπιλέγομαι.

Αἱρεθέντες, κατὰ κράτος ληφθέντες. Αἰρεῖ, λέξις θυραῖς τε ἀπαλοῖς τοῦ ἀμφικαλύψειν. ἐκ λέξεως ὁ ἔρως τοῖς κατ' αὐτὸν διαπόρως ἀμφικαλύψας εἶναί με. γλωσσῶν μὲν ἐστι παρ' Ὁμήρῳ ἐν τῇ Ἰλιάδι. γλωσσῶν ἐστι αἱρεῖ, περιφραστικῶς ἐστι τὸ ἔραμαι. Αἱρεῖ τῶν σωτήρων, παρ' Λαυσεφανεῖ, ὑψηλῶς, ἀλοξαῖς ἑξῆς ἐπαινεῖς. ἐστι τῆς αἰτίας σώτειρα λεγομένη, ἡ ἔθνειν.

Αἱρεῖ, καταλαμβάνει. ἡ αἵρεσις, τὸ κατακρατεῖν τι λαμβάνειν. ἢ καταλαμβάνειν. ὁ αἱρεῖ, ἐγείρει, αὔξει, ἀναιρεῖ, βαστάζει. Αἱρεῖν μάχεσθαι, οὕτως εἰώθασι λέγειν, ἀντὶ τοῦ ὀργίζεσθαι. εἰ, τὸ ἄγειν κινῶς ἔρχεσθαι. Αἱρεῖν παρεῖρας, παθητικῶς, αὔξειν. Αἱρεῖσθαι, ἐκ τοῦ αἱρέω αἱρῶ, καὶ τὸ παθητικὸν, αἱροῦμαι. ὁ παρατατικὸς, ἡρούμην ἡρούμην, ὁ ἡροῦ. καὶ τὸ προστακτικὸν, αἱροῦ αἱρείσθω. τὸ τρίτον τοῦ πληθυντικοῦ, αἱρείσθωσαν αἱρείσθωσαν.

Αἱρεῖσθαι, ἀγαπᾶσθαι, κρατεῖν. καὶ αἱρεῖσθαι, τὸ βούλεσθαι, τὸ ἐθέλειν, τὸ χαίρεσθαι. τὸ ἐφίεσθαι. τὰ προαιρετικὰ ῥήματα δύο συντάξεις ἔχουσι. μίαν, μετὰ ἀπαρεμφάτου ῥήματος. οἷον, αἱροῦμαι λέγειν, θέλω γράφειν, βούλομαι λαλεῖν. καὶ τὰ ἑξῆς ὁμοίως. ἑτέραν δὲ, μετὰ ἐγκλίσεως ὑποτακτικῆς. οἷον, ἐθέλω ἵνα γράφω. βούλομαι ἵνα λαλῶ. καὶ τὰ ἄλλα ὡσαύτως. ταύτας τὰς δύο συντάξεις ὁ ποιητὴς ἐν μιᾷ ἐννοίᾳ ἐνθεὶς φησίν, ἢ ἐθέλεις ὄφρ' αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἐμὲ αὕτως ἧσθαι δευόμενον. Αἱρεῖται, καταλείπεται, λαμβάνεται. Αἱρεῖν ἐξῆς πόλλα παλοῦ. ἐπὶ τοῦ βουλομένου μὴ ἐν πράγμασιν εἶναι. λέγεται δὲ καὶ αἱρεῖν ἐξῆς τὰ ἐλαιωτικά. Αἱρεῖν, τὸ προσφέρειν δηλοῖ. λίαν αἱρεῖ μάχην ὡς τάχιστα καθαίρειν, ἀνασφάλως. Αἱρεῖσθαι, προσλαμβάνειν. αἱρῶ αὐτὴν πρὸς ἐμαυτόν. Αἱρεῖ, φονεύει, ἀναιρεῖ. Σοφοκλῆς, πόλεμος τῆς οὐδὲν ἄνδρ' ἑκὼν αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί. σημαίνει τῆς τὸ καταλαμβάνει. Αἱρετώτερον, προκριτώτερον. οὐκ ἐκ παραλλήλου κεῖται τὸ αἱρετώτερον τῷ βελτίονι. ἀλλ' ἐπιπλεῖον τὸ βέλτιον, τοῦ αἱρετωτέρου. τὸ μὲν γὰρ αἱρετώτερον, ἐν τοῖς αἱρετοῖς καὶ μόνοις. τὸ δὲ βέλτιον, καὶ ἐν ἄλλοις. καὶ γὰρ ἐν θεωρητικοῖς καὶ φυσικοῖς καὶ λογικοῖς, ἡ γένεσις τοῦ βελτίονος. ὁ δὲ ζητῶν, πότερον βελτίων οὐσία ἡ κινουμένη ἢ ἡ ἀκίνητος, φυσικὸν μεταχειρίζεται πρόβλημα. λογικὸν δὲ, ὁ ζητῶν πότερον βέλτιον, ἐπαγωγὴ ἢ συλλογισμός. θεωρητικὸν δὲ, ὁ ζητῶν πότερον ἡ φρόνησις πρακτικωτέρα, ἢ θεωρητική. Αἱρούμενος, φερόμενος. καὶ αἱρούμενος, ἐπαιρόμενος, ὑψιζόμενος. Αἵρεσις, ἡ ἁπλῶς βούλησις. προαίρεσις δὲ καὶ πρόκρισις, ἡ ἐπὶ δύο πραγμάτων, ὅταν τὸ ἓν προκρίνωσι τοῦ ἑτέρου. ἡ αἵρεσις ἐστιν, ἡ περὶ πίστεως οὐκ ἀληθὴς δόξα. ἡ δόξα πλειόνων ἀνθρώπων, πρὸς ἀλλήλους μὲν συμφωνούντων, πρὸς ἄλλους δὲ διαφωνούντων. ἡ αἵρεσις ἐστιν, ὡς μὲν ἐν ἠθικοῖς, προαίρεσις. ὡς δὲ φυσικὴ, δύναμις. ὡς δὲ συνταξικὴ, ἰδιότης. ὡς δὲ διαφορίζουσα, διαφορά. ὡς δὲ τοπικὴ, κίνησις. ὡς δὲ χαρακτηριστικὸν, ὑπόσχεσις. ἢ καὶ ἄλλως. Αἵρεσις ἐστι, κατασκευή, κατάλυσις. ὡς τὸ, διὸ καὶ πρῶτον τῶν ἄλλων ἐπιδιδοῦ διὰ τὸ ἐκλελῦσθαι, ὡς σοφίαν τὸ λεγόμενον ἐξ ὧν ἡ αἵρεσις γίνεται τῶν θεοφιλῶν καὶ ἀρχαιοτέρων, ἢ δέ μοι τι καὶ ἐπιταλαιπωρηθέντων. ἡ αἵρεσις ἐστιν, ἡ λόγῳ τινὶ ἀκολουθία τῷ φαινομένῳ ἀκολουθοῦσα, ἡ δοκοῦσα ἀκολουθεῖν. ἰστέον δὲ, ὅτι καὶ φασὶν αἱρέσεως εἶναι τῶν φιλοσόφων ὀγδοάς, πρώτην μεγαρικὴν, ἐρετρικὴν, κυρηναϊκὴν, ἐπικούρειον, ἀννικέρειον, θεοδώρειον, ζηνώνειον τὴν καὶ στωϊκὴν, ἀκαδημαϊκὴν, περιπατητικήν. οὔτε δὲ κυνικὴν, οὔτε ἠλιακὴν, οὔτε διαλεκτικήν. τὴν μὲν πυῤῥώνειον, οὐδ' οἱ πλείους προσποιοῦνται, διὰ τὴν ἀσάφειαν. οἱ μὲν γὰρ αἵρεσιν νομίζουσι, πρόσκλισιν ἐν δόγμασιν ἀκολουθίαν ἔχουσαν. οὐκ ἂν προσαγορεύοιτο αἵρεσις ἡ πυῤῥώνειος. οὐ γὰρ ἔχει δόγματα. ἔτι δὲ καὶ ἐκλεκτική τις εἰσήχθη ὑπὸ Ποτάμωνος τοῦ ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστης τῶν αἱρέσεων. καθόσα δέ φησιν εἶναι τἀληθῆ, τὸ μὲν, ὡς ὑφ' οὗ γίνεται ἡ κρίσις, τουτέστι, τὸ ἡγεμονικόν. τὸ δὲ, ὡς δι' οὗ, οἷον, τὴν ἀκριβεστάτην φαντασίαν. ἀρχάς τε τῶν ὅλων, τήν τε ὕλην, καὶ τὸ ποιοῦν, ποιότητα τε καὶ τόπον. ἐξ οὗ γὰρ καὶ ὑφ' οὗ, καὶ ποίῳ, καὶ ἐν ᾧ. τέλος γὰρ εἶναι, ἐφ' ᾧ πάντα ἀναφέρεται. ζωὴν κατὰ πᾶσαν ἀρετὴν τελείαν, οὐκ ἄνευ τῶν τοῦ σώματος κατὰ φύσιν, καὶ τῶν ἐκτός. Αἱρετὴν, ἐπιθυμητόν. διττῶς δὲ λέγεται, τὸ καλὸν, καὶ ἁπλῶς, καὶ τὸ συμφέρον.

Αἱρόχιον, τὸ κόσκινον, ἐν ᾧ αἱ πυροὶ σήθονται. ἀπὸ τοῦ τὰς αἵρας διαλαλεῖν, ὅ ἐστι διαχωρίζειν. λέγεται καὶ τὸ σκηνοτεῖον. Αἱρῶ, βούλομαι. ἐπὶ τῆς αὐτῆς αἱρῶ λέγω. Αἱρεῖν, βελτεῖν.

Αἱρέομαι, λήψομαι, σκέψομαι, βουλεύομαι. Αἱρεῖται, προαιρέτερον ἡγῆσθαι. Αἱρετίζειν, αἱρεῖσθαι, ἀρέσκεσθαι.

Αἱρετὶς, ἀγαπητὸς, ἠγαπημένη. Αἱρούμενον, λαμβανόμενον. παρὰ τὸ αἱρῶ, τὸ λαμβάνω. αἱρῶ οὖν αἱροῦμαι, αἱρούμενον, καὶ φωνῇ διαλεκτικῇ, αἱρεύμενον. Αἱρεύμενοι. Ὅμηρος, ἐκ μεσαύλων αἱρεύμενοι. ἀντὶ τοῦ, ὑφαιρούμενοι ἐκ τῶν βοσκημάτων, πτῆσιν ἀποκλείσαντες. τούτων τῆς ε ὑφαιρεθέντος ἢ τὰ ἐξαίρετα ἐκ συστάσεως διαιρούμενοι διαρπάζοντες. Αἱρήσων, ἀπὸ τοῦ αἱρέω, αἱρῶ. ὁ μέλλων αἱρήσω, καὶ τὸ ἀπαρέμφατον αἱρήσειν. καὶ συντάσσεται αἰτιατικῇ. σημαίνει δὲ, τὸ διαχωρίζειν. ἐξ οὗ διαιρῶ, ὃ συντάσσεται μετὰ γενικῆς καὶ αἰτιατικῆς. καὶ αἱρῶ, τὸ καταλαμβάνω. ἔστι καὶ αἴρω τὸ ὑψίζω, καὶ αἴρω τὸ προσφέρω. ἐξ οὗ ἄρτος.

Αἱρήσω, φθερῶ, περιέσω, ἐξερημώσω, διαλέξω. Λυκόφρονος, κλῆσις κλήσιον αἱρήσω. καὶ αἱρήσομεν παρ' Ὁμήρῳ, καθαιρήσομεν, περιέσομεν, ἐξερημώσομεν. γράφεται καὶ ἐν τῷ περὶ λόγου χωρὶς τοῦ προθέσεως, ἐπὶ τοῦ αὐτοῦ σημαινόμενον. Αἱρεῖν λαί, αἱ τῶν μεγάλων ὀνομάτων καταιγίδες ἢ συστροφαί. Αἱροῦμαι, τὸ εἰς φόρον λαμβάνω. Αἱροῦμαι, προκρίνω. οἷον, αἱροῦμαι τόδε τοῦδε. Αἱρουμένην, ἐπιλεγομένην. ἰδίως καὶ ὁ αἱρετικὸς, ὁ ἄλλο τι παρὰ τὴν ἀλήθειαν αἱρούμενος ἔχειν. Αἶρος, ἐπὶ κακοῦ ἶρος ὀνομασθείς. Αἱρεῦντας, μισοῦντας. Αἱροῦμαι, ἐπαιδεύομαι, ἢ λαμβάνω, ἢ βούλομαι. Αἱρομένα, ἐπαιρομένα. Αἱρουμένοις, βουλομένοις. Αἶρρον, ἄῤῥητον, ἀδύνατον, ἀκολάκευτον. Αἱρῶ, τὸ κρατῶ καὶ καταβάλλω. οἷον, ὁ πόλεμος τὰ ἄνδρα αἱρεῖ. αἱροῦμαι δὲ παθητικῶς, τὸ προκρίνω, καὶ βούλομαι. ἐξ οὗ καὶ αἵρεσις, ἡ ἁπλῶς βούλησις. προαί-

τῆς λημίων. Αἰνότατον, δεινότατον. Αἰνοτόκος, κακὴ γένεσις. καὶ αἰνοτόκος, ὁ ἐπὶ κακῷ τεκών. Αἶνε, ἐπαίνει, ὕμνει. Αἰνῶς, καὶ αἰνότατα. ἀπὸ τοῦ δεινῶς, τροπῇ τοῦ ε εἰς α, καὶ ἀποβολῇ τοῦ δ αἰνῶς. σημαίνει καὶ τὸ λίαν. Αἰνῶς ἀκτίνεσσιν ἐοικότες ἠελίοιο. σημαίνει δὲ καὶ τὸ ἐκπληκτικῶς. Αἰνίζομαι, ἐπαινῶ. οἷον, περὶ δ᾽ αὖ σε βροτῶν αἰνίζομαι πάντων. ὁμοίως παράκειται τὸ πολεμίζω, προκαλίζω, νεμεσίζω. Αἴνυμαι, τὸ ἀφαιροῦμαι, ἢ τὸ λαμβάνω. Ὅμηρος, ὁ δ᾽ ἐξαίνυτο καμπύλα τόξα.

Αἰνύμενος, ἀπὸ τοῦ αἴνυμαι, ἀφαιρούμενος, λαμβάνων. ὅθεν καὶ ὁ ἐπαινούμενος. Αἴνυται, ἀφαιρεῖται, λαμβάνει, μανθάνει.

Αἴνημι, ἐκ τοῦ ἐπαινῶ λέγουσιν αἰολεῖς. Αἰνῶ, τὸ ἐπαινῶ, καὶ ὑμνῶ. καὶ αἶνος ὁ ἔπαινος, καὶ ὕμνος. παρὰ δὲ τοῖς ποιηταῖς, ὁ λόγος. ἀφ᾽ οὗ παραινῶ, καὶ συναινῶ. αἰνῶ καὶ τὸ παραινοῦμαι.

Αἰνῶν, ἐπαινῶν. Αἰνῶς ἀντὶ τοῦ λίαν, μεταληπτικόν τί ἐστιν. αἰνῶς γὰρ καὶ δεινῶς ταυτόσημά ἐστιν, οὐδέποτε δὲ δεινῶς καὶ λίαν. καὶ αἰνῶς ἄρα, ἀντὶ τοῦ λίαν ἔστι. Αἴξ, ζῷον ἐκ τοῦ ἀΐξαι, ἀρσενικῶς παρ᾽ ἀττικοῖς λέγεται. ὁμοίως καὶ αἴξων, ὥσπερ ὄνομα, ἐξ οὗ καὶ δῆμος ἀττικὸς οἱ αἰξωνεῖς. ἢ αἴξ, παρὰ τὸ ἀΐσσω, τὸ ὁρμῶ, γίνεται ἀΐξ, καὶ κατὰ συναίρεσιν, αἴξ. ὅθεν Ὅμηρος ἴξαλον ταύτην εἶπεν. Αἲξ οὐρανία, τὰ τοῦ Λακκοῦ κνώδαλα γένη. ᾧ ἐψήφιζον ἢ ἐχειροτόνουν. Αἲξ ἑαυτῇ τὴν μάχαιραν. παροιμία ἐπὶ τῶν κακόν τι ἑαυτοῖς ποιούντων, ἀπὸ ἱστορίας τοιαύτης. Κορίνθιοι θυσίαν τελοῦντες, Ἥρᾳ τῇ θεῷ αἶγα ἔθυον. τῶν δὲ κομισάντων μισθωτῶν κρυψάντων τὴν μάχαιραν, καὶ σκηπτομένων ἐπιλελῆσθαι, ἡ αἲξ τοῖς ποσὶν ἀνασκαλεύουσα ἀνέφηνε. καὶ τῶν μὲν ἀπέφηνεν αὐτῶν διέλεγξιν, ἑαυτῇ δὲ τῆς σφαγῆς αἰτία γέγονεν. ὅθεν ἡ παροιμία. Αἶξαι, ὁρμῆσαι. Αἰξωνεία, ἡ βλασφημία. καὶ αἰξωνεύεσθαι τὸ κατηγορεῖν, καὶ βλασφημεῖν. μετῆκται δὲ ἀπὸ τῶν αἰξωνέων. βλάσφημοι γὰρ κωμῳδοῦνται εἶναι οἱ αἰξωνεῖς. ὅθεν καὶ αἰξωνικός, ὁ βλάσφημος. Αἰξωνῆς, δῆμος φυλῆς τῆς Κεκροπίδος. Αἰξωνίδα τρίγλαν. δοκοῦσιν αὗται κάλλισται εἶναι, καὶ τῶν ἄλλων διαφέρειν. Αἰόλα, πόλις Δελφοῖς γένος τι.

Αἰόλαν, κυλικνίδα. Ἀριστοφάνης, Αἰόλαν χορείαν ἐφθεγξάμεθα. σημαίνει δὲ καὶ τὴν σκυταλίδα. Αἰόλη νύξ, μέλαινα. ἢ ποικίλη διὰ τὰ ἄστρα. Σοφοκλῆς Τραχινίαις. Αἰολεύς, ὁ κακίστωμος, ὁ κελίκων. Αἰόλα νὺξ παρὰ Σοφοκλεῖ, οὐ μόνον κατὰ τὸ ἐν ἄστροις ποικίλον αὐτῆς, καθ᾽ ὃ καὶ ποικιλείμων παρ᾽ Αἰσχύλῳ λέγεται, ἀλλὰ κατὰ τὰς ῥυθμίσεις ὁμοιώσεις τοῦ θεοῦ τούτου ὡς ἱερεῖ ζητεῖ. Αἰολεῖν, ἁπλῶς τὸ κινεῖν. δοκεῖ δὲ τοῖς παλαιοῖς γίνεσθαι παρὰ τὴν ἄελλαν τὸ αἰόλλειν, ὅ ἐστι ποικίλως καὶ πυκνῶς καὶ ταχέως στρέφειν καὶ κινεῖν. αἰολίω, τὸ ποικίλω. Αἰολίδι μολπᾷ, ἤτοι ποικίλῃ. ποικίλα γὰρ τὰ λυρικά. ἢ θηβαίᾳ. οἱ γὰρ αἰολεῖς ᾤκουν τὰς θήβας. Ἄλλως. Τινές φασιν ὅτι ἄνωθεν αἰολεὺς τὸ γένος ὁ Πίνδαρος. οἱ δὲ ὅτι αἰολίῳ ῥυθμῷ διὰ τὸ μουσικῆς χρῆται τῶν ποιημάτων. Αἰολισθέν, σκιά, ὀλίγος χρόνος.

Αἰολίδαι, ποικίλους, ταχεῖς. Αἰολίων, ἡ τοῦ αἰόλου νῆσος.

Αἰολίδας παρὰ Ἀπολλωνίῳ, οὐκ ἀπὸ αἰόλου, ἀλλ᾽ ἀπὸ τῶν αἰόλου. σισύφου γὰρ παῖδες ἐγένοντο, ἄλμος καὶ πορφυρίων. γόνος δὲ τοῦ ἄλμου καὶ ποσειδῶνος, μινύας ὁ τὸν ὀρχομενὸν κτίσας. καὶ κατὰ τοῦτο εἴρηται αἰολίδας, ὅτι σίσυφος αἰόλου ἐγένετο. μινύας δὲ κατὰ μητέρα αἰολίδας, πατρὸς δὲ ποσειδῶνος. τὴν οὖν Ἀπολλώνιός φησιν εἰς τὴν βοιωτίαν εἰσβάλλοντα ὅμορον θηβαίοις, ὀρχομενὸν κτίσαι. Αἰολίζω, τὰ τῶν αἰολῶν φρονῶ. καὶ αἰολίζω, ποικίλω. καὶ αἰολίζεσθαι, ἀθροίζεσθαι. Ἀολλής, Διόλαος. ἐκλήθη δὲ, ἀπὸ αἰόλου τοῦ ἕλληνος. ὃ ἔγραψεν Ἀλκαῖος. Αἰολίωνες, οἱ αἰολεῖς. ἀπὸ τοῦ αἰόλου. Αἰολικὸν θέαμα, ἀντὶ τοῦ καλλωπιστικόν, παρὰ Θεοκρίτῳ. ἢ τὸ κατάδηλον, αἰολὶς ἐκαλεῖτο.

Αἰολικῶς, ποικίλως. Αἰολόδωρον, ποικίλον δῶρον.

Αἰολοθώρηξ, ποικίλον θώρακα ἔχων. Αἴολοι τὰ μέσα, οἱ σφῆκες. ἢ ὡς εὐκίνητοι, διὰ τὴν ἰσθμίαν, καὶ τὴν ἔκτοσθεν πτέρωσιν. ἢ διὰ τὸ παμφάγοι ὄντες, ποικίλοι καὶ ἐπίξανθοι τὴν χρόαν εἰσίν. οὐ μὴν αἱ μέλισσαι διαιτῶνται. οὔτε γὰρ παμφάγοι ἐκεῖναι, οὔτε ποικίλαι κατὰ τὴν σφηκῶν εἰσίν. ἐν τῷ μ τῆς Ἰλιάδος. καὶ αἰόλον λέγεται τὸ ποικίλον. αἰόλον δὲ, τὸ ταχύ, ἀπὸ τοῦ ἀέλλα. ἀφ᾽ οὗ κορυθαίολος Ἕκτωρ. καὶ αἴολοι σφῆκες, οἱ κατὰ τὸ μέσον στενοχῶς κινούμενοι. καὶ πόδας αἰόλος ἵππος, ἤγουν ποδώκης, πρὸς διακρίνειν τῶν ἄλλων σημαινομένων τοῦ αἰόλος. ἰστέον δὲ, ὅτι τὸ αἴολον τὸ κινεῖν, ἐξ οὗ αἰολίδης ὁ σίσυφος, βούλεται ἡ τέχνη τὰ διαφόρως τεταγμένα λέξεων προπαροξύνεσθαι, πρὸς διαφορὰν τοῦ αἰόλος ὁ ποικίλος. αἴολος γάρ φασι τὸ κινεῖν. Αἰολομίτρας, ποικίλην ἔχοντας τὴν μίτραν. μίτρα δὲ ἡ πολεμικὴ ζώνη, ἔ. Αἰόλου νῆσοι. ἑπτὰ αὗται, στρογγύλη, εὐώνυμος, ἱερά, λιπάρα, διδύμη, ἐρικώδης, φοινικώδης, περὶ σικελίαν. Αἰολοπώλους Φρύγας λέγει Ὅμηρος. ὡς εἴ τις εἴποι ταχυίππους, ἢ ἱπποτάς, ὡς ἐφίππων. αἰόλα γὰρ, τὸ ταχέως καὶ δίνην ἄλλως κινεῖν. ἢ ποικίλως ἱππαζομένους. Ἄλλως. Αἰολοπώλους, ταχυπώλους, ἢ τοὺς ποικίλως ἱππαζομένους. γίνεται παρὰ τὸ αἰόλω, ὃ σημαίνει τὸ κινῶ, καὶ τὸ πῶλος. διὰ τὸ παρὰ τὸ ἐν τῇ πείᾳ ἀλλοιοῦσθαι, πόαλος, καὶ πῶλος προπερισπώμενος. ἐπειδὴ τὰ εἰς ος δισύλλαβα προπερισπώμενα, ἐν τῇ συνθέσει προπαροξύνεται. οἷον οἶκος, ἄοικος, κοῦρος, ἐπίκουρος. οὕτω καὶ πῶλος, αἰολόπωλος. Αἰόλος, ποικίλος, ἢ εὐκίνητος. ἀπὸ τοῦ αἰολεῖν, ὅ ἐστι κινεῖν. Αἰολώτιον, ποικίλον. Αἰονηγός, δεινός, φαῦλος.

Αἰονᾶν, καταντλεῖν, καταχέειν, λούειν. Ἄιον, ἀντὶ τοῦ κατὰ ψυχὴν ἠσθανόμην φασίν. ἐκ δὲ τοῦ ἀΐω, καὶ ἀΐθω γίνεται. ἀφ᾽ οὗ κατὰ συναίρεσιν τὸ αἴθω, καὶ ἡ αἴσθησις. ὅρα δὲ ἐκ τοῦ ἄω, καὶ τὸ ἆθμα γίνεται, καὶ τὸ ἄιον ἐπὶ ἀκοῆς. καὶ τὸ ἄιον ἦτορ. καὶ ἔστι τὸ ἄιον ἦτορ οὐ μακρὰν ἐστὶ τοῦ ἀσθμαίνειν. διὰ γοῦν εἰπόντι, ὅτι φίλον ἄιον ἦτορ, ἀνηκόου ἐγράφη. Αἰόνες, αἰγιαλοί. Αἰόρ, μάταιον καὶ κάτοπτον, ἢ ἐγκεκλιμένον, ἢ πλάγιον. Αἰόντες, αἰσθανόμενοι. Αἰπὰ ῥέεθρα, ὑψηλά, χαλεπά. τὸ αἰπὰ βαρύνεται. ἢ ἀπὸ συνεσταλμένης εὐθείας τοῦ τὸ αἶπον, ὡς κακὸν κακά. ἢ κατὰ τοὺς παλαιούς, ἀπὸ τοῦ αἰπεῖα κατὰ συγκοπήν. κεῖται δὲ ἡ λέξις παρ᾽ Ὁμήρῳ, ἐπὶ ποταμοῦ Φοινικοῦ. συγχρᾶται δὲ τὸ αἰπύ, καὶ ἡ αἰπή, ἡ χρῆσις πολλαχοῦ. Ἄλλως. Αἰπὰ ῥέεθρα, τὰ δύσβατα καὶ ὑψηλά, ἀπὸ τῶν ἀκρωτηρίων. συστέλλει δὲ τὴν λέγουσαν, ὡς ἀπὸ τοῦ αἰπεῖα συγκοπὴν κατὰ τοὺς παλαιούς. ἢ καὶ ἀπὸ τοῦ αἰπύς, ἡ αἰπή, τὸ αἰπύ. τὸ δὲ αἰπὺς ἡ χρῆσις, πολλαχοῦ. Αἴπεια, πόλις Λακωνική, ἡ ἐν ἄργει, προπαροξυτόνως. ὡς φίλαι, ἐπὶ διαβολῇ τοῦ ἐπιθέτου. ἐν δὲ Λίβυσι, ἑτέρα κώμη, καὶ ἄλλη Κρήτης. Αἰπεῖα, ὑψηλά. τὰ ἀπὸ τοῦ εἰς υς διὰ τοῦ ει χαμαιζόμενα θηλυκά, διὰ τῆς ει διφθόγγου γράφεται. οἷον αἰπὺς αἰπεῖα, ταχὺς ταχεῖα, θῆλυς θήλεια. ταῦτα δὲ τὰ εἰς υς εἰ μὲν βαρύτονα, προπαροξύνουσι τὰ θηλυκά. οἷον θῆλυς θήλεια, ἥμισυς ἡμίσεια. εἰ δ᾽ ὀξύτονα, προπερισπῶσιν ἐκεῖνα. οἷον, αἰπὺς αἰπεῖα. χωρὶς τοῦ ἐλαχὺς ἐλάχεια, ἡ μικρά. καὶ λιγὺς λίγεια, ἡ ὀξεῖα. Αἰπεινή, ὑψηλή. αἰπεινὴν ἐπὶ λάτῃ, ἴσως βάτος. Αἰπεινός, ὁ χαλεπός. Αἰπεινά, ὑψηλά. Αἰπῷ, ὕψῳ. Αἰπήεσσα, ὑψηλή. Αἰπόλοι, οἱ αἰγονόμοι, παρὰ τὸ ἐν αἰπεῖ, ὅ ἐστιν ὑψηλοῖς τόποις πελεῖν. χαίρουσι γὰρ αἱ αἶγες ὑψηλοῖς. καὶ αἶπον τὸ ἀκρωτήριον ἐπὶ ὀρεινοῦ. ἡ εὐθεῖα, ὁ αἰπός. οἶμαι δὲ ὅτι ἔστι καὶ αἶπος τὸ ὕψος, ἐπὶ οὐδετέρου.

Αἰπόλος λέγεται, οὐ μόνον ὁ αἰγοπόλος, καὶ ὁ ἄγων αἶγας, ἀλλὰ κατά τινας καὶ ὁ αἰπόλος, ἤγουν ὁ περὶ τὰ ὕψη πολῶν. διὰ τὸ τὰς αἶγας μάλιστα τοῖς τραχέσι χαίρειν. διὸ καὶ αἱ νῆσοι αἱ τραχεῖαι αἰγίβοτοι εἰσίν. Αἶπος, τὸ ὕψος. καὶ αἰπεινός, ὁ ὑψηλός. καὶ αἰπύς, ὁ δεινός, μέγας, ὑψηλός, χαλεπός, μετέωρος. διὰ διφθόγγου ταῦτα γράφεται. καὶ αἰπὺν ὄλεθρον, τὸν χαλεπὸν καὶ μέγαν ἢ ὑψηλόν. Αἰπυτάτην, ὑψηλοτάτην. Αἰπύειον, ὑψηλόν, ὑπὸ τοῦ αἰπύς.

μοις οὐκ ἔστιν ὠνομασμένον. ἀλλ' ὁ μὲν κατήγορος τίμημα ἐπιγράφεται ὁπόσου δοκεῖ ἄξιον εἶναι τὸ ἀδίκημα. οἱ δὲ δικασταὶ, κρίνουσι. καὶ αἰκία, ὕβρις, μάστιξ. διαφέρει δὲ ὕβρεως αἰκία. αἰκία μὲν γὰρ, ἡ διὰ πληγῶν. ὕβρις δὲ, ἡ ἄνευ πληγῶν, μετὰ προπηλακισμοῦ καὶ ἐπιβουλῆς. Αἰκίζομαι τὸ ὑβρίζω. αἰκίζομαί σε, καὶ αἰκίζομαί σοι. τὸ δὲ ἀκίζω, ποιητικώτερον. Αἰκίζω, τὸ μαστίζω. ἀπὸ τοῦ ἀεικὴς, ὃ σημαίνει τὸν σκληρὸν, καὶ ἀπρεπῆ. Αἰκίσμασι, πληγαῖς, μάστιξιν. Αἰκισμῶν, μαστίγων, πληγῶν. Αἰκιῶν, βασάνων, πληγῶν. Αἰκλαι, αἱ γωνίαι τοῦ βέλους. Αἶκλον, δεῖπνον.

Αἶκλος, ὁ ἑσπέριος. Αἰκλά, αἰσχρά. Αἶκτος, ἀπρόσιτος. Αἰκτή, ἡ κρηπίς. οἱ δὲ, ἡ ἀκτή. Αἰκυλα, αἰσχρά. λαθραῖα. Αἰκῶς, αἰκιστικῶς, ὑβριστικῶς, χαλεπῶς. ἀπὸ τῆς αἰκίας. ἤγουν, τῆς τιμωρίας. Αἰκίστρια, ἡ αἰκιστής. Αἰκίζεσθαι, γίνεται ἐκ τοῦ ἀεικίζεσθαι, ἐκβολῇ τοῦ ε, καὶ συναιρέσει τοῦ α καὶ ι.

Αἰκοῦλοι, ἔθνος. Αἰλά, ἀντὶ τοῦ καλά. Αἴλινον κοπετὸς, καὶ ἐπὶ θρήνου καὶ ἐπὶ ὕμνου. εἴρηται ἀπὸ Λίνου τοῦ κιθαριστοῦ. Αἰλία, πόλις Παλαιστίνης, ἡ πάλαι Ἱεροσόλυμα, ἀπὸ Αἰλίου Ἀδριανοῦ. ὁ πολίτης, αἰλιώτης. Αἴλινος, ὁ θρῆνος. ἡ ὁ λυρικὸς καὶ θρηνώδης καὶ αὐλός. Αἴλιος, ὁ σεβαστὸς καὶ εἶδος βοτάνης. Αἰλιον, κακοσίλιον. οὐ γὰρ πλεονασμός. Αἰλέν, θυμιῶσιν. Αἰλόφοινι, ἀγριόφωνον. Αἰλουρίς. ῥίζα τις, οὕτω καλουμένη.

Αἴλουρος, τὸ ζῶον, παρὰ τὸ αἰόλλειν τὴν οὐράν. Αἷμα, ἡ συγγένεια, καὶ ὁ χυμός. σύναιμος δὲ, ἀδελφός. ἢ αἷμα, ἡ τελευταία τροφὴ τοῖς ἐναίμοις ζώοις. καὶ αἷμα τε γένος ταύτης τῆς γενεῆς. καὶ αἵματος τε εὔχομαι εἶναι. καὶ τῶν ἐν ἡμῖν τεσσάρων χυμῶν τὸ κρατιώτατον. Αἱμαβόρα, αἷμα ἐσθίοντος. βορὰ γὰρ, ἡ τροφή.

Αἱμαλία, ἀγριότης. Αἱμαλιὰ, μέλας χυμός. Αἱμαλέον, ἀσθενῆ. Αἱμακουρίας, τὰ τῶν νεκρῶν ἐναγίσματα δωριεῖς λέγουσι. ἄλλως. Αἱμακουρία βοιωτικὴ ἡ φωνή. βοιωτοὶ γὰρ αἱμακουρίας τὰ τῶν νεκρῶν ἐναγίσματα λέγουσι. ἡ παρὰ τὸ πελανὸν αἱμακουρίαις, τοῖς μετ' αἱμάτων γινομένοις ἐναγισμοῖς. καὶ ἐοικότως δὲ εἰρήκασι παρὰ Πίνδαρον. ἡ δὲ ἐτυμολογία, ἀπὸ τοῦ κορέννυσθαι τὰς ψυχὰς αἵματος. Αἱμασιὰ κατὰ τοὺς παλαιοὺς, τὸ ἐκ χαλίκων ὠκοδομημένον τεῖχος ἄνευ πηλοῦ, ὅμοιον φραγμῷ. ἢ τὸ ἐκ πολλῶν λίθων λογάδων ἄθροισμα. ἢ ὁ ἐκ χαλίκων οἰκοδομὴ, τειχίον, θριγκός. ἀττικοὶ καὶ ἴωνες φασὶν αἱμασιὰν, τὸ τειχίον. τὸ δὲ αὐτὸ, ἔλαφος οἶμαι Λυσίας καλεῖ. καὶ αἵμονες θῆρες ὅρμοις Αἰσχύλος λέγει, ἴσως ἀπὸ τοῦ αὐτοῦ. ἀφ' οὗ καὶ αἱμασιὰ καλεῖται. χρῆσις δὲ τῆς λέξεως καὶ παρ' Ἡροδότῳ. οἷον, αἱμασιὰν περιέβαλον κυκλοτερῆ, ὕψος ἀνήκουσαν, ἀνδρὶ ἐς ὀμφαλόν. ἦν δὲ περιοικοδομημένη. ὁ δὲ Θρᾳκικὸς παράφρασις, λίθους ἡμᾶς νόσους τὰς αἱμασιάς, εἶπεν, φυτεύειν καὶ τοὺς λίθους ἐκλέγειν. ἴσως δὲ, ὅτι δοκεῖ ἐξ ἀκανθῶν εἶναι ἡ αἱμασιὰ οὕτως, ἐκ τῶν χειρῶν τοὔνομα, παρὰ τὸ αἱμάσσειν. καὶ περιέχειν ἡ κλῆσις ἐκείνη ὕστερον καὶ τοῖς ἐκ χαλίκων κτίσμασι. καὶ αἱμασιὰ κατὰ τὴν τοῦ ποιητοῦ ἑρμηνείαν, ἀλωῆς ἕρκος. ἴσως ἐξ ἀκανθῶν οὖσά τινα. ὥν εἶδος, αἱ βάτοι. Αἱμάτη, ἡ μάχαιρα, παρὰ Σοφοκλεῖ. Αἱμαλέον φοινὸν, ἀντὶ τοῦ πυρρόν. Αἱματίτης, ἡ φλέψ. ἰδιαίτερον δὲ αἱμορροΐς. καὶ λίθος δέ, αἱματίτης. Αἱματόεντα, ᾑματωμένα.

Αἱματόεσσα, αἱματώδης. Αἵματος αἴσει ἄρκα, ἀντὶ τοῦ, αἵματος κορέσαι τὸν λόγον. ἢ αἵματι μελᾶναι καὶ χρῶσαι αὐτό. ἄσω γὰρ ὁ χορταρία. ἔθος καὶ ἀσάμινθος, ἐν ᾗ τὴν ἄσιν μιαίνοντες λούονται. ὅ ἐστι τὴν ῥυπαρίαν μιαίνοντες. Αἱμαλέον κλαίειν, κατ' ἐπιβολήν, οὐ δακρύειν. ἐφ' ὧν μὴ δύναντο πεῖσαι πάντα πράξαντες, οὕτως ἔλεγον οἱ ἀρχαῖοι. οὐδ' ἂν πείσεις αὐτὸν, οὐδ' αἱμαλέον κλαίων. λέγουσι δὲ καὶ, οὐδ' ἂν αἱμαλέα εὕρον, πείσειν.

Αἱματόφλοι βουτάοντες, αἱ πλήρεις αἵματος κεκυρτωμέναι φλέβες. παρὰ τῷ Ἱπποκράτει. Αἱματοπώτην φάσκοντα λέγει Ἀριστοφάνης, ὡς αἱμοβοτοῦντι τὸ ζῶον. καὶ αἱματοπότην τὸ αἵμα κατακλείουσαν, καὶ ἄνω ὅλη ἐκφοροῦντα. Αἵμιον, τὸ αἷμα δεχόμενον ἀγγεῖον. Αἱματῶπις, αἷμα βλέπουσα. Αἱματωπὸς, ὁ τῇ ὄψει ᾑματωμένος ἰχώρ. Αἱματῶσαι, φοινῖσαι, ἢ φοινίξαι. Αἱμαχθέντες, ὑπὸ αἱμάτων χρανθέντες. Αἱμάξας, ἐπιδῆσαι, αἱμάξας. παρὰ τῷ Ἱπποκράτει. Αἱμηρὰ, αἱματώδης.

Αἵμιον, σφάγιον. Αἱμίλιος, δοῦλος. Αἱμοβόρος, ὁ ἐσθίων καὶ πίνων αἷμα. Αἱμοὶ, ἀντὶ τοῦ οἴμοι. τίθεται καὶ ἐπὶ θαυμασμοῦ. Αἱμοὶ, ὤμοι. Αἰσχύλος αἰτνέοις. Αἱμόλογχα, αἱμοσταγματα. χολώδη δὲ λέγεται, ἐπὶ αἵματος ἐκχύσει παρὰ τῷ Ἱπποκράτει. Αἱμονά τε ἀρίστη, τοῦ βασιλέως αἵμονα καὶ αἵμονα συναμάνδριον, ὅπερ ἐπιεικῶς, ἐσθλὸν θηρητῆρα, ἐκ βολίας κεκοσμημένον. ὃν καὶ δίδαξεν Ἄρτεμις αὐτὴ βάλλειν ἄγρια πάντα. ἐπακοῦσαι ταῦτα κομιστοῦ, ὅπως τὸ ἄνασσα χαλκεύοντα, ὁ Ἀλκαῖος λέγεται διδάξαι. καὶ ὑπὸ ὄρειν, διδάσκαλος ὁ ἀπόλλων. ὁ δὲ Διξιὸς δὲ κλίσιος, ὑμοῦ πλείστη μαθητάς. ἀθηνᾶς δὲ, ὁ τόξον. φέρουλος καὶ ὡς ἀγαθὸς ναυπηγός, φίλος ἐφάνη τῇ ἀθηνᾷ. οὕτω καὶ ἐντελῶς, συναμάνδριον ἡ Ἄρτεμις διδάξαι τῶν θηρῶν λέγεται. Αἱμονία, ἡ θεσσαλία τὸ πρότερον. ἀπὸ αἵμονος ἥρωος ἐκαλεῖτο. καὶ ἄλλας ἔσχεν ὀνομασίας. ἐλέγετο δὲ καὶ πυρραία, ἀπὸ πύρρας τῆς Δευκαλίωνος ἡ θεσσαλία. ἐκαλεῖτο τὸ παλαιὸν πύρρα. ὡς Ῥιανός, Πύρραν δή ποτε τήνγε παλαιότεροι καλέεσκον, Πύρρης Δευκαλίωνος ἀπ' ἀρχαίης ἀλόχοιο. Αἱμονίην δ' ἐξαῦτις ἀφ' αἵμονος, ὅν ῥα Πελασγὸς γείνατο φέρτατον υἱόν. ὁ δὲ αὖ τέκε Θεσσαλὸν αἵμων, Τοῦ δ' ἀπὸ Θεσσαλίην λαοὶ μετονομάζουσι. εἰ δὲ, ἀπὸ Θεσσαλοῦ τοῦ φασὶ πρὸς πατρὸς, τῶν ἡρακλειδῶν μετὰ τὰ τρωϊκὰ κληθῆναί φασι. διαιρεῖται δὲ εἰς μέρη τέσσαρα. πελασγιῶτιν, θεσσαλιῶτιν, ἑσταιῶτιν, καὶ φθιῶτιν. ταῦτα παρατίθεται Ἀπολλόδωρος, ἐν νεῶν καταλόγῳ. Αἱμόρρους, γένος ἔχεως, ὅθεν ὄφις. ἐν τοῖς κοτυλίσκοις κεραμεοῖς ἔχων τὰς λεπίδας. καὶ αἱμόρροος, ὁ αἱμόρροιαν πάσχων. Αἱμορραγῶν, τὸ κατὰ μάλιστα τὸ ῥύγχος. Αἷμος, ὄρος θρᾴκης. ἀπὸ αἵματος τοῦ βορρᾶ, καὶ ὠρειθυίας. καὶ αἷμος, ὁ τράχηλος. καὶ αἵμους, τοὺς δρόνες, Αἰσχύλος. αἱμοὺς δὲ, τοὺς ὀβελίσκους. Αἱμοφόρυκτα κρέα, τὰ αἵματι μεμολυσμένα καὶ ἀναπεφυρμένα. ἢ αἱμοβαφῆ. ὅ ἐστι τὰ ὠμά. συγκεῖσθαι δὲ ὁ λόγος, ἐκ τοῦ αἱματοφόρυκτα. ἄλλως γὰρ παρὰ τὸ αἷμα, αἱμοφόρυκτον ὤφειλεν εἶναι. γίνεται δὲ τὸ αἱμόρρυτον, καὶ τὸ αἱμοβαφές. καὶ αἱ παρὰ Λυκόφρονι αἱμοφόρυκτοι μάχαι. Αἱμύλιοι λόγοι, οἱ κατὰ ἔρωτα κολακεύοντες, καὶ οὓς ἂν εἴποι γυνὴ ἐρῶσα. καὶ διὰ τοῦτο κατὰ τὸν Ἡσίοδον αἱμύλια κωτίλλουσα. καὶ αἱμυλίεσσι, συνετοῖς, καὶ προσηνέσιν. Αἱμύλος, ἀστεῖος, συνετὸς, ὀξὺς ἐν τῷ λέγειν. ἢ αἱμύλος, ὁ ἀπατεὼν παρὰ τὸ δαίειν τὸ μανθάνειν, δαίμων. ἀναβολῇ τοῦ δ, αἵμων. αἵμονα θήρης, τουτέστιν εἰδήμονα. ὑποκοριστικὸν ἐκ τοῦ αἵμων, αἱμύλος. οὗ τὸ κτητικὸν αἱμύλιος. καὶ αἱμύλος, ὁ κόλαξ. τὸ μὲν ἀπὸ τοῦ αἱμύλον καὶ κομψῶν, οἷόν ἐστι μαιμάζειν. ἢ αἱμύλος, ποικίλος, πυκνὸς, πανοῦργος, δολερός. καὶ αἱμυλία ἀγρεύουσα, ἐπίχαρις. Αἱμωποὺς ὀφθαλμοὺς, πλήρεις αἵματος, ἢ ἀγριωπούς, αἱμωποὺς ἐκφλέξει λύσσης. Αἱμωδία, νάρκη. Αἱμωδιῶν, τὸ αἱμωδιᾶν, καὶ τῆς ὀδόντας ὀδυνᾶσθαι.

Αἵμων, ὁ ἔμπειρος. αἵμονα θήρης. Αἱμωπὸς, αἱματώδης. Αἱμώδη, ᾑματώθη. Αἰνὰ τεκοῦσα, ἀντὶ τοῦ αἰνῶς. καὶ αἰνὰ, δεινά, κακά. Αἰναρέτης, καὶ αἰνολέτης, ὁ ἐπὶ κακῷ τῶν ὅπλων κεκτημένος. Αἰναρέτη, ἡ ἐπὶ κακῷ κεκτημένη τὴν ἀρετήν. αἰνὸν γὰρ τὸ χαλεπὸν, καὶ δεινὸν, καὶ κακόν. Αἶνοι, πόλις περραιβῶν. καὶ αἰνιᾶνες, οἱ κατοικοῦντες. οἱ δὲ αὐτοὶ, καὶ αἰνιεῖς. ἐκ δὲ τοῦ αἰνιεῖς. ὡς γάρ φασι λυκία λύκιος, οὕτως αἰνία, αἴνιος. οὓς αἰνιᾶνας διὰ τοῦ α ἰωνικῶς φησὶν Ὅμηρος. τὸ μὲν ὁμαλικὸν μέτρον διὰ τοῦ ε ψιλοῦ παραδίδωσι λόγῳ δακτύλου. ὅς ἀπαθτίζεται ἐν τῷ, τοῦ δ' ἐπόμενος ἵππου. Αἰνίας, κύκνον. παρὰ τὸ αἶνος, ὃ σημαίνει τὸν ἔπαινον, λέγεται αἰνίας. καὶ πλεονασμῷ τοῦ ι, αἰνείας. τὸ δὲ αἶνος, παρὰ τὸ

αἰνέω

ἀφρικὸς, ὁ μέλας. Αἰθίσω, καυσίμω. Αἰθιοπαῖδα, τὸν Διόνυσον Ἀνακρέων. ἄλλοι τὸν οἶνον. ἄλλοι τὴν ἄρτεμιν. Αἰθιοπία, ἐξωμοδρέαν. Αἰθιόπιον, τὸ ἐκ Κοίου χωρίον. καὶ αἰθιόπιον, χώρα Λυδίας, ἀφ' οὗ ἡ ἄρτεμις αἰθιοπία. Αἰθιοπικὸν, ἀκακίας.

Αἰθιοπὶς, φλομώδης πόα. Αἰθιοπέων, αἰθίοψ. καὶ κατὰ μετασχηματισμὸν, αἰθιοπεύς. ὡς ἀπὸ τοῦ ἡγεμὼν ἡγεμονεύς, καὶ ἀπὸ τοῦ ἐτεοκλέους ἐτεοκλεύς, καὶ ἀπὸ τοῦ ἀλκαῖος ἀλκεύς. ἀφ' οὗ ἀλκείδης, ὁ ἡρακλῆς. οὐ μόνον δὲ εἰς ευς, ἀλλὰ καὶ εἰς ης μετασχηματίζει πολλὰ ὀνόματα, ἔτερον ἔχοντα κατάληξιν. ὡς τὸν πάτροκλον λέγει πατροκλῆν. καὶ ἐφ' ἑτέρους πολλοὺς μετασχηματισμοὺς, μετατίθεται τὰ ὀνόματα. ὁ ἐτεοκλῆς δὲ, λέγεται καὶ ἐτέοκλος. ἔστι δὲ μᾶλλον ἐν χρήσει τὸ ἐτεοκλῆς. ὡς λοιπὸν τὸ ἐτέοκλος, ἀπὸ τοῦ ἐτεοκλῆς μετασχηματίζεσθαι. οὐ τὸ ἀνάπαλιν. Αἰθίοψ, παρὰ τὸ αἴθω τὸ καίω, καὶ τὸ ὤψ ὠπὸς, ὃ σημαίνει τὸν ὀφθαλμὸν καὶ τὸ πρόσωπον. ὁ κεκαυμένην ἔχων τὴν πρόσοψιν. λέγεται γὰρ ἐκεῖσε σφοδρότερον αἴθειν τὸν ἥλιον. Αἰθέλικες, τὰς περὶ τὴν ἐπιφάνειαν φλυκτίδας. Αἰθοκάς, φλυκταίνας. Αἶθον, λαμπρὸν, πυρρὸν, μέλαν. Αἴθοπα, μέλανα, διάπυρον. ἢ τὸν ποιοῦντα ἐρυθρούς, ἢ τὸν καυστικόν. ὡς τὸ, αἴθοπα οἶνον. ἡ εὐθεῖα αἴθοψ.

Αἰθὸς, ὁ αἰθόμενος. πυρινὸν, ὁ καιόμενος. Αἶθος παρ' Ἀπολλωνίῳ, πῦρ ἢ φλόξ. Τὸν δ' ἀμφί τε λαῖον αἶθος βάλλεν, ἄντα ῥέοντ'. Αἴθουσαι, αἱ στοαὶ καὶ πρόθυρα, αἱ περίαυλοι ἔχουσαι. ἀπὸ τοῦ αἴθεσθαι ἐν αὐταῖς τὰ πυρά. οἷον, πῦρ ἕτερον μὲν ὑπ' αἰθούσῃ εὐερκέος αὐλῆς. ἢ ὡς ἥλιοι καταλαμπόμεναι. σημαίνει δὲ τὴν καταφωτιζομένην στοάν, καὶ τὴν μετὰ τὴν πυλῶνα παράδα. καὶ αἰθούσαις, λαμπούσαις. Αἴθουσα, στοὰ περίαυλος ἡλίῳ καὶ ἀνέμοις, αἰθομένη, ὅ ἐστι λαμπομένη. οἰκοδομεῦνται γὰρ οἶκοι πρὸς τὸ ἐκκλίνεσθαι χειμῶνά τε καὶ καύσωνα. ἡ δὲ αἴθουσα, οὔτε καυσώδης ἐστὶ στοά. αἴθουσα γὰρ, οὔτε ἄνεμος. ἐρίγδουπος γὰρ, διὰ τὴν τῶν ἀνέμων ἐπιρροήν. ἧς τὸ μὲν ἐνδοτέρω, πρόδομος. τὸ δὲ ἐνδοτέρω, θάλαμος. κατὰ δὲ ἡ ἀναβαίνειν ἡ τάξις οὕτως. ἕρκος περὶ ὃ πάλαι. μετὰ δὲ τὸ ἕρκιον, αὐλή. μεθ' ἣν αἴθουσα. εἶτα πρόδομος δόμος, καὶ θάλαμος. Αἴθ' ὄφελον, ἀντὶ τοῦ, εἴθ' ὄφελον. παραλλήλως τὰ εὐκτικὰ κείμενα μόνα, κατὰ τοὺς διαφόρους. εἶτα τὸ μὲν ἔστιν ἀπαρέμφατον πρόσωπον. τὸ δὲ ὄφελον, τὰ προσωπικὰ ἐμφαίνει. Αἴθ' ὄφελες θανεῖν, ἢ παιδὸς τὴν ὀρχεῖσθαι.

Αἴθοψ οἶνος, ὁ εἶον ἐπικεκαυμένος τὴν ὄψιν. ἤτοι μέλας, ἢ ἐρυθρός. ἢ ὁ θερμὸς καὶ ἐκκαίων, παρὰ τὸ αἴθω. καὶ αἴθοψ καπνὸς, ὁ ἐκ τοῦ αἴθεσθαι τὰ ξύλα ἀναδιδόμενος. Αἰθρηγενέτου, ἀνέμους, τοὺς αἴθραν καὶ ψῦχος ποιοῦντας. ὅτι δὲ αἴολος ἐξουσίαν εἶχεν ἀνέμων, καὶ Ὅμηρος φησί. κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων. ὅτι δὲ αἴθραν τὸ ψῦχος λέγουσιν, ὁ αὐτός φησι ποιητής, Αἴθρῃ καὶ καμάτῳ δεδμημένον. καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμὲν ὕπαιθρα, τὰ ὑπὸ ἀνέμων κατεσκεπασμένα. Αἰθρηγενὴς καὶ αἰθρηγενέτης, ὁ βορρᾶς. ὁ διὰ τὸ αἴθριον γίνεσθαι ποιεῖ. αἴθρος δὲ τὸ ψῦχος. ὡς τὸ αἴθρῃ καὶ καμάτῳ δεδμημένος. ἢ ἀπὸ τοῦ πλειστάκις τὸν αἰθρίαν ποιεῖν, ἐν γὰρ διαστήσασι τὰ καθ' ἡμᾶς ἐκ νότου νέφη. ἢ καὶ ἄλλως, ἐκ νεφῶν κατάγων ποτὲ ψεκάδα καὶ χάλαζαν, τὸν ῥέοντα αἴθρον ποιεῖ. αἰθρηγενέτης δὲ, οὐ μόνον ὁ αἴθρον, ὅ ἐστι ψῦχος ποιῶν, ἀλλὰ καὶ ὁ αἰθρίαν, ὅ ἐστιν εὐδίαν αἴθρος. ἢ ἄλλως, ὁ ἐξ αἰθέρος γενόμενος. ὁ ἐστιν ὑψόθεν πνέων. διὸ καὶ κῦμα κυλίνδων λέγεται, ἵνα ἡ αἰθρηγενέτης βορρᾶς, ὁ εὐδίαν ἢ ψῦχος ποιῶν, ὁ ἐξ ὕψους καταπνέων. Αἰθριάζουσιν, ἐν εὐδίᾳ εἰσίν. Αἰθριάζειν, τὸ ἐν ὑπαίθρῳ τόπῳ κεῖσθαί τι. καὶ αἰθρία, ὅταν ἀνέφελος ὁ ἀὴρ ᾖ. Αἴθριος, ὁ ὑπὸ τὴν αἴθραν. Αἴθρια σίφη. Κρατῖνος ἐλιάσιν, ὑπερβόρεια αἴθρια κεῖται σίφη. τὰ γὰρ ὑπερβόρεια μέρη κατάκειται πρὸς ἄρκτον ἀρκτικόν. οὐχ ὑπὸ τὸν ἥλιον, ἀλλ' ὑπὸ αἴθρας διαφυλάττεται. Αἴθριος τὸ γυμνασίον ὑπαίθριον. Αἰθρῶ, χειμάζω. Αἶθρον, τὸ κατάψυχρον. καὶ τὸ ὑπαίθριον ψυχρὸν ψῦχος. Αἴθρα κοινὸν, καὶ αἴθρη ἀττικὸν, αἰθρία, εὐδία, ἀὴρ καθαρός. ἔστι δὲ καὶ ὄνομα κύριον τοῦ πιτθέως θυγατρός. Αἰθρία, ἐξω ὑπὸ τὸν ἀέρα, καὶ τὸ ὕπαιθρον, καὶ ἡ εὐδία.

Αἰθρηγενέες, οἱ εὐδίαν ποιοῦντες. Αἰθριον, ψυχρόν.

Αἴθριος, ὁ ὑπὸ τὸν αἴθρα. Αἶθρος, ψῦχος τὸ ὄρθρον.

Αἰθρια, ψυχρός. Αἴθρυλα, σπινθῆρα, κίνημα. Αἰθρῶ, τὸ ἐν τῇ αἰθρίᾳ ποιῶ. Αἰθυίας δρνις, βουκάρης εἶδος.

Αἴθυια ἡ ὄρνις, ἡ θαλάσσιος ὄρνις. αἴθυιας ὑπὸ τὰς ψυχρὰς σπιλάδος πιαινόμενοι. αἱ γὰρ αἴθυιαι ὅταν λούωσι, κάκιστον σημεῖον ὑπάρχει τοῖς πλέουσι. τὴν αἰτίαν λέγουσιν, ὅτι γαλήνης οὔσης, οὐ τολμᾷ προϊέναι, φοβουμένη τὰ θαλάσσια ζῶα. χειμῶνος δὲ προσιόντος περιέρχεται τὰ ἄλλα ζῶα ἐν ταῖς κατακλύσεσιν ὄντα. Αἴθυια, χειλίδων, κορώνη. Αἰθύσσεσθαι, λαμβάνεσθαι.

Αἴθυγμα, τὸ ὁμοίωμα, καὶ ὄρμημα, ἐπὶ πυρός. Αἴθυρος, λαγωός. Αἰθύσσω, θερμαίνω, ἀστράπτω, ἢ τὸ διαλάμπω. Αἰθάλινοι, οἱ ἐπιπολῆς τοῦ δέρματος συγκείμενοι ἐρυθροὶ κύκλοι, παρὰ τὸ αἴθειν καταφαίνεσθαι. Αἰθύσσει, ῥιπίζει. Αἰθύσσοντος, ὁρμῶντος. Αἰθύσσειν, ἀνασείειν, ἀνακινεῖν, ῥιπίζειν. Αἴθω, τὸ φωτίζω, καὶ φλογίζω, καὶ καίω. ἀφ' οὗ αἶθος, ὁ μέγας ἢ μέλας. καὶ αἴθων, ἀνδρεῖος καὶ πολεμικός. Αἴθων, ὁ ἀνδρεῖος. ἢ ὁ πολεμικὸς καὶ ἰσχυρός. καὶ αἴθων σίδηρος, καθ' Ὅμηρον, ὁ κατειργασμένος, καὶ ἐπιτήδειος εἰς καῦσιν καὶ ἐργασίαν. ἀπὸ τοῦ αἴθω τὸ καίω. ἢ ὁ καθαρὸς γεγονὼς καὶ λαμπρὸς, ἀπὸ τοῦ αἴθω τὸ λάμπω. ὅθεν καὶ χροιὰ αἴθοψ, ἡ μέλαινα. τὸ δὲ αἴθων φυλάττει τὸ ω μέγα ἐπὶ γενικῆς. τὰ γὰρ εἰς θων λήγοντα πάντα, φυλάττουσι τὸ ω. οἷον, αἴθωνος, χθόνος, καὶ ἑξῆς. ἡ αἴθων ὁ διάπυρος καὶ αἰθὼς παρὰ τὸ καμινῶ. αἴθοψ δὲ, ὁ μέλας. καὶ κλίνεται αἴθοπος διὰ τοῦ ο μικροῦ. ἐξ οὗ αἰθίοψ, καὶ αἰθιοπία. καὶ αἴθων, λάμπων. καὶ αἴθωνος λιμὸς, ὁ βίαιος, ἀπὸ αἴθωνός τινος ἥλιος. καὶ αἴθωνα ἵππον, πυρώδη, καυστικόν. καὶ αἴθωνες βόες, οἱ θερμοὶ ἐργάζεσθαι, ἢ μέλανες. οἱ δὲ ἄλλως, οἰνοπές. ἢ ὡς πυρροί, ὡς ἀπὸ τοῦ οἶνος ἐρυθρός. καὶ αἴθωνες ἵπποι, ἤγουν μέλανες, ὑποκίτρινοι ἢ πυρροί. καὶ αἴθωνες λέβητες, οἱ αἰθόμενοι, ὅ ἐστι λάμποντες, ὡς γεγανωμένοι, ἀπὸ πυρὸς αἰθομένου. τιμιώτεροι δὲ λεβήτων ὄντες. καὶ αἴθων λίθος, ὁ διάπυρος. Αἴθ' ὡς, εἴθ' οὕτως.

Αἴθ' ὄφελες ἄγονός τ' ἔμμεναι, ἄγαμός τ' ἀπολέσθαι. ἤγουν εἴθε μὴ γενέσθαι σε ὅλως, ἐπειδὴ δὲ ἐγεννήθης, ὤφελες μὴ εἰς γάμον ἐλάσαι. ἵνα γε μὴ δόξῃ ἀνάλογα τὰς ἀρὰς, ἐπάγει. κεῖνο τὸ βελτίμην, καί κε πολὺ κέρδιον εἴη. Αἶκα, ἀντὶ τοῦ ἐάν, ποιητικῶς. καὶ ἀντὶ τοῦ εἴπερ. τὴν δὲ αι δίφθογγον τρέπουσιν οἱ δωριεῖς εἰς τὴν α. τὸ δὲ ι ψιλὸν εἰς α βραχύ, οἷον, αἴπερ αἶκα, ἄρτεμις ἄρταμις. Αἰκάζει, κολακεύει. Αἰκάλος, κόλαξ. Αἰκάλλει, θωπεύει, κολακεύει, σαίνει, ἀπατᾷ, προσέρχεται. ὡς τὸ, αἰκάλλει τὴν ἐμὴν καρδίαν. Αἰκὰς, ὁρμάς, φοράς, ὀξυτόνως ἀπὸ τοῦ αἰκή, αἰκάς. ὡς ἱκμὴ ἰκμάς. τὰ δὲ εἰς κη θηλυκὰ ὑπὲρ δύο συλλαβὰς, παρὰ τὸ παραλήγεσθαι, βαρύνεται. ἑλίκη, μυρίκη, φοινίκη. τὸ δὲ αἰκὴ ὠξύνθη παρὰ τὸ ἀΐσσω. ὡς φυλάσσω, φυλακή. ὅθεν τοῖσιν αἰκάς. ἀντὶ τοῦ πραγμάτων. ἔστι δὲ καὶ ἄλλα εὐθεῖα ἡ αἴξ, ὅθεν πολυάιξ, πολυάικος πολέμοιο. καὶ κορυθάιξ, ἀπὸ τοῦ ἀΐσσω τὸ ὁρμῶ, διὰ τοῦ ι. καὶ αἶκες, ὁρμαί, αἱ ἐν τῷ πολέμῳ κινήσεις ἐφ' ἑκάτερα. καὶ πολλάκις ὁ μέλλων ἀποβάλλων τὸ ω, ἀποτελεῖ ὄνομα. ἀΐσσω ἀΐξω, ἀΐξ. καὶ ἄλλως. τὰ εἰς ξ λήγοντα ὀνόματα, ἀπογίνεται τῶν εἰς ξ δίφθογγον, τέττιξ, πέρδιξ, αἴξ. Αἰκλεῖν, εὐτελεῖς, εὐκαταφρονήτους. Αἴκε πως, ἐάν πως. ἀπὸ τοῦ εἰ συναπτικοῦ συνδέσμου, τροπῇ τοῦ ε εἰς α. οἱ δὲ δωριεῖς τὸ ε εἰς α τρέπουσιν. Αἴκεν ποθί, ἐάν ποτε. Αἴκεν ἰδεῖν, ἐὰν ἴδῃς τε. Αἴκε πίθηαι, ἐὰν πεισθῇς.

Αἶκες, αἱ ἐν τῷ πολέμῳ ἐφ' ἑκάτερα κινήσεις καὶ ὁρμαί. ὁ δὲ Ἀπολλώνιος τὰς ἀντιπνοὰς τῶν ἀνέμων εἴρηκεν. Αἰκή, ῥιπή, κίνησις. Αἰκία, πληγή, ὕβρις, βάσανος, μάστιξ. Αἰκία, εἶδος δίκης ἐπὶ ἰδιωτῶν, ἐπὶ πληγαῖς λαγχανομένης, ἧς τὸ τίμημα ὑπὸ δικαστῶν

λαῖσι, ἐωνασία ποτὶ γίνεται. τὸ συνεχῶς, ὃ ποιοῦσι καὶ κατὰ χρόνον. ὡς τὸ, Ἠΰτε ἔθνεα εἶσι μελισσάων ἀδινάων Πέτρης ἐκ γλαφυρῆς, αἰεὶ νέον ἐρχομενάων. τὸ δὲ αἰῶνος, ὡς τὸ, Θεῶν αἰειγενετάων. τὸ δὲ ὅλως, ὡς τὸ, αἰεί τοι φίλον ἐστὶν, ἐκὰς ἀπὸ νόσφιν ἐόντα. τὸ καθ' ὥραν τεταγμένην συμβαῖνον, ὡς τὸ, Μάλακιν βαθὺ λήϊον αἰεί. τὸ ἐν βραχεῖ δὲ χρόνῳ συνεχὲς, ὡς τὸ, αἰεὶ δ' ὄπισθεν, κονίης ῥαθάμιγγες ἔβαλλον. Αἰεὶ γενέται, ὧν τὸ γένος ἀεὶ διαρκεῖ. ὃ ὡς καὶ ἀγχοῦ φησιν Ὅμηρος, αἰὲν ἐόντων. λέγονται δὲ παρὰ τοῖς παλαιοῖς, ὅτι οἱ ἵπποι τὸ εἶναι, γενέσθαι λέγουσιν. ἔστιν αἰειγενέτης, ὁ αἰεὶ ὤν. καὶ αἰειγενέτησι, τοῖς ἀεὶ ὑπάρχουσιν. ἢ τελεσιουργοῦσι. καὶ αἰειγενετάων, τῶν διὰ παντὸς ὄντων, ἢ εὖ γενομένων, καὶ τὰ ποιητικὰ ὄντων. Αἰεὶ νέον ἐρχομενάων. ἀντὶ τοῦ, μετὰ χρόνον πυκνῶς. ἢ συνεχῶς, νεωστὶ ἐρχομένων. καὶ γὰρ τοῖς μὲν ἄλλοις ζώοις ἡ πτῆσις, ἀποτεταμένη γίνεται. αἱ δὲ μέλισσαι βραχεῖαν τὴν κίνησιν ποιούμεναι, ἐφίζουσι τοῖς ἄνθεσι. καὶ ἐπιθίξασαι, κινοῦνται πάλιν, καὶ πάλιν ἐφίζουσι. κατ' ὀλίγον οὖν ἡ πτῆσις, ὥσπερ ἄρτι ἐρχομένων γίνεται, ὥς τε καὶ φαντασίαν ποιεῖν, ὡς ἄρτι ἐξορμᾶσθαι. ἢ καὶ ἄλλως, αἰεὶ νέον ἐρχομενάων λέγει, καθ' ὅτι ἀθρόως εἰσπλεοῦσαι ἐπὶ λειμῶνα ἀνθέων. ἢ ἀγχοῦ που αἱ μέλισσαι, μικρὸν τὸ πλέον μετελθοῦσαι διϊκνοῦσιν. ὁμοίως καὶ διασπᾶσθαι πεπαῦσθαι. ὅ πάλιν τρέπεται. εἶτα τῇ τάξει, ἀναπαύονται πάλιν. ὡς δοκεῖν αὐτὰς κατ' ὀλίγον ἀναπαυομένας, ἀρχὴν τῆς πτήσεως λαμβάνειν. Αἰεὶ φέρει τι Λιβύη καινόν. ἐπὶ τῶν καινοτόμων, καὶ ἀεὶ τὸ καινὸν ἐξευρισκόντων εἰώθασι. παρ' ὅσον ἡ Λιβύη, ποικίλα εἴωθε φέρειν θηρία. Αἰεί, ἴσως. Ἀειφῶν, τῶν ἀεὶ διὰ τοῦτο, καὶ τὸ ἐπὶ τοῦ αὐτοῦ ἀεὶ ἐστάναι. ὥσπερ ὁ ἴσος τοῦ, ἡ νῦν ἁρμονία καλεῖται. ἡ λέξις Δημοσθένους, ἐκ τοῦ ἀληθινοῦ Λευκίππου Ἀειφῶν. Αἰέν, ἐπίρρημα χρόνου δηλωτικόν. σημαίνει δὲ τὸ διηνεκῶς, καὶ ἔτι πεπλεγμένον. τριχῶς δὲ οἶδε τοῦτο ὁ ποιητής. ἀεί, αἰεί. Αἰὲν ἀλυάζει. τὸ αἶψα ὡς παρ' Ὁμήρῳ, ἐπίτασιν ἀλυμένου δηλοῖ. Αἴελιοι, οἱ ἀδελφὰς γυναῖκας ἔχοντες, σύγγαμβροι. οἱ δέ, συγγαμβροί. καλοῦσιν αὐτοὺς δ' αἰλίους. Αἰέοικος, ὁ ἀΐδιος οἶκος καὶ πολυάλεκτος. Αἰένυχος, ὁ θάνατος, ἢ ὁ ἀεὶ κοιμώμενος. Αἰέσκνος, ἐπολίζοντο. Αἴηχος, ὁ κλάδος τῆς δάφνης. Αἰητὸς, τὸ ὄρνεον. καὶ αἰητὸς ἐν νεφέλαις, παροιμία ἐπὶ τῶν δυσαλώτων. παρ' ὅσον ὁ αἰετὸς ἐν νεφέλαις ὤν, οὐχ ἁλίσκεται. ὁμοίως καὶ αἰετὸν κάνθαρος μαιεύομαι, παροιμία. τὰ γὰρ ᾠὰ τοῦ ἀετοῦ ἀφανίζουσιν οἱ κάνθαροι κυλίοντες. καὶ αἰητὸς αἴθων, ὁ νεβροφόνος. ἢ πυγάργος, καὶ ξανθός. σημαίνει δὲ τρία, ὡς εἴρηται ἐν τῷ αἰετός. τοῦ τροχοῦ τὸ κατὰ κύκλον ἕκαστον τιθέμενον. τὸ κυμάτιον, τὸ ἐν ταῖς γείσοις. καὶ κατὰ βοτάνην, ἐν Λιβύῃ φυομένην. Αἰθ, ἤκουσεν. οὐ θέμα, τὸ αἴω. καὶ ὥσπερ ἐκ τοῦ ἀκούειν ἐμάκετον τὸ ἄθροισμα τῶν ἀκροωμένων, οὕτω καὶ ὅμαιον τὸ κοινὸν, παρὰ τὸ ὁμοῦ αἴειν. καὶ ἄϊεν, ἐξήκουσεν. ἢ αἴειν, ἀκούειν, αἰσθάνεσθαι. Αἰζᾶν, ὑψηλὸς βλάστημα. Αἰζόν, τῶν μέσων ὡρῶν. Αἰζωΐα, ἔμπολος οὕτω λεγομένη. Αἰζήϊον, ἐρυμνὸν ὑψηλόν. Αἰζήϊος, ὁ ἀκμάζων. καὶ αἰζήϊον, παρειών. Αἴζηλον, ἄφαντον. Αἰζήλος, ἄδηλος, ἄφαντος. Αἰζηωνικός, αἰώνιον, διηνεκής. Αἰζηός, νεανίας. παρὰ τὸ ἀεί, καὶ τὸ ζέω. ὁ ἀεὶ ζέων καὶ ἀκμάζων κατὰ τὴν ἡλικίαν, γίνεται αἰζηός. καὶ κατ' ἐπαύξησιν τοῦ ι εἰς η, γίνεται αἰζηός. ἀπὸ τοῦ ἀεὶ ζῆν τὸ αἷμα τῆς ἡλικίας, τουτέστι, θερμὸν εἶναι. καὶ αἰζηοί, νεανίσκοι οἱ τὸ αἷμα ζέοντες. ἢ οἱ ἄγαν θερμοί ἢ θυμώδεις. Αἰζόμενον, ξηραίνεσθαι. Αἰγυπτή, ἀγυιά. Αἰγύπτη, ἀγυιή. Αἰγωνεῖς, δῆμος φυλῆς τῆς κεκροπίδος. ἐκωμωδοῦντο καὶ ὡς βλάσφημοι. ἀφ' οὗ τὸ κακῶς λέγειν, αἰγωνεύεσθαι ἐλέγετο. Μένανδρος ἐν κεκρυφάλῳ. Πλάτων δὲ ἐν τῷ περὶ ἀνδρείας φησίν, Οὐδὲν ἐρῶ πρὸς ταῦτα γ' ἔχων εἰπεῖν. μὴ μετεῖναι αἰγωνεύειν. Αἰθαί, τὰ μετὰ τὸ λίκνον καὶ ἄκαρπα. οἱ δέ, τὰ ξηρά. ἄλλοι αἰθίον, τὸ αἰθόμενον, καὶ τὸ βλαβερόν. Αἰθαῖς, ἀεί. δι' ὅλου, καὶ τὸ λανθάνειν καὶ

πλούσιον. Αἰθέσυλον, ἄνεμον καυστικόν. Αἰθος, γῆς, γαίης, ἱστορία. Αἰήτης, ὄνομα κύριον, ὃς δὲ ἦν ἡλίου. ὃς ἔθνων ἐν λῆστιν ἔτεμεν ἐλθεῖν καλλιπορίην. γίνεται δὲ κατὰ πλεονασμὸν τοῦ ι. ἀήτης παρὰ τὸ ἄω. Ἀπολλώνιος, αἰήτη κείνην μὲν ἄφαρ δὲ αἰθαλόεσσαν ἄλλην. ἔλεγε δὲ εἰς τὴν αἰήτην. ὡς θρόνοι πρῶτα, ὀρέξας ὀρέξατο. ἀπὸ τοῦ ἰωνικῶς, ἐτρέψε τὸ α εἰς η. ὁ αἰήτης, ἄνεμοι. ἐπιμωμίδης δέ φασι, κορινθίων τὸ γένος τὸν αἰήτην. μητέρα δὲ αὐτοῦ ἐφύραν. Διοφάνης δὲ ἐν τῇ πρώτῃ τῶν ποντικῶν ἱστοριῶν, ἀντιόπην φησὶν αἰήτου μητέρα. προγενέστερον δὲ τὴν ἄψυρτον μηδείας γενέσθαι αἰήτῃ, ἐξ ἀστεροδείας τοῦ ὠκεανοῦ καὶ τηθύος θυγατρός. Αἰθαλοῦν τὸ πυρρόν, ἢ πυρώδες. ἐπὶ τοῦ ἡφαίστου. Αἰθάλη, ἀσβόλη, τέφρα, τὸ ἐκ τῆς καμίνου μέλαν. ἢ εἶδος καπνοῦ πεπυκνωμένου, καὶ κονιορτός. γίνεται δέ, ἀπὸ τοῦ αἴθω τὸ καίω. καὶ αἰθάλη, ἡ λῆμος. ἴσως ἀπὸ τοῦ ἀναδιδομένων αἰθαλῶν ἐκ τοῦ ἡφαίστου χαλκείου. αἰθαλίτης τὸ ἐθνικόν. Αἰθαί, μέλαιναι, καὶ σποδόλευκοι. Αἰθαλίδης, γῆ ἐν τῷ σίτῳ γινομένη. ἢ ἡ ἐπὶ τῶν ὑλῶν καλουμένη τῆς ἐλαίας. Αἰθαλίδης. κῆρυξ γέγονε τῶν ἀργοναυτῶν, ἑρμοῦ υἱός, ὥς φησιν Ἀπολλώνιος. ὥς τε μίαν μὲν ὑπὸ τοῦ ἅδου διάγειν, μίαν δὲ ἐπὶ τῆς γῆς. Αἰθαλίδης, δῆμος τῆς λεοντίδος φυλῆς. Αἰθαλόεις θεός, ὁ ἥφαιστος ὡς χαλκεύς. ὁ αὐτὸς δὲ καὶ κλυτοτέχνης λέγεται, ὡς ἔχων ἔνδοξον τὴν χαλκευτικήν. αἰθαλόεντος μέγαρα μέλαθρον λέγει Ὅμηρος τὴν ὀροφήν. Δι' ἔρχει που, Καὶ δὴ τότε ἀνίχνευε ἀέλλα αἴγιδα ὑφόθεν ἐξ ὀροφῆς. ὡς ταὐτὸν εἶναι ὀροφὴν καὶ μέλαθρον. ὁ νῦν μὲν εὐτελῶς ἐρρέθη, μέλαθρον εἶναι. ὅτι δὲ μέλαθρον ὁ οἶκος ἅπας λέγεται, ἀπὸ μέρους καλεῖται. ὥσπερ στέγη καὶ τέγος ὁ αὐτός, ἀπὸ τοῦ σκέποντος ὀροφώματος, μέρος καὶ αὐτοῦ ὄντος. αἰθαλόεν δέ, ἢ παρὰ τὸ αἴθω, ἐξ οὗ καὶ τὸ μέλαθρον διὰ τὸ αἰθόμενον δηλαδὴ πῦρ ἐν ταῖς κατὰ τὴν ἑστίαν οἰκίαις, ἢ τὸ καταλαμπόμενον καὶ πολύφωτον, παρὰ τὸ αἴθειν, ἤγουν λάμπειν. ἀφ' οὗ καὶ αἰθήρ. καὶ αἰθαλόειν, ἢ τὸ αἰθαλωθέν ἐσσόμενον, ὥς φασιν οἱ παλαιοί. ἢ τὸ διαφανὲς καὶ λαμπρόν. αἴθω γὰρ οὐ μόνον τὸ καίω, ἀλλὰ καὶ τὸ λάμπω. ἀκριβέστερον δὲ τὸ πρῶτον, οὗ παράγεται ἡ αἰθάλη. οὗ τέφραν δηλοῦσι κατά τινας, ὡς ὁ μάλιστα εἰδότες τὰ καπνώδη ἀναθυμιάσεως. ὁ παῖς ἡ ἐκ τοῦ καιομένων λίθων. Αἰθαλοκομπίους, καπνούς, καὶ ψευδολογίας. Αἰθαλόειν, κεκαυμένον, λαμπρόν, ἐμπεπρησμένον. Αἴθαλος, ἡ τοῦ πυρὸς ἀποφορά, καὶ ἡ ἐν τῷ ὀρόφῳ αἰθάλη. Αἴθε, ἀντὶ τοῦ εἴθε. ἐπίρρημα εὐκτικόν. Αἴθειν, καίειν. Παρεκελεύοντο αἴθειν καὶ φθείρειν τὴν χώραν. Αἰθέρα, ἐμπνευσμόν. ἀπὸ τοῦ αἰθέος. Εὐαπίδης φωάσι, Καὶ αἰθέρα νήνεμον ἔχουσα, ἐπὶ τοῦ μάτην πνεόντων. ἢ αἰθέρα, τὸν οὐρανόν, καὶ ἀέρα. Αἰθέριον θεῖον, τὸ τοῦ αἰθέρος, ἢ τὸ ἐν τῷ αἰθέρι. καὶ αἰθέριον, οὐράνιον. Αἰθερονόμον, τὸ ἐν ὕψει τὴν νομὴν ἔχοντα. Αἰθεροβατεῖν, τὸ εἰς τὸν αἰθέρα βαίνειν. Αἰθερίως, καθαρῶς. Αἰθέρος τέμενος, ὁ οὐρανός.

Αἰθοπατῶν, τὸ ἐνθυμητικὸν πνεῦμα. Αἴθεσθαι, καίεσθαι. Αἴθουσι, λαμπροῖς. Αἴθεται, καίεται λαμπρῶς. Αἴθη, ὄνομα θηλείας ἵππου. Ὅμηρος. αἴθην τὴν ἀγαμεμνονίην. καὶ αἴθων πέπλους. Κρατῖνος, ἐμβάλλοντες τοὺς αἴθων πέπλους. Αἰθήρ, θηλυκῶς εὑρηται παρὰ τῷ ποιητῇ, καθ' ὁμοιότητα τοῦ ἀέρος. ὅπερ πολλάκις ὁ αὐτός, καὶ ἀντὶ τοῦ ἀέρος λαμβάνει. ἢ αἰθήρ, ὁ οὐρανὸς κατὰ τὴν κοινὴν φράσιν. ἔστιν ὕπαιθρον, τὸ μὴ ἐστεγασμένον. Αἰθικός, θετταλικὸν ἔθνος ὑπερκείμενον τῆς ἠπείρου. κατὰ δέ τινας, μακεδονικόν. κατὰ δὲ ἑτέρους, περραιβικόν. περὶ τούτων δὲ ὁ γεωγράφος φησίν, ὅτι ἐφυλάξαντο ὑπὸ πειθοῦς. ὁ δὲ τὰ ἐθνικὰ γράψας, φησίν. ἡ μὲν χώρα αἰθικία, τὸ δὲ ἔθνος, αἰθικοί. ἐν θετταλίᾳ δὲ ᾤκουν ἐν τῷ πίνδῳ ὄρει, ἔθνος, ἐσχάτως πλησιάζον, καὶ βάρβαρον, καὶ λῃστείαν κείμενον. Ὁ αἰθίοπα πίλακον, ἀντὶ τοῦ πίλαν τὸν αἰθίοπα, τὴν λευκότητος ἀφάνισιν. ὁ λευκὸς γὰρ οὐκ ἀπώλοντο οἱ φυλάττοντες τὴν βαφὴν, ἀλλ' ἀπώλοντο. Αἴθινα ξύλα, ξηρά. Ὁ καπνὸς αἴθων. ὁ φιμός.

Ἀΐδηλος. οἷον, Κρῖος δ᾽ αὖτ᾽ ἀΐδηλος ἀνὴρ, ὁ δολοφραδής· οὕτως ἔγραψεν Ἀπίων (?), δηλοῦν λέγων τὸν ἀδιάλωτον. καὶ παρὰ τῷ ποιητῇ, ἀΐδηλον ἔργον, τὸ ὀλέθριον. ὁ μὲν Μεθόδιος λέγει εἶναι ἀπὸ τοῦ ἴδω, ἴδηλος καὶ ἀΐδηλος. ὁ δὲ Χοιροβοσκὸς, ἀπὸ τοῦ ἀϊδὲς, τὸ σημαῖνον τὸ ἀφανιστικόν. διὰ τοῦ ι, ἀϊδήελος, καὶ κατὰ συγκοπὴν τοῦ ε, ἀΐδηλος. ὁ δὲ Ἡρωδιανὸς, εἰς τὸ περὶ παθῶν, λέγει εἶναι ἀπὸ τοῦ ζῆλος, ἄζηλος. πλεονασμῷ τοῦ ι, καὶ τροπῇ, ἀΐδηλος. ὁ ἀΐδηλος, ὁ ἀφανὴς, καὶ θρασύς. ἀΐδηλος δὲ, ὁ ἀεὶ δηλούμενος, διὰ διφθόγγου. Ἀϊδήλως, ἀφανιστικῶς. Ἀϊδημόνως, αἰδεσίμως. Αἰδήμων, αἰδέσιμος. Ἀΐδης, ᾅδης. τόπος ὑπόγαιος, καὶ κεκρυμμένος. διὸ καὶ ἀΐδης λέγεται, ἤγουν ἀὴρ ἀφανὴς, ὃν οὐκ ἔστιν ἰδεῖν. ὡς τὸ, ἀΐδης ἔλαχε ζόφον ἠερόεντα. τοῦτον ἀΐδης, καὶ ζόφος ἠερόεις. ἀΐδης δὲ καὶ ἀϊδωνεὺς, ὁ ὑπὸ γῆν λέγεται ἀήρ. παρὰ τὸ ἄω τὸ πνέω καὶ αὔω, καθὰ καὶ ὁ ἁπλῶς ἀήρ. οὐ διὰ μόνον ὥς φασι ψυχὰς συνέχει, αἵ εἰσι πνεύματα, ἀλλὰ καὶ διότι ζῴοις ἐστὶν αὐξητικός, ἀφ᾽ ὧν τὸ ζῆν καὶ τὸ ἀναπνεῖν. οὗ ἐμφαίνει καὶ ἡ ἱμαντοῖα δημήτηρ. διὸ καὶ Ζεὺς λέγεται καταχθόνιος, ὁ καὶ ἄλλως. ἀΐδης ὀνομάζεται, παρὰ τὸ μὴ ὁρᾶσθαι, ὃν οὐκ ἔστιν ἰδεῖν. ἢ διὰ τὸ ἀφανεῖς ποιεῖν, ἢ ὑπὸ τῶν γενομένων. Ἀϊδάφρων, αἰχμητικός. Ἀΐδι, παρὰ τὸ ἀΐς. κατὰ ἴωνας, ἐκ τοῦ ἀΐδος. ἡ γενικὴ ἀΐδος, ἡ δοτικὴ ἀΐδι, κατὰ μεταπλασμὸν, ἄϊδι. ὥσπερ ἀπὸ τοῦ ὑσμίνης, ἡ δοτικὴ ὑσμίνι. καὶ λιτῷ, λιτί. κατὰ δὲ ἑτέρους, ἐσχηματίσθη ἀπὸ τοῦ ἀΐς, οὗ γενικὴ ἀΐδος. Ἀΐδιος ὁ ἀεὶ ὢν, ὁ μηδέποτε ἀρξάμενος, μὴ δὲ λήγων. τὰ παρὰ τὸ ἀεὶ σύνθετα, διὰ διφθόγγου γράφονται, οἷον ἀείμνηστος, ἀείφρουρος, πλὴν τοῦ ἀΐδιος. ἀΐδιον δὲ φασὶν εἶναι τοῦ ἀεί. ἐστὶ γὰρ ἀεὶ, καὶ αἰὲν, καὶ αἰὲς, καὶ αἰεὶ, αἰὲν, καὶ αἶεν καὶ αἶ, ἐξ οὗ τὸ ἀΐδιον, καὶ αἰὼν καὶ αἰ, καὶ αἶς. καὶ ἀΐδιον, τὸ διαιωνίζον, καὶ λῆξιν μὴ λαμβάνον ἔχον. Ἀΐδιον, αἰώνιον. Ἀϊδνὸς, ὁ ἀφανής. εἴδω τὸ βλέπω, ὃ δὲ γινώσκω. ὄνομα ἰδνός. καὶ μετὰ τοῦ στερητικοῦ α, ἀϊδνός. ὡς εἴλω πιλητός. ἐξ οὗ καὶ ἀϊδωνεὺς ὁ ᾅδης, εἰς ὃν οὐκ ἔστιν ἰδεῖν. ἐκ τοῦ ἀϊδνὸς γίνεται ἀϊδνόδηλος. καὶ κατὰ συγκοπὴν ἀΐδηλος. ἢ ἐκ τοῦ ἀΐδης γίνεται ἀϊδνός, καὶ ἐν συγκοπῇ ἀϊδνός. Ἀϊδνὴς, ὁ μὴ βλεπόμενος. Αἰδοῖ, σκοτεινή. Αἰδοῖ εἴκων, περίφρασις τοῦ αἰδούμενος. Αἰδοιέστερον, ποιητικόν. καὶ ἔστι κατὰ τὸ ἔθος γινόμενον ἰώνων. τὰ γὰρ διὰ τοῦ ου συγκριτικὰ, διὰ τοῦ οε προφέρουσιν. οἷον, αἰδοιέστερος αἰδοιέστατος, δικαιέστερος δικαιέστατος. ὁμοίως ἀρχαιέστερος ἀρχαιέστατος, ἀφθονέστερος ἀφθονέστατος. ὤφειλε γὰρ τὰ τοιαῦτα εἶναι δικαιότερος, αἰδοιότερος, ἀρχαιότερος. ὁμοίως καὶ τὰ ὑπερθετικά. Αἰδοῖα, τὰ μόρια παρὰ τὴν αἰδῶ. γυμνοῦσαι γὰρ ταῦτα, ἃ ὀνομάζεται, αἰδούμεθα. ἢ παρὰ τὸ ἀποκλείειν ἐν συνουσίᾳ ὀργῶν τὰ ἄλλα αἰδοῖα. καὶ τροπῇ τοῦ ο εἰς α, αἰδοῖα. Αἰδοίη τε μοι ἐσσί (?). ἤγουν, τῇ αἰσχύνῃ. Αἰδοίη, ἡ αἰδέσιμος. ἡ αἰδοῦς ἀξία. αἰδοῖος. γίνεται δὲ ἀπὸ τοῦ αἰδὼς αἰδόος, καὶ πλεονασμῷ τοῦ ι αἰδοῖος. Αἰδοῖος, ὁ φυλασσόμενος τὴν ἐξ ἑτέρων αἰδῶ, καὶ ἄξιος αἰδοῦς. αἰδήμων δὲ ὁ ἄλλους αἰδούμενος. αἰδοῖος παρὰ τοῖς ὕστερον ἀντὶ τοῦ ἀναιδοῦς, ὁ θρασύς. καὶ ἐκ τοῦ αἰδήμων, αἰδοῖος ἐν ὀδυσσείᾳ καλεῖται. ὥς τε διχῶς ὁ αἰδοῖος, ὁ αἰδοῦς τε ἄξιος καὶ αἰδοῖα καὶ ὁ αἰδούμενος. ὁ αἰδοῖος, δίκαιος, σεμνὸς, αἰδοῦς ἄξιος. καὶ ἐπὶ τοῦ αἰδουμένου δὲ χρῆται τῇ λέξει Ὅμηρος, καὶ ἐπὶ τοῦ οἰκέτου, κακὸς δ᾽ αἰδοῖος ἀλήτης, καὶ αἰδοῖος. ὡς γελοῖος, ὁ ἄξιος γέλωτος. οὕτω καὶ αἰδοῖος, ὁ αἰδοῦς ἄξιος. αἰδοῖος δὲ ἐστί τις καὶ ὁ δι᾽ ἃ ἔχει ἀγαθὰ, ὁ δι᾽ ὃ εἰς αὐτὸν ἐφορμᾶται ὁ αἰδούμενος. φαίνεται δὲ ὁ αἰδοῖος ταὐτὸ εἶναι τῷ αἰδέσιμος. πλὴν ὅτι τὸ μὲν ἐστι ποιητικὸν τὸ αἰδοῖος. τὸ δὲ παρὰ τοῖς κοινοῖς ἐν χρήσει. αἰδήμων δὲ, ὁ εἰδὼς αἰδεῖσθαι.

Αἰδοῖα, τὸ μέρος αἰσχύνης, ὁ καὶ ἀναγκαῖον. πρὸς ἴσως καλεῖται, ἐπεὶ τὰ ἀναγκαῖα ἐστὶ συμβέβληται. καὶ αἰδοίων τε μεσηγὺ, καὶ ὀμφαλοῦ. Αἰδοίοισιν ἐδωκα, λέγει Σιμωνίδης ὁ ἰαμβικὸς, ἀντὶ τοῦ ἐνεφάνισεν αἰδοῦς ἀξίοις, ξένοις δηλαδὴ, καὶ ἱκέταις. σημείωσαι δὲ ὅτι παρὰ

νοῦθα ἀντὶ τοῦ αἰδοῖος, τὸ αἰδήμων, καὶ τὸ αἰδέσιμος. οὕτως μὲν καὶ ἡ ὅλη κλίσις ἑνωσίαν ἔχει σημασίαν. ὁ δὲ αἰδοῖος, ἔν τε τῷ οὐδετέρῳ γένει, καὶ ταῖς πλαγίαις, συνεμφαίνεται τῷ σωματικῷ μορίῳ. Αἰδόμενος, καὶ αἰδούμενος λέγομεν. διαφορεῖται δὲ τὸ ῥῆμα, ὡς καὶ ἔτρεχε. εὑρίσκεται δὲ αἴδω καὶ αἰδῶ βαρυτόνως καὶ περισπωμένως. Αἰδοῦμαι τὴν σὴν ἡλικίαν, ἀντὶ τοῦ αἰσχύνομαι. καὶ αἰδοῦμαι τὸν πατέρα, καὶ αἰδοῦμαι γυμνὸς βαδίζειν. Αἰδοῦς ἄξιος κρεῖττον, ἢ σεβάσμιος. καὶ αἰδοῦς καὶ φιλίας βωμοὶ Ἀθήνησιν, ἐν τῇ ἀκροπόλει. Αἰδοσύνη, ἐπὶ τοῦ ἀποκεκρυμμένου, ἀφανοῦς, καὶ λανθάνειν βουλομένου. Ἀΐδος κυνέη, νέφος τι, καὶ ἀορασία. ἡ περιφραστικῶς, τὴν περικεφαλαίαν. ἐν αὐτῇ δὲ τὸ πρόσωπον ἔκρυψεν ἡ Ἀθηνᾶ, διὰ τὸ μὴ ὁραθῆναι ὑπὸ τοῦ Ἄρεος. ἢ ἐν ἄλλως. Ἄϊδος κυνέη, ἀθάνατόν τι νέφος, ὃ περιβάλλονται οἱ θεοὶ, ὅταν θέλωσιν ἀλλήλοις μὴ γινώσκεσθαι ἢ νεφέλη ἀφανὴς, ἣν ὑποδυσάμενοι οἱ θεοὶ, ἀθεώρητοι γίνονται ἀλλήλοις. καὶ ἀΐδος, εἰς ᾅδου. καὶ ἀΐδος κυνῆ, περικεφαλαία πρὸς τὸ ἱκανὸν πεποιημένη, διὰ κυνῶν μηχανημάτων. δοκεῖ τὰ ἢ τοῦ ᾅδου κυνῆ, ἣν Περσεὺς χρησάμενος, τὴν γοργόνα ἀπέτεμεν. καὶ ἀΐδος εἴσω ταυτόν ἐστι τῷ εἰς ᾅδου, καὶ τῷ ἀΐδοσδε. ἀττικοὶ δὲ εἰς ᾅδου φασί. καὶ ὤφειλεν εἶναι τὸ ἄϊς, διὰ διφθόγγου. ἀλλ᾽ ὥσπερ ὁ οὖς ὁ γινόμενος ἀπὸ τοῦ στερητικοῦ μορίου, καὶ τοῦ εἴδω, εἰς ἰῶτα χωρίζεται, οὕτω καὶ τοῦτο. Ἀϊδρείη, καὶ ἀϊδρίη, ἀνεπιστημοσύνη, ἀπειρία, ἀμαθία. διὰ διφθόγγου γράφεται. Ἀϊδροφόνοι, οἱ λιτοὶ καὶ ἰσχνοὶ, οἱ ἐγγὺς θανάτου ὄντες. Ἄϊδροι, καὶ ἄϊδρις, ἀμαθεῖς, ἄπειροι. Ἡσίοδος. αὐτὸς δ᾽ ἀμφιχάνοιτο ἄλλην χώρην, ἄϊδρις ἐών. καὶ Ὅμηρος, ἄϊδρί φωτὶ ἐοικώς. Ἄϊδρις, ἐστὶ ῥῆμα, εἴδω τὸ ἐπίσταμαι. ὁ μέλλων, εἴσω. ὁ μέσος μέλλων, εἴσομαι. οἷον, εἴσομαι αἴ κε μ᾽ ὁ τυδείδης. ἐξ οὗ ῥηματικὸν ὄνομα, εἴδρις. πλεονασμῷ τοῦ ρ καὶ ἀποβολῇ τοῦ ι ἴδρις, ὁ ἐπιστήμων. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄϊδρις. ἡ γενικὴ, ἀΐδριος. ὡς ὄφις, ὄφιος. καὶ ἄϊδρι καὶ ἄϊδρις, ἀμαθεῖ, ἀπείρῳ. ὅπερ οὐ χρὴ διὰ τοῦ ει λέγειν ἀϊδρεῖδι. οὐ γάρ ἐστι παρώνυμον μακροκατάληκτον. ὥσπερ τὸ ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ, πανίδρειδι. καὶ τὸ παρὰ Σοφοκλεῖ, ἰδρείδα. καὶ τὸ παρὰ Φρυνίχῳ, ἰδρείδας. οὕτως εὗρον χόλιον, ἐν ὑπομνήμασι ἰλιάδος. καὶ παρ᾽ Ἡσιόδῳ ἄϊδρις, ὁ ἀσύνετος καὶ ἀπαίδευτος.

Ἀϊδρὸν, τὸ διαφανές. Ἀϊδροφωνῶ, ἀνεπιστημόνως ἀπειρικῶς. Ἀϊδρῶς, διαφανῶς, ἢ ἀπείρως. Ἀϊδρυθὲν κακὸν, τὸ κατάρατον, ὃ οὐκ ἄν τις αὐτῷ ἱδρύσαιτο. Ἀΐδυλος, θρασύς. Αἰδὼ, τὸ αἰδοῖον, καὶ ἡ συλλαβὴ παρὰ χαλδαίοις. καὶ ὁ ῥινὸς, παρὰ λάκωσι. καὶ ἡ τροφὴ τῶν ἀθηναίων. καὶ ὁ βωμὸς ὁ ἐν τῇ ἀκροπόλει. ὅπερ ὅτε μέν ἐστιν εὐθεῖα, ὀξύνεται ὡς λητὼ καὶ σαπφώ. ὅτε δὲ αἰτιατικὴ, περισπᾶται. ὡς τὸ, ταῖς αἰδῶ ἀμφικαλύπτει. οὐ γὰρ κλιτικόν ἐστι τὸ ω, ἀλλ᾽ ἀπὸ κράσεως. ἀπὸ γὰρ τοῦ αἰδόα γίνεται αἰδῶ. Ἄλλως. Αἰδῶ ὀνομάζει Ὅμηρος τὰ, ἃ παρὰ τοῖς ὕστερον αἰδοῖα. ὡς ἐν τῷ β ἰλιάδος, ταῖς αἰδῶ ἀμφικαλύπτει. καὶ ὅρα ὅτι ὁμώνυμος λέξις καὶ ἡ αἰδώς. οὐ γὰρ μόνον τὸ ἐπαινετὸν πάθος τῆς ψυχῆς, ὃ καὶ αἰσχύνη λέγεται κοινότερον, κατὰ τὸ αἰσχύνομαί σε βλέπειν ἀναντίον. ἤγουν αἰδοῦμαι, ἀλλὰ ἰδοὺ καὶ σώματος μόριον. τὸ δὲ ταῖς αἰδῶ ἀμφικαλύπτει, περιφραστικῶς εἶπεν. οὐ γὰρ ἐκεῖ μία λέξις ἐστὶν δηλωτικὴ τοῦ καλύμματος αἰδοῦς, ὅπερ οἱ ῥωμαῖοί φασι βράκαν. ἕτεροι δὲ ἀναξυρίδα, ἐκ τοῦ ἀνασύρεσθαι. Αἰδῶν, λέγων. Ἀϊδωνεὺς ὁ θεός, ὁ ᾅδης καὶ ὁ τόπος. καὶ αἰδωνεί, παρὰ ἄδην. Ἀϊδώνια, θανάσιμα. Αἰδώς ταρ, αἰσχύνη.

Αἰδὼς, καὶ νέμεσις. ἡ μὲν αἰδὼς, ἐξ ἡμῶν αὐτῶν. ἡ δὲ νέμεσις, ἐξ ἄλλων. πρὸς οὓς τὴν αἰδῶ ἔχομεν. καὶ αἰδὼς, αἰσχύνη ἢ εὐλάβεια ἢ φόβος. καὶ αἰδώς με ἔχει, παρ᾽ Ἡσιόδῳ. καὶ αἰδῶ ἔχω, καὶ αἰδοῦμαι, ταυτόν. Αἰδῶς, ἀκαταλήπτως. Αἰδῶσιν, τῆς αὐλῆς τὰ τείχη.

Αἰεὶ, σημαίνει τὸ ἀεὶ, διαπαντός, συνεχῶς, πυκνῶς, καὶ τὸ μετὰ χρόνον, καὶ τὸ διαιωνίως, τὸ διόλου, τὸ καθ᾽ ὅσον τεταγμένον συμβαῖνον, καὶ τὸ ἐν βραχεῖ χρόνῳ συνεχές. τὸ ἀεὶ μὲν καὶ διαπαντὸς, ὡς τὸ, Αἰεί με βιοῦντα παλαίμονες διώκουσιν, ἀντὶ τοῦ εὐκαταφρονήτων. καὶ αὖθις, Αἰεὶ γὰρ ἡ γυνὴ σ᾽ ἔχει διὰ στόμα. κἂν μὲν ἡ μηδὲ

 λάβοι,

πίθου. ἧς αἰγὸς τὸ κέρας τῇ Ἀμαλθείᾳ δοθῆναι λέγεται. ἢ καὶ ἄλλως, αἰγίοχος Ζεύς, ὁ ἔχων τὴν αἰγίδα. τουτέστι τὸ δέρμα τῆς βαδιούσης αἰγὸς ἣν ἐθήλασεν. ἔφη γὰρ αὐτὴν φασὶν ἐκπτόμενος εἰς μνήμην. ἢ ἔστιν αἰγίοχος, ὡς ἂν εἴποι αἰγίδοχος ἐκπεσόντος τοῦ δ. Αἰγίπυρ, ὁ ἀετός, ὑπὸ Μακεδόνων. Αἰγίπυρος, ἔστιν ἀκανθῶδες φυτόν, ἢ εἶδος βοτάνης. τὸ δὲ φύλλον ἔχει πλατύ, ὥσπερ φακός. ἔστι δὲ ἀφανιζόμενος εἰς ἕλκη φλεγμαίνοντα ἀγαθή.

Αἰγιαλός, παρὰ τὸ ἐῶ τὸ θαλάσσω. καὶ τὸ αἴξ, αἰγιέος. καὶ πλεονασμῷ τοῦ σ, αἰγιαλός. ἱστοροῦσι γὰρ αὐτὴν αἰγείῳ γάλακτι, περὶ οὗ κέχρηται. οὕτως εὕρηται. Αἰγὶς τοῦ Διός. μυθικῶς κατὰ τὰς λεγομένας φαγεῖν, καὶ κατὰ κρᾶσιν φαγεῖς. οὕτω καὶ αὐτὴ εἴη ἂν αἰγίς, τουτέστιν αἰγὸς δέρμα, ὅπερ Ζεὺς ἐνδύεται εἰς ἀνάμνησιν αἰγός, ἧς αὐτὸς ἔσπασε τὴν θηλήν. ἀφ' ἧς καὶ ἐπεκλήθη αἰγίοχος, ὡς τις ὅπλον ἔχων προφυλακτήριον, αὐτῇ χρησάμενος. οὕτω δὲ καὶ λεοντῆν ἢ παρδαλῆν ἐνάπτεται εἰς μνήμην τινὸς πράξεως. καὶ ἄλλως δὲ ἡ τοῦ Διὸς αἰγίς, σκεύασμά ἐστι κατὰ μῦθον. πλάττεται δὲ ἀπὸ ὕλης ἡμίσεα αἰγιδοειδής, ἤτοι μαλακτῇ ἐοικός. καὶ ὡς ἂν νόμισμα εἰσφέρουσι κατὰ τὴν κωμῳδίαν ῥητῷ καὶ σκεῦος φορεῖν, φόρημά ἐστι δοκοῦν συγκεῖσθαι, θυσάνους τε ἔχον ἀπῃωρημένους κατὰ τὸ κράσπεδον. καὶ διὰ ὅλου τοῦ κύτους λεπτά ἐστι καὶ ἴχνια παχύτερα ἐξ ὕλης, καὶ αὐτὰ ὁμοίως, πρὸς ἐμφέρειαν αἰγίδος τῆς ἀληθοῦς. ὅπλον δὲ Διὸς ἡ τοιαύτη μυθικὴ αἰγίς. οὐχ οἷον ἢ βάλλειν ἢ τραυματίζειν τινί, ἀλλὰ μόνον φοβοῦσα ἐν τῷ διασείεσθαι, καὶ ἐπισείεσθαι. καὶ αὕτη μὲν ἡ τοῦ μυθικοῦ Διὸς αἰγίς. ἰστέον δέ, ὅτι ἀμφιβάλλεται αἰγὶς Ἀθηνᾶς, εἴτε ἴδιον φόρημα τῆς Ἀθηνᾶς ἡ αἰγίς, εἴτε καὶ ὥσπερ τὸν χιτῶνα τοῦ πατρὸς Διός, οὕτω καὶ τὴν αἰγίδα ἐκείνου φορεῖ. πρὸς ὃ δοκεῖ συντελεῖν ἐνταῦθα, τό, Διὸς τέρας αἰγιόχοιο, ἰδίως τέρας, οὕτως ἐκεῖνον τὴν αἰγίδα φορεῖν. Ἄλλως.

Αἰγίς, ἣν Λίβυες φοροῦσι δοράν. καὶ τὸ ἐκ σημμάτων πλέγμα. καὶ τὸ διὰ σημμάτων πεπλεγμένον δίκτυον. οὕτω Λυκοῦργος, καὶ Ἡρόδοτος. ἡ δὲ ἱέρεια Ἀθήνησι τὴν ἱερὰν αἰγίδα φέρουσα, πρὸς τὰς νεογάμους εἰσέρχεται. αἰγὶς καὶ ὁ θώραξ, καὶ ἡ ἐν ταῖς πύξαις οὐλότης. Νυμφόδωρος δὲ ταῦτα, ὑπὸ Λιβύων αἰγίδας φησὶ καλεῖσθαι. τὸ ὅπλον Διὸς ἡφαιστότευκτον. οὐχ ὡς ἔνιοί φασιν ἀπὸ τῆς Ἀμαλθείας αἰγὸς τῆς ἀναθρεψαμένης τὸν Δία, ἀλλ' ἀπὸ τῆς συστροφῆς τῶν ἀνέμων τῶν κινουμένων, αἰγίδας καλουμένας. τὸ δὲ αἰγίς, ἀπὸ τοῦ ἀΐσσω τὸ ὁρμῶ. καὶ αἰγίς, ἡ καταιγίς, καὶ ἡ ὀξεῖα πνοή, καὶ αἱ ἀπολεπίδες τῶν ὀφθαλμῶν. Αἰγίσκην, αἰγὸς ἰδίαν. Αἰγλάηρ, ὁ Ἀσκληπιός. Αἴγλαις, λαμπεδόσι, λαμπτῆρσι. Αἴγλας, ἀμφιδέας, ψέλλια, τὰ περὶ τὴν ὕπερ τοῦ ἀρότρου. Αἴγλη, βέλος κυβευτικόν, λαμπηδών, αὐγή. Κρατῖνος. καὶ ποτηρίου εἶδος Δελφοί, καὶ θυσίαν. ὥς φησι Λυκόφρων. ἔστι καὶ παιδιά τις. ἀλλὰ καὶ ἡ σελήνη, οὕτω καλεῖται. Αἰγλήεις, λαμπρός. καὶ αἰγλήεσσι, λαμπροῖς. Αἴγλης χαίτης. πιθανῶς εἶναι λέγοντες τὰς χαίτας, αἴγλης ἐν ἡλίῳ. ἐπεὶ τὰς χαίτας λαμπράς φασιν εἶναι. Αἰγλοχίδιον. Σοφοκλῆς Τείρεσ. χιτών, καὶ πίλη, παρὰ Ἐπιχάρμῳ ἐν Βάκχαις. Αἰγόκερως, ὅμοιος τῷ Πανί. ἐξ ἐκείνου δὲ γεγονώς, ἔχει θηρία τὰ κάτω μέρη, καὶ κέρατα ἐπὶ τῇ κεφαλῇ. ἐτιμήθη δὲ διὰ τὸ σύντροφον εἶναι τῷ Διί, καθά φησιν Ἐπιμενίδης ὁ τὰ Κρητικὰ ἱστορῶν φησίν, ὅτι ἐν τῇ Ἴδῃ συνῆν αὐτῷ ὅτε ἐπὶ τοὺς Τιτᾶνας ἐστράτευσεν. οὗτος δὲ δοκεῖ εὑρεῖν τὸν κόχλον, ἐν ᾧ τοὺς συμμάχους κατέπληξε, διὰ τὸ τὸν ἦχον πανικὸν καλούμενον. ὃ οἱ Τιτᾶνες ἔφυγον. παραλαβὼν δὲ τὴν ἀρχήν, ἐν τοῖς ἄστροις αὐτὸν ἔθηκε, καὶ τὴν αἶγα τὴν μητέρα. διὰ δὲ τὸν κόχλον ἐν τῇ θαλάσσῃ, παράσημον ἔχει ἰχθύος. Αἰγοφάγος Ζεύς, ὡς παρὰ Νικάνδρῳ ἐν Θηριακοῖς. καὶ αἰγοφάγος, Ἥρα ἐν Σπάρτῃ. Αἰγυλίς, λυγός. Αἰγυπιός, οἱ μὲν εἶδος ἀετοῦ, οἱ δὲ τὸ γένος ἐξεδέξαντο. γίνεται δὲ παρὰ τὸ αἴσσω. Αἰγόπτας, σίντες, ἀναλαβόντες. Αἰγύπτια ὑφαντά, ὁ φόρτος, καὶ τὰ ἐμπόριον φορτία. ὡς Εὐριπίδης. Αἰγυπτιάζειν, τὸ κακοτροπεύεσθαι, καὶ πανουργεύεσθαι. δοκοῦσι γὰρ οἱ Αἰγύπτιοι. Αἰγύπτιον, ἔλαιον κατάλευκον, ἢ μύρον λευκόν, τὸ κακέμυρον. ὅπερ καὶ μενδήσιον ὀνόμασαν, σκευαζόμενον διά τε κρίνων, καὶ ἀρωμάτων. διὸ τὸ μύρον, οὐκ ἔλαιον προσαγορεύεται. τὸ δ' αὐτὸ καὶ Σούσινον μύρον ὠνόμασαν, παρὰ τῷ Ἱπποκράτει. ἢ αἰγύπτιον μύρον, τὸ ἀπὸ τῆς αἰγυπτίας ἀκάνθης τὸ τοῦ μύρον. Αἰγύπτιος πλινθοφόρος, πλίνθος μία. οὓς Αἰγύπτιοι διαβάλλουσι, ὡς ἀχθοφόρος. Αἰγύπτιος, ἀπὸ Αἰγύπτου βασιλέως τοῦ υἱοῦ Βήλου. ἢ ἀπὸ Αἰγύπτου τοῦ Νείλου. ὁ γὰρ Νεῖλος πρότερον Αἴγυπτος ἐκαλεῖτο. ὥς φασι Διόδωρος καὶ Ἡρόδοτος, πέλαγος ἦν. ἐχωσώθη δὲ καὶ χωρίζεται ταῖς ἐκβολαῖς τοῦ ἰλύος. σημαίνει δὲ τρία. τὴν χώραν, ὡς τό, Αἴγυπτον δ' ἰμεν θεμὲς ἄλλων. τὸν ποταμὸν τὸν Νεῖλον, ὡς τό, στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας. τὴν ἁμαρτίαν, παρὰ τῷ Θεολόγῳ, ὡς τό, Αἴγυπτον τῶν σκυθρωπῶν, καὶ διάκρισιν ἁμαρτίας. Αἰγυπτῶσαι, μελᾶναι, καὶ ἐπικαῦσαι. Αἰγῶν οἱ μὲν τέλειοι, τράγοι καὶ ἔραλοι. οἱ δὲ ἐχόμενοι ἡλικίᾳ, χίμαρροι. τὰ δὲ νεώτατα, ἔριφοι. ὁ δὲ ποιητὴς ἐν Ὀδυσσείᾳ, τὰ μὲν τέλεια προγόνους καλεῖ. τὰ δὲ μετὰ ταῦτα, μετάσσας. τὰ δὲ νεώτερα, ἕρσας. Αἰγώνυχον, πέτασ εἶδος. Αἰδαίαο, δικαστής. Αἴδαο, ἀντὶ τοῦ ἀΐδης, ἀπὸ κοινοῦ. καὶ ἀΐδαο, ἰωνικῶς. Αἰδαίνης, ὁ διατρίβων. Ταραντῖνοι.

Αἰ δέ, αὕτη δέ. Ἀΐδας, ὁ τάφος, ὁ τύμβος, καὶ ὁ ᾅδης.

Ἀΐδας πρὸς μυρσίνην. ἔθος γὰρ ἐν τοῖς συμποσίοις τὸν μὴ δυνάμενον ᾆσαι, δάφνης κλῶνα ἢ μυρσίνης λαβόντα, πρὸς αὐτὴν ᾄδειν. καὶ ᾄδειν ἐπὶ ἀλεκτρυόνων λέγουσιν Ἀττικοί, κοκκύζειν δ' οὔ. καὶ ᾄδειν αἶμα πρὸ Τελαμῶνος, ἀντὶ σκολιόν, γεγραμμένον εἰς Αἴαντα. Ἀΐδας ἔχων, ἀπὸ τῶν μάτην λέγεις, καὶ ληρεῖς.

Αἰδεῖς, ἄγριοι, αἰσχύνης γεγονότες. Ἄϊδες, τὸ ἀκατάληπτον.

Αἰδεσθῆ, ἐντρέπεσθαι. Αἰδέσθητι καὶ τὸν πατέρα, αἰσχύνθητι ἵνα ὡς μὴ δεινὸν πράξας. αἰσχύνῃ γάρ, ἐφ' οἷς ἕκαστος ἁμαρτὼν αἰσχύνεται. αἰδὼς πρὸς ἡλικίαν, πρὸς ὀργήν, πρὸς ἐμπειρίαν, πρὸς εὐδοξίαν. ὁ δὲ ἐπιστάμενος αἰδεῖσθαι, πρὸς ἑκάστην τῶν εἰρημένων ὑπεροχῶν προσέχεται, οὕτω δοκιμάζεται οὐ διὰ τὸ ἡμαρτηκέναι, ἀλλὰ διὰ τὸ οἴεσθαι καὶ τιμᾶν τὰς εἰρημένας ὑπεροχάς.

Αἰδέσθη, τὸ ἔνοχον ὄντα φόνον ἀκούσιον, καὶ περιφυγόντα μένοντα ἐφ' ὡρισμένῳ χρόνῳ ἐξιλάσασθαι, ὡς εἰληφότα ἤδη τιμωρίαν μετακαλεῖσθαι. οὕτω Λυσίας, καὶ Δημοσθένης. Αἴδηλον, ἀΐδηλον. Αἰδήσομαι, αἰδεσθήσομαι. Αἰδηθής, ἀπὸ τοῦ αἰδέομαι, ὁ μέλλων αἰδέσω, ὁ παρακείμενος ᾔδεκα, ὁ παθητικὸς ᾔδεσμαι, ὁ ἀόριστος ᾐδέσθην, ἡ μετοχὴ αἰδεσθείς. Αἰδέσατε, αἰδεσθῶσι. ἀπὸ τοῦ αἰδέω, ῶ, αἰδέομαι. ὁ μέλλων αἰδέσομαι, τὸ τρίτον αἰδέσεται. καὶ πλεονασμῷ τοῦ ἑτέρου σ αἰδέσσεται. οἱ γὰρ Αἰολεῖς διπλασιάζουσι τὰ σύμφωνα. οἷον, τόσον, τόσσον. ὁπότε, ὁππότε.

Αἰδέσιμον, σεβάσμιον, τίμιον. Αἰδεσιμώτατος, αἰδοῦς ἄξιος. Αἰδεσία, Ἑρμείου γυνή. αὕτη μὲν ἦν προσήκουσα γένει τοῦ μεγάλου Συνεσίου. καλλίστη δὲ ἐν ἀρίσταις γυναιξὶ τῶν ἐν Ἀλεξανδρείᾳ. τὰ μὲν ἦθη, τῷ ἀνδρὶ παραπλησία. ἁπλῆ καὶ γενναία, καὶ δικαιοσύνης οὐδὲν ἧττον ἢ σωφροσύνης ἐπιμελουμένη διὰ παντὸς τοῦ βίου. τὸ δὲ ἐξαίρετον αὐτῆς, φιλόθεον καὶ φιλάνθρωπον. καὶ ἄλλα πολλὰ λέγουσι περὶ αὐτῆς. Αἰδεῖσθαι φροντίδος, ἐφόρτασαι. παροιμία, ἐπειδὴ ὁ ποιητὴς πολλαχοῦ οὐδεὶς ἔργοις ὑπεδύθη. ἐν οἷς τὰς διατριβὰς συμβολὰς κρίνοντες, ἢ τὰς ὑποθέσεις μάλιστα πραγματικάς. Ἀΐδηλον πῦρ, τὸ μὴ ξηρόν, οἷον καθήμενον, καὶ μένον ἐπὶ ἑνὸς τόπου, ὅτε ἄνεμος εἰς πλέον φέρει, ἀλλὰ προϊόν, καὶ νεμόμενον τὰ παρατυχόντα, ἵνα ᾖ ἀΐζηλον. καὶ τροπῇ συνωρίας τοῦ ζ εἰς δ, ἀΐδηλον. καὶ ἀΐδηλον πῦρ λέγει Ὅμηρος. ἢ τὸ φλογερόν, ἐκ τοῦ α τοῦ σημαίνοντος τὸ πολύ, καὶ τοῦ ἰδεῖν. ὥσπερ ὅμοιον εἶναι καὶ τὸ ἀΐδηλον, ἤγουν ἀφανιστικόν, καθ' ὁμοιότητα τοῦ ἀΐδηλον. ἢ τὸ εἰς πολὺ δεῖν, ἐκ τοῦ α καὶ τοῦ ἵζω τὸ κάθημαι, τραπέντος τοῦ ζ εἰς δ.

Ἀΐδηλος

γοῦ τὸ γαυρῶ, γαίων. καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀγαίων. καὶ πλεονασμῷ τοῦ ι αἰγαίων. Αἰγανέα, οὐχ ἁπλῶς λέγει, ἀλλὰ καὶ ἐλαφρὸν καὶ μικρὸν εἶδος ἀκοντίου, ᾧ αἰγῶν θήραν ἐπιτήδειον. παρὰ τὸ ἱεσθαι κατὰ αἰγῶν, ὅ ἐστι παρὰ τὸ ἄγαν ἵεσθαι. οἱ δὲ παλαιοί φασι καὶ αἰγανέα, μικρὸν ἀκόντιον. Αἰγανέας δολιχαύλους λέγει, τὰς μακροσιδήρους, αἳ παρ᾽ ἵενται κατ᾽ αἰγῶν. τὸ δὲ εἰπεῖν αἰγανέας τινάς, ἀττικόν ἐστι καὶ ἰωνικόν. καὶ αἰγανέα, ὃ παρὰ τὸ ἄγαν ἱεσθαι, ὃ διὰ τὴν ἀγαύλην τὴν ἐξ αἰγείου δέρματος γιγνομένην. ἢ διὰ τὰς αἶγας, παρὰ τὸ ἐπ᾽ αὐτὰς ἵεσθαι, ὅ ἐστι κινεῖσθαι. λέγεται δὲ ἀγκύλη, ὁ τοῦ αἰγανέας λαβή. Αἰγανέης, τοῦ δόρατος. ἀπὸ αἰγανέασιν ἱέντες, τοῖς δόρασι βάλλοντες, τοῖς παίν ὑφεμένοις.

Αἰ γάρ, εἴθε γάρ. Αἴγαγρος, εἶδος ζώου. Αἰγάς, ἃς τὰς ἐν εὐβοίᾳ λέγει Ὅμηρος ἐν τῷ ν τῆς ἰλιάδος, ἔνθα μυθεύεται τὸ κατὰ τὰς ἐφημέρους ἀμπέλους. αἵ φασιν ἕωθεν ἀνθοῦσαι, πρὸς μεσημβρίαν πεπαίνουσι βότρυας. ἑσπέρας δέ, ὄμφακα χορηγοῦσι δαψιλῆ, ὑπὸ χορῶν τῶν τελουμένων ὑπὸ διονύσου, ἢ τῶν μαινάδων. ὁσάκις ἀναλίσκονται φασί, τοσαυτάκις ἀναλαμβάνονται. ὁ καὶ τὰ Νικόστρατος, αἰγὰς νησίον, νῦν περὶ τὸ αἰγαῖον. περὶ ἧς παραδοξολογία φέρεται. ὡς οἱ προσορμιζόμενοι ἐκεῖ νύκτωρ, ἀφανεῖς γίνονται. διὸ μὴ δεῖ προσπελάζειν ἐκεῖ. ὡς εἶναι καίπερ κἀνταῦθα τὸ Σοφόκλειον εἰπεῖν, Οὐκ ἐνθάδ᾽ οἱ πλοῖ τοῖσι σώφροσι βροτῶν. ἕτεροι δέ φασιν, αἰγὰς ἐνταῦθα λέγειν τὴν πόλιν τὰς ἐν πελοποννήσῳ, ἐν ἀχαΐᾳ. ἔνθα ὁ ποσειδῶνος ἱερὸν ἄγεσθαι, καὶ τὰ διονύσια ὀργιάζεσθαι. ὅπου καὶ συνεχῶς τοῦ χοροῦ φασὶν εἰς τὰ ὄργια συμβαίνει τὸ προειρημένον τῶν ἐφημέρων ἀμπέλων. ὁ δὲ γεωγράφος φησίν, ὅτι περὶ τὴν τῶν ἀχαιῶν εἰσὶν ἄλλαι αἰγαί, αἳ ἐκεῖ καὶ ἑνικῶς λέγεται ἡ αἰγά. ἔνθα καὶ πόλις ὁ αἴγειον, ἧς οἱ πολῖται αἰγιεῖς. ἣν Ἄρατος ὠλενίαν φησίν, ἀπὸ ὠλένου, ἢ ὠλένου ἐγχωρίας πόλεως. αἴγιον δέ, ὅτι ἀπὸ τοῦ κατὰ τὸν ὀλύμπιον δία αἰγός, καὶ μάλιστα τοῦ κατὰ τὴν ἀμάλθειαν, φέρεται ἡ παροιμία, τὸ αἲξ οὐρανία, ὁμοία τῷ, λευκὴ ψῆφος, κατὰ Παυσανίαν. ὡς γὰρ ἡ ἀμάλθεια φασὶ τροφὸς ἦν τοῦ Διός, οὕτω καὶ ἡ βιαιότητα ψῆφος ἔτρεφε τῆς δυσοδοκοῦντας δικαστάς. ἢ καὶ ἄλλως. ὥσπερ ὁ τὸ τῆς ἀμαλθείας αἰγὸς ἔχων κέρας πάντα εἶχεν, οὕτω καὶ οἱ κυαμεύοντες φασὶ τὰς ἀρχάς, καὶ τἄλλα ἀργυριζόμενοι. διὸ καὶ αἲξ οὐρανία ἔοικε λέγεσθαι, οἱονεὶ θεία, καὶ ὑψοῦ τῶν δικαστῶν ὅθεν δῶρα ἐλάμβανον.

Αἰδην, ἐπίρρημα μεσότητος. σημαίνει δὲ τὸ ὁρμητικῶς. οἷον, Αἰδην δαμάσας δ᾽ ὅσον ὄσσε, ἵνα ἐχθροί. παρὰ τὸ ἄισσω, τὸ ὁρμῶ. καὶ σημαίνει δὴν ἡσίοδος, ἀντὶ τοῦ ἐμοῦ ὁρμὴν ἔχοντος.

Αἰγι, αὕτη. Αἰγέα, τὸ τῆς αἰγὸς δέρμα. Αἰγεία, θάλασσα. Αἰγέαν κυνέην, τὴν ἐξ αἰγείου δέρματος γινομένην περικεφαλαίαν. Αἰγέις, φυλὴ ἀθήνησιν, ὀνομάσθη ἀπὸ αἰγέως τοῦ πανδίονος. ἔνθεν οἱ φυλέται, αἰγεῖδαι. Αἴγεον, δέρμα αἰγός, ὃ καὶ μηλωτή. καὶ αἴγειον, τὸ τοῦ αἰγέως μνημεῖον. Αἴγειρος ὄρνεον, ὁ ἀπὸ τοῦ αἰγός. ὃς παρ᾽ Ὁμήρῳ αἴγυπιος λέγεται. πρὸς ὁμοιότητα τοῦ χρώματος, καὶ ἀργύριος. Αἴγειρος, εἶδος δένδρου. ἀναστρέφεται ὁ τόνος. ὠνομάσθη δέ, ἀπὸ τοῦ ἐγείρεσθαι αὐτὴν καὶ ἀναβλαστάνειν. ἢ αἴγειρος, ἡ λεύκη, ἢ αἴγειρος, παρὰ τὸ ἐκ τοῦ ἔρας αἴσσειν. ἔχει, ὄρθιον καὶ κοῦφον. ἢ ἀπὸ τοῦ κατατείνεσθαι ὑπὸ τῶν ἀνέμων. ὅπερ ἐστὶ ἀρσενικοῦ τόνου θηλυκοῦ γένους λαμβάνεται. Αἰγειροτόμοι, ἱερεῖς καὶ ἀθήνησιν. Αἰγειροθέα. αἴγειρος ἦν ἀθήνησι, πλησίον τοῦ ἱεροῦ. ἔνθα πρὶν γενέσθαι θέατρον, τὰ ἴκρια ἐπήγνυον.

Αἰγες, τὰ μεγάλα κύματα δωριεῖς, ἐν τῇ συνηθείᾳ. καὶ ἐπὶ γῆς, τὸ σφοδρῶς πνέω. καὶ αἰγαῖον πέλαγος, τὸ φοβερὸν.

Αἰγιάλεια, ἡ νῦν ἀχαΐα. Αἰγιαλεῖς, οἱ μετὰ ἀγαμέμνονος στρατευσάμενοι πρότερον ἴωνες. νῦν δὲ ἀχαιοί, οἷον σικυώνιοι. Αἰγιαλία, δηιοπέος θυγάτηρ ἀδραστίδος. ὁ δημότης, αἰγιαλεύς.

Αἰγιαλίδες, ὑμένες ἐν τοῖς ὀφθαλμοῖς. ἔτι ἐν τοῖς ὀφθαλμοῖς δὲ ὑπολιπούσας οὐλάς, αἰγιαλίδας ἔλεγον. Αἰγιαλόν, οὕτως ἐκάλουν παραθαλασσίαν τῆς χώρας. ἤτοι παρὰ τὸ ἀγνύειν τὸ πελάγος, ἢ παρὰ τὸ κινεῖσθαι ἀπὸ σκιᾶς μέχρις ἧς ἁλὸς. αἰγιαλεῖ δέ, τὸ ἐν τῇ πελοποννήσῳ. ὧν εἷς, καὶ ὁ κατὰ παφλαγονίαν. Αἰγιαλός, παρὰ τὸ τὴν οἶαν εἶναι γίνεται τῆς ἁλός. ἢ ἀπὸ τοῦ γαίω, ἢ ἀπὸ τοῦ δίνω αἰγὸς ἁλιέσθαι. Αἰγίβοτος γῆ, ἡ αἶγας βόσκειν, καὶ τρέφειν δυναμένη. ἐξ οὗ τὴν ὀρχήν οὕτω λέγουσιν ἤδη καὶ αἰγίνου καὶ αἰγίβοτος λέγεται. Αἰγίδας. οὕτως ἐκάλουν τὰ τῶν στρατευμάτων δίκτυα. Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως, καὶ Ἡρόδοτος ἐν τῇ τετάρτῃ. Νυμφόδωρος δὲ ταύτας φησὶν ὑπὸ λιβύων αἰγίας καλεῖσθαι. Αἰγίδα ἐνσανεῖν, τὸ ὅπλον τοῦ Διὸς τὸ κρεσσόν.

Αἰγίζειν, διασπᾶν, καταιγίζειν μεταφορᾶς. παρ᾽ ὃ καὶ τὸ αἰγίζεσθαι, ἀπὸ τοῦ καταιγίδαν. Αἰσχύλος ἐν ἑαυτῷ ποιητὰς ἐν ξάντοις, αἰγίζειν τὰς κουρίδας λέγει, ἀντὶ τοῦ διασπᾶν καὶ καταιγίζειν. Αἰγίθαλος, ὄρνεον, καὶ εἶδος βοτάνης καὶ ὀρχίσιως.

Αἰγίλιψ, πέτρα δύσβατος, καὶ ὀρεινὸς τόπος. ἥτις κατ᾽ αἰγίλιπος πέτρης, δνοφερὸν χέειν ὕδωρ. γίνεται δὲ παρὰ τὴν λείψειν μέλλοντα, λείψ. καὶ ἀποβολῇ τοῦ ε, λίψ. καὶ ἐν συνθέσει μετὰ τῆς αἰξ, γίνεται αἰγίλιψ. εἰς ἣν καὶ αἶγες οὐ δύναται ἀναβῆναι. οὕτως ὠρίων. ἐστὶ δὲ ῥηματικὴ ἡ λέξις. Ἄλλως. Αἰγίλιψ, πέτρα, ἥτις διὰ τὸ ὕψος δυσβάτη, καὶ ὑπὸ αἰγὸς λείπεται. ἀλλὰ καὶ οὐ ζώου, καὶ πετροβατικοῦ. καὶ αἰγίλιπα, τραχεῖαν, ὑψηλήν. παρ᾽ Ὁμήρῳ. ὄνομα μὲν τόπου ἡ τραχεῖα, ἐπίθετον δὲ καὶ τὸ αἰγίλιπα ὁμοίως. ἴσον δέ, ὡς ἅπαξ βραχεῖαν εἶναι ἐκ, καὶ εὐθὺς συνιέναι τὴν αἰγίλιπα. ἤγουν τὴν τὰς αἶγας λιπαίνουσαν κατὰ ἰδέαν. διὸ καὶ ἡ ἰθάκη, αἰγίβοτος λέγεται εἶναι. ἢ μᾶλλον, τὴν ὑπ᾽ αὐτοῦ αἰγὸς λειπομένην, διὰ τὸ ἄγαν τραχὺ καὶ ἄβοσκον. αἰγίλιψ ἐκ τοῦ αἰγὶ σύνθετος, καὶ τοῦ λείπω. ἤγουν, ἀπρόσβατος, ψιλό, ἄβοσκητος. καὶ αἰγίλιπες πέτραι λέγονται, ἃς διὰ τὸ δυσβάτους, αἱ αἶγες λείπουσιν. ἕτεροι δὲ πέτραν αἰγίλιπα φασὶ, τὴν μηδὲν φυτὸν λέγοντες, ὡς οὐκ ἂν ἡ αἲξ ἀποτράγῃ, ἄπορον αὐτῇ. ὥς τι κατ᾽ αὐτὸς αἰγίλιψ, ἣν ἡ αἲξ βοσκομένη ἔλιπε. καὶ αἰγίλιψ, πόλις κεφαλληνίας. γράφεται δὲ ἡ λάγνος τοῦ αἰγίλιψ, διὰ τοῦ ι. ἐπεὶ μηδέποτε πρὸ τοῦ διπλοῦ, εὑρίσκεται δίφθογγος.

Αἴγιλος, ἀκρωτήριον πελοποννήσου, καὶ εἶδος βοτάνης.

Αἰγίλαρος, αἴλουρος. καὶ πλεονασμῷ τῆς γι συλλαβῆς, αἰγίλουρος. Αἰγιλοῦρος, κάραβος. Αἰγίλωψ, πόα τις ἐμφερὴς ἀχύροις, καὶ τὸ περὶ τοὺς ὀφθαλμοὺς πάθος. Αἰγιμιός, ὄνομα πόλεως. Αἴγινα, ὄνομα πόλεως καὶ νήσου. κεῖται δὲ πλησίον ἐπιδαύρου πρὸ τῆς ἀττικῆς. ἔχει δὲ σύστημα τῆς αἰγίνης τοῦ ἀσωποῦ, οἰωνῷ προτέρου καλουμένη. χάριεν ἐστι παρὰ [illegible] ποιητοῦ, ἀντὶ τοῦ Οἱ τὴν ἔχοντες αἴγιναν, κῆτος τὴν αἴγιναν. ἵνα διαστείλωσι τὴν τῆς χέρσου αἴγιναν. ἔνδοξος δέ ποτε ἡ νῆσος αἴγινα. Αἰγινητία, τὰ ὠρικὰ φορτία. καὶ οἱ πιπράσκοντες, αἰγινητοπῶλαι. ἐλέγετο δὲ καὶ τὰ μεγάλα αἰγινητία, ἀπὸ τοῦ νομίσματος. καὶ τὸ αἰγιναῖον τάλαντον, πλεῖον ἦν τοῦ ἀττικοῦ. ἔλεγον δὲ τὸ μὲν παλαιόν, αἰγινήτας. τὰ δὲ ἐκ τοῦ νήσου, αἰγινητία. Αἰγιναῖον, νόμισμα ἀργυροῦν μέγα. καὶ αἰγιναῖος ὀβολός, ὁμοίως. Αἰγινητικὰ ἔργα, τὰ συμβεβηκότα ἀνδριάντας. Αἰγινόμοι, ζῷα οὕτω καλούμενα. Αἴγιον, πόλις ἀχαΐας, οὗ ὁ πολίτης, αἰγιεύς. ὡς ὁ χρησμός, ὑμεῖς δ᾽ αἰγιέες, οὔτε τρίτοι, οὔτε τέταρτοι. τετίσπν, οὐ μόνον πρωτεῖον ἐν ἀνδρείᾳ οὐ κλητεῖτε, οὔτε μὴν δευτερεῖον ὡς ἀκοῦσαι βούλεσθε, ἀλλ᾽ οὐδὲ τρίτοι, οὐδὲ τέταρτοι τάξις ἀνδρείαν ἐστί. ὁ δὲ Στράβων λέγει, τὸ αἴγιον ἱκανῶς οἰκούμενον. ἱστοροῦσι δὲ ἐνταῦθα τὸν Δία ὑπὸ αἰγὸς τραφῆναι. ἣν ὠλενίαν Ἄρατος λέγει, διὰ τὸ πλησίον ἡ ὠλένη, ἢ ὁ ὤλενος κτίσμα ὁμώνυμον τῷ αἰτωλικῷ, μεταξὺ πατρῶν καὶ δύμης. ῥεῖ δὲ αὐτόθι σελινοῦς ποταμός. Αἰγίοχος ζεύς, ἢ αἰγιοῦχος. κατὰ μὲν μῦθον, ὁ μετὰ γέννησιν τὴν ἐν κρήτῃ ὑπὸ αἰγὸς εὑρηκώς, τὴν ἐχίδνην, διὰ τὸ τὴν τροφὴν, ἐποίησε τὴν παιδοβρῶτα πατέρα κρόνον ἐκρό-

κατὰ θάλαμον κειμένη. Ἄλλοι δέ φασι, τὸ αἲ ψιλούμενον μὲν καὶ ὀξυνόμενον, ἐπίῤῥημα εὐχῆς σημαντικόν, δηλοῦν τὸ εἴθε, ἀπὸ τοῦ αἴθε κατὰ ἀποκοπὴν γινόμενον. οἷον, αἲ γὰρ δὴ οὕτως εἴη φίλος ὦ μενέλαε. ἢ ἀπὸ τοῦ εἰ, τοῦ σημαίνοντος τὸ εἴθε, κατὰ τροπὴν τοῦ ε εἰς α. ὡς τὸ, εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι. καὶ, εἴ μοι γένοιτο παρθένος, καλή τε, καὶ τέρεινα. Δασυνόμενον δὲ καὶ βαρυνόμενον, ἄρθρον γίνεται ἀναφορικὸν πληθυντικὸν γένους θηλυκοῦ. οἷον αἳ, ἅπερ καὶ αἵτινες λέγεται. Αἲ καὶ αὖ δίφθογγοι, διατί ἐν τοῖς παρῳχημένοις τῶν ῥημάτων τρέπονται; ἐπειδὴ οὐκ ἔχουσι συζυγίαν μακρὰν. τὸ γὰρ ι καὶ υ δι᾽ ὧν μηκύνονται, οὐκ εἰσὶν αὐτῶν συζυγίαι, ἀλλὰ τοῦ ε καὶ ο. καὶ διὰ τοῦτο ὡς ἄπαρ τρέπονται. Αἶα, πόλις τῆς κολχίδος. αὕτη ἐπ᾽ ἐσχάτοις κεῖται τῆς οἰκουμένης. ἄλλοι δὲ τὴν γῆν τῆς κολχίδος, ἰδίως αἶαν καλεῖσθαι λέγουσιν. ἢ αἶα, ἡ γῆ. παρὰ τὸ γαῖα γαῖα, ἀποβολῇ τοῦ γ. καὶ αἶα ὑπὸ κυρηναίων, ἡ τίτθη, ἡ μαῖα, ἡ ἀδελφὴ κρήτης. καλεῖται δὲ καὶ κρήνη ἐν παιονίᾳ, καὶ φυτόν τι. ἔστι δὲ ὁ καρπὸς αὐτοῦ ὁμώνυμος. Αἴαγμα, θρῆνος διὰ διφθόγγου. ἔαγμα δὲ τὸ σύντριμμα, διὰ τοῦ ε ψιλοῦ. Αἰαζομένη, θρηνοῦσα, ἀχθομένη. Αἰάζω, ὀδυνῶμαι, στενάζω, θρηνῶ. παρὰ τὸ αἲ, σχετλιαστικὸν ἐπίῤῥημα. καὶ ἔστι ῥῆμα ποιητικόν. Αἰαία, νῆσος ἐν ᾗ φασὶν εἶναι, ἐν ᾗ τὸ δέρος ἔκειτο. αὕτη δέ ἐστι κόλχων μητρόπολις. καὶ αἰαίη, ἀντὶ τοῦ κολχικὴ, κατὰ ἐπωνυμίαν ποιητικήν. αἶα γὰρ πόλις κολχίδος, παρὰ τὸ ἄλλοις, καὶ παρὰ Απολλωνίῳ. ὡς ὁ πολίτης, αἰαῖος. καὶ ὁ πολίτης, αἰαία. καὶ ἡ νῆσος δὲ τῆς κίρκης, αἰαία, διὰ τὴν ἐναντίαν κίρκην. ἄλλως καὶ εἰκότως προσέτι ἐστὶν ἔχειν ἡ αἰαία νῆσος, διὰ τὸ Δύο αἲ, ὤφειλεν ἡ ἀπ᾽ αὐτῆς κίρκη ἔχειν καὶ δίφθογγον, ἵνα ᾖ αἰαιαίη. ὅπερ οὐκ ἔστι, διὰ τὸ κακόφωνον, καὶ διὰ τὴν ῥηθεῖσαν ὁμωνυμίαν. ὁ δὲ γεωγράφος αἶαν εἰπὼν πόλιν περὶ τὴν φᾶσιν, λέγει ὅτι περὶ τὴν τοιαύτην κολχικὴν αἶαν, καὶ αἰαία νῆσος, ἡ τῆς κίρκης. ὅτι δὲ καὶ αἰήτης ὁ ἥρως ἀπὸ τῆς αὐτῆς αἴας ἐκλήθη, δηλοῦσιν οἱ παλαιοί. Αἰακὶς, ἀπὸ τοῦ αἰακοῦ παρωνομάσθη. κύλικες δὲ αὕτη εἶδος, ὡς ἐν τοῖς τῶν Ἀθηναίων κεῖται. Αἰακίδης, ἀχιλλεὺς. οἰκεῖ, αἰακίδα. Αἰακίδα, τοῦ αἰακοῦ, ἔκγονον ἀχιλλέως.

Αἰάκειον, οὗ φασιν αἰακὸν οἰκῆσαι. Αἰακήνιον, ἀθήνησιν καὶ τὸ αἰακοῦ τέμενος. Αἰόλλει. τοῦτο οὐκ ἔστι πλεονασμὸς, ἀλλ᾽ ἀντίθεσις. παρὰ δὲ τὸ αἰόλον καὶ τὴν οὐρὰν, ἐτυμολογεῖται αἰόλουρος. ὃς καὶ αἴλουρος, διὰ διφθόγγου γράφεται. ἔλουρος δὲ τὸ ἰχθυακὸν, διὰ τοῦ ε ψιλοῦ. Αἰζηοί, οἱ σύνακμοι. Αἰανὴς κύκλος, καὶ αἰανὸς, ὁ σκοτεινὸς. καὶ αἰανὸν, τὸ δεινὸν, καὶ χαλεπόν.

Αἰάντειος γέλως, ἐπὶ τῶν παραφρόνως γελώντων. καὶ αἰάντειος οἶκος, ὁ τοῦ αἴαντος. καὶ αἰαντὶς φυλὴ, ἡ τοῦ αἴαντος. Αἰάντεια, ἑορτὴ ἐν σαλαμῖνι. Αἰαντὶς, φυλὴ ἀθήνησιν. Αἰαντὶς, ἀμαθία. Αἴας, ὁ τελαμώνιος. καὶ αἴας ὁ λοκρὸς. ὧν ὁ μὲν τελαμώνιος, παρὰ τὸ αἲ αἲ, αἰάζω (θρηνητικὸν γάρ ἐστιν ἐπίῤῥημα) ὥς φησι Σοφοκλῆς. αἲ αἲ, τίς ἄν ποτ᾽ ᾤεθ᾽ ὧδ᾽ ἐπώνυμον τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς. νῦν γὰρ πάρεστι, καὶ δὶς αἰάζειν ἐμοὶ, καὶ τρίς. ὁ δὲ λοκρὸς, παρὰ τὸ αἴσσω τὸ ὁρμῶ. ὁ μέλλων, αἴξω. ὁ ἀόριστος, ᾖξα, ἤϊξας. ἡ μετοχὴ, ὁ αἴξας. καὶ ἀποβολῇ τοῦ ξ, καὶ συναιρέσει, αἴας. ἐτυμολογεῖται δὲ, παρὰ τὸ ἀθλίως, καὶ σφόδρα ἀναιδῶς καὶ ὁρμᾶν, ἐν τοῖς πολέμοις. περὶ οὗ ἱστορεῖται ταῦτα.

Ἱστορία. Αἴας ὁ λοκρὸς, ἐν τῇ ἁλώσει τῆς Τροίας καταφυγοῦσαν κασάνδραν ἐν τῷ ναῷ, καὶ τοῦ παλλαδίου τῆς ἀθηνᾶς ἐχομένην, ἀπέσπασε. καὶ αὐτόθι, ταύτῃ συνεγένετο. ὀργισθεῖσα δὲ ἡ ἀθηνᾶ, τὸν ἐν τῇ θαλάσσῃ σὺν πολλοῖς ἑτέροις ἀπώλεσεν. οὕτω μὲν οἱ πολλοί φασι. τὸ δὲ ἀληθὲς οὕτως ἔχει. καταφυγοῦσαν αὐτὴν, ἀνέστασε τοῦ ναοῦ. καὶ ἔχουσι, τὴν λείαν καθάπερ ἔτερον οἱ πολλοὶ στρατιῶται, ἃς ἔφθασεν ἕκαστος ἁρπάσαι. ἐρασθεὶς δὲ ταύτης ὁ ἀγαμέμνων, παρ᾽ ἑκόντος τοῦ λοκροῦ. ὁ δὲ κασάνδραν, ὡς αἴας ἐν τῷ ναῷ ταύτῃ ἐμίγη. συνέβη γοῦν ἀφαιρεθῆναι αὐτὴν οὕτως, ὑπὸ ἀγαμέμνονος καὶ μισηθῆναι, ὑπὸ τοῦ ἀθροίσματος πλήθους καὶ συγγενῶν.

εἰς γοῦν δὲ θυμὸς ὁ ἀνὴρ τὴν πρότερον εἰς ἀλλήλους ἔχθραν, ἣν ἀφηρέθη τὴν ἐπικειμένην βασιλείαν, ὅτι δὲ λογισάμενος καὶ τὸν παλαμήδους ἄδικον θάνατον, καὶ φοβηθεὶς μή πως καὶ αὐτὸν δόλῳ ἀπόλωσιν, ἐπιβὰς τῆς νεὼς ἐν ἀπροσφόρῳ καὶ χειμερίῳ καιρῷ, ἐναντίων ἀνέμων πνευσάντων, περὶ τὴν τῆνον καὶ μύκονον σκοπέλους ἐπὶ ἄκρον. καὶ τῆς νεὼς πρὸς τὰς πέτρας ἀσθενέσι, μέχρι τινὸς ὁ ἀνὴρ γενναίως ἐρρώμενος, περὶ τὰς γυραίας πέτρας ἐσώθη. μεγάλων δὲ τῶν κυμάτων ἐπερχομένων συνεχέστερος, σὺν μετὰ τῆς πέτρας ἀποσχισθεὶς, πρὸς τὴν θάλασσαν αὖθις κατενεχθεὶς ἀπεπνίγη. μαθοῦσα δὲ ἡ λοκρὶς ἅπαν τὸ συμβὰν, ἐπὶ χρόνον ὅλον μελανοφοροῦσα, οὐκ ἄνθη ἐπίθετο. καὶ ἐτησίως ὁλοκαύτωμα πληροῦσα θυσιῶν μεγαλοπρεπῶν, καὶ πῦρ ἐμβαλοῦσα, τῇ ὁλκάδι ἱστὸν ἀνενεγκοῦσα ἐπὶ ἀρτεμίσιον ἐξ αἰγιαλοῦ χωρίου, ἔπεμπε πρὸς τὸ πέλαγος, κατακαίουσα θυσίαν τῷ ἥρωι. Αἴβαρα, ἡ θύρα. Αἰβοῖ, σχετλιαστικὸν ἐπίῤῥημα, ἀντὶ τοῦ φεῦ. τέθειται δὲ καὶ ἐπὶ ἐκπλήξεως. παρὰ Ἀριστοφάνει ἐν ἄρνισιν, αἰβοῖ, οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι γλυκύτερον. Αἰάζει, κακῶσαι. Αἰβοκαίων, τὸ κατακάλυμμα. Αἰθοὶ, αὐταὶ, ἀκμάζοντες. Αἰαλ, ματαίως. Αἰνιγμός, ὁ πηλός.

Αἰβηνὸς, αἰγινός, περὶ γαῖαν. Αἶβον, κάτωθεν, πλάγιον.

Αἰγαγίσσα, ἄγριον αἶγα. Αἴγαγρον, αἶγα ἄγριον. Αἰγαίδαν, αἰγαίων Διακρ. Αἰγαὶ, ὑποδημάτων γένος. Αἰγαὶ, νῆσος περὶ τὴν εὔβοιαν. ἀφ᾽ ἧς λέγεται καὶ πέλαγος αἰγαῖον παρονομασθῆναι. διαφθαρέντος δὲ αὐτόθι ποσειδῶνος ἱερόν. εἰσὶ δὲ καὶ ἕτεραι αἰγαὶ, ὡς ἱστοροῦσιν οἱ παλαιοὶ ὁμώνυμοι ταῖς ἀχαϊκαῖς, αἱ ἐν εὐβοίᾳ. ἢ αἰγαὶ, νῆσος πρὸς τῇ εὐβοίᾳ, ἔνθα ἱερὸν ἀπόλλωνος. Αἰγαῖον πέλαγος, τὸ μεταξὺ τῶν κυκλάδων, καὶ τῶν ἀθηνῶν. εἴρηται δὲ αἰγαῖον, παρὰ τὸ κυμαῖνον καὶ καταιγίζειν ταχέως, ὅτι δίκην αἰγὸς κυμαίνεται. ἢ αἰγαῖον πέλαγος, οἱ μὲν ἀπὸ τοῦ περὶ κανίαν αἰγὸς ἐπώνυμον γεγονέναι φασίν. οἱ δὲ ἀπὸ τῆς κυρηναίας, τῆς αἰγαίας ὀνομαζομένης. αἱ μὲν καὶ αἰγαὶ ἱερὸν τὸ ποσειδῶνος γεγένηνται φασὶ, κατὰ πελοπόννησον εἰσὶν, ἐν τοῖς περὶ κορίνθου τόποις. εἰσὶ δὲ ἄλλαι, αἱ διὰ τὸ κυρηνιακῇ δι᾽ ὅλα τοῦ πελάγους τῶν παρακειμένων γῆν. Ἄλλως. Αἰγαῖον πέλαγος ἐκλήθη, ἀπὸ νήσου αἰγῶν καλουμένης. Ὅμηρος, Οἱ δέ τοι εἰς ἑλίκην τε καὶ αἰγὰς. αὕτη γὰρ ἱερὰ ποσειδῶνος. ἐν ᾗ μᾶλλον κοιμᾶσθαι λόγος, διὰ τὰ φαντάσματα τοῦ θεοῦ, ὥς φησι Κικαιράτης. οἱ δὲ ἀπὸ ποσειδῶνος ὀνομασθῆναί φασι τὸ πέλαγος. αἰγαῖος γὰρ οὗτος ὁ θεὸς προσαγορεύεται, ὥς φησι Φερεκύδης. Νικοκράτης δέ φησιν, ὅτι ἀπὸ αἰγέως καταχρημνίσαντος ἑαυτὸν ἀπὸ τῆς ἀκροπόλεως εἰς τὴν θάλασσαν. οὐκ εὖ. πολὺ γὰρ ἀπέχει ἡ ἀκρόπολις τῆς θαλάσσης, παραπλήσιον. Αἰγαῖος κόλπος, καὶ αἰγαῖος ποταμὸς, περὶ κέρκυραν. ὅπου θυγάτηρ μελίτη. ἧς καὶ ἡρακλέους, ὕλλος. ἀφ᾽ οὗ ἔθνος ὑλλεῖς, καὶ ὑλλικὸς λιμὴν, παρὰ φαίαξι. Ῥιανὸς δέ φησιν, ἐν λυδίᾳ νοσήσαντα ἡρακλέα τεχθῆναι ἰάσιος ὑπὸ ὕλλου τοῦ ποταμοῦ. διὸ καὶ τὸν δύο υἱοὺς αὐτοῦ ὕλλους ὀνομασθῆναι. Ἱστορία. Αἰγαίων. Κίνων ἐν τῇ ἡρακλείᾳ φησὶν, ὅτι καταγωνισθεὶς ὑπὸ ποσειδῶνος, κατεποντίσθη εἰς τὸν αἰγαῖον ὑπὸ ἀπόλλωνος. ὅθεν αἰγαίωνα τὸν αὐτὸν καὶ βριάρεων καλοῦσι. τὸν δὲ αἰγαίωνα, Ἡσίοδος φησὶν οὐρανοῦ καὶ γῆς. Βριάρεως δὲ ὁ αἰγαίων, καὶ γίγας, ὁ αὐτὸς λέγεται συνωνύμως. Εὔμηλος δὲ ἐν τῇ τιτανομαχίᾳ, τὸν αἰγαίωνα γῆς καὶ πόντου φησὶ παῖδα. κατοικοῦντα δὲ ἐν τῇ θαλάσσῃ τοῖς τιτᾶσι συμμαχεῖν. καὶ ἴων φησὶν ἐν διθυράμβῳ ἐκ μέσου τοῦ πελάγους αὐτὸν παρακληθέντα ὑπὸ θέτιδος ἀναχθῆναι, φυλάξοντα τὸν δία. θαλάσσης δὲ παῖδα. ἄλλοι δὲ θαλάσσιον θηρίον φασὶ τοῦτον. Ταῤῥαῖος δέ φησιν, ὅτι γίγας ὤν, καὶ φυγὼν ἐκ τῆς εὐβοίας, ἀφίκετο εἰς φρυγίαν, κἀκεῖ ἐτελεύτησεν. καὶ αἰγαίων, ὁ ποσειδῶν, ἀπὸ τῶν ἐν ταῖς αἰγαῖς πόλεως τῆς ἀχαΐας, καὶ ἐν τῷ αἰγαίῳ κεῖσθαι. ἢ αἰγαίων, ὁ ἥλιος. παρὰ τὸ αἴθω, αἰθαίων. καὶ ἀποβολῇ τοῦ θ ὡς παρώνυμον, ὁ ἀπὸ τῆς ταῖς ἀκτῖσιν αἰθαίων. ἢ ἀπὸ τοῦ

Ἀθμονία, καὶ ἀθμονεύς, δῆμός ἐστι φυλῆς τῆς κεκροπίδος. ἀφ' οὗ ὁ δημότης, ἀθμονεύς. Ἀθμονεύς, ὄνομα κύριον. Ἀθόλωτος, ὁ ἀτάραχος. Ἀθόλωτον, καθαρόν. Ἄθορον, ἄπληστον.

Ἄθου, προπαροξύνουσιν οἱ παλαιοὶ τὴν φυσικὸν τινῶν φυλάσσοντες. γίνεται γὰρ ἐκ τοῦ ἄθω, πλεονάζοντος ἐν τῇ παραληγούσῃ τοῦ ο μικροῦ. ὡς ἐκ τοῦ φῶς φόως. καὶ λῶς ὁ ταῦρος, λόως. οὕτω, Κόων γίνεται μῆκος. Ἄθραι, ἀπαλαί, καὶ ἀπαλάσεις. Ἄθρακοι, ἀτάρακτοι. καὶ ἄθρακτος, ἀτάραχος. Ἀθράνεστον, ἀσφαλέστερον. Εὐριπίδης εἶπε. Ἄθραο, ἄρμα ῥέδιον. Ἄθρανον, ἀνεφάναστα. Εὐριπίδης, ἰφιγενείᾳ τῇ ἐν αὐλίδι. Ἄθραυστον, ἰσχυρόν, ὑγιᾶ, ἀβλαβῆ, ἀκέραιον. Ἀθρέως, ἀπλῶς. Ἄθρει, βλέπε, ὅρα, νόει, ἴδε, θεώρησον, σκέψαι. Ἀθρεῖν, τὸ ἄγαν βλέπειν. θρῶ ἀπὸ τοῦ ὁρῶ τὸ βλέπω γίνεται θρῶ, καὶ προσθέσει τοῦ α ἐπιτατικοῦ μορίου, γίνεται ἀθρῶ, τὸ ἄγαν βλέπω. ἢ κατὰ συναίρεσιν τοῦ α πρὸς τὸ ο, ἀθρῶ. καθὰ καὶ ἐκ τοῦ μόθου γίνεται ὁ πρεμοθές. καὶ ἐκ τοῦ σύνδυος, συνδυοῦ, καὶ ἄλλα ὁμοίως. φησὶ δὲ, ἐκ τοῦ διορῶ συγκέκοπται. ὁ θρῶ, ἐκ τοῦ θεωρεῖν. καὶ κατ' ἐπίτασιν, ἀθρεῖν. μετὰ ἐπιτάσεως θεωρεῖν, πιαστικῶς Ἀθρέω, ἀθρήσω, αἰολικῇ συναπαντή. οἷον, ἄγε δὴ ἀθρήσω τοῖσι δὲ ὁρῶ. Ἀθρικτί, ἀτάρακτοι. Ἀθρίαστος, ἐλθεῖν ἐπιθυμοῦντος. Ἀθρίμβολα, ὄργανα λεπουργικά, ἄρθρους ὡς ἔοικεν ἐμβαλλόμενα, καὶ διαστῶντα καὶ πλήσσοντα. οἶμαι δὲ ἀρθρίμβολα δεῖ γράφειν. Ἀθρύματα, δῶρα τὰ πεμπόμενα παρὰ τῶν συγγενῶν ταῖς γαμουμέναις παρθένοις, παρὰ λεσβίοις. Ἀθρίων, εἶδος μαλίανος. Ἀθρικοί, κωρὶς θρίων. Ἀθρίανον, ὁμοσοῦν τόπιν. Ἀθρήσκει, ἀτενίσει, ἰδεῖν. ἢ ἀθρήσω, ἰδών. Ἀθρήσσειν, σκοπήσειν, ἀπίδειν. ἢ ἀθρητὸν, θεώρητον. Ἀθαβίς, πόλις αἰγύπτου. Ἀθρόα, ὁμοῦ πάντα. Ἀθροίζω, συνάγω. Τοὺς ἀθροίζοντας ὑψηλοὺς, περιφρονοῦντας. Ἀθρόοι, ἀντὶ τοῦ ὁμοῦ. καὶ ἀντὶ τοῦ αἰφνίδιοι, ἢ ἀπροσδόκητοι. καὶ ἀθρόα κατερρίοντο, ἀντὶ τοῦ ὁμοῦ. προπαροξύνουσι δὲ διὰ τὸ ὄνομα, καὶ δασύνουσι τὴν πρώτην συλλαβὴν ἀττικῶς. κατερρίοντο δὲ, ἀντὶ κατηρχόμενοι. ἡ μεταφορὰ, ἀπὸ τοῦ ποταμίου ῥεύματος. Ὅμηρος, χαλκὸν ἐπίρρεον ἔθνεα πεζῶν.

Ἀθρόως, καὶ ἀθρόον, ἀντὶ τοῦ ὁμοῦ, ἐξαίφνης. Ἀθροίζω, τὸ συναγείρω. ἐκ τοῦ θροῦς ὁ θρόος, ὃ σημαίνει τὸν θόρυβον, γίνεται θροίζω. καὶ κατὰ συναίρεσιν, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀθροίζω. Ἀθροισμα, πλῆθος, σύναξις, σύστημα. Ἄθροον, πολὺ, ἀθρόον. λάκωνες. Ἀθρόος, ὃ καὶ ἄθρος λέγουσι διὰ τοῦ τμήματος. ἀντὶ τοῦ ὡς ἐν συνηγμένος. ὁμοῦ, ἀθρόως. ὡς τὸ, Τοιαῦτα μὲν ἐποίκιλλεν, ἄθρως διατεινόμενος. Ἀθρόοι, καὶ ἀθρόα, καὶ τὸ ἀθρόον. πρὸς διάφορον σημασίαν διαφόρως οἱ ἀττικοὶ ἐπνευμάτιζον. ἐπὶ μὲν τοῦ αἰφνιδίου ψιλοῦντες αὐτό, διὰ τὴν τοῦ α στέρησιν. οἱονεὶ, τὸ δίχα θροῦ, τουτέστι θορύβου. ἐπὶ δὲ τοῦ ὁμοῦ δασύνοντες, διὰ τὴν ἄθροισιν, ἀθρόον τὸ ἅμα θρῶ, ἢ τὸ θορυβῶ, ἢ τὸ ἅμα θορὸν, ἤγουν πολλοῖς. τὸ δὲ ἀθροιστικὸν α δασύνεται. τὸ γοῦν ἀθρόοι ἦλθον, καὶ ἀθρόα πάντ' ἀπέδωκεν, ἐδασύνετο ἀττικῶς παρὰ τῷ λόγῳ, διὰ τὴν ἀθροιστικὴν σημασίαν. οἱ δὲ νῦν, ὅπως ἂν ἔχοι ψιλοῦσιν αὐτὰ διὰ τὸ πρὸ δασέος ἐκφέρεσθαι τὸ α. οἱ δ' αὖ ἀττικοὶ καὶ τὸ ἕως ἐπὶ μὲν τοῦ φαίνω ἐψίλουν. ἐξ οὗ καὶ ἠὼς ἡ ἡμέρα. ἐπὶ δὲ τοῦ ξηραίνω, ἐδάσυνον. ἐξ οὗ καὶ τὸ ἀπαφανάντων παρὰ τῷ κωμικῷ ἄνθη ἀπεξηράνθη. καὶ τὸ εἴργω δὲ ἐπὶ μὲν τοῦ κωλύω, ἐψίλουν. καὶ δῆλον ἐκ τοῦ ἀπείργειν. ἐπὶ δὲ τοῦ ἐγκλείω, ἐδάσυνον, ὡς δηλοῖ τὸ καθείργειν. Ἀθρόως, ταχέως, αἰφνιδίως, σφοδρῶς, ἀφνίως, συνηγμένως, ὁμοῦ. Ἀθρυπτος, ἀνθρώπλας, μὴ βλακεύων, μὴ δὲ μαλακιζόμενος, μηδὲ χαυνούμενος. Δαμάσκιος, Τῶν δὲ τροφῶν ἐκληρώθη, μετρίαν δὲ καὶ ἄθρυπτον, οὔτε κακουργοῦσαν διὰ πενίαν, οὔτε διὰ πλοῦτον βλακεύουσαν, ἀλλὰ μέσην καὶ μετρίαν ἣν δίαιταν τρέφων, ὡς ἀληθῶς ἁρμοσμένην. Ἀθυμίας, λύπης. ἐκ τοῦ καταθυμίου, ἀβούλητος γίγνεται. Ἄθυμος, ἀντὶ τοῦ ἀθυμάτως. Πλάτων πολιτείας πέμπτῳ. ἤγουν, ὁ λελυπημένος. Οἱ δὲ πρεσβεῦσαι λέγοντες, ὡς ἄθυμοι δοκοῦντες, καὶ τὰ σώματα ἐπιδόντες, ἐν τῇ προτέρᾳ μάχῃ παρεβάλοντο καὶ ἐνίκησαν. ἀντὶ τοῦ, τῶν ψυχῶν κακοί. Ἀθυμότερος, ἀψυχότερος, κακοψυχότερος.

Ἀθυμῶ ἀμεταβάτως. Οἴμ' ὡς ἀθυμῶ, λυποῦμαι. Ἀθύρ, ὁ μήν. καὶ τὴν ἀφροδίτην αἰγύπτιοι καλοῦσιν ἀθύρ. καὶ μῆνα γε τὸν τρίτον τοῦ ἔτους ἐπώνυμον ταύτῃ πεποιήκασιν. οὕτως Ζηνόβιος. καὶ ἀθὺρ ἡ βοῦς παρὰ αἰγυπτίοις. Ἀθύρειν, τὸ παίζειν ἀθύρματα. κυρία λέξις ἐπὶ παίδων. ἐστι δὲ ἀθύρειν τὸ ἄνευ βαίνειν, ἐπειδὴ ἔχοντα τοῦ καθέκοντος. ὡς εἰ παρὰ θύρας ὁ φασὶν ἥκοντα, ἡ μὴ εἰδότα θύραν. ὅπερ ἡ κοινὴ γλῶσσα ἐκθυρίζειν φησίν. οὗ τὸ ἐναντίον, ἔσω ἐγκλείειν μένειν ἐν θύραις. καὶ ἀθύρει, παίζει, ῥαθυμεῖ. Ἄθυρμα, καθάπερ ἢ παίγνιον. εὕρηται δὲ παρὰ Πλάτωνι, ἀθυρμάτιον. Ἀθυρεύεσθαι, παίζειν, μιμεῖσθαι, σκιρτᾶν. Ἀθύρματα. Ὅμηρος, Μυρία ἄγοντες ἀθύρματα. τουτέστι, κόσμια. φύσει μὲν ἀθύρματα, τὰ ταῖς γυναιξὶ ἀπαλαῖα. ὅτι ὁ ῥηθησόμενος χρυσὸς ὅρμος. κατὰ δὲ τοὺς παλαιοὺς, παίγνια. σκιρτήματα. παρὰ τὸ ἄγαν θέειν, ὅ ἐστιν ὁρμᾶν, κατὰ πρόσθεσιν τοῦ ρ. ὁμοίως τῷ, ἄιδος, ἀιδής. Ἀθυρογλωττία, ἡ φλυαρία. Ἀθυρόγλωσσος, βλάσφημος, φλύαρος. ἀθυρόστομος λέγεται, παρὰ τὸ θύραν μὴ ἐπικεῖσθαί φασι τῇ γλώσσῃ. ἢ παρὰ τὸ ἀθύρειν, ἤγουν ἀδιακρίτως ὁμιλεῖν. ὃ καὶ αὐτὸ ἤγουν τὸ ἀθύρειν σημαίνει θύρας τῆς κατὰ νοῦν σημαίνει. Ἀθυρόγλωττον. καὶ καθ' Ὅμηρον εἰπεῖν ἀκατάμυθον, ἢ κατὰ τὴν κωμικὸν φάναι, ἀπύλωτον ἔχον στόμα. Ἀθυρογλωττία, ἡ ἀχαλίνωτος γλῶσσα. Ἀθυρονόμοι, οἱ ὡς ἔτυχε τοῖς νόμοις χρώμενοι. Ἀθύσαι, μιγνύναι, ῥαπίζειν. Ἀθυροστομεῖν μὴ εἴπῃς, ἀλλὰ λοιδορεῖν. Ἀθύρω, τὸ παίζω ἀμεταβάτως. Πλάτων, Κενοῦς χερσὶν οὐκ ἄξιον δεῖ ἀθύρειν. Ἀθύρωτον στόμα. οὕτως ἀθύρωτον, οὐκ ἀπύλωτον. Ἀριστοφάνης ἐν βατράχοις, καὶ Φρύνιχος. οἱ δὲ γράφουσιν ἀπύλωτον ἀντὶ τοῦ ἀνοιγμένον, καὶ πύλην μὴ ἔχον. Ἀθωνίς, πόλις. Ἀθώπευτον, ἀκολάκευτον, ἀπαλλακτον. ἐν ἐπιγράμματι, Θηρὸς ἀθωπεύτου πανὶ καθῦψε λέγειν. περὶ κάπρου φησὶ τοῦτο. Ἀθῴου Διός. Διὸς ἱερὸν ἐν ἄκρῳ ἄθῳ τῷ ὄρει, ἀθῴου καλούμενον. Ἀθῷος, ἄζημιος, ἀναίτιος. ἀπὸ τοῦ θῶ τοῦ σημαίνοντος τὸ καταβάλλω, γίνεται θωή, ὅ ἐστι ζημία. ὁ γὰρ ζημιούμενος, καταβάλλεταί τι. καὶ ἀθώωτος, ἀζημίωτος.

Ἄθως, ὄρος θράκης ὑψηλότατον. ὃ καὶ ἄθων, σὺν τῷ ν λέγουσιν. Ἄθως σκιάζει νῶτα λημνίας βοός. ὠνόμασται δὲ ἀπὸ Ἄθω γίγαντος ἄθω, ὃς ἦν ποσειδῶνος ἐν ῥοδόπης τοῦ ἡγέμονος. ἀπὸ τοῦ μητρὸς οὖν τοῦ θρᾴκης τὸ ὄρος. ἀπὸ δὲ τοῦ ἥρου, τὸ πέλαγος ἐπωνόμασται. Ἄθῳος, ὁ ἐπὶ τοῦ ἄθω τοῦ ὄρους ἱδρυμένος ἀνδριὰς τοῦ Διός. Ἀθῶον τοῦ ἐγκλήματος, ἀντὶ τοῦ ἀθῷον ποιῶ.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ι.

Αἶ, αἶ. Σχετλιαστικὸν ἐπίρρημα, γενικῇ συντάσσεται. οἷον, Αἰαῖ, τῶν πονηρῶν μου παιδίων, αἴμοι τῶν ἀχθῶν. ὁμοίως αἶ, ἀντὶ τοῦ εἴθε. οἷον, Αἰ γὰρ δὴ οὕτως εἴη φίλος ὦ μενέλαε. καὶ Αἶ αἶ, ἐπίρρημα θρηνητικόν, ὃ πάντες οἱ νῦν βαρύνουσι. Στέφανος δὲ καὶ Μελάμπους, περισπᾶν ἀξιοῦσι, λέγοντες τοῦτο τὸ ἐκτόνα. Κανών. Τὰ εἰς αι δίφθογγον λήγοντα ἐπιρρήματα, ἃ ἐπὶ τέλους ἔχουσι τὸν τόνον, περισπῶνται. ἰατταταῖ, παπαῖ, αἶ, καὶ τὰ ὅμοια. πλὴν τοῦ βαβαί, καὶ τοῦ ναί, ὀξυτονουμένων. Ἄλλως. Αἶ. ψιλούμενον μὲν καὶ ὀξυνόμενον, δυσφημικὸν ἐστιν ἐπίρρημα. καὶ ἔτι καὶ μιμητικόν, ὡς τὸ, Αἶ τάλαν, παρὰ τῷ κωμικῷ. εἰ καὶ ὡς τὰ πολλὰ θρηνητικόν ἐστι. Σοφοκλῆς ἐν αἴαντι τῷ μαστιγοφόρῳ ἐκφώνει. αἶ αἶ. τίς ἄν ποτ' ᾤεθ' ὧδε ἐπώνυμον τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς. νῦν γὰρ πάρεστι, καὶ δὶς αἰάζειν ἐμοί, καὶ τρίς. καὶ ἔστιν ἀρχαϊζουσιν τὸ πρὸς τὰς ὀνομασίας, ἐκφέρειν τὰς συμφοράς. ψιλούμενον δὲ καὶ περισπώμενον, θρηνητικόν ἐστιν. ὃ καὶ διπλασιάζεται. οἷον, αἶ αἶ. τὰ

ἐπικρατεῖ τῆς φύσει, καὶ ὡς πρὸς ἄφρακτον ἀξιόμαχος. καὶ οὕτω μὲν ταῦτα. Ἀθηνᾶ, εἶδος αὐλοῦ. Μεγακλείδης. Ἀθῆνα, ἡ ἐλαία. καὶ ἀθῆναι, ἄστυ. Ἀθηνᾶς, ἡ ἀφαιρέσει ἔργον. λέγει ὁ ποιητὴς, ὅταν πρὸς τῇ συμφωνίᾳ, καὶ ὑπερβολήν τινα σημαίνειν βούληται. ὁμοίως ἄνθη ἐν ἀφαιρέσει καὶ ἀθηνᾶ ἐδίδαξε τέχνας παντοίας, καὶ χαλκέα δαίδαλα, καὶ χρυσοχοϊκήν. ἀφαιρέσει μὲν, διὰ τὴν ἐν περὶ τὸ ποιεῖν ἐργασίαν. ἀθηνᾶ δὲ, διὰ τὸ ἐπιστατεῖν τοῖς χειρώναξιν, ὑπερβολικῶς ἐκαλεῖτο. Ἀθηνᾶς ἄγαλμα δόρυ κρατεῖ, διὰ τὸ καθαρὸν καὶ ἀνέφελον. ὁμοίως καὶ ἀσπίδα, διὰ τὸ πᾶσαν ἐπιβολὴν διὰ τῆς σοφίας ἀποκρούεσθαι. ἡ αὐτὴ γάρ ἐστι τοῦ νοῦ. καὶ περικεφαλαίαν διδόασιν αὐτῇ, διὰ τὸ εἶναι τῆς σοφίας τὸ ἀκρότατον ἀθέατον. καὶ ἐλαίαν, ὡς καθαρωτάτης οὐσίας οὔσης. φωτὸς γὰρ ὕλη ἡ ἐλαία. καὶ γοργόνα διδόασιν ἐπὶ τοῦ στήθους αὐτῇ, διὰ τὸ ταχὺ τοῦ νοῦ. Ἀθηναία, ἡ θεά. ἡ δὲ γυνὴ ἀεί. καὶ ἀθηναίαν τὴν θεὸν ἔλεγον. διὸ τὴν πολῖτιν, οὐκ ἀθηναίαν εἴποι τὸ πολιοῦχον θεᾶς, ἢ ὡς ἀθηνᾶ καὶ ἀθηναία ποιητικῶς ἐλέγετο, ἀλλὰ ἀττικὴν γυναῖκα. καὶ ἀτθίδα, ἢ ἀπὸ τῶν ἀθηνῶν, ἢ ἀττικὰς, ὥς φησι Μεγακλείδης. ἀλλὰ φαίνεται καὶ τὴν πολῖτιν ἀθηναίαν λεγόντων πανταχοῦ, ὡς παρὰ τῷ Ἀριστοφάνει. Ἀθήναζε, εἰς ἀθήνας. Ἀθῆναι πόλις. ἀθῆναι καὶ θῆβαι, πληθυντικῶς γράφεται ἀεὶ παρ' ἀττικοῖς. ἑνικῶς δὲ οὐδέποτε. ὁμοίως καὶ κλαζομεναί, καὶ σάρδεις, καὶ ἕτερα ὀνόματα πόλεων. Ἀθηναῖος, ὁ πολίτης τῆς ἀττικῆς, ἢ ὁ ἀπὸ τῶν ἀθηνῶν. ἀττικὸς δὲ, ὁ ἀττικίζων. Ἀθήναιον, τὸ ἱερὸν ἀθηνᾶς. ὡς ἀπολλώνιον, τὸ τοῦ ἀπόλλωνος. οὕτω καὶ παρὰ Θουκυδίδῃ ἀνάκειον(?). καὶ ποσειδώνιον, τὸ τοῦ ποσειδῶνος. καὶ διονύσιον, καὶ δημήτριον, καὶ πάντα τὰ τοιαῦτα ὁμωνύμως τοῖς παρωνυμικοῖς. τὸ δὲ ποσειδάνιον, δῆλον ὅτι δωρικόν ἐστιν. Ἀθήναιος Ναυκρατίτης, γραμματικός. γέγονε δὲ ἐπὶ τῶν χρόνων Μάρκου. ἔγραψε βιβλίον ὄνομα Δειπνοσοφισταί. ἐν ᾧ μνημονεύει, ὅσοι τῶν παλαιῶν μεγαλοψύχως ἔδοξαν ἑστιᾶν(?). Ἀθηναΐς, ἡ ἐλαία. καὶ ἀθηναΐα, ἡ ἀγελαία.

Ἀθηναίων δυστυχία, ἐπὶ τῶν παρ' ἐλπίδας καὶ ἀναξίως ἀτυχούντων. τὸ γὰρ κακῶς βουλεύεσθαι ἀθηναίοις ἔοικεν. τὴν δὲ ἀθηνᾶν παρέχειν τὸ κακῶς βουλευθὲν ἀποκλίνειν καλῶς. καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον. Ἀθήνηθεν, ἐξ ἀθηνῶν. Ἀθήνησιν, ἐν ταῖς ἀθήναις. ἀθῆναι δὲ, πόλις τῆς λακωνικῆς. Ἀθηνᾶ, μυθικῶς μὲν Διὸς θυγάτηρ, εἴσιν ἀθήλαστος οὖσα, ὡς μὴ θηλάσασα. ἄλλοι μὲν φασὶν αὐτὴν ἡ κεφαλὴ τοῦ Διός. ἐβλάστη δὲ προσκληθεὶς Ἥφαιστος, καὶ πλήξας πελέκει τὴν κεφαλήν. καὶ τὸ ἐγκυμονούμενον ἐξέθορε, κόρη ἔνοπλος καὶ αὐτή. ἐκ τοῦ μὴ θηλάσαι τὴν κλῆσιν ἔλαχεν. θῆσαι γὰρ θέσαι, τὸ θηλάζειν. ὡς τὸ, ἐπεὶ τεὸν γάλα θῆσαι. ἐξ οὗ καὶ ἄρνιον γαλαθηνόν, καὶ τιθήνη ἡ τροφός. ἢ καὶ θηλάμων, παρὰ Λυκόφρονι. ἔστι δὲ ἡ θηλὴ καὶ τὸ θηλάζειν, καὶ ἡ τίτθη. ὡς εἶδον ἐπιτάσεως τοῦ βρέφους. τιτθί, λάβε θήλασον, κατὰ τῶν παλαιῶν. ἀλληγορικῶς δὲ, ὡς ἐν ὀλίγῳ πολλὰ συλλαβεῖν. ἀθηνᾶ ἡ φρόνησις. ἢ κατὰ στέρησιν καὶ αὐτὴ τοῦ θήλεος διὰ τὸ τέλειον. ἢ παρὰ τὸ ἀθρεῖν, τὸ βλέπειν, ἀθρηνᾶ τις οὖσα, ὡς τῶν μελλόντων ἐν διανοίᾳ προβλεπτική. ἐκ Διὸς δὲ, διὰ τὸ ἐκ τοῦ νοός. ζεὺς γὰρ καὶ ὁ νοῦς ἐκ κεφαλῆς, διὰ τὸ ἐκεῖ λογιστικόν. οὗ προβολὴ ἡ φρόνησις. Ἥφαιστος δὲ αὐτὴν ἐκφαίνει, διότι αὐτὸς μὲν εἰς πῦρ ἀναγορεύεται. τὸ δὲ φωσφοροῦν ἐκκαῖον, καὶ ἄνω φερόμενον. καὶ ἡ φρόνησις φωσφόρος τίς ἐστι. καὶ τὸ δραστικὸν, πρακτικὸν ἔχει. καὶ οὐδὲν ταπεινὸν φρονεῖ, ἀλλ' ἀναθορεῖται(?), καὶ ἄνω φέρεται. τέσσαρες δὲ εἰσὶν αἱ θέσεις τῆς ἀθηνᾶς. προπαροξυτόνως μὲν ἡ ἀθήνα, ὡς εἴρηται, κατὰ συστολὴν ἀθάνα γίνεται. πολλάκις Σοφοκλῆς λέγει, καὶ ἑτέροις. ὥσπερ δὲ τὴν ἅμαξαν κατὰ παραγωγὴν ἁμαξαίαν φασί, καὶ τὴν αὐλὴν αὐλαίαν, καὶ τὴν προνομὴν προνομαίαν, καὶ τὴν ὑφὴν ὑφαίαν, καὶ τὴν σπλεῖδα(?) σπλειδαίαν, οὕτω καὶ τὴν ἀθηνᾶν ἀθηναίαν φασίν, ἄλλοι τε, καὶ ὁ ποιητής. οἱ μέν τι ὕστερον συναλείψαντες τὸ ε καὶ α εἰς δίφθογγον, καὶ ἀθηναίαν ποιοῦντες, ὥσπερ τὴν ἐλαίαν ἐλάαν ἀττικοί. οἷον, τὶς τὰς ἐλάας παρέτρωγεν(?). ἀθηναίαν μὲν οὔ φασι, τὰ δὲ δύο α κιρνῶντες, λέγουσιν ἀθηνᾶν. διὸ καὶ ἐκτείνεται ἡ ταύτης ἐσχάτη, καὶ αἰεὶ περισπᾶται, διὰ τὴν τῶν δύο α κρᾶσιν. Ἀθηνόδωρος, ὄνομα κύριον. Ἀθὴρ, ἐπιδορατὶς μεταφορικῶς. Αἰσχύλος σφίγξ(?).

Ἀθήρα, βρῶμα διὰ πυρῶν καὶ γάλακτος ἑψημένον παρ' αἰγυπτίοις. Ἀθηρολοιγὸν, ὅ ἐστι πτύον, λικμητήριον. τὸ τῶν ἀθέρων ὀλοθρευτικόν. ἐξ ὧν καὶ τὸ ἀθερίζειν. ἐν ᾧ τοῦ λικμᾶσθαι, σῖτος μὲν ἀποτίθεσθαι, καὶ ἄχυρον τεμαχίζεται. ἀθέρες δὲ οὐδαμοῦ εἰσὶν, ἀπὸ λεπτυνθέντων καὶ ῥιπισθέντων ἀνέμοις. καὶ ἀθέρες ὡς ἔνιοί φασι, τὰ λεπτότατα τῶν ἀσταχύων μέρη. ὃ καὶ ἀθηρόλοιγον λέγεται, τὸ τῶν ἀθέρων ὀλοθρευτικόν. ἢ ἀθηρολοιγὸν, τὸ πτύον. τὸ γὰρ ἀθέρας διακρῖνον καὶ διαχωρίζον. καὶ ἀθερολόγον τὸ αὐτό. γράφεται δὲ κατὰ πλεονασμὸν τοῦ ι. ὑφ' ἓν δὲ καὶ ὀξυτόνως ἀναγνωστέον. οὕτως Ὠρίων. Ἀθηρόβρωτον(?), ἔργασον(?), τῶν βρωτῶν, ἢ τῶν ἀθέρας ἀναιρούντων. Σοφοκλῆς ὀδόντ' ἀκανθοπλῆγα(?). Ἄθυρον, τὸ ἀθύρωτον, ἀθύρωτον. Ἀθεσμοί(?), οἱ ὡς ἔτυχε τοῖς νόμοις χρώμενοι. Ἀθεώρητον(?), ἀναπόδεικτον εἰς ἀπόδειξιν(?). Ἀθέατος(?), ὁ μαθὼν ἐπὶ μισθῷ διδάσκειν(?). Ἀθίγγανος, ὁ αἱρετικός. Ἀθιγῆ, ἀνέπαφον. Ἀθιγὴς, ἄψαυστος. Ἀθίγγανος, ὁ μὴ θέλων τινὶ προσεγγίσαι, ἀπὸ τοῦ θίγω. οἱ διὰ τὴν αἵρεσιν ταύτην ἔχοντες, οὐδὲν παρ' ἄλλου λαμβάνοντες. Ἄθικτον, ἀψηλάφητον, ἀπρόσψαυστον, καθαρὸν, ἀμόλυντον. καὶ παρθένος ἄθικτος. Ἀθικτόρας(?), ἀπείρατος(?), παρθένος, ἀναφής(?). Ἄθλαι(?), κόχλου θαλασσίου εἶδος. Ἀθίνα(?), ξύλα κατακαύσιμα. Ἆθλα, τὰ ἔπαθλα, ἀγῶνες. Ἆθλειν, ἀγωνίζεσθαι, κακοπαθεῖν. Ἀθλεύειν, διαθεῖν. Ἀθλεῦον, κοπιῶν, ἢ τὴν μακρὰν ἀφαιρούμενος. Ἀθλέω, ὁ μέλλων ἀθλήσω, ὁ δὲ ἀόριστος ἤθλησα, ἡ μετοχὴ ὁ ἀθλήσας. καὶ ἆθλος, ὁ ἀγών. Ἀθλῆσαι, κοπιάσαι, κακοπαθῆσαι, καμεῖν, ἀγωνίσασθαι. Ἀθλήσαντες, καὶ ἐπισήμως(?) ἀντὶ τοῦ κακοπαθήσαντες. ἐπειδὴ ὅτι τὸ ἆθλον, τὴν μὲν ἐπὶ λύτρῳ(?) κόπον σημαίνει. ὡς δηλοῖ καὶ τὸ, Οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων. Ἀθλητὰς, ἀγωνιστὰς, ἀσκητάς. Ἀθλητὴς, ὁ ἀγωνιστὴς, ὁ τῶν ἄθλων ἐξεταστής(?). Ἄθλιος, ταλαίπωρος. ἄθλιος κάλλιον ἢ ἀτυχές. ἄθλιος ὁ ταλαιπαθής, ὁ πολλὰ δυστυχίᾳ ὑφιστάμενος. ὃς καὶ σχέτλιος λέγεται. καὶ ἄθλιος φυγὰς, ἀνέραστος(?). καὶ ἄθλιος, ὁ ἐν ἀγῶνι καὶ θρήνῳ ὢν, καὶ μηδὲ ὅλως ἄνεσιν ἔχων.

Ἀθλιότητι, ἡ ἐν τοῖς δυσπορίαις καὶ ἀβουλίαις πάθεσι ταλαιπωρία. Ἄθλιον, ἄτιμον, ἐπιπόνιον. Ἀθλιώτατα διώγω(?), ἀντὶ τοῦ δυστυχῶς. Ἀθλοθεσία, ἡ ἀνταπόδοσις. Ἀθλοθετῆρες, ἀγωνοθέται. Ἀθλοθέτης, ἀγωνοθέτης. Ἀθροίζει, συνάγει.

Ἆθλον, καὶ βραβεῖον, τὸ αὐτό. ὡς λῆμμα καὶ δῶρον. τὸ τοῖς κρατοῦσι καὶ νικῶσι διδόμενον. οἷον, Νηῶν δ' ἐκφέρει ἄεθλα. ἐπεὶ ἀπὸ μὲν τοῦ διδόντος αὐτὸ βραβευτῶν, βραβεῖον λέγεται. ἀπὸ δὲ τῶν ἀθλούντων, ἆθλον. ὡς πάθος καὶ πρᾶγμα ἐνίοτε ἐπὶ τοῦ αὐτοῦ. ἀπὸ μὲν τοῦ ποιοῦντος, πρᾶγμα. ἀπὸ δὲ τοῦ πάσχοντος, πάθος. καὶ ἡ προβολὴ καὶ ἡ πληγὴ, καὶ ὅσα τοιαῦτα ὁμοίως. γίνεται δὲ ἀπὸ τοῦ τλῶ, τὸ καρτερῶ. ἢ ἀπὸ τοῦ ἐθέλω, ἔθελον, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀέθελον, τὸ παντὶ ζητούμενον. καὶ κατὰ κρᾶσιν τοῦ α καὶ ε, ἆθλον. καὶ ἆθλος τὸ ἀγωνικὸν, τὸ ἀγώνισμα, καὶ ὁ πόνος. διὸ καὶ περισπᾶται. ἢ καὶ ἄθλος. Ἆθλον οὐδετέρως, τὸ διδόμενον γέρας, τοῦ νικᾶν τὸν ἀγῶνα. καὶ ἔπαθλον, τὸ ἐπὶ τοῦ ἄθλῳ διδόμενον, καὶ τοῦ ἀγῶνι διδόμενον, ὃ καὶ βραβεῖον λέγεται. ὁ ἆθλος, ἀγώνισμα, ἔργον, ἔπαθλον, ἡ τιμή, ὁ μισθός, καὶ τὸ τοῦ ἀγῶνος βραβεῖον. καὶ ἆθλος ἀρσενικῶς τὸ ἔργον, καὶ τὸ ἀγώνισμα, καὶ τὸ ἔπαθλον. διαφέρει δὲ τοῦ οὐδετέρου. ὅτι τὸ μὲν οὐδέτερον, δηλοῖ κυρίως τὸ ἔπαθλον. τοῦτο δὲ, τὰ πράγματα. Ἄθλιος, ἄρμενος(?). Ἀθλοφόρος, νικητὴς, ἀγωνιστής. Ἀθλοφόροι ἵπποι, οἱ νικηταί. καὶ διαλελυμένως φασὶ κατὰ τὴν ποίησιν, ὅ ἐστι κατὰ πρωτοτυπίαν, οἱ ἆθλα φέροντες. ταυτὸν δὲ εἰπεῖν, ἔφορον. Ἀθμονάζειν, τὸ εἰς δῆμον ἀφικνεῖσθαι τῆς ἀττικῆς. Ἀθμονεύς, φυλὴ τῆς ἀτθίδος ἀθμονᾶς.

Ἀθμονία

τι κεῖται, ὀλίγον ἀπωθεῖν τῆς κεφαλῆς τὸ παιδίον. ἀθάρῶν, οὐκ ἀθαρῶν τῶν ἱερατικῶν [illegible]. Κράτης ἥρωσιν, Οὐκ οὖν ἴστε [illegible] ἄλευρα φυλλίον φέρειν, καὶ τὸ ἀθάρας. ἢ ἀθάρα, ὀλίπορος [illegible] πυρὸν, καὶ [illegible]. Ἀθαρὶς, εἶδος σπέρματος. Ἀθάῤῥως, ἀκακῶς. Ἀθάρη, πυρίνη [illegible]. Ἄθαρος, ἄφθορος, ἐπὶ γυναικός. ἐπὶ δὲ ἀνδρὸς, σοφός. Ἀθάζει, ἀδικεῖ, [illegible]. Ἀθάνατοι, αἱ μὴ διαπεπλεγμέναι. ἴσως δὲ, μὴ διαλυόμεναι ἄρθρα. Ἀθαυμαστί, χωρὶς θαύματος, ἢ θαυμασμοῦ. Ἀθε, εὐχῆς σημαντικόν, ἀντὶ τοῦ εἴθε. Ἀθέατος, μὴ τεθεαμένος, ἀόρατος. ἢ, ὃς ἕως οὐδὲν ἐθεάσατο. ὡς τὸ, [illegible] αὐτὸς ἀθέατος ἔμεινα. ἢ ἕως οὐ δύναται βλέπεσθαι. Ἀθεεί, χωρὶς θεοῦ, χωρὶς θεοῦ γνώμης. Ἀθερὶς, τὸ ἀκαθές. καὶ ἀθερίως, ἀκακῶς. Ἀθερὴς, ἤτοι ἀτηρὸς, ἢ ὁ ἀγανακτιστικός, ἢ ὑπέροπτος, ὁ θαυμαστός. ἢ ὁ μὴ φροντίζων τινὸς, καὶ ὑβριστής. ἢ ὁ διὰ λαμπρότητα ἀθρεύμενος. Ἀθελβάζειν, διηθεῖν. Ἀθελβέν, ἑλκεν. [illegible]. Ἀθέλβεται, διηθεῖται. Ἀθέλγειν, ἀμέλγειν. Ἀθέλγεται, διηθεῖται, διυλίζεται. παρὰ τὸ [illegible]. Ἀθέλγολα, [illegible]. Ἀθέλεμον, [illegible], κακόν. Ἀθέλιμοι, κακοί. Ἀθεμβοῦς, [illegible]. Ἀθέμελον, οὐδὲν ἔχον, οὐδὲ θεμέλιον. Ἀθεμίλιος, ἀπροσφαλής, ἀσφαλής. Ἀθέμιστα, ἄδικα. Ἀθεμιστοῦσι, παρανομοῦσι, ἀδικοῦσι. Ἀθέμισοι, ἄνομοι, ἄδικοι.

Ἀθέμιστον, παράνομον, ἄδικον. Ἀθεμίστια ἤδη, [illegible] ἄδικα [illegible]. καὶ ἀθέμιστοι, ἄδικοι, ἄνομοι. καὶ ἀθέμιστον, παράνομον, ἄδικον. Ἄθεος, ὁ ἀπαρνούμενος. Ἀθέμιστος [illegible], [illegible], ἀσεβές. ἢ νόμοις οὐ χρώμενον. καὶ ἀθεμιστεῖν, παρανομεῖν. Ἀθέμιστος, ἀντὶ τοῦ ἀθεΐας. Ἀθέρ. ἀθάρ ἐστι τὸ μὴ τῶν ἀθανάτων τῆς ψυχῆς διανοεῖσθαι, ἢ ἀπὸ γῆς εἰς τὸ θεῖον, καὶ σωμάτων αὐτῶν πρὸς τὸ θεῖον, ἀῤῥάντως καὶ ἀδίκοις διανοίαις. ἢ τὸ ἐναντίον τούτων, τὸ καταπατεῖν καὶ [illegible] τὸ ἐν ἡμῖν θεῖον, ὡς [illegible] καὶ ἀλιτήριον, καὶ [illegible], ὁ [illegible]. Ἀθεωρησία, ἢ παντελὴς [illegible]. Ἀθήρ, εἶδος σπέρματος. καὶ ἀθήρ, ἀνθήριον, ἀκαθές. Ἀθήρ, ὁ ἀτηρὸς σῖδος ὅταν θερίζῃ, ἢ θερισικὸς, ἢ ὁ διὰ λαμπρότητα ἀθρεύμενος ὀξύς, ἢ ἐπὶ ἀσταχύων. Ἀθερίζειν, ἄταρ καταφρονεῖν, ἀφροντιστεῖν, μέμφεσθαι, ἐκφαυλίζειν, ἀλογεῖν, [illegible]. ἢ τὸ ἀπαῤῥίπτειν, ἢ ἐξουθενεῖν. μετάκειται δὲ ἐκ τῶν ἀθέρων. ἡ γὰρ χρῆσις τοῦ ἀθέρος παρὰ [illegible] περὶ [illegible]. ἄχρηστοι δὲ οἱ ἀθέρες εἰς [illegible] συγκομιζόμενοι. εἰσὶ δὲ, [illegible], ἐφ' οἷς αἱ [illegible] οὓς οὐκ ἀξιοῖ θερίζειν ὁ γεωργός. ἴσον δὲ, τὸ ἐκ τοῦ ἀθερίζειν, [illegible] ὁ ἀθέρινα ἔοικε λέγεσθαι. ἀθερίζεσθαι γάρ πως καὶ αὐτὸ διὰ τὸ εὐτελές. διὸ καὶ ἀτυχὲς ἰχθύδιον. καὶ ἀθέριζον, ἀπεδοκίμαζον. Ἀθερίνη, τὸ [illegible] τοῦ σίτου [illegible]. Ἀθέρια, ἀπηφύτος. Ἀθήσομαι, [illegible], ἄφρον [illegible], καὶ ὀλιγωροῦσι. Ἀθέσμιος, ἀφρόνιμος. Ἀθεσμοί, ἀγνοεῖ. Ἀθεσίαν, παραβασίαν. ὡς ἐν τῷ, [illegible] τὴν ἀθεσίαν τῶν [illegible], ἢ τὰς ἐπιβολὰς τὰς ἐπὶ σφίσιν. [illegible] ἀθηνᾶ καὶ [illegible]. οἱ δὲ ῥωμαῖοι συλλογισάμενοι τὴν τῶν γαλατῶν ἀθεσίαν. καὶ αὖθις Πολύβιος, [illegible] ἅπασι τὴν ἀθεσίαν αὐτῶν. καὶ τὴν ἀβεβαιότητα. Ἀθέσμια, παρανομία. Ἀθέσμιον, τὸ ἄδικον. Ἄθεσμος βλαβερός, ἐφ' ὧν θεμιτὸν οὐκ ἔστι. Ἄθεσμος, δίκαια, ἄνομος. καὶ ἀθέσμως, παρανόμως. Ἀθεσφάτως, σκληρά, [illegible], ὧν οὐχ οἷόν τε εἰπεῖν. Ἀθέσφατον, πολύ, διαπαρακαλοῦντων. καὶ [illegible] θεὸς φατίσειεν [illegible]. Ἀθέτει, ἁμάρτανε, [illegible]. Ἀθετεῖν παρὰ τοῖς [illegible], τὸ μὴ [illegible] λέγειν. Ἀθετῶ, ἐκβάλλω, διαφθείρω, [illegible]. Ἀθετῶ, ἀθέσμως, ἢ σοφῶς.

ταπεινωμένως. Αἰσχύλος προμηθεῖ δεσμώτῃ. Ἀθετεῖται, ἐκβάλλεται, καταφρονεῖται. Ἀθέτησις, ἐκβολή, ἀμφιβολία. οὕτως ὁ Ἀριστοτέλης. ἀθέτησις γὰρ γίνεται, προταχθεὶσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀθετεῖσθαι. Ἀθεωρητί, χωρὶς θεωρίας. Ἀθεώρητος, ἀθέατος. Ἄθηλον, τὸ μὴ τιθηλακὸν παιδίον. Ἀθήλυντον, σκληρόν, ἀδάμαστον, ἀνδρῶδες. Ἀθῆλυς, ἄπαις, ἢ ὁ γάλακτος ἄγευστος. Ἀθηνῖνος, οὐδὲν ἔχων ὅμοιον, ἢ ὑπὸ ἀνέμων καταπνεόμενος. Ἀθηνᾶ, τὴν αἴλουρον. ἐπὶ τῶν κακῶς συγκειμένων τὰ κεφάλαια διὰ τὸ ἥκιστα διὰ μικρὰν ὁμοιότητα. ὡς εἰ [illegible] τῶν [illegible], τὴν αἴλουρον τῇ ἀθηνᾷ παραβάλλειν. καὶ ἀθηνᾶ κάθετος, ὅ ἐστι συνθὲς καὶ φρονίμως τὸ δῖον. Ἱστορία. Ἥρα μὲν βοηθεῖ τοῖς ἀχαιοῖς, ὡς οὐ μόνον εἰς τέμιμον γάμον μιναλὰς ἀδικηθεῖσα, εἶτα γαμήλιος δαίμων (ἐπίσταται τῆς αὐτῆς τοῦ γάμου) ἀλλὰ καὶ διὰ τὸ βασιλικώτερον τῆς ἑλληνικῆς ἀρχῆς. ὅρα τῆς ὡς ἀγαμέμνονος [illegible], καὶ εἰς βασιλείαν μεταλαμβάνοντος. ὅθεν ὁρμῷ ζωή, ἢ βασιλική. [illegible] δὲ μέτε [illegible] ἄνω, καθ' ὃ οὐκ ἔστι πιθανὸν τὴν αἰθέριον καὶ ὀλύμπιον δία εὐλόγως ἐπιβεῖναι κάτω. Σημείωσαι δὲ, ὅτι εἴπερ εἶχε πιθανότητα τὸ πλάσμα ὁ ποιητὴς, ἐποίησεν ἂν καὶ τὴν αἰδονία, καὶ τὴν Διόνυσον, καὶ τὴν Δήμητρα παρόντας τῇ μάχῃ. οὐκ εἶχε δὲ πιθανῶς τιοῦτον [illegible]. ἄλλως μὲν γὰρ οὐκ ἔστιν, ὅπως πρὸς τὸν [illegible] ἐπικουροῦσι, ἀπωλείᾳ χαίρων ἀνθρώπων καὶ σιγαμοῖς, κατὰ τὴν φαυλίαν, καὶ νόσοις πλουτιζόμενος. Δήμητρα δὲ κατὰ τὴν παλαιὰς καὶ Διόνυσος καρποφόροι ὄντες, ἄχθονται καθάπαξ τῷ πολέμῳ, φθαρτικῷ ὄντι τῶν καρπῶν. ἐπὶ δὲ ὁ περὶ τούτων [illegible] λόγος [illegible], Βὰν δ' ἴμεναι πόλεμόνδε θεοὶ δίχα θυμὸν ἔχοντες. Ἥρη μὲν μετ' ἀγῶνα νεῶν, καὶ παλλὰς ἀθήνη, ἠδὲ ποσειδάων γαιήοχος, ἠδ' ἐριούνης Ἑρμείας ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται. Ἥφαιστος δ' ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων, Χωλεύων. ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί. Ἐς δὲ Τρῶας ἄρης κορυθαίολος, αὐτὰρ ἅμ' αὐτῷ Φοῖβος ἀκερσεκόμης, ἠδ' ἄρτεμις ἰοχέαιρα, Λητώ τε, Ξάνθος τε φιλομμειδής τ' ἀφροδίτη. καὶ εἰσὶ μὲν οὗτοι πέντε μὲν ἀχαιοῖς, ἕξ δὲ οἱ τῶν τρώων. ἀγῶνα δὲ ἐνταῦθα τῶν ἀθροισιν λέγει, ὥς φασιν οἱ μεθ' Ὅμηρον συνηγορεῖν. Ἄλλως. Ἀθηνᾶ ἡ φρόνησις, τοῖς ἀχαιοῖς καὶ αὐτὴ συμμαχεῖ, διὰ τὸ τὸν ἑλληνικὸν πόλεμον δίκαιον καὶ εὔλογον. διότι φρόνησις εἶλεν ὕστερον τὴν τροίαν, καὶ δόλος. διὸ καὶ ὁ ἑρμῆς αὐτοῖς ὁ λόγιος συμμαχεῖ, φρεσὶ πευκαλίμαις, ἀνθ' ὧν καὶ δόλιος. ἥφαιστος δ' ὁ σύμμαχος ἑλλήνων διὰ καὶ αὐτός, ὅτι τε χώλιος ἐστι κατὰ τὴν ἐν ὀδυσσείᾳ μῦθον, καὶ ὡς φίλος τῇ ἀθηνᾷ. ἥφαιστος γοῦν δεδίδακται τέχνας ἐν τῇ ὀδυσσείᾳ, ἢ παλλὰς ἀθήνη. ποσειδῶν δὲ, τοῖς ἀχαιοῖς συμφέρεται μάχης, διά τε τῶν πρὸς τὸν λαομέδοντα μῆνιν, ἔτι θυμούμενος εἰς ἐκεῖνον μισθῷ ἐπὶ ῥυτῷ, [illegible] τὸν μισθόν, ὡς ὁ ποιητὴς λέγει. ὅτι δὲ καὶ ὅτι ναυτικοὶ οἱ πλεῖστοι τῶν ἑλλήνων, καὶ διὰ τὸ τὸ οἰκεῖν [illegible]. καὶ ὅτι διὰ θαλάσσης πλεύσαντες, εὐτυχῶς μετῆλθον τῶν τῆς ἑλένης ἁρπαγήν. καὶ οὗτοι μὲν συμμαχοῦσι τοῖς ἕλλησι διὰ ταῦτα. τοῖς δὲ τρωσίν, ὁ μοιχὸς ἄρης βοηθεῖ, ὡς πιστὸς ὅμοιος (ὅ φασιν) ὁμοίοις. ὅτε γε καὶ ὁ φρυγὸς πόλεμος, ἐκ μοιχείας ἔχει τὴν ἀρχήν. ἢ καὶ ὡς ἁρπαγῆς καὶ βίαν διαπόλων, καὶ ὡς οὐκ εὔλογος, ἀνθ' ὧν ἐναντίος τῇ ἀθηνᾷ. διὸ καὶ ἡ ἀφροδίτη τοῖς αὐτοῖς βοηθεῖ, οἰκείως μὲν ἔχουσα πρὸς τὴν ἀλόγιστον ἔρωτα, ἀπεχθομένη δὲ τῇ ἐμφρονι ἀθηνᾷ. ἄρτεμις τοῖς τρωσὶν ἐπικουρεῖ, ἢ ὡς ἔφορος τῶν χορῶν. καὶ γὰρ καὶ οἱ τρῶες χοροιτυπίαις ἄμεινοι, ἢ ὡς βρότος. ἔτι τε καὶ ὁ τοῦ πολέμου αἴτιος ἀλέξανδρος. διὸ καὶ ὁ ἀπόλλων ὡς διοῦτος συμπικουρεῖ. ἡ δὲ λητώ, οἷα μήτηρ ἀπόλλωνος καὶ ἀρτέμιδος, καὶ [illegible] ἅμα ποιοῦσιν οἱ τρῶες, καὶ λήθης, εἰς ἣν ἀμφοῖν ἀγορεύεται ἡ λητώ. ὁ δὲ ξάνθος, ὃς ποταμὸς ἐγχώριος,

καὶ ἀηδόνος νεοσσός. καὶ τὸ γυναικὸς αἰδοῖον, παρὰ Ἀρχιλόχῳ. Ἀηδέστερον ἐργασάμενον, ἐπὶ μὲν ὕπνου, τὸ ἐλάχιστον. ἐπὶ δὲ λύπης, τὸ σφοδρότατον. καὶ παροιμία ἐπὶ τῶν ἀγρυπνούντων, τὸ, οὐδ᾽ ὅσον ἀηδόνος ὑπνώσσειν. Ἀηδὼν, ὄρνεον. τῆς ἀηδόνος, κοινῶς. ἡ ἀηδοῦς τῆς ἀηδόος, καὶ ἀηδοῦς ποιητικῶς. εἶδος πετεινοῦ. καὶ ἀηδὼν, ἡ αἰθυῖα παρὰ Παμφιλίοις. Ἀηδῶς, ἀτερπῶς. Ἀήθειν, μὴ ἥδεσθαι, μὴ νοεῖν. Ἀηθὴν, λευκόν, ἀνεπιτήδειον. Ἀήθης, ἀσυνήθης. συντάσσεται δὲ δοτικῇ, καὶ γενικῇ. οἷον, ἀήθης εἰμὶ τούτῳ τῷ πράγματι. καὶ, ἀήθης τοῦ κατακλύειν τινός. Ἀήθεσσον, ἀσυνήθεις ἦσαν. ποιητικὴ λέξις τὸ ἀήθεσσον, καὶ Λυσίλαος εἰς λόγον πεζόν. ἡ κατὰ ἡ μετὰ γενικῆς αὐτοῦ σύνταξις. καὶ οὐ μόνον ἰωνικῶς, ἀλλὰ καὶ ἀττικῶς κατὰ τοὺς παλαιούς, ἐπαύξητον ἐστι τὸ ἀήθεσσον, διὰ τὴν κακοφωνίαν τῆς αὐξήσεως τοῦ ἠήθεσσον. καὶ ἀηθέσσουσι, ἀσυνήθεις εἰσίν. καὶ ἀήθεσκον, ἀήθεις ἦσαν. Ἀηθὲς, ἀγροικοι, ἄγριοι, ἀκαθές.

Ἀηκὲς, τὸ μὴ ἠκονημένον ξίφος. Ἀήκτην, σταυρὸν ἐγχειρίδιον, παρὰ Ταραντίνοις. Ἄημα, ἡ πνοὴ τοῦ ἀνέμου, τὸ πνεῦμα, φύσημα ἢ πνοὴν φέρον. Ἄημαι, ἀναλαμβάνω. ἐν ἐπιγράμμασι. Ἀήμεναι, πνεῦσαι, πνεῖν. Ἀήμενοι, πνέοντες. Ἀηνὲς, λέσβια μικρὰ, ἄκαρπα. Ἀῆναι, τὸ θέμα οὐκ εὔχρηστον. παίνω γὰρ, ὡς φορκίνω, ὑφαίνω, καὶ τὰ τοιαῦτα. Ἀηνὲς, ἀΐδιον, λάβρον, ἄθλιον. Ἀηνὶς, τὸ λαμπρὸν, ἢ ἀΐδιον. Ἀηνόβαρβος, ὁ Χαλκοπώγων. Ἀήπιον, τὸ μὴ πρᾶον. Ἀὴρ, ὁ μεταξὺ οὐρανοῦ καὶ γῆς τόπος. ἡ λεπτότατον στοιχεῖον, ὑγρὸν τε καὶ θερμόν. τοῦ πυρὸς βαρύτερον, τῆς δὲ γῆς καὶ τῶν ὑδάτων κουφότερον. ἀναπνοῆς ἢ ἐκφωνήσεως αἴτιον. ἀσχημάτιστον, ὅτι ἐκ φύσεως σχῆμα μὴ κεκτημένον. Διειδὴς, διαφανής. φωτὸς γάρ ἐστι δεκτικόν. καὶ ταῖς φύσιν αἰσθήσεσιν ἡμῶν διακονεῖται. δι᾽ αὐτοῦ γὰρ ὁρῶμεν, ἀκούομεν, καὶ ὀσφραινόμεθα. δεκτικὸν θάλψεώς τε καὶ ψύξεως, ξηρότητός τε καὶ ὑγρότητος. οὗ πᾶσαι αἱ κατὰ τόπον κινήσεις γίνονται, ἄνω, κάτω, ἔσω, ἔξω, δεξιᾶ, ἀριστερᾶ. ἡ κυκλοφορικὴ κίνησις. οἴκοθεν μὴ κεκτημένον τὸ φῶς, ἀλλ᾽ ὑπὸ ἡλίου, καὶ σελήνης, καὶ ἄστρων, καὶ πυρὸς φωτιζόμενον. καὶ τοῦτό ἐστιν ὃ εἶπεν ἡ γραφή, Καὶ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου. θέλουσα δεῖξαι, ὡς οὐκ οἴκοθεν ὁ ἀὴρ τὸ φῶς κέκτηται, ἀλλ᾽ ἄλλη τίς ἐστιν οὐσία τοῦ φωτός. ἔστι δὲ ἓν τῶν τεσσάρων στοιχείων, ἄνεμος ὁ πνέων. ὃς καὶ ἀήτης ποιητικῶς λέγεται. Ἀέρος, καῦμα, ὁμίχλη.

Ἀήσσατος, ἀήττητος, ἀνίκητος. Ἄησι, παρὰ τὸ ἄημι τὸ πνέω. τὸ τρίτον, ἄησι. καὶ τὸ δωρικὸν, ἄητι. καὶ κατ᾽ ἐπίτασιν, ἄητι. τὸ τρίτον τῶν πληθυντικῶν, ἄεισιν αἰολικώτερον, ἐχρῆν ἀείσιν εἶναι. Ἀήσυλα, παράνομα, ἁμαρτωλά. οὐ καθήκοντα. ἢ ἀήσυλα ἔργα, τὰ βλαπτικά. παρὰ τὸ ἄσαι, ἤγουν βλάψαι. πλεονασμῷ τοῦ η, ὡς καὶ ἐν τῷ ὑπείρφαλος, ὑπερφίαλος, καὶ ἐν ἄλλοις. ἢ τὰ ἄδηλα. παρὰ τὸ α στερητικὸν, καὶ τὸ δῆλοι τὸ εὐφρανῶ. ποιητικὴ ἡ λέξις, ἢ πεζῷ λόγῳ οὐκ εὔχρηστος. Ἀήσυλον, τὸ ἄδικον, καὶ ἁμαρτωλόν. ἀπὸ τοῦ ἄσω μέλλοντος, τοῦ δηλοῦντος τὸ βλάπτω, γίνεται ὄνομα ῥηματικὸν ἄσυλον, κατὰ πλεονασμὸν τοῦ η. ἢ ἀπὸ τοῦ ἥλω ἥσω, ἥσυλον, καὶ ἀήσυλον, τὸ μὴ τερπνόν. ἢ ἄδικον καὶ ἁμαρτωλόν, ὡς εἴρηται. ἢ ἀλαμπές, κακὸν, καὶ ἀνόμοιον. Ἀήσυρον, κοῦφον, ἐλαφρόν, ἀσθενές, κενόν, ἄκοσμον, μάταιον, ἀπάλαστον. Ἀήσυρος, ὁ ἐλαφρῶς πνέων. Ἄητ, φέρεται, κινεῖται. παρὰ Ἀπολλωνίῳ. Ἄητα, πνοὴ, ἀναθυμίασις. Ἀήτης, ἄνεμος, ὀρθοτονικῶς. καὶ ὥσπερ ἐγήσω ἐγητὴς, πλέσω πλευτὴς, οὕτως ἰδὲ, ἄω ἀήσω ἀήτης, ἀλλ᾽ ἡμάρτηται.

Ἀήττητος, ὁ ἀκαταγώνιστος. Ἀητ, ἐφίρεθο, ἐπεῖ. ἢ ἄητ, ὥρμησε. ἢ ἄηται, πνεῖ, ἢ ἐπαναγέρει. αὗται δὲ πνεύματα. ἄητον. ὥσπερ γὰρ παρὰ τὸ φιλῶ γίνεται φιλῆτον, οὕτω καὶ παρὰ τὸ ἄω ἄειτον τὸ δωρικὸν, καὶ παρὰ αἰολεῦσιν ἄητον. Ἀηθυμός, πνευμα, ἐπεα. Δίδυμοι δὲ τοὺς μεθ᾽ Ὅμηρον λέγων, τὸ θυμὸν πνέων. γίνεται δὲ τὸ ἄητο, ὅθεν καὶ τὸ ἀεὶς ἄητος. καὶ ἄητο, πνέοντα ἐπαυτον, ὃ μετεωρίζεσθαι παρὰ τῷ Ἀπολλωνίῳ. Ἀηθεῖ, ἀπέγευσε, ἀπλαισει. Ἄητον, πολύ, ἀβλαβές. οἱ δὲ ὁρμῆς, ἢ τὸ κατεπτοημένον. Ἄητον, πέφυκε μὲν θέμα ἔχει, τὸ ἄω, ἄησω. ἐξ οὗ ἡ ἀήτης ἐπὶ ἀνέμου. καὶ ἄημα, ὡς παρὰ Σοφοκλεῖ. ἢ αἴτιος δὲ διὰ τοῦ ι ὁ φίλος. ἡ κατὰ τοὺς παλαιοὺς ὁ ἐρώμενος, διὰ τὸ οἷον πνεῖσθαι διὰ φιλίαν. διὸ καὶ εἰσπνήλος ὁ αὐτὸς παρὰ Λάκωσι. προσηχὲς δὲ θέμα τοῦ αὐτοῦ, ἄημι. ἐξ οὗ καὶ τὸ, ἀνέμων μένος ὑγρὸν ἀέντων. ἐκτείνεται δὲ διὰ τὸ μεῖζον ἢ παραλήγοντος αὐτοῦ ἄητον. τὸ δὲ ἄελλον δωρικὸν ἄητον, ὡς τίθεσθαι. Ἄητηρος, τὸ πολὺ καὶ γοργόν. ἀπὸ τοῦ ἄω, τὸ πνέω καὶ προθυμοῦμαι. ἢ ἀπὸ τοῦ ἄχραι.

Ἄητος, ὁ ἀκόρεστος. Ἀέτης, μεγάλως. Αἰσχύλος Ἀθάμαντι.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Θ.

Ἀθαμβὲς, αὐθάδες, ὑπερόπται, ἀκαμβεῖς. Ἀθάλαιον, ἐπίγχασον. λεῖος, ἀθάλασσον. Ἀθαλάττωτος ἢ ἀθαλαμίευτος, ταυτόν. ὁ μὴ ναυτικὸς, ἢ ἄπειρος θαλαττίου πλοῦ. Ἀθαμαντίδας, κατηγορτιμινόν. Ἀθαμάντιον πεδίον, οὕτω καλούμενον περὶ τὴν ἄλλον. κατώκησε γὰρ Ἀθάμας ἐν ἄλλῃ τῇ νήσῳ, τοῦ Βασιλείου ἐκελθών. Ἱστορία. Ἀθάμας, ὄνομα κύριον. ὃς ἐκ Νεφέλης δύο παῖδας ἔχων, Φρίξον ἢ Ἕλλην, ἀφεὶς οὖν τὴν Νεφέλην θεὰν οὖσαν, ἑτέρᾳ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ Νεφέλη, ἀπέπτη εἰς οὐρανόν, καὶ τὴν τοῦ Ἀθάμαντος χώραν αὐχμῷ ἐκόλασεν. πέμπομεν οὖν θεωροὺς εἰς Ἀπόλλωνα Ἀθάμας, ἠρέσθαι περὶ τοῦ αὐχμοῦ. ἡ δὲ γυνὴ αὐτοῦ θέλουσα Φρίξον καὶ Ἕλλην ἀπολέσαι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντι, ὡς οὐκ ἂν ἄλλως παύσεται τὸν αὐχμὸν ἔχουσαν ἡ πόλιν, εἰ μὴ θύσειε τοὺς τῆς Νεφέλης παῖδας. ἀκούσας οὖν Ἀθάμας, μετεπέμψατο τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἰς οὖν κριὸς ἀνθρωπίνῃ φωνῇ χρησάμενος, λέγει Φρίξῳ καὶ Ἕλλῃ τὰ περὶ τῆς σφαγῆς. φανέντων οὖν τούτων μετὰ τοῦ κριοῦ, ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμόν, ἀπέπεσε τοῦ κριοῦ. ὅθεν καὶ ἀπ᾽ ἐκείνης, Ἑλλήσποντος κέκληται. Φρίξος δὲ ἐποχούμενος τῷ κριῷ, εἰς τὴν τῶν Κόλχων γῆν διεσώθη. ἔθυσε καὶ τὸν κριόν, ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, θύσας τῷ Ἄρει, ἢ τῷ Ἑρμῇ. καὶ κατεσκεύασε αὐτοῦ, τὸ ὄνομα καταλείπων τῷ τόπῳ. ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. Ἀθάμαντα δὲ ἡ Νεφέλη, δίκην αὐτῇ δόντα διὰ τοὺς παῖδας πεποίηκε. προσαχθεὶς οὖν στεφανηφορῶν ἐπὶ τῷ βωμῷ τοῦ Διὸς σφαγιασθησόμενος, ὑπὸ Ἡρακλέους σώζεται. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε. Ἄλλως. ἐν Ἀθάμαντι Σοφοκλέους, ὑπόκειται Ἀθάμας στεφανηφορῶν, ὥσπερ ἱερεῖον, δίκας εἰσπραττόμενος περὶ Φρίξου. Ἄλλως. τοῦτο ὡς δὲ ἔτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε, τὸν Ἀθάμαντα ἐστεφανωμένον, καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς σφαγιασθησόμενον. μέλλοντα δὲ ἀποσφάζεσθαι αὐτὸν, παραγινόμενον Ἡρακλέα, καὶ τοῦ θανάτου ῥυόμενον λέγοντα, ὡς σώζοιτο ὁ Φρίξος δι᾽ ὃν ἔμελλεν ἐκεῖνον τεθνήξεσθαι.

Ἀθαμβὲς, ἄφοβος. Ἄθαμβος, ἄφοβος, ᾧ θάμβος μὴ πρόσεστιν. Ἀθανάριχος, ὃς ἐβασάνισε τὸν ἅγιον Νικήταν, τὸν μέγαν μάρτυρα Χριστοῦ πεποίηκεν. Ἀθανατοι, τάγμα ἱππέων παρὰ Πέρσαις μυρίων ἀνδρῶν. Ἀθάνατος, ἐπὶ ἐμψύχων. τὸ δὲ ἄφθιτος ἐπὶ ἀψύχων φιλόσοφοι τάττουσιν. τὸ ἀθάνατον κυρίως, καὶ κατ᾽ οὐσίαν καὶ κατ᾽ ἐνέργειαν ἔχειν ἀμετάβλητον. ὁ δὲ τὴν ἀθανασίαν ὁριζόμενος στέρησιν θανάτου, ἁμαρτάνει. οὐ γὰρ στέρησις θανάτου ἡ ἀθανασία, ἀλλ᾽ ἐν ἕξει καὶ διαθέσει. Ἀθανίς, ὄνομα ἔθνους. Ἀθάπτος, ἄκαυστος, ἢ ἄκλαυστος. θάψαι γὰρ τὸ κλαῦσαι. Ἀθάρα, ἀττικοὶ διὰ τοῦ α, ἀθάρη, αἰολεῖς ἀθύρα. ἡ δὲ κοινὴ διὰ τοῦ η, ἀθάρη. ἔστι δὲ ἄλευρον, ἑψημένον. κλίνεται δὲ παρὰ μὲν ἀττικοῖς διὰ τοῦ α ἀθάρας. οἱ δὲ κοινοί, διὰ τοῦ η, ἀθάρης, Ἀριστοφάνης Πλούτῳ, ἀλλά μοι ἀθάρας χύτρα τις ἐξεκαυτο καμίνου.

ὅτι ὁ λόγος πρῶτος λαιὸν, ἤτοι ἀπό, καὶ ὁ λόγος δὲ πάλιν ἐπιπέφευγε τὸν πρὸς τὸ λαιὸν συνέμπτωσιν. καὶ αὐτό ἐστι, τὸ βραχεῖ τὸ κατὰ τὴν κνήμην ἕκαστον σιδήριον. καὶ κνημαῖον τὸ ἐν ὀψὲ γίνεσθαι. ἢ βοτάνη τις, ἐν Λιβύῃ φυομένη. Αἰτίαι, χλωρίς, λευκός. Αἰτίστον, λύπη μεμιγμένον. Αἰτὸς ἐν νεφέλαις. ἐπὶ τῶν δυσαλώτων. παρόσον αὐτὸς ἐν νεφέλαις ὤν, οὐκ ἁλίσκεται. Αἰτὸς οἰκοδομημάτων, τὸ κατὰ τὴν ὀροφὴν. ὅπερ ἀέτωμα καλοῦσιν. Αἰτοῦ γῆρας, κορύδου νεότης. παρόσον καὶ γηράσκων ὁ αἰτὸς, ἀμείνων ἐστὶ παντὸς ὄρνιθος.

Αἴτωμα, τὸ εἰς ὕψος ἀνατεταμένον τῆς ὀροφῆς ὥσπερ τρίγωνον. καὶ αἰτώματα, τὰ τῶν ἱερῶν κατάστεγα, ἃ πτέρυγας τινὲς καὶ αἰετοὺς καλοῦσιν. Αἰτοφόρος, τὰς οἰκίας ἐρέφομεν πρὸς αὐτὸν, ἀπὸ τοῦ αἰετώματος. Αἰφανίων, λαμπρῶν. Αἰχῶσθαι, πίεσθαι. Αἴχοντα, ὁρμῶν.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Ξ.

Ἀξα, ἄχολος, κόνις, παλαιότης, κόπρος ἐν ἀγγείῳ ὑπομείνασα. Ἀξαία, φθονερά. Ἀξαίνεσθαι, ξηραίνεσθαι. Ἀξάλαι, νέαι ἁπαλαί. Ἀξαλέαι, ξηραί. Ἀξαλέα, ξηρά. καὶ ἀξαλέων, ξηρῶν. ἢ ἀξαλέοιο, ξηροῦ. Ἀξαλέος, ἀντὶ τοῦ ξηρός. ὅθεν ἐστὶν οὐκ ἀπὸ τοῦ ἄζω ἢ αὐαλέος, ἀλλὰ διὰ τὸ τραχεῖ ἀρμόσαι, ἀξαλέαν φασὶ καλεῖσθαι τὴν ἀνάγκην. τραχεῖα γάρ ἐστι, καὶ ξηρά. Ἀξαλέον, ἄγαν ξηρὸν, θερμὸν, ἢ ξηρόν. Ὅμηρος, βοῦν ἀξαλέην. Ἀξαλός, πλύνουσα, καὶ ὀλιγόπνοος. Ἀξάλη, τόνος, γαλήνη. Ἀξάνθη, ἐξηράνθη. Ἀξάπα, πιεστός. Ἀξαρεταιεῖς, οἱ εἰσαγγέλλοντες παρὰ Πέρσαις. Ἀξαρίας, ὄνομα κύριον. Ἀξάτα, ἐλαθρία.

Ἀξανὸς, παλαιὸς, καὶ κόνις. Ἀξαχός. οἱ μὲν σκληρὸν ἢ χαλεπὸν, πάλιν τὸ ἀξαλέον. οἱ δὲ, ἀδιάλειπτον. Ἀξεάδης, ὄνομα κύριον. ἢ πατρωνυμικὸς, ἀγέλαιον. Ἀξείδης, ὄνομα κύριον. Ἀξεῖθε, τὸ ξεῖν. Ἀξεῖν, τὸ ξηραίνειν. Ἀξειν, στυφόν, ἢ ὑπὲρ τοῦ σώματος. Ἀξείρει, ἀντὶ τοῦ ξυ. ἀξαρεῖ δέ, ἀντὶ τοῦ ξηραίνει. Ἀξείδας, ἀρτίως παιδός. Ἀξειρον, ἀπείραστον. ἢ ξῆρον γὰρ τὸ τοιοῦτον. τὸ ἄχυρον. Ἀξείρτ, ἀζῶσι. ὃ πολυξέστ, ἀπὸ τοῦ ξυρά. Ἀξεῦσθ, ἔβεστ τοῦ τρυφᾶσθαι. Σοφοκλῆς συνδέτοις. Ἀξέμιλιος, ὄνομα κύριον. Ἀξένον, τὸν πόντον φρόνο. ἢ ἄξενον, γνῶστα. Ἀξεῖον, ἐνδεῖν, σίδη, ξύλα ἐς ὃν, μίχλην. καὶ ἀξενίσθη, ὠλίσθη. λέξεις ἐπὶ τοῦ χάζω, τὸ ὑποχωρῶ. Ἀξένος, ἀγαθός. Ἀξένω. ἐς οὗ παρ' Ὁμήρῳ οἱ ἀξένοι. πάλιν Σοφοκλεῖ δέ, οὗ δὲ ἄξενα, ἤτοι σιδήριον. παρ' ᾧ καὶ ἀπελεῖν καὶ ἀπελύσθη. Ἀξίστιμοι κόκκοι, ταῖς πτέρυξιν ἐπιλαμβάνοντες. Ἀξῆν, θλίβεσθαι, λυπεῖν. Ἄξεσθε, ἐντρέπεσθε, ἐξηραίνεσθε φιλῶν. ὡς τὸ, ἡ μὲν τὸ ἄζομένη κεῖται ποταμοῖο παρ' ὄχθας, καὶ κατεξήρανται λείμων. Λατῖνος δὲ ἀγιάζεσθε, ἢ ἀγνεύειν, καὶ εὐλαβεῖσθαι. ἀλλὰ ἡ οἰδὲ θεῶν μῆνιν ἄζεσθε. Ἀξῆεν, ἄπιστον. σκληροί. Ἀξηχὲς, ἀδιάλειπτον. Ἀξηχὴς, ὁ σκληρὸς καὶ χαλεπός. Ἄξα, ξηρασία, κονιορτὸς, εὐρώς. καὶ ἄξα, ἡ ὑπὸ ἡλίου ἐκτυπουμένη λευκότης. ὁ παλαιὸς εὐρὼς, κατὰ εἴρεσιν ξύν. οἱ ξῶοι ἢ τὰ ξηρανθέντα. Ἀξίθος, ὄνομα κύριον. Ἀξιλάχειν, τὸ μέλαν. Ἀξελας, ἄλμοι, ἀσίμανθοι. Ἀξημιοφόρον, ζύμον. Ἀξελον, ὁ οἷα ἄν τις χαλώσειεν. ἢ ἄξυλος βίος, ὁ εὐτελής. Ἀξέμιος, ἀξλαβας. ἀκρίας ἢ ζημία, ἡ τοῦ ξῶος μεγίστης. τὸ ἐπὶ τοῦ μικρὸν, ὁ ἀξήμιος, ἀλυθῆς, ἢ μὴ ὑπέχων ζημίαν τοῦ πάθους. Ἀξημιοι, πτοαί. Ἀξημοῦθ, ὄνομα κύριον. Ἀξοναῖς, ὄνομα κύριον. ἢ ἀξιωπός. Ἀξεύσασιν, ἐξήρανται. Ἀξιωοί κόκκοι, οἱ ταῖς πτέρυξιν ἀναλαμβάνοντες αἶγα.

Ἀξιωπὴς μεμαρπύς, ὅ ἐστι σωπής. Ἀξέω, ὁ πύργος. Ἀξίνια. δῆμος τῆς ἱπποθοωντίδος φυλῆς. ἀφ' ἧς ὁ φυλέτης ἀξινιεύς. ἢ ἀξινιεῖς, ἢ ἰσχνός, ἢ ἀλιεύς, καὶ πάντα τὰ ὅμοια, δασέως φασὶ φθέγγεσθαι ἢ ἀττικοὺς ἢ παλαιούς. Ἀξηρὰ, ξηραίνεται. Ἀξῶαι, τὸ ἁρματικὸν τὸ ξύλον. Ἄξαρος, ὁ μὴ ξηρός.

Ἀξασία, ἡ δυμάχηρ. ἀπὸ τοῦ ἀξαίνειν ἢ καρπός. καὶ ἀξασία, ἡ κόρη. ἀμαία δὲ ἡ μήτηρ. καὶ παροιμία, ἡ ἀμαία τὴν ἀξασίαν μετῆλθεν. ἐπὶ τῶν πολυχρονίως ζητούντων χρωμένων. Ἀξῆται, οἱ ἐπίσταθι τοῦ βασιλέως. Ἀξίτητον, τὸ ζήτησιν καὶ κατηγορίαν ἔχον κεκαλυμμένον. οὕτως Αἰσχίνης. Ἀξυτὸς, ὁ σεβαστός.

Ἀξηχέας. τὰς ξηρὰς, τὰς ἐχούσας ξηρὸν ἦχον. Ἀξηχὲς, διηνεκὲς, ἀδιάλειπτον, μεγαλόφωνον, ἰσχυρὸν, ἀδιεχὲς, ἤτοι συνεχὲς, δεινὸν, μέγα. εὕρηται δὲ πάλιν τοῖς παλαιοῖς τὸ μεγαλόφωνον, διὰ τὸ πρὸ τούτου ῥηθὲν, ἀξηχὲς μεμακυῖα. ἰστέον δὲ ὅτι τὸ μὲν φαγεῖν ἀξηχὲς, οὐ πάνυ πολλούς. τὸ δὲ ἀξηχὲς πιεῖν, μυρίους ἀπώλεσεν. ἀξηχὲς λέγεται ὁ ἀδιηχὴς, ὅ ἐστι συνεχής. ἔνιοι μέν τι ἀξηχὲς φασὶ θυμὸς, ὁ σκληρὸς, ἀπὸ τοῦ ἄξω ἔχειν, ὅ ἐστι ξηρασίαν. ἐκ τοῦ, ἄτακτος καὶ δυσμάλακτος. Ἀξίωρα, ταχέα, πυκνά. Ἀξοίμιοι, ἀγανακτήσιμοι. Εὐριπίδης Δίκτυϊ. Ἄξομαι, αἰσχύνομαι. Ἄξομαι, τὸ σέβομαι, δυσωπῶ. καὶ ἄζεσθε, δυσωποῦνται. ὃν λόγον ἐν ἄλλοις τὸ ἀζόμενοι Διὸς υἱόν, ἤγουν σεβόμενοι, καὶ τὰ κατ' αὐτόν. ψιλοῦται δέ πως ἄλλως ἡ λέξις, οὐ μόνον ἐπὶ τοῦ ἄζειν τὸ ξηραίνειν, ἀλλὰ καὶ ὅτι ἔθιμον Ἀιολεῖ, κατὰ τὴν ἰσόοντα ὅτι ἄζειν, τὸ ἀθρόως προσπνεῖν ἐκ τοῦ στόματος θερμόν. εἰ δὲ ἴσως καὶ τὸ αἴζειν γίνεσθαι, ὅπερ οὐκ ἀεὶ τὸ ἐρευθεῖν δηλοῖ, ὡς ἀνακεχωρήκαμεν. Ἀξομένη, ξηραινομένη, ἐντρεπομένη. Ἄξον, μέτρον, ὑφαλόν. Ἄξος, ὕλη. Ἀξυγέα, ἄζυγα, μονάζοντες. Ἀξυγίαν, ἄζυγον. Ἀρχίλοχος. Ἄξυμοι, καθαροί. ἄζυμοι, οἱ ἄπυρον μὴ ἔχοντες. τὸ δὲ ἄζυμον, οὐ ψυχοῦται. Ἄξυμα, τὰ ἄνευ παλαιᾶς ζύμης. ὃ καλεῖται πρόζυμον. Ἄξυξ, ὁ μὴ συνεζευγμένος γάμῳ. καὶ ὁ μίλας ἵππος. Ἄξω τὸ ξηραίνω, ψιλοῦται. πάλιν τὸ σημεῖον, καὶ τὸ ξύω. οὐ ξύουσι τὰ ξηρά. ἢ ἀπ' αὐτοῦ ἄζα ἐν ὁ Λυσίας, ἡ ξηρασία. Ἀξωνία, τόπος ἐν Ποντικῷ. Ἀξωλεί, ἀγανακτεῖ. Ἀξωνεῖς, οἱ ξηροὶ ἐκ τοῦ θυρίου. Ἄζωρος, ὁ εὔκρατος οἶνος, καὶ ὁ Ἱπποκράτης τὸ ὄργανος. Ἄζωστος θώραξ, ἄοπλος, ἄζωστος. Ἀζωτὲς, οἱ μὲν εἰς τὰ συμπεσόντα πλεῖστα. Ἄζωτον, ἀβίωτον. Ἄζωτος, ἱερὸν συρίας καὶ πόλις.

ΤΟ Α ΜΕΤΑ ΤΟΥ Η.

Ἀη, ἐπνεῖ, ἰσχύς. ἢ ἄημι καὶ ἄημιο, πνεῦσαι καὶ ἄημενος, πνέοντος. Ἀα. ὥσπερ πάλιν τὸ φιλῶ γίνεται φίλει διὰ τοῦ ε ψιλωθέντος, κατὰ δὲ Αἰολεῖς φίλη διὰ τοῦ η, οὕτω καὶ πάλιν τὸ ἄω ἄει, ἢ κατὰ Αἰολεῖς ἄη. Ἡρακλείδης δὲ οὕτω βοῦλεται. ἵνα ὥσπερ ἐκ τοῦ φιλῶ φίλημι αἰολικῶς, οὕτως εἴη καὶ ἀπὸ τοῦ ἄω ἄημι. ἢ ἀκολούθως, ὡς φίλη τρίτον ἐνικὸν ἢ Δωρικὸν ἐξ αὐτοῦ φιλοῦμεν, οὕτω ἢ ἄη ἄειδε. Ἀηδία, λείαν, λάφυρα. Ἀηδής, ὁ ἀηδώς. Ἀηδία, ἡ ἀμορφία. Ἀηδεῖν, δυσχεραίνειν, κεκμηκέναι. ἢ ἀηδίζω, κάμνειν καὶ κοπιάσαι, ὀχληθῆναι. Ἀηδιάσμον, κοπιῶμεν. Ἀηδὲς, ἀτερπὲς, λυπηρὸν, ἀνήδυσμον. Ἀηδιζεν. τὰ ἀπὸ φωνήεντος ἀρχόμενα ῥήματα χρονικῶς αὔξονται ἐν τῷ παρατατικῷ. οἷον ἄγω ἦγον, αἴρω ἦρον, αἰτῶ ᾔτουν. δεῖ δὲ προσθεῖναι χωρὶς τοῦ ἰωνικῶν, καὶ τοῦ ποιητικῶν. οἱ γὰρ ποιηταί, καὶ οἱ Ἴωνες, συνεσταλμένως πολλάκις προφέρουσι τὰ παρακείμενα, τοῖς ἰδίοις ἐνεστῶσιν. οἷον ἄγω ἄγεν, ἄπτω ἅψατο. ἀντὶ τοῦ ἦγεν καὶ ἥψατο. καὶ χωρὶς τοῦ ἀηδίασμον ἀηδιασάμην. ἀηδίασεν ἐστὶ, τὸ ἀηδὲς ὑπάρχειν. ἢ χωρὶς τοῦ ἀηδίζομαι, ἀηδιζόμην. ἢ αἴω τὸ ἀκούω. ἢ ἄω τὸ πνέω. ταῦτα οὐ τρέπει τὸ α ἐν τῷ παρατατικῷ εἰς η. Ἀηδὴς, κακοήθης, ἀτερπής. καὶ ἀηδὴς ὁ ἀπάνθρωπος. ὁ δυσειδής. ἢ ἀηδὲς, τὸ ἀπέραστον. Ἀηδόνα, κοπιάσαι, καμεῖν. Ἀηδία, ἡ ἀνορεξία. Ἀηδίζομαι, οὐχ ὑφορῶμαι. Ἀηδόλα, ἄδηλα ὕφορα ὄντα. Ἀηδόνα, φωνῆς δὲ μεταφορικῶς. Εὐριπίδης Οἰδίποδι. ἢ ἡ αὐλὸς δὲ, λιγύφωνος ἀηδόνας τοῦ ἔρως. Ἀηδόνειος ὁ λίθος, καὶ ἀηδόνιον μέλος. Ἀηδονὶς, τόπος ἐν ᾧ ἔθος ὄρνεον. ἡ ἐργασία.

τάλαινα, ἀθλία. Ἀελίπτοντος, οὐκ ἐλπίζοντος. Ἄελλα, πολλὴ ἀνέμων. ἡ συστροφή, ἀπὸ τοῦ ἄειν ὅ ἐστι πνεῖν, καὶ τοῦ εἴλειν ὅ ἐστι συστρέφειν. Δηλοῖ δὲ τὸ κονιοῦς ἀναμορέλλω. ταυτὸ δύναται καὶ ἡ θύελλα, πλὴν ὅτι τὸ μὲν ἐστι ποιητικόν, ἡ θύελλα δὲ κοινόν. γίνεται γὰρ θύελλα, ἀπὸ τοῦ θύειν ὃ σφοδρῶς ὁρμᾶν, καὶ τοῦ εἴλειν. τὸ δὲ ἄελλαν, καὶ στροφάλιγγα κονίης εἰπεῖν, ταυτόν ἐστιν. ἐπεὶ καὶ τὸ στρέφειν καὶ τὸ εἴλειν, ὅμοια. ὧν τὸ μὲν τὴν στροφάλιγγα δηλοῖ, τὸ δὲ τὴν ἄελλαν. Ἄελλαι, ἄνεμοι, πνοαί. Ἀελλάδες ἵπποι, αἱ ταχεῖαι. ἀελλάδων ἵππων, ταχέων. Σοφοκλῆς Οἰδίποδι Τυράννῳ.

Ἀέλλας, τὰ ἄγαν τὰ πνεύματα, καὶ καταιγίδας, καὶ τὰς μεγάλας συστροφάς. Ἀελλαῖον, ταχινόν. Ἀελλάξ, φιλάξ, κολακεία. Ἀελλὴς, ἀθρόον, καὶ ὁμόσε. Ἀέλλῃ, πνοῇ. Ἀελλὴς, συστροφὴ ἀνέμου. ἢ κονίσαλος, ὁ συνεστραμμένος δίνῃ ἀέλλης. ἕτερον δὲ ἐστι τὸ ἀολλέες παρ' Ὁμήρῳ. καὶ ἀολλέας, παρ' Ἡροδότῳ ἐν τῷ, εἰσίασιν ἀολλέες εἰς τὸ ἱερόν. δύναται γὰρ ἄλλως τὸ ἀελλὴς χρήσιμον εἶναι καὶ εἰς ἐτυμολογίαν τοῦ κονισάλου. ἵνα ᾖ κονίσαλος, κόνις ἀέλλης. Ἀελλόπος, κουφοπαθής. Ἀελλοῦσι, πνευματικαῖς. καὶ ἀελλοῦσι, θυμοῖς ἀνυποστάτοις μετὰ παρρησίας.

Ἀελλόθριξ, ποικιλόθριξ, ὁ πυρρωπὸς καὶ συνεχὲς ἔχων τὰς τρίχας. παρὰ τὴν ἄελλαν. Σοφοκλῆς Ἰνάχῳ. Ἀελλόποδες, ἐλαφροί, κοῦφοι. Ἀελλόπους, ταχεῖα τοὺς πόδας, ταχύπους.

Ἀελλόπος, ἵππος. ἡ ταχύπους. ἀφ' οὗ καὶ τὸ ἐλλίπημος. Ἀελλὸς, μαινόμενος, ἢ ἄγριον. Ἀελλώδεις ἵπποι, αἱ ταχεῖαι. καὶ τὸ τραγικόν. Ἀελλῶδες, μετὰ ἀνέμου ὁμιχλώδους. Ἀελλῶν, στρέφων, ὀπτῶν, ποικίλλων. Ἀελπέρια, λευκά. Ἀελπέοντος, μὴ ἐλπίζοντος. καὶ ἀελπέων, οὐκ ἐλπίζων. Ἀελπὴς, ἀνέλπιστον. Ἀελπτέοντος, οὐκ ἐλπίζοντος. ἀπὸ τοῦ ἔλπω, ἐλπτῶ, ἀελπτῶ. ἡ μετοχὴ, ὁ ἀελπτῶν. ἡ πληθυντικὴ εὐθεῖα, ἀελπτέοντες. καὶ πλεονασμῷ τοῦ ε, ἀελπτέοντος, ἀνελπιστοῦντος. Ἄελπτα, ἀνέλπιστα, ἀπροσδόκητα. Ἄελπτον, ἀνέλπιστον. ἢ σκληρόν, δυσχερὲς, ἀπροσδόκητον, λευκόν, ξιφίδιον. Ἀελπτοὶ, λευκοὶ, καὶ ἄσκοποι. Αἰσχύλος Πρωτεῖ. Ἄεμμα, τόξον, ἱμάτιον. Ἀέμπεδον, βέβαιον. Ἀὲν, ἴχνη. Ἀενάεσθαι, καταντλεῖσθαι. Ἀέναον, τὸ ἄπαυστον, καὶ ἀεὶ ὄν. ἢ τὸ διηνεκές. ἀπὸ τοῦ ᾱ ἐπιτατικοῦ μορίου, καὶ τοῦ νάω τὸ βλύζω. καὶ ἀέναον, τὸ πλῆρες, ἀείρρυτον, πλουσιώτερον. καὶ ἀενάων, ἀεὶ ἀναβλυζόντων. Ἀέναος, ὁ ἀεὶ ῥέων. ἀπὸ τοῦ νάω, ὃ ἐστι ῥέω. ἢ διηνεκὴς, ὁ ἀεὶ θάλλων. Ἀενάοντα, ἀεὶ ῥέοντα.

Ἀέντες, πνέοντες. Ἀέντος, ἐστι δὲ περισπώμενον. ἐκ τοῦ ἄημι. ἀλλ' οἱ Αἰολεῖς τὴν ἀῶν μετοχὴν κατὰ τὸ φιλῶν, ἀεὶς ὡς φιλεὶς λέγουσι. καὶ ἡ πληθυντικὴ εὐθεῖα, ἀέντες, καὶ ἡ γενικὴ ἀέντων. Ἀέζιον, αἰγόπτιον, σμυρνεῖον. Ἀέξω, ἀπὸ τοῦ ἔχω τὸ ἐλκύω. ὁ μέλλων ἕξω, καὶ αἴξω προσθέσει τοῦ ᾱ. ἀέξει παρ' Ἡσιόδῳ, αὔξει. Ἀέξετο, ηὔξανετο. Ἀεξῶν, αὐξῶν, ἢ ἔχων. Ἀέσισι, κοσμήταις. Ἀεκάσιον, ἀσμένα χαίροντα. Ἀεπταί, ἀκοαί. Ἀεργηκότες, ἀργοί, ἀναπαυόμενοι. Ἀεργηλὸν, ἀργόν. Ἀεργίῃ, ἡ φοράδην. Ἀεργὸς, ποιητικόν. ἀργὸς, κοινόν. Ἀεργὸν, ἀντὶ ἀργὸν λέγουσιν οἱ Δωριεῖς. Ἀεργὸς, ἀργός. ἢ κακοεργός. Ὅμηρος, Οὐ γὰρ ἀεργὸν ἀνήξομαι ὥς ὅν ἐκ τῶν ἐμῶν τρέφεται. παραπλήσιόν ἐστι τοῦ χρήματα τὸ ἐν τῷ εἶναι πάντας χρησίμους εἶναι, μὴ ὅτι γε τοὺς οἰκείους, ἀλλὰ καὶ εἴ πού τις ἄλλα τύχοι ξένος. Ἀέρθην, ἀείρω, ἀερῶ, ἄερθα, ἄερμαι. ὁ ἀόριστος, ἀέρθην. τὸ πληθυντικὸν τὸ πρῶτον, ἀέρθημεν. καὶ ἐκβολῇ τοῦ η καὶ μ, ἄερθεν, ἀντὶ τοῦ ἀέρθησαν ἤρθησαν, ἀνέστησαν, ὡρμήθησαν. ὡς κόσμηθεν, ἀντὶ τοῦ ἐκοσμήθησαν. Ἀερίβοστη, αἰωρουμένη, αἴρουσα, κρεμαμένη, καὶ λίαν ἠθροισμένη. Ἀερόεν, ἀμίγνυον, πλέον, ἀεροῦδες. Ἄερος, ἄρης, βασάνους. Ἀεσίας, μετεωρισθείς. Ἀέρθη, ἐπάρθη. Ἀερία, ἡ ὁμίχλη παρὰ Αἰτωλοῖς. καὶ ἔστι τῶν τόπων, ὁ Αἰγύπτιον, καὶ Λιβύην, καὶ Κρήτην, καὶ Σικελίαν, καὶ Αἰθιοπίαν, καὶ Κόλχον, οὕτως ἐκάλουν. Ἀερίδιος, μάλιστα. Ἀε-

ρον ὅλον, τὸ ἐν τῷ ἀέρι. καὶ ἀέριος, ὁ ἐν τῷ ἀέρι. Ἀέτωρ, οὐ περιεργόμενον. Ἀερίπες, ὁ εἰς ὕψος αἴρων τοὺς πόδας.

Ἀέρκτην, ἀντὶ τοῦ ἄφρακτον, καὶ πανταχόθεν ὁρώμενον. Ἀερμὸν, ὄργανον κατὰ τὴν παλαιστίνην. ἐφ' ᾧ χεῖρ ταλλὰ σύνεστι. ἀφ' ἧς ἀτμοὶ ἀναδιδόμενοι, καὶ τὸν ἀέρα τὸν περὶ τὰ ὄρη τὸν στῦλον παχύνοντες, φόβον ἀποτελοῦσιν ἐν εἴρει. Ἀεροβατεῖν, τὸ εἰς τὸν ἀέρα περιπατεῖν. Ἀεροτέμα, τὰ πετεινά τὰ τοῖς πτεροῖς τέμνοντα τὸν ἀέρα. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον, παρὰ τῷ Ἀριστοφάνει. ἀντὶ τοῦ περιφράζομαι τὸν ἥλιον, ἢ τὸν πόλον ὁρῶμεν ἐπιβαίνων τῷ ἀέρι. Ἀεροβλεῖ, τείνει. Ἀερόεν, μέλαν, βαθύ, μέγα. Ἀεροκίλαδοι, περιφερομένοι. Ἀερολίχνας, ὑψηλὸς ἐν τῷ λέγειν, κομπηγόρος. Ἀερονεφέλας λέγει Ἀριστοφάνης, τὰς ἐν τῷ ἀέρι γενομένας νεφέλας, παρόσον ἐν αὐταῖς τρέχεται τὰ ὄρνεα. ἢ δίκην ὀρνίων αἱ νεφέλαι τρέχουσι, ἤγουν πετῶσι.

Ἄερσαν, ἰδεῖν τὴν φερομένην κατεσκευάσαντο. καὶ ἐν μακεδονίᾳ γένος τι, καὶ ὄρνεα ζῶα. Ἀερσὸς, κοχλίας. Ἀερσὸς, ἀνεμώδης. Ἀέρσος, νέος ἀλιεὺς, καὶ ὄροβοι. ὡς τὸ, ἀέρσα ἀποδυσάσθην.

Ἀέρσεν, τὴν δρόσον. κρυπτός. Ἀερσιλόφους, ὑψαυχένας, ὧν οἱ λόφοι ἐπηρμένοι εἰσὶ καὶ μετέωροι. Ἀερσίποδας, ταχύποδας, ἐλαφρόποδας. καὶ ἀερσίποδες ἵπποι, οἱ αἰωρούμενοι, ὅ ἐστι κουφιζόμενοι ποσίν. οἱ λίαν ταχεῖς, καὶ ἀνόσποδοι. ἢ ἀελλόποδες, καὶ ὥς εἰπεῖν κουφόποδες. ἢ ὁμαλῶς εἰπεῖν, φερόμενοι ὑπὸ τῶν ποδῶν. χρήσιμον δὲ ἐνταῦθα καὶ τὸ Ἡσιόδου, ἀερσιπότητοι ἀράχναι. καὶ ἀερσίποδας, ἀερομήκους. καὶ ὥς εἰπεῖν, ἀερίους ὄντας ποσίν. ἐκ τοῦ ἀείρω, ἄερσω. ἀείρεσθαι δέ ἐστι, τὸ εἰς ἀέρα κουφίζεσθαι. ἀφ' οὗ καὶ ἀερσιπότης. Ἀερσίπους, ταχύπους, ὁ εἰς ὕψος αἴρων τοὺς πόδας. Ἀερτάζειν, βαστάζειν. Ἀεροδίαιτα, ἀφανίζοντα. Ἀέσαι, ἄεσαι, κοιμηθῆναι. κατὰ σύγκοπον τοῦ ι, ἄσαι, ἀέσαι, ὁρμῆσαι. Ἀέσαμεν, κατεκοιμήθημεν, ἐκοιμήθημεν, ἀνεπαύθημεν. ποιητικὴ λέξις. καὶ ἀέσκοντας, κοιμωμένους. καὶ ἀέσκοντες, ἀναπαυόμενοι, ἐκοιμῶντο. Ὅμηρος, Νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες. Ἀετὸς, πόνος, βλάβη. Ἀεσίμακα, ἢ διὰ πνεύματι τῶν ἀνέμων μαινομένων. θαλάσσης δὲ τὸ ἐπίθετον.

Ἀεσίφρονα θυμὸν, τὴν ψυχὴν λέγει Ἡσίοδος τὴν ἐπηρμένην. ἢ τὴν βεβλαμμένον ἔχοντα τὸ φρόνημα. τὸ μὲν ἀπὸ τοῦ αἴρειν, τὸ δὲ ἀπὸ τοῦ ἄσαι τὸ βλάψαι. Ἀεσιφροσύνῃσιν, ἀνοίαις.

Ἀεσκὴν, ἀεικὲς. βοηθεῖ. Ἀεσίφρων, ματαιόφρων, ὁ κοῦφας ἔχων τὰς φρένας, φρενοβλαβὴς, ἢ κοιμώμενος τὰς φρένας. ἀέσαι γὰρ τὸ κοιμηθῆναι, ἢ ἀναπαῦσαι. καὶ ἀεσίφρων, ἄφρων. παρὰ τὸ ἄω, τὸ πνέω. Ἀέτη, πόλις. Ἀέτας, πέρκας, περίσσας. Ἀετασία, ἡ λύπη. Ἄετε, ἀκροᾶσθε. Ἀέτια, τὰ παρὰ αὐτῷ ἔτει γινόμενα. Ἀετιδεῖς, οἱ ἀετῶν παῖδες.

Ἀέτειον, πτερὸν, καὶ κρίας. Ἀετίτης, εἶδος λίθου. ὡς καὶ ἀχάτης, καὶ λυχνίτης. Ἀετίγανα, πόλις ἀξιόλογος. Ἄετμα, φλέξ. Ἀετμὸν, τὸ πνεῦμα. Ἀετὸς, εἶδος, ἀλώπηξ. Ἀετόνυχος, βοτάνη. Ἀετὸν ἐπιχειρεῖν διδάσκεις. ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινὰς, ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

Ἀετὸν κάνθαρος μαιεύεται. ἐπὶ τῶν τιμωρουμένων τοὺς μείζονας, προκατάρξαντας κακοῦ. λέγεται γὰρ τὰ ᾠὰ τοῦ ἀετοῦ ἀφανίζειν ὁ κάνθαρος. Ἀετὸς, παρὰ τὸ ᾱ ἐπιτατικὸν καὶ τὸ ἔτος ὀνομάσαι. αἰεὶ ὁ αἰεὶ ἀληθὴς, καὶ αἴσιος. διὸ φέρεται μῦθος, ὅτι ἄνθρωπος ἦν γηγενὴς, διὸς αὐτῷ φανῆναι. ὅθεν καὶ κατὰ τὴν ἀποχλήρωσιν τῶν τιτάνων, ὁ Ζεὺς αὐτὸν ἐν τῇ διανεμήσει τῶν πτηνῶν ἐξελέξατο. καὶ αὐτὸς τῷ Διὶ, ὅτι τῷ αἰθερίῳ οἴκῳ ἀνιέρωται. οὐ μόνον ὡς τελείῳ τέλειος, καὶ ὡς οὐρανίῳ ὑψιπέτης, ἀλλὰ καὶ διὰ τὴν κατὰ τοὔνομα κοινωνίαν. ἀετός τε γὰρ καὶ ἀὴρ, ὅμοφωνα παρὰ τὸ ἄω τὸ πνέω δοκοῦσι παράγεσθαι. εἰκότως δὲ καὶ ὁ λαγὸς Ἑρμῇ, οὐ μόνον ὡς ἀργειφόντῃ λευκὸς, ἀλλὰ καὶ κατὰ τὸ παρωνυμίαν τρόπον τινὰ, τῷ τοῦ λόγου γλαυκῶντι.

ἐπ

Ἀδώδιμον, ὄξος. Ἀδωναΐ, ἀθάνατος. Ἀδύνατοι, οἱ πεπηρωμένοι τὸ σῶμα. ἐλάμβανον δὲ οὗτοι δοκιμασθέντες ἀπὸ τῆς βουλῆς, οἱ μὲν πεντακόσιοι ἑκάστης ἡμέρας, ὀβολοὺς δύο. οἱ δὲ ὀβολόν. Ἀδύνατον, ἄμωμον, ἄπρακτον. Ἀδύνατον πρόβατον, τὸ γεγηραμένον πρόβατον. Ἀδύνατα εἶναι, ἀντὶ τοῦ ἀδύνατον. πολλάκις γὰρ λέγεται Θουκυδίδης τοῖς πληθυντικοῖς, ἀντὶ ἑνικῶν. μάλιστα δὲ ἐπὶ ταύτης τῆς λέξεως. ἀδύνατον δὲ ἐστιν, ὃ μὴ ἔστιν ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι. οἷον, ἡ γῆ ἵπταται. Ἀδύνατα θηρᾶς, παροιμία ἐπὶ τῶν ἐγχειρούντων μείζοσιν, ἢ καθ᾽ ἑαυτούς. Ἀδυνατῶ χάριν, ἀδυνατῶ πείθειν τοῦτο, ἀντὶ τοῦ οὐ δύναμαι. Ἀδυσώπητον, ἀπροσωπόληπτον. καὶ ἀδυσωπήτως, ἀπαράλλακτος, ἀντίχωτος. Ἄδυτα, ἄβατα, ἀπόρρητα. Ἄδυτον ἱερὸν, ἢ τὸν δαβιδικὸν θολωτὸν δηλοῖ. ἢ ἄλλον τρόπον, τὸ ἱερὸν ζῷον. τοῦτο μὲν δὲ μιαίνειν ἔχει βωμόν. Ἄδυτον, σπήλαιον. ἢ τὸ ἀπόκρυφον μέρος τοῦ ἱεροῦ. ἀπὸ τοῦ δύω, δύμι, δύσω, δέδυκα, δέδυμαι, δέδυσαι, δέδυται, δυτὸς, καὶ ἄδυτος. καὶ ἄδυτον, ὁ τόπος εἰς ὃν οὐκ ἔξεστι πᾶσιν εἰσιέναι. καὶ ἀδύτερον, ἄσυλον, ἐνδοτάτην. Ἀδῶ, ἀρέσκω. Ἄδω τὸ εὐῶ, ὅταν ὕμνον ἀνάγω αὐτῷ. ἄδω δὲ τὴν πόλιν, ἢ τὴν γῆν, ὅταν εἰς αὐτὰς ποιήσω ᾠδήν. καὶ ᾄδειν ποτὲ μὲν τὸ ψάλλειν. ἐνίοτε δὲ τὸ φημίζειν. ὡς τὸ, ᾄδεται λόγος. ποικίλως δὲ σημαίνει τὸ ἀείδειν, τὸ ἐμμέτρως καὶ ἐμμελῶς λέγειν. ᾄδω ἐστὶ μέλος. προσᾴδω ἐστὶ, δοτικῇ μόνῃ. ἐπᾴδω σε, αἰτιατικῇ μόνῃ. κατᾴδω σου δὲ, γενικῇ. Ἄδων, τὴν ἄδωνιν. Ἀδωναῖος, ποικίλων, ὁ ᾠδός. ἢ ὁ ὑπὸ τοῦ ἄδω. Ἀδώνιοι κῆποι λέγονται, οἱ μετέωροι κῆποι. Ἀδωνία, συνεσταλμένως. καλοῦσι δὲ τὸ εἴδωλον τοῦ ἀδώνιδος, ἀδώνιον. καὶ ἀδώνιος καρπός. ὁ τοῦ ἀδώνιδος.

Ἀδώνιδος κῆπος, ἐπὶ τῶν ἀώρων, καὶ ὀλιγοχρονίων, καὶ μὴ ἐρριζωμένων. Ἀδωνιασμὸς, ὁ ἐπὶ τῷ ἄδωνι θρῆνος. Ἀδωνίας, ἡ χελιδὼν καὶ ἡ θαλασσία. Ἀδώνιον, τὸ παρὰ τοῖς λάκωσιν αὐλητικὸν ἐπιβατήριον. ὅπερ ὕστερον παρὰ λεσβίοις ὠνομάσθη.

Ἄγος, μίασμα καὶ βδέλυγμα, μύσος ἢ ἀγκών. καὶ ἀγὸς τὸ ἐν τῇ τῶν χειρῶν καὶ βραχιόνων, ὡς ἀεὶ ἐφ' ἡμᾶς αὐτοὺς ἐπαγόμενοι. ἀγκάλη δὲ, τὸ κοῖλον τοῦ βραχίονος μέρος. λέγεται δὲ ἄγος, καὶ τὸ τίμιον καὶ ἄξιον σεβάσματος. ἐξ οὗ καὶ αἱ ἱέρειαι, ἁγνεύει. Ἀγὸς δὲ ὀξυτόνως ὁ ἡγεμὼν, ἀπὸ τοῦ ἄγειν τὰ πλήθη, καὶ ἡγεῖσθαι αὐτῶν. εἰσὶ ἀγωγός. καὶ ἐν Πέργῃ ἱέρεια ἀρτέμιδος. Ἄγος, κλάσμα, τραῦμα. Ἀγὸς ἀσπιστάων, ἡγεμὼν τῶν ὁπλιτῶν. ἀσπὶς γὰρ λέγεται τὸ σκουτάριον. Ἀγοστὸς, τὸ ἐντὸς τῶν χειρῶν, ἢ ὁ ἀγκών. ἀγοστὸς καὶ ὁ κνήμης ἐσώτερος τόπος, παρὰ τὸ τὴν συναγωγὴν καὶ ἐπίληψιν τῆς χειρός. ἢ παρὰ τὸ λέγεσθαι τοῦτο ἐκεῖ ἄγχειν, ἢ διὰ τὸ ἐπάγεσθαι τὴν χεῖρα, οἷον ἀγκυλοῦσθαι. ὥσπερ γὰρ παρὰ τὸ πολλὰ γίνεται πολλοστὸς, οὕτω παρὰ τὸ ἄγω ἀγοστός. εἰμαι δὲ, τὴν τοῦ ἀγκῶνος τόπον λέγειν. Ἀγοστοῖς, ὠλέναις. οἱ δὲ, ἄκρα χειρῶν, ἢ πήχεις, ἢ ἀγκῶσι. Ἄγρον, τετραμμένον. Ἄγουσι, φέρουσιν, ἐπιτελοῦσιν, ἢ ἀξιοῦσιν, ἢ ἡγοῦνται. καὶ ἄγουσιν ἑορτὴν οἱ κλῆται, Χαρισάτω ἡ σύνταξις, καὶ ἐκπτῶς [illegible] κατὰ τὴν κωμῳδικὴν χάριν. σημαίνει δὲ ἡ ἀλλοίως κλέπτοντας. Ἄγρα, θύρα, τὸ θηρώμενον λέγεται καὶ τὸ ἔργον. καὶ ἄγρα δήμητρος, ἱερὸν ἔξω τῆς πόλεως, πρὸς τῷ ἰλισσῷ. Ἀγρᾶθεν, συνάγειν, συμμίσγειν. Ἄγραι, χωρίον ἀττικὸν ἔξω τῆς πόλεως, ἱερὸν δήμητρος. καὶ στρατεύονται [illegible] οὕτως ἐκαλοῦντο. Ἀγράκαβος, κεφαλή. Ἀγραύλιον, ἐπεῖπε ὑπὸ Παμφίλων. Ἀγραμύσσειν, καταξύσειν.

Ἄγραμμα ἀφέται. ἐν τῇ τῶν βελῶν παιδιᾷ οὕτως ἐλέγετο.

Ἀγραία, ἑορτὴ ἐν Ἄργει ἐπὶ μιᾷ τῶν προίτου θυγατέρων.

Ἀγραίνει, ποιμαίνει. Ἄγραυλα, τὰ ἐν ὑπαίθρῳ τόπῳ, καὶ πλήρει ἀγραυλούντων. Ἄγραυλοι ποιμένες, οἱ ἐν τῷ ἀγρῷ αὐλιζόμενοι, ἢ εἶναι ὑπὸ ἀγροῦ διατετριφότες. Ἄγραυλον, ὕπαιθρον, καὶ [illegible], ὃ ἐν ἀγρῷ αὐλιζόμενον, ἢ ἐκπορεῖν. Ἀγραυλῶ, τὸ ἐπὶ ἀγροῦ αὐλίζομαι ἀμεταβάτως. Ἄγραφα ἀδικήματα, περὶ ὧν νόμος οὐ γέγραπται. Ἀγραφίου, εἶδος δίκης κατὰ τῶν ὀφειλόντων μὲν τῷ δημοσίῳ, καὶ διὰ τοῦ ἐγγραφέντων, πρὶν δὲ ἐκτίσαι ἐξαλειφθέντων. οὕτω Δημοσθένης. ἢ ἀγραφίου δίκη, ἐπὶ τῶν καταδικασθέντων χρημάτων ὑπὸ δημοσίου, καὶ κατὰ χάριν μὴ ἐγγραφέντων ἐλέγετο. Ἀγρία καὶ νόμιον ἀπόλλωνα λέγουσι, τὸ μὲν, ἐπεὶ ἐν ἀγρῷ ἐμίγη τῇ μητρὶ ἀκακαλλίς ὁ Ἀπόλλων. νόμιον δὲ, ὅτι ποιμαίνων ἐμίγη. οἱ δὲ, ἐπὶ τὴν κατὰ τοὺς ἀγροὺς θεραπείαν τὰς νομάδας εἰσηγήσατο. Ἄγρει, ἀντὶ τοῦ ἄγε, λάμβανε, φέρε. [illegible] παρακελεύεται ἐστὶν καὶ εἰς ἄγραν. ὡς ἀπὸ τοῦ ἀγρεῖν, ἐξ οὗ καὶ τὸ ζωγρεῖν καὶ τὸ ἀγρεύειν. ἢ ἄγρει, ἀντὶ τοῦ ἄγε. Ὅμηρος, ἄγρει δή μοι ὄμοσσον. Ἀγρεία ἀοιδὴ, ἡ ἀγροικική. καὶ ἄγροικος ὁ ἄγροικος, ὁ ἀμαθής. ἢ ὁ ἀπὸ τοῦ ἀγροῦ. καὶ ἄγρει μὲν, ἀντὶ τοῦ ἄγε δὴ, ἕως δή. Ἀγρεῖτε, γίνεται ἀπὸ τοῦ ἀγρέω ἀγρῶ. ἔστι δὲ ταυτὸν τῷ σπουδαίως ἄγετε, καὶ ὡς εἰπεῖν ἄγετε ῥᾷον. καὶ ἄγρει μὲν οἱ ἴωνες ἀθηναίων. διὸ καθάπερ ἄγε καὶ ἄγετε πλεονασματικῶς, οὕτω καὶ νῦν μὲν τὸ ἀγρεῖτε. Ἀγρεῖται, λαμβάνεται, ζωγρεῖται. Ἄγρεμος, ὁ ἀπὸ τοῦ ἄγρας. ἄγρεμον πλείας ἐξ ἁλὸς εὑράμενος. Ἄγρεμον, τὴν κάμακα. ἀπὸ τοῦ αἱρεῖν, καὶ λαμβάνειν, ὅπου ἀγρεύειν, ἢ λαμπάδα, ἢ δόρυ. Αἰσχύλος ἐν μυρμιδόσιν. Ἀγρέμονα, τὴν ἐκπεμφθεῖσαν. Ἀγρέμονες, θηραταὶ, κυνηγετικοί, βοηθοί. ἢ θηρευτικοί. καὶ τόπος ἐν αἰτωλίᾳ. Ἀγρέφια, γεωργικὸν ἐργαλεῖον, δι' οὗ συνάγουσι τὸν χόρτον. ἄλκιμος. Ἀγρεταὶ, λεκτά. Ἀγρεταί, συναθροίζει.

Ἀγρέται παρὰ Κῴοις, ἐννέα κόραι αἱ κατ' ἐνιαυτὸν αἱρούμεναι, πρὸς θεραπείαν τῆς ἀθηνᾶς. Ἀγρέτην, ἡγεμόνα, ἱερόν. Ἀγρετήματα, τὰ ἀγορευόμενα τῶν παρθένων. λακωνικόν. Ἄγρευμα, εὕρημα καὶ εἰλημμένον. Ἀγρεύματα, σκῦλα. Εὐριπίδης ἐν ἀνδρομάχῃ. Ἀγρεύουσι, κρατοῦσιν. Ἀγρεὺς ὁ Πὰν παρὰ ἀθηναίοις, ὡς Ἀπολλόδωρος. ἢ ἀγρεύς, ὁ ἥρως. λέγεται παρὰ τὸ ἐν ἀγρῷ γεγενῆσθαι. ἀπὸ τοῦ κυρήνης καὶ ἀπόλλωνος ἦν.

Ἀγρεσία, ἡ ἄγρα. οἱ τρισσοὶ ταῦτα τὰ δίκτυα εἶναι. ὅμοιοι. Ἀγρόταν, ἄλλας ἄλλος ἀπ' ἀγρεσίης. Ἄγρευσις, εὕρεσις. Ἀγρεύει, ὑβρίζει. Ἀγρέσθαι, κτήσασθαι. Ἀγρηνὰ, δίκτυα, καὶ ἔνδυμα. Ἀγρηνὸν, ποικίλον ἐρεοῦν, δικτυοειδὲς, καὶ ἔνδυμα ποιὸν, ὃ περιτίθενται οἱ βακχεύοντες διονύσῳ. ἐραστάνης δὲ αὐτὸ καλεῖ γρῆνον, ἢ γρῆνον. Ἀγριαίνουσι, στασιάζουσιν. Ἀγριαίνεσθαι, πικραίνεσθαι. Ἀγριᾶσθαι, ἐκπλήττεσθαι, παιδεύεσθαι. Ἄγρευσον, εἰπὲ, γένος τι ἐν ἠλιδι. Ἀγριάδες, τόμοι.

Ἀγρίας, ἄγριος ἴθι. Ἀγρίαθεν, ἀγρόθεν. Αἰσχύλος ἀγαμέμνονι. Ἀγριαίνει, εἰς παθητικὴν σημασίαν λαμβάνεται. Λιβάνιος, ἀδικεῖται καὶ τὰ θηρία τὴν φύσιν. καὶ τὰ ἄλλας ἅπαντας ἀγριαίνοντας, φιλία τοῦ γένους τῷ ἡμερωτέρῳ ἐπιδείκνυσιν.

Ἀγριάμπη, ἡ βροτεία βοτάνη. Ἀγριάνη, ἀγρίδιον. Ἀγριάνια, νεκύσια, παρὰ ἀργείοις. καὶ ἀγῶνες ἐν θήβαις. Ἀγριᾶνες, ἔθνος τι τῆς κόρφης συντάξεως, ἐκ τῆς ἀγριανικῆς χώρας παιόνων.

Ἀγριᾶνες, τάξις στρατιωτική. Ἀγριανταῖον, ἀκόντιον.

Ἀγρίας, στρουθοκάμηλος. Ἀγριάς, ζῷον ἀτικόν.

Ἀγρίβρωξ, ὀρίγανον. Ἀγρίδιον, κωμάριον. ἢ χωρίον παρὰ αἰτωλοῖς. Ἀγρίδες, λόχμαι. Ἀγρίελαιος, ἡ ἄκαρπος ἐλαία. Ἀγρικὸς, ἀγροῖκος. Ἀγριμέλισσαι. ἐγχωρίως οὕτως ἐκαλεῖτο. Ἀγρίνιον, ὄρος. Ἀγρινοὶ, ἀγρονόμοι. καὶ οἱ παιδεραστεῖαι οὕτως. Ἀγριόθυμος, ἀγριόψυχος, ἐκμανής.

Ἀγριοίθεοι, οἱ τιτᾶνες. Ἄγριοι λιμένες, τόπος ἐν ἐρήμῳ.

Ἄγριοι, οἱ παιδεράσται, ὅτι ἄγριον ἐστὶ τὸ πάθος ἡ παιδεραστία, ἢ ὅτι ὁ πὰν ἐνοχλεῖ τοῖς τοιούτοις. διὸ ὅτι γουργοὺς τὸ αἰδοῖον ἀνατεταμένον ἔχει. ἔστι δὲ ὁ πὰν ἄγριος θεός. ἄγριοι δὲ καὶ οἱ ἄγροικοι. Ἄγριον, ἄμικτον, ἀνήμερον. λέγεται δὲ ἄγριος, ἐπὶ κακίας ὑπερβολῇ. Ἀγριοπάταβος, βοτάνη τις. Ἀγριοκάρυον, δένδρον. Ἀγρία μέλιττα, ἐπὶ τῶν σφόδρα πικρῶν, καὶ ὠμῶν. Ἄγριον, γενικῶς ἐπὶ θηρίου. σῦν ἄγριον ἀργιόδοντα. καὶ μεταφορικῶς, ἐπίθετον. ἄγριον αἰχμητήν. κατ' ἰδίαν δὲ ὀνομασίαν, κόνιον, οἷον μὲν ἀδελφοῦ, πατρὸς δὲ θηρίον. Ἄγριον εἶτα λέγει Ὅμηρος. ἔστι καὶ θηλυκῶς λαβεῖν τὴν ἄγριον,

ἀσύγγνωστοι, ἀκαλλιεπιζόμενοι, ἀπαίδευτοι, σύμφυροι, ἀμαθεῖς, ἀλόγιστοι, ἀνοητότεροι. Ἀγνωμόνως, ἀνοήτως, ἀλογίστως, ἀβούλως. Ἀγνώμων, ἀνόητον, ἀλόγιστον. Ἀγνωμοσύνη, ἀπαιδευσία, ἄγνοια, ὀλιγωρία. καὶ ἀγνώμων, ἀπαίδευτος, ἀνόητος, ἀλόγιστος, ἁμαρτάνων. Ἀγνώστος, ὁ τοῦ ἀγνωίου παῖς. καὶ ἀγνωστῶς. Ἀγνὸς, τοῦ αἰολίδος φυλῆς λῆμμα. Ἀγνὸς, ὁ ἅγνωσος. ἡ κλίσις, ἀγνός, ἀγνοῦς. Ἀγνώσσασκε, λέξις ἐν αὐτῇ ἰδία ποιητικῶς, γινομένη ἐκ τοῦ γνῶ, γνώσω. ἐξ οὗ ἐνεστὼς γνώσκω, ὡς τὸ ἀνώσσω, ἢ τὰ τοιαῦτα. ἐν πλεονασμῷ, γνωσσάσκω. ἐξ οὗ κατὰ στέρησιν, τὸ ἀγνώσσασκον. Ἀγνώσσει, δυσχεραίνει. Ἄγνωτος, ὁ μὴ γνωστός. Ἄγνωτα, ἀπὸ τοῦ ἄγνωτος. οὐ γὰρ παρασχηματίζεται ἀπὸ τοῦ ἀγνὸς, εἰς οὐδέτερον γένος. ῥήματα ἄγνωτα τοῖς θνητοῖς, Ἀριστοφάνης ἐν Βατράχοις. Ἀγνῶτας, φίλους ἀγνωμονοῦντας, ἀπιστουμένους, μὴ ἐπιγινωσκομένους. Ἀγνῶτοι θεοί, οὕτω λέγονται· φασὶ γὰρ μετὰ τὴν τοῦ ἰλίου πλοῦν φαληροῖ προσχόντας, καὶ ἀπειρηθέντας, ὑπὸ Δημοφῶντος ταφῆναι. Ἄγξαι, χαλινῶσαι. Ἀγοβός, σπαστρός, φορτηγός. Ἀγοί, ἡγεμόνες. Ἀγοιόμενος, ἀγόμενος. Ἄγοις, ἀπάγοις. Ἀγοιτὴς, ὁ ἐλαύνων. Ἀγοιτίζει, ἐκλείζει. Ἀγολαῖος, ὄνομα κύριον. Ἀγόμενος, δοῦλος παρὰ Ἀρχιλόχῳ. καὶ ἀγόμενος, ὁ φερόμενος. Ἄγομαι, ἁρπάζομαι. καὶ ἀγομένων τῶν ὑμετέρων, ἀντὶ τοῦ ἁρπαζομένων, καὶ λαφυρευμένων. καὶ ἄγομαι παθητικῶς, ἀντὶ τοῦ φέρομαι. ὡς καὶ Ἀριστοφάνης, ἄγομαι φέρομαι, τὰ χρήματα ἐπιχειροῦμαι. καὶ ἄγομαι, τὸ πωλοῦμαι, ὡς καὶ Ξενοφῶν. ἐπὶ πόνον καλῶς ἀχθείης. καὶ ἄγομαι παθητικῶς μὲν γραφόμενον, ἐνεργειαν δηλοῦν ἀντὶ τοῦ λαμβάνω. οἷον, ἄγομαι γάμον. ὡς ἐν τῷ Θεοκρίτῳ, Αἴκα τοὶ μοῖσαι τὰν ὄϊν δῶρον ἄγονται. καὶ ἄγομαι γυναῖκα, ἀντὶ τοῦ εἰς γάμον ἄγομαι, ἐπὶ ἀνδρῶν. ὡς καὶ Αἰσχίνης, ἣν ἀπόλωλεν αὐτοῦ, τῆς πόλεως ἄγεται.

Ἀγόμην, ἠγαγόμην. Ἀγόμφωτα, ἀνάρμοστα. Ἀγόμφωτον, τὸ ἀνάλυτον. Ἄγον, τὸν ἐν πέτρᾳ ἱερὸν οὕτω καλοῦσι. καὶ ἄγον ἰωνικῶς, ἀντὶ τοῦ ἀγορεῦμα ἐνεστηκὸς, ὥσπερ παρατατικοῦ. τοιοῦτον γάρ ἐστι, καὶ τὴν ἀναδίδει βραχὺ τὸ α. καὶ ἄγον δωρικῶς, τὸ αὐτό. κατὰ τροπὴν τοῦ η, εἰς α μακρόν. τὸ γὰρ ἀπόλυσθον ἦγον. Ἀγονία, ἡ στείρωσις. καὶ ἀγονία, ἀτεκνία, ἀγενησία, ἀφορία. Ἀγονομόχθος, ὁ ἄμισθος. Ἄγονον, τὸ γονον, ἢ πολύγονον. Ἄγονος, καὶ ἀστεῖον μὲν, ὁ μὴ γονῶν, παρ' Ὁμήρῳ δὲ τὸ ὀφείλω ἄγονος τε εἶναι, καὶ ἄγαμος ἀπολέσθαι, ὁ μὴ γεννηθείς. ὁ δὲ μὴ γονῶν, ἄσπερμος ἦν Ὁμηρικῶς γὰρ εἶναι, κατὰ τὸ, ἄσπερμος γενεή. ἱστορία δὲ, καὶ δὴ λέγεται Διονύσιον τὸν στενοβραχίονα ἱστορῆν, Λάρδανον παῖδα ὄντα νέου καὶ ἄγαμον. ὃν φασὶ καὶ προσφέρειν αὐτὸ, ἄγαμος τ' ἀπολέσθαι, τὸ εἶχον οὕτως, μηδέποτε γενέσθαι ἐφίεσθαι τὸν Λάρδανον. ὡς εἴποι ἴσως οὕτως, ὄφελον μηδένα τὸ, ἄγονος τε εἶναι, ἄγαμος τ' ἀπολέσθαι, κατὰ χῦμα ἐνθεολογίαν. ἤδει πρὶν ὄφελον, ἀντὶ τοῦ μήτε εἰς γάμον ἐλθεῖν, μήτε παῖδα ἰδεῖν τὸν Λάρδανον, ὡς ἐρρέθη. καὶ ἄγονος, ἄτεκνος, ἄκαρπος, ἄσπορος, ἄσπερμος. Ἄγοντα, ἠγεμόνα. Ἄγοντας, φέροντας. Ἀγόνων χοῶν, ὁ θεολόγος φησί. ἐστὶ τῶν ἐπὶ τοῖς νεκροῖς χεομένων, ἢ ἀπὸ τοῦ ἀγόνων. ἡ ἀγονία, ἡ ἀφορία. Ἀγορ, ἀγρός, ἀγρεῖον.

Ἀγορά, τὸ συναθροισμένον πλῆθος, καὶ ὁ τόπος ἐν ᾧ συναθροίζεται. καὶ ὁ τόπος, ἐν ᾧ πωλεῖται τὰ ὤνια. ἀφ' οὗ ἡ ἀγορὰ ζῶν, τὸ ἐν τῇ ἀγορᾷ διατρίβειν, καὶ τὸ ὠνεῖσθαι. καὶ ἀγοραῖος ἄνθρωπος, ὁ χυδαῖος, ὁ ἐν ἀγορᾷ ἀναμένων. ἀγοραῖος δὲ, ὁ πονηρός, καὶ ὁ ἐν ἀγορᾷ τεθραμμένος. καὶ ἀγορανόμος, ὁ τῆς ἀγορᾶς ἐπιμελούμενος, ὅπως δικαίως πωλοῖτο τὰ ὤνια. καὶ ἀγορανόμου ῥῆμα, γενικὴ συντασσόμενον. ὡς τὸ, ἀγορανομῶν ῥημνίων ἐπιλέγονται. καὶ ἀγορεύω τὸ λέγω. ἐξ οὗ τὸ, τὸ δημηγορῶ, καὶ παρηγορῶ, καὶ συνηγορῶ, καὶ τὰ ἄλλα. ἄλλως.

Ἀγορά, ἡ ἐκκλησία, ὡς τὸ ἐν ἀγορᾷ καλοῦσιν. ὅθεν ὁ πάνυ ἀγορητής. καὶ ὁ τόπος τὸ πωλητήριον, ἔνθα πιπράσκονται τὰ ὤνια. καὶ αὐτὰ τὰ ὤνια, ἢ διὰ τὰ πιπρασκόμενα. καὶ τὸ δικαστήριον, ἀγορά. καὶ ὁ τόπος, ἐν ᾧ ἀγείρεται ὁ λαός. γίνεται δὲ ἡ λέξις, ἐκ τοῦ ἀγείρω. ἐξ αὐτῆς δὲ οὐ μόνον ἀγόρτας κατὰ τὸ παλαιὸν, ὁ ἀγείρων ὄχλον καὶ ἀπατεών, καὶ ἀλαζών, καὶ ὄνομα βάλου ἐκκαλοῦν, ἀλλὰ καὶ ἄγυρις. αἰολιζοντες οὐ μόνον τῇ φωνῇ τοῦ ο εἰς υ, ἀλλὰ καὶ τῷ τόνῳ. ὡς τὸ ἑορτὴ, ἔορτις αἰολικῶς. οὕτω καὶ ἀγορὰ ἄγυρις. ἐξ οὗ καὶ ὁμήγυρις. ἔνθα δέ φασι καὶ ἀγορὰ ἐκκαλεῖσθαι ἐθύοντο κλεψίαμβοι ἐν αἷς, ἔνθα τὰ κλεπτόμενα ἐπωλοῦντο. ὅσους τὰς οἱ ἐκπραχθέντες πιπράσκονται, κλεῖσθαι καλοῦσι, ἢ πεσοῦνται. ἡ ἀγορὰ, ὁ τόπος τοῦ συναθροίσεως, καὶ τὸ πλῆθος τὸ συναθροισμένον, καὶ αὐτὴ ἡ δημηγορία. παρὰ δὲ Ἡροδότῳ, καλεῖται ἡ πόλις ἐμπόριον, καλουμένη ἀγορά. ὅτι δὲ ἡ βουλευτικὴ ἀγορὰ τιμίαν καὶ θεῖον πρᾶγμα, δηλοῖ τὸ, Διὸς ἀγοραίου βωμὸν ἱδρῦσθαι. κατὰ Ἡρόδοτον ἀπηκοοῦ τι, καὶ περὶ στηλῶν. καὶ ἀγοραῖος Ἑρμῆς, ὁ χυδαῖος, καὶ ὁ ἐν ἀγορᾷ ἀναμένων. διαφέρουσι δὲ ὅτι ἀγορὰ καὶ βουλὴ διαφέρει. ἀγορὰ μὲν, σύναξις κοινή. βουλὴ δὲ, ἡ κατὰ σύγκλησιν. καὶ ἀγορὰ ὄνομα τόπου, ὁ λιμήν. θηλυκόν δὲ, καὶ τὴν λιμένα ἀγορὰν καλοῦσιν. ἐπὶ ἀγορὰ ἀργυρίων, τόπος ἀθλήσεως οὕτω καλούμενος. καὶ ἀγορὰ θεῶν, τόπος καὶ οὗτος ἀθλήσεως. καὶ ἀγορὰ λύκειος, ἐν Ἄργει, Σοφοκλῆς ἐν Ἠλέκτρᾳ. Ἀγορὰς ἀγείρουσιν, ἀπλεονάζει, ὡς καὶ τὸ, βουλὰς βουλεύειν, καὶ λόγον λέγειν, καὶ ὅλως, τὸ παράλληλα τοῖς ῥήμασι, τὰ ἐξ αὐτῶν ὀνόματα. καλεῖται δὲ τὸ σχῆμα παρονομασία. Ἀγοράσασθαι, διαλέγεσθαι. ἐκ τοῦ ἀγοράομαι ἀγορῶμαι. τὸ δεύτερον, ἀγορᾶται. τὸ ἀπαρέμφατον, ἀγορᾶσθαι. ἐν πλεονασμῷ τοῦ α, ἀγοράασθαι. Ἀγοράασθαι ἐπὶ παρατατικοῦ λέγεται. τί γὰρ ὑμεῖς ἐπὶ ἐνεστῶτος, οὐκ ἔχειν ἂν τὸ α βραχύ. ἔστι δὲ παρ' Ὁμήρῳ ἀντὶ ἀορίστου. ἀγοράω ἐνεστώς, ἀγοράομαι ἀγορῶμαι, πιθανῶς ἀφ' οὗ τὸ ἀγοράασθαι, καὶ τὸ, ἀγορόωντο, κατὰ πλεονασμὸν τοῦ α ἐν τῷ ο. Ἀγοράζω, τὸ εἰς ἀγορὰν διατρίβω, ἢ τὸ ὠνοῦμαι. οἷον, ἀγοράζω ἄρτον. ἢ ἐν τῇ ἀγορᾷ διατρίβω. ἔτι δὲ ἐστὶ τοῦ διαβάλλεσθαι. Ἀγοράσει, ἐν ἀγορᾷ διατρίψει. Ἀριστοφάνης, Οὐδ' ἀγοράσει γ' ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ. Ἀγοραία δίκη, ἡ ἐκκλησιαστική. Ἀγοραία δίκη, ἡ δικαιολογία. Ἀγοραῖον, δικαιολογίαν. Ἀγοραῖοι, οἱ ἐν ἀγορᾷ ἀναστρεφόμενοι. Ἀγοραῖον, ἑρμῆν, προσηγορικῶς ὁμοίως λέγομεν ἐπὶ τοῦ θεοῦ. ἐν μέσῳ γὰρ τῇ ἀγορᾷ ἵδρυται ἑρμοῦ ἀγοραίου ἄγαλμα. καὶ ἀγοραῖος Ζεύς, ἵδρυται ἐν τῇ ἀγορᾷ, καὶ ἐν τῇ ἐκκλησίᾳ. Ἀγοραῖος προσηγορικῶς, ὁ ἐν τῇ ἀγορᾷ ἀναστρεφόμενος ἄνθρωπος. προπαροξυτόνως δὲ ἀγόραιος, ἡ ἡμέρα ἐν ᾗ ἡ ἀγορὰ γίνεται. ἡ ἀγοραῖος ἑρμῆς, ὃς ἀφίδρυται κεκρικὸς ἀργαῖος, ὡς μαρτυρεῖ Φιλόχορος ἐν τρίτῳ. ἐν ἀγοραίοις θεοῖς, ὁ πανοῦργος, καὶ ὄνομα φυτῶν. ἐν οἷς ἀπόρρητοις, ἐν ἀγορᾷ διεστραμμένος. Ἀγοραῖον τέχνας, αἱ τοῦ πωλεῖν καὶ ἀγοράζειν, ἐν ἐμπορίᾳ εἰδέναι. καὶ ἀγοραίων Διὸς βωμός, ἀθλώνοιεν. Ἀγορανομίαν, λογιστεία. ὑμῶν ἡ καὶ ἐπὶ τοῦ ἐπισκοποῦντων τὰ τῆς πόλεως ὤνια. καὶ ἀγορανόμοι, οἱ τὰ κατὰ τὴν ἀγορὰν ὤνια διοικοῦντες ἄρχοντες. καὶ δὲ κοινοὶ οἱ ἐν τῇ ἀγορᾷ ἐκκειμένοι τὸ δίκαιον. Ἀγορᾶς, ἐκκλησίας, ἐκ ἠρεισμένας. Ἀγορᾶς τὸ πρῶτον, ἀντὶ τοῦ συνόδος. Ἀγοράσαι. τὸ πρῶτον ἐκ ἐφίσταται, ἀγοράσαι λέγεται. δὲ ἀγορὰν, βάρβαρον. Ἀγορᾶς ὥρα, ὅτι τοῦ πωλουμένου, ἀλλὰ τοῦ ἄλλων πράξεως τοῦ κατ' ἀγοράν, ὅθεν ὁ καὶ περὶ ἀγορὰν πεπληθυῖαν. Ἀγοράσω, ἐν ἀγορᾷ διατρίψω. Ἀγοράσματα, ὤνια. Ἀγοράσει, λέγει. Ἀγορατοῦ, ἐν ἀγορᾷ θεωρίαις. Ἀγοράων, δημηγορῶν. Ἀγορεύων, λέγων ἐν ἐκκλησίᾳ. κυρίως μὲν τὸ δημηγορεῖν ἐν ἀγορᾷ, καὶ ἐν ἀθροισμένοις λέγειν, καὶ ἐκκλησιάζειν. κατὰ χρῆσιν δὲ, καὶ τὸ ἁπλῶς λέγειν. Ἀγορεύοντ, ἀγορεύοντες, γενικὴ τοῦ ἀγορεύων. Ἀγόρευε, λέγε ἀγορευτοὺς, λογιωτάτους. καὶ

ἀγκῶνος. Ἄγκυρα, τὸ αἰδοῖον, παρὰ Ἐπιχάρμῳ. κύριοι δὲ τὸ σιδηροῦν ὄργανον, καὶ τὸ ναυτικὸν σκεῦος, καὶ τὴν ἀσφάλειαν. καὶ ἄγκυρα ἱερά, ἡ χωρὶς ἀνάγκης οὐ χρῶνται. καὶ ἀγκύρα, ἐν ᾗ τὰ σῦκα λαμβάνουσιν. Ἄγκυρα, πόλις. καὶ οἱ ἀπ' αὐτῆς ἀγκυρανοί. Σαρμάτιοι, οἳ ὅτι νῦν ἀγκυρανοί, ἀλλ' ὡς γαλάται πάλαι ἐλέγοντο.

Ἄγκυραι, μεταφορικῶς, αἱ ἀσφάλειαι. Στροφαὶ, φαιδραί.

Ἀγκυροβόλιον, τὸ σίδηρον τοῦ πλοίου. Ἀγκών, πόλις ἰταλίας. καὶ ὁ πολίτης ἀγκώνιος, ἢ ἀγκωνιάτης. Ἄγκυνος, βοτάνη τις. Ἀγκυρίζει, μεταμέλεται. κρητικοί. Ἀγκύλισμα, σχῆμα τὸ ἐν πάλῃ. καὶ ἀγκύλισμα, εἶδος παλαίσματος. καὶ ἀγκυρίσαι, ἀντὶ τοῦ καταπαλαῖσαι, ὃ τῇ ἀγκύρῃ καταβαλεῖν. ἔστι δὲ ἀγκύρισμα, καὶ σκεῦος ἁλιευτικὸν σίδηρον. Ἀκεφαῖος, διαβαλὼν. ἀγκυρίσαι, εἶτα ἀποστρέψας ἐν ὤμῳ, αὐτὸν ἐπέβαλε. τουτέστι, προσώκρουσε, ἢ κατέπεσεν. ἀπὸ τοῦ ὤμου, ὃν ἀγκύλον ἔλεγον. Ἀγκυροβαλῶ, δειπνῶ. Ἀγκυρόβολα, φοινικικὰ τὰ δίκτυα, ἃ παρεσκεύαζον τοῖς τελώναις, ἐκ τῶν λιμένων. ἔστι δὲ καὶ μισθός. ἔπρασσον γὰρ ἐν τοῖς λιμέσιν ἐνόρμιον. Ἀγκυρομαλα, ἀγκυρον παρὰ τῷ ἐπικράτει. Ἀγκυλάζων, ἀγόμενος τῷ ἑτέρῳ ποδί. Ἀγκυβολος, ἁλιεύς. Ἀγκὼν, ἐν τῇ βασιλικῇ αὐλῇ οἱ καμπὰς ἐν σκότει ἀναπληρῶν. οἱ δὴ ἀγκῶνες ἐπέκλασαν οἱ κερχνάμοι. ὅθεν ἐνέβαλλον τὸν ἄκαντον, εἰς ὃν χαλκευτικοῖς ὀνομαστός. ἀγκῶνες, μέρος τι τοῦ οἰκίου. καὶ ἀγκῶνες, αἱ τῶν ποταμῶν ἐξοχαὶ, αἱ παρὰ ταῖς ὄχθαις. καὶ ἀγκῶνας, τὰς ἄκρας τῶν ὀρῶν. Ἀγκῶνες ἀπὸ σωματικοῦ ἀγκῶνος, οὐ μόνον τροπικῶς λέγονται τόποι ὀρεινοί, ἀλλὰ τόποι τινὲς ὡς κατὰ κύριον ὄνομα.

Ἀγκωνίσκια, σκεύη λαμπροειδῆ. Ἀγκὼν, τὸ, τὸ σὺν αὐτῷ λεγόμενον, καὶ ἡ τοῦ τείχους καμπὴ, παρὰ ἀγκῶνος. καὶ τεῖχος ὑψηλοῖς. καὶ τὰ καθ' ἑκάτερα τὰ ἀνέχοντα τὸν πῆχυν, ἀγκῶνες λέγονται. λέγεται δὲ ἀγκὼν, παρὰ τὸ ἀποκάμπτεσθαι ἐπὶ ἑτέρῳ, ἀγὼν, καὶ ἀγκὼν.

Ἀγλαὰ, λαμπρὰ, καλὰ, ἔντιμα. παρὰ τὸ ἄγαν ἀλλέσθαι, ἀγλαά. καὶ κατὰ συγκοπὴν, ἀγλαά. ἢ παρὰ τὴν αἴγλην. Ἀγλααῖς, λαμπραῖς. Ἀγλαΐας φέρειν, παρ' Ὁμήρῳ ἐν τῷ ρ' τῆς ὀδυσσείας, ἢ θέλειν ἀεικὲς εἶναι ἀεί. [illegible] ἀντινόου καὶ τὸ ἀεικὲς αἰτιάσονται, ἀεὶ πλανώμενον κατὰ ἀγρούς. πλαίονται ἐνταῦθα νομίζεσθαι, τὸ ἔξω τῶν οἰκείων ἔργων διατρίβειν.

Ἀγλαία, λαμπρότης. Ἀγλαΐαι, εὐφροσύναι, καλλοναὶ, κόσμοι.

Ἀγλαΐα, τὸ κάλλος. Ἀγλαΐζεσθαι, λαμπρύνεσθαι, καλλωπίζεσθαι, παρὰ τὴν ἀγλαΐαν. Ἀγλαΐζει, θάλλει, φαιδρύνει. Ἀγλαΐζεσθαι καὶ ἀγάλλεσθαι, ταυτόν ἐστιν. ἀλλὰ τὸ ἀγλαΐζεσθαι ἐκ τοῦ ἀγάλλω παράγεται, κατὰ παραγωγὴν, καὶ ὑπέρθεσιν τοῦ ἀμεταβόλου.

Ἀγλαΐη πεποιθώς, ῥίμφα ἑ γοῦνα φέρει. χῦμα ἐστι κατὰ ὑπερβατόν. ὤφειλε μὲν εἰπεῖν, ὁ δ' ἀγλαΐῃφι πεποιθώς, ῥίμφα θέει, ἢ φέρεται γόνατιν, ὃ πεύσονται. ἀλλὰ ἄλλως, ὡς αἰτιατικῇ πρὸς [illegible], οὕτω πῶς φράσαι. τὸ ἀγλαΐα πεποιθότα, ῥίμφα (ὅ ἐστιν εὐκόλως καὶ κούφως) τὰ γοῦνα φέρει. καὶ ἀγλαΐην τὴν γυναῖκα τοῦ ἡφαίστου λέγουσι, παρόσον διαφόρους καλλωπισμοὺς τοῖς τεχνῶν ἔργοις, ἐκ τοῦ διακονικοῦ πυρὸς συμβαίνει γίνεσθαι. Ἀγλαΐηφι, ἀγλαΐα, κάλλει. Ἀγλαΐσαι, λαμπρῦναι. Ἀγλάϊσμα, καλλώπισμα, κόσμος. Ἀγλαΐσον, τίμησον, τιμίαν. Ἀγλαόμαντι, πολύμαντιν. Ἀγλαοθαλές, ἁπαλόν. Ἀγλαοί, λαμπροί.

Ἀγλαόκαρπος, πολύτιμος. Ἀγλαομήτιν, λαμπρόβουλος, ἢ μεγαλόβουλος. Ἀγλαὸν, γλαφυρὸν, κρατὴς τε καὶ κύπριοι.

Ἀγλαὸν ὕδωρ, λαμπρὸν καθαρόν. Ἀγλαός, λαμπρός. Ἀγλαὸν ὕδωρ, ἡ ἐν αὐλίδι πηγή. Ἀγλαόπης, ὁ ἀσκληπιός. λάκωνες. Ἀγλαοπίστου, λαμπροπίστου. Ἀγλαότιμον, λαμπρῶς τετιμημένον. Ἀγλαοφῶτις, βοτάνη τις. Ἀγλαοφῶν, ὄνομα κύριον. Ἄγλαυρον, μωρόν. Ἄγλαυρος, ἡ θυγάτηρ κέκροπος. παρὰ δὲ ἀττικοῖς καὶ ὀμνύουσι κατ' αὐτῆς. ὅτι ἱέρεια τῆς ἀθηνᾶς. ἔστι δὲ ἰδίᾳ, καὶ ἐπώνυμον ἀθηνᾶς. Ἀγλαυρόν, καλόν.

Ἄγλευκον, ἀλευκόν. Ἀγλαυρίδες μοῖραι, παρὰ ἀθηναίοις. Ἄγλιθες, ὄσπρια. κρητικοί. Ἀγλίτης, οἰκέτης. Ἀγλαυρίς, αὐλὸς, λάκωνες. Ἀγλαυκής, ἀηδής. καὶ ἀγλαυκέστερον, ἀηδέστερον. Ἀγλίφαρον, ἐλάχιστον. Ἀγλατάς, ἄρτος ἄναλος.

Ἀγλίδια, σκόροδα. Ἀγλῖθες, αἱ κεφαλαὶ τοῦ σκορόδου. Ἄγλα, ὁ κύκνος ὑπὸ σκυθῶν. Ἀγλίεσθαι, βλαστάνεσθαι.

Ἀγλῶν, ἀγλαός. Ἀγλωττ[illegible], δυσφημεῖ. Ἄγλωσσοι, βάρβαροι. καὶ σιωπηροί, ἄναυδοι, ἄφωνοι. Ἀγλώσσα, ἐνσήμμα γυναικεῖον. Ἀγλωσσῖται, γογγυλίδες. Ἀγλωττία, ἡσυχία, σιωπή. Ἄγμα, σύντριμμα, κάταγμα, κλάσμα, καὶ κλάσμα, κατὰ σοφοκλέα. Ἀγμίσκοι, βουβῶνες. Ἀγμὴ, ὠλένα. Ἀγμερόν, ἥσυχον. Ἀγμίζει, παραθραύει. Ἀγμινὸν, ἄκρατον.

Ἀγμοὶ ῥαχίαι, παραθραύσεις, ἀπορρῶγες. Ἀγμοὺς, τοὺς ὀρεινοὺς καὶ κρημνώδεις τόπους. Ἀγναῖον, καθαρόν. Ἀγναμπτος, ἐπὶ πολὺ κεκαμμένος. Ἀγναπτοπόλεμοι, ἀνίκητοι.

Ἄγναμπτον ἱμάτιον, οὐκ ἀγναμμένον. Ἀγνεῖ, λαμβάνει.

Ἀγνεῖν, ἄγειν. κρητικοί. Ἀγνεία, καθαρότης. ἐπίτασις σωφροσύνης, ἐλευθερία παντὸς μολυσμοῦ, ἔργοις καὶ πνεύματος.

Ἄγνοια δὲ, ἡ μωρία. Ἀγνίας, ὄνομα κύριον. Ἀγνίον, ἱερεῖον. Ἀγνίζειν, καθαρίζειν, ἀπό τι ἀφοσιοῦσιν καὶ ἀνιερεῖν. ἁγνίζω δὲ ἕτερον, μεταβατικῶς. καὶ ἁγνίσαι, ἀντὶ τοῦ ἀγοράσαι. Ἀγνὴ, καθαρὰ, καὶ ἀμίαντος, ἡ παρθένος, καὶ τοιαύτη.

Ἀγνήκαμεν, ἠγνοήκαμεν. αἰολεῖς. Ἀγνίσαι, ἁγνίσαι. λάκωνες. Ἀγνιθές, λέχη. Ἄγνισαι, θῦσαι. βοιωτοί. καὶ διαφθεῖραι, σοφοκλῆς ἐν ἀμφιαράῳ. Ἁγνίτης, ὁ ἁγνισθεὶς μετά τινος, ὃ ὁ καθαρὸς λέγει. τῇ δ' αὐτῇ καὶ ἁγνίτας τινὲς ἔλεγον. Ἀγνόδικος, ἁγνοῦ δίκαιος. Ἀγνοδοχεῖς, οἱ ἤθεοι. Ἀγνοεῖν, τὸ μὴ διαγινώσκειν. ὅθεν καὶ παροιμία τὸ, ἀγνοεῖ δ' ἀράχνη παιδεύσασα ὡς παιδεύουσα. θρέψας γάρ, τέθνηκε πρὸς τῶν φιλτάτων ὑπὸ τῶν καθ' ἑαυτὴν πραγματευομένων. Ἀγνόημα, ἁγνόημα τοῦτο τῶν ἠγνοηκότων, ὅθεν εὐθὺς ἂν ἠγνόησεν ὀλίγα διαλιπὼν καὶ ἀψάμενος, καὶ ὅσον ἐπαίσειν ὑπὲρ αὐτοῦ ἔχων. Ἀγνοεῖν, ἀγνοούμενος. Ἀγνοῆσαι κάλλιον, ἢ ἀγνοῆσαι. Ἀγνοιος, γίνεται μὲν διὰ χρονιμότητα μέτρου, πλεονασμῷ τοῦ ι ἐκ τοῦ ἀγνοίην. κλίνεται δὲ ἀναλόγως τῶν ἀγνοιῶν. Ἀγνοίησιν, εἴτε ἐκ τοῦ ἀγνοῶ, εἴτε ἐκ τοῦ ἀγνοιῶ, οὐκ ἄλογος ἡ προπαροξυτόνησις. μᾶλλον οὖν δοκεῖ ἐκ τοῦ ἀγνοίημι εἶναι, ὅ φησιν ἀγνοίησιν, ὡς τίθησι. τὸ δὲ ἀγνοίημι, ἐκ τοῦ ἀγνοιῶ. ὡς αἰνῶ αἴνημι, καὶ λεγῶ λέγημι. ἔστι δὲ ἡ λέξις κυρίως ἴσως ἀγανακτή, πάντα δὲ ἀσυνήθης. Ἄγνοια, ἡ λέξις ἄγνοια εἶναι εἴρησιν ἐπιστήμης, ἀμαθεία. ἔστι δὲ ἡ ἄγνοια, ἕξις μοχθηρὰ καὶ ἀπατωμένη. καὶ ἄγνοια, ἀγνωσία, ἀμαθία, διάκρισις τῶν ἐγνωκότων καὶ ἐγνωσμένων, καὶ τὸ κατὰ γνῶσιν ἐσφαλμένον, ἀναίρεσις νοούντων καὶ νοουμένων. Ἀγνείας, καθαρότητος. Ἀγνοπαλίζεσθαι, τὸ ὑπὸ ὕλης ἐρείδεσθαι. Ἄγνος, φυτόν, ἐν ᾧ λύγον καλοῦσιν. ἔστι δὲ ἄγνειος ἱεροτελεστικόν. ὅθεν οἱ σώφρονες ἐν κοίταις καθεύδουσιν. Ἀγνὸς, καθαρὸς ἢ ἄγναμπτος. Ἀγνεὸς, ὁ ἐπισκεπτόμενος. Ἁγνοτάτης, καθαρᾶς, λαμπρᾶς, ἀμιάντου. Ἀγνοῦ τόπος παλλάδιον, παρὰ δημίαν ἐπὶ τῶν ἁγνῶς βεβιωκότων, παρ' ὅσον ἐν θαλάσσῃ ἔξω παντὸς ἐστὶ τὸ παλλάδιον. Ἁγνοτάτη, ἁγνοτάτη, ἀμίαντοι. δωρικῶς. Ἀγνοῦ κέρας, ἡ καὶ εἶδος πρότερον. οἱ [illegible] ἀναγνώσκειν αὐτό. τινὲς δὲ τὸ αἰγύπτιον. Ἀγνοούσιος, ἀγνοοῦς δῆμος ἐστὶ φυλῆς τῆς ἀκαμαντίδος. ὅθεν ὁ φυλέτης, ἀγνοούσιος. Ἀγνύθες, οἱ λίθοι τοῦ ἱστοῦ. Ἀγνοῶ, αἰτιατικῇ συντάσσεται. οἷον, ἀγνοῶ αὐτὸν τὰ παντὸς ῥήματα. σημαίνει δὲ, τὸ καθόλου καὶ παντελῶς μαθεῖν εἰδέναι. οἷον, ἀγνοεῖ τὴν ἀμαθίαν. καὶ ἀμφαγνοεῖν, τὸ ἐν ἴσῳ διστάζειν.

Ἀγνυμενάων, κλωμένων, συντριβομένων. Ἀγνύμενον, κλώμενον. Ἀγνύμενα, θραυόμενα, ἀγνύμενα πηδάλια. Ἄγνυσθαι, συντρίβεσθαι, κλᾶσθαι. Ἀγνύασιν, λείας. οἱ δὲ τὰς ὕας τοῦ ἱστοῦ.

Ἄγνυται, κλᾶται, συγκλᾶται. Ἀγνώμενοι, ἄβουλοι, ἀσύγγνωμοι.

βαται. Ἀγιστεύειν, εὐσεβεῖν. Ἁγιστεία, καθάρσεις· ἁγιάζω ἁγιάσω ἡγίασα, ἡγίασμαι ἡγίασαι ἡγίασται, ἁγιασμός, ἁγιασία ἡ ἁγιοσύνη, καὶ κατὰ συγκοπὴν ἁγιστεία. Ἀγκαῖος Πλευρώνιος. Ἀριστοτέλης φησὶ περὶ Ἀγκαίου, ὡς φιλογεώργος ὢν καὶ φυτεύων ἀμπελῶνα, βαρὺς ἐπέκειτο τοῖς οἰκέταις. εἷς δὲ τῶν οἰκετῶν ἔφη, μὴ μεταλήψεσθαι τοῦ ἀποτελέσματος τοῦ καρποῦ. ὁ δὲ Ἀγκαῖος ἐπειδὴ ὁ καρπὸς ἐφθάκει, χαίρων ἐτρύγα. καὶ τὸν οἰκέτην ἐκέλευσε κεράσαι αὐτῷ. μέλλων δὲ τὴν κύλικα προσφέρειν τῷ στόματι, ὑπομνήσας αὐτὸν τοῦ λόγου. ὁ δὲ ἔφη, Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. τούτων δὲ λεγομένων, ἧκέ τις ἀγγέλλων, ὡς ὑπερμεγέθης σῦς λυμαίνεται τὸν ὄρχατον. ὁ δὲ Ἀγκαῖος ἀποβαλὼν τὴν πόσιν, ἐπὶ τὸν σῦν ὥρμησε. καὶ πληγεὶς ὑπ' αὐτοῦ, ἐτελεύτησεν. ὅθεν ἡ παροιμία, ἐπὶ τῶν παρὰ προσδοκίαν τι πραττόντων. καὶ Φερεκύδης ἐν τῇ ὀγδόῃ φησί, τὸν Ἀγκαῖον ὑπὸ Καλυδωνίου συὸς πληγέντα τὸν μηρόν, ἀποθανεῖν. Ἀγκάλας, ἀγκαλίδας εἰπὼν ὁ ποιητὴς ὑποκορίζει αὐτὰς τῇ βραχύτητι τῶν ἐγκειμένων αὐταῖς βρεφυλλίων. ἐξ ὧν οὐ μόνον οἱ ἀγκαλιδαγωγοί, ἀλλὰ ἀγκαλιδαγωγεῖν κατὰ Παυσανίαν, τὸ ἀγκαλίδας ἄγειν ἐπὶ κτηνῶν, ἢ πλοίων οὐκ αὐτοὺς φέροντας, ἀγκαλιδοφορεῖν. ὥς τι ἐμνήμονευμεν. ἡ ἀγκαλὶς οὐ μόνον Ὁμηρικόν· ἀγκάλην δηλοῖ, ἀλλὰ καὶ δεσμὸν ξύλων, ἢ θεριστῶν κλάδων. κεκμῆσθαι δὲ ἀγκάλας ὁ παῖς λέγεται, ἢ ὡς συγκειμένας τῇ κάθειν, ἢ διὰ ἄπειρος καὶ ἐκεῖνα οὗτος, οἷκε λέκτρον σύμμορφον πρὸς ταῖς ἀγκάλαις, ἐν ᾧ ἐκοιμᾶτο ὁ παῖς, ὥς φασιν οἱ παλαιοί. Ἀγκάζοντο, ταῖς ἀγκάλαις περιελάμβανον.

Ἀγκαλίνας, ἀγκύρας. Ἀγκαλίσει, ἀνακαλεῖ. Ἀγκαλίω, ἀνακαλῶ. Ἀγκαλιδαγωγοί, ἀγκαλίδας ἔχοντες. Ἀγκαλίδας ἐλαύνειν, αἴρειν ξύλα εἰς ἔργατα. Ἀγκαλίδες, αἱ τῶν φρυγάνων δέσμαι, ἢ μερίδες, ἢ δράγματα. Ἀγκαλίδεσσιν, ἀγκάλαις, χερσίν. Ἀγκαλίσας ἀρχέσει, τὰς ἀγκάλας. Ἀγκαλον, ἄνειρον. Ἀγκαλίς, ἄχθος ἢ δρέπανον. Μακεδόνες. καὶ ἀγκαλίς, μερίς. Ἀγκαλπίς, κρημνός. οἱ δὲ, βόθρον. Ἀγκάς, ἀγκάλας, ἢ ταῖς ἀγκάλαις ἐπίρρημα κοινῶς. οἷον, ἀγκὰς ἐλάζετο. εἰ μὲν ἐπίρρημά ἐστι, συστέλλει τὸ α. ὡς τὸ ἑκάς, ἀνδρακάς. εἰ δὲ ἐστιν αἰτιατικὴ πληθυντική, ὡς ἡ εὐθεῖα αἱ ἀγκαί, καὶ δηλοῖ τὰς ἀγκάλας, δυνατῶς συστέλλει τὸ α. αἱ μὲν εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, συστέλλουσι τὸ α τῆς αἰτιατικῆς, πλὴν δὶς διαμοῦσιν. αἱ γὰρ εἰς ι ἐκτείνουσιν, ἀπαντῶσαι τῇ κοινῇ διαλέκτῳ.

Ἀγκάζεσθαι, ταῖς ἀγκάλαις βαστάσαι. Ἄγκεα καὶ ἄγκη, οἱ φαραγγώδεις καὶ ἀγκυλώδεις τόποι, ἢ κοῖλοι, καὶ καταδύσεις ἔχοντες. καὶ ἄγκεσι, συνδένδροις καὶ ὑλώδεσι τόποις. ὡς ἐν ἐπιγράμματι, Θηροβόλοι ... ἄγκεσι θηροτόκοις. Ἄλλως.

Ἄγκεα, τόποι ὀρεινοὶ ἀνακείμενοι. δασεῖς, ὅ ἐστι χθαμαλοί, ταπεινοί. καὶ ὡς οἱ παλαιοί φασι, φάραγγες, κοῖλοι τόποι, κλίματα ὀρῶν, ἐν οἷς ὑετὸς συλλειβόμενος, ποιεῖ φύεσθαι εἰς λέχος, εἴ τις ἐπ' αὐτοῦ ἀνάκειται. ἀφ' ἧς ἐννοίας καὶ λεχεποίης ποταμός, οὗ εἰς λέχος ἡ ποία συναλισθήσεται τῷ ἀνακειμένῳ. ἄγκος ἐκ τοῦ ἀνακεῖσθαι συγκέκοπται, οὗ δὲ ἐλάφοιο ἡ διατριβή, καὶ ὡς εἶπεν κοῖτα. ὅθεν καὶ θηρίου ὑλακοίτη. καὶ ἄγκος, ὁ ὑψηλὸς τοῦ ὄρους τόπος. ἰστέον, ὅτι τὰ μὲν ἀνωτάτω τοῦ ὄρους, ἀκρώρεια καλοῦνται. τὰ δὲ ὑψηλά, σκοπιαί. τὰ δὲ προπεπτωκότα, πρῶνες. τὰ δὲ κεκαμμένα, κλιτύες. τὰ δὲ βάσιμα, βῆσσαι. τὰ δὲ κοῖλα, ἄγκεα, καὶ ἄγκη. τὰ δὲ σύνδενδρα, νάπαι. τὰ δὲ κάτω, ὑπωρεῖαι. ὁ δὲ παρὰ ταῖς ὑπωρείαις πεδιάς, πεδίον. ἢ ἄγκη λέγονται τὰ τῶν ὀρῶν κοιλώματα, ἀπὸ τοῦ συγκεκλεῖσθαι καὶ συνάγεσθαι ἐν αὐτοῖς τὰ ξύλα. παρὰ τὸ ἄγω, τὸ φέρω, ἄγω. ἐν πλεονασμῷ τοῦ κ ἄγκω. ἢ παρὰ τὸ κῶ κῶ, τὸ δηλοῦν τὸ κεῖσθαι. γέγονεν ἄγκος, ἐν ᾧ ἐστι συνάγεσθαι ἐν κεῖσθαι.

Ἀγκαὶ ἐφαίσω, ἀντὶ τοῦ ἐπάκουσε. Ἀγκιευβαίως, ἀνατεφορίς. Ἀγκατέλλοντα, ἀνατέλλοντα. Ἀγκεράτεσσιν, ἐπὶ τῆς κεφαλῆς. Ἀγκηθής, ὁ ἀβλαβής. Ἀγκάς, ὁ ἀντυχής.

Ἀγκίον, ἀγκιδοθέντα. Ἀγκιστρεύειν, θηρεύειν, δελεάζειν.

Ἄγκιστρον, εἶδος θηρατικὸν ἐκ σιδήρου καμπτόν, ἀγκύλον, στρεβλόν. Ἀγκιστροφάγοι, φιλάργυροι. Ἀγκιστρούμενος, κατεχόμενος. ἀπὸ μεταφορᾶς τῶν ἰχθύων, τῶν κατεχομένων ἐν τῷ ἀγκίστρῳ. Ἀγκλασοί, μεγαλαῦχοι. Ἀγκλύειν, σώζειν. Ἀγκλίνας, ἀνακλίνας, ἀνοίξας. ὡς τὸ Ἀγκλίνας, πρόσθεν δὲ στήσασα χθόν. Ἀγκλόν, σκολιόν. Ἀγκοίνη, ἡ ἀγκάλη. Ἀγκόλαι, ἀγκῶνες, ἀγκοῖναι, ἀγκάλαι, χεῖρες, καὶ χερσὶ ἴσως. Ἀγκονιτέδες, αἱ ὑπηρετίδες. εἴρηται δὲ παρὰ τὸ ἐγκονεῖν. ὅ ἐστι, μετὰ σπουδῆς ὑπηρετεῖν. Ἀγκόνες, διακόνες, δοῦλοι. Ἀγκοπῆρ, σφῦρα. Ἀγκορίς, ἀκόρεστον. Ἀγκορυφοῦσθαι, ἀνατιθέναι τὰς κεφαλὰς ἐφαπτόμενον τῶν ἱερῶν, καθοσιοῦσθαι τῷ θεῷ. Ἄγκος, ὑψηλὸς τοῦ ὄρους τόπος. καὶ ἄγκον νάπος, τὸν πολλὰ ἄγκη ἔχοντα. Ἀγκοτύλη, παιδιά τις, ἐν ᾗ τὰς χεῖρας ὀπίσω πλέξαντες δέχονται τὸ γόνυ. Ἀγκίχεσιν, ἄνηκαν. παρ' οὐδενὶ δὲ εὕρισκεται τῶν ἀρχαίων, ἀλλ' ἐν ἐπιστολῇ Φιλίππου τοῦ Μακεδόνος μόνον.

Ἀγκράτος ἐλαύνοντα, Ξενοφῶν ἀντὶ τοῦ ἄνω ἐλαύνοντα. Ἀγκρινόμεναι, ἀναφωνούμεναι. Ἀγκτήρ, δεσμός. Ἀγκτηρίζω, ἄγχω. Ἀγκτῆρες, οἱ ἐν τῷ σφακέλῳ τόποι, δι' ὧν ἄγχεσθαι συμβαίνει. Ἀγκύλαι, τὸ ὄπισθεν τοῦ γόνατος. καὶ ἀγκύλαι, ἱμάντες ἐν κρηπῖσιν. Ἀγκύλας, δηκίνας, σκιάς, ἢ χαλινούς.

Ἀγκυλοῦσθαι, κάμπτεσθαι. Ἀγκύλη, εἶδος ἀκοντίου. καὶ ἀγκυλόμενος, ἀγκύλην ἔχων. σημαίνει δὲ καὶ ἔργον τι τῆς παλαιᾶς μουσικῆς. Ἀγκύλη, ἀκόντιον, ἢ ἡ καμπὴ τοῦ ἀγκῶνος, καὶ πτερύγιον, ὡς κότταβος. οἱ γὰρ τὸν κότταβον προϊέμενοι, τὴν δεξιὰν χεῖρα ἠγκύλουν, κυκλοῦντες αὐτὴν ὡς ἐνῆν, προσπαίζοντα συμπονούμενοι, ὡς ἐφ' ὧν τοῦ καλοῦ. ἔτι ἀγκυλίσαι, οἱ ἀκοντίσαι εἰς κότταβον. δηλοῖ δὲ καὶ ἀκόντισμα. Ἀγκύλη χείρ, ἐπικεκαμμένη καὶ συνεστραμμένη, εἰς ἀποκοτταβισμόν. Ἀγκύλια, οἱ κρίκοι τῶν ἁλύσεων. Ἀγκυλομήτης, ὁ Κρόνος λέγεται. ὅτι τὰ μὲν κρύπτει, τὰ δὲ φαίνει. ἢ ὅτι λεληθότως περιέρχεται. Ἀγκυλόμητις, ὁ σκολιόβουλος. ἤγουν ὁ ἑαυτοῦ νοῦν, καὶ εἰς ἑαυτὸν ἐπεστραμμένος. δηλοῖ δὲ σύνθεμα ἐνίοτε μὲν τὸν σοφόν, καὶ τὸν ἑαυτὸν νοοῦντα. ἐνίοτε δέ, τὸν πανοῦργον. ἰστέον δέ, ὅτι τὸ ἀγκυλόμητις, καὶ τὸ ποικιλόμητις, καὶ τὸ δολόμητις, καὶ ὅσα ἀπὸ τοῦ μῆτις σύγκειται, προπαροξύνονται, καὶ διὰ τοῦ ι γράφεται. κλίνεται δὲ οὐκ ἰδίαν κλίσιν, ἀλλ' ἀγκυλομήτου καὶ δολομήτου, καὶ ποικιλομήτου κλίνεται ἑτεροκλίτως, ὡς πρέσβυς, πρεσβύτου. καὶ πολύς, πολλοῦ, καὶ τὰ ἄλλα ἕτερα. Ἀγκυλομήταο, σκολιὰ βουλομένου. Ἀγκυλομητόν, σοφόν. Ἀγκύλον, καμπύλον, ἐπικαμπές, καὶ τὸ κοῖλον, καὶ τὸ περιφερὲς σχῆμα, ὡς τὰ ἀγκύλα τόξα. καὶ τὸ ἰσχυρόν, ὡς τὸ ἀγκύλον ἅρμα.

Ἀγκύλλεσθαι, κάμπτεσθαι. Ἀγκυλότοξοι, ἐπικαμπῆ τὰ τόξα ἔχοντες. καὶ ἀγκυλόδροι, οἱ χρώμενοι ἀγκύλαις, ἤγουν σκολιοῖς τόξοις. μάλιστα δὲ κατὰ τοὺς παλαιούς, ἀγκύλαις. ἔτι δὲ καὶ τόξοις.

Ἀγκύλους, ἢ ἀκάμπτους. Ἀγκυλοχῆλαι, ἐπικαμπῆ τὰ ῥάμφη ἔχοντες, ἤγουν τὰς ὄνυχας. Ἀγκυλοχείλης λέγεται, ὁ ἔχων ἀγκύλας χηλάς, ἤτοι ὄνυχας. ὡς τραπέντος τοῦ η εἰς τὴν ει δίφθογγον βοιωτῶν ἔθει. ἀνάλογον τὸ τῆς ἐτυμολογίας. ἐπειδὴ χηλή, ἐπὶ ζώων κυρίως λέγεται πεζῶν, ἃ καὶ δίχηλα λέγεται. ἀλλ' ὅμως τε, καὶ προείληπται ὁ νοῦς οὗτος, ἐν τῷ γαμψώνυχας. καὶ ὁμ περιττὸν θέσθαι δὶς τὸ αὐτὸ ἐπίθετον. εἰ δέ γε ἀγκυλοχείλης εἴη ὁ ἔχων ἀγκύλα χείλη, ἔχει τι καὶ οὕτω πρέποντα ἡ ἑρμηνεία. ἐπὶ γὰρ οἰωνῶν ῥάμφος, οὐ χεῖλος λέγεται, καὶ ὅμως κάλλιον τοῦτο ἤπερ τὸ πρότερον. ἡ γὰρ λέξις τοῦ ῥάμφους, τῶν ὑστέρων ἐστίν. Ἀγκυλοχείλης καὶ ἀγκυλόχειλος, χελιδόκαλος, ἐπίθετον τοῦ ἀετοῦ. ἐπικαμπεῖς τὰς χηλὰς ἔχων τοῦ χείλους. ἐπὶ δὲ κλέπτου, ἀγκύλας τὰς χεῖρας ἔχων, πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν. Ἀγκυλωμένος, ἀντὶ τοῦ ἀγκύλην ἔχων. ἔστι δὲ ἡ ἀγκύλη εἶδος ἀκοντίου. Ἀγκύλως, συντόμως. παρὰ δὲ ἀγκύλη, τὸ ἐναντίον τοῦ ἀγαθοῦ.

παρὰ τὸ ἄγειν γῆν καὶ ἱκανὴν ἔχους, οἱ καὶ ἔχειν λέγεται ἀγυιεῦσι... ὁ σκότος, καὶ ὁ σκότος. Ἀγέρωχοι, οἱ ἄγαν ἐν δόξαις καὶ τιμαῖς, ὁ ὑπερήφανοι, ἢ ἀπαίδευτοι. ὥσπερ δὲ φασι ἢ γελῶντες ἀγερώχους. ... ἀγερωχίᾳ ἔχων ... τουτέστι φοβερὸν ἐπιτακτήν.

Ἀγεῦ, ἄγε, φέρε. Ἀγεῖν, ἀγαγεῖν. Ἀγεσίμων, ὄνομα κύριον. Ἀγεσίλαος ὁ πλούτων. ἐπώνυμον τὸ ἄδου. εἴρηται δὲ ἀπὸ τὸ ἄγειν ἢ λαούς. ἀρχὴν γάρ ἐστι τῶν θανόντων. Ἀγεσίφρων, τὰς φρένας ἐπαίρων. Ἀγέστρατον, ἐκλαυστήριον. ἤγουν, ἐκστρατείαν. Ἄγεται, φέρεται. Ἄγεται γυναῖκα ὁ ἀνὴρ, ἤγουν λαμβάνει. οὐ λέγομεν ἢ, γυνὴ ἄγει ἄνδρα. καὶ ἄγεται δέ, ἢ ἄγε, ἀντὶ τοῦ φέρε. Πλάτων ἐν τῇ ἀπολογίᾳ Σωκράτους. ... [illegible] ... λέσχη. Ἀγητοί, θαυμαστοί, ἔνδοξοι, λαμπροί.

Ἀγητὰ, μεγάλα, περισπούδαστα. Ἀγησοί, ἄπειροι. Ἀγίων, ἁγιασμάτων, ἱερῶν. Ἄγη, θάμβος. ὡς, ἄγη μ' ἔχει εὐφρόντα.

Ἄγη, θαῦμα, χαρὰ, ἀπιστία, φθόνος. παρ' Ἡροδότῳ βασκανία. παρ' Ὁμήρῳ ἔκπληξις. ἄγη, θραῦσις, κλάσις, ἀπώλεια, μάσημα. ἐποίει ἔργα. Ἄγη μὲν οὖν παρ' Ἀργείοις, ἡ ἔκπληξις. ἀγὴ δὲ, ἡ κλάσις τοῦ κύματος. Ἀγή, παλαιά, αἰγιαλός, ἔνθα τὰ κύματα κλῶνται. Ἀγχινοῦς ἐκεῖ ἐπιεικῶς, ἀντὶ τοῦ ἰάγη, παρ' Ὁμήρῳ. ἰάγη, ἐκλάσθη. Ὅμηρος. Ἐν κανθῷ δ' ἐάγη δολιχὸν δόρυ. ἐκ τοῦ ἄγω. Ἄγη παρὰ τοῖς τραγικοῖς ἐμὴ, σεβασμός.

Ἀγήραος, συναθροισμένοι εἰσίν. ἐκ τοῦ ἀγείρω, ὁ μέλλων ἀγερῶ, ὁ παρακείμενος ἤγερκα. ὁ παθητικὸς ἤγερμαι, ὁ τρίτος ἀγήρεται. καὶ ὁ ἀττικὸς, ἀγηγέρεται. ἀπὸ ἐκεῖ προσθέσει τοῦ ε ἀγηγέραται, ὡς ἐσπάρατο ἐσπάραται. Ἀγηγέραται, συναθροισμένοι ἦσαν. ἐκ τοῦ ἀγείρω ἀγερῶ, ἤγερκα ἀγήγερκα, ἤγερμαι ἀγήγερμαι, ἀγηγερμένος. ... ἐκ τῶν πληθυντικῶν, ἀγηγέραται ἀττικῶς. Ἀγηλάζειν, σεβάζειν. Ἀγῆλαι, σεμνῦναι, ἀναθεῖναι, κοσμῆσαι, καὶ εἰς ἀγάλλειν ἀγαγεῖν, καὶ τιμῆσαι. Ἀγηλατεῖν, ἐκκλεοσαι. Ἀγηλῶ, κοσμήσω. Ἀγηλατεῖ, οἱ κεραυνοί. Ἀγηλατεῖν, διώκειν, ὡς ἄγος ἐξελαύνειν, φυγαδεύειν, κεραυνοῦν. ὥσπερ δὲ γραφήσειν, Ἀγηλατεῖν, ἐὰν δὲ ἀπολύσας, τὸ ἄγος καὶ τὸ μίασμα ἐλαύνειν. ἐὰν δὲ ψιλώσας, ἀντὶ τοῦ ἀπελάσειν.

Ἀγηνορία, λαμπρυνομένου. Ἀγηλάμενος, χαίρεσθαι.

Ἄγημα, ὁ πρῶτον ἐν βασιλείᾳ τάγμα, ἐλεφάντων καὶ ἵππων ἢ πεζῶν. οἱ δὲ τὸ ἄγημα τὸ μακεδονικὸν συστάσεως, ἀπαντῶν ὅπλισιν, καὶ σωμάτων εὐεξία. Ἀγηνορία, ἀνδρεία, καὶ ἀνορία, παρὰ τὴν ἄνδρα κατηγορικῶς, καὶ ἐπὶ τῶν ἄλλων ζώων τάσσεται. ὁ ἐκεῖνός τε, ἀγηνορίῃ δὲ μιν ἤκει. Ἀγηνορίδης, εὐθεῖας. Ἀγηνορίη, ἀνδρεία, αὐθάδεια. Ἀγήνωρ, πολεμιστής. Ἀγήνωρ, ὄνομα τόπου. Ἀγήνωρ, οὐ μόνον ἐπὶ ψόγου λαμβάνεται, ἔτι δηλοῖ τὴν θρασύτητα καὶ ὕβριν, ἀλλὰ καὶ ἐπὶ ἐπαίνου, ἐπίσημα τὴν ἀνδρείαν δηλοῖ. γίνεται ἀμφότερα ἐκ τοῦ ἄγαν, καὶ τοῦ ἠνορέα, τουτέστιν ἀνδρία. διότι γὰρ ὁ ἄγαν. τὸ μὲν κατὰ τὸ ὑπερβολικὸν, ὅπερ καὶ ψέγεται. τὸ δὲ κατὰ μεσότητα ἐπὶ τὸ ἄγαν, καὶ ἐπαινετόν. Ἀγήνωρ, ὁ ἄγαν τῇ ἠνορίᾳ χρώμενος. οὕτως καὶ ὑπέροπλος, ὁ δὲ θρασύτατα ὑπὲρ τὸ δέον ὅπλοις χρώμενος. καὶ ὑπεροπλία, ἡ διὰ τῶν ὅπλων... λέγει δὲ αὐτὸ ... τῷ ὕπερ ... ἀγήνορα... Ἀγηνορίδης. καὶ τὰ ἐξ αὐτῶν ... λαμβάνεται. ἡ ἀγήνωρ, ὁ ὑπερήφανος. ... ἀγήνορα ... καὶ ... καὶ ὑπερόπλου ... ἀγήνωρ, ὁ εὔψυχος ... ὁ ἀγαπῶν, τὸ δὲ ὡς ... θαυμάζειν τὴν ὑπερβολὴν. ὡς εἶναι ταῦτα, τὴν ἀγαπῶσαν καὶ τὴν ἀγήνορα.

Ἀγήνωρ ὁ Ποσειδῶνος, γαμεῖ Δαμνὼ τὴν Βήλου. τῷ δὲ γίνεται Φοῖνιξ, καὶ Ἰσαία, ἣν ἔχει Αἰγυπτίος, καὶ Μελία, ἣν ἔχει Δαναός. ἔπειτα ἣν ἔχει Ἀγήνωρ, ἀργείων ... τοῦ ποταμοῦ. τὸ δὲ γίνεται

καδμος. Ἀγήοχα, ἤνεγκα, ἐκόμισα. Ἀγηοχώς, ἐνηνοχώς. ἄγω, ὁ μέλλων ἄξω, ὁ παρακείμενος ἦχα, καὶ ἀττικῶς ἀγήοχα. ὁ δὲ ἀττικὸς παρακείμενος ἐθέλει ἔχειν ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, πλεονάζει ἐν τῇ συλλαβῇ, ὁ γίνεται ἀγήοχα. ἀποβολῇ τοῦ γ, ἀγήοχα, ἡ μετοχὴ, ὁ ἀγηοχώς.

Ἀγήρατον, ἄφθαρτον, μὴ γηράσκον, ἀεὶ ὁ φέρον. εἴσω ἄφθαρτον, ἀπαλαιωτον. Ἀγήραος, οὐ κέραμα ἀγέρως. μόνον ἔρχεται τὸ κατὰ Ἰωνικόν. ὅσα ὑπερ γεραίτερος, ... εὐθεῖας ἀθανάτους. Ἀγήραος ποιητικὸν, ἀγήρως κοινόν. κλίνεται δὲ τὸ μὲν ποιητικὸν εἰς ου, ὡς ἴππος ἵππου. κοινὸν μετακλιτὸν ἐστὶν, ὡς ἄθω. κατὰ ἀποβολὴν τοῦ ν, ταῦτα τῶν γενικῶν ποιεῖται. εἶτα κατὰ τὴν αὐτὴν φωνὴν, καὶ τὴν δοτικὴν ποιεῖ καὶ τὴν αἰτιατικὴν ὡς ἄθω, τῷ ἄθω, τὸν ἄθω. οὕτως οὖν ἀγήρω, τῷ ἀγήρω, τὸν ἀγήρω. Ἀγήρατον, ἄφθαρτον, ἀθάνατον, μὴ γηράσκοντα. παρὰ τὸ γῆρας. Ἀγήρω, τὰ μὴ γηρῶντα. καὶ οὖν τῷ ἀγήρῳ. οἱ δὲ ἄνευ τοῦ ι, θηλυκὸν φασὶν εἶναι. οἱ δὲ τὸ μὲν οὖν τῷ ι, τὴν αἰτιατικὴν δηλοῦν ... τῶν γενικῶν τε καὶ δοτικῶν. ἡ ἀγήρως, ὁ ἄφθαρτος, ἀττικῶς. καὶ οὐδετέρως, ἀγήρων.

Ἀγήρω, ἀγηράτῳ, μὴ γηρῶντι. Ἀγησίλαος, ὄνομα κύριον. Ἀγήρω τὸ ἀθάνατόν τι. ἀπείως σωλάζει κτῆμα, ὡς μὴ ὂν ἀγαθὸν αὐτὸ φυλάσσειν, εἰμὶ καὶ ἀθάνατος εἶναι. ὡς ὁ τοῦ Κεκροποῦ μῦθος δηλοῖ.

Ἀγήρως, ἀπαλαίωτος. Ἀγησίλαος, ὁ ἀρχηγός. Ἀγήτωρ, ἄρχων. Ἀγησίπολις, ὄνομα κύριον. Ἀγησίλαος, ὄνομα κύριον. Ἀγήτωρ, ἡγεμών, ἄρχων. Ἀγήτης, ὁ τῶν αἰγῶν στρατηγός. Ἀγήτης, ὁ ἱερωμένος. Ἀγητής, ὁ ἱερωμένος ἀλωμένος ἐν δὲ βίοις κερυκείοις, ὁ ἱερωμένος τοῦ θεοῦ. καὶ ὁ ἱερὰ ἀγηθὲν. Ἀγητοί, θαυμαστοί. Ἀγηθέα, ὄνομα κύριον. Ἀγητόρειον, ἑορτή. Ἀγήτωρ, ὁ τῶν τῆς Ἀφροδίτης θυηλῶν ἡγούμενος ἱερεὺς ἐν Κύπρῳ. Ἀγηχῶ, ἠχῶ ἀγήγη. ὁ σεισμὸς, ὁ σύνημα. Ἁγία, τίμια, τὰ ἐντὸς τοῦ καταπετάσματος. Ἁγιάδαι, τέλος ἐν Λακεδαίμονι. οἱ βασιλεῖς δὲ οὕτω καλοῦνται, οἱ ἀπὸ Ἄγιδος. Ἁγιάζειν, ἁγιοποιεῖν, καὶ καθαίρειν διὰ θυσιῶν. ὥστε δὲ, τὰ ἱερεῖα θύειν, καὶ ἁγιάζειν, ἁγιοποιεῖν, καὶ καθαίρειν. Ἁγιάσαι, σῖδε. Ἁγιάσαι, καθαρῶσαι, καῦσαι ἁγίως.

Ἁγιάσατε, προσαγιάσατε, καθάρατε. Ἁγιασμός, διαφυλακή. Ἁγίασμα, ὁ ἱερὸς ναός. Ἁγιασμός, ἁγιότης, καθαρσις. Ἁγιασία, ὁ ἁγιοσύνη. ἁγιωσύνη, ἡ ἱεροτελεστία, ἄφθονον. Ἀγιαδεύονται, ἀφιερευμένων. Ἀγίζων, ἁγιάζων.

Ἀγίζειν, τὸ τὰ ἱερὰ θύειν, ἢ καρποῦν. ἐπεὶ τὸ κατατέμνειν.

Ἀγινεῖν, ἀντὶ τοῦ φέρειν. ἐκ τοῦ ἄγω τὸ φέρω γίνεται, κατὰ πλεονασμὸν τοῦ ι ἀγινῶ, καὶ ἐπειδὴ τοῦ ι ἀγινῶ, καὶ ἀγινεῖν. ὅθεν παράγωγον ὃν τοῦ ἄγειν, συσσημαίνει δὲ παλαιοῖς, ὡς ἐκεῖ ἔκειμεν τῆς γε συλλαβῆς. εἰσὶν ἔκαστος μᾶλλον ἀγίνει. ὁ περισπᾶν ἀγινοῦσιν, ἢ ἀγίνειν ἀπὸ ἄσυ. ὅθεν τῆς συλλαβῆς μετὰ τὸ ἐπιθεῖν αὐτὸ ἄκρον τόνου συνεβάλειν, τὰς ἐφεξῆς τέσσαρας προκειμένην εἰς λόγον δακτυλικῶς συνεβίζει. ἔτι δὲ ἀγινεῖν κυρίως μὲν τὸ ἄγειν, ἐκ τοῦ παραγωγῆς τοῦ ἄγω. ἔτι δὲ καὶ καταφέρειν. Ἄγιος, ὁ φῶς ἁγιάζων, καὶ οὐκ ἁγιαζόμενος. κατὰ μέθεξιν δὲ ὁ ἁγιαζόμενος, λέγεται ἅγιος. Ἅγιος, ἄγιος, ἅγιος κύριος. ὅτε ἢ λέγεται μεριάκις ὑπὲρ ἅγιος ὁ θεός. ἡ ἐπαναλαμβάνουσαι τὸ θλιμμένας, λαμπρὸς ἀλέξει, τὸ, ἐξεγέρθητι πρόσωπόν σου, τὸ πρόσωπόν σου κύριε ζητήσω, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. τῶν ἁγίων ἀναφέρειν ... οἱ δὲ λέγοντες, τὸ ἅγιος ὁ σταυρωθεὶς, ἐπιχειρίζουσιν ... ἡ ψυχὴ μὴ πρὸς τὴν θεόν, τὴν ἰσχυρόν, τὸ ζῶντα. καὶ ἅγιοι οἱ καθαροὶ, καὶ σεβάσμιοι, καὶ ἅγιον τὰς ἔργον τὸ ἀνάθημα, καὶ ἅγιος ὁ εὐσεβής. Ἀγιναῖος, ἔργαλος καλεῖται παρὰ Λάκωσιν, ὁ ἁμελήματος υἱός. Ἀγίνισκον, τουτέστιν ἦγον. Ἀγίνιον, ἦγον. τὸ ἐπὶ τῶν ἄγαν, ἡ ἐν ταυτοῖς κυρίως. Ἀγισμός, ἀγισμός. Ἀγισμόν, σέβαν, ἁγνίδαν. Ἀγιστεύω, σέβομαι.

ἀλκότερόν τι δεδιμένον ἔπιθεν αὐτοῦ. παρὰ τὸ ἄγω τὸ σημαῖνον, ἀντὶ τοῦ καθηγητικοῦ τινός. ἀπάγω, τὸ μακρὰν τινὸς ἐξάγειν. ὑπάγω, τὸ προάγω. ἄγω οὖν ὁ ἐνεστώς. ὁ παρατατικός, ἦγον. ἄξω μέλλων, ἀόριστος ... παρακείμενος. ἤγαγον β' ἀόριστος. ἄγομαι παθητικὸς ἐπὶ παθητικῆς σημασίας. καὶ ἄγομαι γυναῖκα, ἤγουν λαμβάνω. καὶ ἠγόμην παρατατικός, ἄξομαι μέλλων, ἐπὶ σημασίας τοῦ ἐνεργητικοῦ, ἀξιοῦμαι δέ, ἐπὶ πάθους. Ἀγεῖραι, ἀθροῖσαι, συναγεῖραι, συλλέξαι, συλλέξασθαι, ἐκπορίσαι, συμπορίσαι, συμπορίσασθαι. Ἀγείρων γέρας, ἡ τιμή. ἀγέρατον, ἐκ πλεονασμοῦ τοῦ ι, ἀγείρατον. οὕτως Ἡρωδιανὸς περὶ παθῶν. σημαίνει δὲ τὸ ἄτιμον, καὶ πολύτιμον.

Ἀγείρεσθαι, ἐκπορίζεσθαι, διαλυρίζεσθαι, συναθροίζεσθαι. Ἀγείρειν πόρον. ἀλύσκειν ἀφορμὴν τῆς ὕστερον ἀγύρτας ἔλεγον τοὺς πτωχούς. καὶ ἀγυρτάζειν, τὸ πτωχεύειν. καὶ μητραγυρτεῖν δέ, τὸ μετὰ τυμπάνων καὶ κυμβάλων βιοῦντας περιιέναι, καὶ ἐπὶ τῇ μητρὶ ἀγείρειν τροφάς, ὅ ἐστιν ἐπὶ τῇ ῥέᾳ ὡς ἀπὸ τοῦ Διονύσου. μητραγύρτης καὶ τυμπανιζόμενος, ἤγουν τύμπανον κρούων. Ἀγείρειν, συνάγειν, συναθροίζειν. λέγεται κατὰ τὸν Αἴλιον Διονύσιον, καὶ τὸ περιϊέναι καὶ περιφέρειν ἐπὶ νίκῃ, ἢ ἑτέρῳ τινί. ὅθεν ἴσως ὁ ἀγύρτης. Πλάτων ἐν πολιτείαις, καὶ τὴν ἄθροισιν ἀγερμὸν φασίν, εἰπὼν συναγερμὸν φρονήσεως. Ἀγερσικύβηλιν, μαντικὸν πέλεκυν, ἢ τὸν θύτην, τὸν ἀγείροντα τὸν πέλεκυν ἐφ' ἑαυτόν. παρὰ τὴν ἄγερσιν.

Ἀγερέθω. ἐκ τοῦ ἀγείρω τὸ συναθροίζω, γίνεται ἀγερέθω. Ἀγεκνοί, ἄβροχοι, σκληροί. Ἀγερόντων, συναθροιζόντων. Ἀγείρω, αἰτιατικῇ συντάσσεται. οἷον, πλοῦν(?) ... ἀγείρω. Ἀγερωσύνη, ἀθεμιτία, ἀσέβεια. Ἀγίτης, ὑβριστής. Ἀγελαῖον, καὶ ἀγελαίαν βοῦν, τὴν ἐπὶ νομὰς λεκτικήν, ἀδάμαστον, νεμομένην, ἢ ἐκπώλην. Ἀγελαία σταφυλή, ἡ εὐτελής. καὶ ἀγελαῖα, τὰ οὐ γνώρια. Ἀγελαίαν, ἐγχέλυς. Ἀγελαῖοι ἰχθύες, πολλοὶ μικροὶ ὁμοῦ, οἱ λίθοι εὐτελεῖς. Ἀγελαῖος, ὀχλώδης, ἰδιώτης, ὁ ὢν ἀγέλης δεκτικός. καὶ ἀγελαίων, ἰδιωτῶν, ῥεμβωδῶν. καὶ ἀγελαῖον ἔοικεν ἀνθρώπων εἶναι ὁ βίος ὑμῶν, ἀντὶ τοῦ εὐτελῶν. καὶ ἀγελαίων, τῶν πολλῶν καὶ τυχόντων. εἴη δ' ἂν ἐκ μεταφορᾶς τῶν ἀγελαίων ζώων, ἢ ἀπὸ τῶν ἰχθύων, οὓς βόσκεσθαι ῥᾳδίως καὶ ἀγεληδὸν φασίν. Ἀγελαῖαι βόες, αἱ ἐκ τῆς ἀγέλης. οὐ μόνον βόες ἀγελαῖαι, ἀλλὰ καὶ ἀγελαίας ἰσχάδας τὰς εὐτελεῖς Εὔπολις ἔφη, καὶ ἄλλοι κωμικοί, ὥς φησι Παυσανίας. καὶ λίθους δὲ ἀγελαίους, τοὺς εὐωνίους καὶ ἀκατασκεύους. Ἀγέλαιος μὲν προπαροξυτόνως, ὁ ἀμαθής. προπερισπωμένως δέ, ὁ ἐκ τῆς ἀγέλης. Ἀγελαιών, ὁ τόπος τῆς ἀγέλης. Ἀγελάσαι, κομίσαι. Ἀγελάστην, ἄτιμον. Ἀγέλαστα, τὰ μὴ γέλωτος ἄξια, ἀλλ' ἀγανακτήσεως. Ἀγέλαστος, ὄνομα κύνος.

Ἀγελάρχης, ὁ τῆς ἀγέλης τῶν βοῶν ἄρχων. Ἀγελακής, ἐγχέλυς. Ἀγελασί, ἄνευ τοῦ γελάσαι. Ἀγέλαστος πέτρα, ἐφ' ἧς ἐκαθέσθη ἡ Δημήτηρ, ὅτε τὴν κόρην ἐζήτει. καὶ ἀγέλαστος πέτρα, παροιμία ἐπὶ τῶν λύπης προξένων. Ἀγελαστοῦ, ἀκακίας.

Ἀγελάστως, τῇ ἐφάβης κρυπτοῦ λέγουσιν. Ἄγε λέγωμεν. φέρει ἐπὶ τὰ παρακελευστικὰ ἐπιρρήματα, τοῖς δευτέροις τῶν προστακτικῶν, καὶ προσέτι τοῖς ὑποτακτικοῖς συντάσσεται. τοῖς δὲ τρίτοις, τὸ ἀπαγορευτικόν. οἷον μὴ λεγέτω, μὴ τυψάτω, εἰκότως καὶ ταῖς ἄλλαις ἐγκλίσεσι. μὴ τύψεις, μὴ τύψης, μὴ τύψαις, πλὴν τῆς ὁριστικῆς. ... δὲ τὸ ἀπαγορευτικὸν ἴδιον. οὐ λέγω, καὶ λέγω. τὸ, μὴ δή μ' ... γε, ἀντὶ τοῦ οὐ τίθεται. Ἀγελάου ἄθλου, ὁ ἄγων λαούς. τινὲς στρατηγικά. ὡς λαΐτης, ὁ ἄγων λαόν. τινὲς λαόν, οἱ ἡγεμονικοί. ἀφ' ἧς ἐννοίας καὶ τὸν στρατηγὸν λαγέταν ἡ ποίησις ἔφη. ἐντεῦθεν δὲ καὶ τὰ Ἅιδης, ὁ ἀγησίλαος, καὶ ὁ ἐμπαικτὸς ἀγησίλαος. Ἀγελῶ, δῆμος τῆς Ἀττικῆς. Ἀγέλη λέγεται, ὅταν πολλὰ πρόβατα ὁμοῦ βόσκηται. ἢ πολλοὶ χοῖροι, ἢ βόες, ἢ τοιοῦτόν τι, ἐφ' ὧν λέγεται ὁ ἀπελάτης. ἀπελάτης δέ, ὁ μετὰ ξίφους ἀπελαύνων ἀγέλης ζῷον. ἀπὸ δὲ τοῦ ἀγέλης, ἀγελαῖον ζῷον, τὸ ἐκ τῆς ἀγέλης. καὶ ἀπὸ τούτου ἀγελαῖος ἄνθρωπος, ὁ τοῦ πλήθους καὶ ὁ χυδαῖος. καὶ ἀγεληδὸν ἐπίρρημα, ἀντὶ τοῦ κατὰ ἀγέλας, διὰ τοῦ δ. ἐπεὶ ἀπὸ τοῦ ἀγέλη παράγεται, ὥσπερ βοτρυδὸν διὰ τοῦ δ, ἀπὸ τοῦ βότρυς. λέγεται δὲ βοτρυδόν, ἀντὶ τοῦ κατὰ τὴν πυκνότητα τῶν ἐν τῷ βότρυι ῥαγῶν. ὥσπερ ἰλαδόν, ἀντὶ τοῦ κατὰ ἴλας. καὶ κρηνηδόν, ἀντὶ τοῦ κατὰ τὴν χύσιν τῶν κρηνῶν.

Ἀγεληδόν, ἀθροιζομένως, ἅμα. ἢ δίκην ἀγέλης, καὶ ἀγεληδόν, κατὰ τὴν ἀγέλην. καὶ ἀγεληδόν, κατὰ ἀγέλην. Ἀγελάτης βοῦς, ὁ ἐξ ἀγέλης. Ἀγέληφι μετελθών, ἀντὶ τοῦ μετ' ἀγέλην, κατὰ προσχηματισμὸν τοῦ φι. Ὅμηρος Ἰλιάδος π, αὐτὰ ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθών. καὶ ἀγέληφι, ἐν ἀγέλαις. Ἀγέμεν, παρ' Ὁμήρῳ. Χερὸς ἑλὼν ἀγέμεν, Βρισηΐδα ἤγαγεν, ἄγειν. ἔοικε δὲ τοῦτο τὸ σχῆμα κατ' ἔλλειψιν γίνεσθαι, ὡς ῥήματος προστακτικοῦ τινὸς λείποντος. οἷον δεῖ ἐκέλευσε ἀγέμεν, ἢ συνέβη, ἢ τοιοῦτό τινος. ἢ ἀντὶ προστακτικῶν λαμβάνονται ἀπαρέμφατα, ὡς παρ' Ὁμήρῳ, καὶ Ἡσιόδῳ, καὶ τοῖς ἄλλοις ὡς ἐνταῦθα. ἀπὸ τοῦ ἄγω, ἄγεται ἐπὶ πολὺ τὰ ἔμψυχα. ἐκ δὲ τοῦ ..., ἄγειν. καὶ ἐπὶ αἰχμαλωσίᾳ, εἴρηται ἐπαγωγή. καὶ τὸ ἀγεῖραι δέ, ἐντεῦθεν παράγεται. ἀγέμεν, ἄγειν, ἀγαγεῖν. ὡς τὸ, Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας. Ἀγεμῶν, ἀγελάδι. Ἄγεν, ἀντὶ τοῦ ἦγεν. ἰστέον ὅτι τὰ ἀπὸ φωνήεντος ἀρχόμενα ῥήματα, χρονικῶς αὐξάνονται ἐν τῷ παρατατικῷ. οἷον ἄγω, ἦγον. αἱρῶ, ᾕρουν. αἰτῶ, ᾔτουν. δεῖ δὲ προσθεῖναι, χωρὶς τῶν ἰωνικῶν, καὶ τῶν ποιητικῶν. οἱ γὰρ ποιηταὶ καὶ οἱ ἴωνες συνεχόμενοι πολλάκις ποιοῦσι τὰ παρῳχημένα, τοῖς ἰδίοις ἐνεστῶσιν. οἷον ἄγω, ἄγον. καὶ ἅπτω, ἅψα. χωρὶς τῶν ἀναγινώσκω, ἀνεγίνωσκον, καὶ ἀνέρχομαι ἀνηρχόμην. καὶ χωρὶς τῶν ἀεθλεύω, τὸ ἀέθλας ὑπάρχω, ἀέθλευον. καὶ ἀηδίζομαι ἀηδιζόμην. χωρὶς τοῦ ἀΐω, τὸ ἀκούω. καὶ τοῦ ἄω, τὸ πνέω. ἃ οὐ τρέπουσι τὸ α εἰς τὸ η ἐν τῷ παρατατικῷ. Ἄγεν. Ὅμηρος, πάλιν ἄγεν ὀξέες ὄγκοι. ἔστι δὲ τὸ πάλιν ἄγεν, ἀντὶ τοῦ ὡς τὸ ἔμπαλιν ἐκλάσθησαν. ποιητικὴ δὲ λέξις τὸ ἄγεν. καὶ ἔστιν ὥσπερ γραφεὶς γραφέντος, ῥαφεὶς ..., ὅ ἐστιν ἐφθέγγοντο. οὕτω καὶ ἀγεὶς ἀγέντος, ἄγεν. Ἄγεν ὀξυτόνως, τὸ κατεάγη, ἐθραύσθη. ὡς τὸ, τοῦ δ' ἐφελκομένοιο πάλιν ἄγεν ὀξέες ὄγκοι, ἀπὸ τοῦ ἄγην. Ἀγένεια, ἡ δυσγένεια. Ἀγενής, ἄνανδρος. ... ἀντὶ τοῦ ἄπαις. Ἀγενής, ἐπὶ τοῦ ἀδυνάτου, καὶ ἐπὶ δυσγενοῦς. Ἀγένειος, μειράκιον. Ἀγεννία, ἡ ἀνανδρία, καὶ ἡ δειλία. Ἀγεννῶς, ἀνάνδρως. Ἀγένητα, τὰ στοιχεῖα παρ' Ἐμπεδοκλεῖ. Ἀγένητον, οὗ κατ' αἰτίαν ὑπάρχοντος, οὐδὲν προϋπάρχει τοῦ εἶναι.

Ἀγεννήτωρ, δυσγενής. Ἀγεννεῖς, τὰς μὴ γεγεννηκυίας.

Ἀγεννῶς, ἀνάνδρως. Ἄγε, ἄγου, ἄρχε. Ἀγόμενοι, ἐκμάζοντες. Ἄγερα, ἄκος, ὄγκος. Ἀγέραστος, ἄτιμος, ἄμοιρος. Ἀγερθήσεται, συναθροισθήσεται. Ἀγέρθη, συνηθροίσθη. Ἀγερθεὶς, συναθροισθείς. Ἀγερμός, ἄθροισις, συναγωγὴ θυσιῶν. Ἀγέροντο, συνηθροίζοντο. Ἀγέρωχος, ὁ ἀσεπτίως ἐρχόμενος, ὁ ὑπερήφανος. Ἀγέρωστον, σκαιόν.

Ἀγερωχή, ἰφορᾶ. Ἀγερρακάδες, σταφυλαί. Ἀγερσικύβηλις, Κρατῖνος ἐν Δραπέτισιν ἐπὶ Λάμπωνος, τὸν αὐτὸν ἀγύρτην καὶ κυβηλιστὴν εἰπών, εἰσηγεῖται θύτην καὶ μάντιν. κύβηλιν γὰρ ἔλεγον τὸν πέλεκυν. ὅθεν καὶ Λύσιππος ἐν Βάκχαις, τὸν αὐτὸν ἀγερσικύβηλιν κωμῳδεῖ.

Ἀγερώχως, ἰφορᾶ, ἀσωτὸν ... Ἀγέρωχος, ἀθέμιτος, λαφύκτης(?), ἀπειλητικός(?). Ἀγερώχεσαι(?), ἐγχυτί(?), ἀθεεί(?). Ἀγερωχία, ὑπερηφανία. Ἀγέρωχος, ὁ ἀλαζών, ἀλαζονικός, γαῦρος, καὶ τετιμημένος, ἢ ὑπερήφανος. Ἀγέρωχοι, οἱ ἄγαν γέρας ἔχοντες. ἦσαν γὰρ ἀγεράοχοι, καὶ ἐν συγκοπῇ ἀγέρωχοι. κατὰ ἐπίτασιν τοῦ ἁπλῶς γεραρῶν. Λυδοὶ δέ φασιν οὕτως ἡ λέξις, τὸ σεμνούς, ὡς Ἀλκμὰν βούλεται. Ἀλκαῖος δέ φησι καὶ Ἀρχίλοχος ἀγέρωχον, τὸν ἄκοσμον, καὶ ἀλαζόνα εἶδε. εἴη ἴσως ἐκ μεταφορᾶς τῶν ὑπερηρμένων καὶ ὑπερφυοῦς. καὶ οὐ πλεονασμῷ τοῦ η, ὑπερήφανος. καὶ τὸ κοῦφον καὶ ἐλαφρόν. ὃς ἄγοιτο ἂν ῥᾷον ὑπὸ ὀχῆ, ἤγουν ὁρμαῖος. μέσον οὖν λέξις. ὅτι δὲ φύσις ποῦ ἀγέρωχοι καὶ λόχιοι λεχθεῖεν, δύναται ἡ λέξις οὐ μόνον Λυδῶν σημαίνειν τὸ τοιοῦτον, ἀλλὰ καὶ ἀναχαιτίζων,

παρὰ

οις καὶ ἀναγκαία δουλεία. ὁ ἀκούσιος, καὶ ἐκ βίας γινομένη ὑπηρεσία. Ἄγγαρος, ἐργάτης, ὑπηρέτης, ἀχθοφόρος. ἡ λέξις δὲ Περσική. σημαίνει δὲ καὶ τοὺς ἐκ διαδοχῆς βασιλικοὺς γραμματοφόρους. οἱ δ' αὐτοὶ καὶ ἀστάνδαι. λέγεται δὲ καὶ ἀγγαροφορεῖν, καὶ ἐπὶ τοῦ φορτία φέρειν, κατὰ διαδοχήν. οὕτως Ὠρίων. Ἄλλως. Ἄγγαρος. οὕτως ἐκάλουν οἱ Πέρσαι, τοὺς βασιλικοὺς ἀγγέλους. τίθεται δὲ τὸ ὄνομα, καὶ ἐπὶ τῶν φορτηγῶν, καὶ ὅλως ἀναισθήτων, καὶ ἀνδραποδωδῶν. καὶ τὸ ἀγγαροφορεῖν, ἐπὶ τοῦ τὰ φορτία φέρειν. καὶ ἀγγαρεύεσθαι καλοῦσιν, ὥσπερ ἡμεῖς νῦν, τὰς φορτηγίας, καὶ τοιαύτην τινὰ ὑπηρεσίαν ἄγεσθαι. Ἀγγαρεύω, τὸ ἐργάτας ἐγείρω. ἀπὸ τοῦ ἄγγαρος, ὃ σημαίνει τὸν ἐργάτην. ἀγγάρους λέγουσιν οἱ μὲν, τοὺς πρέσβεις. οἱ δὲ τοὺς ἀπὸ τύχης ὁδίτας. ἔλεγον δὲ καὶ τοὺς σταθμοὺς, ἄγγαρα. καὶ τὸ ἐπὶ τὸ καθέλκειν πάντα λαμβανομένους ἄκοντας. Αἰσχύλος οὖν ἐν Ἀγαμέμνονι, τὸ ἐκ διαδοχῆς πυρσὸν, ἀπ' ἀγγάρου πυρὸς ἔφη. Ἀγάδες, τοῖς ἀναδενδράδα ξύλον. Ἄγγεα, ἀγγεῖα, τὸ ἀγγεῖον, ἀπὸ τοῦ ἄγειν ἀφ' ἑαυτοῦ τὸ φέρειν. Ἀγγεῖλαι κυρίως, τὸ διαλέγειν κελεύειν. πάλαι τὸ λέγω, ἀνελέγω. καὶ καθ' ὑπερβιβασμὸν, ἀγγέλω. τροπῇ τοῦ ν εἰς τὸ γ, ἀγγέλλω. Ἄγγεον, ἄρσον, ἀντὶ τοῦ γέμισον. ὡς ἐκ τοῦ πλακουθοῦντος. ἥρμοσαι μὲν τὸ πληροῦν, τὸ πληρούμενον. Ἀγγελία, ἄγγελμα, ἀκοὴ, φήμη. καὶ ἀγγελίη ἑνὸς λέγεται, ἣν ἀγγέλλει τις. ὑπ' ἐκείνου πεμφθείς. καὶ ἣν εἶπε τις περὶ ἐκείνου, οὐχ ὑπ' αὐτοῦ ἀποσταλείς. καὶ ἀγγελίην, τὴν ἐξ ἀποστολῆς πρεσβείαν Ὅμηρος. ὡς ἀγχοῦ, ἱστορίαν λέγει. Ἀγγελίην ἐπὶ Τυδῇ, ἔπεμψαν Ἀχαιοί. τουτέστιν, ἐπὶ ἀγγελίαν ἔπεμψαν Τυδεῖα. καὶ ἀγγελίην αὐτὸν τὸν ἄγγελον. Ἀγγελίης, ἄγγελος, ὁ ἀγγελίας. Ἀγγελίας, ἀπαγγελίας.

Ἀγγελιαφόρος, πρεσβευτής. Ἀγγελλόντων, ἀντὶ τοῦ ἀγγελλέτωσαν οἱ Ἀττικοὶ φασίν. ἀγγελλόντων κέχρηται ἀντὶ τοῦ. ἤγουν, ἔστωσαν τοῦ ἀγγελλόντων. οὕτω δὲ καὶ τὸ παῦε κυκώντων, ἀντὶ τοῦ ἔστωσαν κυκῶντες. δῆλον δὲ ὡς τὰ τοιαῦτα προστακτικὰ, κατὰ φυσικὸν γραμματικὸν κανόνα ἀναλυθέντα εἰς ῥῆμα ὑποτακτικὸν, τὸ αὐτὸ ἐγκλίσεως, καὶ τοῦ αὐτοῦ ἀριθμοῦ, δέοιτο διχῶς προφέρεσθαι. οἷον τὸ κυκώντων οὕτως ἀναλυθὲν, ποιήσει τὸ ἔστωσαν κυκῶντες, ἤγουν, ἔστωσαν τῶν κυκώντων. ὁμοίως καὶ τὸ κλειέτωσαν ἀποτελέσει, τὸ ἔστωσαν κλείοντες, ἤγουν ἔστωσαν τῶν κλειόντων. ὡσαύτως καὶ τὰ λοιπὰ, ὧν ἐστι τὸ ἀγγελλέτωσαν. οὗ ἀνάλυσις, ἔστωσαν ἀγγέλλοντες, ἢ ἔστωσαν τῶν ἀγγελλόντων. ὁ τοιοῦτος μὲν ἀττικὸς ἀνάλυσις. οἱ δὲ Ἀττικοὶ, ἐλλείπειν ἐν τούτοις τὸ ὑπαρκτικὸν ῥῆμα, ἀρκοῦνται ταῖς μετοχαῖς εἰς τοιαύτην σημασίαν ὁλικήν, καὶ φράζουσι τὰς πληθυντικὰς γενικὰς, ἀντὶ προστακτικῶν. Ἄλλως. Ἀγγελλόντων, ἀντὶ τοῦ ἀγγελλέτωσαν οἱ Ἀττικοί φασιν. οὕτω δὲ ἐπὶ τῶν προστακτικῶν τῶν ἀπὸ ἐνεστώτων γινομένων, τῶν μὴ ἐχόντων τὸ μὴ κλιτικὸν, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ὁμοφώνως ποιοῦσι τῇ γενικῇ τῶν πληθυντικῶν τῶν ἰδίων μετοχῶν. τυπτέτω, τυπτόντων, ἀντὶ τοῦ τυπτέτωσαν. ἐπὶ δὲ τῶν ἐχόντων τὸ μὴ κλιτικὸν, τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν, ὁμοφώνως ποιοῦσι τῷ τρίτῳ τῶν δυϊκῶν. τυπτέσθω, τυπτέσθων, ἀντὶ τοῦ τυπτέσθωσαν. Ἀγγέλλουσιν, ἤγγελον.

Ἀγγελῆ, δῆμος τῆς Ἀττικῆς, πανδιονίδος φυλῆς. Ἀγγελίς, ὄρχησις ἐκ παλαιοῦ. Ἄγγελοι, δυνάμεις ἅγιαι, ἀποστελλόμεναι παρὰ κυρίου εἰς διακονίαν. Ἄγγελον Συρακούσιοι τὴν Ἄρτεμιν λέγουσιν. Ἄγγελος, οὐσία νοερὰ, ἀεικίνητος, αὐτεξούσιος, θεοῦ λειτουργὸς, χάριτι τὴν ἀθανασίαν εἰληφυῖα. Ἄλλως. Ἄγγελος, ζῶον λογικὸν, ὑπουργητικὸν, νοερὸν, ἄϋλον, ἀθάνατον κατὰ χάριν, οὐσία νοερὰ, αὐτεξούσιος, ἀεικίνητος, θεοῦ λειτουργός. ἢ δύναμις ἄϋλος ἀποστελλομένη παρὰ κυρίου, εἰς διακονίαν. ὥσπερ δὲ παρὰ τὸ εἶκω τὸ ὁμοιῶ, γίνεται εἴκελος, οὕτω καὶ παρὰ τὸ ἄγω γίνεται ἄγελος, καὶ ἄγγελος. Ἀγγέλιος. οὗτος ἐπὶ Οὐάλεντος ἦν, [illegible] πόλεως ἐπίσκοπος, βίον ἀποστολικὸν βιούς. ἀπεστέρητο γὰρ διαδόσεως [illegible] ἐπὶ χιτῶνι ἑνὶ, τὸ δὲ [illegible]

λὶς φιλάνθρωπος ξυτόν. Ἄγγελοι, οἱ μόνοι τῷ θεῷ τοῦδε καταλείψωσι περιγραπτοί. οὔτε δὲ ἐν τόπῳ, οὔτε ἐν σώματι, οὔτε ἐν χρόνῳ. πρὸ γὰρ τοῦ ἡλίου ἡ γένεσις αὐτῶν. Ἀγγέλους πονηροὺς, τοὺς τῆς τιμωρίας ὑπουργοὺς ἡ γραφὴ καλεῖ. ὥσπερ ἡμέραν πονηρὰν, τὴν τῆς τιμωρίας. ὀργὴν δὲ καὶ θυμὸν καὶ θλῖψιν ἐπὶ θεοῦ, τὰς πικρὰς τιμωρίας καλεῖ. οὐ γὰρ φύσιν, οὐδὲ προαίρεσιν φησίν. Ἀγγέλλω, ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν συντάσσεται. ὡσαύτως καὶ τὸ παραγγέλλω. εἶτ' ἀγγέλλω σοι τὰ πεπραγμένα. καὶ παθητικῶς, ἐπαγγέλλομαί σοι συμμαχίαν. λέγομεν καὶ ἀγγέλλω σοι τὰ περὶ ἐμοῦ. καὶ ἀγγέλλει τις λόγους τινὸς, πρός τινα. ἤγουν, διακομίζει. καὶ ἀγγέλλειν τὸ ἀφ' ἑαυτοῦ τινὰ λέγειν, περί τινος.

Ἀγγουράκομον, σταφυλλίον. Ἀγγίρος, ἄγγελος. Ἀγγίτας, ὄνομα ποταμοῦ. καὶ ἔστι παρὰ τὸ Παγγαῖον, ὁμοίως καὶ ἡ Ἄρτεμις.

Ἀγγιθιός, ἐξ ὧν ἡ κεφαλὴ συνίσταται τοῦ σκορόδου. Ἀγγοράραξ, σταφυλή. Ἀγγοπὲς, ὧ τῇ ἐλέφαντος τὸ πλεῖστον σιδήρῳ. Ἀγγοκλῶνες, καὶ ἀγγοκλύνια, τὰ τῶν μελισσῶν κηρία. Ἄγγος, ἀγγεῖον καὶ ῥίζα βοτάνης. Ἄγγουρος, εἶδος πλακοῦντος. Ἀγχίαο, λυπηρᾶς. Ἀγχιὰς ὀξυτόνως, τὰς θέρμας. οἱ δὲ, τὰς ἀνίας. οἱ δὲ συνήθως ἀπὸ τοῦ ἀγχίζειν. οὕτως Ὠρίων. Ἀγχίζειν, ὑφαιρεῖσθαι, ἐρεθίζειν, ὀδυνᾶν. Ἀγχις, ὁ ὀδύνη. Ἀγγῶσθαι, δοράτια οὐ λίαν μακρὰ, ἀλλ' οὐδὲ μεγάλα, ἀλλ' ὅσον ἀκοντίζεσθαι εἶπε δεῖν. Ἄγδεις, ἄγγος κεραμικόν. Ἄγδιστις, ἡ αὐτὴ τῇ μητρὶ τῶν θεῶν. Ἄγε, καὶ ἄγετε. τὸ μὲν ἑνικῶς, τὸ δὲ πληθυντικῶς. ἐπὶ πλήθους ἄμφω κατὰ ὁμηρικὴν συνήθειαν. ὡς ἐν τῷ, ἀλλ' ἄγε μὴ παρέλκετε. ἀλλ' ἄγετε μίμνετε. Ἄγεται ὁ ἀνὴρ γυναῖκα, λέγεται. ἐπὶ γυναικὸς δὲ, οὐ λέγεται ἄγεται ἄνδρα. προσάγεται δὲ ἐξ ἴσου, ἤγουν ἕλκει. Ἄγε, ἴθι, ὃ ἄγει. ἄγε δὴ, φέρε δή. Ἄγε δῆτα, δεῦτε δῆτα. Ἄγει, τιμᾶται. Ἄγουσι, τιμῶσιν. Ἄγει χολὴν, καὶ ἄγει ἀπραξίαν, ἀντὶ τοῦ χολάζει, καὶ ἀπρακτεῖ, ἢ ἔχει χολήν. καὶ ἄγει ἑορτὴν, ἀντὶ τοῦ ἑορτάζει. καὶ ἄγει ἱερὰν τάδε τὸ ἔθνος, ἀντὶ τοῦ τελεῖ. καὶ ἄγει ἡ θάλασσα γαλήνην, ἤγουν ἔχει. ὃ ἄγει, ἀντὶ τοῦ πανηγυρίζει. Διασφάνης, ἄγουσιν θεὸν τὸν Ἴακχον, ὃν παρὰ ὁ Διαγόρας. Ἄγειν, τὸ διαφέρειν τὸ στράτευμα. ὅθεν ἀγὸς ποιητικῶς, ὁ ἡγεμών. καὶ ἄγειν, νομίζειν, τίθεσθαι, καὶ ἡγεῖσθαι. ἄγειν, τὸ διάγειν, διαβιβάζειν. οἷον, ποίαν ἡμέραν μὴ ἄγειν δοκεῖς. Σοφοκλῆς. καὶ ἄγειν μυστήρια, ἀντὶ τοῦ μυσταγωγεῖν. διαφέρει δὲ τὸ ἄγειν τοῦ φέρειν. ἄγεται μὲν τὰ ἔμψυχα λέγεται, φέρεται δὲ τὰ ἄψυχα. οἱ δ' ἦγον, ἔφερον δ' εὔοινον οἶνον. καὶ ἄγειν, ἀντὶ τοῦ παιδαγωγεῖν. ὅθεν καὶ ἀγωγὴ, ὡς ὁ Εὐολόγος, ἡ μὲν τὸν ἄγει λόγος. οἱ δὲ ῥυθμίζονται παραδείγμασι. καὶ ἄγειν, ἀντὶ τοῦ συντρίβειν. ὅθεν τὸ κατεαγώς. ἔχει δὲ τὴν δύναμιν ταύτην, ἀπὸ τῆς προθέσεως. καὶ ἄγειν τὸ σφάζειν, καὶ δακρύειν, τιμᾶν, κομίζειν, σέβεσθαι, καὶ ἁρπάζειν. καὶ ἄγειν, τὸ ὑπάγειν, καὶ τείνειν, καὶ ὀφέλκειν, καὶ ἐρεθίζειν. οἷον, ἄγω τινὰ εἰς δυσλίαν. καὶ ἄγω μεγάλως τοὺς νόμους, ἀντὶ τοῦ διηγοῦμαι. ἐξάγω, οὗ τὸ ἐναντίον εἰσάγω. συνάγω, τὸ τὰ διῃρημένα συνάπτω. προσάγω, τὸ προσφέρω. προσάγομαι δέ τινα, ἀντὶ τοῦ ἕλκω. προάγω τινὰ, ἤγουν προφθάνω. προάγομαι δὲ, τὸ εἰς ἀνάγκην καθίσταμαι περί τι, ἢ λέγειν. ἀνάγω τὴν ναῦν ἐπὶ ἀναπλεύσεως. οὗ τὸ ἐναντίον κατάγω, ὅταν τῷ λιμένι προσίσχῃ. κατάγω, καὶ ἐπὶ ἐλαττώσεως μεγίστης ἀξιωμάτων, καὶ καθαιρέσεως. οὗ τὸ ἐναντίον, ἀνάγω. ἀνάγομαι δὲ παθητικῶς, τὸ ἀναπλέω. ἤγουν, τὸ ἐκ τοῦ λιμένος, εἰς τὸ πέλαγος πλέω. οὗ τὸ ἐναντίον κατάγομαι. λέγεται δὲ τὸ κατάγομαι, καὶ τὸ ἐπὶ καταγωγίου καταλύω. διάγω, τὸ διατρίβω. μετάγω, τὸ μετατίθημι. παράγω, τὸ παριὼν φαίνομαι. παράγεται δὲ κατὰ γραμματικοὺς, καὶ λέξις ἐκ λέξεως. καὶ παρέρχεται τὸ ἀπατᾷ. ἐπάγω, καὶ ἐπάγομαι. ἤγουν, ἐπιφέρω καὶ ἐφέλκυσμαι. λέγεται δὲ τὸ μὲν ἐπάγω, ἀντὶ τοῦ πρὸς ἑτέροις ἐπιφέρω ἕτερον. τὸ δὲ ἐπάγομαι λέγεται, ἐπὶ τοῦ [illegible] ἐρχομένου καὶ

